Ὁ δὲ τῆς ἐν Καρθαγένῃ μς' μίμους, καὶ σκηνικοὺς, καὶ πάντας τοὺς πλημμελῶς βιοῦντας, καὶ τοῖς ἄλλοις αἰτίους τῆς διακεχυμένης ζωῆς, τερατοποιούς τε καὶ ὀρχηστὰς, ἔτι γε μὴν ἀποστατὰς, τοὺς τὰ Χριστιανῶν ἐξομοσαμένους δηλαδὴ, διὰ μετανοίας πρὸς Θεὸν ἐπιστρέφοντας, μὴ ἀποπέμπεσθαι κελεύει, ἀλλὰ μᾶλλον διδόναι τούτοις χάριν, ἤτοι ἄφεσιν τῶν ἡμαρτημένων (ὥς που τῷ μακαρίῳ εἴρηται Παύλῳ, Χαριτί ἐστε σεσωσμένοι), καὶ καταλλαγὴν, ἤτοι λύσιν τῶν ἐπιτιμίων.

ΚΕΦΑΛ. Η'. Ὅτι δεῖ τοὺς ἔτι μετανοοῦντας, τῆς τελευτῆς ἐφισταμένης, τῆς θείας, ἀξιοῦσθαι κοινωνίας· εἰ δὲ ἀνακληθεῖεν, ταύτης πάλιν ἀπέχεσθαι. A

CAP. VIII. *Quod oportet pœnitentiam adhuc agentes, instante morte, sancta communione participare : si convaluerint, illa rursum abstinere.*

Ὁ ιγ' τῆς α' συνόδου κανὼν τοὺς ἔτι τοῖς τῆς μετανοίας ἐπιτιμίοις ἐνεχομένους, καὶ νόσῳ δεινῇ περιπεπτωκότας, ὅσον εἰκάσαι, τὴν ἐκδημίαν ἐπαπειλούσῃ, τοῦ τελείου καὶ ἀναγκαιοτάτου ἐφοδίου, τῆς τῶν ἁγίων μυστηρίων φημὶ μεταλήψεως, κελεύει μὴ στέρεσθαι, ἀλλὰ μετὰ δοκιμασίας τοῦ ἐπισκόπου ἐν ταῖς τελευταίαις ἀναπνοαῖς τούτων ἀξιοῦσθαι· τῆς νόσου δὲ, εἰ οὕτω συμβαίη, ῥαΐσαντας, καὶ πρὸς τὴν ὑγίειαν ἐπανιόντας, τῆς μὲν θείας εἴργεσθαι κοινωνίας, ἐν τῇ χώρᾳ δὲ αὖθις στῆναι τῶν προτέρων ἐπιτιμίων, ἕως ἂν ὁ νενομισμένος αὐτῶν χρόνος ἐκμετρηθῇ.

Primæ syn. canon 13, qui pœnitentiæ pœnis adhuc obnoxii sunt, et in gravem morbum inciderunt, qui e vita excessum minitari videatur, ut ultimo et maxime necessario viatico, sacrorum mysteriorum dico participatione, non priventur, jubet ; sed in extremo spiritu cum espiscopi consensu illis digni judicentur. Morbum autem, si ita contingit, solventes, et ad salutem revertentes, divina quidem communione arceri, in loco vero iterum constitui priorum pœnarum, donec præstitutum illis tempus impletum fuerit.

B

Ταῦτα καὶ ὁ ς' τῆς ἐν Ἀγκύρᾳ διορίζεται, τῷ ἔτι μετανοοῦντι, εἰ κίνδυνός ἐπισυμβαίη, καὶ προσδοκία θανάτου ἐκ νόσου, ἢ ἄλλης οἱασοῦν προφάσεως, τοῦτον εἰς κοινωνίαν μὲν, ἀλλ' ἐπὶ ὅρῳ δεχθῆναι· τὸν θάνατον γὰρ ἐκφυγόντι κοινωνεῖν οὐκ ἐξέστι, τοῦ ὡρισμένου μὴ ἐξήκοντος καιροῦ τῶν ἐπιτιμίων.

Eadem etiam 6 in Ancyra synodi canon decernit : Si jam pœnitentiam agenti vel periculum, vel mortis exspectatio ex morbo vel aliqua alia occasione evenerit, is ad communionem quidem, sed sub definitione recipiatur : ei autem, qui mortem evaserit, communicare non licebit, præstituto pœnarum tempore non peracto.

Ὁ δὲ ε' τοῦ μεγάλου Γρηγορίου Νύσσης. Εἰ δέ τις, φησὶ, μὴ πληρώσας τὸν χρόνον, τὸν ἐκ τῶν κανόνων ἀφωρισμένον, ἐξοδεύει τοῦ βίου, κελεύει ἡ τῶν Πατέρων φιλανθρωπία, μετασχόντα τῶν ἁγιασμάτων, μὴ κενὸν τοῦ ἐφοδίου πρὸς τὴν ἐσχάτην ἐκείνην καὶ μακρὰν ἀποδημίαν ἐκπεμφθῆναι· εἰ δὲ μετασχὼν τοῦ ἁγιάσματος πάλιν εἰς τὴν ζωὴν ἐπανέλθοι, ἀναμένειν τὸν τεταγμένον χρόνον, ἐκ ἐκείνῳ τῷ βαθμῷ γενόμενον, ᾧ ἦν πρὸ τῆς κατ' ἀνάγκην δοθείσης αὐτῷ κοινωνίας. C

Quintus etiam magni Gregorii Nysseni. Si quis, inquit, tempus a canonibus statutum non peragens, e vita excesserit, jubet Patrum humanitas illum sacrorum mysteriorum participem factum, viatici ad ultimum illum et longum discessum vacuum non emitti : si vero postquam sacrorum illorum particeps fuit ad vitam revertatur, ordinatum tempus maneat, in eodem gradu constitutus, in quo erat antequam, ei ex necessitate data fuit communicatio.

Ταῦτα ἡ τῶν Πατέρων φιλάνθρωπος βούλεται γνώμη, εἰ προσπελάσειε τὸ χρεὼν τῷ ἔτι καθαιρομένῳ τοῖς φαρμάκοις τῆς μετανοίας, καὶ ἡ κυρία παρεῖναι δοκεῖ, ἐφεῖσθαι τοῖς πρεσβυτέροις, κοινωνιαν αὐτῷ μεταδοῦναι, ὡς μὴ ἀποδιῶναι μηδένα παρ' αὐτοῖς δεδεμένον· ἀναῤῥωσθέντα δὲ πάλιν τὸν μήπω τὸ τοῦ καιροῦ πεπληρωκότα διάστημα, τοῖς προτέροις ὑπόδικον εἶναι καὶ παρὰ τῶν πρεσβυτέρων περιμένειν τῆς συγγνώμης τὸ σύνθημα, τοῦ χρόνου δηλαδὴ τῆς μετανοίας, μετὰ τοῦ ῥύπου τῆς ἁμαρτίας δαπανηθέντος.

Hæc Patrum humana vult sententia, si mors appropinquaverit illi, qui pœnitentiæ medicamentis adhuc purgatur, et supremus dies instare videatur, presbyteris concedi communionem illi dare, ut nullus ab eis ligatus discedat : si vero rursus convaluerit, temporis spatio nondum peracto, prioribus pœnis obnoxium esse ; a presbyteris vero remissionis promissum exspectare, temporis scilicet pœnitentiæ, cum peccati sordes dissipatur.

ΚΕΦΑΛ. Θ'. Ὅτι τῶν μετανοούντων τοὺς λογισμοὺς δέχεσθαι, καὶ λύειν καὶ δεσμεῖν τὰ ἡμαρτημένα, τοῖς ἐπισκόποις ἐδόθη, κατ' ἐπιτροπὴν δὲ τούτων καὶ τοῖς πρεσβυτέροις. D

181 CAP. IX. *Quod pœnitentium confessiones accipere, et solvere, et ligare peccatores episcopis conceditur : illorum vero consensu etiam presbyteris.*

Ὁ ς' τῆς ἐν Καρθαγένῃ συνόδου κανὼν τὴν τοῦ χρίσματος ποίησιν, τὴν τοῦ ἁγίου μύρου δηλαδὴ τελετὴν, καὶ τὴν τῶν κορῶν ἁφιέρωσιν, κατά τι παλαιὸν γινομένην ἔθος, καὶ τὴν τῶν μετανοούντων κεταλλαγὴν, ὅπερ ἐστὶν ἡ τῶν λογισμῶν ἐξαγγελία, καὶ ἡ τῶν ψυχικῶν ἰατρεία τραυμάτων, διὰ τῶν τῆς μετανοίας ἐπιτιμίων, καὶ τῆς πρὸ τὸ κρεῖττον ἐπιστροφῆς (οὕτω γὰρ ὁ ἄνθρωπος τῷ Θεῷ καταλλάττεται), ταῦτα πάντα παρὰ πρεσβυτέροις ἀπείρηκε γίνεσθαι· τοῖς γὰρ ἀρχιερεῦσιν ἡ τούτων ἀνεῖται διοίκησις, ἅτε δεσμεῖν καὶ λύειν ὀφειλουσιν.

Sextus Carthaginensis synodi canon chrismatis confectionem, nempe sancti unguenti administrationem, et puellarum consecrationem, juxta morem antiquum factam, et pœnitentiam reconciliationem, quæ est confessionum denuntiatio, et animæ vulnerum, per pœnitentiæ pœnas, et ad id quod melius est conversionem medela (ita enim Deo reconciliatur homo), omnia hæc a presbyteris fieri prohibuit. Horum etenim administratio antistitibus conceditur, quippe qui ligandi et solvendi potestatem habentes, apostolorum typum ferunt, quibus

talem potestatem concessit Christus. Quare qui sine episcopi concensu confessiones hominum excipiunt sacradi monachi, male faciunt et valde periculose; neque enim solvendi, neque ligandi facultatem habent; multo magis vero profani monachi; illis enim omnino permittere, ut confessiones hominum excipiant et judicent, nequaquam licitum est. Sed et septimus pœnitentium reconciliationem, si de vita periclitentur, sine episcopi permissu presbyteros facere oportere non existimat.

Eadem etiam 46 decernens: Si vero absit, inquit, episcopus, et is qui pœnitentiam agit in periculum adductus sit, illum reconciliet presbyter. Quære et 8 cap. litteræ K, et in 31 cap. lit. E can. 40 syn. Neocæsariensis.

A νοις, τύπον φέρουσι τῶν ἀποστόλων, οἷς τὴν ἐξουσίαν ταύτην ὁ Χριστὸς ἐνεχείρισεν· ὥστε οἱ χωρὶς ἐπιτροπῆς ἐπισκόπου δεχόμενοι λογισγοὺς ἀνθρώπων ἱερωμένοι μοναχοὶ κακῶς ποιοῦσι, καὶ λίαν ἐπικινδύνως· οὔτε γὰρ λύειν, οὔτε δεσμεῖν ἔχουσιν ἐξουσίαν, πολλῷ δὲ μᾶλλον οἱ ἀνίεροι μοναχοί· τούτοις γὰρ καὶ τὸ ἐπιτρέψαι ὅλως λογισμοὺς ἀνθρώπων ἀναδέχεσθαι καὶ κρίνειν ἥκιστα θεμιτόν. Ἀλλὰ καὶ ὁ ἕβδομος τὴν καταλλαγὴν τῶν μετανοούντων, εἰ περὶ τὴν ζωὴν κινδυνεύουσιν, οὐκ οἴεται δεῖν τοὺς πρεσβυτέρους ποιεῖν, ἐπισροπῆς ἄνευ τοῦ ἐπισκόπου.

B Ταῦτα καὶ ὁ μγ' διοριζόμενος, Εἰ δὲ ἄπεστι, φησὶν, ὁ ἐπίσκοπος, καὶ ὁ ἐν μετανοίᾳ ὢν ἐν χρόνῳ κινδύνου γεγένηται, καταλλαττέτω τοῦτον καὶ ὁ πρεσβύτερος. Ζήτει καὶ τὸ η' κεφ. τοῦ Κ στοιχείου, καὶ ἐν τῷ λα' κεφ. τοῦ Ε στοιχείου κανόνα μ' τῆς ἐν Νεοκαισαρείᾳ συνόδου.

Quod civilibus postea legibus humanioribus visum suppliciis uti.

Quin etiam vetustiores leges in humanius, et non quale prius habuerunt, judicium, in dicta legum repetita recensione commutantur; ipsa enim abrogat morem statim interficiendi eos qui in magnis criminibus deprehensi sunt. Imperator enim, qui istam repetitam correctionem fecit, nullum eorum, quæ sunt in digestis vel institutis crudele supplicium probavit; neque enim capite plectere decrevit, neque lapidibus obruere, vel comburere, vel laqueos intendere; prohibuit etiam in maris profunditate suffocationem. Licet autem quasdam capitales dare pœnas aliquando jubet, C non tamen, inquit, mortiferas, sed solum relegari, vel in carcerem includi, oculorum effossionem, manus abscissionem, et aliam corporis injuriam pati, quæ conversionis opportunitatem illi, qui puniendus est, temporis extensione præbeat, et illis qui lapsi sunt resipiscentiam. Omnibus enim novellarum legibus humanius videtur præcedentes leges interpretari, et sic sententias ferri. Si vero leges civiles humanitatem adeo exerceant, multo magis ecclesiasticæ. Docemur enim a Christianorum corpore exscindere hæreticos, ut et eos qui absurdis tenentur criminibus, punire vero non didicimus, sed incurabiles legi civili tradere, ut a magistratibus illatæ adversus eos sententiæ exsecutioni mandentur. D

Ὅτι καίτοιγε τοῖς πολιτικοῖς ὕστερον νόμοις φιλανθρωπότερον ἔδοξε ταῖς τιμωρίαις κεχρῆσθαι.

Ἀλλὰ καὶ οἱ πρεσβύτεροι τῶν νόμων ἐπὶ τὸ φιλανθρωπότερον, καὶ οὐχ ὡς εἶχον πρότερον κρίσεως, ἐν τῇ λεγομένῃ τῶν νόμων ἀνακαθάρσει μεταβέβληνται· ἀναιρεῖ γὰρ αὕτη τὸ εὐθὺς ἀναιρεῖσθαι τοὺς μεγάλοις ἁλῶκότας ἐγκλήμασιν. Ὁ γὰρ τὴν ἀνακάθαρσιν ταύτην συνθέμενος βασιλεὺς οὐδεμίαν οἷς ἐν τοῖς διγέστοις ἢ ταῖς διατάξεσιν ἀπάνθρωπον ποινὴν προσήκατο· οὔτε γὰρ κεφαλῆς ἀφαιρεῖν ἐθέσπισεν, οὔτε καταλεύειν, ἢ καίειν, ἢ βρόχον ἐξαπτειν· ἀπείρηκε δὲ καὶ τὴν ἐν τῷ τῆς θαλάττης βυθῷ πνιγμονήν. Εἰ δὲ καὶ ὑποσχεῖν τινας κεφαλικὰς ἔσθ' ὅτε κελεύει ποινὰς, ἀλλ' οὐ τὰς θανατηφόρους ἐκείνας φησὶ, τὸ δὲ ὑπερορίσαι, ἢ ἐν εἱρκτῇ περιορίσαι, τὴν τῶν ὀφθαλμῶν ἐκκοπὴν, τὴν ἀφαίρεσιν τῆς χειρὸς, καὶ τὴν ἄλλην περὶ τὸ σῶμα λώβην, ἣ δύναιτ' ἂν καὶ ἐπιστροφῆς καιρὸν παρασχεῖν τῷ τιμωρουμένῳ, τῇ τοῦ χρόνου παρατάσει, καὶ τῶν ἐπταισμένων μετάνοιαν. Πᾶσι γὰρ τοῖς νόμοις τῶν νεαρῶν ἐπὶ τὸ φιλανθρωπότερον δοκεῖ τοὺς προλαβόντας ἑρμηνεύεσθαι νόμους, καὶ οὕτω τὰς ἀποφάσεις γίνεσθαι. Εἰ δὲ οἱ πολιτικοὶ νόμοι οὕτω μεταποιοῦνται φιλανθρωπίας, πολλῷ μᾶλλον οἱ τῆς Ἐκκλησίας· ἐκκόπτειν γὰρ τοῦ σώματος τῶν Χριστιανῶν τοὺς αἱρετικοὺς δεδιδάγμεθα, πρὸς δὲ καὶ νοὺς ἀδόκητοις ἐνεχομένους ἐγκλήμασι, τιμωρεῖσθαι δὲ οὐ μεμαθήκαμεν, ἀλλ' ἀμεταθέτως ἔχοντας, τῷ πολιτικῷ νόμῳ παραδιδόναι, ὡς πρὸς τῶν ἀρχόντων τὰς κατ' αὐτῶν ἀπόφασεις ἐκφέρεσθαι.

182 CAP. X. *De iis qui impuris cibis vescuntur.*

Sanctus Gregorius Thaumaturgus in primo suo canone, Non gave, inquit, affert damnum, si prohibitos in barbaris cibos, vel etiam quæ idolis sacrificantur, degustarent captivi, propter necessitatem et vim corporalem natura cibum necessario exigente. Ipse enim inquit Servator, « Non quæ in ventrem intrant coinquinant hominem, sed quæ egrediuntur. » Igitur qui cibos impuros comederint minus puniuntur, si servitutis jugo labotantes et legitimi alimenti inopia vetitos cibos te-

ΚΕΦΑΛ. Ι'. Περὶ μιαροφαγησάντων.

Ὁ ἅγιος Γρηγόριος ὁ Θαυματουργὸς ἐν τῷ α κανόνι, Οὐ βαρεῖαν ἐμποιεῖ, φησὶ, τὴν βλάβην, εἰ τῶν ἐν τοῖς βαρβάροις ἀπηγορευμένων βρωμάτων, ἢ καὶ εἰδωλοθύτων ἐγεύσαντο οἱ αἰχμάλωτοι, δι' ἀνάγκην καὶ βίαν σωματικὴν, τῆς φύσεως τραφῆναι βιαζομένης. Αὐτὸς γὰρ εἴρηκεν ὁ Σωτὴρ, ὅτι « Οὐ τὰ εἰσπορευόμενα εἰς τὴν κοιλίαν κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὰ ἐκπορευόμενα. » Διά γε μὴν τὴν μιαροφαγίαν ἠττόνως ἐπιτιμηθήσονται, εἰ καὶ τῆς νενομισμένης τροφῆς ἀπορίᾳ τῶν ἀπειρημένων

ἥψαντο, δουλείας ζυγῷ πιεζόμενοι· εἰ δὲ τρυφὴν περὶ πλείονος ποιούμενοι καὶ ἀδδηφαγίαν, οὐδὲ τῶν μεμολυσμένων ἀπέσχοντο, διαβέβληνται, διὸ δὴ καὶ σφοδρότερον ἐπιτιμηθήσονται. Ζήτει καὶ ἐν τῷ α' κεφ. τοῦ Α στοιχείου κανόνα ζ' τῆς ἐν Ἀγκύρᾳ συνόδου. A

ΚΕΦΑΛ. ΙΑ'. Περὶ μίμων καὶ σκηνικῶν.

Ὁ ξγ' τῆς ἐν Καρθάγένῃ συνόδου κανὼν τοὺς μίμους καὶ σκηνικοὺς, ἐκ τῆς ἑλληνικῆς ὡρμημένους θρησκείας, καὶ βαπτισαμένους, μὴ ἀναγκάζεσθαι αὖθις παρεγγυᾷ ὑπὸ τοῦ δήμου τὰ τῆς παλαιᾶς μετιέναι κακίας, εἰ καὶ ὥσπερ τι λειτούργημα καὶ ἀπαραίτητον χρέος καὶ ἄκοντες εἴλκοντο ταῦτα ἐπιδείκνυσθαι, κατά τι παλαιὸν ἔθος, ἐν ταῖς μεγίσταις καὶ μάλιστα τῶν πόλεων, ἔνθα καὶ τὰ θέατρα ἦν. Τῶν δὴ μίμων καὶ σκηνικῶν, τῶν διάφορα πρόσωπα δηλαδὴ μιμουμένων καὶ ὑποκρινομένων (σκηνὴν γὰρ λέγουσι τὴν ὑπόκρισιν), τοὺς μὲν ὑπ' ὄψιν τοῦ βασιλέως ταῦτα ὑποκρινομένους, ἐντίμους ἔχουσι τῆς πολιτείας οἱ νόμοι· οἵ γε μὴν ἐν πανηγύρεσι καὶ δήμων ἄλλαις συνάξεσι γέλωτα τοῖς ὁρῶσι κινοῦντες, τοῖς ἐπὶ κόρρης ῥαπίσμασι καὶ ψοφήμασι, ἄτιμοι τοῖς νόμοις λογίζονται. B

Ζήτει ἐν τῷ η' κεφ. τοῦ Δ στοιχείου κανόνα ρκθ' τῆς ἐν Καρθαγένῃ συνόδου, καὶ ἐν τῷ α' κεφ. τοῦ Θ στοιχείου κανόνα να' τῆς ς' συνόδου.

ΚΕΦΑΛ. ΙΒ'. Περὶ μισθώσεως.

Νόμοι.

Ἐὰν χωρὶς αἰτίας καταλείπῃ τὸν ἀγρὸν ὁ μισθωσάμενος, πρὸ συμπληρώσεως τοῦ χρόνου, δίδωσιν ὅλου τοῦ χρόνου τὸν μισθόν. C

Ὁ μισθωσάμενος ἵππον ἐπὶ τὸ βαστάσαι τι δῆλον, καὶ βαρύτερον ἐπιθεὶς καὶ βλάψας, ἐνέχεται ὑπὲρ τῆς βλάβης.

Ἐὰν χρήσηταί τις ἵππῳ ἕως ὡρισμένου τόπου, ὑπὲρ δὲ τοῦτον ἀπενέγκῃ ἢ πέμψῃ, τὴν συμβᾶσαν ἐπ' αὐτῷ βλάβην ἢ θάνατον, τὸν χρησάμενον ὁρᾷν, καὶ τὸ ἀζήμιον ποιεῖσθαι τοῦ κυρίου τοῦ ἵππου.

Οὐ δύναται ἐκβαλεῖν ἄκοντα τὸν μισθωσάμενον ὁ μισθώσας, πρὸ τοῦ ὡρισμένου χρόνου, κἂν ἄλλος αὐτοῦ πλείονα εἰσαγάγῃ μισθώματα, καὶ ἂν εὐγνωμονῇ ἐκεῖνος περὶ ὃ ὡμολόγησε δοῦναι μίσθωμα.

ΚΕΦΑΛ. ΙΓ'. Περὶ μνηστείας.

Νόμος.

Ὁ τὴν ἰδίαν μνηστὴν πρὸ τῆς ἥβης, ἤτοι τοῦ ιγ' χρόνου, φθείρας, εἰ μὲν οἱ τῆς κόρης γονεῖς οὐ βούλονται τὴν τοιαύτην διαλῦσαι μνηστείαν, ἀναμενέτω τοῦ γάμου τὸν χρόνον. Εἰ δὲ διὰ τὴν φθορὰν διαλῦσαι βούλονται, ἀπαρεμποδίστως ἡ τοιαυτη λυέσθω μνηστεία, καὶ ὁ φθορεὺς τῆς ἰδίας αὐτοῦ ὑποστάσεως τὸ τρίτον μέρος τῷ μέρει διδύτω τῆς κόρης. Ζήτει καὶ τὸ ιε' κεφ. τοῦ Γ στοιχείου. D

ΚΕΦΑΛ. ΙΔ'. Περὶ μοιχείας.

Ὁ Νύσσης μέγας Γρηγόριος ἐν τῷ δι' κανόνι, Ἤρεσε, φησὶ, τισὶ τῶν ἀκριβεστέρων, καὶ τὸ κατὰ τὴν πορνείαν πλημμέλημα μοιχείαν εἶναι νομίζειν, διότι μία ἐστὶν ἡ νόμιμος συζυγία καὶ γυναικὶ

tigerunt : sint vero luxui maxime deditit sin et voracitati, neque ab impuris abstinuerunt, pœnis obnoxii sunt : qua propter et graviori supplicio punientur. Quære etiam in 1 capite litteræ A canonem 7 Ancyranæ synodi.

CAP. XI. *De mimis et scenicis.*

Carthaginensis syn. 63 canon mimos et scenicos ex Græcorum superstitione conversos et baptizatos a populo antiquam malitiam rursus exhibere cogi interdicit ; licet tanquam officium aliquod et inexcusabile debitum etiam inviti ad ea munia juxta antiquam aliquam consuetudinem trahebantur, in magnis præsertim civitatibus, ubi theatra fuerunt. Mimorum porro et scenicorum, qui diversas scilicet personas imitantur et simulant (scenam enim simulationem vocant) eos quidem, qui in imperatoris conspectu hæc simulant, honorabiles judicant leges civiles ; qui vero in congregationibus et aliis populorum conventibus mutuis verberibus risum spectatoribus movent, a legibus infames judicantur.

Quære in 8 capite littera Δ can. 129 Carthagin. syn., et in primo capite litteræ Θ can. 51 sext. synodi.

CAP. XII. *De elocatione.*

Leges.

Si conductor ante tempus conductionis expletum sine causa fundum deseruerit, totius temporis reditum persolvit.

Si quis equum conduxerit ad certum onus portandum, eumque graviori onere imposito læserit, ex damno tenetur.

Si quis ad locum usque designatum commodato acceperit equum, ultra autem illum vel egerit vel miserit, de damno vel morte, quæ illi contingere possint, viderit ipse, qui mutuo accepit ; et, ut equi dominus indemnis sit, curare tenetur.

Locator ante constitutum tempus conductorem invitum ejicere non potest, licet alius majores illo dederit pensiones ; si libenter etiam pensionem, de qua pacti sunt, dederit.

183 CAP. XIII. *De sponsalibus.*

Lex.

Qui suam sponsam ante ætatem, scilicet 13 annorum, vitiat, si quidem virginis parentes hæc sponsalia dissolvere nolunt, matrimonii tempus exspectet. Sin vero propter corruptionem volunt dissolvere, sine impedimento ejusmodi sponsalis dissolvantur, et corruptor suiipsius substantiæ tertiam partem virginis parti det. Quære et 15 caput iltteræ Γ.

CAP. XIV. *De adulterio.*

Magnus Gregorius Nyssenus in tertio ejus canone, Placuit, inquit, subtiliorum nonnulis etiam fornicationis peccatum adulterium esse existimare, quoniam una est legitima conjunctio, et mulieris cum

viro, et viri cum muliere. Quidquid ergo non est legitimum, est omnino legi contrarium ; et qui non habet proprium, habet omnino alienum. Homini enim una a Deo data est auxiliatrix, et mulieri unum appositum est caput. Ergo si quis quidem proprium vas suum (ut divinus Apostolus nominat) sibi ipsi possederit, ei lex naturæ justum usum concedit. Si quis autem extra proprium conversus fuerit, erit omnino in alieno; id autem unicuique alienum est, quod non est proprium, etiamsi nullum dominum in confesso habeat. Non longe ergo a peccato aduletrii fornicationem distare ab iis qui rem paulo diligentius examinant, ostensum est, cum dicat etiam sacra Scriptura. Ne multus sis cum aliena. Sed quia a Patribus indulgentia quædam concessa fuit imbecillioribus, vel administratio et demissio, distinctum est peccatum hac generali divisione, quod fornicatio quidem dicitur libidinis expletio, quæ fit sine ulla alicujus viri injuria ; adulterium vero, insidiæ et injuria, quæ alteri viro inferuntur. Universale etiam est ejus remedium, ut a concitata in ejusmodi voluptates rabie per pœnitentiam homo purus efficiatur. Quoniam autem ab iis qui fornicatione polluti sunt, injuria aliqua cum hoc peccato non est commissa, propterea duplum conversionis tempus iis præscriptum est, qui adulterio inquinati sunt, quoniam duplum est eorum peccatum ; unum quidem in illicita voluptate, alterum autem, quod in injuria, quæ alteri fit, consistit. Quia igitur qui fornicatione polluti sunt, post novem annos communione digni judicantur, adulterii peccatum tempore duplicatur, ad octodecim annos protractum ; secundum inquinati autem dispositionem, vel citius vel tardius sacri mysterii participatio conceditur. Quære etiam primum ejus canonem in primo capite litteræ A.

Magnus Basilius in 58 can. adulterum per quindecim annos a communione ejicit.

Vicesimus Ancyranæ syn. can., adulteri et adulteræ pœnam ad septem annos contrahens, post horum expletionem quod perfectum est illos asse qui dignum censet.

Sexagesimus primus vero sanctorum apostolorum, eum qui fornicationis, vel adulterii, vel alicujus alius prohibitæ actionis manifesto convictus fuerit, non solum in sacerdotium, sed neque in clerum omnino promoveri concedit.

Octavus Neocæsariensis syn. canon, adulteratæ uxoris maritum, in cujuscunque gradus ministerium 184 constituere, non esse legitimum edicit : sacro vero ordine initiatum, si uxor ejus adulterata sit, vel illius consuetudine sejungi jubet, vel separari non volentem sacerdotio amoveri. Nam pollutæ conjunctione contaminatus non est dignus, impurus cum sit, pura et sancta mysteria contrectare. Etsi enim viro licet sine discrimine adulteratam accipere, et peccatum condonare : sacratis autem hoc non conceditur, juxta 18

πρὸς ἄνδρα, καὶ ἀνδρὶ πρὸς γυναῖκα. Πᾶν οὖν τὸ μὴ νόμιμον, παράνομον πάντως, καὶ ὁ μὴ τὸ ἴδιον ἔχων δηλαδὴ τὸ ἀλλότριον ἔχει· τῷ γὰρ ἀνθρώπῳ μία δέδοται παρὰ τοῦ Θεοῦ βοηθὸς, καὶ τῇ γυναικὶ μία ἐφήρμοσται κεφαλή. Οὐκοῦν, εἰ μέν τις τὸ ἴδιον αὐτοῦ σκεῦος, καθὼς ὀνομάζει ὁ θεῖος Ἀπόστολος ἑαυτῷ κτήσαιτο, συγχωρεῖ ὁ νόμος τῆς φύσεως τὴν δικαίαν χρῆσιν. Εἰ δέ τις ἔξω τοῦ ἰδίου τραπείη, ἐν ἀλλοτρίῳ πάντως γενήσται· ἀλλότριον δὲ ἑκάστῳ πᾶν τὸ μὴ ἴδιον, κἂν μὴ ὁμολογούμενον ἔχῃ τὸν κυριεύοντα. Οὐκοῦν οὐ πόρρω τοῦ κατὰ τὴν μοιχείαν πλημμελήματος καὶ ἡ πορνεία ςοῖς τὸν ἀκριβέστερον ἐξετάζουσι λογισμὸν εὑρεθείη, λεγούσης καὶ τῆς θείας Γραφῆς, Μὴ πολὺς ἴσθι πρὸς ἀλλοτρίαν. Πλὴν ἀλλ' ἐπειδὴ τοῖς ἀσθενεστέροις ἐγένετό τις παρὰ τῶν Πατέρων συμπεριφορὰ, εἴτουν οἰκονομία καὶ συγκατάβασις, διεκρίθη τὸ πλημμέλημα τῇ γενικῇ διαιρέσει ταύτῃ, ὡς πορνείαν μὲν λέγεσθαι τὴν χωρὶς ἀδικίας ἑτέρου γινομένην τινὶ τῆς ἐπιθυμίας ἐκπλήρωσιν, μοιχείαν δὲ, τὴν ἐπιβουλήν τε καὶ ἀδικίαν τοῦ ἀλλοτρίου. Καὶ καθολικὴ μέν ἐστι ταύτης θεραπεία, τὸ τῆς ἐμπαθοῦς λύσσης, τῆς περὶ τὰς τοιαύτας ἡδονὰς, καθαρὸν ἐκ μεταμελείας γενέσθαι τὸν ἄνθρωπον. Ἐπεὶ δὲ τῶν ἐν πορνείᾳ μολυνθέντων ἀδικία τις τῇ ἁμαρτίᾳ ταύτῃ οὐ καταμέμικται, διὰ τοῦτο διπλασίων ὡρίσθη τῆς ἐπιστροφῆς ὁ χρόνος τοῖς ἐν μοιχείᾳ μιανθεῖσιν, ἐπεὶ καὶ διπλῆ τούτοις ἡ ἁμαρτία, μία μὲν, κατὰ τὴν ἄθεσμον ἡδονὴν, ἑτέρα δὲ, ἡ κατὰ τὴν τοῦ ἀλλοτρίου ἀδικίαν συνισταμένη. Ἐπεὶ τοίνυν οἱ ἐν πορνείᾳ μολυνθέντες δι' ἐτῶν ἐννέα τῆς κοινωνίας ἀξιοῦνται, ἡ κατὰ τὴν μοιχείαν ἁμαρτία τῷ χρόνῳ διπλασιάζεται, εἰς δεκαοκτὼ χρόνους ἐκτεινομένη· πρὸς δὲ τὴν τοῦ μολυνθέντος διάθεσιν, ἢ θᾶττον, ἢ βραδύτερον, ἡ τοῦ ἁγαθοῦ μετουσία συγχωρεῖται. Ζήτει καὶ τὸν α' τούτου κανόνα ἐν τῷ α' κεφαλαίῳ τοῦ Α στοιχείου.

Ὁ δὲ μέγας Βασίλειος, ἐν τῷ νη' κανόνι τὸν μοιχὸν εἰς δεκαπέντε ἔτη τῆς κοινωνίας ἐκβάλλει.

Ὁ δὲ τῆς ἐν Ἀγκύρᾳ κ' κανὼν τοῦ μοιχοῦ καὶ τῆς μοιχαλίδος τὸ ἐπιτίμιον μέχρις ζ' συστείλας ἐτους, μετὰ τὴν τούτων ἐκμέτρησιν καὶ τοῦ τελείου τυχεῖν αὐτοὺς ἀξιοῖ.

Ὅ γε μὴν ξα' τῶν ἁγίων ἀποστόλων τὸν ἐπὶ μοιχείᾳ, ἢ πορνείᾳ, ἢ οἱᾳδήποτε ἀπειρημένῃ πράξει, φανερῶς ἐλεγχθέντα, μὴ ὅτι γε εἰς ἱερωσύνην, ἀλλ' οὐδὲ εἰς κλῆρον ἔρχεσθαι τὸ σύνολον συγχωρεῖ.

Ὁ δὲ η' τῆς ἐν Νεοκαισαρείᾳ συνόδου κανὼν τὸν τῆς μοιχευθείσης γυναικὸς ἄνδρα, οὐ θεμιτὸν εἶναι θεσπίζει εἰς ὑπηρεσίαν οἱουδήτινος ἰέναι βαθμοῦ· τὸν δὲ ἱερωμένον, τῆς γυναικὸς αὐτοῦ μοιχευθείσης, ἢ διαζυγῆναι ταύτης κελεύει, ἢ μὴ βουλόμενον ἀποστῆναι, τῆς ἱερωσύνης ἀφίστασθαι. Μολυνόμενος γὰρ τῇ τῆς μεμιασμένης ὁμιλίᾳ, οὐκ ἂν εἴη δίκαιος, ἀκάθαρτος ὤν, τῶν, καθαρῶν καὶ ἁγίων μυστηρίων ἐφάπτεσθαι. Εἰ γὰρ καὶ ἔξεστι τῷ ἀνδρὶ ἀκινδύνως λαμβάνειν τὴν μοιχευθεῖσαν, καὶ συγχωρεῖν τὸ ἁμάρτημα, ἀλλὰ τοῖς ἱερωμένοι τοῦτο

οὐ δέδοται, κατὰ τὸν κελεύοντα ιη' ἀποστολικὸν κανόνα, μὴ ἱερᾶσθαι τὸν διαβεβλημένῃ γυναικὶ συνοικοῦντα, ὃν καὶ ζήτει ἐν τῷ δ' κεφαλ. τοῦ Γ στοιχείου.

Ὁ δὲ μέγας Βασίλειος ἐν τῷ λδ' κανόνι, Τὰς μοιχευθείσας, φησὶ, καὶ δι' εὐλάβειαν καὶ τὸν τῆς μελλούσης κρίσεως φόβον τὴν ἁμαρτίαν ἐξομολογουμένας, ἢ καὶ ὀπωσοῦν ἐλεγχομένας ὑπό τε τοῦ ὄγκου τυχὸν τῆς γαστρὸς, ἢ καὶ ἀπὸ τοῦ τὸ βρέφος ἀποτεκεῖν, ἀποδήμου τοῦ ἰδίου ὄντος ἀνδρὸς, οὐκ ἔφασαν δεῖν οἱ Ἡατέρες ταύτας δημοσιεύειν, ἐκ τοῦ τοὺς τόπους τῶν ἐπιτιμίων ἀναγκάζειν αὐτὰς διϊέναι, τὸν τοῦ προσκλαίοντός φημι, τοῦ ἀκροωμένου, καὶ τοῦ ὑποπίπτοντος, ἵνα μὴ θανάτου αἰτίαν παράσχωμεν ἐλεγχθείσαις. Ὁ γὰρ τῆς τοιαύτης ἀνὴρ ἐξιοῦσαν τῆς ἐκκλησίας ὁρῶν μετὰ τῶν ἐν ἐπιτιμίοις ὄντων, καὶ περιφανεστέρας οὐ δεηθεὶς μαρτυρίας τοῦ τὸν γάμον αὐτῷ διορυγῆναι, αὐτίκα διαχρήσεται ταύτην· Μεστὸς γὰρ ζήλου, κατὰ τὸν Σολομῶντα, θυμὸς ἀνδρὸς αὐτῆς· ταύτῃ τοι καὶ συνίστασθαι τοῖς πιστοῖς ἐπέταξαν, καὶ συνεύχεσθαι χωρὶς κοινωνίας, ἄχρις ἂν ὁ τῆς μετανοίας χρόνος ἐκμετρηθῇ.

A apostolicum can. qui jubet, cum ejecta muliere matrimonio conjunctum non fieri sacerdotem; quem etiam quæras in 4 cap. lit. Γ.

Magnus Basilius in 34 can., Adulterio pollutas, inquit, et ob pietatem et futuri judicii metum peccatum confitentes, vel quomodocunque convictas, veluti ab uteri tumore, vel etiam ab edito partu, dum mariti earum longe peregrinantur, publicare non siverunt Patres nostri, pœnarum locos illas ingredi cogendo, flentis videlicet, audientis, et substrati, ne convictis mortis causam præbeamus. Illius enim maritus, ipsam extra ecclesiæ ambitum exeuntum videns, cum iis qui pœnis subjiciuntur, et manifestioribus testimoniis non egens, quod matrimonii leges violavit, statim illam interficiet: B plenus enim zelo, juxta Salomonem, animus viri ipsius. Ideoque consistere quidem cum fidelibus ordinarunt, et una precari absque communione, donec expletum fuerit pœnitentiæ tempus.

Ἐν δὲ τῷ λζ', Ὁ ἀλλοτρίᾳ γαμετῇ, ἢ μεμνηστευμένῃ ἑτέρῳ συμφθειρόμενος, καὶ, μετὰ τὸ ἀφαιρεθῆναι ταύτην, γαμετῇ συνοικήσας, ἐπὶ μὲν τῇ πρώτῃ μοιχείαν ἐγκληθήσεται· ἐπὶ δὲ τῇ δευτέρᾳ ἀνέγκλητος ἔστα, ἐλευθέρᾳ οὔσῃ ἀνδρός.

In 37 vero: Qui alienam uxorem vel alicui desponsatam corrumpit, et postquam ea ablata fuerit, uxorem ducit, in prima quidem adulterii accusabitur; in secunda autem reus non agetur, uxore a viro libera.

Ἐν δὲ τῷ λθ'. Ἡ τῷ μοιχῷ συζῶσα μοιχαλίς ἐστι, φησὶ, τουτέστιν ἡ μοιχευθεῖσά τινι, καὶ μετὰ θάνατον τοῦ νομίμου ἀνδρὸς τῷ μοιχῷ, νόμῳ δῆθεν γάμου μιγεῖσα· οὐ γὰρ συγχωρεῖται τούτῳ συνοικεῖν ἡ τοιαύτη, οὔτε παρὰ τῶν τῆς Ἐκκλησίας, οὔτε παρὰ τῶν πολιτικῶν νόμων· καὶ εἰ μὴ ἀποσταίη, οὐ λύεται ταύτης ἡ ἁμαρτία, καὶ εἰ τὸν χρόνον ἐκτελέσειε τῶν ἐπιτιμίων. Ζήτει καὶ τὸ ε' κεφ. τοῦ Γ στοιχείου, ἀλλὰ δὴ καὶ τὸ ις'.

In 39 etiam, Quæ vivit, inquit, cum adultero, adultera est; id est, quæ cum aliquo adulterata est, et post legitimi sui mariti mortem adultero, C matrimonii scilicet lege, conjuncta est. Non enim illa una cum eo vivere permittitur, neque ab ecclesiasticis neque a civilibus legibus, et nisi desistat, ejus peccatum non solvitur, licet pœnarum tempus perfecerit. Quære et 5 cap. lit. Γ, quin et 16.

Νόμοι.

Ὁ ἐπὶ μοιχείᾳ γυναικὸς κατηγορηθεὶς οὐ δύναται ταύτην γαμετὴν ἀγαγέσθαι.

Πάντας ὅσοι τὰς γυναῖκας αὐτῶν μοιχευομένας εὑρίσκοντες μὴ ἀπολύουσι, τιμωρεῖσθαι κελεύομεν. Πορνοβοσκός ἐστιν ὁ τὴν ἑαυτοῦ γαμετὴν μοιχευθεῖσαν μὴ ἀπολύσας, οὐ μὴν ὁ φιλῶς ὑποπτεύσας.

Leges.

Qui adulterii cum muliere commissi accusatur, illam uxorem ducere non potest.

Quicunque uxores suas adulterare deprehendunt, et non dimittunt, puniri eos jubemus. Leno enim est, qui propriam suam uxorem adulteratam non dimittit; non vero qui tantum suspectam habet.

Ἀλλὰ τανῦν, καὶ μετὰ τὴν καταδίκην, δύναται ὁ ἀνὴρ ἀναλαβεῖν ἐκ τοῦ μοναστηρίου τὴν μοιχευθεῖσαν αὐτοῦ γυναῖκα, κατὰ τὴν ριζ' Ἰουστινιάνειον νεαρὰν, Κελεύομεν, λέγουσαν, τὴν μοιχευθεῖσαν D γυναῖκα, ταῖς προσηκούσαις ὑποβαλλομένην τοιναῦς, μοναστηρίῳ ἐμβάλλεσθαι· καὶ εἰ μὲν εἴσω διετίας ὁ ἀνὴρ αὐτὴν ἀναλαβεῖν βουληθείη, ἐξουσίαν αὐτῷ δίδομεν τοῦτο ποιεῖν, καὶ συνοικεῖν αὐτῇ, μηδένα κίνδυνον ἐντεῦθεν εὐλαβουμένῳ· οὐ γὰρ καταβλάπτεται ὁ γάμος διὰ τὰ ἐν τῷ μεταξὺ γεγονότα. Εἰ δὲ ὁ προειρημένος· χρόνος παρέλθοι, ἢ ὁ ἀνὴρ, πρὶν ἀναλαβεῖν αὐτὴν, τελευτήσειε, κελεύομεν ἀποκείρεσθαι τὴν γυναῖκα, καὶ τὸ μοναχικὸν σχῆμα λαμβάνειν.

Now, et post condemnationem, vir uxorem suam adulteram ex monasterio accipere potest, juxta 117 Justiniani novellam, quæ dicit: Jubemus mulierem adulteram congruis pœnis subditam in monasterium conjici: et si intra biennium maritus velit eam reducere, damus ei potestatem hoc faciendi, et una cum ea habitandi, nullo exinde imminente illi periculo. Nullum enim præjudicium accipit matrimonium ex his quæ medio tempore fata sunt. Sin autem prædictum tempus præterierit, aut maritus, priusquam illam receperit, obierit, jubemus ut tondeatur mulier, et habitum monasticum induat.

Εἰ περὶ μοιχείας ὁ ἀνὴρ κατηγορήσας τῆς γυναικὸς ἀπελέγξειε, νηνικαῦτα, χωρισμοῦ γενομένου, ἔχειν τὸν ἄνδρα κελεύομεν, πρὸς τῇ πρὸ γάμου δωρεᾷ, καὶ

185 Si adulterii vir uxorem suam damnans convicerit, tum separatione facta jubemus virum præter donationem ante nuptias factam etiam

dotem habere : et ad hoc, si filios non habeat, tantum accipere ex alia uxoris substantia, quantum dotis tertia pars esse cognoscitur, ut ejus proprietati et dos et a nobis definita pœna applicetur. Si enim filios habuerit ex ejus matrimonio, et dotem aliamque mulieris substantiam filiis conservari, et ita adulterum legitime convictum una cum uxore puniri. Et si quidem uxorem habeat adulter, eam et dotem et ante nuptias donationem accipere : aliam vero mariti substantiam, si sint quidem ascendentes vel descendentes usque ad tertium gradum, illos eam accipere ; sin autem non sint, eam fisco adjudicari.

Adulteris verberatis et tonsis nares abscindantur. Internuntii vero et impii hujusque facinoris administri verberati et tonsi in perpetuum mittantur exsilium.

Quin etiam et 32 novella imperatoris Leonis congruas pœnas adulteris viris et adulteris feminis statuit.

Tricesima octava vero novella adulterum et adulteram narium abscissione punit, et decernit, quod maritus adulteræ dotem lucretur ; illam autem in monasterio includi, nec tamen invitam tonderi ; quæ vero ultra dotem sunt facultates ejus filios et monasterium dividere ; sin autem non habet liberos, ejus parentes vel alios ex ejus cognatione.

Actio alduterii intenditur, non solum ob legitimæ uxoris struprum, sed etiam super matrimonium, quod consistere non potest, et illegitimum, et sponsalia, et concubinatum.

Qui adulterum cum propria uxore in ipso actu deprehendit, si contingat eum occidere, non ut homicida punitur ; in sua enim propria domo in ipso actu maritus adulterum interficere potest, et illum scenicum vel infamem. Maritis autem non conceditur adulteras suas uxores interficere.

Diversæ deinde leges jubent, mulierem non aliter condemnari ut adulteram, quam per apertas probationes, id est, per quinque testes jurantes se vidisse in ipso actu fieri adulterium. Hac ratione nec omnes possunt adulterii actionem intendere, sed quinque solum personæ, maritus, pater ejus, frater, patruus, avunculus ; ita enim magis credibilis fit quæstionis prætextus. Si vero sint peregrini qui accusant, si quidem demonstrationem adferant, narium abscissione puniuntur adulteri ; sin autem propter inimicitias accusationem detulisse convincantur, ipsi eamdem pœnam subeunt. Mulier autem, quæ se adulteram ipsa fatetur, non condemnatur ; quod etiam novum est.

Qui duas uxores habet, verberetur : expulsa ab ipso uxore superinducta, et liberis ex ea natis.

Qui duas habere uxores præsumpsit, non lege; sed facto consilii, adulterii supplicio subjicitur.

A τὴν προῖκα· καὶ πρὸς τούτοις, εἰ παῖδας μὴ ἔχοι, τοσοῦτον λαμβάνειν ἐκ τῆς ἄλλης τῆς γυναικὸς περιουσίας, ὅσον τῆς προικὸς τὸ τρίτον μέρος εἶναι γινώσκεται· ὥστε τῇ αὐτοῦ δεσποτείᾳ καὶ τὴν προῖκα καὶ τὴν παρ' ἡμῶν ὁρισθεῖσαν ποινὴν προσκυροῦσθαι. Εἰ γὰρ παῖδας ἔχοι ἐκ τοῦ αὐτῆς συνοικεσίου, καὶ τὴν προῖκα καὶ τὴν ἄλλην τῆς γυναικὸς περιουσίαν τοῖς παισὶ φυλάττεσθαι, καὶ οὕτω τὸν μοιχὸν νομίμως ἐλεγχόμενον, ἅμα τῇ γυναικὶ τιμωρεῖσθαι. Καὶ εἰ μὲν ἔχει ὁ μοιχὸς γαμετὴν, τὴν προῖκα καὶ τὴν πρὸ γάμου δωρεὰν αὐτῇ περισώζεσθαι, τὴν δὲ ἄλλην τοῦ ἀνδρὸς αὐτῆς περιουσίαν, εἰ μέν εἰσιν ἀνιόντες ἢ κατιόντες, ἕως τρίτου βαθμοῦ ταύτην λαμβάνειν αὐτούς· εἰ δὲ μὴ, προσκυροῦσθαι ταύτην τῷ δημοσίῳ.

B Οἱ μοιχοὶ, τυπτόμενοι καὶ κουρευόμενοι, ῥινοκοπείσθωσαν· οἱ δὲ μέσοι καὶ ὑπουργοὶ τοῦ τοιούτου ἀσεβήματος γεγονότες, τυπτόμενοι καὶ κουρευόμενοι, διηνεκεῖ παραπεμφθήτωσαν ἐξορίᾳ.

Ἀλλὰ καὶ ἡ λβ' νεαρὰ τοῦ βασιλέως Λέοντος τὰς πρυσηκούσας ποινὰς διορίζεται τοῖς μοιχοῖς καὶ ταῖς μοιχαλίσιν.

Ἡ δὲ λη' ῥινῶν ἐκτομῇ τὸν μοιχὸν καὶ τὴν μοιχαλίδα κολάζει, καὶ διορίζεται, τὸν μὲα ἄνδρα τῆς μοιχευθείσης κερδαίνειν τὴν προῖκα, αὐτὴν δὲ ἐν μοναστηρίῳ περιορίζεσθαι, καὶ ἄκουσαν μὴ ἀποκείρεσθαι· τὰ δὲ τῆς προικὸς ἐπέκεινα πράγματα τοὺς παῖδας αὐτῆς καὶ τὸ μοναστήριον διανέμεσθαι· ἢ, παίδων μὴ ὄντων, τοὺς γονέας αὐτῆς ἢ κατὰ γένος ἄλλως προσήκοντας.

C Ἡ μοιχεία οὐ μόνον ἐπὶ φθορᾷ νομίμου γαμετῆς κινεῖται, ἀλλὰ καὶ ἐπὶ ἀσυστάτου, καὶ ἀθεμίτου γάμου, καὶ μνηστείας, καὶ παλλακισμοῦ.

Ὁ τὸν μοιχὸν μετὰ τῆς ἰδίας γυναικὸς ἐν συμπλοκῇ καταλαβὼν, ἐὰν συμβῇ αὐτὸν ἀνελεῖν, οὐκ εὐθύνεται ὡς ἀνδροφόνος· ἐν μόνῳ γὰρ τῷ ἰδίῳ οἴκῳ ἐπ' αὐτοφώρῳ δύναται φονεύειν τὸν μοιχὸν ὁ ἀνὴρ, καὶ τοῦτον σκηνικὸν ἢ ἄτιμον ὄντα. Οὐ δέδοται δὲ τοῖς ἀνδράσι φονεύειν τὰς μοιχευθείσας αὐτῶν γυναῖκας.

D Διάφοροι δὲ νόμοι θεσπίζουσι, μὴ ἄλλως τὴν γυναῖκα μοιχευθεῖσαν κατακρίνεσθαι, εἰ μὴ διὰ φανερῶν ἀποδείξεων, τουτέστι, διὰ πέντε μαρτύρων ὁμνυόντων ἰδεῖν ἐπ' αὐτοφώρῳ τὴν μοιχείαν τελουμένην. Κατὰ τοῦτο γὰρ οὐδὲ πάντες δύνανται κινεῖν τὸ τῆς μοιχείας ἔγκλημα, ἀλλὰ πρόσωπα πέντε· ἀνὴρ, πατὴρ αὐτῆς, ἀδελφὸς, θεῖος πρὸς πατρὸς, θεῖος πρὸς μητρός, οὕτω γὰρ εὐπιστοτέρα ἡ πρόφασις τῆς ζητήσεω γίνεται. Εἰ δὲ ξένοι εἶεν οἱ κατηγοροῦντες, εἰ μὲν ἀποδείξουσιν, ἐκτομῇ τῶν ῥινῶν οἱ μοιχοὶ τιμωροῦνται· ἂν δὲ ἀπελεγχθῶσι, δι' ἔχθραν τὴν κατηγορίαν πεποιηκότες, οὗτοι τὴν τοιαύτην ποινὴν ὑπομένουσιν· ἀλλ' οὐδὲ αὐτὴ ἡ γυνὴ ὁμολογοῦσα μοιχευθῆναι καταδικάζεται, ὅπερ καὶ ἔστι καινόν.

Ὁ δύο γαμετὰς ἔχων τυπτέσθω· ἐκδιωκομένης παρ' αὐτοῦ τῆς ἐπεισάκτου γυναικὸς, μετὰ τῶν τεχθέντων ἐξ αὐτῆς παίδων.

Ὁ δύο γαμετὰς ἔχειν πειραθεὶς οὐ νόμῳ, ἀλλὰ φάκτῳ προαιρέσεως, ὑπόκειται τῷ τῆς μοιχείας ἐγ-

κλήματι. Ὁ μὲν γὰρ μετὰ ἐλευθέρας συμπλακείς, ζώσης τῆς αὐτοῦ γυναικὸς, ὡς πόρνος κατακρίνεται· ὁ δὲ κατὰ γάμου κοινωνίαν δευτέραν ἀγόμενος, ὡς μοιχὸς τιμωρεῖται.

Εἰδέναι δὲ δεῖ, ὅτι εἰσὶ πρόσωπα ἁμαρτάνοντα, καὶ οὐκ εὐθύνονται· ὁ μοιχεύων τὴν γυναῖκα τοῦ ἀποδούλου αὐτοῦ, καὶ ὁ μοιχεύων πολύφθορον καὶ πολύκοιτον ὕπανδρον, τῷ τῆς μοιχείας ἐγκλήματι οὐχ ὑπόκειται, εἰ μὴ τῷ τῆς πορνείας· καὶ ὁ μὲν νὴρ τιμωρεῖται ὡς μοιχὸς, ἡ δὲ γυνὴ οὐκ εὐθύνεται, ὅτε ἄκουσαν καὶ βεβιασμένην αὐτὴν χειρὶ κρατήσῃ, εἰ καὶ αὐτὴ ἐρυθριῶσα, τὸ γεγονὸς εὐθὺς οὐκ ἀνήγγειλε τῷ ἀνδρὶ αὐτῆς.

ΚΕΦΑΛ. ΙΕ'. Περὶ μοναστηρίων καὶ μοναχῶν.

Ὁ τῆς λεγομένης πρώτης καὶ δευτέρας συνόδου κανὼν πρῶτος μὴ ἐξεῖναι κελεύει μοναστήριον οἰκοδομεῖν ἄνευ γνώμης τοῦ ἐπίσκοπου, τὴν εἰωθυῖαν πρότερον ἐπιτελοῦντος εὐχὴν, ἐν βρεβίῳ δὲ αὐτό τε τὸ μοναστήριον ἐγγράφεσθαι, καὶ ὅσα πρὸς τοῦ δειμαμένου αὐτῷ ἀφιέρωται, καὶ τὸ βρέβιον τῷ ἐπισκόπῳ προσαποτίθεσθαι, ὡς μηκέτι δύνασθαι τὸν ἀφιερώσαντα ἔστιν ἃ τούτων αὖθις ἐξιδιοῦσθαι. Ὧν γὰρ ἀπεξένωσεν ἑαυτὸν διὰ τῆς μονῆς ἀναθεὶς τῷ Θεῷ, πῶς οἷός τε, οἷα δεσπότης, ταῦτα διέπειν, οὐχ ὅπως καὶ ἄλλοις διαπιπράσκειν; οὐ μὴν οὐδὲ ἡγούμενον ἑαυτὸν ταύτης ἐᾷ καθιστάναι παρὰ γνώμην τοῦ ἐπισκόπου, οὐδ' ἕτερον ἀνθ' ἑαυτοῦ προχειρίζεσθαι. Εἰ γὰρ τὰ ἀνθρώποις δεδωρημένα οὐκ ἔνι χωρὶς εὐπροσώπου αἰτίας τὸν δωρησάμενον ἀναλαβεῖν, σχολῇ γε τῶν ἀνατεθειμένων Θεῷ τὴν κυριότητα ὁ ἀναθεὶς ἰδιοποιήσεται, ὡς προσηγορίᾳ μόνῃ καὶ μὴ πράγματι τὴν ἀφοσίωσιν εἶναι.

Ὁ δὲ κδ' τῆς δ' συνόδου κανὼν, ἔτι δὲ καὶ τῆς ς' ὁ μθ', τὰ ἅπαξ καθιερωθέντα μοναστήρια, κατὰ τὴν γνώμην τοῦ ἐπισκόπου, ὃν ἔθος εὐχὴν προκαταβάλλεσθαι τῆς οἰκοδομίας, ὥσπερ τινὰ θεμέλιον ἀῤῥαγῆ, ἐπιτάττουσι μένειν εἰς τὸ διηνεκὲς μοναστήρια, καὶ τὰ προσήκοντα τούτοις πράγματα φυλάττεσθαι ἀνεκποίητα, καὶ μηκέτι γίνεσθαι ταῦτα κοσμικὰ καταγώγια· τοὺς δὲ τοῦτο μὴ τηροῦντας κανονικῶς εὐθύνεσθαι, ἱερωμένους μὲν δηλαδὴ καθαιρέσει, λαϊκοὺς δὲ ὑποβαλλομένους ἀφορισμῷ. Ζήτει καὶ ἐν τῷ ιβ' κεφ, τοῦ Ε στοιχείου κανόνα ιζ' τῆς ζ' συνόδου.

Ὁ δὲ ταύτης κ' οὐκ οἴεται δεῖν ἀπό γε τοῦ νῦν διπλᾶ γίνεσθαι μοναστήρια, καὶ τοῖς μοναχοῖς ἔγγιστα τὰς μοναζούσας οἰκεῖν· σκανδάλου γὰρ καὶ προσκόμματος τοῖς πολλοῖς αἴτιον τοῦτό γε. Ἀλλ' ὅσοις ἥρεσε μετὰ τῶν ἰδίων ἀποτάξασθαι συγγενῶν, οἱ μὲν ἄνδρας εἰς ἀνδρῶν, αἱ δὲ γυναῖκες εἰς γυναικῶν εἰσίτωσαν, φησὶ, μοναστήρια. Τὰ δὲ ἄχρι καὶ τήμερον διαρκέσαντα διπλᾶ μοναστήρια, αἰδοῖ τοῦ ταῦθ' οὕτως ἔχειν τυπώσαντος θείου Πατρὸς ἡμῶν Βασιλείου, οἰκονομείσθωσαν, ὡς ἐκεῖνός γε διατάσσεται· συνδιαιτᾶσθαι δὲ καὶ συναναστρέφεσθαι μοναχοὺς μοναστρίαις οὐ δεῖ, ἅτε βλαβερὸν καὶ ἀθέμιτον· οὔτε παῤῥησίαν πρὸς αὐτὰς ἔχειν, οὔτε ἰδίᾳ προσομιλεῖν, μὴ ὅτι κατὰ μόνας αὐταῖς συν-

A Qui enim cum liberta, vivente ipsius uxore, rem habet, ut fornicator condemnatur. Qui in matrimonio secundam communionem recipit, ut adulter punitur.

Scire autem oportet, quod sunt personæ, quæ peccant, **186** et non corriguntur : nempe, qui servi sui uxorem adulterio vitiat, et qui feminam viro subjectam, quæ non paucos ad impudicitiam allexit, et cum multis concubuit, stuprat, adulterii crimini non subjicitur, sed fornicationis tantum. Et vir quidem tanquam adulter punitur, mulier vero non corrigitur, quando invitam et impulsam illam vi vicerit, licet illa erubescens, marito suo quod factum est, statim non annuntiaverit.

CAP. XV. *De monasteriis et monachis.*

B Primæ et secundæ dictæ synodi canon primus interdicit monasterium ædificare absque episcopi sententia, debitam primo benedictionem peragentis ; in brevi autem et ipsum monasterium inscribi, et quæcunque a conditore illi donantur ; et breve in ædibus episcopalibus reponi, ut non possit ille qui dedicavit, illa in proprium usum iterum convertere. Quæ enim sibi quis abjudicavit per monasterium Deo addicens, quomodo potest, ac si adhuc esset dominus, illa administrare et aliis divendere? Nec etiam monasterii præfectum absque episcopi sententia illum seipsum constituere, nec alium ejus loco deligere patitur. Etenim, si quæ homini quispiam largitus est, amplius auferre sine causa, qui donavit, haud potest ; quo jure, quæ Deo dedicata sunt, in suam possessionem, qui donavit, rapiat, tanquam nomine tantum, C non re facta fuisset dedicatio?

Vicesimus quartus syn. IV canon, porro et VI synodi 49, quæ semel juxta episcopi voluntatem consecrata sunt monasteria, cum esset consuetudo precationem præmittere exstructioni, tanquam quoddam fundamentum infrangibile, perpetuo manere monasteria ordinant, et res, quæ ad ea pertinent, non alienandas servari, eaque non amplius fieri sæcularia habitacula : eos autem, qui hoc non observant canonice puniri, sacratos quidem depositioni subjiciendos esse ; laicos vero segregationi. Quære etiam in 12 cap. lit. E canonem 17 septimæ synodi.

Hujus vero 20 canone dehinc interdicitur duplex D monasterium in iisdem ædibus, et prope monachos monachas habitare : illud enim scandali et offensionis causam multis præbet. Sed quibuscunque placuit cum propriis cognatis mundo renuntiare, viri quidem in virorum, feminæ vero in feminarum, inquit, monasteria ingrediantur. Quæ autem hucusque permanent duplicia monasteria, divini nostri Patris Basilii hæc ita se habere ordinantis reverentia, administrentur, prout ipse instituit. Simul vero degere et versari monachos et monachas non oportet ; quippe periculosum et illicitum illud est. Neque illis concedatur licentis, ut simul colloqui queant, neque una cum illis cibum capere ;

et quæ vitæ necessaria a viris ad regulares feminas deferuntur, extra portam hæc accipiat præfecta cum alia vetula monacha. Si quis etiam monachus necessario negotio cognatam suam visere vehementer desiderat, præsente præfecta cum ea colloquatur exiguo et brevi sermone, et statim ab ea recedat.

Quatus IV synodi canon monasterium ædificare vel oratoriam domum, præter civitatis episcopi sententiam, inhonestum ducit ; monachos autem, qui sincere et non prætextu monasticam elegere vitam, **187** quietem non obiter habere jubet, et soli jejunio et orationi vacare, et in quibus ordinati sunt locis fortiter perseverare. Qui igitur ita vivunt, æquum esset, ut præ aliis monachis privilegia sortiantur : cedant nihilominus et illi regionis episcopo, quemadmodum clericis jubet lex, et nihil sacerdotale exsequantur, in aliam regionem discedentes, absque episcopi pacificis et commendatitiis litteris. Qui propria relinquunt monasteria, et civitates negligenter et inordinate circumcursant, et ecclesiastica et civilia negotia perturbant, ut neque divina a suis, neque humana secundum convenientem ordinem administrari sinant ; quæ ad vitam scilicet spectant a laicis, a monachis autem et clericis ea quæ sunt Deo dedicata ; hos vel invitos monasteriis includi jubet, nisi quidam ad necessariam forsan civilium negotiorum administrationem a civitatis episcopo veniam consecuti sint, qui scilicet e clericis et laicis tunc exsistentibus hæc melius administrare norunt. Decernit etiam, ut nullus servus a monasteriorum præfectis ad monasticam vitam admittatur, præter domini sui voluntatem, ne nomen Dei blasphemetur ; eum vero, qui hanc definitionem transgreditur, excommunicandum esse : civitatis porro episcopum eam oportere, quam par est, monasteriorum curam gerere, ne rerum ad illos pertinentium molestia monachorum perturbent quietem. Quære 22 et 25 capita litteræ E.

De modo quo accipi debent illi qui tonderi volunt.

Canon autem 43 concilii sexti, Conceditur, inquit, cuivis Christiano, etiamsi graviter deliquerit, statum monasticum ingredi, qui vitam quidem pœnitentialem accurate nobis repræsentat : nam velut columna quædam pœnitentiam externo habitu, victu, moribusque exprimit, atque nosmet ejus semper memores præstat. Neque vero aut delictorum multitudo, aut etiam magnitudo desperationem nobis creet : neque modus vivendi cuiquam obstet, quominus hunc tam gratum Deo scopum attingat. Dixit enim Salvator noster : « Illum qui ad me venit, nentiquam ejiciam foras. »

Canon vero 40, Quamvis, inquit, hosce qui ut Deo jungerentur, jam rebus sæcularibus longum

A εσθίειν · τὰ δέ γε κομιζόμενα ταῖς κανονικαῖς ἀναγκαῖα τοῦ βίου πρὸς τῶν ἀνδρῶν, ἔξωθεν τῆς θύρας ἡ ἡγουμένη ταῦτα παραλαμβανέτω μεθ' ἑτέρας μοναστρίας γραός. Εἰ δὲ καὶ τῶν μοναχῶν τις τὴν καθ' αἷμα προσήκουσαν ἰδεῖν περὶ πλείστου ποιεῖται ἀναγκαίου πράγματος πέρι, τῆς ἡγουμένης ὑπ' ὄψιν ταύτῃ προσομιλείτω δι' ὀλίγων καὶ σμικρῶν λόγων, καὶ ταχέως ὑποχωρείτω.

Ὁ δὲ δ' τῆς δ' συνόδου κανὼν μοναστήριον οἰκοδομεῖν ἢ εὐκτήριον οὐκ ἐν καλῷ τίθεται, παρὰ γνώμην τοῦ τῆς πόλεως ἐπισκόπου · τῶν μέντοι μονάχων τοὺς εἰλικρινῶς καὶ μὴ προσχήματι τὸν μονήρη μετιόντας βίον, τὴν ἡσυχίαν μὴ ἐν παρέργῳ τιθέναι κελεύει, μόνῃ τε προσανέχειν τῇ νηστείᾳ καὶ προσευχῇ, καὶ ἐν οἷς ἀπετάξαντο τόποις προσκαρτερεῖν.
B Οἱ γοῦν οὕτω βιοῦντες δίκαιοι ἂν εἶεν τὰ πρεσβεῖα κατὰ τῶν ἄλλων φέρεσθαι μοναχῶν · ὑπείκειν μέντοι καὶ τούτους τῷ ἐγχωρίῳ ἐπισκόπῳ, ὥσπερ νόμος τοῖς κληρικοῖς, καὶ μηδὲν ἱερατικὸν πράττειν, πρὸς ἑτέραν ἀπαίροντας ἐπαρχίαν, χωρὶς ἀπολυτικῆς ἢ συστατικῆς τοῦ ἐπισκόπου γραφῆς. Τούς γε μὴν τὰ ἴδια καταλιμπάνοντας μονασνήρια, καὶ τὰς πόλεις ἀδιαφόρως καὶ ἀτάκτως περιϊόντας, καὶ τὰ τῆς Ἐκκλησίας, πρὸς δὲ καὶ τὰ πολιτικὰ διαταράσσοντας πράγματα, ὡς μήτε τὰ θεῖα μέρει τῷ ἑαυτῶν, μήτε τὰ ἀνθρώπινα κατά γε τὴν προσήκουσαν τάξιν ἐῶντας διενεργεῖσθαι, ὑπὸ λαϊκῶν μὲν τὰ βιωτικά, ὑπὸ δὲ μοναχῶν καὶ κληρικῶν τὰ τῷ Θεῷ ἀνατεθειμένα, τούτους καὶ ἄκοντας τοῖς μοναστηρίοις ἐγκλείειν κελεύει, εἰ μή τινες ἄρα εἰς πολιτικῶν πραγμάτων
C ἀναγκαίαν διοίκησιν ἐπιτραπεῖεν παρὰ τοῦ τῆς πόλεως ἐπισκόπου, ἅτε τῶν τηνικαῦτα κληρικῶν ἢ λαϊκῶν ἀσφαλέστερον ταῦτα διαθεῖναι μὴ ἀμαθῶς ἔχοντες. Ἐπιτάττει δὲ καὶ μηδένα δοῦλον τοὺς τῶν μοναστηρίων προεστῶτας εἰσδέχεσθαι ἐπὶ τὸ μονάσαι παρὰ γνώμην τοῦ ἰδίου δεσπότου, ἵνα μὴ τὸ ὄνομα τοῦ Θεοῦ βλασφημῆται, τὸν δὲ τὸν ὅρον τουτονὶ παραβαίνοντα, ἀκοινώτητον εἶναι · τόν γε δὴ τῆς πόλεως ἐπίσκοπον χρῆναι τὴν δέουσαν ποιεῖσθαι πρόνοιαν τῶν μοναστηρίων, ἵνα μὴ τῇ τῶν προσόντων αὐτοῖς ὀχλήσει πραγμάτων συνταράττηται τοῖς μοναχοῖς τὸ φιλήσυχον. Ζήτει τὸ κβ' καὶ τὸ κε κεφ. τοῦ Ε στοιχείου.

Περὶ τοῦ πῶς χρὴ δέχεσθαι τοὺς θέλοντας ἀποκαρῆναι.

Ὁ δὲ μγ' τῆς ς' συνόδου κανών, Οὐκ ἀπείρηται, φησὶ, παντὶ Χριστιανῷ, καὶ μεγάλα ἡμαρτηκότι, τὴν μοναδικὴν μετελθεῖν πολιτείαν, ἥτις ἡμῖν τὴν
D ἐν μετανοίᾳ ζωὴν σὺν ἀκριβείᾳ στηλογραφεῖ · οἵά τις γὰρ στήλη τὴν μετάνοιαν ἡμῖν τῷ ἔξωθεν σχήματι, καὶ τῷ βίῳ, καὶ τοῖς ἤθεσιν ὑπογράφει, καὶ ταύτης ἀεὶ μεμνῆσθαι παρασκευάζει. Μὴ δῆτα ἡ τῶν πταισμάτων πληθὺς καὶ τὸ βάρος ἀπόγνωσιν ἡμῖν ἐμποιείτω · μηδέ τις τρόπος ἐμποδὼν γενέσθω τινὶ πρὸς τὴν τοῦ θεοφιλοῦς τούτου σκοποῦ ἀποπλήρωσιν. Ὁ γὰρ Σωτὴρ ἡμῶν εἴρηκε · Τὸν ἐρχόμενον πρός με οὐ μὴ ἐκβάλω ἔξω.

Ὁ δὲ μ', Εἰ καὶ τὸ κολλᾶσθαι Θεῷ, φησὶ, πολλὰ χαίρειν πρότερον τοῖς τοῦ βίου φράσαντας πράγμα-

σι, τῆς ἐκεῖθεν μακαριότητος κληρονόμους οἵδε ποιεῖν, ἀλλ' ἀνεξετάστως οὐ δέον· οὐδὲ παρὰ τὸν προσήκοντα δήπου τῆς ἡλικίας καιρὸν, τοὺς τὸν μονήρη βίον αἱρουμένους, τὸν τῆς μονῆς προστατοῦντα προσίεσθαι δεῖ. Τῷ δὲ πλατυνθῆναι περιφανῶς τὴν εὐσέβειαν, τῷ περιόντι τῆς χάριτος τοῦ Θεοῦ, καὶ δεκάτης ὢν τις μὴ ἀποβεβλήσθω, μόνον εἰ τοὺς τρόπους συμβαίνοντας ἔχοι τῷ ἐπαγγέλματι, μὴ ὅτι καὶ τὸ δέκατον παριππεύσας ἔτος.

Ὁ δὲ ε' τῆς λεγομένης ΑΒ' συνόδου κανὼν, τοὺς τῷ μονήρει προσιόντας βίῳ, ἐπὶ τριετίαν ἐν τῇ μονῇ δοκιμάζεσθαι διωρίσατο, τὴν κοσμικὴν περικειμένους ἔτι στολήν· ἀξιόχρεων δὲ τὴν ἐν τούτῳ τοῦ χρόνου περὶ τὸ ἐπάγγελμα πρόθεσιν ἐπιδειξαμένους, τηνικαῦτα τὸ μοναχικὸν ἀμφιέννυσθαι σχῆμα. Τὰς γὰρ ἀκρίτους καὶ ἀδοκιμάστους ἀποταγὰς ὡς ἐπίπαν ἴσμεν τῇ τῶν μοναχῶν εὐταξίᾳ λυμαινομένας. Οἱ γοῦν προπετῶς ἑαυτοὺς τῷ μονήρει ἐπιῤῥίπτοντες βίῳ, καὶ πρὸς τὸ τραχὺ μετέπειτα καὶ ἐπίπονον τῆς ἀσκήσεως ἀπειπόντες, ἐπὶ τὸν φιλόσαρκον καὶ ὑλικὸν βίον ἀθλίως πάλιν ἐπαναστρέφουσιν. Εἰ δέ τις περὶ πλείστου πεποίητο τὰ τῆς εὐλαβείας καὶ ἀρετῆς ὡς τὸ φθάσαν τοῦ βίου τοῦ μέλλοντος ὑπάρχειν ἐχέγγυον, καὶ ὁ ἐξαμηνιαῖος ἀποχρήσει καιρός· Ἀλλ' οὐδὲ τῶν εἰσπραττομένων ἔτι τὸ δόκιμον, τοῖς νόσῳ περιπεπτωκόσι βαρείᾳ, τὴν τελείωσιν ὑπερθετέον τοῦ σχήματος. Τοὺς δὲ παρὰ ταῦτα δρῶντας, τόν τε τῆς μονῆς ἐξηγούμενον, φημὶ, καὶ τὸν εἰσαγόμενον, τὸν μὲν τῆς ἀρχῆς ἐκπίπτειν, καὶ τὴν ὑποταγὴν ὑπεισέρχεσθαι, τὸν δὲ εἰς ἑτέραν μονὴν ἀπάγεσθαι, μηδὲν τῆς ἀκριβείας ὑφιεμένην.

Περὶ τῶν χωρὶς εὐχῆς τὸ μοναχικὸν ἔνδυμα περιβεβλημένων.

Εἰ δέ τις καὶ τῆς τριετίας ἐντὸς τὸ μοναχικὸν καὶ χωρὶς εὐχῶν ἔνδυμα περιβάλλοιτο, μεγάλας ὑφέξει δίκας, εἰ ἀποδύσασθαι τοῦτο βουληθείη, ὡς παίζων ἄντικρος ἐν οὐ παικτοῖς· καὶ ἄκων γὰρ τοῦτο περιβεβλῆσθαι ἀναγκασθήσεται.

Ὁ δὲ β' ταύτης μὴ ἀποκείρειν ὀντιναοῦν ἐπισκήπτει, καὶ τὸ μοναχικὸν σχῆμα περιτιθέναι, ἂν μὴ πρότερον ὁ μέλλων αὐτὸν εἰς ὑποταγὴν ἕξειν παρῇ, ᾧ τῆς ψυχικῆς αὐτοῦ σωτηρίας μελήσει, καλῶς αὐτὸς πρότερον ἔργοις τὴν ἀρετὴν ἀσκηθεὶς, καὶ οἷος πρὸς ταύτην καὶ τοὺς ὑπὸ χεῖρα ἐνάγειν.

Τοὺς μέντοι διὰ νόσον ἢ λύπην ἀποκειρομένους, ἐφ' ᾧ δόξαν μόνον εὐλαβείας ἐντεῦθεν κτήσασθαι, καὶ ἐν τοῖς ἰδίοις αὖθις παρεδρεύσοντας οἴκοις, μηδὲν μέλον αὐτοῖς τῶν ἀσκητικῶν ἱδρώτων καὶ πόνων, τούτους μὲν εἰς ὑποταγὴν ἐν μοναστηρίῳ καθιστᾶν, ἐν ᾧ ἂν ὁ ἐπίσκοπος δοκιμάσῃ· τὸν δὲ παραλόγως αὐτὸν ἀποκείραντα καθαιρεῖσθαι, οἷα τῶν θείων παραβάτην κανόνων, καὶ τὴν μοναχικὴν εὐταξίαν συγχέοντα. Διὰ γὰρ τὰς ἀκρίτους ταύτας καὶ ἐπισφαλεῖς ἀποκάρσεις, ὕβρις μὲν τῷ μοναχικῷ προστρίβεται βίῳ, θεὸν δὲ βλασφημεῖσθαι συμβαίνει. Ἀλλ' οὐδὲ ὁ τὴν τρίχα πρὸς ταῖς τελευταίαις ἀναπνοαῖς,

A valedixerunt, istius felicitatis hic participes facere æquum sit, at vero absque examine minime oportet: imo nec citua debitum ætatis tempus illos, qui vitam solitariam agere cupiunt, a præfecto monasterii admitti fas est. Verumtamen ut præclare augeatur pietas, superabundanti gratia Dei etiam decimum ætatis annum agens ne rejiciatur, dummodo dignos professione mores præbeat; imo nec is qui decimum adhuc currentem habet.

Synodi vero primæ et secundæ dictæ canon 5 eos qui ad monachatum accedunt, per triennium in monasterio, veste quidem sæculari adhuc amictos, probandos decrevit. Æquum tamen esse judicavit, ut qui per id temporis animi sui propositum de professione demonstraverint, tum demum habitum monasticum assumant. Indiscretas enim et B citra probationem factas renuntiationes ut plurimum ordini monastico perniciosas esse comperimus. Idcirco qui temere in statum monachorum sese ingerunt, paulo post ipsum piæ exercitationis laborem recusantes, rursum ad gratam carni ac sæcularem vitam misere reverti solent. Si quis 188 vero summopere in his quæ ad religionem ac virtutem pertinent, semet exercuerit, adeo ut vita anteacta futuræ non vana sponsio fuerit, vel semestre tempus sufficiet. Cæterum nec iis, qui adhuc probationem agentes in gravem morbum inciderint, ordinis consummatio differenda est. Qui vero secus fecerint, puta vel præfectum monasterii, vel candidatum, illum quidem regimine excidere statuit, et subditi conditionem subire, hunc autem in aliud C monasterium abduci, ubi nihil rigoris monastici remittitur.

De iis qui absque precibus monasticum habitum induunt.

Quicunque vero intra triennium monasticum habitum et quidem absque precibus induit, prægravos pœnas luet, dummodo illum rursus exuere velit, tanquam cum rebus ludens minime ludicris; cogetur enim ad habitum istum vel nolens induendum.

Cavet etiam illius synodi canon 2, ne tonsus quilibet amictu monachali utatur, nisi prius adsit qui illum in subjectione atque salutis animæ ejus curam habere debet, ipse quidem jam ante in operibus bonis præclare exercitatus, discipulosque suos ad virtutem incitandi peritus.

D

Qui vero vel morbi vel luctus causa detondentur, ut nempe famam solum pietatis acquirant, et in propriis ædibus rursus mansitant, religiosæ exercitationis sudores et labores nihil curantes, hosce sub disciplina constituendos decernit in monasterio in quo episcopus voluerit; illum autem qui sine causa semet tondet, tanquam violatorem sacrorum canonum et ordinis monastici conturbatorem, communione privandum. Nam propter promiscuas illas et incertas tonsuras ignominia vitæ monasticæ affricatur, imo et Deum blasphemari contingit. At vero nec ille qui in extremo halitu, ut monachis

mos est, rasuram patitur, licet ex respiratione sola nondum vita functus esse credatur, et quæ fiunt minime sentit, dignus est qui veste monachali amiciatur. Sed habitum sæcularem resumere, aut vitam rursus publicam agere ipsi concedetur, nisi malit injunctionum vinculis subjici. Verumtamen iis, qui temere habitum monachorum arripiunt, hoc non permittitur.

Canon autem 19 synodi septimæ omnibus qui solitariam vitam in æde aliqua sacra agere cupiunt, ut per pecuniæ largitionem admissionem in eam aut omnino in ordinem ecclesiasticum impetrent, prorsus interdicit. Quippe hand lices Deo servire et mammonæ. Imo cujus principium probum non est, secundum magnum Basilium, etiam ipsum totum repudiandum. Episcopum vero vel abbatem, qui istud perpetraverit, aut cessare aut deponi jubet. Cæterum si abbas sacerdotii expers fuerit (quod fieri sæpe videmus), e monasterio expelli, et in aliud deduci subjectionis causa. Easdem pœnas dabit et abbatissa, quæ talia ausa fuerit.

Quæcunque autem parentes ex liberorum hæreditate monasterio dedicant, repetere rursus haud licet; consecrantur enim Deo, sive is qui obtulit, in monasterio maneat, sive inde discedat: nisi forte ejus qui monasterio præsidet culpa fuerit, quod iste recesserit.

189 Concilii vero, quod primum et secundum vocatur, canon numero sextus, Monachi, inquit, nihil proprium habere debent, utpote qui propter vitam in Christo absconditam mortui facti sunt mundo. Sic enim B. Lucas eos qui vitæ monasticæ formam dederunt, eminus nobis repræsentans, Fidelium, ait, nemo eorum qui possidebat, quidquam suum esse dicebat, sed omnia illiierant communia. Unde qui vitam solitariam agere volunt, prius bona sua disponere, et quibus velint personis transmittere licet, modo non sint jure civili prohibitæ, ut hæretici, et nati spurii. Postquam enim professi fuerint, bonorum omnium ad monasterium ejus et dominium transit, neque ullam de rebus propriis curam gerere vel disponere eis permissum est. Si quis vero possessionem quampiam in proprios usus vertens deprehendatur. eam monasterii præfectus aut istius loci episcopus recipiat, et coram multis testibus divendens, ut ea ratione calumniæ causam evitet, et pauperibus ac mendicis distribuat. Atque insuper eum qui talem possessionem, uti Ananias iste, surripere meditatus est, debita correctione castiget. Illisce autem omnibus et monialium societas obnoxia erit.

Porro autem concilii sexti canon 41 omnino periculosum esse censuit et temerarium a vita victuque communi recedere, ac statim semet in angusta cellula includere, sibique adeo ipsis vitæ solitariæ auctores esse. Oportet enim in monasterio, ubi magna est fratrum frequentia,

A ὡς γε δὴ μοναχοῖς ἔθος, ἀποκαρεὶς, εἰ καὶ μόνῳ τῷ ἀναπνεῖν τὸ μὴ νεκρὸς εἶναι πιστεύεται, καὶ τὰ ἐπ' αὐτῷ τελούμενα μηδόλως συνεὶς, οἷός τέ ἐστι τὴν μοναχικὴν περιδυθῆναι στολὴν, καὶ τὴν κοσμικὴν αὖθις ἐνδύσασθαι, ἢ ἐν τῷ κόσμῳ διάγειν συγχώρηθήσεται, εἰ μὴ βούλοιτο δεσμοῖς ἐπιτιμίων ὑποβληθῆναι. Οὐ μὴν οὐδὲ τοῖς ἐκ προπετείας τὸ μοναχικὸν σχῆμα περιτιθεμένοις τοῦτο δοθήσεται.

Ὁ δὲ ιθ' τῆς ζ' συνόδου ἀπειρήκει παντάπασι τοῖς τὸν μονήρη βίον ἐν σεμνείῳ μετελθεῖν προθεμένοις, διὰ χρημάτων τὴν εἰς αὐτὸ ποιεῖσθαι εἰσέλευσιν, ἀλλ' οὐδ' εἰς ἕτερον ἱερατικόν τι τάγμα· οὐ γὰρ οἷόν τε Θεῷ δουλεύειν καὶ μαμωνᾷ· καὶ οὗ ἡ ἀρχὴ ἀδόκιμος, κατὰ τὸν μέγαν Βασίλειον, καὶ τὸ πᾶν ἀπόβλητον. Τὸν δὲ τοῦτο διαπραττόμενον ἐπίσκοπον, B ἢ ἡγούμενον, ἢ παύσασθαι κελεύει ἢ καθαιρεῖσθαι· εἰ δὲ ἱερωσύνης ὁ ἡγούμενος ἀμοιροῖ, προβέβληνται γὰρ ἔσθ' ὅτε καὶ ἐκ τοιούτων, τοῦ μοναστηρίου ἐκβάλλεσθαι, καὶ ἑτέρῳ πρὸς ὑποταγὴν παραδίδοσθαι. Τοῦτο δὲ καὶ ἡγουμένη τοιαῦτα τολμήσασα ὑφέξει τὸ ἐπιτίμιον.

Ἄττα δὲ οἱ γονεῖς ἐκ τοῦ κλήρου τῶν παίδων τῇ μονῇ ἀφορίζουσιν, ἀφαιρεῖν αὖθις οὐκ ἔξεστιν· ἀφιέρωται γὰρ τῷ Θεῷ κἂν τε μένῃ ἐν τῷ μοναστηρίῳ, κἂν τε ἐξέλθῃ ὁ ταῦτα προσενεγκών· εἰ μὴ ἄρα πρὸς τοῦ ἡγουμένου ἡ αἰτία συμβαίη τῆς μονῆς τοῦτον ὑποχωρῆσαι.

Ὁ δὲ ς' τῆς λεγομένης πρώτης καὶ δευτέρας συνόδου, Οἱ μοναχοὶ, φησὶ, οὐδὲν ἴδιον ἔχειν ὀφείλουσιν, ἅτε νεκρωθέντες τῷ κόσμῳ διὰ τὴν ἐν C Χριστῷ κεκρυμμένην ζωήν. Οὕτω γὰρ ὁ μακάριος Λουκᾶς τοὺς τὴν μοναδικὴν πολιτείαν τυπώσαντας, δήλους ἡμῖν πόῤῥωθεν καθιστὰς, Τῶν πιστευσάντων ἔφησεν οὐδείς τι τῶν ὑπαρχόντων αὐτῷ ἔλεγεν ἴδιον εἶναι, ἀλλ' ἦν αὐτοῖς ἅπαντα κοινά. Ἔνθεν τοι καὶ τοῖς μονάζειν ἐθέλουσιν ἔξεστι περὶ τῶν ὑπαρχόντων αὐτοῖς διατίθεσθαι πρότερον, καὶ οἷς ἂν βούλοιντο ταῦτα παραπέμπεσθαι προσώποις, μὴ κεκωλυμένοις παρὰ τοῦ νόμου, οἷον αἱρετικοῖς ἢ νόθοις παισί. Μετὰ γάρ τοι τὸ μονασαι τῶν προσόντων αὐτοῖς πάντων τὸ μοναστήριον ἔχει τὴν κυριότητα, καὶ οὐδὲν περὶ τῶν οἰκείων φροντίζειν ἢ διατάττεσθαι τούτοις παρακεχώρηται. Εἰ δέ τις φωραθείη κτῆσιν ἠντιναοῦν ἰδιοποιησάμενος, ταύτην μὲν ὁ ἡγούμενος τῆς μονῆς, ἢ ὁ τῆς χώρας ἐπίσκοπος, D λαβὼν καὶ πωλήσας, πολλῶν μαρτύρων ἐπ' ὄψεσι, τὴν ἐντεῦθεν διαβολὴν φυλαττόμενος, πτωχοῖς καὶ ἀπόροις διανειμάτω· τὸν δὲ τὴν τοιαύτην κτῆσιν κατ' ἐκεῖνον τὸν Ἀνανίαν ὑποσυλᾷν μελετήσαντα, τῷ προσήκοντι ἐπιτιμίῳ σωφρονισάτω. Τούτοις πᾶσιν ὑπεύθυνος καὶ ἡ τῶν μοναζουσῶν ἔσται φατρία.

Ὁ δὲ μα' τῆς ς' συνόδου σφαλερὸν ἡγήσατο πάντη καὶ ἰταμὸν, τοὺς τῆς κοσμικῆς ἀνακεχωρηκότας ἄρτι διαίτης ἑαυτοὺς εὐθὺς ἐν οἰκίστῳ βραχυτάτῳ ἐγκλείειν, καὶ σφίσιν αὐτοῖς γίνεσθαι τοῦ μονήρους βίου καθηγητάς. Δεῖ γὰρ πρότερον ἐν ἀδελφῶν πλειόνων σεμνείῳ τὸ τῆς ὑποταγῆς γινόμενον ἐπ

τριετίαν ἐνδείξασθαι· εἶτα ἐφ' ἕτερον ἔνα προσμείναντας χρόνον, ἔνθα δὴ καὶ ἐπικλείσασθαι εἴλοντο, καὶ τῆς σφῶν γνώμης ἀμεταθέτως ἔχειν ἀντικρυς ἐλεγχθείσης, ὡς οὐ κενῆς ἄρα δόξης, ἀλλ' ἀρετῆς ἐφέσει ταύτῃ διάγειν οἱ τοιοῦτοι προῄρηνται, μετ' ἐπιτροπῆς τοῦ κατὰ τὴν χώραν ἐπισκόπου, ἐπικλεισαμένους μένειν, καὶ μηκέτι τοῦ οἰκίσκου τὸ παράπαν ἐξιέναι, εἰ μήπου κατ' ἀνάγκην ἐκδιασθεῖέν τινα, ἤτοι διὰ κοινὴν τοῦ λαοῦ λυσιτέλειαν, ἢ διὰ νόσον, ὅσον οὐκ ἤδη τὴν τοῦ θανάτου ψῆφον μηνύουσαν ἔσεσθαι· ἀλλὰ καὶ τότε μὴ ἄνευ γνώμης τοῦ ἐπισκόπου. Εἰ γὰρ δὴ ἄλλως ἐξελθεῖν βουληθεῖεν, καὶ ἄκοντας εἰσωθεῖν εἰς τὸν οἰκίσκον ἐκεῖνον χρὴ, καὶ ἀσφαλῶς καθειργνύειν, ὡς μηκέτι ῥᾳδίαν εἶναι σφίσι τὴν ἔξοδον· προσέτι καὶ νηστείαις αὐτοὺς ὑποβάλλειν, καὶ σκληραγωγίαις κατατρύχειν, ὡς ἂν οὕτω θεραπευθείη τὸ τῆς γνώμης αὐτῶν εὐμετάβολον. « Οὐδεὶς γὰρ, φησὶν ὁ Τωτὴρ, βαλὼν τὴν χεῖρα ἐπ' ἄροτρον, καὶ στραφεὶς εἰς τὰ ὀπίσω, εὔθετός ἐστιν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. »

A animum ad obediendum comparatum per triennium ostendere : deinde annum alium in mansiuncula, in qua includi voluerunt, degentes, et firmum animi sui propositum plene ac firmiter demonstrantes, adeo ut jam non vanæ gloriæ, sed virtutis gratia vitam illam profiteri præsumantur, cum consensu istius loci episcopi inclusos manere, neque dein ex illa mansione amplius egredi, nisi forte urgeat necessitas, vel propter communem populi utilitatem, vel ejusmodi morbum, qui mortem tantum non instare indicat; sed et tunc quidem non sine consensu episcopi. Qui vero alias ob causas exire volunt, vel invitos in dicta mansione coerceri oportet, unde ipsis nunquam facilis sit exitus; atque præterea jejuniis affligere, et correctionibus macerare, ita ut hac ratione B corrigatur animi eorum inconstantia. «Nemo enim, inquit Salvator noster, qui manum aratro immisit, et postea tergum vertit, dignus est regno cœlorum. »

Περὶ ἐρημιτῶν.

Ὁ δὲ μβ' τοὺς λεγομένους ἐρημίτας, καὶ μέλανα περικειμένους ἱμάτια, τάς τε κόμας ἐπὶ πολὺ καθειμένους, καὶ ἀνδρῶν μεταξὺ καὶ γυναικῶν ἀναστρεφομένους, καὶ τὸ οἰκεῖον ἐπάγγελμα καθυβρίζοντας, τούτους ἤτοι τὰς κόμας κελεύει περιελεῖν, καὶ σχῆμα μοναχικὸν ἀνῃρῆσθαι, καὶ ἐν φροντιστηρίῳ μοναχοῖς συγκαταλεγῆναι, ἢ μὴ αἱρουμένους τῶν πόλεων ἀπελαύνεσθαι, καὶ πρὸς τὰς ἐρημίας ἀποπέμπεσθαι, ἐξ ὧν καὶ τὴν ἐπωνυμίαν ἑαυτοῖς ψευδῶς ἀνεπλάσαντο.

De eremitis.

Tum canon 42 eremitas qui vocantur, quotquot nigris vestibus induti, et promissis admodum capillis cum viris et mulieribus versantur, eoque professionem suam dehonestant, hosce aut positis comis jubet habitum monasticum sumere, et in mansione aliqua inter monachos referri, aut, si hoc recusaverint, ex urbibus pelli, et ad cremos ablegari, unde falso sibi denominationem affinxerunt.

Ὁ δὲ μζ' μήτε ἐν ἀνδρῴῳ μοναστηρίῳ γυναῖκα, μήτε μὴν ἄνδρα ἐν γυναικείῳ, κελεύει καθεύδειν. Παντὸς γὰρ σκανδάλου καὶ προσκόμματος ἀνωτέρους εἶναι δεῖ τοὺς πιστοὺς, καὶ μάλιστά γε τοὺς μοναχοὺς, καὶ πρὸς τὸ εὔσχημον καὶ εὐπρόσεδρον τῷ Κυρίῳ τὸν ἑαυτῶν βίον ῥυθμίζειν, καὶ διευθύνειν. Τοῖς δὲ εἰς τοῦτο τόλμης ἰοῦσι κληρικοῖς τε καὶ λαϊκοῖς ἀφορισμοῦ καὶ ἀμφοῖν τιμᾶται.

C Adhæc canon 47 neque mulierem permittit in virorum monasterio, neque in muliebri viro dormire. Citra scandalum enim omne et offendiculum fideles esse docet, maxime vero monachos; atque ad id quod decorum est et Domino gratum, vitam suam componere ac dirigere. Illos autem, qui contraire ausi fuerint, tam clericos quam laicos, excommunicatione utrosque ferit.

Ὁ δὲ κβ' τῆς ζ' συνόδου ἱερωμένοις, καὶ οἷς ὁ βίος μονότροπος, ἐπιπλήττει κατ' ἰδίαν γυναιξὶ συνεσθίουσιν, εἰ καὶ καθ' αἷμα τούτοις αὗται προσήκουσιν. Εἰ δὲ ταύτας συνδείπνους δεήσει λαβεῖν, μὴ ἄλλως ἢ θεοφόρων συμπαρόντων ἀνδρῶν, ἢ καὶ τιμίων καὶ εὐλαβῶν γυναικῶν, ἵνα καὶ αὐτὸ τὸ τραπέζης αὐταῖς καὶ ἁλῶν κοινωνεῖν πρὸς ὠφέλειαν εἴη, πνευματικήν. « Εἴτε γὰρ ἐσθίετε, φησὶν, εἴτε πίνετε, εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν τοῦ Θεοῦ ποιεῖτε· » « Πάντα μοι ἔξεστιν, ἀλλ' οὐ πάντα συμφέρει. » Ἀλλὰ καὶ λογισμοὺς καθαίρειν κελευόμεθα, ἤγουν ἐκπλύνειν, ἢ καθαιρεῖν ἤτοι καταβάλλειν, καὶ μὴ ἐᾷν αὐτοὺς ἡμῶν κατεξανίστασθαι. Ὀδοιποροῦντι δέ τινι τούτων, καὶ μὴ εὐπορουῦντι ἢ καναχθείῃ, καὶ ἐν πανδοχείῳ καταλύειν οὐκ ἀπείρηται, τῆς χρείας αὐτὸν κατεπειγούσης, μόνον σωφρόνως καὶ μετ' εὐλαβείας. Οἱ μέντοι γυναιξὶ καὶ τέκνοις συζῶντες, καὶ κατὰ κόσμον βιοῦντες, οὐ κωλύονται γυναιξὶ συνεσθίειν. Οὐ γὰρ διαβέβληται

Verumtamen synodi septimæ canon 22 sacerdotes, nec non et illos qui vitam agunt monasticam plectit, quicunque privatim cum mulieribus convivantur, quamvis cum ipsis sanguine junctæ fuerint. Si vero hasce convivio excipere opus, ne hoc quidem fiat, nisi præsentibus viris divinis 190 ac D matronis venerandis ac religiosis, adeo ut ejusdem mensæ ac salis communicatio illis in utilitatem spiritualem cedat. « Sive enim comedatis, inquit, sive bibatis, seu faciatis aliquid, omnia ad Dei gloriam facite. » Et : « Omnia mihi licent, at non omnia expediunt. » Imo et ipsas cogitationes purgare jubemur, scilicet aut eluere, aut purgare, seu prosternere, neque permittere ut denuo in nos assurgant. Sin vero horum aliquis iter faciat, nesciatque ubinam hospitio excipiatur, ei haud interdictum est in publicam domum descendere necessitate eum urgente, modo sobrie, et cum circumspectione sese gerat. Cæterum ii qui cum

uxoribus ac liberis suis una habitant, sæcularem vitam sequentes, cum uxoribus convivari minime prohibentur. Hoc enim culpa vacat, dummodo fiat cum gratiarum erga. Deum actione, et non cum gesticulationibus scenicis, aut satanicis canticis, et modulationibus meretricilis, quæ maledictio citharam et psallerium vinum bibunt, » et quæ sequuntur.

A τοῦτο, εἰ μετ' εὐχαριστίας τῆς πρὸς Θεὸν γίγνοιτο, καὶ μὴ μετὰ θυμελικῶν ἐπιτηδευμάτων, καὶ σατανικῶν ᾀσμάτων, καὶ πορνικῶν λογισμάτων, οἷς ἐπέρχεται ἡ προφητικὴ ἀρά· « Οὐαὶ οἱ μετὰ κιθάρας καὶ ψαλτηρίου τὸν οἶνον πίνοντες, » καὶ τὰ ἑξῆς.

isthæc prophetica prosequitur : « Væ illis qui ad

Quinimo neque permittit concilii Carthaginensis can. 38 monachos aut clericos impune ad virgines vel viduas Deo consecratas accedere, absque consensu episcopi, aut, eo absente, presbyteri alicujus : nec tunc quidem solos cum solis versari, sed vel clericis aliis, vel Christianis honestis ac religiosis præsentibus, ut tollatur omnis suspicio. « Citra scandalum enim, ait Apostolus, estote et Judæis et Græcis et Ecclesiæ Dei. » Jubemur adeo suspiciones malas evitare, falsæ licet fuerint.

Οὐδὲ ὁ τῆς ἐν Καρθαγένῃ συνόδου λη' κανὼν ἐφίησι μοναχοῖς ἢ κληρικοῖς ἀδεῶς εἰσιέναι πρὸς παρθένους, ἢ χήρας, αἳ δὴ τῷ Θεῷ καθιέρωνται, τοῦ ἐπισκόπου μὴ ἐπιτετραφότος, ἢ τοῦ πρεσβυτέρου, εἰ ἐκεῖνος ἀπῇει· ἀλλὰ καὶ τότε μὴ μόνους μόναις ἐντυγχάνειν, ἀλλὰ παρόντων ἢ κληρικῶν ἑτέρων, ἢ Χριστιανῶν ἐντίμων καὶ εὐλαβῶν, ὥστε πᾶσαν ὑποψίαν περιαιρεῖσθαι. « Ἀπρόσκοποι γὰρ, φησὶν ὁ Ἀπόστολος, γίνεσθε καὶ Ἰουδαίοις, καὶ Ἕλλησι, καὶ τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ· » ἐπεὶ φεύγειν τὰς πονηρὰς ὑπολήψεις προστετάγμεθα, κἂν ὦσι ψευδεῖς.

B

De transitu e monasterio ad aliud.

Περὶ μεταβάσεως ἀπὸ μοναστηρίου εἰς μοναστήριον.

Canon autem vicesimus primus synodi septimæ haud permittit monachum aut monialem propriam deserere mansionem, et in aliam se conferre. Sin vero hoc fieri contingat, laudabile esse existimat et quidem necessarium hosce hospitio excipi, ne forte sæcularibus et promiscue viventibus se immiscere cogantur ; haud tamen recipi sine consensu suorum præfectorum.

Ὁ δὲ κα' τῆς ζ' συνόδου οὐκ ἐπιτρέπει μοναχὸν ἢ μονάστριαν τὴν οἰκείαν καταλιμπάνειν μονὴν, καὶ εἰς ἑτέραν ἀπιέναι. Σύμβαν δὲ οὕτω, ξενοδοχεῖσθαι μὲν, ὡς ἀναγκαῖον, δι' ἐπαίνου τίθεται, ἵνα μὴ κοσμικοῖς καὶ ἀδιαφόρως βιοῦσιν ἐκβιασθεῖεν συμμίξαι· προσλαμβάνεσθαι δὲ οὐ δῆτα ἄνευ γνώμης τῶν σφῶν ἡγουμένων.

Tum canon 3 synodi primæ et secundæ, quæ vocatur, excommunicationi præfectum subjicit, qui aufugientes monachos, qui ad ovile suum pertinent, non cum diligentia requisiverit, et ovem morbidam medicamentis curatam ad sacrum claustrum reduxerit. Nam si animantium ratione carentium pastor, qui erga gregem negligenter sese gerit, certo luat, quisquis ovium Christi salutem præ socordia vilipendit, quidni indeprecabiles pœnas dabit? Monachus vero ita revocatus, si eo redire recusaverit, unde discesit, si ita episcopo visum fuerit, segregabitur.

Ὁ δὲ γ' τῆς λεγομένης πρώτης καὶ δευτέρας συνόδου ἀφορισμῷ τὸν ἡγούμενον ὑποτίθησιν, εἰ μὴ ἐπιμελῶς ἀναζητοίη τοὺς τῆς ἑαυτοῦ ποίμνης ἀποδιδράσκοντας μοναχοὺς, καὶ πρὸς τὸν ἱερὸν ἐπανάγει C σηκὸν, τῇ καταλλήλῳ θεραπείᾳ τὸ νενοσηκὸς ἐπιῤῥώνυς πρόβατον. Εἰ γὰρ ὁ ζώων ἀλόγων ποιμὴν, ἀμελῶς περὶ τὸ ποίμνιον διακείμενος, τιμωρίαν ἀναγκαίως ὑπέχει, ὁ τῶν τοῦ Χριστοῦ θρεμμάτων τὴν σωτηρίαν περὶ ἐλαχίστου δι' οἰκείαν ῥᾳστώνην τιθέμενος, πῶς οὐκ ἀπαραίτητον εἰσπραχθήσεται δίκην ; Ἀπειθῶν δὲ ὁ ἀνακαλούμενος μοναχὸς ἐπανιέναι ὅθεν ὁρμᾶτο καὶ ἐξελήλυθε πρὸς τοῦ ἐπισκόπου ἀφορισθήσεται.

Deinde canon quartus monachum, qui propria mansione relicta in aliam se confert, vel in habitaculo sæculari turpiter comessatur, ipsum illum, et qui susceperit, utrosque communione privandos decernit, donec is qui recesserit, in monasterium, quod improbe descruit, fuerit reversus. Sin vero istius loci episcopus monachos quosdam pietate (ut fit) percelebres de mansione propria eximens in aliis constituerit, ut mansioni præsint (modo utræque illi episcopo subjectæ fuerint), vel domus tutelam eis commiserit : isthoc quidem cum eos qui suscipiunt, tum monachos ipsos culpa omni vacuos præstat.

Ὁ δὲ δ' τὸν ἀποδράντα τῆς ἰδίας μονῆς μοναχὸν καὶ πρὸς ἑτέραν μετακεχωρηκότα, ἢ εἰς κοσμικὸν ἀσέμνως εἰσκωμάσαντα καταγώγιον, αὐτόν τε καὶ τὸν τοῦτον ὑποδεξάμενον ἀφωρισμένον εἶναι κελεύει, ἕως ἂν ὁ ἀποφοιτήσας πρὸς τὴν μονὴν, ἧς κακῶς ἐξελήλυθεν, ἐπανήκῃ. Εἰ μέντοι ὁ τῆς χώρας ἐπίσκοπος, ἔστιν οὓς τῶν ἐπ' εὐλαβείᾳ σεμνυνομένων D μοναχῶν, ἐκ τῆς ἑαυτῶν εἰλικρῶς, εἰς ἑτέραν ἐγκαταστήσειε προστασίαν μονῆς, καὶ ἀμφοτέρων αὐτῷ ὑποκειμένων δηλαδὴ τῶν μονῶν, ἢ καὶ κοσμικὴν οἰκίαν ἐπιτηρεῖν διορίσαιτο, τοῦτο καὶ τοὺς ὑποδεχομένους καὶ τοὺς μοναχοὺς ἀνευθύνους εἶναι ποιεῖ.

Quin imo canon 80 synodi Carthaginensis episcopum puniri vult, qui monachum alienum suscipit, **191** atque ad gradum clericalem promoverit, aut alicujus ex propriis monasteriis præfectu-

Ὁ δὲ π' τῆς ἐν Καρθαγένῃ συνόδου ἐπιτιμᾶσθαι τὸν ἐπίσκοπον ἀξιοῖ, ὃς τὸν ἀλλότριον ὑποδεχόμενος μοναχὸν εἰς βαθμὸν καθίστησι κλήρου, ἢ καὶ ἡγουμενείαν οἰκείου μοναστηρίου, ἄνευ ἀπολυτικῆς τοῦ

οἰκείου ἐπισκόπου γραφῆς. Καὶ τὸν μὲν ἐπίσκοπον τῇ τοῦ ἰδίου λαοῦ ἐφεὶς κοινωνίᾳ καὶ μόνον, ἑτέρους αὐτῷ κελεύει μὴ κοινωνεῖν· τὸν δὲ μοναχὸν, τοῦ κλήρου ἢ τῆς ἡγουμενείας ἐκπίπτειν. Ζήτει καὶ τὸ ς' κεφ. τοῦ Α στοιχείου, καὶ ἐν θ' κεφ. τοῦ αὐτοῦ στοιχείου κανόνα κγ' τῆς δ' συνόδου, καὶ ἐν τῷ ιθ' κεφ. τοῦ Γ στοιχείου κανόνα ιη' τῆς ζ' συνόδου, καὶ τὸ κθ' κεφ. τοῦ Ε στοιχείου· ἔτι δὲ καὶ τὸ λγ' καὶ τὸ κ' κεφ. τοῦ Κ στοιχείου, καὶ ἐν τῷ λβ' κεφ. τοῦ αὐτοῦ στοιχείου κανόνα ζ' τῆς δ' συνόδου.

Ὁ δὲ ιγ' τῆς ἐν Γάγγρᾳ συνόδου τῷ ἀναθέματι παραπέμπει τοὺς τέκνα ἔχοντας, καὶ προφάσει ἀσκήσεως ταῦτα χαίρειν ἐῶντας, καὶ μὴ τὰ τῆς θεοσεβείας καὶ λοιπῆς ἀρετῆς ἐξασκοῦντας, πρὸς δὲ καὶ τὰ τῷ βίῳ αὐτάρκη πορίζοντας, οἷα περὶ πλείστου ὄῆθεν τὴν εὐλάβειαν ποιουμένους καὶ ἄσκησιν, καὶ μὴ ἐξὸν σωτηρίας αὐτοὺς ἐν τῷ κόσμῳ ἐπιτυχεῖν. Φησὶ γὰρ ὁ μέγας Παῦλος· « Εἴ τις τῶν ἰδίων, καὶ μάλιστα τῶν οἰκείων οὐ προνοεῖ, οὗτος τὴν πίστιν ἤρνηται καὶ ἔστιν ἀπίστου χείρων. » Καὶ περὶ τῶν χηρῶν διατάττόμενος, « εἰ ἐτεκνοτρόφησαν, » προστίθησι· καὶ ταῖς ἀφηλικεστέραις τὰς νέας σωφρονίζειν παρεγγυᾷ, φιλάνδρους εἶναι, φιλοτέκνους· καὶ ἐν ἄλλοις τοῖς πατράσι τρέφειν ἐπισκήπτει τὰ τέκνα ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου. Ὡς ἔστι δεινὸν, θῆρας μὲν τοὺς σφετέρους σκύμνους τρέφειν τε καὶ περιέπειν, καὶ μέχρι θανάτου τούτων προκινδυνεύειν, ἀνθρώπους δὲ καὶ τὴν τῶν θηρίων ἐν τούτῳ παρελαύνειν ὠμότητα. Ἀλλὰ τῷ ἤδη ἀποκειραμένῳ οὐκ ἐφεῖται τῆς τῶν τέκνων χάριν ἐπιμελείας τὴν μονὴν ἐᾷν, καὶ ἐπιχωριάζειν τοῖς ἐν τῷ κόσμῳ· μελήσει γὰρ τῷ Θεῷ, τῷ πατρὶ τῶν ὀρφανῶν καὶ κριτῇ τῶν χηρῶν, καὶ τῆς τούτω προνοίας.

Ὁ δὲ ιδ' τοῦ ἀναθέματος ἀξίοι, καὶ τῶν παίδων, ὅσοι προφάσει τῆς ἀσκήσεως, μὴ διὰ τιμῆς τοὺς οἰκείους πατέρας ἄγουσι, μηδὲ γηροβοσκεῖν αἱροῦνται· ἀλλ' ἀπρονοήτους ἐῶσι πιστούς τε ὄντας, ἢ καὶ ἀπίστους. Προτιμητέον μέντοι, φησὶ, παντάπασι τὴν εὐσέβειαν, ὅταν οἱ ἄπιστοι γονεῖς δηλαδὴ πρὸς τὴν οἰκείαν δυσσέβειαν τοὺς παῖδας ἕλκειν πειρῶνται. Ὁ δὲ ιθ', Εἴ τις, φησὶ, τῶν παρθενευόντων δῆθεν διὰ τὸν Κύριον κατεπαίροιτο τῶν γεγαμηκότων, ἀνάθεμα ἔστω.

Περὶ μοναζουσῶν.

Ὁ δὲ με' τῆς ς' συνόδου κωλύει τὰς κείρεσθαι μελλούσας τῶν γυναικῶν, λαμπροτέραις κοσμουμένας στολαῖς; τῷ θυσιαστηρίῳ προσάγεσθαι, κἀκεῖ μὲν τὴν φλυαρίαν ἐκείνην περιδύεσθαι, ἐνδιδύσκεσθαι δὲ τὰ τῶν μοναχῶν ἄμφια. Ταραχὴν γὰρ ἐπεγείρει τοῦτο τῇ ψυχῇ, ὡς ἀποσπωμένῃ τῶν τοῦ κόσμου ἡδέων.

Ὁ δὲ μς' τὰς τὸν ἀσκητικὸν αἱρουμένας βίον ἀπροίτους βούλεται μένειν ἐν τῇ μονῇ. Ἀπαραιτήτου δὲ χρείας τατεπειγούσης, μετ' εὐλογίας καὶ ἐπιτροπῆς τῆς προεστώσης ἐξέρχεσθαι· καὶ τότε μέντοι μὴ μόνας, ἀλλὰ συμπαρομαρτουσῶν αὐταῖς πρεσβυ-

A ram ; absque litteris dimissoriis episcopi regionis alterius. Et episcopo quidem cum plebe sua communicare permittit, et solummodo vetat ne alii cum ipso una communicent : monachum vero clero aut præfectura excidere vult. Quære cap. 6 litteræ A, et in cap. 9 ejusdem elementi canonem 23 synodi quartæ, et in cap. 19 litteræ Γ can. 18 septimæ synodi, et cap. 29 E litteræ. Insuper vide cap. 33 et 20 lit. K, et in cap. 32 ejusdem litt. can. 7 concilii quarti.

Concilii Gangrensis canon 13 eos anathemate percellit, qui liberos suos piæ exercitationis prætextu non curant, et in iis quæ ad religionem reliquasque virtutes pertinent, minime erudiunt, imo B neque vitæ necessaria illis præbent, quasi maximi fecerint pietatem atque exercitationem, et haud possint in sæculo salutem indipisci. Dicit enim magnus Paulus : « Si quis suorum, et maxime domesticorum curam non habet, fidem iste negavit, et infideli pejor est. » Tum de viduis præcipiens, « Si liberos, adjicit, educaverunt; » matronasque jubet juniores instituere, ad maritos liberosque suos diligendos; atque alibi patres adhortatur filios suos in disciplina et pia admonitione Domini educare. Quam mira res est feras suos catulos alere, fovere, et ad mortem usque defendere; homines vero feras ipsas hac sua feritate vincere. Haudquaquam tamen inde detonso concessum est liberorum curandorum causa mansionem suam deserere, et cum sæcularibus conversari; Deo C enim curæ erit, qui pater est orphanorum et judex viduarum, istorum educatio.

Cæterum canon 14 ejusdem synodi liberos anathemate condignos censet, quotquot exercitationis prætextu parentes suos honore non prosequuntur, neque in senectute alere volunt ; sed inopes ipsos deserunt, sint fideles sintve infideles. Pietatem tamen erga Deum omnino præferendam, si quando parentes, infideles scilicet, ad suam infidelitatem filios pertrahere conentur. Porro autem 19 canon. Si quis, ait, eorum qui propter Dominum virginitatem servant, adversus conjugatos sese extollat, anathema esto.

D

De monialibus.

Synodi quidem sextæ canon 45 vetat, ne mulieres, antequam tondeantur, splendidis vestibus ornatæ ad altare sistantur, ibique superfluitate ista deposita indumenta monachalia assumant. Hoc enim turbas in animo ciet, tanquam a deliciis hujus mundi ægre avulso.

Dein canon 46 feminas quæ vitam eligunt aeceticam in monasterio mansitare jubet, neque unquam inde exire. Si qua tamen urgeat necessitas inevitabilis, cum benedictione ac permissione abbatissæ egredi : et tum quidem non per se solas, sed cum

ætate grandioribus aut præcipuis monialium, qui de ipsis respondeant; maxime vero si adhuc teneræ ætatis fuerint, qui oculis incautis laqueus quidem est haud facile prætereundus. Nam hisce illis præter innatam animi feminei lubricitatem multum ad pravitatem confert ipsa juventus. Sed nec ullatenus extra monasterium pernoctare eis permissum. Monachis vero, urgente necessitate, cum benedictione præfecti etiam per se solis egredi licet; quin imo interdum et extra mansionem pernoctare. Hæc autem de feminis dicta puta ob ætatem teneram suspectis, non de iis, quarum nulla est vel ob ætatem vel probitatem suspicio.

192 Præcipit autem concilii Carthaginensis canon 44 sacras virgines a parentibus separatas, a quibus diligentissime servabantur, episcopi, vel, illo absente, presbyteri providentia venerabilioribus feminis cohabitationis gratia commendari, aut etiam juniores simul habitare : adeo ut simul viventes, seipsas invicem observent continuo ac custodiant, neque huc illucque devagando existimationem ac honestatem Ecclesiæ lædant. Verumtamen apud nos jam exolevit promiscua virorum feminarumque juniorum habitatio, quamvis adhuc in Ecclesia Latina servetur.

Posthæc canon 126 episcopo, et quidem soli, munus committit virgines velandi, haud tamen ant 25 ætatis annum, nisi forte urgeat necessitas. Abrogatum autem est isthoc dicto canone 40 concilii sexti, quo decernitur etiam decem annorum pueros puellasque detonderi.

Anathemati autem subdit concilii Gangrensis canon 15 mulieres illas, quæ propter pietatem, quam putant, comam tondent, quatenus subjectionis symbolum dissolvant; quemadmodum alicubi dicit Apostolus : « Mulierem oportet potestatem habere super caput, signum scilicet subjectionis suæ erga virum, seu crines. » Et rursus : « Si mulieri turpe sit tonderi vel radi, veletur. » Et : « Mulier, si comam alat, gloria ipsi est ; coma enim ei data est pro velamine. » Imo natura adeo novit comam mulieribus peculiarius competere, ut nunquam eis calvitium ferat. Nihilo tamen secius mulier quæ vitam monasticam elegit, etiam nolente marito, tondebitur.

De monachis ac monialibus lapsis.

Canon Gangrensis concilii numero 19 viros feminasque, qui virginitatem professi, quamvis stola laica adhuc induti fuerint, nedum inter inclusos relati, aut habitu monastico amicti, si votum suum irritum fecerint, et ad nuptias legitimas deflexerint, digamorum definitioni, sive pœnæ subjici decernit.

Magnus etiam Basilius canone sexto, Canonicorum, ait, fornicationes, nempe clericorum et monachorum et earum quæ ex femineo sexu exercitationi se dedunt, pro matrimonio minime reputari oportet. Non enim id apud nos obtinebit, quod

τίδων, ἢ τὰ πρῶτα τῶν ἐν τῇ μονῇ φερουσῶν, καὶ μάλιστα, εἰ νέαν ἄγουσιν ἐκεῖναι τὴν ἡλικίαν, ἥτις καὶ ἀφυλάκτοις ὀφθαλμοῖς παγὶς ἐστιν οὐχ ὑπερβῆναι ῥᾴδία· καὶ αὐταῖς ταύταις, πρὸς τῷ φύσει ὀλισθηρῷ τοῦ γυναικείου φρονήματος, μέγα μέρος εἰς κακίαν καὶ ἡ νεότης συμβάλλεται. Ἀλλ' οὐδὲ νυκτὸς ἔξω μεῖναι τῆς μονῆς συγχωρεῖ τὸ παράπαν. Οἵ γε μὴν μοναχοὶ χρείας κατεπειγούσης, μετ' εὐλογίας τοῦ ἡγουμένου, καὶ καθ' ἑαυτοὺς προϊέναι οὐκ εἴργονται, προσέτι καὶ τῆς μονῆς ἐκτὸς ἔστιν οὗ διανυκτερεῦσαι. Ταῦτα δὲ εἴρηται περὶ τῶν ὑπόπτων διὰ τὴν νεότητα γυναικῶν, οὐ μὴν ἀνυπόπτων διὰ γῆρας καὶ ἀρετήν.

Ὁ δὲ τῆς ἐν Καρθαγένῃ μδ' τὰς ἱερὰς ἐπισκήπτει παρθένους, τῶν πατέρων χωριζομένας, ὑφ' ὧν ἐν ἀσφαλείᾳ διετηροῦντο τῇ τοῦ ἐπισκόπου προνοίᾳ ἢ τοῦ πρεσβυτέρου, ἀποδήμου ὄντος ἐκείνου, ταῖς τιμιωτέραις γυναιξὶ παρατίθεσθαι εἰς συνοίκησιν ἢ πάσας τὰς νεωτέρας ὁμοῦ συνοικεῖν· ἵνα συζῶσαι διηνεκῶς ἔχοιεν ἀλλήλας ὁρᾷν καὶ διατηρεῖν, καὶ μὴ τῇδε κἀκεῖσε περιιοῦσαι τὴν ὑπόληψιν βλάπτοιεν καὶ εὐκοσμίαν τῆς Ἐκκλησίας. Ἀλλ' ἡ τῶν νεωτέρων ἀνδρῶν τε καὶ γυναικῶν ἐφ' ἑνὶ συνοίκησις οἴκῳ, παρ' ἡμῖν μὲν ἐν τῷ τέως ἠμέληται, παρὰ δὲ τοῖς Λατίνοις εἰσέτι φυλάττεται.

Ὁ δὲ ρκς' τῷ ἐπισκόπῳ καὶ μόνῳ τὰς κόρας μετασχηματίζειν ἀνατίθησι, πλὴν μὴ πρὸ τῶν κε ἐτῶν, εἰ μήπου δι' ἀνάγκην. Τοῦτο δὲ ἀνῄρηται παρὰ τοῦ εἰρημένου μ' κανόνος τῆς ς' συνόδου, δεκαετεῖς διοριζομένου ἀποκείρεσθαι καὶ ἄῤῥενας καὶ θηλείας.

Ὁ δὲ ιε' τῆς ἐν Γάγγρᾳ συνόδου τὰς διὰ νομιζομένην θεοσέβειαν ἀποκειραμένας τῶν γυναικῶν ὑποβάλλει τῷ ἀναθέματι, ἀνθ' ὧν παραλύουσι τὸ σύμβολον τῆς ὑποταγῆς· ὥς πού φησιν ὁ Ἀπόστολος, ὅτι « Ὀφείλει ἡ γυνὴ ἐξουσίαν ἔχειν ἐπὶ τῆς κεφαλῆς, τὸ σημεῖον δηλαδὴ τῆς πρὸς τὸν ἄνδρα ὑποταγῆς, ἤτοι τὰς τρίχας· » καὶ αὖθις· « Εἰ αἰσχρὸν γυναικὶ τὸ κείρασθαι ἢ ξυρᾶσθαι, καλυπτέσθω· καί· « Γυνὴ ἐὰν κομᾷ, δόξα αὐτῇ ἐστιν, ὅτι ἡ κόμη ἀντὶ περιβολαίου δέδοται αὐτῇ. » Καὶ ἡ φύσις γὰρ οἰκεῖον εἰδυῖα τὴν κόμην ταῖς γυναιξὶν, οὐδὲ φαλάκρωμα ταύταις ἐργάζεται. Ἡ μέντοι μοναδικὴν ἑλομένη πολιτείαν, καὶ ἄκοντος τοῦ ἀνδρὸς, ἀποκαρήσεται.

Περὶ μοναχῶν ἀῤῥένων καὶ θηλειῶν ἐκπιπτόντων.

Ὁ δὲ ιθ' τῆς ἐν Ἀγκύρᾳ συνόδου τοὺς παρθενίαν ἐπαγγειλαμένους ἄνδρας τε καὶ γυναῖκας, λαϊκὴν ἀμπεχόνην ἔτι περικειμένους, μὴ μέντοι ἀποταξαμένους καὶ μοναχικὸν ἐπανῃρημένους ἔνδυμα, τούτους, τὴν ἐπαγγελίαν ἠθετηκότας, καὶ πρὸς γάμον ἐκκλίναντας νόμιμον, τῷ τῶν διγάμων ὅρῳ καὶ ἐπιτιμίῳ ὑποβάλλεσθαι διορίζεται.

Ὁ δὲ μέγας Βασίλειος, ἐν τῷ ς' κανόνι, Τὰς τῶν κανονικῶν πορνείας, φησὶ, κληρικῶν δηλαδὴ καὶ μοναχῶν, καὶ τῶν ἀσκουμένων τοῦ θήλεος γένους, εἰς γάμον οὐ χρὴ καταλογίζεσθαι. Οὐ γὰρ κατὰ τὸν λέγοντα πυλιτικὸν καὶ ἐφ' ἡμῖν ἔσται νόμον, ὅτι ὁ

πρὸς ἐλευτέραν εἰσελθὼν, μὴ ποιησαμένην πόρον ἐκ τοῦ ἰδίου σώματος, οὐ παλλακὴν, ἀλλὰ γαμετὴν ἔχειν δοκεῖ. Ἀλλὰ παντὶ τρόπῳ διασπᾷν αὐτῶν τὴν συνάφειαν, εἰ καὶ αἱροῦνται τῆς ἡδονῆς ἀπολαύειν, ἐπειδή γε τῆς τιμῆς ἐκπεπτώκασι. Τοῦτο γὰρ καὶ τῇ Ἐκκλησίᾳ λυσιτελὲς, ἀνακοπτομένων καὶ τῶν λοιπῶν μὴ τοιαῦτα τολμᾷν, καὶ τοῖς αἱρετικοῖς καθ' ἡμῶν οὐ δώσει λαβὴν, ὡς διὰ τὴν τοῦ ἁμαρτάνειν ἄδειαν ἐπισπωμένων πρὸς ἑαυτοὺς τοὺς ἐξ ἑτέρας θρησκείας, ἐφιέντων αὐτοῖς ἐμμένειν τῇ ἁμαρτίᾳ, καὶ τοὺς ἀθέσμους γάμους μὴ κωλυόντων.

Ἐν δὲ τῷ ιη', Εἰ καὶ οἱ ἐν Ἀγκύρᾳ Πατέρες, φησὶ, τὰς ἐκπεπτωκυίας μετὰ τὸ ἐπαγγείλασθαι παρθενεύειν, κατὰ τοὺς διγάμους ἐπιτιμᾶσθαι κεκρίκασιν, ἀλλ' ἐπεί τοί γε τὰ τῆς Ἐκκλησίας, Θεοῦ χάριτι, ἐπιδέδωκεν, οἷα μοιχαλίδας δίκαιον ταύτας κολάζεσθαι, ἐκ διαφόρων ἐπιχειρημάτων τὸν οἰκεῖον κατασκευάζων λόγον. Ἐκείνας δέ φαμεν, αἳ, τὸν ις ἢ ιζ' χρόνον ἀμείβουσαι, τὴν ἀγαμίαν ἑκουσίως ὡμολογήκασι, πολλὰ χαίρειν εἰποῦσαι τῷ γάμῳ· ο μὴν ἃς προσάγουσιν οἱ γονεῖς, ἢ καὶ οἱ ἄλλως προσήκοντες, βιωτικόν τι ἐντεῦθεν σφίσιν αὐτοῖς διοικούμενοι, μὴ εὐπορουῦντες τυχὸν τὴν ὑπὲρ αὐτῶν ἀποτίσαι προῖκα. Ταύτας δὴ τὰς μὴ ὁρμηθείσας οἴκοθεν, οὐ δεῖ ῥᾳδίως προσδέχεσθαι, ἕως ἂν φανερῶς τὴν ἰδίαν αὐτῶν ἐρευνήσωμεν γνώμην. Ἀλλ' ἐπὶ τῶν μοναζουσῶν καὶ ἀσκουμένων τοῦτο οὐκ εἴωθε γίνεσθαι· κἂν γὰρ ἐν ἥττονι τῆς ὁρισθείσης τῷ ἁγίῳ καὶ ἀπαλῇ πάνυ τῇ ἡλικίᾳ τὴν κοσμικὴν ἀπόθωνται τρίχα, βεβαία ἔσται καὶ εἰς τὸ ἑξῆς αὐτῶν ἡ ὁμολογία.

Ἐν δὲ τῷ ιθ', Ἀνδρῶν δὲ, φησὶν, ὁμολογίαν οὐκ ἔγνωμεν, πλὴν εἰ μή τινες ἑαυτοὺς τῷ τάγματι τῶν μοναζόντων ἐγκατηρίθμησαν, οἵτινες κατὰ τὸ σιωπώμενον δοκοῦσι τὴν ἀγαμίαν παράδέχεσθαι. Ἀλλὰ καὶ τούτους ἐρωτᾶσθαι προσῆκε, καὶ φανερῶς τὴν ἀγαμίαν ὁμολογεῖν, ἵνα, ἐὰν ψεύσωνται τὴν ὁμολογίαν, ὡς πορνεύοντες ἐπιτιμηθῶσιν. Ἀλλά γε καί οἱ μὴ ποιήσαντες μοναχοὶ τοιαύτην ὁμολογίαν. ῥακενδύται μόνον γεγονότες, μεταμφιάσασθαι καὶ εἰς γάμον ἐλθεῖν οὐ δύνανται.

Ἐν δὲ τῷ ξ' τὴν παρθενίαν ὁμολογήσασαν, καὶ ἀθετήσασαν τὴν ἐπαγγελίαν, τὸν χρόνον τοῦ ἐπὶ τῆς μοιχείας ἁμαρτήματος ἐκπληροῦν ἀξιοῖ, ἔτη δηλαδὴ ιε'. Τὸ αὐτὸ καὶ ἐπὶ τῶν μοναζόντων, φησὶ, γινέσθω.

Ἀλλὰ καὶ ὁ ἱερὸς Χρυσόστομος ἐν τῇ πρὸς Θεόδωρον β' ἐπιστολῇ, Τὸν γάρ τῷ ἐπουρανίῳ, φησὶ, συναφθέντα νυμφίῳ, τοῦτον μὲν ἀφεῖναι, γυναικὶ δὲ ἑαυτὸν συνάψαι, μοιχείας ἐστὶ πρᾶγμα, κἂν μυριάκις αὐτὸν σὺ γάμον καλῇς· μᾶλλον δὲ καὶ μοιχείας τοῦτο χαλεπώτερον, ὅσῳ κρείττων ἀνθρώπων ὁ Θεός. Εἰ γὰρ ἡ γυνὴ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ὁ ἀνὴρ, πολλῷ μᾶλλον οἱ ἐν Χριστῷ ζῶντες οὐκ ἂν εἶεν αὐτοὶ τοῦ σώματος αὐτῶν κύριοι.

Ὁ δὲ μδ' τῆς ς' συνόδου τὸν ἁλόντα πορνείᾳ μοναχὸν, καὶ μεταμελείᾳ μετὰ τοῦτο χρησάμενον καὶ

A in jure civili habetur: Qui ad liberam ingreditur, quæ corporis sui quæstum non fecit, haud concubinam iste, sed uxorem habere videtur. Verum omnimodo potius dirimere ipsorum conjunctionem, etiamsi velint voluptate ista frui, quoniam honori suo exciderunt. [Hoc enim Ecclesiæ utile fuerit, dum cæteri ne talia audeant, hoc pacto inhibeantur, neque dabitur hæreticis adversum nos ansa, quasi per licentiam peccandi alterius sectæ homines ad nosmet traheremus, permittendo quidem ipsos in delictis perseverare, et legitimas nuptias minime prohibendo.

Insuper in canone 18, Quamvis Patres, ait, Ancyrani virgines post votum castitatis lapsas cum digamis juxta puniendas decreverint; quia tamen B Dei gratia jam crevit Ecclesia, hasce adulterarum pœnis subjici æquum ibique variis argumentis hanc sententiam suam confirmat. Eas autem intelligimus, quæ cum decimum sextum aut septimum ætatis annum transegerunt, matrimonio prorsus renuntiantes sponte sua castitatem professæ sunt: non vero istas, quas parentes vel affines onerunt, sæculare quidpiam exinde sibimet procurantes, cum ipsi forte non habeant 193 unde pro iis elocandis dotem persolvant. Hasce igitur, quæ motu proprio non feruntur, facile admittere haud decet, donec aperte propriam ipsarum sententiam perscrutati fuerimus. De monialibus tamen et virginibus, quæ asceticam vitam profitentur, id non obtinet. Quamvis enim in minori adhuc quam sanctus ille vir definivit, et admodum tenella ætate C crinem sæcularem deposuerint, in posterum usque firma erit ipsarum professio.

Canone autem 19, Virorum, inquit, professionem non novimus, nisi quatenus monachorum ordini semet annumerant, qui quidem tacite videntur cœlibatum suscipere. Sed tamen et hosce interrogatos oportet aperte cœlibatum profiteri, ut, si quando professionem datam fallant, ut fornicationis rei puniantur. Imo vero monachi, qui, pannis tantum induti, talem professionem nondum fecerint, neque mutare habitum possunt, neque ad nuptias procedere.

In 60 vero can. eam quæ virginitatem professa est, et a promissione lapsa, adulterii criminis tempus adimplere æquum esse censet, annos scilicet 15. D Idem etiam in iis qui monasticam vitam professi sunt, canon dicit, fiat.

Porro et sanctus Chrysostomus in secunda ad Theodorum epistola, cœlesti sponso, inquit, junctum, illum quidem relinquere, mulieri autem sese conjungere adulterium est, licet millies matrimonium tu ipse hoc voces. Illud enim est adulterio tanto gravius, quanto hominibus melior est Deus. Si enim mulier proprii corporis non habet potestatem, sed vir, multo magis ii, qui in Christo vivunt, non sunt proprii corporis domini.

Sextæ syn, 44 monachum fornicationis convictum, et pœnitentia et confessione usum, clemen-

tius aliquid agens, non magis quam fornicantes puniri jubet. Atque hunc quidem canonem, quippe post alios editum, ex omnibus arbitror retinendum. Quære et 11 caput litt. Γ, et in 12 capite litteræ Δ canonem 4 synodi quartæ, et in 12 capite litteræ E canonem 17 synodi 7.

Leges.

Monasteria non ita alienentur, ut sacrata forma in privatum statum transformetur, alioquin potestatem habent episcopi vindicandi et in pristinam formam reducendi.

Ex 131 Justiniani novella discas quidem, quod regulas quæ a fundatoribus in monasteriis fiunt, pie suscipere debent, nisi canonibus contrariantur; illis enim non licet locorum episcopos canonico jure privare in monasteriis, quæ ab iis ædificantur. Neque antistites monasteria ædificantes succedentes antistites sub pœna obligare possunt, neque ullum circa res ejusmodi jus habere; convertitur enim iniqua segregatio in illorum capita.

Episcopus abbatem vel archimandritam uniuscujusque monasterii non omnino secundum gradus promoveat; sed quem vel omnes monachi, vel qui melioris existimationis, elegerint, super Evangelio jurantes, quod non per amicitiam vel gratiam illum elegerunt, sed quod norunt illum esse fidei rectæ, et vitæ castæ, et administratione dignum, et qui monachorum disciplinam et omnem monasterii statum custodire possit. Eadem etiam de mulierum monasteriis et asceteriis.

194 Centesima vicesima tertia vero, In omnibus, inquit, monasteriis, quæ cœnobia vocantur, juxta regulas monasticas jubemus, ut in una domo omnes habitent, et communiter comedant et in una domo omnes separatim dormiant, ut vicissim sibi ipsis castæ vitæ exemplum exhibeant. Hæc autem omnia et de mulierum monasteriis observentur.

Caput autem ejus decimum quintum, Non ingredietur, inquit, omnino neque mulier in virorum monasterium, neque vir in mulierum, vel prætextu memoriæ alicujus mortui, qui illic positus est, vel aliam ob causam; neque si quis fratrem forte, vel sororem, vel aliquem ex suo genere in monasterio se habere dixerit. Non est enim in terris cognatio monachis, utpote qui cœlestem vitam æmulati sunt. Deinde neque viri in mulierum monasteriorum sepuleris reponantur, neque mulieres in virorum monasteriis inhumentur, ne ex eo naturæ ad seipsam detur regressus, ut quæ non fas est agat, et delicate se gerat, et ludat, et res divinas injuria afficiat.

Si qua mulier autem in mulierum monasterio sepelienda sit (virum enim non fas esse judicamus), illos solum qui lectum ferunt et fossores,

A λεξομοογήσει, φιλανθρωπότερόν τί ποιῶν, μηδὲν πλέον τῶν πορνευόντων ἐπιτιμᾶσθαι κελεύει. Οἶμαι τοίνυν τουτονὶ τὸν κανόνα δεόντως κρατεῖν οἷα τῶν ἄλλων μεταγενέστερον. Ζήτει καὶ τὸ ια΄ κεφ. τοῦ Γ στοιχείου, καὶ ἐν τῷ ιβ΄ κεφ. τοῦ Δ στοιχείου κανόνα δ΄ τῆς δ΄ συνόδου, καὶ ἐν τῷ ιβ΄ κεφ. τοῦ Ε στοιχείου κανόνα ιζ΄ τῆς ζ΄ συνόδου.

Νόμοι.

· Ἐκποίησις μοναστηρίου μὴ γινέσθω, ἐφ' ᾧ τὸ ἱερατικὸν σχῆμα εἰς ἰδιωτικὴν μετασχηματίζεσθαι διαγωγήν, ἐπεὶ ἄδειαν ἔχουσιν οἱ ἐπίσκοποι ἐκδικεῖν, καὶ εἰς τὸ πρότερον ἐπανάγειν σχῆμα.

Ἀπὸ δὲ τῆς ρλα΄ Ἰουστινιανείου νεαρᾶς γνοίης ἄν, ὅτι τὰ γινόμενα παρὰ τῶν κτητόρων ἐν τοῖς μοB ναστηρίοις τυπικὰ στέργειν ὀφείλουσιν, εἰ μήπου τοῖς κανόσιν ἐναντιοῦνται· οὐ γὰρ ἔξεστιν αὐτοῖς ἀπείργειν τοὺς ἐγχωρίους ἐπισκόπους τῶν κανονικῶν δικαίων ἐν τοῖς παρ' αὐτῶν κτιζομένοις μοναστηρίοις. Οὐδὲ οἱ ἀνεγείροντες ἀρχιερεῖς μοναστήρια ἐπισκήπτειν μετ' ἐπιτιμίου δύνανται τοῖς μετ' αὐτοὺς ἀρχιερεῦσι, μηδ' ὁτιοῦν εἰς ταῦτα δίκαιον ἔχειν· στρέφεται γὰρ ὁ παράλογος ἀφορισμὸς εἰς τὰς ἐκείνων κεφαλάς.

Ὁ ἐπίσκοπος τὸν ἀββᾶν ἢ τὸν ἀρχιμανδρίτην ἑκάστου μοναστηρίου μὴ πάντως κατὰ τὸν βαθμὸν προβαλλέσθω, ἀλλ' ὃν οἱ μοναχοὶ πάντες ἢ οἱ εὐϋπόληπτοι ἐπιλέξωνται, ἐπὶ τῶν Εὐαγγελίων λέγοντες, ὡς οὐ διὰ φιλίαν ἢ χάριν αὐτὸν ἐπελέξαντο, ἀλλὰ γινώσκοντες αὐτὸν ὀρθόδοξον, καὶ σώφρονα, καὶ τῆς διοικήσεως ἄξιον, καὶ δυνάμενον φυλάξαι τὴν ἐπιC στήμην τῶν μοναχῶν, καὶ τὴν τοῦ μοναστηρίου κατάστασιν. Τὰ αὐτὰ καὶ περὶ τῶν γυναικείων μοναστηρίων καὶ ἀσκητηρίων.

Ἡ δὲ ρκγ΄, Ἐν ἅπασι δὲ τοῖς μοναστηρίοις, φησὶν, ἅπερ καλοῦνται κοινόβια, κελεύομεν κατὰ τοὺς μοναχικοὺς κανόνας, ἐν ἑνὶ οἴκῳ πάντας οἰκεῖν, καὶ κοινῶς τρέφεσθαί, καὶ ἐν ἑνὶ οἴκῳ πάντας κεχωρισμένως καθεύδειν, ὥστε ἀμοιβαδὸν ἀλλήλοις μαρτυρίαν τῆς σώφρονος διαγωγῆς παρέχειν αὐτούς. Ταῦτα δὲ πάντα καὶ περὶ τὰ τῶν γυναικῶν φυλάττεσθαι μοναστήρια.

Τὸ δὲ τε΄ ταύτης κεφάλαιον, Οὐκ εἰσελεύσεται, φησὶν, οὔτε γυνὴ παντάπασιν εἰς ἀνδρῶν μοναστήριον, οὔτε ἀνὴρ εἰς γυναικεῖον, ἢ προφάσει μνήμης τινὸς τελευτήσαντος κἀνταῦθα κειμένου, ἢ διά τινα D ἑτέραν αἰτίαν· οὐδὲ εἴ τις ἀδελφὸν τυχὸν ἢ ἀδελφὴν, ἤ τινα τῶν ἐκ τοῦ γένους ἔχειν ἐν τῷ μοναστηρίῳ φήσειε. Συγγένεια γὰρ τοῖς μοναχοῖς ἐπὶ γῆς οὐκ ἔστι, τοῖς γε τὸν ἐν οὐρανοῖς ζηλώσασι βίον. Καὶ μήτε ἄνδρες, ἐν γυναικείῳ μοναστηρίῳ τάφοις κατατιθέσθωσαν, μήτε γυναῖκες ἐν ἀνδρικοῖς μοναστηρίοις κατορυττέσθωσαν, ἵνα μὴ πάροδος ἐντεῦθεν γένοιτο τῇ φύσει πρὸς ἑαυτὴν, ἃ μὴ θέμις ὁρᾶν, τρυφᾶν τε καὶ παίζειν, καὶ τὰ θεῖα πράγματα καταισχύνειν.

Ἀλλ' εἰ καὶ γυνή τις ἐν γυναικείῳ θάπτεσθαι μέλλοι μοναστηρίῳ, (ἄνδρα γὰρ οὐκ εὐαγὲς εἶναι κρίνομεν), τοὺς τὴν κλίνην φέροντας μόνους, καὶ τοὺς

ὀρύξαντας εἰσφοιτᾷν ἐπ' αὐτό· καὶ τὰς μὲν μοναχὰς ἐν τῷ ἰδίῳ μένειν καταγωγίῳ· μόνην δὲ τὴν θυρωρὸν καὶ τὴν ἡγουμένην, εἴ γε βουληθείη, παρεῖναι τοῖς γινομένοις· καὶ θᾶττον ἐκείνους τελέσαντας τὰ περὶ τὴν ὁσίαν, εὐθὺς ἀπιέναι, μήτε θεασαμένους τινὰς τῶν μοναζουσῶν, μήτε ὑπ' αὐτῶν θεαθέντας. Τρίτα δὲ ποιοῦντας καὶ ἔνατα, ὥς γε δὴ νόμος ἐν τεθνεῶσίν ἐστιν, καὶ ἀκολούθως τεσσαρακοστὰ, καὶ λοιπὰ κατὰ τοὺς τεταγμένους καιροὺς μνημόσυνα, εἰ μὲν γυναικεῖον εἴη τὸ μοναστήριον, γυναῖκας ἅπαντα πράττειν· εἰ δὲ ἀνδρῶον, ἄνδρας.

A ad illud accedere, et mulieres quidem monachas in proprio manere habitaculo; solam autem ostiariam et abbatissam rectricem, si velit, interesse iis quæ fiunt: et illos, cum primum exsequias quam celerrime perfecerint, statim recedere, nec ullis a se visis monialium, neque iis ab earum ullis conspectis. Tertio vero et nono die convenientes, prout in mortuorum exsequiis mos obtinuit, porro et post quadraginta dies memorias eorum ad statutum tempus celebrant. Si mulierum sit monasterium, omnia faciunto mulieres, sin autem virorum, viri.

Μὴ πολλὰς δὲ εἶναι τὰς εἰς τὸ μοναστήριον εἰσόδους, ἀλλὰ μίαν ἢ δύο τυχὸν, ἑφεστάναι τε τῇ πύλῃ ἄνδρας γεγηρακότας καὶ σώφρονας, οἵπερ οὔτε τοῖς μοναχοῖς συγχωρήσουσιν ἐκφοιτᾷν τοῦ μοναστηρίου χωρὶς γνώμης τοῦ ἡγουμένου, οὔτε τοῖς ἔξωθεν ἀδεῶς γίνεσθαι κατὰ τὸ μοναστήριον νύκτωρ τε καὶ μεθ' ἡμέραν.

B Non multos esse in monasterium aditus, sed unum aut alterum forsan, et adstare januæ viros senes et cautos, qui quidem neque monachos absque præfecti voluntate egredi permittant, neque impunes extra monastorium pernoctare et permanere.

Ὁ εἰς τὸν μοναχικὸν ἐρχόμενος βίον, εἰ μὲν γνώριμος εἴη, ὅτι οὐδεμιᾷ ὑπόκειται τύχῃ, τοῦνον, ὁπόταν δοκιμάσῃ ὁ ἡγούμενος, τὸ μοναχικὸν σχῆμα περιβαλλέτω· εἰ δὲ ἄγνωστος, εἰς τριετίαν δοκιμαζέτω, καὶ εἰ ἄξιος κριθείη, ἀποκειρέσθω, μηδὲν δεινὸν παθεῖν ὑφορώμενος, εἰ ὄχλησις μετὰ ταῦτα συμβαίη Ζήτει νόμον καὶ ἐν τῷ ιβ' κεφ. τοῦ Δ στοιχείου.

Qui monachus esse velit, si quidem de eo constet, quod nulli fortunæ conditioni subjectus sit, illum, quando examinaverit præfectus, monasticum habitum induat; sin autem non constet, per triennium probetur, et si dignus censeatur, tondeatur, nihil grave pati suspectus, si post hæc negotium aliquod acciderit. Quære legem in 12 capite litteræ Δ.

Προνοίᾳ τοῦ ἐπισκόπου μήτε μοναχοὶ μήτε μονάστριαι κατὰ τὰς πόλεις περιερχέσθωσαν, ἀλλὰ διὰ τῶν ἀποκρισταρίων τὰς ἀποκρίσεις αὐτῶν ποιείτωσαν, ἐν τοῖς μοναστηρίοις μένοντες. Ζήτει καὶ ἐν τῷ ζ' κεφ. τοῦ Κ στοιχείου.

Episcopi præcautione neque monachi neque monachæ per civitates oberrent, sed per apocrisiarios responsiones suas dent, in monasteriis suis permanentes. Quære etiam in 7 capite litteræ Κ.

C

Εἴ τις τῶν μοναχῶν τὸ μοναστήριον καταλιπὼν εἰς κοσμικὸν μετέλθοι βίον, οὗτος τῆς στρατείας καὶ τῆς τιμῆς, εἴ τινα ἐκτήσατο, γυμνωθεὶς πρῶτον πρὸς τοῦ ἐγχωρίου ἐπισκόπου καὶ τοῦ ἄρχοντος, αὖθις μεθ' ὧν ἐπεκτήσατο πραγμάτων ἐν τῷ μοναστηρίῳ καὶ ἄκων ἐμβαλλέσθω.

Si quis monachas monasterium reliquerit, et in sæcularem vitam transierit, iste militia et honore (si quem habuerit) spoliatus primo a loci episcopo et præfecto, deinde cum iis quas possidet rebus, in monasterio vel invitus detineatur.

Οἱ τὸν μονήρη βίον ἐπανῃρημένοι οὔτε κουρατορούουσιν, οὔτε ἐπιτροπεύουσιν, οὔτε δίκας ἑτέρων λέγουσιν, οὐδ' ἂν συγγενεῖς ὦσιν οἱ τὰς δίκας ἔχοντες, πλὴν ὑπὲρ τῆς ἰδίας καὶ μονῆς μονῆς, καὶ τότε συνανέσει τοῦ ἡγουμένου.

Qui monasticam susceperunt vitam, neque curatores fiant, neque tutores, neque aliorum causas agant, neque si cognati sint, qui litem habent, nisi pro suo solo monasterio, et tunc quoque præfecti consensu.

Ἐὰν μοναχὸς καταλίπῃ τὸ ἴδιον μοναστήριον, καὶ εἰς ἕτερον ἔλθῃ, εἴ τινα πράγματα ἐν τῷ καιρῷ, καθ' ὃν τὸ μοναστήριον καταλέλοιπεν, ἔχειν φανείη, τῷ πρώτῳ μοναστηρίῳ, εἰς ὃ εἰσῆλθε, ταῦτα διαφέρειν κελεύομεν.

Si monachus proprium monasterium reliquerit et in aliud transierit, quascunque res per id tempus, quo monasterium reliquerit, habere videbitur ad monasterium, in quod ab initio ingressus est, eas pertinere jubemus.

D

Ἀπαγορεύομεν τοῖς γονεῦσι τοὺς παῖδας μοναχικὸν ἐπιλεγομένους βίον ἐκ τῶν εὐαγῶν ἀφέλκειν μοναστηρίων, ἢ τῆς ἰδίας αὐτοὺς ἀποκλείειν κληρονομίας, εἰ καὶ αἰτία τις πρὸ τοῦ μοναχικοῦ παρηκολούθησε βίου.

195 Interdicimus parentibus, ne filios suos vitam monasticam eligentes a sanctis monasteriis abstrahant, vel hæreditate sua illos submoveant, licet ante vitam monasticam causa aliqua accesserit.

Ὁ μέλλων εἰσιέναι εἰς μοναστήριον διατιθέσθω τὰ κατ' αὐτὸν πρὸ τῆς εἰσόδου αὐτοῦ· ἐπεὶ προσκυροῦται τῷ μονασοηρίῳ τὰ αὐτοῦ πάντα, εἰ καὶ μὴ ῥητῶς φήσειεν εἰσαγαγεῖν αὐτὰ, καὶ οὐκέτι ἔσται κατ' οὐδένα τρόπον κύριος αὐτῶν.

Qui monasterium ingressus est, quæ sua sunt ante ingressum ejus testetur, quoniam omnes ejus facultates ad monasterium adjudicantur, etsi non expresse affirmet se illas introduxisse, nec amplius ullo modo erit illarum dominus.

Ὁ ἐπὶ παισὶ μονάσας δύναται καὶ μετὰ τὸ μονά-

Qui, cum habeat liberos, monachus fit, ei licet,

vel postquam monasterium ingressus est, bona sua inter filios suos dividere, unam partem sibi retinens, quam etiam monasterio despondet.

Si monachus intestatus moriatur, tunc liberi ejus ab intestato hæreditatem accipient, hoc est, per falcidiam legem, reliqua vero monasterio donantur.

Imperatoris Leonis novella, secundum dictum synodi canonem, filium quidem decem annos natum monasterium ingredi jubet, et monasticum habitum induere, non autem de bonis suis testari, donec 16 vel 17 annos attigerit. Arbitror enim, inquit, quod vel ob hanc rationem magnus Basilius in suo ascetico libro hoc ipsum tempus statuerit, quod nihil vetat, quin hac ætate de suis bonis possint deliberare.

Monachis duplex opus esse oportet, vel sacris Scripturis occupari et in iis semper meditari, vel quæ monachos decent manuum operationes subire. Nam cogitatio vaga et otiosa nihil boni producit.

Laicus, et maxime scenicus, vel fornicator, portans vel imitans monasticum et sanctum habitum, corporaliter punitur, et ab episcopis et magistratibus relegatur; ut qui alicui ecclesiasticæ constitutioni illudere meditatur. Quære et in 33 cap. litteræ E. Quare etiam in 43 cap. litteræ E.

CAP. XVI. *De sancto unguendo.*

Quære in 9 capite hujus litteræ canonem decimum sextum synodi Carthagin. et in 1 capite litteræ B can. 48 synodi Laodicenæ.

196 INITIUM LITTERÆ N.

CAP. I. *De templorum ædificatione et consecratione.*

Quære 12 caput litteræ E.

CAP. II. *Quod non oportet intra templi ambitus convivia fieri, vel cauponas esse, vel aliquid venum exponi, vel jumentum absque necessitate introduci, vel aliquem cum cum muliere permanere.*

Quære 15 caput litteræ. E.

CAP. III. *De infantibus expositis vel de quibus dubitatur, an baptizati fuerint.*

Quære 29 caput litteræ Γ, et in secundo capite litteræ B.

CAP. IV. *De jejunio.*

Sanctorum apostolorum 69 canon fideles Quadragesimale tempus ante sanctum Pasha nihil quidquam studii remittentes jejunio incumbere jubet et continentiæ, in memoriam quidem revocans dies illos, in quibus Dominus jejunio instructus quoad humanitatem, hostem nostrum cepit: porro et in quovis quarto die et Parasceve uniuscujusque cæterarum anni septimanarum, similiter jejunare et aridis vesci. Illis autem, qui in his omnibus jejunium non tolerant, clericis quidem, depositionem,

σαι διελεῖν τὴν οὐσίαν αὐτοῦ τοῖς ἰδίοις παισὶ φυλάττων ἑαυτῷ μέρος ἕν, ὃ καὶ τῷ μοναστηρίῳ ἁρμόζει.

Ἐὰν ἀδιάθετος ὁ μονάσας τελεῴτήσῃ, τότε οἱ παῖδες αὐτοῦ λήψονται τὴν ἐξ ἀδιαθέτου κληρονομίαν, τουτέστι τὸ φαλκίδιον, καὶ τὰ λοιπὰ δίδοται τῷ μοναστηρίῳ.

Ἡ δὲ νεαρὰ τοῦ βασιλέως Λέοντος δεκαετῆ μὲν εἰσιέναι τὸ μοναστήριον τὸν παῖδα κελεύει, κατὰ τὸν ῥηθέντα τῆς ς' συνόδου κανόνα, καὶ τὸ μοναχικὸν σχῆμα λαμβάνειν, μὴ μέντοι καὶ διατίθεσθαι περὶ τῶν οἰκείων, μέχρις ἂν ὁ ις' ἢ ιζ' ἐπιστῇ χρόνος. Οἶμαι γάρ, φησὶ, διὰ τοῦτο καὶ τὸν μέγαν Βασίλειον τουτονὶ τὸν χρόνον ὁρίσαι ἐν τῇ ἀσκητικῇ αὐτοῦ βίβλῳ, ὡς μηδὲν ἐμποδὼν οὔσης τηνικαῦτα τῆς ἡλικίας εἰς τὸ περὶ τῶν οἰκείων βουλεύσασθαι.

Δεῖ δὲ διπλοῦν τὸ ἔργον τοῖς μοναχοῖς εἶναι, ἢ ταῖς θείαις ἐνασχολεῖσθαι Γραφαῖς, καὶ ταύταις ἀεὶ μελετᾷν, ἢ τὰ μοναχοῖς πρέποντα ἐργόχειρα μετιέναι. Διάνοια γὰρ μάτην σχολάζουσα οὐδὲν ἂν τῶν ἀγαθῶν ἀποτέκοι.

Λαϊκὸς, καὶ μάλιστα σκηνικὸς, ἢ πόρνοις, κεχρημένος ἢ μιμούμενος τὸ μοναχικὸν καὶ ἅγιον σχῆμα, σωματικῶς τιμωρεῖται, καὶ ἐξορίζεται πρὸς τῶν ἐπισκόπων καὶ τῶν ἀρχόντων· ὡσαύτως καὶ ὁ ἐμπαῖξαι βουληθεὶς οἱανδήτινα ἐκκλησιαστικὴν κατάστασιν. Ζήτει καὶ ἐν τῷ λγ' κεφ. τνῦ Ε στοιχείου· Ζήτει καὶ ἐν τῷ ιγ' κεφ. τοῦ Ε στοιχείου.

ΚΕΦΑΛ. Ις'. Περὶ τοῦ ἁγίου μύρου.

Ζήτει ἐν τῷ θ' κεφ. τοῦ παρόντος στοιχείου κανόνα ις' τῆς ἐν Καρθαγένῃ συνόδου, καὶ ἐν τῷ α' κεφ. τοῦ Β στοιχείου κανόνα μη' τῆς ἐν Λαοδικείᾳ συνόδου.

ΑΡΧΗ ΤΟΥ Ν ΣΤΟΙΧΕΙΟΥ.

ΚΕΦΑΛ. Α'. Περὶ ναῶν οἰκοδομῆς καὶ καθιερώσεως.

Ζήτει τὸ ιβ' κεφ. τοῦ Ε στοιχείου.

ΚΕΦΑΛ. Β'. Ὅτι οὐ δεῖ ἔνδον τῶν τοῦ νεὼ περιβόλων συμπόσια γίνεσθαι, ἢ καπηλεῖα εἶναι, ἤ τι κατ' ἐμπορίαν προτίθεσθαι, ἢ κτῆνος χωρὶς ἀνάγκης εἰσάγειν, ἢ τινα μετὰ γυναικὸς καταμένειν.

Ζήτει τὸ ιε' κεφ. τοῦ Ε στοιχείου.

ΚΕΦΑΛ. Γ'. Περὶ νηπίων ἐκτιθεμένων, ἢ ἀμφιβαλλομένων, εἰ ἐβαπτίσθησαν.

Ζήτει τὸ κθ' κεφ. τοῦ Γ στοιχείου, καὶ τὸ β' κεφ. τοῦ Β στοιχείου.

ΚΕΦΑΛ. Δ'. Περὶ νηστείας.

Ὁ ξθ' τῶν ἁγίων ἀποστόλων κανὼν τὸν πρὸ τοῦ ἁγίου Πάσχα τεσσαρακονθήμερον χρόνον, μηδὲν σπουδῆς τοὺς πιστοὺς ἀνιέστας, νηστείᾳ θεσπίζει προσανέχειν καὶ ἐγκρατείᾳ, εἰς μνήμην ἁγων τῶν ἡμερῶν ὁήπου ἐκείνων, ἐν αἷς ὁ Κύριος, νηστείᾳ φραξάμενος κατὰ τὸ ἀνθρώπινον, τὸν ἡμέτερον εἶλε πολέμιον· οὐ μὴν ἀλλὰ καὶ πᾶσαν τετράδα καὶ Παρασκευὴν ἑκάστης τῶν ἄλλων τοῦ ἐνιαυτοῦ ἑβδομάδων, ἐξ ἴσης ἐκείναις ἐν νηστείᾳ διάγειν καὶ ξηροφαγίᾳ. Τοῖς γε μὴν οὐκ ἀνεχομένοις ἐν ταύταις

ἁπάσαις νηστεύειν, κληρικοῖς μὲν καθαίρεσιν, λαϊκοῖς δὲ ἀφορισμὸν ἐπισείει, εἰ μήπου τις, φησὶν, ἀσθενείᾳ κάτοχος ὢν ἐργεται. Ἡ γὰρ νηστεία διὰ ταπείνωσιν ἐπινενόηται τῆς σφριγώσης σαρκός· ταύτης δὲ νόσῳ κατασταλείσης, οὐ πάνυ τι ἀναγκαῖον, τὸ νηστείᾳ ταύτην δαμάζειν. Τοὺς γοῦν ἀσθενῶς ἔχοντας, καὶ τὴν ἐξ ἰχθύων ἐδωδὴν προσιεμένους, ἄγνωμον μὴ συγγνώμης τυγχάνειν· κρεῶν δὲ ὅλως ἅψασθαι, οὐδὲν διενήνοχε δυσσεβείας, εἰ καὶ τὸ λοίσθιά τις πνέων, τῇ μεταλήψει τούτων ἀναῤῥωσθῆναι δοκεῖ. Ἐν μὲν τοι τοῖς Σάββασι καὶ ταῖς Κυριακαῖς τοὺ τεσσαρακονθημέρου, ἀφθονωτέρᾳ κεχρῆσθαι τροφῇ συγκεχώρηται, κατὰ τὸν ξς' ἀποστολικὸν κανόνα, ὃν καὶ ζητεῖ ἐν τῷ λζ' κεφ. τοῦ Κ στοιχείου. Κυρίως δὲ ἡ πρὸ τοῦ ἁγίου Πάσχα καὶ μόνη τεσσαρακονθήμερος νηστεία νενομοθέτηται· εἰ γὰρ ἦσαν καὶ ἕτεραι, ἐμνήσθη ἂν κἀκείνων ὁ κανών. Πλὴν καὶ κατὰ τὰς ἄλλας νηστίμους, τῶν ἁγίων ἀποστόλων, φημὶ, τῆς κοιμήσεως τῆς ἁγίας Θεοτόκου, καὶ τῆς Χριστοῦ Γεννήσεως, οὐδεὶς εὖ φρονων, οἶμαι, νησιεύουσιν ἐγκαλέσειεν.

Ζήτει καὶ ἐν τῷ λζ' κεφ. τοῦ Κ στοιχείου τὸν ιε' κανόνα τοῦ ἁγίου Πέτρου Ἀλεξανδρείας.

Ὁ δὲ δέκατος τοῦ Τιμοθέου Ἀλεξανδρείας ἐν ταῖς πρὸ τοῦ Πάσχα νηστίμοις ἡμέραις καὶ οἴνου μεταλαμβάνειν καὶ ἐλαίου δικαιοῖ τὸν ὑπὸ νόσου ἐκτετηκότα, καὶ μὴ παραπλησίως τοῖς ἄλλοις, τῆς νενομισμένης ἔχεσθαι ξηροφαγίας, ἀλλ' ὡς ὑπομεῖναι δεδύνηται, ἢ ἑκάστης καταλύειν, ἢ παρ' ἡμέραν, κατὰ τὴν ἐπίκρισιν ᾧ προσανέθετο τὴν οἰκονομίαν τῶν οἰκείων λογισμῶν. Ζήτει καὶ τὸ κε' κεφ. τοῦ Γ στοιχείου.

Ὁ δὲ τῆς ἐν Γάγγρᾳ συνόδου ιη' κανὼν, Εἴ τις τῶν ἀσκουμένων, φησὶ, χωρὶς ἀνάγκης σωματικῆς ὑπερηφανεύοιτο, καὶ τὰς παραδεδομένας νηστείας εἰς τὸ κοινὸν καὶ φυλαττομένας ὑπὸ τῆς Ἐκκλησίας παραλύοι, ὑποικουροῦντος ἐν αὐτῷ τελείου λογισμοῦ, ἀνάθεμα ἔστω. Καὶ ὁ μὲν μα' τῆς ἐν Καρθαγένῃ συνόδου κανὼν, νήστεις εἶναι κελεύει τοὺς τελοῦντας τὰ τοῦ θυσιαστηρίου ἅγια διακόνους καὶ ἱερέας, μιᾶς ἐξῃρημένης ἐτησίως ἡμέρας, καθ' ἣν τὸ Κυριακὸν ἐπιτελεῖται δεῖπνον, τῆς μεγάλης δηλαδὴ πέμπτης. Μετὰ γὰρ τὴν σωματικὴν, τὰ τῆς πνευματικῆς, ὡς ἔοικε, τροφῆς ἐπτέλουν. Ἀλλὰ καὶ δήλης ὀψίας οὐτινοσοῦν τελευτήσαντος, εἰ μὲν εἶεν οἱ τὰ ἅγια τελοῦντες νήστεις, φησὶ, μόναις εὐχαῖς ἐκτελείτωσαν ταῦτα. Τοῦτο δὲ τὸ νῦν ἔχον παρὰ τοσοῦτον οὐ πράττεται, παρόσον καὶ ἡμῖν ὅτι καὶ λίγειν ἠγνόηται· ἀλλὰ δύο κανόνες δίκην ὡς εἰπεῖν τούτῳ λαχόντες σχολὴν ἄγειν ἐπιτετιμήκασιν.

Ὁ μὲν γὰρ ν' τῆς ἐν Λαοδικείᾳ συνόδου μὴ δεῖν φησὶ, ἐν τῇ ἁγίᾳ τεσσαρακοστῇ τῇ ὑστεραίᾳ ἑβδομάδι τὴν πέμπτην λύειν, πολυτελεστέροις δηλαδὴ βρώμασι κεχρημένους, καὶ ὅλην ἐντεῦθεν τὴν τεσσαρακοστὴν ἀτιμάζειν· ἀλλὰ πᾶσαν ἐν νηστείᾳ διεῖναι καὶ ξηροφαγίᾳ, ἐκτὸς δηλαδὴ τῶν ἐν ταύτῃ Σαββάτων καὶ Κυριακῶν.

Ὁ δὲ κθ' τῆς ς' συνόδου ταῦτά τε, ὡς ἔχει λέξεως, δίεισι, καὶ προσεπάγει, ὡς οἱ θεῖοι Πατέρες

A laicis vero, segregationem infligit, nisi quis, inquit, imbecillitate detentus, impediatur. Jejunium enim introductum fuit propter libidinosæ carnis humiliationem; eam vero per morbum jam subjectam, non omnino necesse erit jejunio affligere. Eos autem qui male se habent, sed tamen piscium esum admittunt, iniquum est veniam non consequi: carnibus vero ullatenus vesci nihil plane minus quam impium; imo quamvis aliquis lethali morbo laborans illo victu semet convaliturum speraverit. In Sabbatis quidem et diebus Dominicis per Quadragesimam paulo largiori cibo uti indultum fuit, juxta can. apostolicum 66 quem vide in cap. 27 litteræ K. Stricte autem loquendo sanciebatur quadraginta dierum jejunium ante sacrum Pascha, idque solum. Quippe si tum alia obtinuissent, neutiquam tacuisset canon. **197** Verumtamen eos qui in aliis jejunandi temporibus, puta vigiliis sanct. apost., sepulturæ B. Deiparæ et Nativitatis Christi abstinent, prudens nemo, quod reor, redarguet.

Quære etiam in 37 cap. litteræ K canonem 15 S. Petri episcopi Alexandriæ.

Decimus Timothei Alexandrini canon in diebus jejunii ante Pascha morbo laboranti vini atque olei usum indulget, neque hosce sicut alios ad xerophagiam id est cibum aridum tenuemque obligat; sed potius, ut tolerare queant, vel cujusque diei jejunium solvere, vel alterni cujusque juxta discretionem ejus, cui consiliorum suorum regimen commisit. Vide et 25 cap. litteræ Γ.

Canon autem 18 concilii Gangrensis hæc habet: Si quis eorum qui pietatis exercitationi student, absque corporis exigentia insolescat, et jejunia in commune tradita et ab Ecclesia observata dissolvat, idque maturo consilio interveniente fecerit, anathema esto. Insuper canon 41 synodi Carthaginensis diaconis et sacerdotibus sacramenta altaris jejunos celebrare præcipit, excepto uno anni die, quo Cœna Dominica celebratur, nimirum magna feria quarta. Nam post cibum coporalem quæ ad spiritualem pertinent, ut videtur, ministrabant. Imo quando quis tempore postmeridiano e vivis discedit, nisi hi qui ministrant impransi fuerint, sacra, inquit, orationibus solis faciant. Hoc autem hodie eam ob causam non obtinet, quod quid sibi velit ignoramus. Verum duo canones et prope dixerim merito jejunii intermissionem taxarunt.

Nam concilii Laodiceni canon 50, Non oportet, inquit, in ultima Quadragesimæ septimana feria quartæ jejunium solvere, utendo scilicet cibis delicatoribus, adeoque totam Quadragesimam debonestare, sed potius tempus Quadragesimale in jejunio victuque arido integrum transigere, Sabbatis tamen et Dominicis deibus exceptis.

Canon vero undetricesimus concilii sexti eadem usque recenset, et superaddit, quemadmodum sancti

Patres graves ob causas eo temporis dispensatione ista usi sunt. Nos tamen haudquaquam oportet apostolorum et Patrum traditiones abrogare. Innuit vero dictum apostolicum canonem 69 et hunc ipsum concilii Laodiceni.

CAP. V. *Quod non deceat in Sabbatis aut Dominicis jejunare.*

Quære cap. 37 litteræ K.

CAP. VI. *Quod jejunantes a cibis abstinere debent, haud tamen quasi in se exsecrabilibus.*

Vide 9 cap. litteræ B, et etiam in 2 cap. litteræ E canonem 33 magni Basilii.

198 CAP. VII. *De lege.*

Lex est commune præceptum: virorum prudentium placitum: delictorum cum voluntariorum tum involuntariorum correctio aut reprehensio, civitatis commune pactum: est divinum inventum. Virtus legis est jubere, vetare, permittere, punire.

Leges non de singularibus feruntur, sed communiter.

Jurisprudentia a justitia nomen habet; est enim ars boni et æqui.

De iis quæ frequentius obtingunt, non quæ perraro, leges inferri oportet: minime de iis rebus, quibus uno tantum in casu accidere datur. Nam legislatores haud attendunt semel et bis.

Leges primigeniæ in sequiores decucuntur, constitutiones vero recentiores majorem vim obtinent quam prius latæ.

De quibus lex nulla conscripta est, longa consuetudo per complures annos comprobata vicem legis subit, ejusque vim obtinet.

Perperam judicata aut expressa neque lex, neque tempus, neque consuetudo rata facit.

CAP. VIII. *De possessione.*

Leges.

Decem vel etiam viginti annorum præscriptio ei, qui mala fide possederit, haud prodest: imo nec tricennalis, nisi quiete possederit, nullamque in foro litem sustinuerit. Vide etiam in capite 9 litteræ Δ.

Omne servitium et ususfructus eis, qui non usurpant, propter ipsum temporis decursum, præsentibus quidem decennali, absentibus præscriptione vicennali amittitur.

Qui servitium jure obtinet pecora in agro alieno adaquandi ac pascendi, servitium etiam usurpare potest inibi tugurium excitandi.

Qui ex alieno agro, sciente domino, aquam traxerit, servitium sibi in agro illo vindicat usucapione triennali, domino interim non prohibente.

Bona mobilia si quis per triennium absque querela possederit, ipsi cedunt occupanti.

199 INITIUM LITTERÆ Ξ.

CAP. I. *De tollendis simulacris.*

Synodi Carthaginensis canon 58 atque etiam

A δι' αἰτίας ἴσως λυσιτελεῖς τῷ τότε καιρῷ τῇ οἰκονομίᾳ ταύτῃ ἐχρήσαντο. Ἡμῖν δὲ οὐκ ἀναγκαῖον τὰς ἀποστολικὰς καὶ πατρικὰς ἀθετεῖν παραδόσεις, τὸν ῥηθέντα αἰνιττόμενος ξθ' ἀποστολικὸν κανόνα, καὶ τὸν τῆς ἐν Λαοδικείᾳ συνόδου τουτονί.

ΚΕΦΑΛ Ε'. Ὅτι οὐ δεῖ νηστεύειν ἐν τοῖς Σάββασι καὶ ταῖς Κυριακαῖς.

Ζήτει τὸ λζ' κεφάλαιον τοῦ Κ στοιχείου.

ΚΕΦΑΛ. ς'. Ὅτι τοὺς νηστεύοντας οὐχ ὡς βδελυκτῶν τῶν βρωμάτων ἀπέχεσθαι δεῖ.

Ζήτει τὸ θ' κεφαλ. τοῦ Β στοιχείου, καὶ ἐν τῷ β' κεφ. τοῦ Ε στοιχείου τὸν κγ' κανόνα τοῦ μεγάλου Βασιλείου.

ΚΕΦΑΛ. Ζ'. Περὶ νόμου.

Νόμος ἐστὶ κοινὸν παράγγελμα· φρονίμων ἀνδρῶν δόγμα· ἑκουσίων καὶ ἀκουσίων ἁμαρτημάτων ἐπιB στροφή, ἤτοι σωφρονισμός· πόλεως συνθήκη κοινή· ἔστι δὲ καὶ θεῖον εὕρημα. Ἀρετὴ νόμου τὸ κελεύειν, τὸ κωλύειν, τὸ ἐπιτρέπειν, τὸ τιμωρεῖσθαι.

Οὐ περὶ τοῦ καθέκαστον, ἀλλὰ κοινῶς οἱ νόμοι τίθενται.

Ὁ νόμος ἀπὸ τῆς δικαιοσύνης ὠνόμασται, ἔστι γὰρ τέχνη τοῦ καλοῦ καὶ τοῦ ἴσου.

Τοὺς νόμους, ἀπὸ τῶν ὡς ἐπὶ τὸ πλεῖστον συμβαινόντων, οὐ μὴν τῶν σπανίως εἰσάγεσθαι δεῖ, οὐδὲ ἀπὸ τῶν δυναμένων ἐν ἐνὶ συμβῆναι θέματι· παρορῶσι γὰρ οἱ νομοθέται τὸ ἅπαξ ἢ δίς.

Οἱ προγενέστεροι νόμοι εἰς τοὺς μεταγενεστέρους ἕλκονται· αἱ δὲ μεταγενέστεραι διατάξεις ἰσχυρότεραι τῶν πρὸ αὐτῶν εἰσιν.

Ἐν οἷς οὐκ ἔσται ἔγγραφος νόμος, ἡ μακρὰ συνC ήθεια, ἐπὶ πολλοὺς ἐνιαυτοὺς δοκιμασθεῖσα, ἀντὶ νόμου κρατεῖ, τάξιν ἔχουσα νόμου.

Τὰ κακῶς κριθέντα καὶ τυπωθέντα, οὔτε νόμος, οὔτε χρόνος, οὔτε συνήθεια βεβαιοῖ.

ΚΕΦΑΛ. Η'. Περὶ νομῆς.

Νόμοι.

Ὅτι δεκαετία ἢ εἰκοσαετία οὐ βοηθεῖ τῷ κακῇ πίστει νεμομένῳ, εἰ μὴ ἡ τριακονταετία καὶ μόνον, εἴπερ ἀδιακόπως ἐνέμετο, καὶ ὄχλησιν ἐν δικαστηρίῳ μὴ ὑπέμεινε. Ζήτει καὶ ἐν τῷ θ' κεφ. τοῦ Δ στοιχείου.

Πᾶσα δουλεία καὶ πᾶσα χρῆσις ἐπὶ τῶν μὴ κεχρημένων, διὰ τῆς τοῦ χρόνου παραδρομῆς, ἐπὶ μὲν παρόντων, δεκαετίᾳ, ἐπὶ δὲ ἀπόντων, εἰκοσαεD τίᾳ ἀπόλλυται.

Ὁ ἔχων δουλείαν τοῦ ποτίζειν καὶ βόσκειν ἐν τῷ ἀγρῷ σου θρέμματα, δύναται κτᾶσθαι δουλείαν τοῦ ἐν αὐτῷ ποιεῖν καλύβην.

Ὁ δι' ἀλλοτρίου ἀγροῦ ἕλκων ὕδωρ, εἰδότος τοῦ δεσπότου τοῦ ἀγροῦ, κτᾶται κατὰ τοῦ ἀγροῦ δουλείαν ἐν τῷ νενομισμένῳ τριετίας χρόνῳ, μὴ κωλύσαντος αὐτὸν τοῦ δεσπότου τοῦ ἀγροῦ.

Τὰ κινητὰ πράγματα, ἐπὶ τριετίαν ἀνεπιφωνήτως κρατούμενα, δεσπόζονται.

ΑΡΧΗ ΤΟΥ Ξ ΣΤΟΙΧΕΙΟΥ.

ΚΕΦΑΛ. Α'. Περὶ ξοάνων καθαιρέσεως.

Ὁ τῆς ἐν Καρθαγένῃ συνόδου κανὼν νη', καὶ μέν-

τοι καὶ ὁ πδ' τὰ ξόανα πάντα κελεύουσι καθαιρεῖν καὶ τὰ τῶν εἰδώλων ἐγκαταλείμματα ῥίζαις αὐταῖς ἐξελεῖν.

ΚΕΦΑΛ. Β. Ὅτι δεῖ τοὺς ξένους τῶν κληρικῶν ὑποδέχεσθαι.

Ζήτει τὸ θ' κεφάλαιον τοῦ Α στοιχείου.

ΑΡΧΗ ΤΟΥ Ο ΣΤΟΙΧΖΙΟΥ

ΚΕΦΑΛ. Α'. Ὅτι οἰκονόμον ἔχειν δεῖ τὸν ἐπίσκοπον καὶ τὸν ἡγούμενον.

Ζήτει τὸ κδ' κεφάλαιον τοῦ Ε στοιχείου.

ΚΕΦΑΛ. Β'. Περὶ οἰωνισμῶν.

Ζήτει τὸ γ' κεφάλαιον τοῦ Ε στοιχείου.

ΚΕΦΑΛ. Γ'. Περὶ ὀνειρασθέντος.

Ζήτει τὸ κη' κεφάλαιον τοῦ Κ στοιχείου.

ΚΕΦΑΛ. Δ'. Περὶ ὅρκων.

Ζήτει τὸ λβ' κεφάλαιον τοῦ Ε στοιχείου.

ΑΡΧΗ ΤΟΥ Η ΣΤΟΙΧΕΙΟΥ.

ΚΕΦΑΛ. Α'. Περὶ παιγνίων θυμελικῶν.

Ζήτει τὸ α, κεφ. τοῦ Θ στοιχείου, καὶ ἐν τῷ ιε' κεφ. τοῦ Μ στοιχείου κανόνα κζ τῆς ζ' συνόδου, καὶ τὸ ζ' κεφ. τοῦ Γ στοιχείου.

ΚΕΦΑΛ. Β'. Περὶ τῶν ἐν πανδοχείῳ ἐσθιόντων κληρικῶν.

Ζήτει τὸ ζ' κεφάλαιον τοῦ Κ στοιχείου.

ΚΕΦΑΛ. Γ'. Περὶ παραιτήσεως ἐπισκόπων.

Ζήτει τὸ κη' κεφάλαιον τοῦ Ε στοιχείου.

ΚΕΦΑΛ. Δ'. Περὶ τῶν παρθενίαν ἑλομένων γυναικῶν.

Ζήτει τὸ ιε' κεφάλαιον τοῦ Μ στοιχείου.

ΚΕΦΑΛ. Ε'. Περὶ τῆς ἐν τῇ Παρασκευῇ νηστείας

Ζήτει τὸ δ' κεφάλαιον τοῦ Ν στοιχείου.

ΚΕΦΑΛ. ϛ'. Περὶ παρακαταθήκης

Παρακαταθήκη ἐστὶ τὸ ἐπὶ παραφυλακῇ τινι διδόμενον. Ἐὰν ἐξ ἐπιδομῆς λῃστῶν ὁ τὴν παρακαταθήκην λαβὼν ἀπώλεσε ταύτην, οὐ κινδυνεύεσαι τοῖς κληρονόμοις αὐτοῦ ἡ ἀπώλεια. Ὁ γὰρ παρακαταθήκην λαμβάνων δόλον μόνον καὶ ῥᾳθυμίαν καὶ ἀμέλειαν ἀπαιτεῖται, εἰ μὴ ῥητῶς καὶ ἕτερόν τι συνεφωνήθη.

ΚΕΦΑΛ. Ζ'. Περὶ τοῦ ἁγίου Πάσχα.

Εἶτα τὰς μὲν ἄλλας τῶν ὑποθέσεων, ἃς τὸ προκείμενον ἀπαιτεῖ σύνταγμα, τοῦ μηδὲν ἐλλείπειν τῶν ἡκόντων εἰς δύναμιν τοῖς σμικρὰ καὶ φρονοῦσι καὶ ὁρῶσιν ἡμῖν ἐμέλησε, τοῦ δὲ σεβασμίου τοσοῦτον κατολιγωρήσομεν Πάσχα, ἐν ᾧ το κεφάλαιον τῆς περὶ ἡμᾶς τοῦ Κυρίου οἰκονομίας ἐζείργασται, ὡς μὴ τὰς μεθόδους αὐτοῦ, καὶ τὰς τούτων αἰτίας, ὡς οἷόν τε δήλας θεῖται τοῖς ἀγνοοῦσι; Καὶ τίς ἂν ἡμᾶς δικαίας οὕτω παραιτήσαιτο μέμψεως; Τοιγάρτε καὶ πρό γε τῶν θείων χρησμῶν, μικρά μοι δοκεῖ διαλαβεῖν ἅττα. Τοῦ Πάσχα τοῦ ἱεροῦ πολλοῦ δέομεν ἐν περινοίᾳ γενέσθαι, μηδέπω κατειληφότες τὸ νομικόν· δεῖ γὰρ τοὺς τύπους ἡγεῖσθαι πρὸς τὴν τῆς ἀληθείας συντέλειαν. Τὸ Πάσχα τοίνυν τὸ νομικὸν Μωσῆς ἐκεῖνος ὁ πάνυ κατά γε τὴν ιδ' τοῦ πρώτου σεληνιακοῦ μηνὸς τελεῖσθαι νενομοθέτηκε. Πρῶτος δὲ μήν ἐστιν ὁ παρ' Αἰγυπτίοις μὲν Φαμενὼθ, Δίστρος δὲ παρ' Ἕλλησι, Νισὰν δὲ παρ' Ἑβραίοις, παρὰ δὲ Ῥωμαίοις ὀνομαζόμενος Μάρ-

A 84 simulacra omnia tolli e medio et ipsas idolorum reliquias radicitus exstirpari jubent.

CAP. II. *Quod clericorum deceat hospites hospitio excipere.*

Vide cap. 9 litteræ A.

INITIUM LITTERÆ O.

CAP. I. *Quod episcopus ac præfectus œconomum apud se habere debeat.*

Quære cap. 24 litteræ E.

CAP. II. *De auguriis.*

Vide caput 3 litteræ E.

CAP. III. *De iis qui se noctu polluunt.*

Consule caput 38 litteræ K.

CAP. IV. *De juramentis.*

B Vide caput 32 litteræ E.

INITIUM LITTERÆ II.

CAP. I. *De ludis scenicis.*

Quære caput 1 litteræ Θ, et in cap. 15 litteræ M synodi sptimæ canonem 27 synodi 7 et caput 7 litteræ Γ.

200 CAP. II. *De clericis in taberna comedentibus.*

Vide cap. 7 litteræ K.

CAP. III. *De episcopali audientia.*

Quære caput 28 litteræ E.

CAP. IV. *De feminis quæ votum castitatis susceperunt.*

Vide cap. 15 litteræ M.

CAP. V. *De jejunio in Parasceve.*

C Consule cap. 4 litteræ N.

CAP. VI. *De deposito sive fideicommisso.*

Depositum est quod custodiendum alicui datur. Si ille, qui rem servandam suscepit, latronibus incursantibus perdiderit, hæredes tamen amissionem depositi actione non experientur. Nam qui depositum accepit, solum dolum et negligentiam atque inertiam præstat, nisi forte aliud aliquid disertis verbis conventum fuerat.

CAP. VII. *De sacro Paschate.*

Postmodum alia quidem argumenta, quæ hoc opus expetere videbatur, ne deesset quidpiam eorum quæ huc spectant, quantum nobis licuit magni nihil vel cogitantibus vel facientibus, haud indiligenter tractavimus, adeone venerandum Pascha, in quo summum Dominicæ dispensationis peractum est, neglectui habebimus, ut methodos ipsius atque earum causas, ut fit harum rerum ignaris exponere supersedeamus? Quis enim nobis hoc vitio merito vertat? Quocirca ante divina oracula breviter de iis disserere libet, quæ circa sacrum Pascha scire quam maxime refert, legali illo non penitus neglecto. Typi enim, ut par est, ad veritatis consummationem nos deducunt. Jussit igitur Moyses vir summus primi mensis lunaris quarto et decimo die Pascha legale celebrari. Mensium autem primus is est, quem Ægyptii Phamenoth, Distrum 201 Græci, Hebræi Nisan, et Romani Martium vocant. Quo quidem mense sol itinere suo universo

contraria decurrens zodiaci circuli signum primum intrat, quod æquinoctiale punctum, et mensium principium, et circuli caput, et carceres cursus planetarum harum rerum studiosi nuncupare solent, atque adeo signum proxime præcedens, seu pisces, mensem ultimum, signum postremum, et periodi planetariæ exitum sive metam. Martium enim mensium primum esse credimus, quoniam Moyses ait eo temporis jussisse Deum, ut arbores et flores et gramina revirescerent. Videmus sane hac naturæ conditione, non quavis alia ordinationem divinam adimpleri. Verumtamen mensis ille Martius, sicuti cæteri omnes tam nominibus quam numero dierum apud gentes illas, quas supra dixi, pariter distinguuntur. Æquinoctium insuper ipsa universi natura quotannis eodem tempore restituit, eo quod quantitas annua eximiam æquabilitatem præ se ferat. At vero numerus dierum et mensium, quo una cum Romanis utimur, (quod et aliæ gentes solent) neque hora eadem nec die quidem eodemæ quinoctium accidere patitur. Quoniam enim tempus annuum præter dies 365 etiam quartam ferme diei partem asciscit, si quando æquinoctium circa meridiem contingat, anno sequente circa occasum solis fiet, annoque huic proximo circa noctem mediam : atque ita porro. Rursus, quia id quod ultra dies 365 superest, quartam diei partem exacte haud contineat, sed trecentesima fere particula deficiat, ut in sequentibus luculentius demonstrabimus : nobis tamen in usu sit numerus tam dierum quam mensium Romanorum, adeoque quolibet quadriennio unum diem adjiciamus, ut annus quartus semper sit completus : necesse est in annis 300 æquinoctium uno die anticipet. Ut exempli gratia, quoniam hoc ipso tempore æquinoctium die octavo ac decimo Martii mensis obtingere computatur, post annos abhinc trecentos in septimum et decimum diem incidet, dein post alios trecentos in diem decimum sextum, pariterque in perpetuum. Accidit enim æquinoctium tempore Nabonassari Martii die quinto et vicesimo circa vesperam, et tempore Philippi Aridæi circa meridiem quarti et vicesimi dici mensis ejusdem. Anno autem, quo Christus pro nobis redimendis passus est, istius die vicesimo tertio circa noctem mediam ; nostro autem tempore, ut demonstratum est, duodevicesimo ejus die.

Hebræorum igitur doctiores, illique præcipue qui Judæam incolnere, ut Josephus atque Philo, summi utrique philosophi, legale Pascha ante æquinoctium haudquaquam celebrandum esse judicabant. Aiunt enim isti post æquinoctium vernum circa medium primi mensis ab omnibus pariter mactanda esse διαβατήρια sive sacrificia paschalia. Qui vero in hac re imperite ac rustice versantur. passim per terrarum orbem dispersi, mensem primum eum esse ex inscitia suspicantur, in quo æquinoctium vernum solum fieri contingit ; an quidem ante æquinoctium, anne post illud luna

τιος. Ἐν ᾧ τὴν ἐναντίαν τοῦ παντὸς διιππεύων ὁ ἥλιος, τὸ πρῶτον ἄρχεται τοῦ λωδιακοῦ κύκλου δωδεκατημόριον εἰοιέναι, ὃ δὴ καὶ ἰσημερινὸν, καὶ μηνῶν ἀρχὴν, καὶ κεφαλὴν τοῦ κύκλου, καὶ ἄφεσιν τοῦ δρόμου τῶν πλανητῶν, οἱ περὶ ταῦτα ἐσχολακότες φιλοῦσι καλεῖν · τὸ δὲ πρὸ τούτου, μηνῶν ἔσχατον, καὶ τελευταῖον δωδεκατημόριον, καὶ τέλος τὴν τῶν πλανητῶν περιόδου. Τὸν Μάρτιον δὲ πρῶτος εἶναι μῆνα πιστεύομεν, ἐξ ὧν ὁ Μωϋσῆς εἴρηκεν, ὡς κελεύσειεν ὁ Θεὸς κατ' ἐκεῖνο τοῦ καιροῦ τὰ δένδρα, καὶ τὰ ἄνθη, καὶ τὰς πόας ἀναβλαστῆσαι. Ὁρῶμεν δὲ οὐκ ἐν ἑτέρῳ, ἀλλ' ἐν τούτῳ νόμῳ φύσεως, τοῦ Θεοῦ πληροόμενον τὸ ἐπίταγμα. Ὁ μὲν οὖν εἰρημένος μὴν, ὥσπερ ἄρα καὶ οἱ λοιποὶ πάντες, οὐχ ἧττον τοῖς ὀνόμασιν ἢ τῷ ἀριθμῷ τῶν ἡμερῶν διαφέρουσι παρ' ἑκάστοις τῶν εἰρημένων ἐθνῶν. Τὴν γε μὴν ἰσημερίαν ἡ μὲν τοῦ παντὸς φύσις τὸν αὐτὸν ἀεὶ χρόνον καθ' ἕκαστον ἔτος ποιεῖ, τῷ πολλὴν φέρειν ἀεὶ πρὸς ἑαυτὸ τὴν ἰσότητα τὸ τοῦ ἐνιαυσίου χρόνου διάστημα. Ὁ ἀριθμὸς μέντοι τῶν ἡμερῶν τε καὶ μηνῶν, ὅ τε τοῖς ἄλλοις εἰωθὼς ἔθνεσι, καὶ ᾧ κατὰ Ῥωμαίους ἡμεῖς χρώμεθα, οὔτε τὴν αὐτὴν ὥραν, οὔτε τὴν αὐτὴν ἡμέραν συγχωρεῖ γίνεσθαι. Ἐπεὶ γὰρ τὸ ἐνιαύσιον μέγεθος, πρὸς ταῖς τξε' ἡμέραις, καὶ τέταρτον ἔγγιστα προσλαμβάνει, ὅταν ᾖ ἡ ἰσημερία περὶ μεσημβρίαν, τὸ μὲν ἑξῆς ἔτος ἔσται περὶ δύσιν ἡλίου, τὸ δὲ ἑξῆς, περὶ μέσας νύκτας, καὶ οὕτω μέχρι παντός. Ἐπεὶ δ' αὖθις ἡ ἐπὶ τξε' ἡμέρας ἐπουσία οὐχ ὅλον τέταρτον ἡμέρας περιέχει, ἀλλὰ παρὰ τριακοστὸν, ὡς προϊόντες ἀκριβέστερον δείξομεν, ἡμεῖς δὲ τῷ τῶν ἡμερῶν καὶ μηνῶν ἀριθμῷ κατὰ Ῥωμαίους χρώμεθα, ὡς τοῦ τετάρτου ἀεὶ τελείου προσγινομένου, καὶ παρὰ τοῦτο κατὰ τέσσαρας ἐνιαυτοὺς μίαν ἡμέραν ταῖς τξε' προστίθεμεν, ἐξ ἀνάγκης τὴν ἰσημερίαν συμβαίνει ἐν τοῖς τ' ἐνιαυτοῖς πρὸ μιᾶς ἡμέρας γίνεσθαι. Οἷον ἐπεὶ κατὰ τὸ παρὸν ἡ ἰσημερία ἐπιλελόγισται ἡμῖν γινομένη τῇ ὀκτωκαιδεκάτῃ τοῦ Μαρτίου μηνὸς, μετὰ τριακόσια ἔτη ἔσται τῇ ἑπτακαιδεκάτῃ · εἶτα μετὰ ἕτερα τοσαῦτα, τῇ δεκάτῃ ἕκτῃ, καὶ οὕτως ἀεί. Καὶ γὰρ κατὰ τοὺς χρόνους Ναβουνασάρου περὶ λῆξιν ἑσπερίαν ἐτύγχανεν οὖσα τῆς τοῦ Μαρτίου πέμπτης καὶ εἰκοστῆς · ἐν δὲ τοῖς Φιλίππου τοῦ Ἀριδαίου, περὶ μεσημβρίαν τῆς τετάρτης καὶ εἰκοστῆς αὐτοῦ. Ἡνίκα δὲ ὁ Χριστὸς τὸν σωτήριον ὑπὲρ ἡμῶν ὑπήρχετο θάνατον, περὶ μέσην νύκτα τῆς κγ' τοῦ αὐτοῦ μηνός · ἐφ' ἡμῶν δὲ νῦν, ὡς δεδήλωται, περὶ πουτὴν δεκάτην ὀγδόην αὐτοῦ.

Οἱ μὲν οὖν λογιώτεροι τῶν Ἑβραίων, καὶ μάλιστα οἱ τὴν Ἰουδαίαν οἰκοῦντες, οἷος ἦν Ἰώσηπος καὶ Φίλων, ἄνδρες φιλοσοφίας ἁπάσης ἐπ' ἄκρον ἐληλακότες, οὐκ ᾤοντο δεῖν πρὸ τῆς ἰσημερίας τὸ νομικὸν ἄγειν Πάσχα. Αὐτοὶ γὰρ οὗτοί φασι δεῖν τὰ διαβατήρια θύειν ἐπίσης ἅπαντας μετὰ ἰσημερίαν ἐαρινὴν, μεσοῦντος τοῦ πρώτου μηνός. Οἱ δὲ ἀγροικότερον διακείμενοι, καὶ πανταχῇ τῆς οἰκουμένης διεσπαρμένοι, πρῶτον ἐξ ἀμαθίας μῆνα ὑπολαμβάνοντες, ἐν ᾧ τὴν ἐαρινὴν γίνεσθαι συμβαίνει μόνον ἰσημερίαν, εἴτε δὲ πρὸ ταύτης, εἴτε μετὰ ταύτην ὁ πλησιφαὴς ἁπαντᾷ τῆς σελήνης σχηματισμὸς, οὐδ' ὁτιοῦν μέλον

αὐτοῖς, οὔτε μὴν εἰ μήπω καθαρῶς τοῦ τῆς ἰσημερίας σημείου ἐπέβη ὁ ἥλιος, ἐν τούτῳ ἀσυντηρήτως καὶ πρὸ τῆς ἰσημερίας ἐπετέλουν τὸ Πάσχα. Περὶ ὧν μοι δοκεῖ καὶ ὁ ζ' τῶν θείων ἀποστόλων κανὼν διορίζεσθαι, ἀφορισμὸν καταψηφιζόμενος, εἴ τις τῶν τοῦ κλήρου. τὴν ἁγίαν τοῦ Πάσχα ἡμέραν μετὰ Ἰουδαίων πρὸ τῆς ἐαρινῆς τελέσειεν ἰσημερίας. Ἐπεὶ γὰρ οὐ διεζευγμένως ὁ κανὼν ἐπιτιμᾶσθαι θεσπίζει. τὸν μετὰ Ἰουδαίων, ἢ πρὸ τῆς ἐαρινῆς ἰσημερίας ἑορτάζοντα, τὸ εἰρημένον ἄνωθεν νοεῖν ὑποτίθησι. Συμβαίνει δὲ, πέμπτον τῆς σελήνης κύκλον διερχομένης, ᾧ τινι ἐξ ἀνάγκης ὁ εἰκοστὸς ὄγδοος θεμέλιος ἕπεται (οὕτω γὰρ τοῖς πολλοῖς ὁ περιττεύων ἀπὸ τῶν αὐτῆς κύκλων τῶν ἡμερῶν ἀριθμὸς ὀνομάζεται), καὶ περί που τὴν τοῦ Μαρτίου ἑπτακαιδεκάτην τὸ πλησιφαὲς ἀκριβῶς ὑπολευκαινούσης, ἐκείνους μὲν ἀνεπιστημόνως πάνυ καὶ προπετῶς τηνικαῦτα τὴν ἑορτὴν ἄγειν· τοῦτο γὰρ ἔτι καὶ νῦν ὁρῶμεν παρανόμως ποιοῦντας, τοὺς ταῖς ἡμετέραις πόλεσιν ἐπιχωριάζοντας. Ἡμεῖς δὲ τὸ ἀδὲς ἡμῖν αὐτοῖς περιποιούμενοι, καὶ ὡς οὐχ ὅσια ὀρῶσι πολλὰ χαίρειν αὐτοῖς φάσκοντες, ἐπὶ τὸν ἑξῆς σεληνιακὸν ἐπειγόμεθα μῆνα, ὃν αἱ τοῦ Ἀπριλίου ἀριθμεῖν ἡμέραι πεφύκασιν, ἡνίκα καὶ μακρῷ τῷ τῶν ἡμερῶν διαστήματι διέχειν συμβαίνει τοῦ παρ' Ἰουδαίοις τὸ ἡμέτερον Πάσχα. Οὕτω γὰρ οἱ θεῖοι Πατέρες σοφῶς ἄγαν καὶ ἠκριβωμένως ἐσκόπησαν τοὺς τῶν θείων ἀποστόλων θεσμοὺς, παντὸς μᾶλλον οἰκονομούμενοι τὸ βέβαιον ἔχειν, οὐ μὴν εἰ μετὰ τὴν ἐαρινὴν ἐκείνην τὸ Πάσχα τελέσουσιν ἰσημερίαν, συνεορταστέον αὐτοῖς. Τοῦτο γὰρ καὶ ὁ τῆς ἐν Ἀντιοχείᾳ πρῶτος ἀπαγορεύει κανὼν, ἐξεπίτηδες, ὡς ἔοικε, τὸν νοῦν ἑρμηνεύων τοῦ ἀποστολικοῦ τοῦδε κανόνος, ὅτι δύο τίθησιν ἐπὶ τοῦ Πάσχα διαρισμοὺς ὁ κακὼν, εἰ καὶ οὕτω τὸν λόγον προήγαγε. Τοῖς Ἰουδαίοις ἡμᾶς μὴ συνεορτάζειν, καὶ τὴν ἐαρινὴν περιμένειν ἰσημερίαν. Οἷς ἕτεροι δύο ἐξ ἀνάγκης ἐπηκολούθησαν, ἄγειν τε τὴν ἑορτὴν εὐθὺς τῇ πρώτῃ μετὰ τὴν ἰσημερίαν πανσελήνῳ, καὶ μετὰ ταύτην μὴ ἐν οἱαδήποτε τῶν ἡμερῶν ἁπλῶς, ἀλλ' ἐν τῇ πρώτῃ μετὰ τὴν πανσέληνον εὐθὺς τῆς ἑβδομάδος ἡμέρᾳ. Καὶ οἱ μὲν ἄλλοι τῶν διορισμῶν ἔτι καὶ νῦν βεβαίως διατηροῦνται· ἡ δὲ μετὰ τὴν πανσέληνον πολλάκις ἡμῖν ὑπερτίθεται Κυριακὴ, τῷ δύο προστίθεσθαι ἡμέρας ἑκάστου ἔτους τῷ Πάσχα τῷ νομικῷ, καὶ μετ' ἐκείνας ἐπὶ τὴν Κυριακὴν ἔρχεσθαι. Συνέβη δὲ τουτο οὐκ ἐς ἀγνοίας ἢ ἀπειρίας τῶν θεσπισάντων Πατέρων τὸν περὶ τοῦ Πάσχα τουτονὶ νόμον, ἀλλὰ τῷ δρόμῳ τῆς σελήνης τὰ τῆς αἰτίας ἀναφέρεται ταύτης. Ἐπειδὴ γὰρ αὖθις τὸ ἐνιαύσιον κίνημα δι' ἡμερῶν ἀποκαθίσταται τριακοσίων ἑξήκοντα πέντε καὶ τετάρτου ἡμέρας ἔγγιστα, ὡς εἴρηται, αἱ δὲ μέσαι τῆς σελήνης κατὰ μῆκος πάροδοι οὐκ ἀποκαθίστανται ἐν ὅλοις ἔτεσι ιθ' τοῖς κατὰ προσθήκην τοῦ τετάρτου ἀριθμουμένοις, ἀλλὰ παρὰ μιᾶς ἡμέρας ἑξηκοστὰ πρῶτα τρία, καὶ δεύτερα τριάκοντα ἑπτὰ. τούτου χάριν ἐν τδ' ἐνιαυτοῖς, οὐχ ὅλοις πάλιν, ἀλλ' ἐλαττουμένοις ἡμέρας οὐδὲν, ἑξηκοστὰ πρῶτα νζ' καὶ δεύτερα νβ', ἤτοι μίαν ἡμέραν ἔγγιστα, ἡ εἰρημένη γίνεται ἀποκατά-

A lumine pleno fulgeat, parum solliciti, parum etiam, an sol ipsum solstitii punctum plane attigerit necne : adeoque temere etiam ante æquinoctium Pascha concelebrant. De hisce illis septimus quidem canon sanctorum apostolorum, ut mihi videtur, decernit, excommunicationem denuntians, si quis ex ordine clericali sacrum Paschatis diem ante vernum æquinoctium cum Judæis una celebraverit. Quandoquidem enim canon eum censura feriendum esse statuat, non quidem disjunctim qui festum vel cum Judæis egerit, vel ante æquinoctium vernum ; sed (connectendo) cum Judæis ante æquinoctium vernum, id quod supra diximus ipsos intellexisse arguit. Quando vero ad cyclum suum quintum luna pervenit, cui necessario

B **202** respondet vicesimum octavum fundamentum, seu θεμέλιος (sic enim plerique dierum numerum appellant, qui ex cyclis lunæ superfluus est), atque circa diem septimum ac decimum Martii pleno certe vultu candet, Judæos inscite admodum et temero festum tum peragere contingit. Quin imo hodieque id facere perperam illos videmus, qui in nostris civitatibus degunt. Nos autem quod tutum indubiumque est nobis asserentes, et Judæis hisce qui haud pie faciunt, longum valere jubentes, ad proxime sequentem mensem lunarem contendimus (quem dies Aprilis complere solent), quando longo quidem dierum intervallo Pascha nostrum a Judaico distare contingit. Prudenter adeo ac diligenter sancti Patres sacrosanctorum apostolorum decreta observabant, ut hoc præ cæteris ratum firC mumque esse statuerent, ne quis cum Judæis quamvis post æquinoctium vernum Paschale festum agentibus una celebret. Quippe hoc primus vetat synodi Antiochenæ canon, consulto ut videtur sensum explicans canonis ipsius apostolici, eo quod duas definitiones de Paschate statuat, etiamsi hunc in modum proponat : Nosmet cum Judæis una festum nullos agere, et æquinoctium vernale exspectare oportet. Ex quibus duæ aliæ definitiones necessario sequebantur, videlicet celebrandum esse festum primo statim plenilunio post æquinoctium, et quidem post illud non simpliciter die quovis, sed die septimanæ primo plenilunium proxime sequente. Cætera quidem decreta etiam hodieque constanter observantur, diem vero DominicamD plenilunium proxime sequentem sæpe differre solemus, eo quod duos dies quotannis Paschati legali adjicimus, et post illos ad Dominicum accedimus. Contigit tamen istud haud ex inscitia et ignorantia Patrum, qui hoc modo de Paschate decernebant, sed potius hoc quidquid est culpæ in lunæ cursus referendum est. Quoniam enim motus annuus diebus trecentis sexaginta quinque, et quarta fere diei parte, uti dictum est, perficitur, lunæ autem motus medii in longitudinem non restituantur exacte in novemdecim annis completis juxta quadrantis additionem supputandis, quin desint (ad cyclum complendum) unius

diei tres sexagesimæ primæ, et triginta septem partes secundæ; idcirco in annis 304 non completis quidem illis, sed deficientibus unius diei sexagesimis primis 57 et sexagesimis secundis 52 sive ferme die uno, dicta revolutio peragitur. Quamobrem apte post plenilunium duo dies additi sunt in legalis Paschatis investigatione, cum non poterat plenilunium exacte attingere diem mensis a Patribus definitam; quippe, ut diximus, in annis 304 die uno proxime deficit. Istam varietatem status Paschatis dies, et motus luminarium creavit: quæ tamen religioni minime nocet, imo potius multum juvat. Inde enim temporis intervallum evidentius appareret, inter legalis et nostri Paschatis celebrationem, sumptis non uno, quod tum factum, sed tribus ad minimum diebus intermediis. Quam ob causam Patres diem paschalem omnino in Dominicam transtulerunt, atque cum in Dominicam incidat Pascha legale, nostrum in Dominicam proxime sequentem removendum esse sanxerunt, æquum bonumque esse judicantes, ut invisum Deo infaustumque festum aversaremur, atque longo intervallo Pascha nostrum ab isto modis omnibus distingueremus. Hæc autem in sequentibus fusius ostendemus (ubi et tabulas dabimus æquinoctium ac plenilunia crasso modo indicantes), tum etiam docebimus quibusnam in annis admodum manifesta sit conjunctionum differentia.

A στασις. Διὰ δὴ τοῦτο ἀρτίως δύο μετὰ τὴν πανσέληνον ἡμέραι εὑρίσκονται προστιθέμεναι ἐν τῇ τοῦ νομικοῦ Πάσχα εὑρέσει, τῆς πανσελήνου μὴ δυναμένης καταλαβεῖν ἀρτίως τὴν ὁρισθεῖσαν τότε τοῖς Πατράσι ποστὴν τοῦ μηνὸς, ἐλαττουμένης, ὡς εἴρηται, ἐν τριακοσίοις τέσσαρσιν ἔτεσι, μίαν ἡμέραν ἔγγιστα. Καὶ τοιαύτην μὲν ὁ χρόνος περὶ τὴν ἡμέραν τοῦ Πάσχα καὶ ἡ τῶν φωστήρων κίνησις τὴν ἀνωμαλίαν πεποίηκε· τῇ εὐσεβείᾳ γε μὴν οὐδοπωστιοῦν τοῦτο λυμαίνεται, ὅτι μὴ καὶ τὰ μεγάλα συμβάλλεται. Περιφανεστέρα γὰρ ἐντεῦθεν ἡ διάστασις δείκνυται τῆς τε τοῦ νομικοῦ καὶ τοῦ ἡμετέρου τελετῆς Πάσχα, οὐ μιᾶς ἡμέρας, ὡς τότε, ἀλλὰ τριῶν μεσολαβουσῶν τοὐλάχιστον. Διὰ γὰρ τοῦτο πάντως καὶ τὴν ἡμέραν οἱ Γατέρες μετενηνόχασιν ἐπὶ τὴν Κυ- B ριακήν· εἰ δ' ἐν Κυριακῇ τὸ νομικὸν τύχοι Πάσχα, ἐπὶ τὴν ἑξῆς μεταβαίνειν διωρίσαντο, τὴν θεομάχον καὶ ἀνέορτον αὐτῶν ἑορτὴν ἡμᾶς ἐκτρέπεσθαι, καὶ μακρῷ τῷ διαστήματι τὴν ἡμετέραν ἐκείνης πᾶσι τρόποις ἀποδιίστασθαι, ἐν καλῷ κεῖσθαι σκοπήσαντες. Ταῦτα δὲ πλατυκώτερον ἡμῖν προϊοῦσι δειχθήσεται, ἔνθα καὶ κανόνια ἐκτέθεινται, τήν τε ἰσημερίαν καὶ τὰς πανσελήνους ὁλοσχερέστερον ἑρμηνεύοντα, καὶ ἐν ποίοις ἔτεσι φανερῶς ἡ τῶν συζυγιῶν διαφορὰ δείκνυται.

Cæterum et utile fuerit disquirere, quam ob causam post vernum æquinoctium Pascha celebrare jubeamur. **203** Fuit igitur, quando Deus ex non esse ad esse mundum eduxit, a die primo usque ad sextum justum æquinoctium, die atque etiam C nocte ne minimum quidem alia aliam superante. Quamvis enim dies quartus luminarium creationem lætus viderat, nondum tamen illis datum erat annuam revolutionem, quod nunc in natura fit, peragere. Namque sol primum statim cardinem æquinoctialem subiens, in gradu primo arietis substitit, luna vero in parte per diametrum opposita illico distabat, cardinem autumnalem, æquinoctialem quidem, sive libram intrans, neque omnino ante solem prosiliens, quantum die illo moveri licuit. Quippe haud aliter fieri potuit, ut plenum jubar exacte servaret (quatenus Deus nobis ostendit semet a principio imperfectum nihil fecisse), ista licet portio quæ ad nos convertitur, in totum quidem illuminata, propter motus varietatem varias D etiam phases nobis exhibeat. Idcirco ambo luminaria æquabiliter, seu potius invariate una cum universo circumacta, quasi rerum creandarum finem ac consummationem exspectabant. Die autem sexto manu divina formatur homo, æquinoctio adhuc pulchre effulgente, lunaque splendoris copia fere pari solem contra enitente. Haud enim æquum erat, primum hominem ante æquinoctium creari (cum jam tenebris obruerentur omnia), qui propter magnam sui cum luce cognationem, etiam ab istis qui alieni fuerunt a pietatis luce, φῶς non sine ratione appellatus est. Sed luminaria mundi

Ἀλλὰ γὰρ καλὸν ἂν εἴη σκοπῆσαι, καὶ τίνος ἕνεκεν μετ' ἰσημερίαν ἐαρινὴν τὸ Πάσχα τελεῖν προστετάγμεθα. Ὅτι τοι ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι τὸν κόσμον παραγαγόντος τοῦ Θεοῦ, ἀπὸ τῆς πρώτης ἡμέρας ἄχρι τῆς ἑβδόμης ἀλριβὴς ὑπῆρχεν ἰσημερία, μήτε τῆς ἡμέρας, μήτε μὴν τῆς νυκτὸς τὴν ἑτέραν, μηδὲ τὸ ἀκαριαῖον πλεονεκτούσης. Εἰ γὰρ καὶ ἡ τετάρτη τῶν ἡμερῶν, τῶν φωστήρων ηὔχει θεωμένη τὴν γένεσιν, ἀλλ' οὐκ ἦν αὐτοῖς ἐπιτετραμμένον καὶ τὴν ἐναντίαν ἰέναι, ὥς γε δὴ τανῦν, τοῦ παντός. Ὁ μὲν γὰρ ἥλιος, τὸ πρῶτον ἰσημερινὸν εὐθὺς τιμῆμα τοῦ ζωδιακοῦ ὑπελθών, ἐν τῇ πρώτῃ τοῦ κριοῦ ἵδρυτο μοίρᾳ· ἡ δέ γε σελήνη, ἐν τῇ κατὰ διάμετρον τούτου χώρᾳ παραχρῆμα διίστατο, τὸ φθινοπωρινὸν μὲν, ἰσημερινὸν δὲ καὶ αὕτη, τὸν ζυγὸν, διιππεύουσα, μηδὲ βραχὺ τοῦ ἡλίου προεκπηδῶσα, ὡς γοῦν πέφυκε τρέχειν τὴν τήμερον. Οὐ γὰρ ἦν ἄλλως τὸ πλησιφαὲς ἀκριβῶς αὐτῇ περισώζεσθαι, μηδὲν ἀτελὲς ἐξ ἀρχῆς τοῦ Θεοῦ πρὸς ἡμᾶς ὑποδεικνύοντος πεποιηκέναι, εἰ καὶ τὸ τετραμμένον πρὸς τὸν ἥλιον αὐτῆς ἅπαν μέρος, διόλου πεφωτισμένον τυγχάνον, τῷ διαφόρῳ τῆς κινήσεως ποικίλα τὰ τῶν φωτισμῶν ἡμῖν ὑποφαίνει σχήματα. Ὁμαλῶς τοίνυν καὶ ἄμφω τὰ φῶτα, μᾶλλον δὲ ἀκινήτως ὁμοῦ τῷ παντὶ συγκινούμενα, τὸ τέλος οἱονεὶ τῆς τοῦ παντὸς δημιουργίας ἀνέμενον. Τῇ γε μὴν ἕκτῃ, χερσὶ Θεοῦ ὁ ἄνθρωπος πλάττεται, ἰσημερίας εἰσέτι καλὸν ἐπανθούσης, καὶ τῆς σελήνης τῷ δαψιλεῖ τῆς αἰγλης πρὸς τὸν ἥλιον ἱσταμένης ἐξ ἐφαμίλλου σχεδόν. Οὐ γὰρ ἦν εἰκὸς, ἤ τὸν πρῶτον ἄνθρωπον πρὸ τῆς ἰσημερίας πλασθῆναι, ἡνίκα σκότῳ τὰ πάντα ἐκρύπτετο; ὃς διὰ τὴν πολλὴν πρὸς τὸ φῶς οἰκειότητα, καὶ τοῖς

ἀπηλλοτριωμένοις τοῦ τῆς εὐσεβείας φωτὸς, φῶς κατὰ λόγον προσείρηται, ἢ τοὺς φωστῆρας τοῦ προσήκοντος καθυφεῖναι κόσμου, νῦν πρῶτον δορυφοροῦντας τῷ βασιλεύειν τῆς κτίσεως μέλλοντι· ἄλλως τε καὶ τοῦ χρόνου μέλλοντος δημιουργεῖσθαι, ἔδει τὴν ἡμέραν δήπου καὶ τὴν νύκτα ἄρτι παραγενομένας, ἐκ τῆς ἰσότητος ἄρξασθαι· ἐπεὶ καὶ προτέρα κατὰ φύσιν αὕτη τῆς ἀνισότητος, ὡς αἱ ἕξεις τῶν στερήσεων, τοῦ Θεοῦ ἡμᾶς ἐντεῦθεν διδάσκοντος τὸν τῆς ἰσότητος νόμον, ἐν ᾧ τὸ τῶν ἀρετῶν ἕστηκεν, ἐπίπροσθεν τιθέναι πάσης πλεονεξίας καὶ ἀνισότητος· εἶθ' οὕτω τῶν φωστήρων μετὰ τὴν ἑβδόμην ἡμέραν, ὡς ἐξ ἀφετηρίας τρέχειν ὑπαρξαμένων, καὶ μὴ ἰσοταχῶς πεφυκότων κινεῖσθαι, τὴν ἀνωμαλίαν ἐπεισελθεῖν. Ἐπεὶ γοῦν τὴν ἐξ ἁμαρτίας τοῦ ἀνθρώπου πτῶσιν εὐδόκησεν ὁ Κύριος ἐπανορθώσασθαι, προσ- B ἦκον ἦν ἐν τῇ τοῦ χρόνου ἰσημερινῇ ἀρχῇ, καθ' ἣν ὁ ἄνθρωπος τὴν πρώτην ἔσχε πλάσιν, καὶ τὴν αὐτοῦ οἰκονομηθῆναι ἀνάπλασιν, καὶ ὅτι, ἐπειδὴ τὸ φῶς ἔμελλεν αὔξειν τῆς εὐσεβείας, καὶ τὸ σκότος τῆς ἀσεβείας μειοῦσθαι, μετ' ἰσημερίαν τὸ σωτήριον Πάσχα οὐκ ἔξω λόγου τελεῖται, ἡνίκα τὸ μὲν τῆς ἡμέρας φῶς ἐπιδίδωσι, τῆς νυκτὸς δὲ τὸ σκότος ἐλαττοῦται.

Οὐκ ἀεὶ δὲ κύριον γίνεται Πάσχα, διότι ἐπὶ τούτου χρὴ πολλὰ συνδραμεῖν. Οὐ μόνον γὰρ τὸ κατ' ἔτος ἐπιζητούμενον τῆς σελήνης πλῆρες, ὅπερ ἡ τῶν ἡμερῶν τεσσαρεσκαιδεκάτη ταύτῃ χαρίζεται, τῇ ἰσημερίᾳ δεῖ συνελθεῖν, ἀλλὰ καὶ τὴν ἕκτην τῶν ἡμερῶν, καὶ τὴν τοῦ Μαρτίου τρίτην καὶ εἰκοστὴν, ἅπερ καὶ ὅτε ὁ πρῶτος Ἀδὰμ ἐπλάττετο, καὶ ὅτε πρὸς τοῦ δευτέρου Ἀδὰμ αὐτὸς οὗτος ἀνεπλάττετο, συνημμένα ἦν. Ταῦτα δὲ σπανίως εἰώθει συμπίπτειν· διὸ καὶ οἱ λεγόμενοι ἐμβόλιμοι μῆνες εἰσαγόμενοι, τὴν περὶ τὸν καιρὸν τοῦ Πάσχα ποιοῦσιν ἀνωμαλίαν. Ἐπιζητοῦμεν γὰρ ἐπὶ τῷ σωτηρίῳ πάθει, προηγουμένως μὲν, ὡς δεδήλωται, τὴν τῆς σελήνης ιδ' μετ' ἰσημερίαν εἶναι· εἰ γὰρ μικρὸν γοῦν φθάσειε ταύτην, νόμος παρ' ἡμῖν θεῖος, τὸν μὲν σεληνιακὸν ἐκεῖνον μῆνα παντάπασιν ἀθετεῖν, πρὸς δὲ τὴν ιδ' τοῦ ἑξῆς ἁπάντᾳν· ἔπειτα Κυριακῇ τὸ Πάσχα τελεῖν, καὶ τοῖς Ἰουδαίοις μὴ συνεορτάζειν. Οὐ χάριν, καὶ εἴ γε Κυριακῇ τὸ Ἰουδαϊκὸν Πάσχα συνέλθοι, εἰς τὴν ἑξῆς ἡμεῖς ὑπερτιθέμεθα τὸ ἡμέτερον, ἥτις καθαρὰ δήπου καὶ ἐλευθέρα τῆς τῶν Ἰουδαίων ἔσται τελετῆς. Ἀνωμαλίας οὖν διὰ ταῦτα περὶ τῆς ἑορτὴν γινομέ- D νης τοῦ Πάσχα, τῆς κυρίας τοῦ μηνὸς ἡμέρας ἐπὶ τὸ πλεῖστον διαμαρτάνομεν. Ὁ γὰρ Κύριος τὸ σωτήριον ὑπῆλθε πάθος, ἐφλθ' ἔτους ἑνισταμένου, τρίτων μὲν καὶ εἰκοστὸν τοῦ ἡλίου κύκλον διανύοντος, ἕκτον δὲ τῆς σελήνης· καὶ οἱ μὲν Ἰουδαῖοι περὶ τὸ Ἰουδαϊκὸν εἶχον Πάσχα τῇ τελευταίᾳ μεν τῆς ἑβδομάδος ἡμέρᾳ, ὡς φασιν οἱ εὐαγγελισταὶ, μεγάλην ἀποκαλοῦντες τὴν ἡμέραν ἐκείνην τοῦ Σαββάτου, τετάρτῃ δὲ τοῦ Μαρτίου καὶ εἰκοστῇ. Τῇς δὲ ἐπιούσης Κυριακῆς, ἥτις τῷ ἡλίῳ ἀφώρισται κατεζαίρετον, καὶ εἰς τὴν πέμπτην καὶ εἰκοστὴν ἀκολούθως τοῦ Μαρτίου ἐτέλει, ὁ νοητὸς τῆς δικαιοσύνης ἥλιος Χριστὸς ἐκ τοῦ τάφου ἀνίστειλεν. Ἐπεὶ τοίνυν τὸ

(qui mox subjici debuit), jam primum stipantia instar satellitum hunc qui statim creationis imperium suscepturus fuit (quandoquidem et mox tempus aliter ordinari oportuit), diem ac noctem, quæ tum acciderunt, ex paritate inchoare necesse fuit: quoniam hæc natura prior est inæqualitate, sicuti habitus privationibus, ita enim Deus nosmet docuit æqualitatis legem, in qua ipsa virtutis ratio consistit, omni nimietate et inæqualitate antiquiorem esse. Dein vero post septimum diem luminaribus quasi a carceribus excurrere incipientibus, nec tamen ita a natura comparatis, ut æquali celeritate moverentur, anomalia quædam irrepsit. Quia tamen hominis lapsum per peccatum Deus ex gratia sua reparatum ac emendatum voluit, æquum erat in æquinoctiali anni principio, circa quod primum homo lapsus est, etiam restitutionem ejus parari : imo vero, quoniam tum lucem pietatis crescere oportebat, tenebrasque adeo impietatis imminui, salutare Pascha non sine ratione ante æquinoctium celebratur, quando crescit lux diurna, et noctis decrescunt tenebræ.

Non accidit autem quotannis proprie dictum Pascha : nam ut hoc fiat, multa una concurrere debent. Non solum enim requisitum quotannis plenilunium, quod dies decimus quartus præbet, cum æquinoctio concurrere opus, sed et feriam sextam et diem Martii tertium post vicesimum coincidere, ut conjuncta sint adeo tempora cum primus Adam creatus erat, atque idem ille per secundum Adamum restitutus. Hæc autem perraro uno eodemque tempore obtingere solent. Quare et menses adjectitii, quos introducunt vocantque, circa tempus Paschatis anomaliam pariunt. Inprimis enim requirimus ad salutare Pascha, ut luna decima quarta post æquinoctium contingat. Nam si vel minimum præcesserit, volunt leges sacræ apud nos mensem illum lunarem penitus rejici, et ad diem decimum quartum mensis sequentis procedere, atque demum Dominica proxima Pascha celebrare, at vero una cum Judæis nullo modo festum agere. Quamobrem etiamsi Judaicum Paschæ in diem Dominicam incidat, nos in proxime sequentem nostrum differimus, quæ quidem pura sit ac Judaicæ observationis libera. **204** Quoniam igitur his de causis anomalia oritur circa festum Paschale, a proprio mensis die ut plurimum aberramus. Sustinuit enim Dominus passionem salutarem anno 5539 currente, sole tum 23 cyclum transeunte, luna vero decimum ; atque Judæi quidem Pascha Judaicum agebant septimanæ die ultima, ut testantur evangelistæ, qui magnam vocant diem illam Sabbati ; die vero Martii vicesima quarta. Dein postridie succedente Dominica, quæ soli eximie tribuebatur, et in vicesimum quintum Martii consequenter desinebat, intelligibilis ille justitiæ sol Christus de

sepulcro exoriebatur. Quoniam igitur Pascha legale, quod, ut dictum est, decima quarta luna post æquinoctium celebratur, a die 21 Martii usque ad 18 Aprilis divagari solet : nostrum vero Dominica proxime sequente obtinet, atque etiam sol cum dierum tum septimanarum arbiter sit, utriusque adeo luminaris cyclos supputantes propositum facilime indagamus. Idpropter cycli constituebantur lunæ quidem 19, solis vero 28. Cycli autem lunæ a Januario, quasi juxta naturæ legem initium sumunt, ita et fundamentum ejus ; solis vero cycli a principio Octobris incipiunt. Non autem inopportunum reor etiam istarum rerum causas enarrare.

A νομικὸν, ὡς εἴρηται, Πάσχα ιδ' τῆς σελήνης μετ' ἰσημερίαν τελεῖται, ἀπὸ τῆς κα' τοῦ Μαρτίου μέχρι τῆς ιη' τοῦ Ἀπριλίου εἰωθὸς ἐμπίπτειν, τὸ δὲ ἡμέτερον τῇ μετὰ τοῦτο Κυριακῇ, δημιουργὸς δὲ τῶν ἡμερῶν τε καὶ ἑβδομάτων ὁ ἥλιος, ἀμφοτέρων τῶν φώτων τοὺς κύκλους διαμετρούμενος, τὸ προκείμενον ἐκ τοῦ ῥᾴστου θηρῶμεν. Κύκλοι τοίνυν ἐτέθησαν τῇ μὲν σελήνῃ ιθ', ὀκτὼ δὲ καὶ εἴκοσι τῷ ἡλίῳ · κἀκεῖνοι μὲν ἀπὸ τοῦ Ἰανουαρίου νόμῳ φύσεως ἄρχονται, ὥσπερ δὴ καὶ ὁ ταύτης θεμέλιος · οἱ δέ γε τοῦ ἡλίου τὴν ἀρχὴν τοῦ Ὀκτωβρίου ἔσχον ἀρχήν · οὐδέτερον ἀλόγως οἶμαι, εἰ καὶ τὰς αἰτίας τούτων ἔργον διεξελθεῖν.

Quare cycli lunares sint numero 19.

Διὰ τί ιθ' τῆς σελήνης εἰσὶ κύκλοι.

Ad 19 igitur cycli lunæ usque ascendunt, atque hac ratione mensis lunaris juxta rotundum calculum est dierum 29 cum semisse : adeoque in spatio annuo duodecim menses lunares conficiunt dies 354, quæ a 365 diebus cum quadrante, quos sol motu suo annuo peragit, diebus undecim cum quadrante differunt. Novemdecim autem revolutionum solarium tempus, quod dies quidem efficit 6939, una cum semisse et quadrante, menses duodecim lunares in 328, explicat, sive dies 6726, atque insuper dies quos diximus superfluos sive 11 cum quadrante in alios menses lunares septem, sive dies 206, cum semisse. Dies vero septem cum quadrante, qui adhuc redundant, in integro cyclo enneacaide caeteridis supputantur, ut mox ostendetur. Quoniam enim, juxta Ptolemæum, mensis lunaris non tantum diebus 29 constat, atque 30 minutis primis, sive diei dimidio, sed insuper minuto uno cum semisse ac parte tertia unius minuti, hoc est, minuto uno, et secundis 50. Quod ille quidem ostendit per menses qui integri decurrunt inter binas eclipses. Isthæc nim. minutum unum, et semissis et parte tertia unius in jam dictis 235 revolutionibus lunæ ascendunt ad minuta prima 430, et secunda 50, quibus ordine divisis 420, reddunt dies 7. At residua minuta prima 10 et secunda 50 efficere nequeunt diei quadrantem ; desunt enim minuta prima quatuor, et 10 secunda ; quod et ratio exigit, quatenus cuilibet enneacaidecaeteridi, desunt, sicuti Ptolemæus demonstravit, minuta prima 3 et secunda 37. Quod vero adhuc desiderantur unum primum minutum et secunda 27, neque hoc ratione caret. Non enim exacte congruit cum cyclo annuo quadrans iste diei, sed parte trecentesima discrepat, uti alibi diximus. Idcirco cyclus lunaris ex necessario tantum in 19 annis quantus sit innotescit ; quippe excessus ille qui in annis lunaribus reperitur, spatio 19 annorum ad easdem completas revolutiones redit, efficitque dictas periodos 235, prorsus completas nihilque superflui habentes, prout cyclus ille requirit. Hoc vocarunt autem temporis periodum, quatenus ad unam revolutio-

B Μέχρι μὲν οὖν τῶν ιθ' οἱ τῆς σελήνης ἀναβιβάζονται κύκλοι · διὰ τοῦτον τὸν τρόπον ὁ σεληνιακὸς μὴν τέως, κατὰ τὸ πρόχειρον, δι' ἡμερῶν γίνεται κθ' καὶ ἡμισείας · ταύτῃ τοι καὶ κατ' ἐνιαυτὸν οἱ τῆς σελήνης ιβ' μῆνες, εἰς ἡμέρας ποσοῦνται τνδ', ἐνδεουσῶν πρὸς τὰς τξε' καὶ τοῦ τεταρτημορίου τῆς ἡμέρας, ἃς ὁ ἥλιος κατ' ἐνιαυτὸν ποιεῖται, ἡμερῶν ια' καὶ τετάρτου. Ἐννεακαιδεκάκις δὲ τῇ ἡλιακῇ κινήσει γινόμενος ὁ ἐνιαυτὸς, καὶ ποιῶν ἡμέρας ,ςϡθ' πρὸς τῷ ἡμίσει καὶ τετάρτῳ, τοὺς μὲν ιβ' σεληνιακοὺς μῆνας ἰς σκη' περιίστησιν ἐν ἡμέραις ,ςψκς', τὰς δὲ εἰρημένας περιττὰς ἡμέρας, ἤτοι τὰς ια' καὶ τὸ δ' εἰς ἑτέρους σεληνισκοὺς μῆνας ἑπτὰ, ἐχοντας ἡμέρας ος' καὶ ἡμίσειαν. Ἔτι δὲ εὑρίσκονται περιττεύουσαι ἡμέραι ζ' καὶ τέταρτον · ἀλλὰ καὶ C αὗται τῇ τοῦ κύκλου τῆς ἐννεακαιδεκαετηρίδος ὁλότητι συνυπάγονται, ὡς δειχθήσεται. Ἐπεὶ γὰρ, κατὰ τὸν Πτολεμαῖον, οὐχὶ κθ' ἡμερῶν καὶ λ' πρώτων λεπτῶν μόνον, ἤτοι ἡμισείας ἡμέρας, ὁ σεληνιακὸς γίνεται μὴν, ἀλλὰ καὶ ἑτέρου λεπτοῦ ἑνὸς ἡμίσεως καὶ τρίτου, ἦγουν ἑνὸς πρώτου καὶ ν' δευτέρων · καὶ τοῦτο ἀποδείκνυσι διὰ τῶν γινομένων ὅλων μηνῶν ἀπὸ ἐκλείψεως εἰς ἔκλειψιν · ταῦτα, τὸ ἓν, λέγω, λεπτὸν, καὶ τὸ ἥμισυ, καὶ τὸ τρίτον, ἐν ταῖς εἰρημέναις σλε' τῆς σελήνης παριόδοις ἀναβιβαζόμενα, ποιοῦσι λεπτὰ πρῶτα ὑλ', καὶ δεύτερα ν', ἅπερ ἅπαντα ἐπὶ τὰ ἑξήκοντα μεριζόμενα, τὰ μὲν υκ' ποιοῦσιν ἡμέρας ἑπτά. Τὰ δὲ ὑπολειπόμενα πρῶτα δέκα, καὶ πεντήκοντα δεύτερα, οὐ δύνανται τέταρτον ἡμέρας ποιῆσαι · λείπουσι γὰρ λεπτὰ πρῶτα D τέσσαρα, καὶ δεύτερα δέκα · καὶ τοῦτο κατὰ λόγον διὰ τὸ ἐνδεῖν ἑκάστῃ ἐννεακαιδεκαετηρίδι, ὡς ἀποδέδεικται τῷ Πτολεμαίῳ, λεπτῶν πρώτων τριῶν καὶ δευτέρων λζ'. Εἰ δὲ καὶ ἔτι λείπουσι λεπτὸν πρῶτον ἓν, καὶ κ' δεύτερα, οὐκ ἔξω λόγου καὶ τοῦτο, διότι οὐχὶ τέταρτον ἡμέρας ὁλόκληρον συναπαρτίζει τὸν ἐνιαύσιαν κύκλον, ἀλλὰ παρὰ τριακοστὸν ἡμέρας, ὡς ἐν ἄλλοις εἰρήκαμεν. Καὶ οὕτω μὲν ὁ σεληνιακὸς κύκλος ἐξ ἀνάγκης ἐν μόνοις γνωρίζεται ιθ' ἔτεσιν, ὡς καὶ τοῦ περιττουοντος τῶν κατ' ἔτος σεληνιακῶν περιόδων διὰ δεκαεννέα μόνων ἐτῶν εἰς τὰς τοιαύτας ἐντελεῖς περιόδους ἀναβιβαζομένου, καὶ πάσας τὰς εἰρημένας σλε' ποιοῦντος πάντῃ ἀνελλι-

πεῖς, καὶ μηδέν τι λοιπὸν ἐχούσας περιττὸν, ὥσπερ ἦν τῷ κύκλῳ τούτῳ σκοπός. Ἐκάλεσαν δὲ τὸν χρόνον τοῦτον περιοδικὸν, ὡς εἰς μίαν ἀποκατάστασιν ἄγοντα τὰς διαφορὰς τῶν κινήσεων τῶν φώτων ἀμφοῖν.

A nem redigat differentias, quæ in motibus luminarium observantur.

Διὰ τί εἰσιν εἰκοσιοκτὼ οἱ τοῦ ἡλίου κύκλοι;

Εἰς κη′ δὲ κύκλους ἄνεισιν ὁ τοῦ ἡλίου δρόμος, ὅτι αἱ τξε′ καὶ τέταρτον ἡμέρας τοῦ χρόνου ποιοῦσιν ἑβδομάδας νβ′, καὶ περιττεύει καθ' ἕκαστον χρόνον ἡμέρα μία, καὶ κατὰ τέσσαρας χρόνους αὖθις ἑτέρα μία. Ὅθεν καὶ ζητοῦντες εὑρεῖν ἀπὸ τῆς τοῦ ἡλίου κινήσεως τὴν τῆς ἑβδομάδος ἡμέραν, καθ' ἕκαστον κύκλον αὐτοῦ ἡμέραν μίαν προσλαμβάνομεν, καὶ μετὰ τέσσαρας χρόνους, χάριν τοῦ βισέκτου, ἑτέραν μίαν· καὶ συμποσοῦντες, τὴν ζητουμένην ἡμέραν εὑρίσκομεν. Αἱ οὖν περιττεύουσαι αὗται ἐν οὐδενὶ ἑτέρῳ χρόνῳ ὁλοκλήρους ἑβδομάδας ἀπαρτίσαι δύνανται, ὡς ἐν τῷ τέλει τοῦ χρόνου καὶ τέλος ἑβδομάδος εὑρεθῆναι, εἰ μὴ ἐν τῷ κη′ κύκλῳ. Αἱ γὰρ κη′ ἡμέραι ἑβδομάδες γίνονται τέσσαρες, καὶ τὰ κη′ τέταρτα τῶν ἡμερῶν, ἑβδομὰς αὖθις μία, ὅπερ ἐν ἑτέρῳ οὐχ οἷόν τε συμβῆναι κύκλῳ, εἰ μὴ ἐν τῷ κη′ ἢ ἐν τῷ δισ κη′; ἢ τρὶς κη′ καὶ ἑξῆς. Ἐὰν δὲ ἐπέκεινα τῶν ιθ′ τῆς σελήνης κύκλων, ἢ τῶν κη′ τοῦ ἡλίου, ἐθελήσωμεν ἐκτεῖναι τὸν ἀριθμὸν, εὑρεθήσεται τὸ ζητούμενον ἐν τοῖς ἐπέκεινα κύκλοις, ὡς καὶ ἐν τῳ α′ ἢ β′ ἢ γ′ κύκλῳ ἐπεγινώσκετο.

205 *Quare cycli solis sint XXVIII.*

Solis autem cursus in cyclos 28 porrigitur, quoniam anni dies 365 cum quadrante colligunt septimanas 52, et redundat quotannis dies una, et post alios deinceps quatuor unus dies. Unde cum indagare libet ex motu solis diem septimanæ, pro quovis cyclo solari diem unam addimus, et post quatuor annos propter bissextum aliam: atque ita (cycli) currentis quæsitum diem invenimus. Dies autem redundantes in nullo alio anno integras septimanas explere queunt, ita ut in finem anni septimanæ etiam finis incidat, præterquam B in illo 28 cyclo. Nam dies 28 confiunt septimanæ quatuor, atque ex 28 quadrantibus dierum oritur septimana una. Quod in alio cyclo contingere nequit quam in 28, aut in bis 28, vel ter 28, et sic deinceps. Sin vero placeat vel cyclum lunæ 19 vel 28 solis ultra extendere, reperietur quæsitum in cyclis sequentibus, qua ratione in primo, aut secundo, aut tertio cyclo innotuit.

Διὰ τί ἀπὸ τοῦ Ἰανουαρίου οἱ τῆς σελήνης κύκλοι καὶ θεμέλιοι ἄρχονται.

Ἀπὸ δὲ τοῦ Ἰανουαρίου μηνὸς τόν τε κύκλον τῆς σελήνης καὶ τὸν θεμέλιον ψηφίζειν ἀρχόμεθα, ὅτι τῇ μὲν τετάρτῃ τῆς ἑβδομάδος ἡμέρᾳ ὅ τε ἥλιος καὶ ἡ σελήνη τῷ δημιουργῷ λόγῳ εἰς τὸ εἶναι C παρήχθησαν, τῷ δὲ πεντεκαιδεκάτῳ δρόμῳ τοῦ κατὰ τὸν Μάρτιον μῆνα σεληνισκοῦ μηνὸς, ἄρτι πρῶτον ἀνατετάλκασιν, ἅτε τῆς σελήνης πεντεκαιδεκαταίας εὐθὺς καὶ τελείας ἀναφανείσης, μηδὲν ἀτελὲς ἐξ ἀρχῆς τοῦ Θεοῦ πεποιηκέναι θελήσαντος· ἵνα μετὰ τὸ δῦναι τὸν ἥλιον πρωΐ ἀνατείλαντα, καὶ τὴν εἰς ἐξουσίαν αὐτῷ δοθεῖσαν ἡμέραν ὅλην καταφωτίσαντα, ὅλην καὶ αὐτὴ καταυγάσῃ τὴν ὑπεξούσιον νύκτα. Ἀπὸ τῆς ιε′ οὖν τοῦ Μαρτίου μέχρις ὅλου τοῦ Δεκεμβρίου μῆνες εὑρίσκονται ἡλιακοὶ μὲν θ′ καὶ ἥμισυς, διαφόρους ἡμερῶν ἕκαστος ποσότητας ἔχοντες· οἱ δὲ τῆς σελήνης, δι' ἡμερῶν ἀεὶ γινόμενοι κθ′ καὶ ἡμισείας, οὐ μόνον μῆνες ὁρῶνται τοσοῦτοι. ἀλλὰ πρὸς τούτοις καὶ ἡμέραι περιττεύουσιν ια′. Ὁ γὰρ Ἰανουάριος καὶ ὁ Φεβρουάριος συντιθέμενοι, οὐδὲν πλεον φέρουσι σεληνιακῶν δύο μηνῶν. Ἐπεὶ D ὧν τῇ τοῦ Ἰανουαρίου α′ ὁ περιττεόων τῶν ια′ ἡμερῶν ἀριθμὸς σαφῶς ἀνεφάνη μετὰ τὸν ἀπαρτισμὸν τοῦ τελείου τῆς σελήνης κύκλου, ἀναγκαίως ἀπὸ τοῦ Ἰανουαρίου ὅ τε κύκλος αὐτῆς, καὶ ὁ περιττεύων ἀριθμὸς ἀρχεται, θεμέλιος τῶν ἡμερῶν τοῦ ἑξῆς αὐτῆς κύκλου καὶ ὧν καὶ καλούμενος.

Quare lunæ cycli et fundamenta a mense Januario incipiant.

A Januario autem cyclum et fundamentum etiam lunæ computando incipimus, quoniam quarta septimanæ dit primum summi opificis verbo creati fuerunt sol et luna, die vero 15 mensis Martii (mensem intellige lunarem) primum exoriebantur. Luna scilicet tum decima quinta ac plena effulsit (ita Deus nihil quidquam a principio imperfectum creare voluit), ut post solis occasum qui mane ortus fuerat, et totum diem sibi commissum illustraverat, luna noctem sibi demandatam totam illuminaret. Idpropter a 15 Martii usque ad Decembrem completum reperiuntur menses solares 9 cum dimidio, qui quidem quoad numerum dierum inter se variant: menses vero lunares, qui perpetuo sunt dierum 29 cum semisse, non solum sunt numero totidem menses, sed accedunt insuper dies 11. Nam Januarius et Februarius simul sumpti constituunt exacte duos menses lunares. Quoniam igitur primo die Januarii undecim iste D dierum excessus evidenter apparet, qui post exacium totum cyclum lunæ, necessario a Januario, et cyclus ejus et numerus redundans incipiunt, qui fundamentum dierum reliqui cycli lunæ et est et appellatur.

Διὰ τί ἀπὸ τοῦ Ὀκτωβρίου οἱ κύκλοι τοῦ ἡλίου ἄρχονται.

Ἀπὸ δὲ τοῦ Ὀκτωβρίου τὰς τῶν κύκλων τοῦ ἡλίου φαμὲν ἄρχεσθαι περιόδους, ὅτι τῷ ιε′ δρόμῳ τοῦ Μαρτίου μηνὸς, ἀνατείλαντος τοῦ ἡλίου, μέχρι

Quam ob causam cycli solis ab Octobri incipiant.

Ab Octobri autem cyclorum solarium revolutiones inchoari dicimus, quia a die decimo quinto Martii exoriente sole usque ad Octobrem men-

sem dies mensium cum diebus septimanæ permutatim decurrunt : die autem primo Octobris, reperta etiam septimana in primo istius die, inde et exordimur. Nam præter Octobrem nullus alius mensis in prima solis periodo primam sui diem cum primo die septimanæ coincidentem em habet. Ab isto igitur mense incipientes, reliquorum ordine mensium dies 28 **206** omittimus, utpote integras hebdomadas constituentes ; dies vero qui supersunt, accipimus, donec ad illum, quem quærimus, perveniatur. Quod autem hoc contingat in primo cyclo revolutionis solaris, facile ex eo intelligitur. quod a die 15 Martii, quo sol quidem creatus est, usque ad Septembrem exactum, numerentur cum tribus illis, qui solem natum præcesserant, dies 203. Isti constituunt septimanas 9 post viginti ; quippe septies 20 dant 140, et septies 963, adeoque primus dies Octobris in primum septimanæ diem incidit.

Quomodo reperitur cyclus lunæ.

Quando tamen lunæ cyclum invenire volueris, datum annum manuum digitis capo, et supputa. Statuatur autem, exempli gratia, præsens hic annus 6843. Quoniam respectu 19 cyclorum lunæ pariter sese habent numeri 190 et 1800, subtrahe ter 190 ex 6843. Dein ex residuo 1143, deme sexies 190, relinquentur 3 pro cyclo lunæ, vel si placet, serva solum anni minoris num. 43, quibus adjice 17, quæ quidem supersunt post proxime lapsam hecatontaeteridem : et hanc summam, puta 60, divide per 19, residua 3 ostendunt plane cyclum lunæ.

Quomodo invenitur fundamentum lunæ.

Hujus autem fundamentum accurate tenebis, si modo undecuplaveris jam inventum lunæ cyclum, et tum dies tres producto isti adjiciens, illam summam diviseris per 30. Servabitur enim numerus residuus pro fundamento lunæ. Ideo autem adjiciuntur tres isti dies, quoniam in 19 annis completis, ut dictum est, non revera restituuntur motus lunæ si longitudinem, sed desunt unius diei minuta prima 3′, et secunda 37″,, adeo ut in spatio annorum 304 cyclus lunæ fere die uno deficiat. Hanc ob causam anno mundi 5929 nullus dies accessit cycli lunaris undecuplatione : inde vero ad annum 6233 dies unus adjiciebatur, et hinc porro anno 6537 duo, indeque ad annum 6841 tres : atque deinceps, juxta compar dicti temporis intervallum, quatuor dies accedent. Veruntamen præsente hoc tempore, si cyclum lunæ 17 et 18 et 19 undecuplaveris et quatuor dies adjeceris, quem velis mensis lunaris diem hoc pacto reperire poteris.

De cyclo solis inveniendo.

Similiter et de sole ; annum jam currentem di-

A τοῦ Ὀκτωβρίου μηνὸς, ἐνηλλαγμένως αἱ τῶν μηνῶν ἡμέραι πρὸς τὰς τῆς ἑβδομάδος ἐφέροντο· τῇ δὲ α′ τοῦ Ὀκτωβρίου εὑρεθείσης καὶ τῆς ἑβδομάδος ἐν τῇ α′ τῶν αὐτῆς ἡμερῶν, ἐκεῖθεν καὶ ἀρχόμεθα. Οὐδεὶς γὰρ τῶν μηνῶν ἕτερος, ὅτι μὴ μόνος ὁ Ὀκτώβριος, κατὰ τὴν πρώτην τοῦ ἡλίου περίοδον τὴν πρώτην τῶν αὐτοῦ ἡμερῶν τῇ πρώτῃ τῆς ἑβδομάδος ἔχει συμπίπτουσαν. Ἐκ τούτου τοίνυν ἀρχόμενοι, ἑκάστου τῶν ἑξῆς μηνῶν τὰς μὲν κη′ ἡμέρας ἐῶμεν, ὡς ὁλοκλήρους ἑβδομάδας ἀπαρτιζούσας, τὰς δὲ ἐπέκεινα τούτων λαμβάνομεν, ἕως ἂν εἰς τὴν ἡμέραν ἔλθωμεν, περὶ ἧς τὴν ζήτησιν ἔχομεν. Ὅτι δὲ κατὰ τὸν πρῶτον τῆς δημιουργίας τοῦ ἡλίου κύκλον οὕτω συνήντησε, καταμαθεῖν εὐπετές. Ἀπὸ τῆς ιε′ τοῦ Μαρτίου, ἐν ᾗ τὴν γένεσιν ἔσχεν ὁ ἥλιος, μέ-

B χρις ὅλου τοῦ Σεπτεμβρίου, μετὰ τῶν πρὸ τοῦ ἡλίου τριῶν ἡμερῶν ἡμέραι γίνονται σγ′, αἵτινες ποιοῦσιν ἑβδομάδας ἐννέα καὶ εἴκοσιν· ἑπτάκις γὰρ τὰ εἴκοσιν ἑκατὸν τεσσαράκοντα, καὶ ἑπτάκις τὰ ἐννέα, ἑξήκοντα τρία· λοιπὸν ἡ πρώτη τοῦ Ὀκτωβρίου ἐγένετο καὶ πρώτη τῆς ἑβδομάδος.

Πῶς ὁ τῆς σελήνης εὑρίσκεται κύκλος.

Ἀλλ' ἡνίκα τὸν τῆς σελήνης κύκλον εὑρεῖν ἐθελήσειας, τοῖς δακτύλοις τῶν χειρῶν τὸ ἐνιστάμενον ἔτος λάμβανε. Κείσθω δὴ τὸ ἐφ' ἡμῶν ϛωμγ′, καὶ ἐπεὶ τὴν αὐτὴν ἀναλογίαν ἔχουσι τῷ ιθ′ ἀριθμῷ τῶν τῆς σελήνης κύκλων ὅ τε ρϟ′ καὶ ὁ ͵αϡθ′, ἄφελε πρῶτον ἐκ τρίτου τὸν ͵αϡθ′· Εἶτα τῶν μεινάντων ͵αρμγ′ ἀφελὼν ἑξάκις τὸν ρϟ′, ἕξεις τὰ περιλειπόμενα τρία, ἅπερ εἰσὶν ὁ κύκλος τῆς σελήνης. Εἰ δὲ

C βούλει, κράτησον τὸ μικρὸν ἔτος μόνον, ἤτοι τὰ μγ′ πρόσθες καὶ τὰ ιζ′ τὰ περισσεύσαντα ἀπὸ τῆς παρελθούσης ἑκατονταετηρίδος, καὶ τὰ ὁμοῦ γινόμενα ξ′ ὕφελε ἐπὶ τῶν ιθ′, καὶ τὰ καταλειφθέντα τρία δηλοῦσι τρανῶς τῆς σελήνης τὸν κύκλον,

Πῶς ὁ τῆς σελήνης εὑρίσκεται θεμέλιος.

Τὸν δὲ ταύτης θεμέλιον ἀκριβῶς ἔσῃ, ἐάν περ ὃν εὕρες αὐτῆς κύκλον ἐνδεκαπλασιάσας, καὶ τρεῖς ἡμέρας τούτοις προσθεὶς, ὑφέλῃς ἐπὶ τῶν λ′ καὶ καταλειφθέντα ἀριθμὸν, ὡς θεμέλιον τῆς σελήνης κρατήσῃς. Αἱ δὲ τρεῖς αὗται ἡμέραι προστίθενται, διὰ τὸ μὴ ἀποκαθίστασθαι τὰς τῆς σελήνης κατὰ μῆκος παρόδους ἐν ὅλοις ιθ′ ἔτεσιν, ὡς εἴρηται· ἀλλὰ παρὰ μιᾶς ἡμέρας ἑξηκοστὰ πρῶτα τρία, καὶ δεύτερα τριάκοντα ἑπτὰ, ὥστε εἰς τριακοσίους τέσσαρας ἐνιαυτοὺς μίαν ἡμέραν ἔγγιστα τὸν κύκλον

D ἐλαττοῦσθαι τῆς σελήνης. Διὰ δὴ τοῦτο ἐπὶ μὲν τοῦ ͵αϡθ′ ἔτους τοῦ κόσμου οὐδεμία ἡμέρα τῷ ἐνδεκαπλασιασμῷ τοῦ κύκλου τῆς σελήνης προσετίθετο· τὸ ἀπ' ἐκείνου δὲ ἄχρι τοῦ ͵ϛϡλγ′ ἔτους μία προσετίθη· ἐντεῦθεν δὲ μέχρι τοῦ ͵ϛϡλζ′ ἔτους, δύο· αὖθις δὲ ἄχρι τοῦ ϛωμα τρεῖς· εἰσέπειτα δὲ, κατὰ τὸ ἴσον τοῦ εἰρημένου χρόνου διάστημα, τέσσαρες προστεθήσονται. Πλὴν καὶ κατὰ τὸ παρὸν, τὸν ιζ′ τὸν ιη′ καὶ τὸν ιθ′ κύκλον τῆς σελήνης ἐνδεκαπλασιάζων, τέσσαρας ἡμέρας προσθήσεις, καὶ οὕτω τὴν ποστὴν τοῦ σεληνιακοῦ εὑρεῖν ἂν δυνηθείης μηνός.

Πῶς οἱ τοῦ ἡλίου κύκλοι εὑρίσκονται.

Ὡσαύτως καὶ ἐπὶ τοῦ ἡλίου, κράτησον ταῖς χερσὶ

τὸ τρέχον ἀρτίως ,ϛωμγ΄ ἔτος· καὶ ἐπεὶ ὁ εἰκοστὸς ὄγδοος τῶν κύκλων τοῦ ἡλίου ἀριθμὸς ἀναλογεῖ τῷ τε σπ΄ καὶ τῷ ,βω΄, ἄφελε ἐκ δευτέρου τὸν ,βω΄, καὶ τῶν περιλειπομένων ,ασμγ΄ αὖθις ἄφελε τετράκις τὸν σπ΄· εἶτα τῶν μεινάντων ρκγ΄ τετράκις ἀφελόντος σου τὸν κη΄, ἀνεξάντλητος μένει ὁ ια΄, ὅς ἐστιν ὁ τοῦ ἡλίου κύκλος.

A gitis accurate computa, videlicet 6843, et quoniam numerus 28 clycorum solis respondet et numero 280, et numero 2800, aufer bis 2800 ex 6843, et ex manentibus 1243 rursus deme quater 280; tum a residuis numeris 123, si auferas quater 28, manebit numerus 207 inexhaustus 11, qui solis cyclus erit.

Ἄλλως.

Ἢ καὶ οὕνω· κράτησον τὰ μικρὰ ἔτη τῆς παρούσης ἑκατονταετηρίδος, ἤτοι τὰ μγ΄, προσθες καὶ τὰ καταλειφθέντα τῆς παρελθουσης κδ΄, καὶ τὰ ὁμοῦ γινόμενα ξζ΄ μέρισον ἐπὶ τὰ κη΄· καὶ τὰ τούτων ἐλάττονα ια΄, ὁ κύκλος ἐστὶ τοῦ ἡλίου.

Aliter.

Vel etiam hoc modo: serva numerum minorem annorum currentis hecatontaeteridos, sive 43, et adjice annos, qui supersunt de præterita 24, summamque inde collectam 67 partire per 28; numerus post divisionem residuus, nempe undecimus, erit cyclus solis.

Ἑτέρως.

B

Ἀλλὰ γὰρ μηδὲ ταύτην ἀπαξιώσῃς τὴν μέθοδον, καὶ ῥᾷστα τὸν ἐπιζητούμενον κύκλον καὶ ἀμφοτέρων συνήσεις τῶν φώτων. Ὁ ιθ΄ κύκλος τῆς σελήνης, καὶ ὁ κη΄ κύκλος τοῦ ἡλίου ἀλλήλοις πολυπλασιαζόμενοι, τὸν φ΄ καὶ λβ΄ συνάγουσιν ἀριθμόν, ἄλφα τισὶν ἀνομαζόμενον, παρὰ τὸ συνάγεσθαι τὴν αὐτὴν ποσότητα τοῖς ἐξ ὧν τὸ ἄλφα στοιχεῖον σύγκειται. Τούτῳ τοίνυν καὶ τὸ πλήρωμα τῶν κύκλων ἀκολούθως συνέρχεται· ὁ μὲν γὰρ εὐθὺς ιθ΄ ὁ τῆς σελήνης, ὄγδοος δὲ καὶ εἰκοστὸς ὁ τοῦ ἡλίου γίνεται. Οὐκοῦν μέρισον τὰ ἀπὸ κτίσεως κόσμου ἔτη ἐπὶ τὰ φλϐ΄ οὕτω· δωδεκάσις τὰ πεντακόσια, ἑξσκισχίλια· δωδεκάκις τὰ λ΄ τριακόσια ἑξήκοντα· δωδεκάκις τὰ δύο, κϐ΄, ὁμοῦ ,στπδ΄· λοιπὰ υξα΄ πρὸς τὸ σήμερον οὐχὶν ,ϛωμε΄ ἔτος. Καὶ ἂν μὲν τὸν κυκλον τῆς σελήνης ἐθέλῃς εὑρεῖν, μέρισον τὰ υξα΄ ἐπὶ τὰ ιθ΄ οὕτως· κ΄ τὰ δέκα, σ΄· κ΄ τὰ θ΄, ρπ΄ δ΄ τὰ ι΄, μ΄· τετράκις τὰ θ΄, λς΄· ὁμοῦ υνς΄, λοιπὰ ε΄. Ταῦτα πέφυκεν ὁ τῆς σελήνης κύκλος. Ἂν δὲ τοῦ ἡλίου ζητῇς, οὕτως· δεκάκις τὰ κ΄, σ΄· δεκάκις τὰ η΄, π΄· ἑξάκις τὰ η΄, μη΄, ὁμοῦ υμη΄, λοιπὰ ιγ΄, ἃ δὴ πέφυκεν ὁ κύκλος τοῦ ἡλίου.

C

Sed nec ista methodus respuenda est, qua nullo negotio utriusque luminaris cyclum captes. Cyclus 19 lunæ et cyclus 28 solis in se invicem ducti numerum 532 producunt, quem nonnulli alpha appellant, quia eadem summa ex istius vocis elementis conflatur. Cum illo igitur et complementum cyclorum perpetuo concurrit; nam 19 protinus lunæ cyclus fit, et 28 cyclus solis. Dividantur ideo anni ab orbe condito per 532 in hunc modum: duodecim ducta in 500 faciunt 6000, et in 30 360, et 12 in 2 24. Ex quibus conflt summa 6384. Residua post divisionem sunt 461. Jam si cupias pro præsenti anno 6745 lunæ cyclum adinvenire, divide 461 per 19 in hunc modum; 20 ducta in 10 producunt 200 et 30 in 9 180; itemque 4 in 10 40, et 4 in 9 36. Hoc est, simul 456. Residua post divisionem, nimirum 5, sunt lunæ cyclus. Cyclum autem solis hoc modo indagabis: 10 in 20 efficiunt 200, in 8 80, atque 6 in 8 48. Quorum summa 448. Residua vero 13 cyclum solis monstrant.

Πῶς εὑρίσκεται ἡ Ἰνδικτος.

Οὕτω καὶ ἐπὶ τῆς Ἰνδίκτου ποίει· τὰ μὲν ἀπὸ κτίσεως κόσμοδ ἔτη ἀνάλυων ἐπὶ τὰ ιε΄, τὰ δὲ μικρὰ, μετὰ προσθήκης ἐτῶν ε΄ μερίζων αὖθις ἐπὶ τὰ ιε΄. Εἰ γὰρ καὶ τοῖς τὰ Ἑλλήνων φρονοῦσι Ῥωμοίοις ἐξεύρηται τὸ τῆς Ἰνδίκτου καὶ ἐπινεμήσεως ἔθος, διὰ τὸ φανερῶς ἐπὶ τοσούτοις ἑναλλάττειν χρόνοις τὰς τῶν ἀνθρώπων ἡλικίας, ἀλλ' ἔλαθον ἑαυτοὺς τῇ ἀληθείᾳ καὶ οὗτοι συνενεχθέντες, καὶ τοῖς τῷ μεγάλῳ Μωσεῖ ἀναγεγραμμένοις ἀπὸ κτίσεως κόσμου συμφθιγγόμενοι χρόνοις.

D

Quomodo invenitur indictio.

Canones autem concilii Carthaginensis 34 et 73 diem sacri Paschatis in synodis anniversariis declarari jubent, synodi autem habendæ diem indicunt decimum Kalendas Septembris, vel quod idem est, 21 die Augusti. Kalendæ enim vocantur primi mensium dies. Demptis igitur decem diebus qui præcedunt, relinquitur Augusti (qui mensis dies 31 numerat) dies vicesimus primus.

Porro autem canon 14 concilii Laodiceni illicitum judicat sacra mysteria, benedictionis quidem impertiendæ causa, tempore Paschatis ab una parœcia in aliam mittere. Hoc enim tanquam moris indecentis et minus convenientis merito a Patribus prohibitum fuit. **219** Latini autem hodieque id faciunt, nimirum tempore Paschali azyma jam consecrata, tanquam communia, popula distribuunt.

Lex.

Primo paschalium dierum incarcerati, nisi imperatoris jussu aliter cautum fuerit, liberentur : præcluduntur tamen sacrilegus, adulter, virginum raptor, sepulcri violator, magus, veneficus, homicida parricide, tum quisquis deprehensus fuit adversus imperatorem aut statum civilem novi aliquid moliens.

CAP. VIII. *De patriarcha.*

Patriarcha est viva Christi imago spiransque, operibus et sermonibus in semetipso ad vivum depingens veritatem.

Munus autem patriarchæ primum quidem est, illos quos suscepit a Deo in pietate moribusque bonis conservare, tum vero et hæreticos omnes, quantum potest, ad orthodoxam fidem et Ecclesiæ unitatem convertere. (Hæreticos autem vocant et jus civile et canones sacri eos quidem omnes, qui cum Ecclesia catholica non communicant.) Tertio autem in loco ita infideles præclara et admiranda sua conversatione percellere, ut imitatores æmulique fidei evadant, atque operum suorum inspectores, quatenus hoc liceat, sanctissimæ et consubstantialis Trinitatis adoratores reddere.

Munus patriarchæ est animarum sibi creditarum salus, atque in Christo vivere, ac mundo crucifigi.

Dein eximia sunt isthæc, aptum esse ad docendum, erga omnes tum sublimis tum vilioris generis homines animo liberali se gerere ; insuper mitem esse in admonitionibus erga eos omnes, quibuscum rem habet, at vero quoad contumaces facultate reprehendendi pollere : pro veritate denique et dogmatum vindiciis, et pro justitia ac pietate conservandis apud imperatores verba facere, neque erubescere.

Cum autem politia ecclesiastica, instar hominis, ex partibus ac particulis constet, membra omnium maxima maximeque necessaria sunt imperator et patriarcha. Quocirca pax et felicitas subdi-

ὥρα, εἴτε ἑβδόμη τυγχάνουσα ἦν, εἴτε μὴν ὀγδόη, μόνῳ τῷ ἀναστάντι θεῷ γνώριμος.

Ὁ δὲ τῆς ἐν Καρθαγένῃ συνόδου λδ' καὶ ὁ ογ' τὴν τοῦ ἁγίου Πάσχα ἡμέραν παρεγγυῶνται γίνεσθαι δήλην ἐν ταῖς ἐτησίως γινομέναις συνόδοις · ἡμέραν δὲ τῆς συνόδου ὁρίζονται τὴν πρὸ δέκα καλανδῶν Σεπτεμβρίων, ὡς εἶναι ταύτην εἰκοστὴν πρώτην τοῦ Αὐγούστου · καλάνδαι γὰρ αἱ πρῶται ἡμέραι τοῦ μηνὸς λέγονται · εἰ οὖν τὰς πρὸ τούτων ἀφέλοις δέκα, ἡ κα' λείπεται τοῦ Αὐγούστου, τριάκοντα καὶ μίαν ἡμέρας ἔχοντος.

Ὁ δὲ ιδ' τῆς ἐν Λαοδικείᾳ οὐκ οἴεται δεῖν τὰ ἅγια δῶρα, εὐλογίας δῆθεν χάριν, τῷ τοῦ Πάσχα καιρῷ ἀπὸ παροικίας πέμπειν εἰς παροικίαν · ὡς ἀπρεπὲς γὰρ καὶ οὐκ εὔσχημον ἔθος δικαίως πρὸς τῶν Πατέρων κεκώλυται. Τοῦτο δὲ νῦν οἱ Λατῖνοι ποιοῦσιν, ἐν τῷ καιρῷ τοῦ Πάσχα ἐπιμερίζοντες τὰ ἄζυμα μετὰ τὸ ἁγιασθῆναι, ὡς κοινὰ τῷ δήμῳ παντί.

Νόμος.

Τῇ πρώτῃ τῶν πασχαλίων ἡμερῶν, καὶ βασιλικῆς ἐπὶ τούτῳ μὴ καταλαβούσης κελεύσεως, πάντες οἱ ἐν φυλακαῖς ἀπολυέσθωσαν, εἰ μὴ ἀρα ἱερόσυλός ἐστιν, ἢ μοιχὸς, ἢ παρθένων ἅρπαξ, ἢ τυμβωρύχος, ἢ γόης, ἢ φαρμακὸς, ἢ φονεὺς, ἢ πατροκτόνος, ἢ κατὰ βασιλέως ἢ πόλεως εὑρέθη μηχανησάμενος.

ΚΕΦΑΛ. Η'. Περὶ πατριάρχου.

Πατριάρχης ἐστὶν εἰκὼν ζῶσα Χριστοῦ καὶ ἔμψυχος, δι' ἔργων καὶ λόγων ἐν αὐτῷ ζωγραφῶν τὴν ἀλήθειαν.

Σκοπὸς τῷ πατριάρχῃ, πρῶτον μὲν, οὓς ἐκ Θεοῦ παρέλαβεν ἐν εὐσεβείᾳ καὶ σεμνότητι βίου διαφυλάξαι · ἔπειτα δὲ καὶ πάντας τοὺς αἱρετικοὺς, κατὰ τὸ δυνατὸν αὐτῷ, πρὸς τὴν ὀρθοδοξίαν καὶ τὴν ἕνωσιν τῆς Ἐκκλησίας ἐπιστρέψαι (αἱρετικοὶ δὲ τοῖς νόμοις καὶ τοῖς κανόσι καλοῦνται, καὶ οἱ τῇ καθολικῇ μὴ κοινωνοῦντες Ἐκκλησίᾳ) · ἔτι δὲ καὶ τοὺς ἀπίστους διὰ τῆς λαμπρᾶς καὶ θαυμασίας αὐτοῦ πράξεως ἐκπλήττων, μιμητὰς ποιῆσαι τῆς πίστεως, καὶ τοὺς ὁρῶντας τὰ ἔργα αὐτοῦ λατρευτὰς τῆς παναγίας καὶ ὁμοουσίου Τριάδος, τὸ ὅσον ἐπ' αὐτῷ ἀπεργάσασθαι.

Τέλος τῷ πατριάρχῃ ἡ τῶν καταπεπιστευμένων αὐτῷ ψυχῶν σωτηρία, καὶ τὸ ζῆν μὲν ἐν Χριστῷ, ἐσταυρῶσθαι δὲ τῷ κόσμῳ.

Ἴδια πατριάρχου, τὸ εἶναι διδακτικόν, τὸ πρὸς πάντας ὑψηλούς τε καὶ ταπεινοὺς ἀστενοχωρήτως ἐξισοῦσθαι, καὶ πρᾶον μὲν εἶναι πρὸς ἅπαντος τοὺς ἐντυγχάνοντας ταῖς διδασκαλίαις · ἐλεγκτικὸν δὲ πρὸς τοὺς ἀπειθοῦντας · ὑπὲρ δὲ τῆς ἀληθείας, καὶ τῆς ἐκδικήσεως τῶν δογμάτων, καὶ τῆς συντηρήσεως τοῦ δικαίου καὶ τῆς εὐσεβείας λαβεῖν ἐναντίον βασιλέων καὶ μὴ αἰσχύνεσθαι.

Τῆς πολιτείας ἐκ μερῶν καὶ μορίων ἀναλόγως τῷ τινι ἀνθρώπῳ συνισταμένης, τὰ μέγιστα καὶ ἀναγκαιότατα μέρη βασιλεύς ἐστι καὶ πατριάρχης Διὸ καὶ ἡ κατὰ ψυχὴν καὶ σῶμα τῶν ὑπηκόων εἰρήνη

καὶ εὐδαιμονία βασιλείας ἐστὶ καὶ ἀρχιερωσύνης ἐν πᾶσιν ὁμοφροσύνη καὶ συμφωνία.

Ὁ Κωνσταντινουπόλεως θρόνος βασιλείᾳ ἐπικοσμηθεὶς ταῖς συνοδικαῖς ψήφοις πρῶτος ἀνηγορεύθη· αἷς οἱ θεῖοι κατακολουθοῦντες νόμοι καὶ τὰς ὑπὸ τοὺς ἑτέρους θρόνους γινομένα ἀμφισβητήσεις ὑπὸ τὴν ἐκείνου προστάττουσιν ἀναφέρεσθαι διάγνωσιν καὶ κρίσιν.

Πάντων τῶν μητροπόλεων, καὶ ἐπισκοπείων, μοναστηρίων τε καὶ ἐκκλησιῶν ἡ πρόνοια καὶ φροντὶς, ἔτι δὲ καὶ κρίσις, καὶ κατάκρισις, καὶ ἀθώωσις, τῷ οἰκείῳ πατριάρχῃ ἀνάκειται. Τῷ δὲ Κωνσταντινουπόλεως προέδρῳ ἔξεστι καὶ ἐν ταῖς τῶν ἀλλων θρόνων ἐνορίαις, ἐν οἷς οὐκ ἔστι προκαθιέρωσις ναῶν, σταυροπήγια διδόναι, οὐ μὴν ἀλλὰ καὶ τὰς ἐν τοῖς ἄλλοις θρόνοις γινομένας ἀμφισβητήσεις ἐπιτηρεῖν καὶ διορθοῦσθαι, καὶ πέρας ἐπιτιθέναι ταῖς κρίσεσιν· ὡσαύτως καὶ μετανοίας, καὶ ἐπιστροφῆς ἁμαρτημάτων καὶ αἱρέσεων, αὐτὸς κα μόνος καθίσταται διαιτητής τε καὶ γνώμων.

ΚΕΦΑΛ. Θ'. Περὶ περιοδευτῶν, ἤτοι ἐξάρχων.

Ζήτει ἐν τῷ λ' κεφαλαίῳ τοῦ Ε στοιχείου κανόνα τῆς ἐν Λαοδικείᾳ συνόδου νζ'.

ΚΕΦΑΛ. Γ'. Περὶ πίστεως ὀρθοδόξου.

Ζήτει τὸ κεφάλαιον τοῦτο πρὸ τοῦ Α στοιχείου.

ΚΕΦΑΛ. ΙΑ'. Περὶ πλεονεξίας καὶ ἁρπαγῆς.

Ζήτει τὸ ιβ' κεφάλαιον τοῦ Α στοιχείου.

Ὁ δὲ μέγας Γρηγόριος ὁ Νύσσης ἐν τῷ Ϛ κανόνι. Τὸ τῆς εἰδωλολατρείας, φησὶν, εἶδος, οὕτω γὰρ ὠνόμασε τὴν πλεονεξίαν ὁ μέγας Ἀπόστολος, οὐκ οἶδ' ὅπως ἀθεράπευτον ὑπὸ τῶν Πατέρων ἡμῶν περιώφθη· καίτοι γε δοκεῖ τὸ τοιοῦτον κακὸν τῆς τριττῆς ἐν τῇ ψυχῇ καταστάσεως πάθος εἶναι. Καὶ γὰρ ὁ λογισμὸς τῆς τοῦ καλοῦ κρίσεως ἁμαρτάνων, ἐν τῇ ὕλῃ τὸ καλὸν εἶνα φαντάζεται, οὐ πρὸς τὸ ἄὐλον ἀναβλέπων κάλλος. Καὶ ἡ ἐπιθυμία πρὸς τὰ κάτω ῥεῖ, τοῦ ἀληθοῦς ὀρεκτοῦ ἀποῤῥέουσα· καὶ ἡ φιλόνεικός τε καὶ θυμώδης διάθεσις, πολλὰς ἐκ τῆς τοιαύτης ἁμαρτίας τὰς ἀφορμὰς λαμβάνει· καὶ, τὸ ὅλον εἰπεῖν, συμφωνεῖ ἡ τοιαύτη νόσος τῷ ἀποστολικῷ τῆς πλεονεξίας ὅρῳ. Ὁ γὰρ θεῖος Ἀπόστολος οὐ μόνον αὐτὴν εἰδωλολατρείαν, ἀλλὰ καὶ ῥίζαν ἁπάντων τῶν κακῶν ἀπεφήνατο. Καὶ ὅμως τὸ τοιοῦτον εἶδος παρῳφθη τῆς νόσου ἀνεπίσκεπτόν τε καὶ ἀτημέλητον· διὸ καὶ πλεονάξει κατὰ τῆς Ἐκκλησίας τὸ τοιοῦτον ἀῤῥώστημα· καὶ οὐδεὶς τοὺς ἔπὶ τὸν κλῆρον ἀγομένους περιεργάζεται. μήπως τῷ τοιούτῳ εἴδει τῆς εἰδωλολατρείας κατεμιάνθησαν. Ἀλλὰ περὶ τούτων, διὰ τὸ παρεῖσθαι τοῖς Πατράζιν ἡμῶν, ἀρκεῖν ἡγούμεθα τῷ δημοσίῳ τῆς διδασκαλίας λόγῳ, ὅπως ἂν οἷόν τε ᾖ, θεραπεύειν, καὶ ὥσπερ τινὰ πληθωρικὰ τῆς πλεονεκτικῆς ἀῤῥωστίας καθαίρειν.

ΚΕΦΑΛ. ΙΒ'. Ὅπως δεῖ πνευματικοὺς πατέρας οἰκονομεῖν τοὺς αὐτοῖς ἐξομολογουμένους

Ζήτει νρῦ Μ στοιχείου κεφ, ε', ς', ζ', η' καὶ θ'.

torum, tam quoad animam quam corpus, est imperii ac sacerdotii in omnibus concordia et consensus.

Sedes Constantinopolitana, quæ imperio cohonestatur, decretis synodalibus omnium prima declarata fuit: unde imperatorum sanctiones, quæ isthæc sequuntur lites in aliis sedibus si quæ oriantur, ad hujusce throni cognitionem ac judicium referri jubent.

Omnium plane ecclesiarum metropolitanarum, et episcopatuum, et monasteriorum, atque Ecclesiarum providentia et cura, imo etiam recognitio ac censura, atque absolutio ad proprium patriarcham pertinet. Præsuli vero Constantinopolitano licet etiam in aliorum thronorum districtu largiri: neque id solum, sed et lites, quæ in aliis provinciis moventur, observare et moderari, et penitus determinare; ipse pariter et pœnitentiæ atque conversionis a delictis ac hæresibus ei quidem solus constituitur exactor et explorator.

220 CAP. IX. *De visitatoribus, sive exarchis.*

Quære in capite 30 litteræ E canonem synodi Laodicenæ 57.

CAP. X. *De fide orthodoxa.*

Vide cap. Præfationis, quæ immediate præcedit, litt. A.

CAP. XI. *De avaritia et rapina.*

Consule cap. 12 litt. A.

Magnus autem Gregorius Nyssenus in canone G, Species ista idololatriæ, inquit (ita enim sanctus Apostolus avaritiam vocavit), Patribus nostris nescio an tanquam insanabilis penitus neglecta fuit; siquidem videtur malum illud tertiæ cujusdam facultatis animæ passio esse. Ratio enim, quæ de bono judicium ferre debet, aberrat, atque in materie bonum situm esse arbitratur, nihil ad decus im materiale respiciens. Et concupiscentia, a vero appetibili divertens, ad ea quæ sunt infra delabitur: appetitus vero irascibilis atque animosus plerumque ex illo errore occasionem sumit. Atque, ut summatim loquar, convenit ejusmodi morbus apostolicæ definitioni avaritiæ. Sanctus enim Apostolus eam non solum idololatriam esse asseruit, sed et malorum omnium radicem. Quare etiam neglectum fuit illud morbi genus nulla adhibita cura aut medela: unde per Ecclesiam grassatur hoc vitium, et nemo quisquam hos qui ad clericatum accedunt diligenter observat, ne forte hoc idololatriæ genere inquinati fuerint. Sed quoad ista, quia Patres nostri ea prætermiserunt, communem disciplinæ rationem sufficere arbitramur, qua curandum sit, ut licet, et, quod in plethora fieri solet, purgandum avaritiæ vitium.

CAP. XII. *Quonam modo oporteat patres spirituales se gerere erga confitentes.*

Vide litt. M. cap. 5, 6, 7, 8 et 9.

CAP. XIII. *Quod animalibus suffocatis vesci haud liceat.*

Ex canone 63 sanctorum apostolorum, atque etiam 67 synodi sextæ, sævum esse videtur et valde absurdum, hosce brutorum animalium jugulatione sanguinem non prius evacuare qui illorum carnes **221** comesturi sunt. Vetitum est a bellua captum vel emortuum edere, atque etiam ob ventrem voracem cujusvis animalis sanguinem arte aliqua esculentum reddere. Nam etiamsi Deus post diluvium homini concesserit nos minus quam de oleribus ex brutis animantibus cibum capere, veluit tamen carnes una cum sanguine animæ edere. Sanguis enim in brutis animæ rationem obtinet. Quamobrem etiam apostoli in Actibus decreverunt, ut fideles sicuti ab idolothytis et fornicatione, ita et a suffocato abstinerent ; qui vero cunque hanc injunctionem parvipendent, si sint ex ordine clericali, depositione percellunt, laicos autem excommunicatione. Latini tamen, sacros hosce canones nihil curantes, temere suffocata devorant.

Lex.

Sancit constitutio novella 58 Leonis imperatoris tam eos qui vendunt quam qui comedunt quodcunque in se sanguinem continet, flagris cæsos bonorum publicationem sustinere, et cute tenus tonsione deformari, et perpetuo exsilio multari, et magistratus qui isthæc non puniverint, decem librarum auri multam subire.

CAP. XIV. *De pœnis.*

Quære in 12 capite litt. Σ canonem 5 synodi Antiochenæ.

Leges.

Nullam mulierem propter actionem pecuniariam, sive publica fuerit, sive privata, vel causam quamcunque, aut in custodiam conjici volumus, aut a viris custodiri, ne forte ea occasione inveniantur quoad pudicitiam corruptionis reæ. Sin vero gravissimum sit crimen, quod objicitur, trudatur in monasterium vel mulieribus tradatur, ut tuto custodiatur, donec res fiat manifesta.

Si imperator pœnam alicui denuntiet, damnatus ne statim puniatur, sed differatur in dies 30 pœnæ inflictio : nam forsitan veniam obtinuerit.

Liberis, qui nihil mali patrarunt, patrum delicta haud nocent, neque liberorum patribus. Caput enim crimina sequuntur.

Vetat constitutio vel manus ambas vel pedes abscindi.

Pœna metalli est quempiam damnari ad asbestum præparandum, aut sulphur effodiendum.

Vide et in 9 capite litt. M, et in 9 capite litteræ Δ can. 50 concilii Carthaginensis.

A ΚΕΦΑΛ. ΙΓ'. Ὅτι οὐ δεῖ πνικτὰ ζῶα ἐσθίειν.

Τῷ ξγ' κανόνι τῶν ἁγίων ἀποστόλων, πρὸς δὲ καὶ τῷ ξζ' τῆς ς' συνόδου, ἀπηνὲς εἶναι δοκεῖ καὶ ἀτεχνῶς ἄλογον τὸ μὴ πρῶτον ἐκκενοῦν τῇ σφαγῇ τῶν ἀλόγων ζώων τὸ αἷμα τοὺς τῶν κρεῶν αὐτῶν ἅπτεσθαι μέλλοντας. Ἀπείρηται δὲ καὶ θηριάλωτον ἐσθίειν ἢ νεθνηκὸς, ἔτι δὲ καὶ διὰ τὴν λίχνον γαστέρα, αἷμα οἱουδήποτε ζώου, τέχνῃ τινὶ κατασκευάζειν ἐδώδιμον. Εἰ γὰρ καὶ μετὰ τὸν κατακλυσμὸν ὁ Θεὸς τοῖς ἀνθρώποις ἐπέτρεψε τῶν λαχάνων οὐχ ἧττον τὰ ἄλογα τῶν ζώων ποιεῖσθαι τροφὴν, ἀλλὰ κρέα ἐν αἵματι ψυχῆς ἐσθίειν ἀπείρηκε · τὸ γὰρ αἷμα ψυχῆς ἐν γοῖς ἀλόγοις ἐπέχει δύναμιν. Διὰ τοῦτο καὶ οἱ ἀπόστολοι ἐν ταῖς Πράξεσι, μετὰ τοῦ εἰδωλοθύτου καὶ τῆς πορνείας, καὶ ἀπὸ τοῦ πνικτοῦ παραφυλάττεσθαι νενομοθετήκασι τοὺς πιστούς · τοῖς δὲ ταύτην περὶ ἐλαχίστου τιθεμένοις τὴν ἐντολὴν, εἰς κληρικοὺς μὲν τελοῦσι, δίκην ἐπάγουσι τὴν καθαίρεσιν, ἀφορισμὸν δὲ τοῖς τοῦ λαοῦ. Οἵ γε μὴν Λατῖνοι, καὶ τῶν ἱερῶν τούτων κατολιγωροῦντες κανόνων, ἀδεῶς ἐσθίουσι τὰ πνικτά.

B

Νόμος.

Ἡ δὲ νη' νεαρὰ τοῦ βασιλέως Λέοντος διορίζεται, τοὺς μὲν πωλοῦντας ἢ ἐσθίοντας εἶδος οἱονδηποτοῦν μετέχον αἵματος, αἰκιζομένους δημεύεσθαι, καὶ διὰ τῆς ἐν χρῷ κουρὰς ἀτιμοῦσθαι, καὶ ἀειφυγίᾳ κατακρίνεσθαι · τοὺς δὲ μὴ τὰ τοιαῦτα ἐκδικοῦντας ἄρχοντας δέκα λίτρας ζημιοῦσθαι χρυσίου.

C ΚΕΦΑΛ. ΙΔ'. Περὶ ποινῶν.

Ζήτει ἐν τῷ ιβ' κεφαλαίῳ τοῦ Σ στοιχείου κανόνα ε' τῆς ἐν Ἀντιοχείᾳ συνόδου.

Νόμοι.

Οὐδεμίαν γυναῖκα ὑπὲρ χρηματικῆς αἰτίας δημοσίας ἢ ἰδιωτικῆς, ἢ ὑπὲρ ἐγκλήματος οἱουδήποτε, ἢ εἰς φρουρὰν βάλλεσθαι συγχωροῦμεν, ἢ δι' ἀνδρῶν φυλάττεσθαι, ἵνα μὴ διὰ τῶν τοιούτων ἀφορμῶν εὑρεθῶσι περὶ τὴν σωφροσύνην ἀτιμαζόμεναι. Εἰ δὲ βαρύτατον εἴη τὸ ἔγκλημα, ἐφ' ᾧ κατηγορεῖται, εἰς μοναστήριον ἐμβαλλέσθω, ἢ γυναιξὶ παραδιδόσθω, ὥστε ἀσφαλῶς τηρεῖσθαι, ἕως οὗ τὸ πρᾶγμα φανερωθῇ.

D Ἐὰν ἐπαγάγῃ ὁ βασιλεὺς τιμωρίαν τινὶ, μὴ κολαζέσθω παραχρῆμα ὁ καταδικασθεὶς, ἀλλ' ὑπερτιθέσθω λ' ἡμέρας ἡ κατ' αὐτοῦ τιμωρία · ἴσως γὰρ τεύξεται φιλανθρωπίας.

Τοὺς μηδὲν ἡμαρτηκότας παῖδας τὰ τῶν πατέρων ἁμαρτήματα οὐ καταβλάπτει, οὐδὲ τοὺς πατέρας τὰ τῶν τέκνων · τὰ γὰρ ἁμαρτήματα τῇ κεφαλῇ ἕπονται.

Ἀπαγορεύει ἡ διάταξις ἀμφοτέρας τέμνεσθαι τὰς χεῖρας, ἢ τοὺς πόδας.

Ποινὴ μετάλλου ἐστὶ τὸ καταδικασθῆναί τινα ἄσβεστον ποιεῖν, ἢ θεῖον ἀρύττειν.

Ζήτει καὶ ἐν τῷ θ' κεφαλαίῳ τοῦ Μ στοιχείου, καὶ ἐν τῷ 0' κεφ, τοῦ Δ στοιχείου κανόνα ν' τῆς ἐν Καρθαγένῃ συνόδου.

ΚΕΦΑΛ. ΙΕ. Περὶ πορνείας.

Ζήτει ἐν τῷ ιδ'. κεφ. τοῦ Μ στοιχείου κανόνα δ' τοῦ μεγάλου Γρηγορίου Νύσσης, ὅστις καὶ εἰς θ' χρόνους τοὺς πόρνους ἐπιτιμᾶσθαι κελεύει.

Ὁ δὲ μέγας Βασίλειος, ἐν τῷ νθ' κανόνι, τὸν πόρνον μέχρις ἑπταετίας τῆς κοινωνίας ἀπείργει. Εἰ γὰρ καὶ ἐν τῷ κβ' κανόνι, ὃν καὶ ζήτει ἐν τῷ ιγ' κεφ. τοῦ Α στοιχείου, μετὰ τετραετίαν δοκεῖ λύειν τοῖς τοιούτοις τὸ ἐπιτίμιον, ἀλλ' οὐχὶ γνώμην οἰκείαν, τὴν δὲ τῶν πρὸ αὐτοῦ Πατέρων εἰσήνεγκε· τήν γε μὴν ἑπταετίαν τῇ ἰδίᾳ κρίσει τούτων κατεψηφίσατο, βαρύτερον ἢ οἱ πρὸ αὐτοῦ τὴν πορνείαν κολάζων, ὥσπερ ἄρα καὶ ἕτερα τῶν παθῶν οὐκ ὀλίγα.

Περὶ δὲ τοῦ γυναικὶ συνοικοῦντος νομίμῳ καὶ παρνεύοντος ζήτει ἐν τῷ ις' κεφαλαίῳ τοῦ Γ στοιχείου κανόνα τοῦ μεγάλου Βασιλείου κα'.

Περὶ δὲ τοῦ γυναῖκα παρθένον φθείραντος βίᾳ ζήτει τὸ λ' κεφ. τοῦ Γ στοιχείου.

Ὁ δὲ μέγας Βασίλειος ἐν κε' κανόνι, Ὁ τὴν ἀμνήστευτον φθείρας παρθένον, φησί, καὶ μετὰ τὴν φθορὰν οἷα συζύγῳ χρώμενος, τὸ μὲν ἐπὶ τῇ φθορᾷ ἐπιτίμιον ὑποστήσεται. Τὴν δὲ γυναῖκα, τὴν μετ' αὐτοῦ συμβίωσιν αἱρουμένην, οὐκ ἀφαιρεθήσεται, εἴ γε καὶ οἱ γονεῖς τῆς κόρης δηλαδὴ καταδέχοιντο ἔτι οὔσης ὑπεξουσίου. Ἐκείνων γὰρ μὴ ἀνεχομένων, ὁ φθείρας κατὰ τοὺς πολιτικοὺς νόμους τιμωρηθήσεται, οὓς καὶ ζήτει κατὰ τὸ ῥηθὲν λ' κεφ. τοῦ Γ στοιχείου.

Ἐπὶ τριετίαν δὲ καὶ ὁ φθείρας ἐπιτιμᾶται, καὶ ἡ φθαρεῖσα, κατὰ τοὺς κειμένοις τοῦ ἁγίου τούτου κανόνας ἐν τῷ η' κεφ. τοῦ Γ στοιχείου. Ἀκολούθως δὲ καὶ οὗτος τῷ ἀποστολικῷ ζ' κανόνι, ὃν καὶ ζήτει ἐν τῷ αὐτῷ λ' κεφ. τοῦ Ι στοιχείου, τὸν τὴν παρθένον φθείραντα νομίμως ταύτῃ συνάπτεσθαι διορίζεται· ἴσως γὰρ εἰ μὴ τούτῳ συναφθείη, ἄτιμος περιλειφθήσεται, οὐδενὸς ταύτην αἱρουμένου πρὸς γάμον λαβεῖν.

Ἐν δὲ τῷ κς', Ἡ πορνεία γάμος οὐκ ἔστι, φησὶν, ἀλλ' οὐδὲ γάμου ἀρχή· εἰ μὲν οὖν οἷόν τε τοὺς κατὰ πορνείαν συναπτομένους χωρίζεσθαι, τοῦτο κράτιστον· σαθρὸς γὰρ ὡς ἄθεσμος ὁ τοῦ τοιούτου γάμου θεμέλιος. Εἰ δὲ στέργουσιν ἐκ παντὸς τρόπου καὶ ἄμφω τὸ συνοικέσιον, τὸ μὲν τῆς πορνείας ἐπιτίμιον γνωριζέτωσαν, ἀφιέσθωσαν δὲ συνοικεῖν, ἵνα μὴ χεῖρόν τι γένηται. Ἡ γὰρ ἑτέρῳ συζυγεῖσα ἡ γυνὴ, εἰς μοιχείαν ἐκκυλισθήσεται, τῷ πρώτῳ λάθρα συμφθειρομένη· ἢ στέργοντες ἀλλήλους διακαῶς, καὶ συνεῖναι κωλυόμενοι, ἑαυτοὺς διαχειρίσονται, τῷ κατ' ἄκρας ἁλῶναι τῷ ἔρωτι, τὴν ἀπ' ἀλλήλων μὴ ἐνεγκόντες διάζευξιν. Ζήτει καὶ τὸν π' τούτου κανόνα ἐν τῷ δ' κεφαλαίῳ τοῦ Γ στοιχείου.

Νόμοι.

Ἀλλ' ὁ νόμος τον παλλακῇ σώφρονι χρώμενον ἀναγκάζεσθαι κελεύει ταύτην καὶ νόμῳ γάμου λαβεῖν· τὴν δὲ καὶ ἑτέροις μιγνυμένην, καὶ μὴ τῷ ἑνὶ ἀρκουμένην προσώπῳ, καὶ τῆς οἰκίας τοῦ πορνεύοντος ἐξωθεῖσθαι.

222 CAP. XV. *De fornicatione.*

Quære in 14 cap. litt. M canonem 4 magni Gregorii Nysseni, qui in novennium fornicatores castigari jubet.

Magnus autem Basilius, in canone nono, fornicatorem per septennium communione privat. Quamvis enim canone 22 (quem videsis in capite 13 litt. A) videatur post quadriennium hisce correctionem solvere, non tamen ibi propriam sententiam, sed Patrum præcedentium attulit. Ex propria autem sententia eos in septennium damnavit, graviusque adeo quam qui præcesserunt fornicationem punivit, sicuti et pleraque alia vitia.

Jam vero de eo qui legitima cum uxore sua cohabitat, quamvis fornicetur, vide in capite 16 litt. Γ canonem magni Basilii numero 21.

De eo qui virginem per vim stupraverit consule cap. 30 litt. Γ.

Tum vero magnus Basilius in canone 25, Qui virginem nondum desponsatam, inquit, corruperit, eaque post stuprum tanquam conjuge usus fuerit, constuprationis pœnas dabit. Feminam vero, si cum illo una vivere velit, non repudiabit, nimirum dummodo parentes puellæ, quæ adhuc sub potestate illorum sit, id fieri permiserint. Nam si illi recusaverint, stuprator secundum leges civiles punietur: quod disces etiam ex dicto cap. 30 litt. Γ.

Pœnam autem triennalem luit tam stuprator quam stuprata, juxta canones hujus sancti Patris in cap. 8 litt. Γ. Et in eo quidem convenit Basilius cum 7 canone apostolorum, quem consule in eodem 30 cap. litt. I, quod stupratorem virginis legitime cum ea conjungi (tanquam maritum) decernat. Nisi enim illi juncta fuerit, fortean infamis relinquetur, quia nemo illam ducere velit.

Canone autem 26, Fornicatio, ait ille, matrimonium non est, imo nec initium matrimonii. Idcirco si fieri possit, ut qui per fornicationem conjuncti sunt separentur, hoc multo melius. Putre enim est, uti et illegitimum talis matrimonii fundamentum. Sin vero ambo omni modo cupiant cohabitationem, fornicationis quidem pœnam sentiant, permittantur tamen una habitare, ne quid deterius contingat. Quippe aut alteri juncta mulier in adulterium prolabetur, cum altero clanculum congressa, aut, cum ardenter se depereant invicem, et tamen a connubio prohibeantur, sibi manus violentas inferent, præ summo amore quo capiuntur, separationem ab invicem minime tolerantes. Quære et can. 80 ejusdem Basilii cap. 4 litt. Γ.

Leges.

Vult autem jus civile virum qui concubina pudica utitur, cogi ut illam tanquam uxorem tractet; eam vero quæ cum aliis se commiscet, neque uno viro contenta est, etiam e domo fornicantis pelli.

Quod autem mulieres attinet, quæ per vim fornicantur, magnus Basilius in can. 49, Stupra, ait, quæ per vim inferuntur, culpa vacant. Ita si ancilla a proprio domino vim passa fuerit, constuprationis quidem gratia, multari eam minime oportet; si tamen fuerit diaconissa, abstinebit a munere diaconico. Imo vero femina quæ vel a domino suo vel alio quovis corrupta fuerit, viro qui sacros ordines suscepturus est, nequaquam matrimonio jungetur.

223 Primus autem canon sancti Gregorii Thaumaturgi, si feminæ, inquit, a barbaris corruptæ vita prior damnata fuerit, neque status fornicarius, captivæ licet, suspicione vacat : quare cum ejusmodi facile orationibus communicare non oportet. Sin vero aliqua in summa continentia vixerit, et priorem vitam commonstraverit omnis suspicionis liberam, jam vero ex vi allata ac necessitate in contumeliam lapsa fuerit, miseranda magis quam incusanda, juxta exemplum illud in Deuteronomio de adolescentula, quam homo in agro reperit, et per vim corrupit : « Adolescentulæ, inquit, nihil facietis : « Adolescentula delicti capitalis non est rea, quia quemadmodum si quis homo adversus proximum suum insurrexerit, et ipsum occiderit, sic et res ista sese habet. Exclamavit adolescentula, sed non erat qui ei opem ferret. Verumtamen et illæ mediocriter punientur, sicuti ii qui cibos prohibitos invite licet degustant.

De clericis autem qui in fornicationem prolapsi sint, ita in cononibus constitutum est :

Primus quidem canon concilii Neocæsariensis eum qui post susceptum sacerdotium matrimonio legitimo licet mulieri jungitur, munere illo privat, fornicantem vero aut in adulterio prehensum ex Ecclesia prorsus pellit, et in loca pœnitentium rejicit, sed istis pœnis plecti, sacerdotem fornicantem, neque canonibus apostolorum neque Patrum sancitum; quos videsis in cap. 10 litteræ Δ.

Porro tertius canon magni Basilii diaconum fornicantem diaconatu quidem dejicit, et in laicorum locum trudit, sed tamen a communione sacra haud excludit. Illud quidem factum, ait, propter legem veterem, quæ dicit : « Non vindicabis bis in idipsum. » Hoc autem, quia spes omnis præciditur ad pristinum gradum redeundi. Quippe laicus, qui lapsus fuerit, post temporis cursum in pœnitentiæ forma expressum redit unde discesserat; clericus autem semel luit permanens depositionis supplicium. Porro autem in genere verum remedium et præparatio ejus ad mysteriorum participationem est recessio a peccato, per cordis contritionem et carnis subjectionem. Nam si adhuc persistat in fornicando, non solum ex communione, sed et conventu fidelium orantium excludetur, et correctionibus, ut laisci, subjicietur.

A Περὶ δὲ τῶν πορνευομένων ἐξ ἀνάγκης γυναικῶν ὁ μέγας Βασίλειος ἐν μθ' κανόνι, Αἱ πρὸς ἀνάγκην, φησὶ, γενόμεναι φθοραὶ, ἀνεύθυνοι ἔστωσαν· ὥστα καὶ ἡ δούλη, εἰ παρὰ τοῦ ἰδίου δεσπότου βεβίασται, ἀνέγκλητος ἔστω· ὥσπερ δὴ καὶ ἡ ἐξ ἁρπαγῆς βιασθεῖσα, ἢ ἡ τοῖς πολεμίοις ληφθεῖσα, καὶ ὑπ' ἐκείνων φθαρεῖσα· ἀλλὰ τῆς μὲν φθορᾶς ἕνεκεν ἐπιτιμᾶσθαι ταύτην οὐ δέον. Εἰ δὲ διάκονος ἐτύγχανεν οὖσα, τοῦ διακονεῖν παύσεται· ἀλλ' οὐδὲ τῷ ἱερωθήσεσθαι μέλλοντι ἡ ὑπὸ τοιούτων ἐφθαρμένη, ἢ οἱουδήτινος ἄλλου, συναφθήσεται.

B Ὁ δὲ α' κανὼν τοῦ ἁγίου Γρηγορίου τόῦ Θαυματουργοῦ. Τῆς ὑπὸ βαρβάρων φθαρείσης, φησὶ, εἰ μὲν καὶ ὁ πρότερος βίος κατέγνωστο, οὐδὲ δορυαλώτου γενομένης ἡ πορνικὴ ἕξις ἀνύποπτος, ταύτῃ τοι καὶ προχείρως οὐ δεῖ ταῖς τοιαύταις εὐχῶν κοινωνεῖν. Εἰ δέ τις ἐν ἄκρᾳ ζήσασα σωφροσύνῃ, καὶ ὑπονοίας πάσης ἐλεύθερον τὸν πρότερον ἐπιδεδειγμένη βίον, νῦν ἐκ βίας καὶ ἀνάγκης περιπέπτωκεν ὕβρει, ἐλεεῖσθαι μᾶλλον, ἢ ἐγκαλεῖσθαι δικαία, κατὰ τὸ ἐν τῷ Δευτερομίῳ παράδειγμα ἐπὶ τῇ νεάνιδι, ἣν ἐν τῷ πεδίῳ εὑρὼν ἄνθρωπος ἐβιάσατο· « Τῇ νεάνιδι γὰρ, » φησὶν, « οὐ ποιήσεται οὐδέν. » Οὐκ ἔστι τῇ νεάνιδι ἁμάρτημα θανάτου, ὅτι ὡς εἴ τις ἀναστῇ ἐπὶ τὸν πλησίον αὐτοῦ, καὶ θανατώσῃ αὐτόν· οὕτω καὶ τὸ πρᾶγμα τοῦτο· ἐβόησεν ἡ νεᾶνις, καὶ ὁ βοηθῶν οὐκ ἦν αὐτῇ. Πλὴν καὶ αὗται μετρίως ἐπιτιμηθήσονται, ὡς γε δὴ καὶ οἱ βρωμάτων ἀπειρημένων κατ' ἀνάγκην ἀπογευσάμενοι.

C Περὶ δὲ τῶν πορνείᾳ περιπεπτωκότων κληρικῶν ταῦτα τοῖς κανόσι διείληπται·

Ὁ μὲν γὰρ α' κανὼν τῆς ἐν Νεοκαισαρείᾳ συνόδου τὸν μετὰ τὴν ἱερωσύνην νομίμῳ δῆθεν γυναικὶ συναφθέντα τῆς ἱερωσύνης ἀπογυμνοῖ· πορνεύσαντα δὲ ἢ μοιχεύσαντα τελέως τῆς Ἐκκλησίας ἐξοστρακίζει, καὶ ἐν τοῖς τόποις ἵστησι τῶν μετανοούντων· ἀλλὰ τὸ ἐπιτιμᾶσθαι ταύτῃ τὸν πορνεύσαντα ἱερέα, οὔτε τοῖς ἀποστολικοῖς, οὔτε τοῖς Πατρικοῖς κανόσι δοκεῖ, οὓς καὶ ζήτει ἐν τῷ ι' κεφαλαίῳ τοῦ Δ στοιχείου.

D Ὥσπερ δὴ καὶ ὁ γ' τοῦ μεγάλου Βασιλείου κανὼν τὸν πορνεύσαντα διάκονον τῆς μὲν διακονίας ἐκβάλλει, καὶ εἰς τὸν τῶν λαϊκῶν ἀπωθεῖται τόπον, τῆς δὲ κοινωνίας οὐκ ἀπείργει τῶν ἁγιασμάτων· τοῦτο μὲν, φησὶ, διὰ τὸν, « Οὐκ ἐκδικήσεις, » λέγοντα, « δὶς ἐπὶ τὸ αὐτὸ, » παλαιὸν νόμον· τοῦτο δὲ, καὶ διὰ τὸ μὴ ἔχειν ἔτι ἐλπίδα πρὸς τὸν πρότερον ἐπανιέναι βαθμόν. Ὁ μὲν γὰρ λαϊκὸς ἐκπίπτων, μετὰ τὴν ἐντετυπωμένην ἐν σῇ μετανοίᾳ τοῦ χρόνου περίοδον, ἐπάνεισιν ὅθεν ἐξελήλυθεν· οὗτος δὲ ἅπαξ ἔσχε διαρκῆ τὴν καταδίκην τῆς καθαιρέσεως· καθόλου γε μὴν ἀληθὲς αὐτῷ ἴαμα πρὸς τὴν μίθεξιν τῶν ἁγιασμάτων, ἡ τῆς ἁμαρτίας ἀναχώρησις, διά τε συντρίμμοῦ καρδίας, καὶ παιδαγωγίας τῆς σαρκός. Εἰ γὰρ ἔτι πορνεύων οὐ πέπαυται, μὴ ὅτι τῆς κοινωνίας, ἀλλὰ καὶ τῆς μετὰ τῶν πιστῶν εἰς τὰς εὐχὰς συνελεύσεως ἐκβληθήσεται, καὶ ἐπιτιμίοις ὥσπερ οἱ τοῦ λαοῦ καθυποβληθήσεται.

Ὁ δὲ μδ' γυναῖκα διάκονον Ἕλληνι συμπορνεύσασαν τῆς μὲν ἀξίας καθαιρεῖ, κοινωνεῖν δὲ τῷ λαῷ στάσεως καὶ εὐχῶν οὐκ ἀπείργει· τῷ δὲ ζ' ἔτει τῆς τῶν ἁγιασμάτων κοινωνίας ἀξιοῦσθαι κελεύει, εἴ γε ἐν ἁγνείᾳ βιῴη καὶ σωφροσύνῃ. Τῇ πίστει δὲ προσιόντι τῷ Ἕλληνι καὶ ταύτην εἰς γάμου συνάφειαν αἰτουμένῳ, οὐκ οἴεται δεῖν ἐκδιδόναι, ἱεροσυλίαν σαφῆ λογιζόμενος, τὸ ἅπαξ ἀφιερωθὲν τῷ Θεῷ σῶμα εἰς χρῆσιν σαρκικῆς ὑπάρχειν ἐπιθυμίας. Ἐντεῦθεν τοῖς ὀρθῶς σκυποῦσιν οὐκ ἄδηλον, ὡς οὐδὲ κληρικοὺς μετασχηματιζομένους, ἢ μοναχοὺς, γυναιξὶ συνάπτεσθαι θεμιτόν· οὐ μὲν οὐδὲ τὰς τῶν ἱερέων γυναῖκας ὅσιον, δευτέροις γάμοις προσομιλεῖν, ἓν σῶμα τῇ πρὸς τοὺς ἱερέας συναφείᾳ γεγενημένας.

Ζήτει καὶ τὸ κε' κεφ. τοῦ Χ στοιχείου, καὶ ἐν τῷ δ' κεφ. τοῦ Γ στοιχείου κανόνας τῶν ἁγίων ἀποστόλων ιζ' καὶ ιη', καὶ τὸν ξα' ἐν τῷ ιδ' κεφ. τοῦ Μ στοιχείου· καὶ ἐν τῷ θ' κεφ. τοῦ Γ στοιχείου κανόνα κζ' τοῦ μεγάλου Βασιλείου, καὶ τῆς ς' συνόδου κς', καὶ ἐν τῷ ιε' κεφ. τοῦ αὐτοῦ στοιχείου κανόνα τοῦ μεγάλου Βασιλείου ξθ'.

Περὶ δὲ τῶν πόρνευσάντων μοναχῶν ζήτει καὶ τὸ ιε' κεφάλαιον τοῦ Μ στοιχείου.

ΚΕΦΑΛ. ΙϚ'. Περὶ τοῦ πορνεῦσαι ἐπιθυμήσαντος, καὶ μὴ πράξαντος.

Ἔθος γε μὴν ἀρχαῖόν ἐστι τῇ κακίᾳ, μὴ ἀθρόον ἡμῖν, μηδὲ ἀπὸ σοῦ πρώτου παραστάντος ἐπιστρατεύειν τὰ πάθη, ἀλλὰ τέχνῃ τινὶ καὶ περινοίᾳ σοφιστικῇ τὸ τῆς ἀπωλείας ἡμῖν βάραθρον κατὰ μικρὸν ὑπορύττειν. Ταύτῃ τοι καὶ τοῖς λογισμοῖς ἠπίως τῷ δοκεῖν καὶ ἱλαρῶς ἐπιμίγνυσθαι, προτέραν τινὶ λεγομένην ἐφίησι προσβολὴν τῷ ἐπαγωγῷ τοῦ δεικνυμένου ἐνδάλματος ὑποφθεῖραι τούτους ἐπιβούλως μηχανωμένη, καὶ τὰς τῶν ἡδονῶν ἀρχὰς, ὡς ψιλὰς ἐννοίας, καὶ μηδὲν πλέον, τά γε εἰς βλάβος ἐχούσας, ἀδεῶς εἰσδέξασθαι πείθουσα. Κρύπτει γὰρ τὸ τῆς ἁμαρτίας ἄγκιστρον, τῷ τῆς ἡδονῆς δελέατι, ὡς ἂν τούτῳ περιχανόντες, ἐκείνῳ περιπαρῶσι, κἀντεῦθεν λαβοῦσα ὑποχειρίους, ὅσα καὶ ὑπηρέταις αὐτοῖς χρήσηται. Εἴθε μὲν οὖν μὴ καὶ συμμάχους ἐκλάμβανε κατὰ τῆς ψυχῆς, τοὺς διέπειν φεῦ! καὶ φρουρεῖν αὐτὴν ἐπιτετραμμένους. Εἰ γὰρ γυμνωθείη τῆς ἐκ τῶν λογισμῶν συμμαχίας ἡ καθ' ἡμῶν ὀργῶσα κακία, εἰς μάτην αὐτῇ τὰ τῆς ἐνέδρας ἔσται καὶ μαγγανείας, μὴ πεφυκυῖα μόνη πάθος δημιουργῆσαι, καὶ εἰς ἔργον προενεγκεῖν, τὸ κομφόλυγος δίκην ὁμοῦ τε φαινόμενον, καὶ εὐθὺς ἀπολλύμενον καὶ διαλυόμενον, νεκρᾶς ὂν ἀτεχνῶς, ὡς εἰπεῖν, καὶ ἀνυπάρκτου φύσεως· ἀλλὰ τὸ εἶναι καὶ τὸ ζῆν πρὸς τῶν ἡμετέρων δανειζόμενον λογισμῶν, νεκροῖ τοὺς τὸ ζῆν διδόντας αὐτῷ. Τοιαῦτα γὰρ τὰ τῶν παθῶν τῆς κακίας ἐπίχειρα· αὕτη τοίνυν ἡ προσβολὴ ὡς ἥκιστα τῆς ἡμῶν προαιρέσεως ἠρτημένη, ἔγκλημα ἡμῖν οὐχ οἷά τε προστρίψασθαι. Ὁ συνδυασμὸς ἔπειτα δεύτερος, ὃν ἡρέμα καὶ κατ' ὀλίγον τὸ τῆς προσβολῆς θαμινὸν εἰώθει ἀπογεννᾶν, ἐμπαθῶς ἢ καὶ ἀπαθῶς τοῦ λογισμοῦ συλλαλοῦντος τῷ προσβαλόντι· τοῦτο τίς

A Deinde canon 44 diaconissam quæ cum Græco fornicata fuerit, dignitate sua abdicat; non vetat tamen quin statione ac precibus cum laicis una communicet: anno dein septimo ad sacram communionem admitti jubet, si in castitate ac pudicitia vixerit. Græco vero isti, si ad fidem conversus feminam illam in matrimonium petierit, minime tradendam esse judicat, reputans manifestum esse sacrilegium corpus semel Deo consecratum in usum carnalis concupiscentiæ cedere. Hinc patet ista rite pensitantibus, quod neque clericos qui habitum mutant, sive monachos uxores ducere fas sit: imo neque pium uxores sacerdotum secundas nuptias contrahere, cum per conjugium cum sacerdotibus factæ fuerint unum corpus.

B Quære etiam cap. 25 litt. X, et in cap. 4 litt. Γ sanctorum apost. canones 17 et 18, atque 61 canonem in cap. 14 litt. M, et in cap. 9 litteræ Γ canonem 27 magni Basilii, et syn. VI con. 26, et in 15 cap. ejusdem litt. can. 69 magni Basilii.

Denique de monachis fornicantibus consule cap. 15 litteræ M.

224 CAP. XVI. *De illo qui fornicari cupit, nec tamen actu fornicatur.*

Vetus ille mos est pravitatis, non confestim, neque ad primam instantiam passiones nostras invadere, sed arte quadam et astutia sophistica barathrum perditionis ad pedes nostros paulatim suffodere. Quapropter et cogitationibus immittit ad immiscendum sese placide, utquidem videtur, et C jucunde primum qui vocatur impulsum, et hasce blanditiis speciei objectæ corrumpere subdole machinatur, atque principia voluptatum, tanquam conceptus meros, neque majus aliquod malum trahentes, temere recipere persuadet. Nam hamum peccati sub esca voluptatis abscondit, ut qui huic inhient, in istum incidant; tum eos ducit captivos et tanquam mancipia tractat. Utinam igitur non sumeres contra animam auxiliatores ipsos illos, quibus illam persequendi ac custodiendi cura est. Nam si privata fuerit cogitationum auxilio pravitas illa quæ contra nos infensa est, frustra erunt omnes ejus insidiæ ac lenocinia, cum nequeant ex se solis regere, et in actionem producere affectum, D qui tanquam bulla modo apparet, modo disparet et dissolvitur, mortalis plane ac parum subsistentis naturæ. Verum id quod esse et vivere accipit a cogitationibus nostris, interficit eas quæ ipsi vitam dederunt. Ejusmodi enim sunt pravorum affectuum præmia. Hic igitur impulsus, cum minime a nostra voluntate dependeat, crimen nobis affricare nequit. Accedit secunda conjunctio quam sensim quidem et paulatim frequens impulsus solet generare, ratione vel cum passione vel citra impressioni consentiente· Quis vero asserat hoc animæ rationali non nocere, quoad Dei cognitionem, cum cogitationes ejus talibus occupentur? Adest tertio in

loco assensus, indicans ipsam animæ inclinationem ad affectum voluptuosum, quem tanquam syngrapham recipiens prohibitum sive captivitas presse quarto in loco sequitur, bonam quæ adhuc erat animi dispositionem violans, persuadensque experiri fallax imaginationis malum. Sin vero tempore orationis obrepserit, impedit ne utilitatem inde ullam capiamus, et malis cogitationibus involutos ridet. Cum igitur intelligamus, quam mali simus, annitamur id colluctando superare quod nosmet supplantare conatur; et duorum alterum, aut scilicet vehementius anhelantes auxilio divino victores evaserimus, aut emolliti et terga dantes agemur et feremur Ita quidem spiritus nequitiæ diuturno tempore apud animam permanentes, et in suum habitum ipsam transferentes, dictum demum affectum tanquam tropeæum figunt et columnam in corde memoria crescentem et usu conservatam, et animam præparantem, ad perpetrandam in quavis re quamvis turpitudinem.

A ἂν ἰσχυρίσαιτο μὴ ζημίαν εἶναι ψυχῆς λογικῆς, τῆς τοῦ Θεοῦ ἐννοίας περὶ πλείονος τῶν λογισμῶν αὐτῆς ποιουμένων τὴν περὶ τὰ τοιαῦτα σχολήν; Ἡ συγκατάθεσις ἐφίσταται τρίτη, νεῦσιν καὶ τῆς ψυχῆς κατηγοροῦσα πρὸς τὸ πάθος ἐνήδονον, ἣν καὶ ὡς γραμματεῖον ἤδη δεξαμένη ἀπόῤῥητον, ἡ αἰχμαλωσία κατὰ πόδας τετάρτη κατεξανίσταται, τὴν ἀρίστην ἡμῶν ἀχρειοῦσα κατάστασιν, τῆς καρδίας ἤδη περιγενομένη, καὶ δρέπεσθαι πείθουσα τὴν ἀπατηλὴν βλάστην τῆς φαντασίας. Εἰ δὲ καὶ τῷ καιρῷ τῆς προσευχῆς εἰσφθαρείη, οὐδὲν ἀπόνασθαι ταύτης ἐᾷ, καὶ μάλιστα πονηροῖς ἐνθυμήμασιν αἱρουμένους ἐγκαλινδεῖσθαι. Συνέντες δὲ ᾗ κακοῦ γεγόναμεν, διὰ πάλης περιγενέσθαι τοῦ πτερνίσαι πειρωμένου περώμεθα· καὶ δυοῖν θάτερον, ἢ σφοδρότερον πνεύσαντες ἐκρατήσαμεν θειοτέρᾳ ῥοπῇ, ἢ B χαυνωθέντες, καὶ τὰ νῶτα δόντες, ἀγόμεθα καὶ φερόμεθα. Οὕτω δὲ τὰ τῆς πονηρίας πνεύματα συχνῷ χρόνῳ τῇ ψυχῇ παραμείναντα, καὶ εἰς τὴν σφῶν αὐτῶν ἕξιν αὐτὴν μεταθέμενα, τελευτῶντα, τὸ λεγόμενον πάθος, ὡσανεὶ τρόπαιον, πήγνυσι, καὶ στήλην ἐν τῇ καρδίᾳ τῇ μνήμῃ τρεφόμενον, καὶ τῇ συνηθείᾳ διατηρούμενον, καὶ τὴν ψυχὴν παρασκευάζον περὶ παντὸς ποιεῖσθαι πᾶσαν αἰσχρότητα.

Propterea et 4 syn. Neocæsariensis canon eum qui mulierem concupiscit et in animo habet cum illa una dormire, si modo propositum ejus non procedat ad actum, per gratiam liberari affirmat; attamen expedit eum mediocriter castigari, juxta canonem 70 magni Basilii. Ait enim, diaconum in labiis pollutum et confitentem se quoad oscula peccasse, ab officio abstinere aliquantisper oportet, sed cum diaconis interim sacra communicare. Ita C et presbyterum. Sin vero deprehendatur in eodem delicto perseverans, cujuscunque gradus fuerit, deponi debere.

Διὰ δὴ τοῦτο καὶ ὁ τέταρτος τῆς ἐν Νεοκαισαρείᾳ συνόδου κανὼν τὸν ἐπιθυμήσαντα γυναικὸς, καὶ συγκαθευδῆσαι ταύτῃ προθέμενον, εἰς ἔργον δὲ μὴ προβεβηκυίας τῆς ἐνθυμήσεως, ὑπὸ τῆς χάριτος ῥυσθῆναι διϊσχυρίζεται, πλὴν καὶ τοῦτον καλὸν ἂν εἴη μετρίως ἐπιτιμᾶσθαι, κατὰ τὸν ο' τοῦ μεγάλου Βασιλείου κανόνα. Φησὶ γάρ· Τὸν ἐν χείλεσι μιανθέντα διάκονον, καὶ μέχρι φιλήματος ἡμαρτηκέναι ὁμολογήσαντα, τῆς μὲν λειτουργίας ἄχρι τινὸς ἐπισχεθῆναι χρή· τῶν δὲ ἁγιασμάτων σὺν τοῖς διακόνοις μεταλαμβάνειν· ὡσαύτως καὶ πρεσβύτερον. Τὸν δέ τι πλέον φωραθέντα ἡμαρτηκέναι, ἐν οἵῳ ἂν εἴη βαθμῷ, καθαιρεῖσθαι.

225 Conveniunt cum istis nonus etiam atque decimus ejusdem concilii Neocæsariensis canones, dicentes, Peccata quæ fornicationem antecedere solent, nimirum quæ spectant ad tactus, et alia hujusmodi, sermo obtinet apud complures ordinatione solvi. Si tamen ante ordinationem fornicationis teneatur vel presbyter, vel diaconus, et conscientia compulsus delictum ante ordinationem commissum confessus fuerit, a consecratione Eucharistiæ prohibebitur, sed tamen ad virtutem conversus a cæteris sacerdotii privilegiis non rejicietur. At vero si nec ipse confiteatur, neque manifeste convincatur, oportet penes ipsummet potestatem esse vel cessandi si peccaverit, vel sacra obeundi, si nihil sibi conscius fuerit. Quin imo si a quinque testibus, qui juramento accusationem confirmaverint, convictus fuerit præter depositionem etiam privilegiis sacerdotii multabitur et in laicorom locum retrudetur.

Ἕπεται τούτοις καὶ ὁ θ' προσέτι καὶ ὁ ι' τῆς αὐτῆς ἐν Νεοκαισαρείᾳ συνόδου, τὰ μὲν πρὸ τῆς πορνείας λέγοντες ἁμαρτήματα, ἅπερ ἔν ἐπαφαῖς καὶ φιλήμασι, καὶ ἑτέροις δή τισι θεωροῦνται τοιούτοις, λόγος αἱρεῖ παρὰ τοῖς πολλοῖς διαλύεσθαι τῇ χειροθεσίᾳ. Εἰ μέντοι πρὸ τῆς χειροτονίας πορνείας ἥλω πρεσβύτερος ἢ διάκονος, καὶ τῷ συνειδότι κρουόμενος ὁμολογήσειε τὸ πρὸ τῆς χειροτονίας ἁμάρτημα, τοῦ μὲν ἱερουργεῖν εἰρχθήσεται· ἀρετῆς δὲ μεταποιούμενος, τῶν λοιπῶν τῆς ἱεφωσύνης πρεσβείων οὐκ ἐκβληθήσεται· μήτε δὲ D αὐτὸς ὁμολογῶν, μήτε μὴν προφανῶς ἐλεγχόμενος, ἐπ' ἐκείνῳ δέον τὴν ἐξουσίαν ποιεῖσθαι, ἢ παύσασθαι εἴ γε ἥμαρτεν, ἢ ἐνεργεῖν, εἴ μηδὲν ἑαυτῷ σύνοιδεν. Ἐλεγχθεὶς δὲ ὑπὸ πέντε μαρτύρων, ὅρκῳ τὴν κατηγορίαν βεβαιωσαμένων, προς τῇ καθαιρέσει καὶ τῶν γερῶν τῆς ἱερωσύνης ζημιωθήσεται, εἰς λαϊκοῦ διωθούμενος τόπον.

Theophilus autem Alexandrinus in canone 5 ait, Lectorem fornicationis reum, si accurata examinatione facta aperte convincatur, a clero ejici oportet; et in clero quidem permanere, si non

Ὁ δὲ Θεόφιλος Ἀλεξανδρείας ἐν τῷ ε' κανόνι, Ἀναγνώστην πορνείαν φυγόντα, εἰ γενομένης ἀκριβοῦς ἐξετάσεως φανερῶς ἐλεγχθείη, τοῦ κλήρου, φησὶν, ἐκβάλλεσθαι χρή· ἐν τῷ κλήρῳ δὲ μένε

μὴ ἐλεγχθέντα· οὐ γὰρ δεῖ ταῖς ματαίαις προσ- A
έχειν διαβολαῖς.

Νόμος.

Φησὶ δὲ καὶ ὁ νόμος, Κρεῖσσον τὰ ἁμαρτήματα καταλιμπάνειν ἀνεκδίκητα, ἢ τινας ἀναιτίως καλάζεσθαι.

ΚΕΦΑΛ. ΙΖ'. Περὶ παρνοβοσκῶν.

Ὁ πς' τῆς ς' συνόδου κανὼν τοὺς ἐπ' ὀλίσθῳ ψυχῶν πόρνας συνάγοντας καὶ ἐκτρέφοντας, κληρικοὺς μὲν ὄντας καθαιρεῖ· πρὸς ταύτῃ κελεύει καὶ ἀφορίζεσθαι, διπλῆν τούτοις ἐπάγων τὴν ἐπεξέλευσιν, λαϊκοὺς δὲ, ἀφορίζεσθαι.

Νόμοι.

Ὁ εἰδὼς πορνεύεσθαι τὴν ἑαυτοῦ γυναῖκα, καὶ σιωπῶν, πορνοβοσκός ἐστιν.

Οἱ ἐκ πορνείας γεγεννημένοι οὐ μόνου τῆς μη- B
τρὸς, ἀλλὰ καὶ τῶν ἐκ μητρὸς συγγενῶν κληρονομοῦσι, καὶ ὑπ' αὐτῶν κληρονομοῦνται. Ἡ δὲ ἰλλουστρία νομίμους ἔχουσα παῖδας καὶ παρνογενεῖς, οὐδὲν δύναται παρασχεῖν τοῖς πορνογενέσιν, οὔτε ζῶσα, οὔτε τελευτῶσα.

Ἡ τοῦ πορνογενοῦς κληρονομία οὐκ ἀνήκει τοῖς πρὸς πατρὸς συγγενέσιν· οὐ γὰρ λέγεται ἔχειν πατέρα, τῇ μητρὶ δὲ αὐτοῦ καὶ τοῖς ὁμομητρίοις ἀδελφοῖς. Οἱ δὲ περὶ γάμων νόμοι, καὶ οἱ κανόνες ἐπιγινώσκουσι καὶ τὴν ἐκ πορνείας συγγένειαν, καὶ συναπτομένους τοὺς ἐκ πορνείας συγγενεῖς, ὡς τοὺς ἐξ ἐννόμων γάμων αἱμομιξίᾳ περιπεσόντας κολάζουσιν.

Ὁ μέντοι παλλακισμὸς νόμιμός ἐστιν· ὁ γὰρ γύ- C
ναῖκα σεμνὴν παλλακευόμενος, καὶ ποιῶν ἐν ἐκμαρτυρίᾳ τοῦτο κατάδηλον, ὡς γαμετὴν αὐτὴν ἔχειν δοκεῖ· εἰ δ' οὖν, ἀσέλγειαν πρὸς αὐτὴν πλημμελεῖ,

ΚΕΦΑΛ. ΙΗ'. Περὶ πρεσβείων καὶ προνομίων, ὧν ἔχουσιν οἱ ἀρχιερεῖς καὶ αἱ ἐκκλησίαι, καὶ περὶ τῶν παροικιῶν αὐτῶν.

Ζήτει τὸ ια' κεφάλαιον τοῦ Ε στοιχείου.

ΚΕΦΑΛ. ΙΘ'. Περὶ ὧν ἔχουσιν οἱ πρεσβύτεροι δικαίων.

Ζήτει τὸ θ' κεφάλαιον τοῦ Μ στοιχείου.

ΚΕΦΑΛ. Κ' Περὶ μροικῴων πραγμάτων.

Νόμοι.

Ἡ διατετιμημένη προῖξ τῷ ἀνδρὶ κινδυνεύεται· κἂν ἀποθάνωσι τὰ ζῶα, κἂν τὴν ἐσθῆτα ἡ γυνὴ D
κατατρίψῃ, τὴν ἀποτίμησιν αὐτῶν δίδωσι· τῆς δὲ ἀδιατιμήτου καὶ ἡ αὔξησις καὶ ἡ μείωσις τὴν γυναῖκα ὁρᾷ, καὶ αὕτη λαμβάνει τὸν τοκετὸν τῶν δούλων· τοὺς δὲ καρποὺς καὶ τὴν γονὴν τῶν θρεμμάτων ὁ ἀνὴρ λαμβάνει.

Τὰ ἐπαγγελθέντα χάριν προικὸς, εἰ μὴ ἐντὸς δύο ἐτῶν καταβληθείεν, ἀπαιτοῦνται καὶ οἱ τόκοι αὐτῶν ἀπὸ τρίτης ἑκατοστῆς.

Ἀποροῦντος οὖν ἀνδρὸς ἐν συνεστῶτι τῷ γάμῳ, δύναται ἡ γυνὴ παρακρατεῖν τὰ πράγματα αὐτοῦ εἰς τὴν ἰδίαν προῖκα, προτιμωμένη παντὸς δανειστοῦ καὶ ὑποθήκην ἔχοντος· πλὴν οὐ δύναται ἐκ-

fuerit convictus. Minime enim decet futilibus incusationibus intendere.

Lex.

Dicit etiam jus civile melius esse delicta inulta relinquere, quam quempiam insontem puniri.

CAP. XVII. *De iis qui meretrices alunt.*

Canon 86 synodi sextæ, qui in animarum perniciem scorta et cogunt et alunt, clericos quidem deponit, imo et excommunicandos decernit, geminum eis inferens supplicium ; laicos vero segregari vult.

Lex.

Qui, cum sciat uxorem suam fornicatam fuisse, tacuerit tamen, ipse leno est.

Ex fornicatione nati hæreditatem non matris eolum sed et cognatorum ejus adeunt, et hæredes ab illis inscribuntur. Femina autem illustris quæ et legitimos et naturales filios habes, nihil conferre potest spuriis, neque viva neque moriens.

Hæreditas spurii non pertinet ad patris cognatos ; non enim is patrem habere agnoscitur, pervenit autem ad matrem et fratres suos ex eadem parente. Leges autem circa nuptias atque canones agoscunt etiam ortam ex fornicatione cognationem, et cognatos ex fornicationes, qui matrimonium invicem trahunt, tanquam qui nuptiis legitimis propter consanguinitatem exciderant, plectunt.

Concubinatus autem licitus est. Nam qui mulierem gravem et ingenuam in concubinam sumpserit, idque testibus adhibitis palam professus fuerit, existimatur eam velut uxorem habere ; secus vero, stuprum cum illa committere.

226 CAP. XVIII. *De privilegiis et immunitatibus prælatarum ac ecclesiarum, atque etiam de provinciis istorum.*

Quære cap. 11 litteræ E.

CAP. XIX. *De jure presbyterorum.*

Vide caput 9 litteræ M.

CAP. XX. *De re dotali.*

Leges.

Dos æstimata viro periculum gignit : licet animalia intermoriantur, aut mulier vestem attriverit, ipse æstimationem eorum præstat. Inæstimatæ autem dotis cum incrementum tum diminutio mulierem respicit. Ista quoque servorum sobolem accipit, fructus vero ac pecorum fetum vir percipit.

Promissa nomine dotis nisi intra biennium solvantur, exiguntur eorum usuræ ad trientem centesimæ patris.

Si constante matrimonio vir inopia laboret, potest mulier res suas pro dote ipsius retinere, ante omnem creditorem et hypothecarium ; verumtamen quæ retinet, abalienare nequit, quo-

niam ex istis seipsam et maritum et liberos suos alere debet.

Mulier non tenetur contractibus viri, licet ipsi desponsata fuerit neque etiam marito proscripto bona mulieris publicantur, sed nec extradotalia viri servitio sunt.

Maritus, inops licet, integram dotem debet.

Si socer a genero et uxor a marito dotem quam stipulabantur, exposcant, ad facultatum mensuram evincunt.

Si maritus cum uxore contrahat, ut ipse emortuæ hæreditatem adeat, irritus est is contractus. Si autem ab initio pactum fuerit, ut si mulier prior obierit apud maritum dos maneat, atque pater dotem adeo reddiderit, pactum valet, et excluditur pater.

Si modo pater turpis adeo fuerit, ut metus sit ne dotem concreditam absumat, hunc prohibet actio; et judex tum isti prospicit tum filiæ.

Si filiis adhuc superstitibus opus fuerit virum qui post obitum conjugis suæ viduus manserit, neque ad secundas nuptias accesserit, a liberorum suorum convictu separari, debet is præter integras res suas etiam unius filii sortem capere pro numero liberorum, non tantum educationis gratia, sed conservatæ ipsi erga primas nuptias reverentiæ et honoris.

Si propter sponsam suam ægrotantem vir sumptus **227** aliquos fecerit, non potest post obitum sponsæ a socro repetere, ad quem dos filiæ suæ redierit, sed in ipsius beneplacito acquiescere debet. Sepulturæ autem sumptus reddit pater, cujus in manus dos redierit.

Si filiusfamilias uxorem duxerit, pater tenetur et ipsum et conjugem alere. Is enim onera sustinet nuptiarum filii sui.

Quære caput 2 litteræ Δ.

CAP. XXI. *De proditoribus.*

Canon nonus Gregorii Thaumaturgi, quicunque, inquit, cum captivi fuerint apud barbaros, et eorum impietate constricti, in tantum ipsius fiant participes ut Christianæ suæ professionis obliti nonnullos suorum contribulium ligno aut laqueo interficiant, et vias ac domos barbaris istarum ignaris commonstrent, ex auditorum statione eji ciantur, usquedum sanctis simul congregatis aliquod de iis communiter visum sit, et prius Spiritui sancto.

Leges.

Qui instigat hostes, aut in eorum manus prodit Romanos, capite plectitur. Qui vero in desertis locis, aut propter mare latronibus opitulantur, quam hostes aperti eo gravius puniuntur, quo clan-

ποιεῖν ἃ καρακρατεῖ· ἐπειδὴ ὀφεῖλει ἐξ αὐτῶν ἀποτρέφειν ἑαυτὴν καὶ τὸν ἄνδρα· καὶ τὰ τέκνα αὐτῆς.

Οὐ κατέχεται ἡ γυνὴ ἐκ τῶν τοῦ ἀνδρὸς συναλλαγμάτων, κἂν ἐγγυήσηται αὐτόν καὶ οὐδὲ δημευομένου τοῦ ἀνδρὸς συναπάγονται τὰ πράγματα τῆς γυναικός· οὐδὲ τὰ ἐξώπροικα ὑπόκεινται ταῖς τοῦ ἀνδρὸς λειτουργίαις.

Ὁ ἀνὴρ, καὶ ἄπορος ὤν, πᾶσαν τὴν προῖκα χρεωστεῖ.

Ὁ πενθερὸς ὑπὸ τοῦ γαμβροῦ, καὶ ἡ γυνὴ ὑπὸ τοῦ ἀνάρος ἀπαιτούμενοι ἦν ἐπερωτήθησαν προῖκα, πρὸς τὸ μέτρον τῆς οὐσίας αὐτῶν καταδικάζονται.

Ἐὰν ὁ ἀνὴρ συμφωνήσῃ πρὸς τὴν γυναῖκα, ἵνα τελευτῶσαν αὐτὴν κληρονομήσῃ, τὸ σύμφωνον ἄχρηστόν ἐστιν. Ἐὰν δὲ γένηται σύμφωνον ἐξ ἀρχῆς, ἵνα προτελευτώσης τῆς γυναικὸς ἡ προῖξ ἀπομείνῃ παρὰ τῷ ἀνδρὶ, καὶ εἰ παρὰ τοῦ πατρὸς δεδομένη ἐστὶν ἡ προῖξ, ἐρρώται τὸ σύμφωνον, καὶ ἀποκλείεται ὁ πατήρ.

Ἐὰν ὁ πατὴρ οὕτως ἐστὶν αἰσχρὸς. ὥστε δέος εἶναι, μήποτε λαβὼν τὴν προῖκα δαπανήσῃ, ἀρνεῖται αὐτῷ ἡ ἀγωγή· καὶ ὁ δικαστὴς προνοεῖ αὐτοῦ καὶ τῆς θυγατρός.

Εἰ παίδων ὑπόντων δεήσει τὸν ἐμμείναντα μετὰ τελευτὴν τῆς συζύγου αὐτοῦ, ἄνευ τοῦ περιελθεῖν εἰς ἕτερον συνοικέσιον, τῆς τῶν οἰκείων τέκνων συνδιαγωγῆς χωρισθῆναι, μετὰ τὸ ἀπολαβεῖν ἐντελῆ τὰ ἴδια πράγματα, δεῖ λαμβάνειν αὐτὸν καὶ ἑνὸς παιδὸς μοῖραν κατὰ τὸν ἀριθμὸν τῶν τέκνων, τεκνοτροφίας τε ἕνεκα, καὶ τῆς διασεσωσμένης αὐτῷ πρὸς τὸν πρῶτον γάμον αἰδοῦς καὶ τιμῆς.

Εἴ τι ὁ ἀνὴρ ἐδαπάνησε πρὸς τὴν γαμετὴν αὐτοῦ νοσοῦσαν, μετὰ τὸν αὐτῆς θάνατον οὐ δύναται ἀπαιτεῖν τὸν πενθερὸν αὐτοῦ, πρὸς ὃν ἡ προῖξ τῆς θυγατρὸς αὐτοῦ ἐπανῆξει, ἀλλὰ τῇ διαθέτει αὐτοῦ ὀφείλει λογίζεσθαι· ὅσα δὲ εἰς τὴν ταφὴν ἠνάλωσεν, ὁ πατὴρ δίδωσι πρὸς ὃν ἡ προῖξ ἐπανῆλθεν.

Ὁ τοῦ γήμαντος ὑπεξουσίου πατὴρ καὶ αὐτὸν ἀναγκάζεται τρέφειν, καὶ τὴν γαμετὴν αὐτοῦ· αὐτὸς γὰρ ὑπόκειται τοῖς βάρεσι τοῦ γάμου τοῦ υἱοῦ αὐτοῦ.

Ζήτει τὸ β' κεφάλαιον τοῦ Δ στοιχείου.

ΚΕΦΑΛ. ΚΑ'. Περὶ προδοτῶν.

Ὁ θ' κακὼν τοῦ ἁγίου Γρηγορίου τοῦ Θαυματουργοῦ, Ὅσοι, φησὶν, αἰχμάλωτοι τοῖς βαρβάροις γεγόνασι, καὶ τῇ σφῶν δυσσεβείᾳ συναπαχθέντες, τοσοῦτον ταύτης μετέσχον, ὥστε καὶ λήθην λαβόντες τοῦ εἶναι Χριστιανοὺς, ἐνίους τῶν ὁμοφύλων ξύλῳ ἢ ἀγχόνῃ ἐφόνευσαν, καὶ ὁδοὺς ἢ οἰκίας ἀγνοοῦσι τοῖς βαρβάροις ὑπέδειξαν, καὶ τῆς ἀκροάσεως ἐκβληθήτωσαν, μέχρις ἂν συνελθοῦσι τοῖς ἁγίοις κοινῇ περὶ αὐτῶν τι δόξῃ, καὶ πρὸ αὐτῶν τῷ ἁγίῳ Πνεύματι.

Νόμοι.

Ὁ ἐρεθίζων πολεμίους, ἢ προδιδοὺς πολεμίοις Ῥωμαίους, κεφαλικῶς τιμωρεῖται. Οἱ δὲ κατὰ χέρσον, ἢ θάλασσαν τοῖς ληστεύουσι συλληστεύσαντες, τῶν φανερῶν πολεμίων μᾶλλον κολάζονται, ὅσῳ

καὶ τοῦ φανεροῦ πολέμου ἡ ἀφανὴς ἐπιβουλὴ χαλεπωτέρα καθέστηκε.

Τοὺς ἐκ τῶν Ῥωμαϊκῶν πρὸς τοὺς πολεμίους ἀποφεύγοντας ὡς πολεμίους ἔξεστιν ἀκινδύνως φονεύειν.

Ὁ κατὰ τῆς σωτηρίας τοῦ βασιλέως ἢ τῆς πολιτείας μηχανησάμενος, ἢ μελετήσας, φονεύεται καὶ δημεύεται.

Οἱ πρὸς τοὺς πολεμίους αὐτομολοῦντες, καὶ τὰς ἡμετέρας βουλὰς ἀπαγγέλλοντες, ἀπαγχονίζονται.

Ζήτει τὸ ια' κεφάλαιον τοῦ Σ στοιχείου.

ΑΡΧΗ ΤΟΥ Ρ ΣΤΟΙΧΕΙΟΥ.

ΚΕΦΑΛ. Α'. Περὶ τῶν ἐν ῥύσει ἀπροαιρέτῳ γινομένων ἀνδρῶν τε καὶ γυναικῶν.

Ζήτει τὸ ις' κεφ. τοῦ Α στοιχείου καὶ τὸ κη' κεφ. τοῦ Κ στοιχείου.

ΑΡΧΗ ΤΟΥ Σ ΣΤΟΙΧΕΙΟΥ.

ΚΕΦΑΛ. Α'. Ὅτι τοῖς Σάββασιν οὐ δεῖ νηστεύειν

Ζήτει ἐν τῷ λζ' κεφαλαίῳ τοῦ Κ στοιχείου κανόνα τῶν ἁγίων ἀποστόλων ξς', καὶ τῆς ς' συνόδου νε', καὶ τῷ λε' κεφ. τοῦ Ε στοιχείου τῆς ἐν Λαοδικείᾳ συνόδου κανόνα ις', καὶ ἐν τῷ ε' κεφ. τοῦ Τ στοιχείου κανόνα νε' τῆς ς' συνόδου.

ΚΕΦΑΛ. Β'. Περὶ σκηνικῶν.

Ζήτει ἐν τῷ α' κεφ. τοῦ Θ στοιχείου κανόνα α' τῆς ς' συνόδου, καὶ ἐν τῷ ζ' κεφ. τοῦ Μ στοιχείου κανόνα μς' τῆς ἐν Καρθαγένῃ συνόδου.

Ζήτει καὶ τὸ ια' κεφάλαιον τοῦ Μ στοιχείου.

ΚΕΦΑΛ. Γ'. Ὅτι σταυρὸν ἐν ἐδάφει γράφειν οὐ δεῖ, ἀλλὰ καὶ τοὺς ὄντας ἀπαλείφειν.

Ὁ ογ' τῆς ς' συνόδου κανὼν τὸν τοῦ τιμίου σταυροῦ τύπον ἐν ἐδάφει γράφειν ἀπείρηκεν, οὐ μὴν ἀλλὰ καὶ τοὺς ἤδη γραφέντας διαγράφειν ἀνενδοιάστως ἐπισκήπτει καὶ ἐξαλείφειν, ὡς ἂν μὴ συμπατούμενον τοῖς βαδίζουσιν, ἐφυβρίζοιτο τὸ σωτήριον τῆς ἡμῶν νίκης τρόπαιον· τὸ καὶ διανοίᾳ αἰδοῖ τῇ πάσῃ τιμώμενον, καὶ λόγῳ διαφερόντως θαυμαζόμενον, καὶ αἰσθήσει πρακτικῶς προσκυνούμενον.

Νόμος.

Μηδεὶς ἐν ἐδάφει, ἢ ἐν μαρμάρῳ, ἐπὶ ἐδάφους κειμένῳ, ἢ ἐν μυλίτῃ λίθῳ σταυρὸν ἐγγλυφέτω· καὶ οἱ ὄντες ἐν τούτοις περιαιρείσθωσαν· ὁ δὲ παραβαίνων τὸν νόμον, τὴν βαρυτάτην ὑπομενέτω ποινήν.

ΚΕΦΑΛ. Δ'. Περὶ συμβολαίων καὶ συμφώνων.

Νόμοι.

Ἡ τῶν συμβολαίων ἀπώλεια οὐκ ἀναιρεῖ τὰς ἐγγὺς, ἐν ᾧ δυνατόν ἐστιν ἑτέρως ἀποδειχθῆναι τὸ ἀληθές.

Τὰ χωρὶς δόλου σύμφωνα καὶ μὴ τοῖς νόμοις ἐναντιούμενα ἔῤῥωται.

ΚΕΦΑΛ. Ε'. Περὶ συμποσίων.

Τῷ νε' τῆς ἐν Λαοδικείᾳ συνόδου κανόνι κληρικοὺς ἢ λαϊκοὺς συμπόσια ποιεῖν ἐξ ἐράνου καὶ συμβολῆς ἀπείρηται· ταῦτα γὰρ, ὡς ἐπίπαν, οὐδενός εἰσιν ἀγαθοῦ, ὅτι μὴ καὶ πάσης αἰσχρότητος πλέα.

destinæ insidiæ plus periculi ferunt quam apertum bellum.

Qui a castris Romanis ad hostes transeunt, tanquam hostes absque ullo discrimine occidere licet.

Qui adversus salutem imperatoris aut imperii quidquam molitur aut meditatur, summum supplicium ipse luit, et bona cedunt fisco.

Qui ad hostem transfugiunt, et consilia nostra produnt, strangulatione pereunt.

Quære cap. 11 litt. Σ.

228 INITIUM LITTERÆ P.

CAP. I. *De viris ac mulieribus, qui involuntario profluvio laborant.*

Vide caput 16 litt. A, et cap. 28 litt. K.

INITIUM LITTERÆ Σ.

CAP. I. *Quod in Sabbatis minime jejunare oporteat.*

Consule in 37 cap. litt. K canonem sanctorum apostolorum 66, et synodi VI can 55, et in 35 cap. E litteræ syn. Laodicenæ canonem 16, et in 5 cap. T litteræ canonem 55 IV synodi.

CAP. II. *De ludis scenicis.*

Quære in cap. 1 litt. Θ canonem primum synodi sextæ, et in 7 cap. litt. M. canonem 46 synodi Carthaginensis.

Quære et cap. 11 litt. M.

CAP. III. *Quod non oportet in pavimento crucem describere, sed et ita expressas delere.*

Canon 63 concilii VI figuram pretiosæ crucis in pavimento describere vetat, neque hoc solum, sed et jam efformatas deformandas indubie statuit et abolendas, ne forte, pedibus conculcatum, vilescat salutare victoriæ nostræ tropæum, quod et mente omni cum reverentia colitur, et sermone eximie celebratur, et quoad sensum reapse adoratur.

Lex.

Nemo in pavimento aut marmore quod super pavimento jacet, aut lapide molari crucem insculpat; si quæ autem jam scriptæ fuerint, eradantur. Quicunque vero legem transgreditur, gravissimam pœnam fluat.

CAP. IV. *De pactis et contractibus.*

Lex.

Perditio rerum, de quibus conventum fuit, non tollit actiones, in quantum licet veritatem alio modo patefieri.

Citra dolum malum pacta, et legibus quidem minime contraria, valent.

229 CAP. V. *De convivis.*

Interdicitur cum clericis tum laicis canone 55 concilii Laodiceni, convivia ex collatione celebrare, Ista enim utplurimum nihil prosunt, imo aliquando, omni turpitudine referta sunt.

Canon autem 27 ejusdem synodi veluit in agapis, quæ vocantur, conviviorum portiones clericos tollere, et domum referre. Hoc enim arguit gulositatem et improbitatem illorum, qui ita fecerint; adeo ut contumelia exinde infligatur ordini ecclesiastico. A Ὁ δὲ κζ' ταύτης ἐν ταῖς λεγομέναις ἀγάπαις τῶν συμποσίων μέρη αἴρειν, καὶ οἴκαδε κομίζειν τοὺς τοῦ κλήρου ἀπείρηκε· λιχνείαν γὰρ τοῦτο καὶ μοχθηρίαν τῶν δρώντων κατηγορεῖ, ὡς ἐντεῦθεν τὴν τῆς Ἐκκλησίας κατάστασιν ἐξυβρίζεσθαι.

Quære etiam caput 3 litt. A.

Ζήτει καὶ τὸ γ' κεφάλαιον τοῦ Α στοιχείου.

CAP. VI. *De iis qui sacras synaxes vitant.*

ΚΕΦΑΛ. ς'. Περὶ τῶν τὰς συνάξεις τὰς ἱερὰς ἀποστρεφομένων.

Consule in cap. 9 litt. B can. quintum et sextum synodi Gangrensis.

Ζήτει ἐν τῷ θ' κεφ. τοῦ Β στοιχείου κανόνα ε' καὶ ς' τῆς ἐν Γάγγρᾳ συνόδου.

CAP. VII. *De clericis qui extraneas mulieres alunt.*

ΚΕΦΑΛ. Ζ'. Περὶ τῶν συνεισάκτους γυναῖκας ἐχόντων κληρικῶν.

Quære caput 9 litt. Γ.

Ζήτει τὸ ιθ' κεφάλαιον τοῦ Γ στοιχείου.

CAP. VIII. *De iis qui aliis conscii sunt, nec tamen delicta illorum clericis confitentur.*

ΚΕΦΑΛ. Η'. Περὶ τῶν συνεπισταμένων κληρικοῖς ἁμαρτήματα, καὶ μὴ ὁμολογούντων. B

Canon 71 magni Basilii: Qui delicti alicujus cum alio conscius non tamen confessus fuerit, is convictus tandiu pœnas dabit, quam ipsum malorum patratorem plecti oportuit. Non erat igitur ex mente viri sancti, ut ille puniretur, qui scientiam meram facti habet, impedire vero nequit, sed qui opem ac consilium fert, et inhibere possit, si velit. Prophetа enim non vult simpliciter eum puniri, qui furem aut adulterum videt, sed qui concurrit cum fure, ei opitulatur, et in delinquendo cum adultero particeps est. Universim vero confessio pœnam maxima ex parte minuit, convictio autem graviorem trahit.

Ὁ οα' τοῦ μεγάλου Βασιλείου κανών, Ὁ ἁμαρτήματι συνεγνωκὸς, φησὶ, τινὶ, καὶ μὴ ὁμολογήσας, ἀλλ' ἐλεγχθεὶς, ἐπὶ τοσοῦτον χρόνον, ὅτ ὁ ἐργάτης τῶν κακῶν ἐπιτετίμηται, καὶ αὐτὸς ἔσται ἐν ἐπιτιμίῳ. Οὐκ ἦν δὲ ἄρα τῷ ἁγίῳ πρὸς τρόπου τὸν μόνην εἴδησιν ἔχοντα, καὶ μὴ ἀρκοῦντα κωλῦσαι, τιμωρεῖσθαι, τὸν δέ γε συναράμενον καὶ συμβουλεύσαντα, καὶ δυνάμενον ἐπισχεῖν, εἴπερ ἐβούλετο. Καὶ ὁ προφήτης γὰρ οὐκ ἁπλῶς κολάζεσθαι ἀξιοῖ τὸν θεωροῦντα κλέπτην ἢ μοιχὸν, ἀλλὰ τὸν συντρέχοντα τῷ κλέπτῃ, καὶ συναιρόμενον, καὶ τὸν συμμεριζόμενον τῇ κοινωνίᾳ τῷ μοιχῷ τὸ ἁμάρτημα. Πανταχοῦ δὲ ἡ μὲν ἐξομολόγησις τῆς κολάσεως ἀφαιρεῖται τὸ πλεῖστον· ὁ δὲ ἔλεγχος χαλεπωτέραν ταύτην ἐργάζεται.

Quære et in 9 cap. litt. Γ canonem 25 synodi Ancyranæ. C

Ζήτει καὶ ἐν τῷ θ' κεφ. τοῦ Γ στοιχείου κανόνα κε' τῆς ἐν Ἀγκύρᾳ συνόδου.

Lex.

Νόμος.

Qui criminis alicujus reum sciens suscipit, eamdem pœnam subit; qui vero latrones recipit, neque in jus adducit, proscribitur, aut punitur juxta conditionem personæ, prout judici visum fuerit.

Ὁ ὑποδεξάμενός τινα ἐνεχόμενον ἐγκλήματι ἐν εἰδήσει τὴν αὐτὴν ὑφίσταται τιμωρίαν· ὁ δὲ λῃστὰς ὑποδεξάμενος καὶ μὴ προσαγαγὼν αὐτοὺς τῷ δικαστηρίῳ δημεύεται, ἢ τιμωρεῖται, κατὰ τὴν ποιότητα τοῦ προσώπου, ὡς ἂν ὁ δικαστὴς συνίδῃ.

230 CAP. IX. *De synodis quotannis habendis.*

ΚΕΦΑΛ. Θ'. Περὶ συνόδων τῶν ἐτησίως γινομένων.

Sanctorum apostolorum canon 37 imperat, ut quovis anno cis congregent concilium cujuvis provinciæ episcopi, ad suum metropolitanum confluentes, semel quidem quarta septimana Pentecostes. iterum vero autumno exeunte, scilicet duodecimo die Hyperberetæi sive Octobris, ut dirimantur omnes controversiæ, quæ circa dogmata et quæstiones scriptas, et argumenta ecclesiastica oriuntur, imo et dissensiones, quæ inter ipsos contingant, et causas, atque lites. D

Convenit cum isto ferme quoad verba et vicesimus canon synodi Antiochenæ : adjicit tamen minime licere quovis per seipsos synodos habere haud præsente metropolitano provinciæ : tunc enim prefectum concilium habetur, cum adest primas una cum cæteris.

Quin imo canon quintus synodi primæ, autumno lapso ad Octobrem mensem alterum concilium con-

Ὁ λζ' τῶν ἀποστόλων κανὼν δὶς τοῦ ἔτους σύνοδον κελεύει ποιεῖ τοὺς ἑκάστης ἐπαρχίας ἐπισκόπους τῷ οἰκείῳ συνιόντας μητροπολίτῃ· ἅπαξ μὲν, τῇ τετάρτῃ τῆς Πεντηκοστῆς ἑβδομάδι, δεύτερον δὲ, φθινούσης ἤδη τῆς ὥρας, τῇ ιβ' τοῦ Ὑπερβερεταίου, ἤτοι τοῦ Ὀκτωβρίου· ἐφ' ᾧ πᾶσαν ἀμφιβολίαν περί τε δογμάτων, καὶ γραφικῶν ζητημάτων, καὶ ἐκκλησιαστικῶν ὑποθέσεων λύεσθαι, καὶ μέν τοι καὶ διαφορὰς ἔστιν ὧν πρὸς ἀλλήλους, καὶ δίκας, καὶ ἔριδας.

Τούτῳ καὶ ὁ κ' τῆς ἐν Ἀντιοχείᾳ συνόδου πρὸς λέξιν σχεδὸν ἕπεται· μὴ ἐξεῖναι δὲ προστίθησιν ἑνίοις καθ' ἑαυτοὺς συνόδους ποιεῖν, μὴ παρόντος τοῦ τῆς ἐπαρχίας μητροπολίτου· τότε γὰρ τελεία γίνεται σύνοδος, ὅτε καὶ ὁ μητροπολίτης σύνεστι τοῖς λοιποῖς.

Ἀλλὰ καὶ ὁ ε' τῆς α' συνόδου κανὼν, φθινούσης μὲν ὥρας κατὰ τὸν Ὀκτώβριον, κελεύει τὴν μίαν

τῶν συνόδων ἀθροίζεσθαι· τὴν δὲ ἑτέραν, οὐκ ἐν τῇ Πεντηκοστῇ, ἀλλὰ πρὸ τῆς Τεσσαρακοστῆς συνεστάναι· ὡς ἂν, πάσης ἀηδίας καὶ μικροψυχίας τῆς πρὸς ἀλλήλους περιαιρεθείσης, καθαροὶ τῷ φύσει κεφαρῷ τὸ τῆς νηστείας προσενέγκοιεν δῶρον.

Ὁ δὲ ιθ' τῆς δ' συνόδου ἐν καλῇ οἴεται κεῖσθαι τοὺς ἐπισκόπους δὶς τοῦ ἔτους συνόδους ποιεῖν, ἔνθα ἂν ὁ τῆς ἐπαρχίας δοκιμάσῃ μητροπολίτης, ἐπ' ἐνίων ἐκκλησιαστικῶν διορθώσει πραγμάτων· τοὺς δὲ μὴ συνιόντας τῶν ἐπισκόπων, ὑγιῶς τοῦ σώματος ἔχοντας, καὶ ταῖς αὐτῶν ἐπιχωριάζοντας πόλεσι, μηδέ τινος ἑτέρου ἀναγκαίου πράγματος εἴργοντος, ἀδελφικῶς ἐπιπλήττεσθαι.

Ὁ δὲ τῆς ς' συνόδου ἡ' τοῦτον μὲν ὡς ἔχει λέξεως δίεισι, νομοθετεῖ δὲ, ἅπαξ τοῦ ἔτους καὶ μὴ δὶς σύνοδον γίνεσθαι, καιρὸν ὁρίσας τὸν ἀπὸ τοῦ Πάσχα μέχρις ὅλου τοῦ Ὀκτωβρίου, διά τε τὰς τῶν βαρβάρων ἐφόδους, καὶ τὰς προσπιπτούσας ἑτέρας αἰτίας, αἳ δυσχερεῖς ποιοῦσι τοῖς ἐπισκόποις τὰς συνεχεῖς ἀποδημίας.

Τοῦτον αὖθις ὁ ς' ἐπικυρῶν καὶ τῆς ζ' συνόδου, ἀφορίζεσθαι ἀξιοῖ, εἴ τις ἄρχων εὑρεθείη εἴργων τινὰ τῶν εἰς τὴν σύνοδον ἀπιόντων ἐπισκόπων· συνιοῦσι δὲ τούτοις, προὔργου, φησὶ, μελέτω, ὥστε τὰς τοῦ Εὐαγγελίου ἐντολὰς, καὶ τὰς τῶν κανόνων μετιέναι διδάσκειν τοὺς ὑπὸ χεῖρα. Εἴ τινα δὲ τῶν συνελήλυθότων ἐπισκόπων κτῆνος, ἢ ἕτερον εἶδος, ὁ μητροπολίτης ἀπαιτήσας ἄκοντα ἐλεγχθείη, τετραπλάσιον ἀποτισάτω.

Καὶ ὁ μ' τῆς ἐν Λαοδικείᾳ πολλῆς ἀξιοῖ φροντίδος τὸ καθ' ἑκάστην ἐπαρχίαν ἐτησίως σύνοδον γίνεσθαι. Διὸ καὶ τοὺς ἐπισκόπους εἰς ταύτην καλουμένους οὐκ ἀναδύεσθαι, ἀλλ' ἀμελητὶ ἀπιέναι προστάττει· καὶ ἢ τοὺς σοφωτέρους, ἅττα ἴσασι διδάσκειν, ἢ τοὺς ἁπλουστέρους, ἅπερ ἀγνοοῦσι μανθάνειν. Οὕτω γὰρ κατορθοῦσθαι τὴν Ἐκκλησίαν καὶ ἐπιδιδόναι συμβαίνοι, περί τε τὰ ἀρθὰ τῆς πίστεως δόγματα, καὶ τὰς τὸν βίον ῥυθμιζούσας ἐντολάς· ὁ δὲ καταφρονῶν, ἑαυτὸν ἐπιτιμηθεὶς αἰτιάσθω, εἰ μή τινι ἀνωμαλίᾳ ἢ τοῦ σώματος ἢ τῶν πραγμάτων ἐμποδισθείη.

Καὶ ὁ ιθ' τῆς ἐν Καρθαγένῃ σύνοδον τοῖς ἐπισκόποις κατ' ἐνιαυτὸν ἐπισκήπτει ποιεῖν· ἀλλὰ δὴ καὶ ὁ ογ', ὃν καὶ ζήτει ἐν τῷ ζ κεφαλαίῳ τοῦ Η στοιχείου.

Τούτοις δὲ καὶ ὁ ος' ἐπιψηφίζεται, τὰς αὐτὰς τοῖς ῥηθεῖσι κανόσιν αἰτίας ἐπεξιών· τὸν δὲ μὴ πειθόμενον τῆς μὲν τῶν ἄλλων ἀφίστασθαι κοινωνίας κελεύει, μόνῃ δὲ τῇ τῆς ἰδίας Ἐκκλησίας ἀρκεῖσθαι.

Ἀλλὰ τῷ ιζ' κανόνι οὐ τῶν ἀναγκαίων εἶναι δοκεῖ, κατ' ἐνιαυτὸν σύνοδον γίνεσθαι τῶν ἐπισκόπων εἰς Καρχηδόνα, ἵνα μὴ συντρίβωνται οἱ ἀδελφοί. Ἀλλ' εἰ μὲν αἰτίαι κυριαὶ ἀνακύψαιεν περὶ δογμάτων τυχὸν, γράμμασι καλεῖσθαι τοὺς ἐπισκόπους, καὶ κοινῆς γινομένης συνόδου, λύεσθαι τὸ ἀμφίβολον· εἰ δὲ ἰδικαὶ εἶεν, ἐν ἐπαρχίᾳ ἑκάστῃ τὴν λύσιν αὐτὰς λαμβάνειν.

A vocari jubet, alterum veronon in Pentecoste. sed ante Quadragesimam celebrari ; ut posita omni acritate ac illiberalitate animi, puri ipsi natura ex suapte puro jejunii donum offerant.

Canon autem 19 synodi quartæ æquum bonumque judicat, ut episcopi bis quotannis concilia celebrent, ubi, si provinciæ metropolitano ita placuerit, de rebus ecclesiasticis reformandis decernant : episcopos autem, qui cum corpore bene valeant, et in urbibus suis versentur, neque ulla alia causa impediat, non conveniunt tamen, fraterno more increpari.

Dein canon sextus sydoni sextæ hunc verbatim B repetit, sancit autem semel quidem in anno, non bis concilium haberi, atque tempus præscribit, a Paschate puta usque ad Octobrem completum, cum propter barbarorum incursus, tum causas alias, quæ obtingunt et frequentes peregrinationes episcopis permolestas reddunt.

Hunc canonem confirmat etiam sextus synodi septimæ, atque magistratum excommunicari vult, qui episcoporum ad synodum properantium quempiam impediens deprehendatur. Cum autem congregati fuerint, præcipua, inquit, cura esto subditos suos summopere docere præcepta evangelica et canonica. Sin vero metropolita jumentum, vel rem quamvis aliam, quæ ad episcopos confluentes pertineat, sibi vindicet, et convincatur, reddet quadruplum.

C Imo et 40 canon concilii Laodiceni sollicite admodum jubet, ut in qualibet provincia synodus quotannis convocetur. Adeoque episcopos, qui ad eam citantur, haud detrectare, sed protinus adire jubet, atque sapientiores si sint, docere quæ norunt, vel simpliciores ea addiscere, quæ nesciunt. Ita enim fit, ut reformetur Ecclesia, et circa recta dogmata fidei, et mandata vitæ bene ordinandæ inservientia, profectus faciat. Qui vero contempserit, quod reprehendatur, seipsum culpet, nisi forte aliquo discrimine, quod ad corpus vel facultates spectet, impediatur.

231 Insuper canon 19 syn. Carthaginensis episcopos monet concilium quotannis habere. Ita et canon 73, quem vide in cap. 7 lit. II.

D

Cum istis consentit et canon 76 easdemque rationes pariter affert. Illum tamen qui recusaverit, cæterorum episcoporum communione abstinere jubet, Ecclesiæ suæ sola contentum.

At vero canoni 97 haud necessarium videtur, quotannis concilium Carthagine celebrari, ne fatigentur fratres. Sed quotiescunque causæ communes contingant, de dogmatis puta, litteris convocari episcopos, et synodo communi habita, dubium solvi. Sin vero privatæ causæ fuerint, ipsas in propria provincia determinari.

Lex.

Justiniani novella 137 semel aut bis in anno, mense nimirum Junio aut Septembri, synodos celebrari jubet, metropolitarum quidem apud patriarchas et episcoporum apud metropolitas, causasque examinari, quas episcopi et clerici et monachi invicem sustinent circa fidem et canones et res ecclesiasticas, et quæ facta sunt contra canones corrigi ; magistratus vero qui non cogunt metropolitas, et episcopos moras trahentes statuta concilia celebrare, aut non idicant imperatori inobedientes, extremis suppliciis subjici. At vero hæc quæ ad concilia celebranda pertinent hodie prorsus negliguntur.

CAP. X. *De litteris commendatitiis.*

Quære caput 9 litt. A.

CAP. XI. *De iis qui conjurationes et fraternitates, aut seditiones struunt.*

Canon 18 synodi quartæ, et 34 synodi sextæ, Legibus, inquit, civilibus, quarum pleræque a sapientibus extraneis seu gentilibus latæ sunt, crimen conjurationis vel fraternitatis prohibetur, multo vero magis in Ecclesia Dei. Quiquis igitur vel clericus vel monachus hujusmodi facinoris reus deprehensus, aut convictus fuerit, conspirationes coagulans quasi, sive moliens adversus episcopos aut clericos, gradu suo excidat. Conjuratio autem est si aliqui contra aliquos consilium ineunt, et se invicem juramentis obligant a proposito non desistere, usquedum ad exitum perduxerint, sicuti alicubi in Actibus B. Lucas memorat. Videlicet Judæorum nonnulli conspiratione facta, sua capita devoverunt, se neque cibum neque potum sumpturos, donec Paulum interfecissent. Fraternitas autem proprie est cognatorum aut alio modo conjunctorum compages. Hic autem malignatium innuit conventiculum, et ad facinora perpetranda consensionem. Coagulare vero siva τυρεύειν est perversa et improba stuere et moliri. Uti in illo loco, *Coagulatum* est cor eorum, pro, *induruit.*

232 *Leges.*

Qui conjurationis adversus rempublicam auctor exstiterit, aut castris insidiatus fuerit, aut illa hosti prodiderit ; quive dolo malo impediverit, quominus hostes in potestatem populi Romani venirent, aut curaverit eos adjuvari copiis, vel armis, vel pecunia, vel alio modo quocunque, lege majestatis tenetur. Imo vero turbam concitare præter mandatum imperatoris, gravi supplicio dignum lex decernit. Quære et cap. 21 litt. II.

Novella autem constitutio Constantini Porphyrogennetæ, cum scientia Alexii patriarchæ et synodi, anathemati subjicit eos qui machinantur insidias aut tumultus, atque etiam eos qui istis opem ferun et in defectione sunt socii, aut illis consulunt, et

A Νόμος.

Ἡ δὲ ρλζ' Ἰουστινιάνειος νεαρὰ ἅπαξ ἢ δὶς τοῦ ἔτους τῷ Ἰουνίῳ ἢ τῷ Σεπτεμβρίῳ συνόδους γίνεσθαι βούλεται τῶν μητροπολιτῶν παρὰ τοῖς πατριάρχαις καὶ τῶν ἐπισκόπων παρὰ τοῖς μητροπολίταις, καὶ ἐξετάζεσθαι τὰς αἰτίας, ἃς οἱ ἐπίσκοποι καὶ οἱ κληρικοὶ καὶ οἱ μοναχοὶ πρὸς ἀλλήλους ἔχουσι περί τε πίστεως, καὶ κανόνων, καὶ πραγμάτων ἐκκλησιαστικῶν, καὶ τὰ παρὰ τοὺς κανόνας ἁμαρτανόμενα διορθοῦσθαι · τοὺς δὲ ἄρχοντας μὴ ἐπιτιθεμένους τοῖς μητροπολίταις καὶ τοῖς ἐπισκόποις, ὑπερτιθεμένους τὰς τεταγμένας συνόδους ποιεῖν, ἢ τοὺς μὴ πειθομένους οὐ μηνόοντας τῷ βασιλεῖ ἐσχάτως τιμωρεῖσθαι. Ἀλλὰ τὸ τῶν συνόδων τούτων πάντη τὸ νῦν ἔχον καταπεφρόνηται.

B ΚΕΦΑΛ. Γ'. Περὶ συστατικῶν γραμμάτων.

Ζήτει τὸ θ' κεφάλαιον τοῦ Α στοιχείου.

ΚΕΦΑΛ. ΙΑ'. Περὶ τῶν συνωμοσίας, ἢ φατρίας, ἢ στάσεις ποιούντων.

Ὁ ιη' τῆς ὁ' συνόδου κανὼν, καὶ ὁ λδ' τῆς ς' συνόδου, Ἐν τοῖς πολιτικοῖς, φασὶ, νόμοις, ὧν οἱ πλείους πρὸς τῶν ἔξω σοφῶν συνετέθησαν, τὸ τῆς συνωμοσίας ἢ φατρίας ἀπείρηται τόλμημα, πολλῷ γε δήπου τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ. Ὅστις τοίνυν τῶν μοναζόντων ἢ κληρικῶν τοιούτῳ ἁλοίη ἐγκλήματι, ἢ συσκευὰς ἐλεγχθείη τυρεύων, ἤτοι τεκταίνων, ἐπισκόποις ἢ κληρικοῖς, τοῦ οἰκείου ἐκπιπτέτω βαθμοῦ. Συνωμοσία δέ ἐστι τό τινας κατά τινων βουλεύσασθαι, καὶ ἀλλήλους ὅρκοις συνδῆσαι, ἢ μὴν μὴ ἀποστήσεσθαι τοῦ βουλεύματος, μέχρις ἂν τοῦτο τε- C λεσθείη · ὥς που καὶ ἐν ταῖς Πράξεσι τῷ θείῳ Λουκᾷ ἱστόρηται, ὅτι ποιήσαντές τινες τῶν Ἰουδαίων συστροφὰς, ἀνεθεμάτισαν ἑαυτοὺς, μήτε φαγεῖν, μήτε πιεῖν, ἕως ἂν ἀποκτείνωσι τὸν Παῦλου. Φατρία δέ ἐστι κυρίως τὸ τῶν συγγενῶν ἢ τῶν ἄλλως ἡνωμένων σύστημα · ἐνταῦθα δὲ κακοθελὲς δηλοῖ διαβούλιον, καὶ συμφωνίαν τινῶν ἐπὶ πράξεσι φαύλαις. Τυρεύειν δὲ, τὸ σκληρὰ καὶ πονηρὰ κατασκευάζειν, καὶ μηχανασθαι · ὡς τὸ, « Ἐνυρώθη » ἡ καρδία αὐτῶν, ἀντὶ τοῦ « ἐσκληρύνθη. »

Νόμοι.

Ὁ συνωμοσίαν κατὰ τῆς πολιτείας παρασκεμάσας γενέσθαι, καὶ ὁ ἐπιβουλεύσας τῷ στρατοπέδῳ, ἢ D τοῖς πολεμίοις αὐτὸ προδοὺς, ἢ ὁ κατὰ δόλον ἐμποδίσας ὑπὸ Ῥωμαίους γενέσθαι τοὺς πολεμίους, ἢ παρασκευάσας αὐτοὺς βοηζηθῆναι πλήθει, ἢ ὅπλοις, ἢ χρήμασιν, ἢ ἑτέρῳ οἱῳδήσοτε τρόπῳ, τῷ τῆς καθοσιώσεως ὑπόκειται ἐγκλήματι. Ἀλλὰ καὶ τὸ συνάγεσθαι ὄχλον χωρὶς βασιλικοῦ ἐπιτάγματος, πολλῆς ἄζιον τιμωρίας κρίνεται πρὸς τῶν νόμων. Ζήτει καὶ τὸ κα' κεφάλαιον τοῦ Π στοιχείου.

Ἡ δὲ νεαρὰ τοῦ βασιλέως Κωνσταντίνου τοῦ Πορφυρογεννήτου, εἰδήσει καὶ τοῦ πατριάρχου Ἀλεξίου καὶ τῆς συνόδου, ἀναθέματι καθυποβαλλει τοὺς μέλλοντας ἢ ἐπιβουλαῖς ἐπιχειρεῖν, ἢ μούλτῳ · ἀλλὰ δὴ καὶ τοὺς συμπράττοντας καὶ συγκοινωνοῦντας τῇ αὐ-

τῶν ἀποστασίᾳ, καὶ τοὺς συμβουλεύοντας ἢ παρορμῶντας εἰς τὰ τοιαῦτα, καὶ τοὺς συνεκστρατεύοντας, καὶ τοὺς δεχομένους αὐτοὺς εἰς μετάνοιαν, μὴ μεταμελομένους ἀπὸ τῆς ἀποστασίας, καὶ καταλιμπάνοντας αὐτήν. Ζήτει περὶ ταύτης τῆς νεαρᾶς ἐν τῇ ἐπιγραφῇ τῆς ἐν Γάγγρᾳ συνόδου, ἥτις ἐν τῇ ἀρχῇ τοῦ βιβλίου κεῖται.

A ad ejusmodi facinora incitant, aut commilitant, illos denique qui ipsos ad pœnitentiam suscipiunt, cum defectionis pœnitentiam nedum agant, aut eam relinquant. Quære de hac novella in inscriptione syn. Gangrensis, quæ circa principium libri occurrit.

ΚΕΦΑΛ. ΙΒ'. Περὶ σχισματικῶν.

Ζήτει ἐν τῷ β' κεφαλαίῳ τοῦ Α στοιχείου κανόνα α' τοῦ μεγάλου Βασιλείου, σοφῶς ὁριζομένου καὶ διαιροῦντος τὰ σχίσματα, καὶ τὰς αἱρέσεις, ταῖς ἑκατέρων ἰδιότησιν.

Ὁ δὲ λα' τῶν ἁγίων ἀποστόλων κανών, Ὅστις, φησί, πρεσβύτερος, μηδέν τι κατεγνωκὼς τοῦ ἰδίου ἐπισκόπου, μήτε περὶ τὴν εὐσέβειαν σφαλλομένου, μήτ' αὖ χαίροντος ἀδικίαις, ἀλλ' εὐσεβοῦς μὲν τὰ πρὸς Θεὸν, δικαίου δὲ τὰ πρὸς ἀνθρώπους ὑπάρχοντος, πάθει φιλαρχίας κάτοχος ὤν, ἰδίᾳ πήξει θυσιαστήριον, καὶ παρασυνάξεις ποιῶν ἐν τούτῳ ἱερουργεῖ, μετὰ μίαν καὶ δευτέραν καὶ τρίτην παραίνεσιν καὶ παράκλησιν ἐπὶ τὴν προτέραν ὁμόνοιαν, ἔτι γνώμῃ χρώμενος αὐθεκάστῳ, αὐτὸς μὲν ὡς φίλαρχος, καὶ τυραννικὸν ἔργον ἐπιδεικνύμενος, καθαιρείσθω. Οἱ δὲ συναπαχθέντες αὐτῷ, καὶ συνεκκλησιάζοντες, εἰ μὲν κληρικοὶ εἶεν, καὶ αὐτοὶ καθαιρείσθωσαν, εἰ δὲ λαϊκοὶ, ἀφορισμῷ ὑποβεβλήσθων.

B quam incusare ac damnare queat, utpote nihil contra pietatem peccantem, neque improbitati indulgentem, sed e contra quoad homines justum piumque erga Deum, ambitione tactus privatim altare fixerit, et conventus colligens super illud celebret, atque post unam ac alteram, atque dein tertiam admonitionem et cohortationem ad priorem conformitatem, in sententia sua obstinate perseveret, tanquam ambitiosus et affectum tyrannicum prodens, deponatur. Qui autem conveniunt et congregantur ad illum, si clerici fuerint, etiam et illi ordine semoveantur, sin autem laici, excommunicentur.

CAP. XII. *De schismaticis.*

Quære in cap. 2 litt. A canonem primum magni Basilii, sapienter ibi definientis ac distinguentis schismata atque hæreses juxta suas quamlibet proprietates.

Canon autem 31 sanctorum apostolorum, si quis, ait, presbyter, cum episcopum suum nequa-

Ἐναργῶς τοίνυν ἐκ τούτου παρίσταται, μηδ' ἠντιναοῦν ὄφλειν εὐθύνην, τοὺς τῶν ἰδίων ἐπισκόπων ἀποσχιζομένους, καὶ ἀποφοιτῶντας κληρικοὺς, καταγινώσκοντας ὡς ἀσεβούντων ἢ ἀδικούντων. Δι' ἕτερον μέντοι γε τρόπον, κἂν τὰ χείριστα λέγηται περὶ ἐπισκόπου ἢ πρεσβυτέρου, οὐ δίκαιον τῆς ἐκείνου κοινωνίας ἀφίστασθαι, πρὶν ἂν ἡ δι' ἀκριβοῦς ἐξετάσεως κρίσις τοῦτον καθέλῃ. Οὐ γὰρ τῶν ἀνθρώπων ἡ χάρις, ἀλλὰ τοῦ ἁγίου Πνεύματος, ὃ καὶ διὰ τῶν ἀναξίων πορίζειν ταύτην εἰώθει τοῖς θερμότητι πίστεως προσιοῦσι. Πάντας γὰρ, φησὶν, ὁ Θεὸς οὐ χειροτονεῖ, διὰ πάντων δὲ ἐνεργεῖ.

C rici, si ipsos tanquam improbos aut injustos coarguant et damnent. Alioqui, quamvis pessima perhibeantur de episcopo et presbytero, non licet a communione ipsius secedere, antequam judicium post accuratam examinationem latum istum semoverit. Non enim hominum ea gratia est, sed Spiritus sancti, qui pro meritis eam solet viris ardore fidei præcellentibus conferre. Omnes enim, inquit, (scilicet D. Chrysostomus) non ordinat Deus, sed per omnes operatur.

Τὰ αὐτὰ καὶ ὁ τῆς ἐν Ἀντιοχείᾳ ε' διέξεισι, προσθεὶς ὡς, εἰ μετὰ τὴν καθαίρεσιν θορυβῶν ἐπιμένει, καὶ τὴν Ἐκκλησίαν ἀναστατῶν, διὰ τῆς ἔξωθεν καὶ πολιτικῆς ἐξουσίας σωφρονιζέσθω, εἴ πως ταύτῃ γοῦν πρὸς μετάνοιαν ἐπιστρέψειεν. Ἐπιτιμᾷν τὴν μόνον ἐφεῖται τοῖς ἐπισκόποις, ἀλλ' οὐχὶ καὶ τιμωρεῖσθαι τοὺς πταίοντας· μὴ πειθομένοις δὲ τοῖς ἄρχουσι πρὸς σωφρονισμὸν ἐκδιδόναι.

Eadem etiam percenset concilii Antiocheni canon quintus, atque addit : At vero, si post depositionem permanserit turbas et seditionem commovens in Ecclesia, per externam ac politicam potestatem castigetur, si forte illum ad pœnitentiam convertere queat. Quippe conceditur episcopis duntaxat increpare delinquentes, non etiam punire, sed vero inobedientes magistratui castigandos tradere.

Ζήτει καὶ τὸν λα' καὶ τὸν νθ' τῆς ς' συνόδου ἐν τῷ α' κεφ. τοῦ Β στοιχείου.

Quære et can. 31 et 59 synodi sextæ in cap. 1 litteræ B.

Ὁ δὲ ιβ' κανὼν τῆς λεγομένης πρώτης καὶ δευτέρας συνόδου, Τῷ λα', φησί, τῆς ς' συνόδου κανόνι γινόμενοι σύμψηφοι, ἀποκεκληρωμένους εἶναι, καὶ ἐπιτετραμμένους κελεύομεν πρὸς τοῦ κατὰ χώραν ἐπισκόπου, τοὺς ἐν εὐκτηρίοις οἴκοις, ἔνδον οἰκίας οὔσι, λειτουργοῦντας ἱερέας. Εἰ δέ τινες παρὰ τούτους ἄνευ γνώμης τοῦ ἐπισκόπου εἰς τὰς οἰκίας ἐμπίπτοντες ἅψασθαι λειτουργίαν τολμήσαιεν, ἐκεί-

233 Canon autem 12 concilii, quod primum ac secundum appellatur, Canoni, inquit, 31 concilii sexti consentientes, clericatu privandos decernimus, et episcopo istius loci subjiciendos sacerdotes, qui in oratoriis; quæ intra ædes privatas habentur, sacra celebrant. Quicunque vero præter hosce, citra episcopi sententiam in ædes ingredientes ausi fuerint sacra facere, ipsos

quidem deponi, communicantes vero segregari.

Canon vero 13, Ut hære ticorum zizaniorum germina, inquit, ense sancti Spiritus radicitus exscindebantur, ita schismaticorum insaniam, quæ pus Christi dividere studet, nosmet reprimentes statuimus, quod si quis presbyter aut diaconus ob crimina quædam, quæ ad carnales affectus pertinent, suum episcopum damnans, qui cum omni pietate ac innocentia vixerit, directo contra apostolico ac sacro canone definitum, ausus fuerit a communione ejus secedere, ante cognitionem synodicam, ejusque nomen, quando sacra peragit, non referat, hunc depositioni subjici volumus, et omni sacerdotali honore privari. Illicitum enim est eum qui judicium metropolitanorum præripit, ante judicium, quantum ad illum spectat, adversus patrem suum atque episcopum decernere. Sed et qui eum sequuntur, si clerici fuerint, easdem pœnas subire, sin vero monachi, aut laici, non tantum communione privari, sed etiam ecclesia penitus expelli, donec conspirationem cum schismaticis respuentes, ad proprium episcopum reversi fuerint.

Canon porro 14 depositionem etiam episcopi decernit, si a communione sui metropolitani defecerit, aut recusaverit in officio sacro nomen ejus referre.

Tum canon 15 paris criminis arguit etiam metropolitas qui a suo patriarcha recedunt. Verumtamen, si patriarcha fortassean aut metropolita, ait, aut episcopus hæresin aliquam a sanctis Patribus damnatam publice, et ut ita dicam nudo capite prædicaverit, qui communioni ejus abrenuntiant, et seipsos communiunt adversus eum, non pœna dignus, sed potius honore, qui orthodoxis competit, habeatur. Non enim episcopos, sed pseudepiscopos et pseudodidascalos damnarunt, neque in schismata unitatem Ecclesiæ consciderunt, sed a schismatis et divisionibus Ecclesiam liberare studuerunt, quantum in eis erat. Quamobrem et nos recte facimus quod communionem veteris Romæ abnuimus, etiam ante synodalem cognitionem ac judicium.

Canon autem sextus synodi Gangrensis ei, qui Ecclesiam contemnens privatas conciones habet, atque sine licentia episcopi sacra celebrat, ultimum supplicium denuntiat : quid enim uspiam anathemate gravius et terribilius ? Ecclesiam autem vocat non templum, sed cœtum fidelium. Templum enim secundum sanctum Isidorum Pelusiotam proprie ecclesiasterium appellare licet, sicuti θυμίαμα θυμιατήριον, et θυσία θυσιαστήριον.

Imo etiam canon 10 concilii Carthaginensis, presbyterum depositione muletatum, si ex insolentia novum altare struxerit, et privatim Deo sacra

A νους μὲν καθαιρεῖσθαι, τοὺς δὲ συγκοινωνοῦντας αὐτοῖς ἀφορίζεσθαι.

Ὁ δὲ ιγ', Ὥσαερ αἱ τῶν αἱρετικῶν ζιζανίων ἐκφύσεις, φησὶ, τῇ μαχαίρᾳ τοῦ Πνεύματος ῥίζαις αὐταῖς ἐξεκόπησαν, οὕτω καὶ τὴν τῶν σχισματικῶν μανίαν, τὸ τοῦ Χριστοῦ σῶμα μερίζειν ἐπιχειροῦσαν, ἡμεῖς ἀναστέλλοντες, ὁριζόμεθα, ὡς, εἴ τις πρεσβύτερος, ἢ διάκονος, ἐπί τισι δῆθεν ἐγκλήμασιν, ἃ τῶν σαρκικῶν ἐξῆπται παθῶν, τοῦ οἰκείου κατεγνωκὼς ἐπισκόπου, πάσης δυσσεβείας καὶ ἀδίκου πράξεως ἔχοντος τὸν βίον ἐκ διαμέτρου, ὡς τῷ ἀποστολικῷ καὶ θείῳ κανόνι διείληπται, ἀποστῆναι τῆς αὐτοῦ κοινωνίας τολμήσειε πρὸ συνοδικῆς διαγνώσεως, καὶ τοῦδε τὸ ὄνομα τὴν θείαν ἐπιτελῶν ἱεροτελεστίαν μὴ ἀναφέροι, τοῦτον ὑποκεῖσθαι καθαιρέσει κελεύομεν, καὶ πάσης ἱερατικῆς ἀποστερεῖσθαι τιμῆς. Ἀθέμιτον γὰρ τὴν τῶν μητροπολιτῶν
B κρίσιν ἁρπάζοντα, πρὸ κρίσεως, ὅσον τὸ ἐπ' αὐτῷ, τοῦ οἰκείου πατρὸς καὶ ἐπισκόπου καταψηφίζεσθαι. Ἀλλὰ καὶ τοὺς ἑπομένους αὐτῷ, κληρικοὺς μὲν τυγχάνοντας, τοῖς αὐτοῖς ἐπιτιμίοις ὑποβάλλεσθαι· μοναχοὺς δὲ, ἢ λαϊκούς, μὴ ὅτι τῆς ἱερᾶς ἀφορίζεσθαι κοινωνίας, ἀλλὰ καὶ τῆς ἐκκλησίας παντάπασιν ἐξωθεῖσθαι, μέχρις ἂν τὴν πρὸς τοὺς σχισματικοὺς συνάφειαν διαπτύσαντες, πρὸς τὸν οἰκεῖον ἐπιστραφῶσιν ἐπίσκοπον.

Ὁ δὲ ιδ' καθαίρεσιν καὶ τοῦ ἐπισκόπου καταψηφίζεται, εἰ τῆς κοινωνίας τοῦ ἰδίου ἀποσχισθείη μητροπολίτου, μηδὲ ἀναφέρειν ἀνέχοιτο ἐν ταῖς ἱεραῖς τελεταῖς τὸ αὐτοῦ ὄνομα.

Ὁ δὲ ιε' τῶν αὐτῶν εὐθυνῶν καὶ τοῖς μητροπο-
C λίταις τιμᾶται, τοῖς ἀποσχιζομένοις τοῦ σφῶν πατριάρχου. Εἰ δ' ὁ πατριάρχης τυχὸν, φησὶν, ἢ ὁ μητροπολίτης, ἢ ὁ ἐπίσκοπος, οἱανδήτινα αἵρεσιν πρὸς τῶν θείων κατηγνωσμένην Πατέρων, δημοσίᾳ καὶ γυμνῇ, φάναι, κηρύττῃ τῇ κεφαλῇ, οἱ τῆς αὐτοῦ κοινωνίας ἀποδιαστελλόμενοι, καὶ ἀποτειχίζοντες ἑαυτοὺς, μὴ ὅτι κολάσεως, ἀλλὰ καὶ τῆς προσηκούσης τοῖς ὀρθοδόξοις ἀξιούσθεν τιμῆς. Οὐ γὰρ ἐπισκόπων, ἀλλὰ ψευδεπισκόπων καὶ ψευδοδιδασκάλων κατέγνωσαν, καὶ οὐκ εἰς σχίσματα τὴν ἕνωσιν τῆς Ἐκκλησίας κατέτεμον, ἀλλὰ σχισμάτων καὶ μερισμῶν τὴν Ἐκκλησίαν ἐσπούδασαν ῥύσασθαι, τό γε εἰς αὐτοὺς ἧκον. Διὰ τοῦτο καὶ ἡμεῖς εὖ ποιοῦντες, τὴν τῆς παλαιᾶς Ῥώμης ἀπειπάμεθα κοινωνίαν, καὶ πρό γε συνοδικῆς διαγνώμης, καὶ κρί-
D σεως.

Ὁ δὲ ς' τῆς ἐν Γάγγρᾳ συνόδου κανὼν τῷ περὶ ἐλαχίστου τιθεμένῳ τὴν Ἐκκλησίαν, καὶ ἰδία ἐκκλησιάζοντι, κἀὶ παρὰ γνώμην ἱερουργοῦντι τοῦ ἐπισκόπου, τῶν ἐσχάτων τιμᾶν ἀξιοῖ· τί γὰρ τοῦ ἀναθέματος ἐσχατώτερόν τε καὶ φρικωδέστερον; Ἐκκλησίαν δὲ οὐ τὸν νεὼν, ἀλλὰ τὸ τῶν πιστῶν φησι πλήρωμα· ὁ γὰρ νεὼς, κατὰ τὸν Πηλουσιώτην ἅγιον Ἰσίδωρον, ἐκκλησιαστήριον ἂν κυρίως λέγοιτο, ὡς θυμίαμα θυμιατήριον καὶ θυσία θυσιαστήριον.

Ἀλλὰ καὶ ὁ ι' τῆς ἐν Καρθαγένῃ, τὸν ἀφορισμῷ ἐπιτιμηθέντα πρεσβύτερον, εἰ ἐξ ἀπονοίας νέον πήξας θυσιαστήριον, ἰδίαν τῷ Θεῷ ἱερουργίαν προσ-

φέρει, τῷ ἀναθέματι παραπέμπει, οἷα τὴν τῆς Ἐκ- A
κλησίας πίστιν καὶ κατάστασιν λυμαινόμενον, καὶ
βλασφημεῖσθαι ταύτην παρασκευάζοντα πρὸς τῶν
τῆς ἀληθείας ἐχθρῶν. Πρῶτον μὲν γὰρ παραγγε-
λίαις πειρᾶσθαι δεῖ τοὺς τὰ σχίσματα ποιοῦντας
ἐπανάγειν πρὸς τὴν ὁμόνοιαν· μὴ πειθομένους δὲ,
καθαιρεῖν ἢ ἀφορίζειν· εἰ δὲ καὶ οὕτω μένοιεν ἀπαυ
θαδιαζόμενοι, καὶ στασιάζοντες, ὑποτιθέναι τούτους
τῷ ἀναθέματι, καὶ ὡς σεσηπότα μέλη τοῦ ὑγιαίνον-
τος σώματος τῆς Ἐκκλησίας ἐκτέμνειν.

Τὰ αὐτὰ καὶ ὁ ια' ἀποφαίνεται· Τὸν καταγνω-
σθέντα πρὸς τοῦ ἰδίου ἐπισκόπου πρεσβύτερον, ὡς
μὴ καλῶς βιοῦντα, προσαγγεῖλαι δεῖ τοῖς γειτνιῶσι
τῶν ἐπισκόπων, ὡς ἄν δι' ἐκείνων τῷ ἰδίῳ διαλλα-
γείη· εἰ δὲ φυσιωθείς, ἀποσχισθείη μὲν τνῦ ἐπισκό-
που, ἰδίᾳ δὲ ἱερουργεῖν βουληθείη, οὐ μόνον τὸν Ἴδιον B
ἀπολέσει βαθμὸν, ἀλλὰ καὶ ἀνάθεμα ἔσται. Χρὴ δὲ,
φησὶ, σκοπεῖν, μὴ ἄρα δικαίως τὸν Ἴδιον ἐπίσκοπον
ὁ κληρικὸς αἰτιῶτο, ἢ ἀδικοῦντα βλέπων αὐτὸν, ἢ
τῷ ὀρθῷ ἐναντιούμενον δόγματι, καὶ οὐκ ἔξω λόγου
τὴν αὐτοῦ κοινωνίαν ἐκκλίνοι.

Ζήτει ἐν τῳ β' κεφ, τοῦ Α στοιχείου κανόνα λγ'
τῆς ἐν Λαοδικείᾳ συνόδου, καὶ τὸ κ' κεφάλαιον τοῦ Κ
στοιχείου.

Ἡ δὲ πολύστομος τῆς Ἐκκλησίας σάλπιγξ, ὁ
μακάριος τῳόντι Χρυσόστομος, τὴν πρὸς Ἐφεσίους
ἑρμηνεύων Ἐπιστολὴν, κάν τῷ ια' τῆς ἑρμηνείας
λόγῳ, περὶ τῶν τὰ σχίσματα ποιούντων διαλεγόμε-
νος, Ἀνήρ τις ἅγιος, φησιν, εἴρηκεν, ὅτι οὐδὲ
μαρτυρίου αἷμα ἐξαλείφειν δύναται τὴν ἁμαρτίαν C
ταύτην. Ἐν δὲ τῷ ξε' τῆς αὐτῆς κεφαλαίῳ, τοῦ εἰς
αἵρεσιν ἐμπεσεῖν, τὸ τὴν Ἐκκλησίαν σχίσαι, οὐδὲν
ἔλαττον κακὸν δείκνυσιν· οὐδὲν δὲ οἷον καὶ τὴν ἐπι-
στολὴν ἐνάριθμον θεῖναι τοῖς φθάσασι, τοῦ ἐν ἁγίοις
Διονυσίου. Ἀλεξανδρείας καὶ μάρτυρος, ἣν πρὸς τὸν
Ναυάτον πέπομφε, Ῥώμης ὄντα πρεσβύτερον,

Ἐπιστολὴ Διονυσίου πρὸς Ναυάτον, Ῥώμης πρεσβύτερον.

Διονύσιος Ναυάτῳ ἀδελφῷ χαίρειν. Εἰ ἄκων, ὡς
φῂς, ἦχθης, δείξεις, ἐὰν ἀναχωρήσῃς ἑκών· ἔδει
μὲν γὰρ καὶ πᾶν ὁτιοῦν παθεῖν ὑπὲρ τοῦ μὴ διακό-
ψαι τὴν Ἐκκλησίαν τοῦ Θεοῦ· καὶ ἦν οὐκ ἀδοξονέρα
τῆς ἕνεκεν τοῦ μὴ εἰδωλολατρῆσαι γινομένης, ἡ
ἕνεκεν τοῦ μὴ σχίσαι μαρτυρία, κατ' ἐμὲ δὲ καὶ
μείζων· ἐκεῖ μὲν γὰρ ὑπὲρ μιᾶς τις τῆς ἑαυτοῦ
ψυχῆς, ἐνταῦθα δὲ ὑπὲρ ὅλης τῆς Ἐκκλησίας μαρ- D
τυρεῖ· καὶ νῦν δὲ, εἰ πείσαιο, ἢ βιάσαιο τοὺς ἀδελ-
φοὺς εἰς ὁμόνοιαν ἐλθεῖν, μείζων ἔσται σοι τοῦ σφάλ-
ματος τὸ κατόρθωμα· καὶ τὸ μὲν οὐ λογισθήσεται,
τὸ δὲ ἐπαινεθήσεται· εἰ δὲ ἀπειθούντων, ἀδυνατεῖς,
σώζων σῶζε τὴν σαυτοῦ ψυχήν. Ἐρρῶσθαί σε ἐχόμε-
νον τῆς εἰρήνης, ἐν Κυρίῳ εὔχομαι.

ΑΡΧΗ ΤΟΥ Τ ΣΤΟΙΧΕΙΟΥ.

ΚΕΦΑΛ. Α'. Περὶ τῆς τάξεως τῶν κληρικῶν.

Ζήτει τὸ δ' κεφάλαιον τοῦ Δ στοιχείου.

Ὁ δὲ νς' τῆς ἐν Λαοδικείᾳ συνόδου κανὼν τοῦ
ἐπισκόπου τὴν εἴσοδον ἐπὶ τὸ θυσιαστήριον ποιουμέ-

fecerit, anathemate ferit, tanquam corruptorem fidei atque constitutionis ecclesiasticæ, et studentem illam contemptui exponere hostium veritatis. Primum quidem exhortationibus opus est, ut conemur hosce qui **234** schismata, faciunt reducere ad conformitatem, inobedientes tamen aut deponere, aut excommunicare. Sin vero adhuc permanserint obstinati, ac seditionem moventes, anathemati ipsos subjicere, et tanquam membra corrupta e corpore Ecclesiæ rescindere.

Eadem etiam asserit et 11 canon : Presbyterum a suo episcopo damnatum, tanquam male viventem, denuntiare oportet episcopis vicinis, ut eorum gratia suo episcopo reconcilietur. Sin vero superbia elatus sese separet ab episcopo, et privatim celebrare velit, non solum gradum suum amittet, sed etiam anathema erit. Oportet autem dispicere, ait, num merito episcopum suum clericus accuset, videlicet aut injuste facientem, aut contra rectam doctrinam pugnantem viderit, et non sine ratione communionem ejus declinantem.

Quære in cap. 2 lit. A can. 33 synodi Laodicenæ, et cap. 20 lit. K,

Multisona autem Ecclesiæ tuba et vere Chrysostomus, Epistolam ad Ephesios explicans, et in 11 Expositionis suæ sermone de iis qui schismata faciunt disserens, Vir quidam sanctus, inquit, neque martyrii sanguinem peccatum illud diluere posse dixit. Et in capite 65 ejusdem Expositionis, Ecclesiam scindere nihil minus malum præstat quam in hæresin labi. Nihil etiam vetat quominus præcedentibus adjiciamus Epistolam beati Dionysii episcopi Alexandrini ac martyris, quam ad Novatum Romæ presbyterum misit.

Epistola Dionysii ad Novatum presbyterum Romanum.

Dionysius Novato fratri salutem. Si modo ægre tulisti, ut dicis, promotionem, sponte recedendo id ipsum ostendes. Oportuit enim et quodvis potius perpeti, quam discindere Ecclesiam Dei : neque minus gloriosum fuit martyrium propter evitandum schisma, quam cultum idolorum, imo meo quidem judicio magis. Illic enim propter sui ipsius animam solam, hic propter totam Ecclesiam martyrium obit. Jam vero si persuaseris aut coegeris fratres in concordiam conspirare, insignis erit delicti emendatio ; atque illud quidem minime imputabitur, hoc autem laudem merebitur. Si tamen inobsequentes servando nihil valeas, tuam animam serva. Bene te, ut pacem retines, valere exopto in Christo.

235 INITIUM LITTERÆ T.

CAP. I. *De ordine clericorum.*

Quære cap 5 litt. Δ.

Canon autem 56 synodi Laodicenæ, quando episcopus ad altare accedere vult, minime licere judi-

cal presbyteris præoccupare, atque introeuntes se des capessere, et episcopum solum relinquere, Illud enim non tantum decoris violati, sed et contemptus episcopi argumentum est: sed potius una cum episcopo ingredi vult, nisi quis corpore minus valeat, et standi moram perferre neutiquam possit.

CAP. II. *De sepultura.*

Leges.

Sepelire haud fas est, ubi constat corpus martyris jacere.

Nemo quisquam de sepulcris materiem quamcunque ad aliam domum exstruendam auferat.

Cadaver hominis citra mandatum Imp. nemo in locum alium transferat.

Quære et in cap. 15 litt. M.

CAP. III. *Quod mortuos baptizare minime liceat, neque eorum cadaveribus sacra mysteria præbere.*

Quære cap. 26 litt. K.

CAP. IV. *De clericorum filiis.*

Canon 35 concilii Carthaginensis minime oportere existimat episcopos ac clericos facile liberis suis potestatem sui concedere, nisi per ætatem aut morum probitatem fidem certam fecerint, posse se convenienter ac provide res suas administrare. Secus enim et ipsi liberorum suorum criminibus obnoxii erunt.

Leges.

Leges autem statuunt libertatem filiis non a patre solo, sive clericus sit, sive laicus, donari, nisi cognitio auctoritativa ita decernat. Non enim consensus merus patris natum patria potestate liberat, sed legitima actio.

Liberi autem episcoporum, qui dignitate aliqua cohonestantur, sui juris juxta leges evadunt, neque pro illis patres rationem reddunt. Dicit enim Novella Justiniani 81: Qui dignitatem indepti sunt, ac officia publica sustinent, suæ potestatis sunt, quamvis per ætatem non oporteat ipsos de manu patria liberari.

236 Delicta circa damnum quæ perpetrant filii sub patria potestate, ipsi patres merito luunt, non ita et crimina. Neque enim puniuntur patres propter filios, cum lex diserte dicat: Delicta caput sequuntur.

CAP. V. *De sacra Quadragesima, et ritibus qui in ea observantur.*

Quære cap. 4 litt. N.

Canon autem 65 synodis extæ eos qui veterem Romam incolunt, monet ne in Sabbatis sacræ Quadragesimæ jejunent, præterquam in uno tantum, eoque magno Sabbato. Sed arrogantes illi incorrigibiles perseverarunt, neque canonibus apostolicis, neque huic obsequentes, adeoque nec clerici depositionem metuunt, neque laici excommunicationem. Tanto autem turpiores evaserunt, ut non solum in istis, sed et aliis anni Sabbatis

A νου, μὴ ἐξεῖναι κελεύει τοῖς πρεσβυτέροις προλαμβάνειν, καὶ εἰσερχομένους καθίζειν, καὶ μόνον ἐᾷν τὸν ἐπίσκοπον (οὐχ ὅπως γὰρ ἀταξίας, ἀλλὰ καὶ τοῦ περιφρονεῖν τὸν ἐπίσκοπον τοῦτο σημεῖον), ἀλλὰ τούτῳ συνεισιέναι, εἰ μήπου τις ἀνωμάλως ἔχει τὸ σῶμα, καὶ τὴν στάσιν ἧκιστα δύναται φέρειν.

ΚΕΦΑΛ. Β'. Περὶ ταφῆς.

Νόμοι.

Οὐκ ἔξεστι θάπτειν ἔνθα δῆλόν ἐστιν ὅτι μάρτυρος σῶμα ἀπόκειται.

Οὐδεὶς ἀπὸ τῶν τάφων ὕλην τινὰ ἢ ἕτερον εἰκοδόμημα μεταφέρει.

Μηδεὶς σῶμα ἀνθρώπινον χωρὶς κελεύσεως βασιλικῆς εἰς ἕτερον τόπον μεταφερέτω.

Ζήτει καὶ ἐν τῷ ιε' κεφ. τοῦ Μ στοιχείου.

B

ΚΕΦΑΛ. Γ'. Ὅτι τοὺς τελευτήσαντας οὔτε βαπτίζειν θεμιτόν, οὔτε τοῖς σώμασιν αὐτῶν κοινωνίας μεταδιδόναι.

Ζήτει τὸ κς' κεφάλαιον τοῦ Κ στοιχείου.

ΚΕΦΑΛ. Δ'. Περὶ τῶν τέκνων τῶν κληρικῶν.

Ὁ λε' τῆς ἐν Καρθαγένῃ συνόδου κανὼν οὐκ οἴεται δεῖν ἐπισκόπους καὶ κληρικοὺς εὐχερῶς τοῖς τέκνοις αὐτῶν διδόναι τὸ αὐτεξούσιον; εἰ μὴ ἀπὸ τῆς ἡλικίας καὶ τῶν ἀγαθῶν τρόπων δοῖεν πληροφορίαν, ὅτι δυνήσονται δεόντως καὶ εὐλαβῶς τὰ καθ' ἑαυτοὺς οἰκονομεῖν· εἰ δ' οὖν, τῶν ἁμαρτημάτων αὐτῶν καὶ αὐτοὶ ἔσονται κοινωνοί.

Νόμοι.

Οἱ δὲ νόμοι κελεύουσι μὴ παρὰ μόνου τοῦ πατρὸς εἴτε κληρικοῦ, εἴτε λαϊκου, τὴν τῶν τέκνων αὐτ- C εξουσιότητα γίνεσθαι, εἰ μὴ καὶ δικαστικὴ διάγνωσις τοῦτο ἐπιψηφίσειε· φασὶ γάρ· Οὐ γυμνὴ συναίνεσις τοῦ πατρὸς ἐλευθεροῖ τῆς ὑπεξουσιότητος τὸν παῖδα, ἀλλὰ νόμιμος πρᾶξις.

Οἱ δὲ ὀφφικίῳ τιμηθέντες παῖδες τῶν ἐπισκόπων, αὐτεξούσιοι παρὰ τοῦ νόμου γίνονται, καὶ λόγον ὑπὲρ αὐτῶν οἱ πατέρας οὐ διδόασι· φησὶ γὰρ ἡ πα' Ἰοοστινιάνειος νεαρὰ, ὅτι πάντες οἱ ἀξιωματικοὶ, καὶ οἱ ἔχοντες ὀφφίκια ἄρχοντες, αὐτεξούσιοι ἐστωσαν, καὶ εἰ τῆς πατρικῆς χειρὸς οὐκ ἔφθασαν ἀπολυθῆναι.

Τῶν ψυχικῶν μέντοι σφαλμάτων, ἅπερ οἱ ὑπεξούσιοι ἁμαρτάνουσι παῖδες, ἴσως οἱ πατέρες δίκην ὑπέχουσιν, οὐ μὴν καὶ τῶν ἐγκληματικῶν· οὐ γὰρ κολάζονται πατέρες ὑπὲρ τέκνων· φησὶ γὰρ ὁ νόμος· D Τὰ ἁμαρτήματα τῇ κεφαλῇ ἕπονται.

ΚΕΦΑΛ. Ε'. Περὶ τῆς ἁγίας Τεσσαρακοστῆς, καὶ τῶν ἐν αὐτῇ τελουμένων ἐθῶν.

Ζήτει τὸ δ' κεφάλαιον τοῦ Ν στοιχείου.

Ὁ δὲ νε τῆς ς' συνόδου κανὼν τοῖς τὴν παλαιὰν οἰκοῦσι Ῥώμην πσρεγγυᾶται, μὴ νηστεύειν τὰ σάββατα τῆς ἁγίας τεσσαρακοστῆς, ἐκτὸς μόνον τοῦ ἑνὸς καὶ μεγάλου σαββάτου· ἀλλ' ἀδιόρθωτοι μεμενήκασιν οἱ ἀλαζόνες, μήτε τῶν ἀποστολικῶν κανόνων, μήτε τούτου ἐπιστρεφόμενοι· καὶ μήτε τὴν καθαίρεσιν οἱ ἱερωμένοι, μήθ' οἱ τοῦ δήμου τὸν ἀφορισμὸν εὐλαβούμενοι· μᾶλλον δὲ τοσοῦτον χείρους γεγόνασιν, ὡς μὴ μόνον ἐν τούτοις, ἀλλὰ κἀν

τοῖς ἄλλοις τοῦ χρόνου σάββασι, παρανόμως νηστεύειν· τὸ δ' ἔτι τούτου παρανομώτερον, ὅτι τὴν τοῦ σαββάτου κατάλυσιν ἐπὶ τὴν τετράδα μετενηνόχασι καὶ παρασκευήν, τὴν δ' ἐν ταύταις νηστείαν ἐπὶ τὸ σάββατον, ἔργον ὡσανεὶ ποιούμενοι, πάντα νόμον ἱερὸν τιθέναι ἀνάστατον.

A illicite jejunent. Imo quod adhuc magis canonibus repugnat, solutionem Sabbati in feriam quartam et Parasceven referunt, atque istorum dierum jejunium in Sabbatum, quasi sollicite studentes omnem legem sacram subvertere.

Ὁ δὲ νς' τὴν αὖθις ἐκ διαμέτρου τῶν Ἀρμενίων διορθούμενος πλάνην, ἐν τοῖς σάββασι καὶ ταῖς κυριακαῖς τῆς ἁγίας τεσσαρακοστῆς, τυροῦ καὶ ὠῶν ἀπέχεσθαι καὶ τούτους κελεύει, οἷπ δὴ νόμος πάσῃ τῇ ὑφηλίῳ τοῦ Θεοῦ Ἐκκλησίᾳ. Ὥσπερ γὰρ πάντων τῶν θυομένων ἀπεχόμεθα ζώων, οὕτω δέον, καὶ ἅσα τούτων καρπὸς, εἰς τροφὴν μὴ προσίεσθαι. Τοῦτο καὶ ἐπὶ τῶν τετράδων παρατηρητέον καὶ παρασκευῶν τοῦ ὅλου ἐνιαυτοῦ· τοῖς δὲ παραβαίνουσι, καθαιρέσει ἢ ἀφορισμῷ τιμᾶται, κληρικοῖς οὖσιν, ἢ δημόταις τυχόν. Ἀλλὰ κἀν τούτῳ τοὺς Λατίνους μᾶλλον ἂν ἴδῃς εἰς ἔσχατον ἀφιγμένους παρανομίας, ὥσπερ ἐξεπίτηδες ὁμόσε χωροῦντας τοῖς θείοις κανόσιν· ἐν γὰρ τοῖς σάββασι καὶ ταῖς κυριακαῖς τῆς τεσσαρακοστῆς, οὐ μόνον τυροῦ καὶ ὠῶν, ἀλλά γε καὶ κρεῶν ἅπτονται, οὐχὶ τοῦ δήμου μόνον, ἀλλὰ καὶ τῶν μοναχῶν οἱ ἀσθενῶς δῆθεν τοῦ σώματος ἔχοντες.

B Canon vero 56 contrarium plane Armenorum errorem corrigens, in Sabbatis et Dominicis Quadragesimalibus a caseo et ovis abstinere ipsos præcipit; quod quidem præceptum in universa Dei Ecclesia obtinet. Nam sicuti ab omnibus sacrificatis animalibus temperamus, ita et fructus ipsorum in cibum minime adhibere debemus. Hoc etiam in feriis quartis et sextis per totum annum observare oportet. Qui secus fecerint, depositionis aut excommunicationis pœnam iis intentat, prout clerici fuerint, aut laici. Sed vel hinc videas Latinos ad summam insolentiam pervenisse, tanquam de industria sacris canonibus resistentes, scilicet in Sabbatis et diebus Dominicis per Quadragesimam, non solum caseum et ova, sed etiam carnes comedunt, neque plebeii duntaxat hoc faciunt, sed monachi etiam minus bene valentes.

Ζήτει καὶ ἐν τῷ α' κεφ. τοῦ Β στοιχείου τῆς ἐν Λαοδικείᾳ συνόδου κανόνα με', καὶ ἐν τῷ ζ' κεφ. τοῦ Π στοιχείου κανόνα πθ' νῆς ς' συνόδου.

Quare et in cap. 1 litt. B. syn. Laodicenæ can. 42, et in cap. 7 litt. II concilii sexti can. 89.

Ὁ δὲ τῆς ς' συνόδου νβ' κανὼν, ἐν μὲν ταῖς ἄλλαις τῆς ἁγίας τεσσαρακοστῆς ἡμέραις, οἷα πενθεῖν προστεταγμένον, καὶ νηστεύειν καὶ κατανύσσεσθαι εἰς ἐξίλασμα τῶν οὐ καλῶς ἑκάστῳ βεβιωμένων, τὴν τῶν προηγιασμένων λειτουργίαν κελεύει τελεῖσθαι· ἐν δέ γε τοῖς σάββασι καὶ ταῖς κυριακαῖς αὐτῆς, καὶ τῇ ἁγίᾳ τοῦ Εὐαγγελισμοῦ ἡμέρᾳ, ἐπείπερ ἐν ταύταις νηστεύειν οὐκ ἔννομον, καὶ θυσίαν προσφέρειν, καὶ τελείαν γίνεσθαι λειτουργίαν· τιμῶμεν γὰρ τὴν τοῦ Εὐαγγελισμοῦ ἡμέραν, πανηγυρίζοντες ἐν αὐτῇ, ὡς ἀρχὴν καὶ κεφάλαιον τῆς ἡμῶν σωτηρίας. Ἔοικεν οὖν μίαν εἶναι τὴν τεσσαρακονθήμερον νηστείαν. Εἰ γὰρ καὶ ἑτέρα τοῖς κανόσιν ἐπεγινώσκετο, ὡρίσθη ἂν καὶ ἐν ἐκείνῃ, μὴ τελείαν ἱεροτελεστίαν, ἀλλὰ προηγιασμένην τελεῖσθαι.

C Quare et in cap. 1 litt. B. syn. Laodicenæ can. 42, et in cap. 7 litt. II concilii sexti can. 89.

Rursus canon 52 synodi sextæ, in cæteris quidem Quadragesimæ diebus, scilicet luctui, jejuniis, ac compunctioni destinatis in expiationem uniuscujusque perperam commissorum, officium præsanctificatorum celebrari jubet: attamen in Sabbatis et Dominicis Quadragesimæ, et die sacro Annuntiationis, jejunare haud licet, licet tamen et sacrificium offerre, et perfectam liturgiam peragere. Celebramus enim Annuntiationis diem feriando in ipso, tanquam principium ac caput salutis nostræ. Videtur igitur unicum esse ac simplex Quadragesimale isthoc jejunium. Nam si aliud in canonibus agnosceretur, constitutum esset et in illo non plenarium officirum, sed præsanctificatorum obire.

Διὰ τί ὡς ἐπὶ τὸ πλεῖστον μὲν τρίτην ὥραν τῆς ἡμέρας ἡ θεία τελεῖται λειτουργία· ἔστι δὲ ὅτε καὶ πρὸς ἑσπέραν ἐν ταῖς μεγίσταις τῶν ἑορτῶν.

Quam ob causam ut plurimum tertia hora diei sacra liturgia peragatur: nonnunquam tamen, in maximis puta festis, tempore vespertino.

D Ἀλλὰ γὰρ ζητητέον ἐνταῦθα, τίνος χάριν ἐπὶ μὲν τῶν ἄλλων ἡμερῶν τοῦ ἐνιαυτοῦ, περί που τρίτην ὥραν ἀπὸ τῆς ἕω, νόμος τὴν θείαν τελεῖσθαι μυσταγωγίαν· τῶν δὲ περιφανῶν ἔστιν ἃς ἑορτῶν, καινότερον τρόπον οἱονεὶ πρεσβεύειν οἰόμενοι, τούτων τὴν τελετὴν εἰς τὴν ἑσπέραν ταμιευόμεθα, καὶ μετὰ τὰς ἑσπερίους εὐθὺς ἐπιτελοῦμεν ᾠδάς. Τοιγοῦν τὸ ἔθος κατ' ἐξαίρετον καὶ ἰδίᾳ τετήρηται τῇ ἁγίᾳ καὶ μεγάλῃ πέμπτῃ, τῷ τε ἁγίῳ καὶ μεγάλῳ καὶ σεβασμίῳ σαββάτῳ· πρὸς δὲ, τῇ περιφανεῖ τῆς Χριστοῦ γεννήσεως ἡμέρᾳ, καί γε τῇ λαμπρᾷ καὶ φερωνύμῳ τοῦ θείου φωτὸς, εἴγε μὴ συνέλθοιεν ἡμέ-

Jam vero disquirendum est quade causa, cum in aliis anni diebus circa horam tertiam a solis ortu lex 237 vult sacrum officium celebrari, festorum quorumdam ex usu moderno, quasi peculiari honore digna illa existimantes, officia in vesperam reservamus, et post hymnos vespertinos statim celebramus. Hic autem usus peculiariter ac specialiter observatur in sacra magna feria quinta, et in sacro et magno et venerando Sabbato, tum etiam illustri Nativitatis Christi die, atque etiam in sacro et celeberrimo divini luminis, nisi forte diebus coincidant qui cummi nime patiuntur istorum causa officia sibi eximia inter

mitti. Hisce etiam adde, si placet, et felicem Annuntiationis diem. Quippe consimilis est ratio atque ejus qui præcessit; quia nam hoc ipso Paracletus ad apostolos illustri modo adveniens, et triplex lumen perfectumque perfecte illis demonstrans, nosmet cognomini sacrosanctæ Trinitati hora perfectum ministerium tripersonali Deitati consecrare, per ipsos perspicue docuit. Quamvis enim officii sacri administratio ineffabilis Verbi dispensationem mysterio plenam ostendat: nihilo tamen minus gratiam habemus complacenti æterno ejus Patri, et cooperanti Spiritui vivificanti. Verum in dictis insignibus festis, ea mysteria in profundo abscondita, et conceptum sapientiæ divinæ superantia, subobscure quidem, quasi sciagraphia quadam deteguntur et adumbrantur, ita ut ex ejusmodi, quantum licet, initiatione, nobis detur ad divinum amorem magis erigi et attolli. Quamprimum autem perfecta et summa lux in terris apparuit hominibus tanquam in vespere, fine nimirum sæculorum, diei legis, ut loqui licet, curriculum exitum vidit : Novi vero Testamenti splendor, polytheismi tenebras dissipare primum potuit, quas umbratilis lex multo ante tollere debuerat. Quapropter et Servator noster cum discipulis suis, qui tum quidem accipiebant, et postea ministrabant illud mysterium, communicans, non interdiu, sed in profundo vespere, magnæ puta feriæ quintæ; et ad sacra certamina perungens, atque pariter admonens ab errore recedere animo plane tranquillo, et firmis cogitationibus, minime quidem instar oculorum, quatenus oportuit opera fore meliora, quam secundum veterem legem : Hoc proculum, inquit, Novum miscet Testamentum iis qui pro illo contendunt et dimicant : subinuens adeo per poculum, nunquam fore ut ipsi periculorum et tentationum ad errorem immunes consisterent, vel eum penitus debellarent, cujus instantes eo temporis tenebræ illustre signum erant. Id propter, quantum nobis scire licet, cum in aliis anni diebus hora tertia Eucharistia peragatur, in dictis tamen eximiis diebus, iisque solis, vespertinum tempus ex decreto Patrum observatur. Solebant enim Patres officium Eucharisticum identidem submutare, et per varietatem hanc mysteriorum incomprehensibilitatem perhumaniter nobis ostendere, atque ad unicam, ineffabilem, et supremam cognitionem etiam mirifice manuducere. Imo quidem, juxta Historiam, noctu Virgo Dominum peperit, quod etiam liquet ex illo evangelistæ, « Erant autem pastores, » *etc.* Noctu etiam Dominus a Joanne baptizatus est, ut Spiritus in forma columbæ ad illum accedens, et copioso lumine noctem illustrans, populumque percellens insolito spectaculo, ipsos Deo Servatori attendere moneret et obtestaretur. Præterea noctu Dominus de cœna mystica cum discipulis communicabat; noctu etiam Resur-

A ραις, τῶν οἰκείων οὐκ ἀνεχομέναις διὰ ταύτας ἐκστῆναι πρεσβείων · ταύταις, εἰ βούλει, προστίθει, καὶ τὴν εὐαγῆ τοῦ Εὐαγγελισμοῦ ἡμέραν. Καὶ ἡ μὲν ἐκ τῶν εἰκότων τοῦ προτέρου αἰτία, ὅτι τοὶ ἐν τούτῳ τῆς ἡμέρας ὁ Παράκλητος ἐναργῶς τοῖς ἀποστόλοις ἐπιφοιτήσας, καὶ τὸ τριττὸν φῶς ἤδη καὶ τέλειον τελέως τούτοις μυσταγωγήσας, καὶ ἡμᾶς τῇ ἐπωνύμῳ τῆς θείας Τριάδος ὥρᾳ, τὴν τελείαν καθιεροῦν ἱερουργίαν τῇ τρισυποστάτῳ Θεότητι, δι' αὐτῶν σαφῶς ἐδιδάξατο. Εἰ γὰρ καὶ τῆς θείας ἱερουργίας ἡ τελετὴ τὸ τῆς ἀῤῥήτου οἰκονομίας ὑπογράφει τοῦ Λόγου μυστήριον, ἀλλ' οὐδὲν ἧττον τὴν χάριν ἴσμεν τῷ τε εὐδοκήσαντι ἀνάρχῳ αὐτοῦ Πατρὶ, καὶ τῷ συνεργήσαντι ζωοποιῷ Πνεύματι. Ἐν γε μὴν ταῖς εἰρημέναις ἐπισήμοις ἡμέραις,
B ἕτερ' ἄττα ἐν βάθει κεκαλυμμένα, καὶ ὑπὲρ ἔννοιαν τῆς τοῦ Θεοῦ σοφίας μυστήρια, ἀμυδρῶς πῶς ἡμῖν παραγυμνοῦται σκιαγραφούμενα, ὡς ἂν καὶ ἐκ τῆς τούτων, καθόσον ἐφικτὸν, μυήσεως, πρὸς τὸν θεῖον ἡμῖν ὑπάρξῃ πόθον ἐπὶ πλέον πτεροῦσθαι καὶ ἀνατείνεσθαι. Τοῦ γοῦν τελείου καὶ ἄκρου φωτὸς, ἐπὶ γῆς ὡς ἐν ἑσπέρᾳ τῷ τέλει τῶν αἰώνων τῷ κόσμῳ φανέντος, τέλος μὲν ὁ δρόμος τῆς τοῦ νόμου, ὡς εἰπεῖν, ἡμέρας ἐλάμβανεν · ἡ δὲ τῆς Καινῆς Διαθήκης αὐγὴ τὸν τῆς πολυθέου σκότον κακίας καταλύειν ὑπήρχετο, ὃν ὁ σκιώδης νόμος πολλοῦ γε ἄρα ἔδει περιελεῖν. Ταύτῃ τοι καὶ τοῦ μυστηρίου τούτου τοῖς συλληψομένοις ἤδη καὶ ὑπουργήσουσι μαθηταῖς κοινωνῶν ὁ Σωτὴρ, οὐ μεθ' ἡμέραν, ἀλλ' ἐν ἑσπέρᾳ βαθείᾳ, τῆς μεγάλης πέμπτης φημὶ, καὶ
C πρὸς θείους ἐπαλείφων ἀγῶνας, καὶ ὁμόσε παρακαλῶν τῇ πλάνῃ χωρεῖν, ἀτρεμιζούσῃ καθαρῶς τῇ ψυχῇ, καὶ τοῖς λογισμοῖς ἑστῶσιν, οὐχ ὅπως τοῖς ὀφθαλμοῖς, ὡς ἐντεῦθεν μελλόντων ἔργων ἔσεσθαι κρειττόνων ἢ κατὰ τὸν παλαιὸν νόμον, Τοῦτο τὸ ποτήριον ἡ Καινὴ, φησὶ, κίρνησι Διαθήκη, τοῖς ὑπερμάχοῦσι ταύτης καὶ προασπίζουσιν, ὑπεμφαίνων διὰ τοῦ ποτηρίου, μὴ ἄν ποτε τούτοις ὑπάρξαι, κινδύνων ἄνευ καὶ πειρασμῶν τῆς πλάνης περιγενέσθαι,
D καὶ εἰς τέλος ταύτην καταγωνίσασθαι, ἧς τὸ ἐνιστάμενον τηνικάδε σκότος, σημεῖον περιφανὲς ἦν. Διὰ δὴ ταῦτα, ὅσα ἡμᾶς εἰδέναι καὶ τὸ εἰκὸς ἀπαιτεῖ, ἐπὶ μὲν τῶν ἄλλων ἡμερῶν τοῦ χρόνου, ὥρᾳ τρίτῃ τὰ τῆς θείας τελεῖται ἱερουργίας · κατὰ μέν τοι τὰς δηλωθείσας ἐπέσήμους καὶ μόνον, ἑσπέρα θεσμοῖς Πατέρων τετήρηται · εἰώθασι γὰρ οἱ θεῖοι Πατέρες τὰ τῆς ἱερᾶς ὑπαλλάττειν μυσταγωγίας, καὶ διὰ τῆς ποικιλίας, ἔστιν ἃ τῶν ὑπὲρ ἔννοιαν μυστηρίων, φιλανθρώπως ἡμῖν ὑπεμφαίνειν, καὶ πρὸς τὴν ἐνιαίαν καὶ ὑπέρσοφον ἐντεῦθεν γνῶσιν, οὐχ ἧκιστά θαυμασίως χειραγωγεῖν. Καὶ κατὰ τὴν ἱστορίαν (1) δὲ, νύκτὸς ἡ Παρθένος τὸν Κύριον τέτοκε · καὶ δῆλον ἐξ ὧν ὁ Εὐαγγελιστὴς φησιν, ὡς καὶ ποιμένες ἦσαν, καὶ τὰ ἑξῆς · νυκτὸς δὲ ὁ Κύριος πρὸς τοῦ Ἰωάννου ἐβαπτίσατο, ἵνα τὸ Πνεῦμα ἐν εἴδει περιστερᾶς πρὸς αὐτὸν ἐρχόμενον, δαψιλεῖ τῷ φωτὶ τὴν νύκτα περιαυγάσαν, καὶ τὸν λαὸν ἐκπλῆξαν τῷ

(1) Καὶ κατὰ τὴν ἱστορίαν... ἐδέξατο. Monet editor Asthensis hæc in condicibus mss. quos inspicere potuit deesse.

ἀσυνήθει τῆς θέας, οἷα Θεῷ τῷ Σωτῆρι προσέχειν τούτοις διαμαρτύρηται· νυκτὸς δὲ δὲ τοῦ μυστικοῦ δείπνου ὁ Κύριος κεκοινώνηκε· νυκτὸς δὲ καὶ ἡ σωτήριος Ἀνάστασις γεγένηται· νυκτὸς καὶ ἡ Παρθένος πρὸς τοῦ Γαβριὴλ τὸν ἀσπασμὸν τὸν ξένον ἐδέξατο.

A rectio salutaris contigit; noctu denique Virgo a Gabriele miram illam salutationem retulit.

Καὶ ὁ τῆς ἐν Λαοδικείᾳ δὲ μθ' κατὰ τὴν τεσσαρακονθήμερον ταύτην ἄρτον προσφέρειν, ἤτοι τελείαν ποιεῖν ἱεροτελεστίαν οὐκ οἴεται δεῖν, εἰ μὴ ἐν τοῖς ταύτης σάββασι καὶ κυριακαῖς.

238 Atque Canon 49 concilii Laodiceni haud æquum existimat tempore quadragesimali aut panem offerri, aut perfectam liturgiam peragi, præterquam in Sabbatis et Dominicis.

Ὁ δὲ να' μήτε ἐν ταῖς μνήμαις, μήσε ἐν τοῖς γενεθλίοις τῶν ἁγίων μαρτύρων, καθ' ὅλην τὴν τεσσαρακοστὴν, διὰ τελείας θυσίας ἐπιτάττει πανηγυρίζειν, εἰ μήπου συνέλθοιεν ἡμέρᾳ σαββάτου ἢ κυριακῆς· καὶ εἰ τῶν μαρτύρων τὰς μνήμας ἀθέμιτον ἐν ἡμέραις νηστίμοις ἐπιτελεῖν, σχολῇ γε δή που τῶν ἄλλως ἀποιχομένων, εἰ μὴ ἐν σαββάτῳ καὶ μόνῳ.

Canon etiam 51 neque in memoriis, neque natalitus sanctorum martyrum, per totam quadragesimam, perfectum sacrificium celebrari præcipit: nisi forte cum Sabbato aut die Dominica coiucidant. Haudquaquam vero si licet in diebus jejunii vel martyrum memorias celebrare, eo minus e vita discedentium licet, nisi die Sabbati, eoque solo.

Ὁ δὲ νβ' οὐδὲ γάμους, οὐδὲ γενέθλια τελεῖν ἐν τῇ τεσσαρακοστῇ συγχωρεῖ.

Proximus autem canon neque nuptias neque natalitia in Quadragesima celebrare permittit.

Ὅπως ἀποδεκάτωσις τοῦ ὅλου χρόνου ἡ τεσσαρακοστὴ λέγεται, καὶ διὰ ποίας αἰτίας τελεῖται ὅσα ἐν αὐτῇ τελεῖται.

Quanam ratione Quadragesima decima pars totius anni appellatur, et quas ob causas ea peraguntur, quæ in ipsa observari solent.

Ἀλλὰ γὰρ καλὸν ἄν εἴη καὶ τὰς τούτων αἰτίας, ὡς οἷόν τε, δῆλας θεῖναι τοῖς ἀγνοοῦσιν· ἄγνωμον γὰρ ἐκείνων φθονῆσαι τοῖς βαθυτέρας ἐφιεμένοις γνώσεως, ἃ τοὺς πολλοὺς ῥᾳθυμίᾳ διαπέφευγε γνώμης.

Verumtamen haud injucundum fuerit et istarum rerum causas, his qui ignorant, quantum licet patefacere. Inscitum enim est ea invidere profundiori scientias imbutos; quæ plerosque præ sua ignavia fugiunt.

Ἅπας ὁ παλαιὸς νόμος τοῖς ὁρατοῖς ἐκπαιδεύειν εἰώθει τὴν τῶν ἀοράτων κατάστασιν, καὶ τοῖς σωματικοῖς τῶν πνευματικῶν πραγματεύεσθαι τὴν διόρθωσιν· πρὸς δὲ τοῖς ἄλλοις, καὶ τὰς τῶν ὑπαρχόντων δεκάτας τῷ Θεῷ καθιεροῦν ἐτησίως τοῖς παλαιοῖς προσετέτακτο· τὰ δὲ τυπικῶς παρ' ἐκείνοις τελούμενα μυστικῶς ἡμῖν ἐκλαμβάνεται. Ἡ οὖν θεία τῶν ἀποστόλων λογὰς, μὴ καταλύειν, ἀλλ' ἀναπληροῦν κάν τούτῳ τὸ ἐνδέον ἐγνωκότες τοῦ νόμου, οὐ τῶν ἐπικαίρων πραγμάτων, ἀλλὰ τῶν ἡμερῶν τῆς ζωῆς ἡμῶν ἑκάστης τοῦ ἐνιαυτοῦ περιτροπῆς, τὰς δεκάτας καθιερῶν τῷ Θεῷ τεθεσπίκασιν, ὡς ἂν διὰ τῆς ἐν αὐταῖς σπουδῆς καὶ θερμοτέρας μετανοίας, τὰ παρ' ὅλον τὸν ἐνιαυτὸν τῆς ψυχῆς ἀῤῥωσυήματα, σὺν Θεῷ βοηθῷ, δυνηθείημεν ἐξιάσασθαι· τὸ δέκατον δὲ τοῦ ἐνταῦτοῦ, τὰς τῶν νηστειῶν ταύτας ἡμέρας εἶναί φαμεν. Αἱ γὰρ ἑπτὰ τούτων ἑβδομάδες, χωρὶς τῶν σαββάτων καὶ κυριακῶν, ἡμέραι γίνονται πέντε πρὸς ταῖς τριάκοντα· προστιθεμένου δὲ καὶ τοῦ μεγάλου σαββάτου, καὶ τοῦ ἡμίσεος τῆς λαμπρᾶς καὶ φωτοειδοῦς νυκτὸς, ἡμέραι γίνονται λς' καὶ ἡμίσια, τὸ ι' ἀκριβῶς οὖσαι τῶν τξε' τοῦ ἐνιαυτοῦ ἡμερῶν. Τῶν γὰρ τριακοσίων τὸ δέκατον, τὰ τριακοντα, καὶ τῶν ξ' τὰ ς', καὶ τῶν ε' τὸ ἥμισυ, Ἀλλὰ καὶ ἕτερόν τι μυστικὸν ἐμφαίνει θεώρημα ὁ τριακοστὸς ἕκτος οὗτος ἀριθμός· τρίγωνον γὰρ ὄντα φασὶν οἱ περὶ ταῦτα ἐσχολακότες, καὶ εἰς σχῆμα τετραγώνου καὶ κύκλου μεταβάλλειν. Ὁ γὰρ μόνος τέλειος ἐν μονάσιν ἕκτος ἀριθμὸς, πρὸς αὐτὸν αὐτὸς πολυπλασιαζόμενος, τοῦτον τοιοῦτον ἀπογεννᾷ. Διὰ μὲν οὖν τοῦ τριγώνου, ἡ τρισυπόστατος θεαρχία δηλοῦται, διὰ δὲ τοῦ τετραγώνου, ἡ πρὸς αὐτὴν ὀρθὴ πίστις καὶ πάγιος· ἑδραῖον γὰρ καὶ ἀεὶ ὡσαύτως

Universa lex vetus visibilibus solita est rerum invisibilium naturam edocere, et corporeis spiritualium constitutionem præstare et exhibere. Inter alia decimas facultatum Deo consecrare quotannis priscis imperatum. Quæ vero ab illis typice peracta erant, a nobis mystice accipiuntur. Quocirca divinum decus apostoli non dissolvere quidem, sed supplere hoc ipso volentes defectum legis, decreverunt non cujusvis tempestatis fructus, sed vitæ nostræ cujuslibet annui decursus decimas Deo consecrare; adeo ut per exercitationem in istis et pœnitentiam acriorem, infirmitates animæ per totum annum, adjuvante Deo, sanare possimus. Decimam autem anni partem hosce jejunii dies conficere asserimus. Quippe septem horum septimanæ, omissis Sabbatis et Dominicis, conflunt dies 35, addito vero magno Sabbato, et dimidia parte insignis et splendidæ noctis, colliguntur dies 36 cum semisse; qui exacte constituunt decimam partem 365 dierum unius anni. Nam decima pars 300 est 30, atque 60 6, et 5 semissis. Quin imo et aliam mysticam notionem innuit numerus iste 36. Triangularem enim numerum esse dicunt harum rerum periti, et transmutari in quadratum et in circulum. Nam senarius, qui solus inter numeros monadicos perfectus est, in sese ductus procreat dictum numerum 36. Quare per triangulum divina essentia sub tribus personis ostenditur, per quadratum recta in Trinitatem fides et firma. Stabilis enim est et eodem modo semper consistens figura quadrata, paribus laterum angulis fulta. Circulus vero indicat virtutum inter se circularem nexum. Quoniam enim hæc ad Deum

pertinent, recta scilicet circa Deitatem notio, et mandatorum observatio, monet te numerus ille etiam in fide sanctæ Trinitatis firmum et stabilem esse, et virtutum circulum haud obiter ponere: verum etiam utraque tanquam primitias totius anni Deo offerre, præsertim tempore jejunii Hostis igitur et adversarius qui salutem cœlitus concessam nobis invidet, videns nos pluris facientes virtutem, quam valde varias vitii species, et instrumenta ipsius quæ in nobis sunt, tanquam animæ pestem ejicere conantes, arma adversum nos sumit cum insolenti præparatione, et tanquam defectores reducere tentat, et quasi fugitivos persuadere cupit ut ipsi nos **239** submittamus, atque frena non excutiamus, neque pravis moribus abrenuntiemus, sed assuetis affectibus indulgeamus. Solet enim ut plurimum iniquus ille eos qui a passionibus liberari summo pere student, ferocius aggredi, et vehementiorem affectuum flammam accendere, seipsum contra eos totis viribus opponens, ut animæ fortitudinem tentationum volentia vincat; quod et Deus fieri permittit, ut probi fiant manifesti, et fortissimos ipsa colluctatio ostendat, atque etiam humiles nos gerere discamus, neque in nobismet fiduciam ponere, malumque penitus aversemur, quando plane compertam habeamus naturam ejus perniciosam et fallacem et impetuosam. Est autem insigne malignitatis iniqui exemplum etiam Pharao ille, qui olim Israelem subditum tenuit; iste enim Israelem suam diuturnam servitutem ægre tolerantem, et liberari cupientem, eo gravioribus laboribus afflixit, et lateribus parandis incurvum fecit imaginem præferre servitutis Satanicæ. Et iste pariter nos in terram et terrena inhiare cogit, et totum animum istis adjungere, cum omnibus una sensibus tam externis quam internis, et ad res insensibiles minime eum erigere. Pharao quidem tributariam sibi ac subjectam habuit Ægyptum, quæ interpretanti est tenebræ: ita et hic intellectualium princeps appellatur tenebrarum. Illi curæ erat filios masculos perdere, et huic etiam potiores cogitationes: quare et Rex noster Christus, ubi nos erudit ad bellum cum eo gerendum, et concertandi rationem bene disponit, jejunio nos armat et oratione, et cordis compunctione. Nam istorum contraria accendere solent dæmonum rabiem non minus quam oleosa ignem; et sic ille nos jubet adversus hostes contendere, qui ipse est dux, et defensor protegens, et cum luctantibus una pugnans, ipse vincens, et Præmium tamen nobis donans. Quanta est judiciorum tuorum abyssus omnem admirationem nostram superans, Domine Creator! Sicut igitur milites diem præliando insumentes, circa vesperam dispersi cibum quærunt, parantes ex spoliis tumultuariam mensam ne vires eorum penitus deficiant, quoniam postmodo alterum impetum in Barbaros facere cupiunt: nam boves genio sacrificare, et se saginare milites non decet,

A ἐστὼς τὸ σχῆμα τοῦ τετραγώνου, ταῖς ἰσομέτροις γωνίαις τῶν πλετρῶν ἐρειδόμενον· ὁ δὲ κύκλος τῶν ἀρετῶν ἐμφαίνει τὴν πρὸς ἑαυτὰς κυκλικὴν περίοδον. Ἐπειδή γὰρ ταῦτα προσοικειοῖ τῷ Θεῷ, ἥ τε ὀρθὴ περὶ τὸ Θεῖον ὑπόληψις, καὶ ἡ τῶν ἐντολῶν τήρησις, διδάσκει σε ὁ ἀριθμὸς καὶ ἐν τῇ πίστει τῆς ἁγίας Τριάδος ἑδραῖον εἶναι καὶ ἀμετάθετον, καὶ τὸν κύκλον τῶν ἀρετῶν μὴ ἐν παρέργῳ τιθέναι, ἀλλὰ καὶ ἀμφότερα ὡς ἀπαρχὴν τοῦ ὅλου ἑνιαυτοῦ πρόσκομίζειν Θεῷ, ἐν τῷ τῆς νηστείας μάλιστα καιρῷ. Ὁ τοίνυν τῆς σωτηρίας ἡμῶν ἄνωθεν βασκαίνων ἐχθρὸς καὶ πολέμιος, ὁρῶν ἡμᾶς περὶ πλείονος τὴν ἀρετὴν ποιουμένους, τῶν τῆς κακίας εἰδῶν ὄντων πλειόνων, καὶ τὰ ἐν ἡμῖν αὐτοῦ σκεύη ὡς λύμην ψυχῆς ἄντικρυς ἐκβάλλειν διεγερθέντας, τὰ ὅπλα B καθ' ἡμῶν αἴρει μεθ' ὑπερηφάνου παρασκευῆς, καὶ οἷα φυγάδας ἐπαναγειν πειρᾶται, καὶ ὡς δραπετευόντων ἀντιλαμβάνεται, ὑπείκειν αὐτῷ κελεύων καὶ μὴ ἀφηνιᾷν, μηδὲ ταῖς πονηραῖς ἀποτάττεσθαι συνηθείαις, ἀλλὰ τοῖς εἰωθόσιν ἐγκαλινδοῦσθαι πάθεσεν. Φιλεῖ γὰρ ὡς ἐπίπαν ὁ πονηρὸς, τοῖς ἐπειγομένοις τῶν παθῶν ἐλευθερωθῆναι, μανικώτερον ἐπιτίθεσθαι, καὶ σφοδροτέραν τῶν παθῶν ὑπανάπτειν τὴν φλόγα, ἐκτὸν τοῖς ὅλοις ἀντιτιθεὶς, ἵνα ψυχῆς ἀνδρίαν πειρασμῶν κρατήσῃ περιουσίᾳ, τοῦ Θεοῦ τοῦτο συγχωροῦντος, ὅπως οἱ δόκιμοι φανεροὶ γένωνται, καὶ δείξῃ τοὺς ἀρίστους ἡ πάλη, καὶ ταπεινοφρονεῖν διδαχθῶμεν, καὶ ἡμῖν αὐτοῖς μὴ θαῤῥεῖν, καὶ τὴν κακίαν τελέως μισήσωμεν, ἐναργέστερον καταγνόντες αὐτῆς τὸ φονικὸν ὁμοῦ καὶ ἀπατηλὸν καὶ ἐξάγιστον. Ἐναργὴς δὲ τῆς τοῦ πονηροῦ σκαιό- C τητος εἰκὼν, καὶ ὁ πάλαι τὸν Ἰσραὴλ ὑποχείριον ἐσχηκὼς Φαραώ· τοῦτον γὰρ κἀκεῖνος παραπλησίως τῇ χρονίῳ δυσχεράναντα δουλείᾳ, καὶ τὴν ἐλευθερίαν ποθοῦντα τοῖς χαλεπωτέροις τῶν ἔργων τηνικαῦτα μᾶλλον ἐξέθλιβε, καὶ τῇ πλινθουργίᾳ συγκεκυφότα, τὸ τῆς δουλείας εἰσάπαν παρεσκεύαζε σχῆμα δεικνύναι. Ὡς δὲ καὶ οὗτος πρὸς τὴν γὴν ἡμᾶς καὶ τὰ γήϊνα συνωθεῖ κεχηνέναι, καὶ τούτοις ὅλον προσέχειν τὸν νοῦν, σὺν πάσαις ὁμοῦ ταῖς ὁρωμέναις καὶ νοουμέναισ αἰσθήσεσι, καὶ πρὸς τὰ ὑπὲρ αἴσθησιν ὅλως μὴ ἀνανεύειν, ὑπόφορον ἐκεῖνος εἶχε τὴν Αἴγυπτον, ἥτις ἑρμηνεύεται σκότος· ἄρχων καὶ οὗτος τοῦ νοητοῦ προσηγόρευται σκότους, ἐκείνῳ διὰ σπουδῆς ἦν τῶν παίδων φθείρειν τὰ ἄῤῥενα, καὶ τούτῳ τοὺς ἐῤῥωμένους τῶν λογισμῶν. Ταύτῃ τοι καὶ ὁ βασιλεὺς D ἡμῶν Χριστὸς, τὸν πρὸς αὐτὸν πόλεμον ἡμᾶς ἐκπαιδεύων, καὶ τὴν ἀγωνίαν εὖ μάλα διατιθέμενος, νηστείᾳ καθοπλίζει καὶ προσευχῇ, καὶ κατανύξει καρδίας (τὰ γὰρ ἐναντία τούτων ἐξάπτειν καθ' ἡμῶν τὴν τῶν δαιμόνων πέφυκε λύτταν, οὐχ ἧττον ἢ ὰ ἐλαιώδη τὸ πῦρ), καὶ οὕτω τοῖς πολεμίοις ὁμόσε χωρεῖν ἐπιτρέπει, αὐτὸς στρατηγῶν, αὐτὸς ὑπερμαχῶν, προασπίζων, προπολεμῶν, τοὺς ἀντιπάλους αὐτὸς νικῶν, καὶ τὸ βραβεῖον ἡμῖν χαριζόμενος. Ὦ σου τῶν κριμάτων ἡ ἄβυσσος! μειζόνων ἢ καθ' ἡμᾶς θαυμάσαι πραγμάτων, δημιουργὲ Κύριε. Καθάπερ οὖν οἱ στρατιῶται, διημερεύοντες ἐν τῇ μάχῃ, μόλις πρὸς ἑσπέραν διακριθέντες τροφῆς μέμνηνται, σχέ-

διον ἐξ ἐώλων βρωμάτων ἀπρατιθέμενοι τράπεζαν, πρὸς τὸ μὴ παντάπασι τὰς αὐτῶν ἐξασθενῆσαι δυνάμεις, ἐπεὶ καὶ μέλλουσιν αὖθις τῆς ὑστεραίας ὁμόσε τοῖς βαρβάροις ἰέναι (βουθυτεῖν γὰρ ἢ σφαγιάζειν τοῖς πολεμοῦσιν οὐκ ἔξεστιν, ὅπερ τοῖς ἐπ' ἀδείας πανηγυρίζουσιν ἴδιον), οὕτω καὶ ἡμεῖς τὸ καινὸν ἡμῶν σφάγιον θύοντες σαββάτου καὶ κυριακῆς, ἡνίκα τοῦ τόνου τῆς πολλῆς ὑποχαλῶμεν ἀσκήσεως, ἐξ ἐκείνων τῶν προτεθυμένων καὶ προηγιασμένων μερίδων, ὅσον ἀποζῆν πρὸς ἑσπέραν σιτούμεθα, νόμῳ πενθούντων καὶ πολεμούντων ὁμοῦ· μὰλλόν γε μὴν τῶν ἁγίων ἐκείνων μεταλαμβάνοντες σαρκῶν, νευρούμεθα, πρὸς τὸ τοῖς ἐχθροῖς αὖθις εἰς χεῖρας ἐρρώμενως ἰέναι· πνευματικῷ γὰρ ὀπκίτῃ πνευματικὴ τροφὴ, σύστασις· διὰ δὴ τοῦτο μυστικώτερον πρὸς ἑσπέραν, τὴν τῶν προηγιασμένων τελεῖν ἐπιτετράμμεθα λειτουργίαν.

A quod solemne eis qui ex voluptate feriantur, ita et nos novum nostrum sacrificium mactantes Sabbato et Dominica, quando laxamus paululum nervos severæ exercitationis, ex illis præmactatis et præsanctificatis patribus quantum parce victitantibus satis, circa vesperam sumimus, pro conditione lugentium atque simul pugnantium : seu potius sacras illas carnes accipientes corroboramur ad validum impetum in hostes faciendum. Militi enim spirituali victus etiam spiritualis convenit (puta tolerantia.) Quamobrem nobis mystice quidem tempore vespertino præsanctificatorum officium celebrare imperatur.

Ὅπως οὐ τελεῖται μνημόσυνον τῶν ἀποιχομένων ἐν τῇ τεσσαρακοστῇ, εἰ μὴ τὸ σάββατον.

B *Quod non celebranda sit defunctorum memoria in tempore Quadragesimali, nisi diebus Sabbatinis.*

Πάλιν οἱ πρὸς μάχας ἔχοντες, περὶ τῇ ψυχῇ δεδιότες, καὶ τὸν ὑπὲρ αὐτῆς θέοντες, ὁσίαις αὐτίκα τιμᾶν εἴργονται, τοὺς ἔργον μαχαίρας γεγενημένους, καὶ εἰ τῶν τιμιωτάτων ἢ φιλτάτων αὐτοῖς ὄντες τυγχάνοιεν, τοῦ πάθους κρείττονος ὄντος, ἢ κατ' ἀναίρεσιν τῶν νεκρῶν, μὴ ἄρα τοῦ πολέμου πανταχῇ περιῤῥέοντος, καὶ τοῦ κινδύνου ἐπηρτημένου, τῇ περὶ τὸν κείμενον, ἀσχολίᾳ καιρίων βληθῶσι, καὶ τῷ νεκρῷ συγκατενεχθῶσι. Πρὸς τὴν νοητὴν οὖν καὶ ἡμᾶς τῶν νεκρούντων παθῶν παρατταττομένους μάχην, αὐτὰ θάπτειν ἀνάγκη πειρᾶσθαι, οὐ τῶν σώμασιν ἀπογινομένων ταῖς μνήμαις προσέχειν τὸν νοῦν, ὡς τὸ τοῦ Κυρίου ἐπίταγμα· ἐκεῖνοι πεπαυμένοι τοῦ πολεμεῖν, πρὸς τὴν ἀναίρεσιν τῶν ἐσφαγμένων, καὶ τὰς C νενομισμένας ποιοῦνται ταφάς· καὶ ἡμεῖς τοῦ συντόνου μεθέμενοι τῆς νηστείας ἐν ταῖς ἱλαρωτέραις τῶν ἡμερῶν, τῶν ἐν ταῖς μνήμαις τῶν ἀποιχομένων μεμνήμεθα τελετῶν.

Rursus : Ii qui in acie versantur, animæ timentes in pro ipsa contendentes, a justis illorum celebrandis prohibentur qui ense verberati ceciderunt, quamvis ex optimis fuerint et charissimis ipsorum amicis, ne videlicet in efferendo occupati, adhuc bello undique ingruente et imminente periculo, propter cadaverum curam lethaliter feriantur, et cum jam defuncto una efferantur Pariterque nosmet oportet, qui 240 aciem intellectualem instruimus advereus mortiferos affectus, moliri ut ipsos sepeliamus, non tantum attendentes memoriæ illorum qui a corpore recesserunt, quam mandato Domini. Illi quidem cessantes a bello, circa exsequias justaque interfectorum satagunt ; et nos sane defuncti rigore jejunii in diebus maxime festivis officia memoriis sanctorum debita persolvimus.

Ὅπως γάμοι καὶ ἄλλαι τινὲς τοιαῦται πανηγύρεις ἐν τῇ μ' οὐ τελοῦνται.

Quod nuptiæ et aliæ istiusmodi solemnitates in Quadragesima minime celebrandæ sint.

Τί δὲ γάμων μέλλει καὶ ὑμεναίων τοῖς ὄρου κινοῦσιν, ἢ ἑορταῖς ἐφεῖται χαίρειν καὶ πανηγύρεσι ; Πολλοῦ γε καὶ δεῖ· οὐ δῆτα οὐδ' ἡμῖν ἐν τῇ πρὸς τοὺς δαίμονας πάλῃ, τοιούτου τινὸς μέλλειν ἀσφαλὲς καὶ καθῆκον.

Quid nuptias et epithalamia curare debent, qui arma gerunt? an illis permittitur festis ac ludis indulgere ? Minime quidem : neque etiam nobis tutum aut decens in certamine cum dæmonibus, istarum rerum curam ullam habere.

Περὶ τοῦ θαύματος τοῦ διὰ κολλύβων τοῦ ἁγίου Θεοδώρου.

De miraculo frumenti cocti per S. Theodorum.

Εἰ γὰρ μαρτύρων μνήμας ἐξῆν ἐν τοῖς τοιούτοις ἑορτάζειν καιροῖς, παντὸς μᾶλλον ἔδει τοῦ καλὸν ἐν μάρτυσι λάμποντος Θεοδώρου τοῦ Τήρωνος, ἐν τῇ πρώτῃ τῶν νηστειῶν ἡμέρᾳ τελεῖν, καθ' ἣν τὸ μηδενὸς ἔλαττον εἰς θαύματος λόγον θαῦμα πεποίηκεν, ἐλέγξας τοῦ παραβάτου σὴν κεκρυμμένην σκαιότητα, καὶ μὴ χρανθῆναι τὸν λαὸν τοῖς ἠλογισμένοις βρώμασιν ἐν ταῖς νηστίμοις ἡμέραις παρασκευάσας, ἀλλ' ἐπισκήψας τῷ τότε ἀρχιερεῖ, τοὺς μὲν κατ' ἀγορὰν εἰς ὠνὴν προκειμένους ἄρτους, χαίρειν ἐᾷν, σῖτον δὲ ἕψειν, καὶ τούτῳ χρωμένους, τὴν τῆς φύσεως ἀνάγκην παραμυθεῖσθαι· ὃ καὶ πεποιηκότες, τὴν ἐπιβουλὴν ἐφυλάξαντο, ἵνα μὴ τῆς ἀρετῆς ἡ κακία κατακαυχήσηται, καὶ τῆς εὐσεβείας ἡ δυσσέβεια

D Quippe si memorias celebrare in illis temporibus licuerit, maxime illam oportebat Theodori Tironis martyris percelebris primo die jejuniorum recolere, ubi nihil minus quam miraculum fecit redarguens apostatæ celatamnequitiam, et populo persuadens pollutis cibis in diebus jejunii neutiquam contaminari, atque adeo admonens episcopum, qui tum præfuit, ut panes qui in foro venum exponebantur, nullum tangere frumentum autem coquere, atque eo vescentes naturæ exigentiæ succurrere ; quod ipsi fecerunt adeoque periculum evaserunt, ne forte malitia adversus virtutem gloriaretur, et impietas pietatem superaret. Quoniam autem et jejunii austeritas, et festi hilaritas in Sabbatum

proxime sequens coincidebant, ex Patrum institutis mos iste merito obtinuit, eleemosynam festivitate cohonestandi.

Quamobrem ante Quadragesimam memoriam celebramus omnium in fide defunctorum, et sanctorum Patrum.

Idcirco ante initium jejunii, Sabbatum post diem Cinerum, omnibus defunctis, atque Sabbatum proxime sequens, sanctis Patribus solemni memoriæ consecrabantur, tanquam conclusio, ut loqui licet, istiusmodi festivitatum, cum nobis haud amplius vacet, jam ad certamina spiritualia prodeuntibus, ad ista attendere.

Quare rursus post Pentecosten, sanctorum omnium memoria celebratur.

Solemne est militibus post devictos Barbaros, tropæum erigere, et ferre opima imperatori, atque tum ad sepulturam mortuorum se accingere. Pariterque nobis curæ est, post spirituale bellum in jejunio, et resurrectionis victoriam tropæum in Pentecoste figere, et epinicia Christo, per quem vincimus, canere, atque ita defunctis debitum officium persolvere post completam Pentecosten, et post dies septem omnium sanctorum festivitatem celebrare, primitias quasi offerentes festorum et memoriarum insequentium. Verum in festis Dominicis defunctorum memorias facere, non est pium, neque decet martyrum obitus celebrare; nam quando epinicia regia personant, neque ritus vult lugere eos qui in bello ceciderunt, neque tropæis Dominicis servilem virtutem commiscere. **241** Nam quæ sunt Domini (ejus scilicet qui præmia dispensat, et vincentes coronat), cum servilibus permisceri justissimum et æquissimum; servilia autem Dominicis adjungere, audax et insulsum, nisi forte nonnullorum sanctorum propter eximiam in certando virtutem.

Rursus et alio modo considerare licet ritum hunc Quadragesimalem; nimirum totos 48 dies jejunii agere illo tempore jubemur. Quadraginta quidem ad exemplum jejunii Christi, quo instructus, quoad naturam humanam, nostrum hostem subegit. Sequentes autem octo, ad imitationem salutarium ejus passionum. Atque hi quidem contemplationem animumque nostrum accendunt, et ad octavum et interminabilem diem erigunt, nos reddentes filios lucis, et amorem filiis convenientem cum pietate ferentes. Illi verono passionibus nostris superiores præstant, et corpore atque terrenis nos levant, et timorem originalem cientes accendunt, qui carnificis adinstar conscientiam nostram delictorum recordatione, et pœnarum taliter vitam trahentibus debitarum compungit. Quoniam vero Quadragesima quatuor decadibus constat, jam consideranda venit pars quarta, seu tetras, ut sese habet, tam in monadibus quam in decadibus. Sumitur quidem ut plurimum in sacro codice pro malo et pœna: et aliquando rerum di-

A περιγένηται· ἀλλ' ἐπειδὴ τῷ τῆς νηστείας σκυθρωπῷ, τὸ γεγανωμένον τῆς ἑορτῆς οὐ συνέβαινε, τῷ ἐπιόντι πρώτῳ σαββάτῳ τὴν εὐποιΐαν πανηγύρει τιμᾷν, ἄριστα θεσμοῖς Πατέρων ἐταμιεύθη.

Διὰ τί πρὸ τῆς τεσσαρακοστῆς μνήμην τελοῦμεν πάντων τῶν πίστει κεκοιμημένων, καὶ τῶν ἁγίων Πατέρων.

Διά τοι τοῦτο πρὸ τῆς εἰσόδου τῶν νηστειῶν, τὸ τῆς ἀπόκρεω σάββατον, τοῖς ἀπ' αἰῶνος κεκοιμημένοις, τὸ δέ γε μετὰ τοῦτο, τοῖς ἁγίοις πᾶσι μνήμη δημοτελὴς ἀφωσίωται· συμπέρασμα ὡς ἂν εἴποι τις τῶν ἐπὶ τούτοις τελετῶν, ὡς μὴ σχολὴ ἐχόντων ἡμῶν πρὸς ἀγῶνας ἤδη χωρούντων πνευματικούς, τοιούτοις προσανέχειν.

Διὰ τί δὲ πάλιν μετὰ τὴν Πεντηκοστὴν, τῶν ἁγίων πάντων.

B Προὔργου τοῖς στρατιώταις μετὰ τὴν τῶν βαρβάρων ἧτταν, τρόπαιον στῆσαι, καὶ ἐξελεῖν ἀριστεῖα τῷ βασιλεῖ, εἶθ' οὕτως ἐπὶ τὰς τῶν ἀναιρεθέντων ἰέναι ταφάς· καὶ ἡμῖν ἐπιμελὲς, μετὰ τὸν ἐν νηστείᾳ νοητὸν πόλεμον, καὶ τὴν νίκην τῆς Ἀναστάσεως, τρόπαιον τῇ Πεντηκοστῇ στῆσαι, καὶ τῷ νικοποιῷ Χριστῷ ᾆσαι τὰ ἐπινίκια, καὶ οὕτω τοῖς κειμένοις τὸ χρέος ἀφοσιοῦν, μετὰ τὴν συμπλήρωσιν τῆς Πεντηκοστῆς, καὶ μεθ' ἡμέρας ἑπτὰ τῶν ἁγίων πάντων πανήγυριν ἐπιτελεῖν, ἀπαρχὴν ὡσανεὶ ποιουμένους τῶν ἐφεξῆς ἑορτῶν τε καὶ μνημοσύνων. Ἀλλ' οὐδ' ἐν ἑορταῖς δεσποτικαῖς ἀποιχομένων μνημόσυνα ποιεῖν ὅσιον, ἢ μνήμας μαρτύρων ἐπιτελεῖν εὐπρεπές· βασιλικῶν γὰρ τελουμένων ἐπινικίων, οὔτε τοὺς πεσόντας ἐν μάχῃ νόμος πενθεῖν, C οὔτε δεσποτικοῖς τροπαίοις δουλικὰς ἀριστείας ἀναμιγνύναι· τοῖς μὲν γὰρ δουλικοῖς ἀναμεμίχθαι τὰ τοῦ Δεσπότου, τῶν ἐννομωτάτων τε καὶ δικαιωτάτων, ἀθλοθετοῦντός τε καὶ στεφανοῦντος νικήσαντας· τὰ δουλικὰ δὲ τοῖς δεσποτικοῖς ἐπεισάγειν, τολμηρὸν καὶ ἀνόητον, εἴ μήπου τινῶν ἁγίων, διὰ τὸ περιφανὲς τῆς ἀθλήσεως.

Αὖθις γε μὴν καὶ καθ' ἕτερον τρόπον τὰ τῆς νηστείας ταύτης θεωρητέον. Ἡμέρας τὸ σύμπαν εἰπεῖν τεσσαράκοντα καὶ ὀκτὼ νηστείαν ἄγειν ἐν τούτῳ τοῦ καιροῦ προστετάγμεθα· τὰς μὲν τεσσαράκοντα, καθ' ἱστορίαν τῆς τοῦ Κυρίου νηστείας, ᾗ φραξάμενος κατὰ τὸ ἀνθρώπινον, τὸν ἡμέτερον εἶλε πολέμιον· τὰς δ' ἑπομένας ταύτας ὀκτὼ, κατ' εὐλάβειαν τῶν σωτηρίων αὐτοῦ παθημάτων· ἀλλ' αἱ μὲν, τὸ θεωD ρητικὸν ἡμῶν ἀνάπτουσι, καὶ πρὸς τὴν μέλλουσαν ὀγδόην καὶ ἀπατάλῃπτον ἀναπτεροῦσιν ἡμέραν, φωτὸς υἱοὺς καθιστᾶσαι, καὶ τὴν υἱέσι πρέπουσαν ἀγάπην σὺν εὐλαβείᾳ πορίζουσαι· αἱ δὲ, τῶν παθῶν ἡμᾶς περιεῖναι ποιοῦσι, καὶ τοῦ σώματος, καὶ τῶν γηΐνων κουφίζουσι, καὶ ἀπανιστᾶσι τὸν στοιχειωτικὸν ἐντιθεῖσαι φόβον, δημίου δίκην τὸ συνειδὸς ἡμῶν στίζοντα τῇ μνήμῃ τῶν ἐπταισμένων, καὶ τῶν ἐπηρτημένων τοῖς οὕτω βιοῦσι κολάσεων, κατὰ τὸ φάσκον λόγιον, Τῷ φόβῳ Κυρίου ἐκκλίνει πᾶς ἀπὸ κακοῦ. Ἐπεὶ δὲ ἡ τεσσαρακοστὴ ἐκ δεκάδων σύγκειται πάντως τεσσάρων, αὐτὴν ἤδη τὴν τετράδα θεωρητέον, ὅπως εἴτε ἐν μονάσιν, εἴτε ἐν δεκάσιν εὑρί-

σκεται. Ἐπὶ κακώσεως μὲν ὡς ἐπίπαν καὶ τιμωρίας λαμβάνεται παρὰ τῇ Γραφῇ· ἐνιαχοῦ δὲ καὶ θείων ἐκβάσεις ὑπογράφει πραγμάτων· ἡμέρας καὶ γὰρ μ' καὶ νύκτας ἴσας ὄντος τοῦ Θεοῦ, ὁ μέγας τῇ γῇ κλύδων ἔπῆει· πρὸς ὃ καὶ ἡμεῖς ἀφορῶντες παράδειγμα, τῷ ἴσῳ τοῦ κατακλυσμοῦ τῶν ἡμερῶν ἀριθμῷ κατανυσσόμενοι καὶ πενθοῦντες, τοῖς ὕδασι τῶν δακρύων τὸ τῆς ἁμαρτίας διαγράφομεν ἄγος. Τετρακόσια ἔτη τῷ Ἀβραὰμ ὁ Θεὸς κεχρημάτικε, τὸ ἴδιον αὐτοῦ γένος δουλωθῆναι πρὸς τῶν Αἰγυπτίων, καὶ κακωθῆναι, καὶ μυρίαν αἰκίαν ὑπενεγκεῖν, ὃ δὴ καὶ εἰς ἔργον ἐκβέβηκεν. Ἐν ἡμέραις οὐ πλείοσιν ἢ μ' ταῖς θεηλάτοις ἐκείναις πληγαῖς ὁ μέγας Μωσῆς τὴν Αἴγυπτον μαστίξας, τῆς τοῦ Φαραὼ δουλείας τὸν Ἰσραὴλ ἠλευθέρωσεν. Ἡ μυρία εὐεργετώθεῖσα κατὰ τὴν ἔρημον γενεὰ, καὶ διὰ μυρίων ἐπιδειξαμένη τὸ ἀχάριστον, τῷ τεσσαρακοστῷ ἔτει, διὰ τὸ ἀνηκεστον, αὐθότι πᾶσα κατέστρωται· ἄκρατα γὰρ ἦν μεθύουσα τὸ τῆς Αἰγύπτου πολύθεον, εἰς κόρον τούτου πιοῦσα, καὶ διὰ τέλους εἰς τὸν εὐεργέτην Θεὸν ἐξυβρίζουσα.

A vinarum exitus ostendit. Nam Deo quidem per quadraginta dies ac noctes depluente, diluvium terram superabat. Quod exemplum et nosmet respicientes pari numero dierum cum illis diluvii, compuncti ac fundentes lacrymarum undas, peccati exsecrationem ostendimus. Deus Abraamum admonuit fore ut posteri ejus per quadringentos annos Ægyptiis servirent, et misere tractarentur, et infinita mala paterentur; quod etiam factum est in diebus non pluribus quam 40, cum magnus Moses plagis illis a Deo missis Ægyptum percutiens. Israelem a servitute Pharaonis liberavit. Infinita progenies in eremo abunde benedicta, et infinitis modis ingratitudinem suam demonstrans, anno quadragesimo propter pervicaciam ibi tota deleta est. Maduit enim polytheismo Ægypti, ad B satietatem illum imbibens, et tandem insolenter sese contra Deum benefactorem efferens.

Ἀλλ' οὐδ' ὁ μέγας ἐν τῷ Δευτερονομίῳ Μωσῆς ἀξιοῖ πλείους τῶν τεσσαράκοντα παίειν τὸν πλημμελήσοντα, προσθήκην γὰρ ὕβρεως τὴν προσθήκην τῆς μάστιγος τῷ πάσχοντι ἐλογίζετο· ταύτῃ τοι καὶ τοῖς Ἰουδαίοις ἤρεσε, μιᾶς δεούσης ταύτας ἐπάγειν, ἵνα μὴ τὸν τεσσαρακοστὸν ἐθελήσαντες πληροῦν ἀριθμὸν, καὶ τῇ ῥύμῃ τῆς χειρὸς περιττοτέρας ἐπενεχθείσης πληγῆς, καὶ ἄκοντες τὸν τυπτόμενον ἀτιμάσωσι· παρὸ καὶ ὁ μέγας Παῦλος πεντάκις τεσσαρακόντα παρὰ μίαν εἴληφει.

Sed nec magnus Moses in Deuteronomio delinquentem pluribus quam quadraginta plagis luere vult; quia reputabat accessionem plagarum ignominiam perpetienti addere. Quare et Judæis placuit hasce unica dempta inferre, ne numerum quadragenarium adimplere studentes, propter ipsum manus impetum pluribus illatis plagis, etiam inviti vapulantem lacerarent. De quo et magnus Paulus, Quinquies quadraginta una minus accepi, ait.

Ἠνίττετο δὲ ὁ νόμος, ὡς αἱ μάστιγες ἁμαρτανόντων ἄχρι τῆς ἐνανθρωπήσεως τοῦ Χριστοῦ καὶ τῆς ἐκ νεκρῶν αὐτοῦ ἀναστάσεως τὸ ἐνεργὸν εἶχον, περαιτέρω δὲ οὐ προέβησαν, δωρησαμένου πᾶσι τοῖς πιστεύουσιν εἰς αὐτὸν διὰ τοῦ βαπτίσματος ἐλευθερίαν τῶν ἐπὶ τοῖς πεπλημμεληκόσι κολάσεων. Τὸν γὰρ καθ' ἡμᾶς τοῦτον αἰῶνα εἰς ε' διαιροῦντες καιροὺς οἱ τοῦ Πνεύματος, α' μὲν εἶναί φασι καθ' ὃν ἐν τῷ παραδείσῳ διάγων ἦν Ἀδάμ. β', τὸν ἐπὶ Νῶε· γ', ὃν μέγας Ἀβραὰμ τῇ τῆς εὐσεβείας περιήγαγεν αἴγλῃ· τὸν δ' σὺν τοῖς λοιποῖς προφήταις ὁ μέγας ἐπλήρωσε Μωσῆς· ε' μὲν τοι καὶ τελευταῖον, ἡνίκα ἡ τῶν ἀγαθῶν τελευταία φορὰ, ἡ τοῦ Σωτῆρος, φημὶ, ἀνανθρώπησις, ὤρεξε παντὶ τῷ κόσμῳ τὴν ἀνακαίνισιν· ἐφ' ἑκάστου γὰρ τούτων τῶν καιρῶν καὶ νόμος ὁ προσήκων ἐδίδοτο, τῷ μὲν Ἀδὰμ ὁ φυσικὸς, ὁ τῆς συνειδήσεως, ὃν ἠθετηκὼς, εὐθύνας εἰσεπράχθη τῆς παραβάσεως· ὁ τῆς κρεωφαγίας καὶ οἰνοποσίας τῷ Νῶε· τῷ Ἀβραὰμ, ὁ τῆς περιτομῆς· ὁ γραπτὸς νόμος ἐκ θείας ἐπιφροσύνης διὰ Μωσέως πᾶσι τοῖς ἐξ ἐκείνου περὶ πλείστου ποιουμένοις τὸ εὐσεβεῖν· Ὁ γε μὴν Σωτὴρ τελευταῖον, τὸ τῆς χάριτος Εὐαγγέλιον, καὶ τὴν δαψιλῆ χορηγίαν τοῦ Πνεύματος ἡμῖν ἐδωρήσατο· τὸν δὲ τελευταῖον τοῦτον καιρὸν αἰνίττεται καὶ τὸ, Πέμπτῃ δὲ γενεᾷ ἀνέβησαν οἱ υἱοὶ Ἰσραὴλ ἐξ Αἰγύπτου· ἐν τούτῳ γὰρ τῆς τε τῶν δαιμόνων, καὶ τῆς τῶν παθῶν ἐλευθερωθέντες δουλείας, τῆς διὰ τοῦ μεγάλου θύματος ἀπηλαύσαμεν σωτηρίας.

C Innuit autem lex quod plagæ peccantium usque ad incarnationem Christi et resurrectionem ipsius e mortuis obtinebant, ulterius tamen non procedebant, concedente Christo omnibus in ipsum credentibus per baptismum debitarum pœnarum delictis suis remissionem. Nam viri spirituales mundi ætates in quinque distribuentes, primam esse asserunt, quam in paradiso egit Adam, secundam quæ ad Noachum pertigit, tertiam quam magnus Abrahamus illustri pietate transegit, quartam Moses ille magnus et prophetarum cæteri complebant; quintam vero ac ultimam, quando ultima bonorum accessio, incarnatio, inquam, 242 Salvatoris toti mundo renovationem attulit. Cuilibet enim horum temporum etiam lex conveniens data est; Adæ D quidem naturalis, sive conscientiæ, quam ille posthabens crimen apostasiæ incurrit; lex carnis comedendæ ac vinum potandi Noacho; Abrahamo, illa Circumcisionis; lex autem scripta ex divina providentia, per Mosem omnibus ex illa pietati operam navantibus. Salvator demum noster Evangelium gratiæ et copiosam Spiritus largitionem concessit. Novissimum hoc tempus significat et ascensus filiorum Israel generatione septima ex Ægypto: in isto enim a servitute dæmonum et vitiorum liberati salute per magnum sacrificium acquisita perfruimur.

Τούτους, οἶμαι, τοὺς ε' καιροὺς ὑποσημαίνει καὶ ἡ

Tum etiam hæc septem tempora, quod puto,

subinnuit et parabola Domini, qui in vineam suam operarios conduxit. atque exivit, et mane circa horam tertiam, et etiam sexta, et nona, et undecima ; qua quidem hora et Christus conduxit gentes ad opera spiritualium mandatorum vocatas. Ita etiam laborum præmium, primum posterioribus datur. Nam nos regenerationem primi obtinemus, apud quos mactatus est Christus, qui etiam resurgens a mortuis Spiritum sanctum in nostri renovationem insufflavit. Quoniam vero ætate mundi quinta carnem assumpsit Servator, resurrexit autem die octavo (quippe post septimam, sive Sabbatum, sequitur dies octava, quæ est Dominica): si ducas octo in quinque, habebis quadraginta, quem numerum delinquentium plagæ haud exsuperant ; nam si excesserint, inquit, vapulans infamis redditur : turpis enim revera est et infamis qui jam amplius vapulat, dico autem post gratiam dictæ remissionis. Nam tanquam infidelis castigatur, aut tanquam post remissionem in priora delicta prolapsus.

Quid autem dixeris de muliere quæ legi naturæ indulget, atque propter carnalem voluptatem in utero gestat, et postmodum in lucem fetum suum edit, an ad minus quam 40 dies a fidelium communione atque sacris mysteriis excluditur? Minime sane ; tot enim diebus et originali labe et priore voluptate illam purgari jubet lex Mosaica. Anne etiam magnus ille Moses istius numeri oblitus erat cum occasio ferebat ? Minime quidem ; nam per quadraginta dies carnem macerans, et nubis instar attenuans, liberum animum attulit ad suscipiendum manifestationes divinas, et multo quidem meliora lapideis illis tabulis, quas a Deo accipiens, non multo post præ fervido zelo confregit. Ideoque secundas leges rogans, iramque Dei a populo deprecans, totidem dies ac prius jejunabat. Pariterque nos tabulas peccati fraude in cordibus nostris concretas, dum legis præcepta rejicimus, rursus puras reddi, et legem Dei ipsis insculpi disciplinam per Quadragesimalem curamus, Neque isthoc multum a viri proposito abludere reor. Nam Moses iste vir summus ad tres annorum tessaracontades vitam traxit, atque earum primam toleravit in Ægypto scientiæ acquirendæ gratia : altera ipsum vidit, de rerum naturis sub forma pastoris, multo cum sudore philosophantem, ultima autem populum infinitis cum laboribus rexit. τον εἶχε περὶ τὴν θεωρίαν τῶν ὄντων, ἐν σχήματι ποιμένος, πολλοῖς ἱδρῶσι φιλοσοφοῦντα · τῇ δὲ ἐξ τὴν τοῦ πλήθους ἡγεμονίαν μυρίοις διεχείριζε πόνοις.

Quid vero admiratione dignius quam illud prophetæ Thisbitæ a Jezabel aufugientis? quid enim in hoc casu optimum et prophetæ maxime conveniens visum fuit? annon præsentissimum jejunii remedium ? Sed nec æquum existimabat numerum illum præterire, quo in gravi ista contemplatione usus est : quia et nos oportet ambobus, quod dicitur, pedibus a Jezabel aufugere. Nam illa, quæ interpretando vis luctus est, peccatum significat, quod nobis

A παρὰ τοῦ μισθωσαμένου τοὺς ἐργάτας εἰς τὸν αὐτοῦ ἀμπελῶνα, ὃς ἐξῆλθεν ἅμα πρωΐ περὶ τρίτην ὥραν, καὶ ς', καὶ θ', καὶ ια', καθ' ἣ ἐμισθώσατο τὰ ἔθνη ὁ Χριστὸς κεκλημένα πρὸς ἐργασίαν τῶν πνευματικῶν ἐντολῶν, ὅτε καὶ τῶν ἔργων ὁ μισθὸς πρῶτον τοῖς ὑστέροις ἀποδίδοται · πρῶτοι γὰρ ἡμεῖς τὴν ἀναγέννησιν κομιζόμεθα, οἷς ἐτύθη Χριστὸς, καὶ ἀναστὰς τὸ ἅγιον εἰς ἀνακαίνισιν ἡμῶν ἐνεφύσησε Πνεῦμα. Ἐπεὶ τοίνυν ἐνηνθρώπησε μὲν τὸν πέμπτον καιρὸν ὁ Σωτὴρ, ἀνέστη δὲ τῇ ὀγδόῃ ἡμέρᾳ (μετὰ γὰρ τὴν ἑβδόμην, ἤτοι τὸ σάββατον, ὀγδόη πάντως ἡ μετ' ἐκείνην Κυριακὴ), εἰ πεντάκις τὸν η' μετρήσεις, εὑρήσεις τὸν μ', ὃν οὐχ ὑπερβαίνουσιν αἱ μάστιγες τῶν ἁμαρτανόντων · εἰ δ' ὑπερβήσονται, φησὶν, ἀσχημονήσει ὁ μαστιζόμενος, ἀσχήμων γὰρ ὄν-
B τως καὶ ἄτιμος ὁ μαστιζόμενος ἔτι, λέγω δὴ μετὰ τὴν χάριν τῆς εἰρημένης ἀφέσεως · ἢ γὰρ ὡς μὴ πιστεύσας μαστίζεται, ἢ ὡς μετὰ τὴν ἄφεσιν τοῖς προτέροις περιπεσὼν ἁμαρτήμασιν.

Τί δ' ἂν εἴποις περὶ τῆς δουλευούσης νόμῳ φύσεως γυναικὸς, καὶ καθ' ἡδονὴν ἐπιθυμίας σαρκὸς κυούσης, καὶ εἰς φῶς προαγούσης τὸ κύημα ; Ἆρ' εἰς ἐλάττους τῶν μ' ἡμερῶν, καὶ τῆς τῶν πιστῶν κοινωνίας καὶ οἷων ἁγιασμάτων ἐκβάλλεται ; Οὐ δῆτα · διὰ τοσούτων γὰρ ἡμερῶν καὶ τοῦ προγονικοῦ μιάσματος, καὶ τῆς πρὶν ἡδονῆς ταύτην ἐκκαθαίρεσθαι ὁ τοῦ Μωσέως νόμος διακελεύεται. Ἀλλὰ τοῦ ἀριθμοῦ τούτου ἐν τῷ καλοῦντι τοῦ καιροῦ ὁ μέγας,
C οὗτος Μωσῆς ἐπιλέλησται ; Πολλοῦ γε καὶ δεῖ · δι ἡμερῶν γὰρ μ' νηστείᾳ τὴν σάρκα ἐκτήξας, καὶ ὥσπερ τι νέφος λεπτύνας, ἐλευθερίως τῷ νῷ παρέσχε τὰς θείας ἐμφάσεις εἰσδέξασθαι · καὶ πολλῷ γε βέλτιον τῶν λιθίνων πλακῶν, ἃς θεόθεν λαβὼν, μετ' οὐ πολὺ θυμῷ δικαίῳ συνέτριψε · διὸ καὶ δευτέρας δεηθεὶς νομοθεσίας, καὶ τὸν λαὸν τῆς ὀργῆς τοῦ Θεοῦ παραιτούμενος, οὐκ ἐλάττους τῶν προτέρων ἡμέρας νενήστευκεν. Ὡς δὲ καὶ ἡμεῖς τὰς πεπονηκυίας τῇ τῆς ἁμαρτίας ἐπιβουλῇ τῆς καρδίας ἡμῶν πλάκας, τὰς ἐντολὰς ἀπωσαμένων τοῦ νόμου, ἀπειλικρινημένας αὖθις κτισθῆναι καὶ τὸν τοῦ Θεοῦ νόμου αὐταῖς ἐγχαραχθῆναι σπουδάζομεν διὰ τῆς τεσσαρακονθημέρου κακοπαθείας. Οὐδὲ τοῦτο οἶμαι τοῦ ἀν-
D δρὸς πόρρω βάλλειν τῆς ὑποθέσεως · εἰς τρεῖς γὰρ ἐτῶν τεσσαρακοντάδας Μωσῆς οὗτος ὁ πάνυ βεβιωκὼς, τὴν μὲν περὶ τὴν ἀνάληψιν τῶν ἐν Αἰγύπτῳ παθημάτων κακοπαθῶν διετέλεσεν · ἡ δὲ τοῦ-

Τῷ δὲ ἐκ Θέσβης προφήτῃ, οὗ τί ἂν εἴποις θαυμασιώτερον, τὴν Ἰεζάβελ ἀποδιδράσκοντι, τί ἄλλο κράτιστον ἐν τοῖς τοιούτοις, καὶ προφήτῃ μάλα πρὸς τρόπου νενόμισται ; οὐ τὸ ἀνυσιμώτατον τῆς νηστείας φάρμακον ; Ἀλλὰ τὸν ἀριθμὸν οὐκ ἐδικαίου τουτονὶ παριέναι, μεθ' ὃν καὶ τῆς μεγάλης ἐκείνης θεωρίας ἠξίωτο · ἀνθ' ὧν καὶ ἡμῖν τὴν Ἰεζάβελ ἐκ δυοῖν ποδοῖν, ὡς εἰπεῖν, ἀποδιδράσκειν προσῆκεν · αὕτη γὰρ πένθους ἰσχὺς ἑρμηνευομένη, τὴν τὸ ἰσχυρὸν ἡμῖν

πένθος προξενοῦσαν αἰνίττεται ἁμαρτίαν, καὶ τῷ ψυχικῷ ἀπειλοῦσαν παφαδώσειν θανάτῳ· οὕτω καὶ τῶν ἱστοριῶν ἔστιν ἃς ὁ πνευματικῶς ἀναπτύσσων οὐκ ἀμοιρήσει παιδείας, ἦθος ἀποχρώσης ῥυθμίσαι. Πολλὰ καὶ τῷ Σωτῆρι τοῦ ἀριθμοῦ τοῦδε ἐμέλησε· τὴν γὰρ τριττὴν ἡμῶν γέννησιν, τὴν ἐκ σωμάτων, φημὶ, τὴν ἐκ βαπτίσματος, τὴν ἐξ ἀναστάσεως, καὶ αὐτὸς οἰκονομίᾳ μείζονι μετιὼν, δι' ἡμερῶν ἑκάστην τεσσαράκοντα ὤφθη τετελεκώς. Μετὰ γοῦν τὸν ἀπόῤῥητον ἐν σαρκὶ τόκον, ἡμέρᾳ τεσσαρακοστῇ τῷ ἱερῷ πρρσενήνεκται, τὴν ἐμὴν ἀφοσιούμενος κάθαρσιν· οὐδὲ γὰρ αὐτὸς ταύτης ἐδεῖτο, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου· μετὰ γοῦν τὸ βάπτισμα μ' ἡμέρας νηστείᾳ καθοπλισάμενος, τοῦ πολεμίου κατεστρατήγησεν· οὐ γὰρ ἠξίου νηστεύων ὑπερβάλλειν τὰ ἐσκαμμένα, καὶ τοῖς θείοις ἐκείνοις ἀνδράσι πάλαι διηνυσμένα, ἵνα μὴ τὸν ἄνθρωπον ὑποκρίνασθαι νομισθείη. Διὰ τοσούτων δὲ μετὰ τὴν Ἀνάστασιν, εἰς τὸ ὑπερουράνιον ἄνεισιν ἱερὸν, καθαρὰν τὴν ἡμῶν φύσιν ἐν ἑαυτῷ παριστὰς τῷ Θεῷ καὶ Πατρί. Ἀλλὰ καὶ τὴν εἰς Αἴγυπτον φυγαδείαν, τὴν νοητὴν, φημὶ, κακοπάθειαν, ὡς κάλλιστα διαθέμενος, τετραετὴς ἐκεῖθεν τὸ κατὰ σάρκα ἐπάνεισιν. Ὡς ἐν κεφαλαίῳ δὲ εἰπεῖν, συμβολικῶς τούτοις πᾶσιν ἄν τις ἀποχρώντως τεκμήραιτο, ὡς συμπάσης τῆς ὑπ' οὐρανὸν, καὶ τῶν ἐν αὐτῇ ζώων τῷ ἀνθρώπῳ τὴν ἡγεμονίαν ὁ Θεὸς ἐγχειρίσας, οὐκ ἠξίου τὴν τοῖς ἀλόγοις βάσιμον ταύτην μόνην οἴκησιν ἔχειν καὶ τὸν κατ' εἰκόνα ἐκείνου γενόμενον· παρὸ καὶ ἰδίᾳ πήγευσιν αὐτῷ πάντων ὕστατον ὡσανεὶ βασίλεια τὸν θεῖον παράδεισον, τρυφῆς ὄντως χωρίον, καὶ ψυχαῖς φιλοθέοις κατάλληλον ἐνδιαίτημα· ἵν' ὁ ἄνθρωπος ἐν τούτῳ διαιτώμενος, ἐκεῖθεν, οἷά τις θεὸς, τοῖς ὑπὸ χεῖρα τὰ προσήκοντα χρηματίζῃ· διὰ γὰρ τοῦτο καὶ ἐκ δύο πολὺ τῇ φύσει διεστηκοτων, ἀλόγου καὶ λογικῆς οὐσίας συντέθειται, ἵνα λόγῳ κατακοσμῆται τὰ ἐπίγεια, ὥς γε δὴ ταῖς ἀγγελικαῖς δυνάμεσι τὰ οὐράνια· ἀλλὰ τῆς μὲν δοθείσης ἐντολῆς πρὸς τὸ παρεωραμένον αὐτῷ μᾶλλον ἀντὶ τοῦ ποθεῖσθαι κατασυρείσης, τῆς δὲ κακίας ἐπιφυείσης, καὶ ταύτῃ τὴν φύσιν ἀλλοιωθεὶς, εἰς φθορὰν τε καὶ τὸν κτηνώδη βίον ἀθλίως μεταπεσὼν, τὸ κοινὸν καὶ τοῖς ἀλόγοις ἠλλάξατο καταγώγιον· ὑπερόριος δὲ νῆς αὐτῷ δοθείσης ἁβρᾶς ἑστίας γενόμενος, οὐ γὰρ ἦν θέμις τὸ τὴν φθορὰν μὴ προσιέμενον χωρίον οἰκεῖν τὸν μετεκδύντα τὸ φαιδρὸν τῆς ἀφθαρσίας ἱμάτιον, πρὸς τὸν σύνθετον τουτονὶ καὶ ὁμοφυᾶ κόσμον εἰκότως ἀπεωθεῖτο, ὅθεν δὴ καὶ προσείληπτο· ᾧ οἷα συγγενεῖ τῆς οἰκείας σκαιότητος μεταδοὺς, ματαιότητος ὑποχείριον, καὶ φθορᾶς καὶ κακώσεως τόπον εἰργάσατο· τοιοῦτος δὲ πάλιν καὶ οὑτοσὶ καταστὰς, δίκην ἐνδίκως ὥσπερ λαγχάνει πρώτῳ τῷ τὴν φθορὰν αὐτῷ προξενήσαντι, φροντίσι, καὶ λύπαις, καὶ μερίμναις βιωτικαῖς, οἷόν τισι τριβόλοις, σκύτους πικρότερον αὐτὸν αἰκιζόμενος· ὡς γὰρ πῦρ, καὶ σκώληξ, καὶ ἰὸς, εἰς φῶς προϊόντα, τοῖς γεννησαμένοις πρώτοις ἐπιβουλεύει, οὕτω καὶ ἡ κακία τῷ κόσμῳ ἐπεισελθοῦσα, ἀνθρώπῳ πρώτῳ διὰ τούτου λωβᾶται, τῷ ταύτης δημιουργῷ. Διὰ πάντων τοίνυν

A causa est validi gravisque mæroris, minaturque animam morti tradere. Occurrunt igitur 243 historiæ quas si quis spiritualiter explicet, non destituetur doctrina quæ ad vitam bene ordinandam sufficiat. Multum etiam placuit Salvatori hic numerus. Nam triplicem nostram generationem, corporalem, et baptismalem, et illam resurrectionis, ipse etiam præstantiori dispensatione sustinens, quamlibet, inquam, quadraginta diebus derfecisse visus est. Die enim post ineffabilem suam in carne nativitatem quadragesima in templo offertur, nostram purificationem consecrans. Neque enim ipse ea opus habuit, qui tollit peccatum mundi. Post baptismum quadraginta dierum jejunio armatus hostem debellavit. Noluit enim jejunando limites excedere, eave quæ sancti illi viri olim peregerunt, ne humanitatem tantum simulare videretur. Post totidem etiam dies a resurrectione ad cœleste templum ascendit, naturam nostram in seipso coram Deo Patre puram sistens. Cæterum et fugam suam in Ægyptum, intellectualem nempe afflictionem, quam optime disponens, post quatuor annos inde quoad carnem reversus est. Atque ut summatim dicam, typis hisce omnibus sufficienter ostendit, quod Deus, quando in manus tradidit homini totius sub cœlo regionis, et omnium in illa animantium regimen, noluit illum qui factus est juxta imaginem suam, duntaxit hac habitatione frui, quæ et brutis patet : quare et privatim ipsi struxit, novissim omnium, tanquam palatium, cœlestem paradisum, locum deliciis affluentem, et animis Deum amantibus conveniens hospitium, ut homo, qui ibi versatur, tanquam deus aliquis, subditis suis idonea dispensaret. Nam hanc ob causam ex duabus rebus valde inter se discrepantibus, irrationali atque rationali natura conflatur, ut ratione rite administrantur terrestria, sicuti potentiis angelicis cœlestia. At vero cum mandatum, quod illi datum est, in contemptum potius quam desiderium traxerat, atque malo accedente, hoc ipso mutatus erat quoad naturam, atque in corruptionem vitamque bestialem prolapsus, commune etiam brutis sortitus est hospitium. Exsulans quidem felici lare ipsi dudum concesso, (neque enim fas erat eum qui jam abjecerat splendidam mortalitatis vestem, locum istum habitare, qui corruptionem ac mortalitatem novit), in confusum hunc et cognatum mundum merito trudebatur, unde etiam assumptus fuerat; cui, tanquam comparilis naturæ de sua infelicitate impertiens vanitati eum subjecit, atque mortalitatis et miseriæ locum reddidit. Hic autem istiusmodi factus merito paria rependit ei, qui primum ipsi corruptionem intulit, curis et ærumnis, et sollicitudine, tanquam sentibus, gravius quam flagello ipsum affligens. Nam ut ignis, et vermis, et virus in lucem emissa parentibus suis primum insidiantur, ita et malum intrans in mundum hominem primum auctorem per ipsus lædit. Hunc igitur

mundum ex quatuor elementis compositum, qui undique nos premit, atque mortalitatem nobis affert historiarum consideratio arguens ex opere describ per quatuor dierum descades nosmet mala pati ; subinnuens atque etiam adhortans, ut hunc vel inviti tanquam revera flagellum refugiamus, imo maxime ceu animæ mortem, quæ iis supervenit qui semper in mundum inhiant, atque ad veram nostri patriam ascendere studeamus, paradisum, inquam, a septimo hoc et pereunte sæculo valde discrepantem, sed summe convenientem felicitati octavi sæculi, quæ post hoc nos manet. Plantis enim miræ naturæ scatebat meliores fructus reddentibus, quam priores, eosque pulchros visu, gestu autem pulchriores ; non enim verbis exprimi potest formæ ac dulcedinis præstantia.

Hoc in loco Adam olim commorans, si mandatum perpetuo servasset, idoneus fuisset hæreditatem suscipere **244** regni ipsi apparati ante mundum conditum. Paradisus enim istius quasi prævium gymnasium fuit. At vero ille voluptatem corruptionis parentem mandato præferens, non solum regnum illum perdidit, sed et jussu Dei paradiso pulsus erat (corruptio enim corruptionem non hæreditat); et in mundum cognominem septimæ ætati relegatus est. Non tamen ita spe penitus excidit : reservatur enim in octavam istorum bonorum fruitio his, qui piam ac sobriam vitam agunt. Quare et nostrum corpus concretum ex materiali hoc quaternione, cujus brutis desideriis ratio nostra demulsa, et nobis et omni creaturæ mortalitatis labem affricuit, ab elementis omnibus ipsi unitis, per discipilinam duram completo decadis dierum numero perfecte purgari oportet, et hac ratione grave onus peccati excutiens iter ad cœlestia animæ quidem facile capessere. Nam quantum externus noster homo corrumpitur, eo et internus homo renovatur, juxta dictum apostolicum. Sicute contra Herodes (interpretanti quidem *coriaceus*) per quem affectus carnis repræsentatur, tetrarchia inflatus, concretione, inquam, carnis æostræ, quam postea filiis suis filiis, cum non potuit rectum doctrinæ verbum nobis auferre, infantibus tamen masculis, puta mentis primis et generosis ad virtutem motionibus parere non novit. Annon vero filius hujusce tetrarchæ quidvis facere studet, quam ut videatur convenire cum patre, tam quoad **mores quam genus et nomen** ? Minime quidem : et ille sane veri verbi præconem, cum occasio fert, decollat.

συμβαίνων ὀφθείη ; Οὔμενουν · ἀμέλει τὸν κήρυκα τοῦ

Cæterum et decas isthæc, cum nata sit ex tetrade, est et ipsa tetras ; nam cum sequentibus numeris composita decadem producit ; et propterea puto et hanc in malam partem sumi, Decima igitur generatione universale diluvium ingruebat. decem etiam plagis Ægyptum afflxit Moses. Quapropter Dominus et nos naturam universam corruptione elementorum inveterascentem, in pri-

A ἡμεῖν ἐπέμβαίνοντα τὸν ἐκ τεσσάρων στοιχείων συγκείμενον τουτονὶ, καὶ τῆς φθορᾶς ἡμῖν κοινωνήσαντα κόσμον, ἡ θεωρία τῶν ἱστοριῶν ἐλέγχουσα, διὰ πράξεως ὑπογράφει τῇ τετραπλῇ τῶν ἡμερῶν δεκάδι, κακοπαθεῖν ἡμᾶς ὑφηγησαμένη τε καὶ νομοθετήσασα, ὡς ἂν τοῦτον καὶ ἄκοντες ὡς ἀτεχνῶς μάστιγα φεύγωμεν · οὐ μὴν ἀλλὰ καὶ ψυχῆς ἄντικρυς θάνατον, τοῖς πρὸς αὐτὸν ἀεὶ κεχηνόσι · πρὸς δὲ τὴν ἀληθινὴν ἡμῶν σπεύδωμεν ἐπανιέναι πατρίδα, φημὶ δὴ τὸν παράδεισον, τοῦ μὲν ἑβδόμου τοῦδε καὶ φθαρτοῦ αἰῶνος πολὺ τῇ φύσει διεστηκότα, προσήκοντα δὲ κατ' ἄκρας τῇ μετὰ τοῦτον ἡμᾶς ἐκδεξαμένῃ τοῦ ὀγδόου μακαριότητί · φυτοῖς γὰρ ἐντεθήλει θαυμαστῆς φύσεως καρπὸν βελτίω προϊσχομένοις, ἢπερ τὰ πρόπερα, καλὸν μὲν ἰδεῖν, καλλίω δὲ χρήσασθαι · ἄῤῥητον

B γὰρ αὖτῷ τὸ τῆς ὥρας καὶ ἡδονῆς περιῆν.

Ἐνταῦθα πάλαι, καθάπερ ἔφην, ὁ Ἀδὰμ ἐπιχωριάζων, ἐπίδοξος ἦν, εἰ τὴν ἐντολὴν διὰ τέλους τηρήσειε, καὶ τὴν κληρονομίαν ἐκδέξασθαι τῆς ἑτοιμασθείσης αὐτῷ βασιλείας πρὸ καταβολῆς κόσμου· ταύτης γὰρ οἱονεὶ γυμνάσιον ὁ παράδεισος · τὴν πρόξενον δὲ τῆς φθορᾶς ἡδονὴν πρὸ τῆς ἐντολῆς ποιησάμενος, οὐχ ὅπως ἐκείνης διήμαρτεν, ἀλλὰ καὶ τούτου θείᾳ ψήφῳ ἐκβέβληται · ἡ γὰρ φθορὰ τὴν ἀφθαρσίαν οὐ κληρονομεῖ, καὶ πρὸς τὸν τῆς ἑβδόμης ἐπώνυμον ἐξωστράκισται τουτονὶ κόσμον · ἀλλ' οὐδ' οὕτως ἐλπίδος εἰς ἅπαν διέψευσται · εἰς γὰρ τὴν ὀγδόην ἡ ἐκείνων ἀπόλαυσις τῶν ἀνθρώπων τετήρηται τοῖς θεοφιλῶς καὶ σωφρόνως βεβιωκόσι · διὸ δὴ καὶ τὸ συγκραθὲν ἡμέτερον σῶμα ἐκ τῆς ὑλικῆς ταυτησὶ τετρακτύος, οὗ ταῖς ἀλόγοις ὀρέξεσι τὸ τῆς ψυχῆς

C καταγοητευθὲν λογιζόμενον, ἡμῖν καὶ πάσῃ τῇ κτίσει τὴν τῆς φθορᾶς ἐμνήστευσε λώβην, ἐφ' ἑκάστου χρὴ τῶν ἠνωμένων αὐτῷ στοιχείων, δι' ἀγωγῆς ἐπιπόνου τελείαν τὴν κάθαρσιν δέχασθαι, τῷ τελείῳ τῆς δεκάδος τῶν ἡμερῶν ἀριθμῷ · καὶ ταύτῃ τὸ βαρὺ φορτίον τῆς ἁμαρτίας ἀποσεισάμενον, ῥᾳδίαν τῇ ψυχῇ τὴν πρὸς τὰ ἄνω παραχωρῆσαι πορείαν · καὶ γὰρ ὅσον ὁ ἔξω ἡμῶν ἄνθρωπος φθείρεται, τοσοῦτον ὁ ἔσω ἀνακαινοῦται, τοῦ Ἀποστόλου φωνῇ, ὥσπερ τούναντίον Ἡρῴδης (ἑρμηνεόεται δὲ ὁ δερμάτινος), δι' οὗ τὸ τῆς σαρκὸς εἰκονίζεται φρόνημα, τῇ τετραρχίᾳ φυσώμενος, τῇ συμπήξει, φημὶ, τοῦ ἡμετέρου σαρκίου, ἣν ὕστερον τοῖς υἱέσι διεῖλε, μὴ οἷός τε ὤν, τὸν παρ' ἡμῖν ὀρθὸν τῶν δογμάτων λόγον ἐλεῖν, τῶν γοῦν ἀῤῥένων βρεφῶν, τῶν πρώτων, φη-

D μὶ, τοῦ νοῦ καὶ γεννάιων πρὸς ἀρετὴν κινημάτων, οὐ πέφυκε φείδεσθαι · ὁ δὲ τούτου τετράρχης υἱὸς εἰκὸς τι νομίζει ποιεῖν, εἰ μὴ τοῖς τρόποις οὐχ ἧττον, ἢ τῷ γένει καὶ τῇ κλήσει τῷ πατρὶ

ὀρθοῦ λόγου, εἰ καιροῦ λάβοιτο, καὶ οὗτος ἐκτέμνει.

Οὐ μὴν ἀλλὰ καὶ ἡ δεκὰς αὕτη γέννημα τῆς τετράδος οὖσα, τετράς ἐστι καὶ αὐτή · συντιθεμένη γὰρ τοῖς κατόπιν αὐτῆς ἀριθμοῖς, τὴν δεκάδα γεννᾷ, καὶ παρὰ τοῦτο εἰς κάκωσιν οἶμαι καὶ ταύτην παραλαμβάνεσθαι · δεκάτῃ οὖν γενεᾷ ὁ οἰκουμενικὸς ἐπεισέφρησε κλύδων · δέκα δὲ πληγαῖς ὁ Μωϋσῆς τὴν Αἴγυπτον ἐβασάνισε. Τοιγαροῦν ὁ Κύριος ἡμῶν καὶ ἡμᾶς, καὶ τὴν παλαιωθεῖσαν τῇ φθορᾷ τῶν στοι-

χείων σύμπασαν φύσιν, εἰς τὸ ἀρχαῖον βουληθεὶς ἀναπλάσαι, καὶ τὴν ἀφθαρσίαν αὖθις φιλανθρώπως χαρίσασθαι, ἀφ' ἡμῶν, δι' ὧν ἡ φθορὰ πάλαι τῷ παντὶ ἐπεκώμασεν, ᾠήθη δεῖν τῆς ἰατρείας ἀπάρξασθαι, ἰσαρίθμοις ὀργάνοις πρὸς τοῦτο χρησάμενος. Τὰς γὰρ ἐν ἡμῖν ἐπιῤῥώσας πρῶτον φυσικὰφ τέσσαρας ἀρετὰς, ἐν καλῷ κεῖσθαι νομίσας τὰ μεγάλα στοιχεῖα τῆς ἐν αὐτῷ καινῆς κτίσεως, τὰ τέσσαρα, φημὶ, Εὐαγγέλια, ἐξ ἀντιῤῥόπου τοῖς ἀψύχοις ἐν ἡμῖν τοῖς λογικοῖς ὑπιστήσατο, τέσσαρα ἄττα, καὶ ταυτὶ περιέχοντα, δόγματα, ἐντολὰς, ἐπαγγελίας, καὶ ἀπειλάς· ὡς ἂν τοῖς πιστεύουσι μὲν τοῖς δόγμασι, καὶ περὶ πλείστου τὰς ἐντολὰς ποιουμένοις, τὴν ἐν ἐπαγγελίαις κομίσασθαι τῆς υἱοθεσίας ὑπάρξῃ μακαριότητα, τῇ κτίσει δὲ σὺν αὐτοῖς, εἰς τὴν τῆς ἀφθαρσίας μεταστοιχειωθῆναι λαμπρότητα· τοῖς δὲ μὴ οὕτω ποιητέον εἶναι πεφροντικόσι μετὰ τὴν φρικτὴν ἐκείνην οἰκονομίαν, ἀλλὰ μέχρι παντὸς ἐπὶ τῆς κακίας μεμενηκόσι, πᾶσαν ἐλπίδα δευτέρας ἀναπλάσεως περιαιρεθῆναι, τῶν δὲ ἠπειλημένων κολάσεων αὐτίκα μάλα κληρονομεῖν.

A stinum statum restituere voiens et immortalitatem rursus benigne largiri, æquum existimabat curationem inchoare a nobis, per quos olim in universum corruptio grassata est numeros paritus mediis in hanc rem utendo. Opportunum enim existimans primo quatuor virtutes naturales in nobis corroborare, magna puidem elimenta novæ nostræ creationis quatuor, inquam, Evangelia substituit, quæ stupidis nostris cogitationibus æquiponderarent. Isthæc igitur quatuor cum sint, eadem tamen complectuntur, doctrinas, præcepta, promissiones, et comminationes, ita ut illis qui doctrinæ fidem habent, et mandata maximi faciunt, felicitatem adoptionis, quam præferunt promissiones, indipisci detur, atque etiam creaturæ una cum ipsis in splendorem immortalitatis transmutari. Iis vero qui horum nihil præstare student, spem omnem secundæ reformationis præcidi, atque comminatas pœnas protinus subituros commonet.

Ἀλλ' ἐπειδή περ ἡ νηστεία, κατὰ τὸν ἅγιον εἰπεῖν Κύριλλον, κάθαρσις πέφυκε τῶν πέντε αἰσθήσεων, δι' ὧν ἀστράπτειν, ἢ μολύνεσθαι τῇ ψυχῇ περιγίνεται, ἡ δὲ κάθαρσις αὕτη τὴν ἐν τῇ ὀγδόῃ ἐλπιζομένην ἐγγυᾶται μακαριότητα, πολυπλασιασθέντων τῶν πέντε πρὸς τὰ ὀκτὼ, ὁ τεσσαρακοστὸς γεννᾶται ἀριθμός· διὰ δὴ ταῦτα πάντα, ὡς δέδεικται, τῇ τεσσαρακονθημέρῳ νηστείᾳ τὰς ψυχὰς ἡμῶν ἀχρειουμένας τῇ λώβῃ τῆς ἁμαρτίας ἐγκαινίζειν ἐν τούτῳ τοῦ καιροῦ προστετάγμεθα, καθ' ὃν καὶ ξύμπας ὁ κόσμος τῇ πρὸς τὰ κρείττω μεταβολῇ κατ' ἐνιαυτὸν ἐγκαινίζεται.

B Quoniam vero jejunium, ut cum sancto Cyrillo loquar, purgatio est quinque sensum, quibus animam vel nitidam dari vel pollutam contingit : hæc autem purgatio istam quam in octava ætate exspectamus beatitudinem spondet, certamque facit ex quinque ductis in octo, emergit numerus quadragenarius : propter ista omnia, ut ostensum est, quadraginta dierum jejunio animas nostras labe peccati debilitatas, renovare monemur hoc ipso tempore, quando etiam mundus universus in C melius quotannis restauratur.

Νόμοι.

Ὅτι αἱ πρὸ τοῦ Πάσχας ζ' ἡμέραι καὶ αἱ μετὰ τὸ Πάσχα τοσαῦται, καὶ ἡ τῆς Χριστοῦ γεννήσεως ἡμέρα. καὶ ἡ τῶν ἁγίων Θεοφανίων, καὶ ἡ τοῦ πάθους τῶν ἀποστόλων, καὶ ἡ Κυριακὴ, ἄπρακτοί εἰσι, καὶ οὔτε θέατρα ἐν αὐταῖς τελεῖται, οὔτε δίκη λέγεται.

Leges.

Septem dies ante Pascha. et totidem post illud, atque dies nativitatis Christi, et SS. Theophaniorum, et 245 passionis, et apostolorum, et Dominici, sunt opere vacui, neque spectacula tum habentur, neque jus dicitur.

Ἐν ταῖς προλαβούσαις τοῦ Πάσχα τεσσαράκοντα ἡμέραις, πᾶσα ζήτησις τῶν ἐγκληματικῶν βασάνων σχολάζει.

Per quadraginta dies Pascha immediate præcedentes quæstionum criminatium agitatio omnis cessat.

ΚΕΦΑΛ. ς'. Περὶ τῆς ἐν τῇ τετράδι νηστείας.

Ζήτει ἐν τῷ ιβ' κεφ. τοῦ Κ κανόνα ιε' τοῦ ἁγίου Πέτρου Ἀλεξανδρείας, καὶ ἐν τῷ δ' κεφαλαίῳ τοῦ Ν στοιχείου κανόνα ζθ' τῶν ἁγίων ἀποστόλων.

CAP. VI. *De jejunio feriæ quartæ.*

Quære in cap. 37 litt. K canonem 15 S. Petri Alexandrini, et in 4 cap. litt. N canonem 69 D sanctorum apostolorum.

ΚΕΦΑΛ. Ζ'. Ὅτι τόκους λαμβάνειν ἀπείρηται παντὶ κληρικῷ, καὶ περὶ τόκων.

Ὁ μὲ τῶν ἁγίων ἀποστόλων κανὼν, ἐπίσκοπον, ἢ πρεσβύτερον, ἢ διάκονον, τόκους εἰσπράττοντα τοὺς δανειζομένους, ἢ παύσασθαι, ἢ καθαιρεῖσθαι κελεύει· ὡς ἕνι μάλιστα τοῦτο δέος, μή ποτε κατὰ τὸ Εὐαγγέλιον ἐπαγγειλαμενοι ζῆν, διπλῆν ὑπόσχωμεν δίκην, περιπετεῖς γενόμενοι καὶ οἷς ὁ παλαιὸς ἀπείρηκε νόμος. Ὁ μὲν γάρ, Οὐκ ἐκτοκιεῖς, φησὶ, τὸ ἀργυριόν σου τῷ ἀδελφῷ σου· ὁ δὲ Ἰεζεκιὴλ ἐν τοῖς μεγίστοις τῶν κακῶν τίθεται, τόκον λαβεῖν καὶ πλεονασμόν. Ὀδύρεται δὲ καὶ ὁ Ἡσαΐας, « δόλον ἐπὶ

CAP. VII. *Quod interdictum sit clericis usuras accipere, et de usuris.*

Canon 44 sanctorum apostolorum episcopum aut presbyterum aut diacorum, qui a debitore usuras exigit, aut cessare præcipit, aut deponi : tanquam plane metus esset, ne cum juxta Evangelium vivere profitemur, duplas pœnas demus, incurrentes in ea quæ lege veteri prohibita sunt. Dicit enim illa ; « Non mutuo dabis in usuram argentum tuum fratri tuo. » Ezechiel etiam inter maxima mala censet, usuram et augmentum accipere. Deinde plorat Isaias « dolum super dolo ac usuram super

usura videns. » Et Psalmista de civitate quæ multitudine delictorum tenetur : « Neque usura, inquit nec dolus plateas ejus dereliquit. » Dominus autem ipse : « Qui mutuo a te accipere vult ne dimittas : mutuo date eis a quibus neutiquam accipere speratis. » Nam « Qui miseretur pauperis, mutuo dat Deo. » Idem enim illud et donum est, quia citra spem ullam recuperationis : et creditum propter Domini munificentiam, qui pro eo copiosas ac multiplices retributiones facit.'

Canon autem 17 synodi primæ, quemlibet clericorum, atque eorum qui in canone recensentur, deponi jubet, si insuper habeant oraculum illud sacrum, quod dicit : « Pecuniam suam non dedit in usuram, » et avaritiam ac turpe lucrum sectentur atque a debitoribus usuras centesimas exigant, aut hemiolias. Nam ex variis usurarum speciebus gravissimæ sunt centesimæ, sive duodecim pro centum nummis, quæ quidem jure civili nummulariis conceduni. Vetere enim libra centum partium utebantur, sicuti nos illa hexagiorum 72. Ἡμιόλια autem suni semisses totius usuræ duodecim nummum, sive sex. Neutiquam vero, ut mos est, arithmeticorum quantitates nnmerorum inter se comparatorum indigitantium, quibus numerus puta senarius quaternatii est, hemiolius, et hic istius hyphemiolius. Hosce tamen qui non aperte quidem ea faciunt, sed dolo malo eavent ne legis violatæ teneantur, scilicet pecuniam aliis mutuo dant, et paciscuntur lucrum æqualiter partiri, damni vero prorsus immunes esse ; hos, inquam, qui talia comminiscuntur, aut quodvis turpe lucrum quærunt, depositionis pœnam incurrere æquum judicat, atque a clero abelienari. Benignius fuerit post admonitionem juxta canonem apostolicum supra laudatum illud fieri.

246 Eadem rupetit decimus canon synodi sextæ, atque clericos fœneratores aut cessare præcipit aut deponit.

Convenit cum isti et canon 4 concilii Laodiceni.

Quintus autem cancilii Carthaginensis, Avaritiam malorum omnium esse matrem nemo, inquit, est qui nesciat. Hanc igitur modis omnibus tollere studendum est, atque turpis lucri causa Patrum definitiones neutiquam transgredi ; vetat adeo clerico quavis de re usuram sumere. Datur enim in usuram non solum argentum, sed et frumentum et vinum et oleum, paciscente debitore se post statatum tempus aliquid ultra reddere. Nam circa ea, de quibus sancti Patres decreverunt, suffragia rursus dare, et deliberare minime decet : at potius absque contradictione ac disquisitione curiosa sequi. Quocirca si istud laicis quidem opprobrium atque culpam affricet, multo sane magis clericis.

Magnus autem Basilius in canone 14 : Clericus qui usuram accepit. si iuquit, injustum lucrum in pauperes expendere destinaverit, et deinceps avaritiæ morbum devitare, ad sacerdotium admittendus est. Quoniam et alibi dicit. Agricola aristam

A δόλῳ, καὶ τόκον ὁρῶν ἐπὶ τόκῳ · » καὶ ὁ Ψαλψῳδὸς περὶ πόλεως ἐν πλήθει κακῶν εὐθυνομένης φησίν · « Οὐκ ἐξέλιπεν ἐκ τῶν πλατειῶν αὐτῆς τόκος καὶ δόλος. » Ὁ δὲ Κύριος. « Τὸν θέλοντα ἀπὸ σοῦ δανείσασθαι μὴ ἀποστραφῆς · δανείζετε δὲ παρ' ὧν οὐκ ἐλπίζετε ἀπολαβεῖν · » « Ὁ γὰρ ἐλεῶν πτωχὸν, δανείζει Θεῷ » · τὸ γὰρ αὐτὸ καὶ δῶρον μὲν ἐστι διὰ τὴν ἀνελπιστίαν τῆς ἀπολήψεως, δάνεισμα δὲ διὰ τὸ τοῦ Δισπότου φιλότιμον, δαψιλεῖς ἀποτιννύντος ὑπὲρ αὐτοῦ καὶ πολλαπλασίους τὰς ἀμοιβάς.

Ὁ ιζ' τῆς α' συνόδου πάντα κληρικὸν, καὶ τῷ κανόνι ἐξεταζόμενον, καθαιρεῖσθαι κελεύει, περὶ ἐλαχίστου τιθέμενου, τὸ φάσκον ἱερὸν λόγιον, Τὸ ἀργύριον αὐτοῦ οὐκ ἔδωκεν ἐπὶ τόκῳ, καὶ τὴν πλεονεξίαν, καὶ τὸ αἰσχρὸν διώκοντα κέρδος, καὶ τόκους B ἀπαιτοῦντα τοὺς δανειζομένους, ἢ ἑκατοστιαίους, ἢ ἡμιολίους. Πολυειδεῖς γὰρ ὄντες οἱ τόκοι, βαρύτεροι τῶν λοιπῶν οἱ ἑκατοστιαῖοι, ἤτοι τὰ ιβ' ἐπὶ τοῖς ἑκατὸν νομίσματα, ἅτινα τοῖς τοκογλύφοις εἰσηράττει νόμος · οἱ γὰρ παλαιοὶ ταῖς ἑκατοντάσιν ἐχρῶντο, ὥσπερ ταῖς λίτραις ἡμεῖς τῶν οβ' ἐξαγίων. Ἡμιόλιοι δέ εἰσιν οἱ ἡμίσεις τοῦ ὅλου τόκου τῶν δώδρκα νομισμάτων, ἤτοι τὰ ἓξ · οὐ μὴν ὡς ἔθος τοῖς ἀριθμητικοῖς καλεῖν τὰς τῶν ἀριθμῶν ὑπὸ τὸ πρός τι ποσότητας ὅτι ὁ μὲν ἓξ τυχὸν, ἡμιόλιός ἐστι τοῦ τετάρτου, οὗτος δὲ ἐκείνου ὑφημιόλιος. Ἀλλὰ καὶ τοῖς μὴ ἀνέδην τοῦτο μετιοῦσι, σοφιζομένοις δὲ τὰ τοῦ πράγματος, τῷ μὴ ἁλῶναι παρανομίας, οἵτινες καὶ ἑτέροις ἐγχειρίζοντες χρήματα, τὸ μὲν κέρδος ἐξίσης συμφωνοῦσι μερίζειν, τῆς δὲ ζημίας μὴ κοινωνεῖν · τοῖς δὴ τοιαῦτα τεχνάζουσιν, ἢ ἕτερόν τι C κέρδος ἐρινυοῦσιν αἰσχρὸν, καθαιρέσεως δεῖν οἴεται δίκην λαγχάνειν, καὶ τοῦ κλήρου ἀλλοτριοῦν · φιλανθρωπότερον δ' ἂν εἴη τὸ μετὰ παραγγελίαν, κατὰ τὸν ἀνωτέρω ἀποστολικὸν κανόνα.

Τὰ αὐτὰ γὰρ καὶ ὁ ι' τῆς ἕκτης λέξας συνόδου, ἢ παύσασθαι, ἢ καθαιρεῖσθαι τῶν κληρικῶν τοὺς τοκογλύφους κελεύει.

Τούτοις ἕπεται καὶ ὁ τῆς ἐν Λαοδικείᾳ δ' κανών.

Ὁ δὲ τῆς ἐν Καρθαγένῃ ε', Τὴν ἁπλησιαν πάντων τῶν κακῶν εἶναι μηνέρα, οὐδεὶς, φησὶν, ἀγνοεῖ· ταύτην οὖν περιαιρετέον παντάπασι, καὶ μὴ κέρδους αἰσχροῦ χάριν τοὺς τῶν Πατέρων ὅρους παραβαίνειν, καὶ μὴ ἐξεῖναι κληρικῷ ἀφ' οἱουδήποτε πράγματος τόκον λαβεῖν. Δανείζει γάρ τις οὐκ ἀργύριον D μόνον, ἀλλὰ καὶ σῖτον, καὶ οἶνον, καὶ ἔλαιον, συμφωνοῦντος τοῦ δανειστοῦ μετὰ τὸν ὡρισμένον καιρὸν τόδε τι ἐπέκεινα δοῦναι. Περὶ γὰρ ὧν οἱ θεῖοι Πατέρες ἐθέσπισαν, οὐ δεῖ ψηφίζεσθαι καὶ βουλεύεσθαι, ἀλλ' ἕπεσθαι μηδὲν ἀντιλέγοντας ἢ περιεργαζομένους · εἰ γοῦν τὸ τοιοῦτον λαϊκοῖς ὄνειδος φέρει καὶ μέμψιν, πολλῷ δήπου κληρικοῖς.

Ὁ δὲ μέγας Βασίλειος, ἐν ιδ' κανόνι, Ὁ τόκους λαμβάνων κληρικὸς, φησὶ, ἐὰν καταδέζηται τὸ ἄδικον κέρδος πτωχοῖς ἀναλῶσαι, καὶ εἰσέπειτα τὸ τῆς φιλοχρηματίας φυλάξασθαι νόσημα, δεκτός ἐστιν εἰς ἱερωσύνην · ἐπειδὴ καὶ ἑτέρωθί φησιν · Ὁ μὲν

γεωργὸς τὸν στάχυν λαβών, τὸ σπέρμα πάλιν ὑπὸ τὴν ῥίζαν οὐκ ἐρευνᾷ· ὁ δὲ δανειστὴς καὶ τοὺς καρποὺς ἔχει, καὶ οὐκ ἀφίσταται τῶν ἀρχαίων· ἄνευ γῆς φυτεύει, καὶ θερίζει ἄνευ σπορᾶς· διὰ τοῦτο χαλκοῦ καὶ χρυσοῦ, καὶ τῶν ἀγόνων παρὰ φύσιν γεννώντων, ἡ κατὰ φύσιν τίκτουσα γίνεται στεῖρα.

Νόμοι.

Εἰ καὶ πολλοῖς τῶν πρὸ ἡμῶν ἔδοξε δεκτέαν εἶναι τὴν τῶν τόκων ἔκτισιν, ἴσως διὰ τὴν τῶν δανειστῶν δυσκληρίαν τε καὶ ὠμότητα, ἀλλ' οὖν ὡς ἀναξίαν τῆς ἡμῶν τῶν Χριστιανῶν πολιτείας, ἀπευκταίαν εἶναι κεκρίκαμεν, ἅτε παρὰ τῆς θείας νομοθεσίας κεκωλυμένην. Διὸ κελεύει ἡ ἡμετέρα γαληνότης, μηδενὶ μηδαμῶς ἐξεῖναι, ἐν μηδεμιᾷ ὑποθέσει τόκον λαμβάνειν, ἵνα μὴ νόμον φυλάττειν οἰόμενοι, νόμον θεοῦ παραβαίνωμεν· ἀλλὰ κἂν εἴ τις ὁσονδήποτε λάβοι, εἰς τὸ χρέος λογισθήσεται.

Ὁ δὲ παλαιὸς νόμος ῥητὴν ὁρίζει τοῖς τόκοις ποσότητα, τῇ ποιότητι μέντοι τῶν προσώπων διαλλάττουσαν. Τοὺς μὲν γὰρ δανείζοντας ἀπὸ ἰλλουστρίων καὶ ἀνωτέρω, ἄχρι τρίτης ἑκατοστῆς καὶ μόνον κελεύει λαμβάνειν· ἀργυροπράτας δὲ καὶ ἐμπόρους ἄχρι διμοίρου ἑκατοστῆς· τοὺς δὲ λοιποὺς πάντας ἄχρι ἡμίσεως ἑκατοστῆς. Εἰ δὲ πρὸς οἶκον εὐαγῆ τὸ ὄφνειον εἴη, ἄχρι τετάρτου ἑκατοσσῆς. Ἐπὶ δὲ τῶν ναυτικῶν δανείων, ἔνθα ὁ δανειστὴς τὸν ἐν τῆς θαλάσσης ἀναδέχεται κίνδυνον, οὐ λαμβάνει ὁ δανείζων πλέον τοῦ νομίμου τόκου, ἤγουν τῆς ἑκατοστῆς· εἰ γὰρ ἀναδέχεται ὁ δανείζων τὸν κατὰ θάλατταν κίνδυνον, δύναται λαβεῖν καὶ ὑπὲρ τὸν ἔννομον τόκον. Ἐπὶ δὲ τῶν δανειζομένων καρπῶν, ἐφ' ὧν τὸ παλαιὸν ἐξῆν πλείονα τόκον ἐπερωτᾶν διὰ τὸ ἄδηλον τῆς ἐκβάσεως, οὐκ ἐπιτρέπει σήμερον ἡ διάταξις πλείονα τόκον ἐπερωτᾶν, εἰ μὴ ἕως ἑκατοστῆς μόνον, μὴ βουλομένη μήτε διὰ παρακατασχέσεως ἐνεχύρων, μείζονα τόκον λαμβάνεσθαι, μήτε τοὺς δικαστάς ποτε καταδικάζειν πλείονα τόπον προφάσει τῆς τῶν τόκων συνηθείας· εἰ δέ τις μείζονα τόκον λάβοι, εἰς τὸ κεφάλαιον αὐτὸν καταλογίζεσθαι. Ἑκατοστιαῖος δὲ λέγεται τόκος, τὰ διδόμενα δώδεκα νομίσματα ἐπὶ τοῖς ἑκατὸν ὑπὲρ ἑκάστου χρόνου· ἡ δὲ παρ' ἡμῖν νομιζομένη λίτρα κατ' ἀναλογίαν νομίσματα ἔχει ὀκτώ, ἤτοι δίμοιρον·

Οἱ τόκοι ἄχρι τῆς ποσότητος τοῦ ἐκδανεισθέντος κεφαλαίου ἐκτεινέσθωσαν· εἰ δὲ συμβαίη ἐπέκεινα τοῦ μέτρου τῶν κεφαλαίων καταβληθῆναι, εἰς τὸ κεφάλαιον λογιζέσθωσαν.

Ὁ τόκον τόκου μεθοδεύων ἀτιμοῦται· οὐδεὶς γὰρ τόκον τόκου ἀπαιτεῖ, κἂν κατὰ μικρὸν καταβληθῇ.

ΚΕΦΑΛ. Η'. Περὶ τοῦ τρισαγίου ὕμνου.

Ζήτει ἐν τῷ λε' κεφαλαίῳ τοῦ Ε στοιχείου κανόνα πα' τῆς ς' συνόδου.

ΚΕΦΑΛ. Θ'. Ὅτι τὰς τρίχας τῆς κεφάλῆς οὐ δεῖ καλλωπίζειν.

Ὁ ιϛ' τῆς ς' συνόδου κανών, Οἱ τὸν Χριστὸν, φησὶ, διὰ τοῦ βαπτίσματος ἐνδυσάμενοι, τὴν ἐν σαρκὶ αὐτοῦ πολιτείαν μιμεῖσθαι καθωμολόγησαν, πᾶσάν τε ἁγνείαν μετιέναι καὶ σωφροσύνην, καὶ μὴ τῇ τῆς ὕλης προστετηκότας ματαιότητι, τὸ σῶμα κο-

accipit, neque rursum semen subter radicem exquirit; fœnerator autem fructus percipit, neque principale remittit; adeoque sine solo plantat et sine semento metit. Propterea, cum æs et aurum, et cætera quæ nihil producere solent, contra naturam pariunt, illa quæ naturaliter parit sterilis evadit.

Leges.

Etsi majorum nostrorum plerisque visum est admittendam esse usurarum pensionem, forte propter fœneratorum duritiem et crudelitatem, nos tamen ut Christianorum sanctiori conversatione plane indignam abominandam censuimus tanquam jure divino interdicam. Ideo nostra vetat tranquillitas, ne cuiquam penitus ulla in causa liceat usuras accipere, ut ne dum jus servare studemus, legem Dei violemus. Sed si quis tantillum acceperit, sorti imputabitur.

Lex autem vetus expresse statuit usurarum quantitatem, videlicet, juxta conditionem personarum aliam atque aliam. Quippe jubet eos qui a viris illustribus aut superioribus, solummodo trientem sumere, argentarios autem et negotiatores usque ad bessem centesimæ; cæteros autem omnes, ad semissem centesimæ. Sin religiosæ domui mutuum detur, usque ad quadrantem centesimæ. At vero in fœnore nautico, cum creditor periculum maris suscipit, potest accipere ultra legitimam usuram. Quando autem fructus mutuo dantur, pio quibus olim licuit majus fœnus stipulari propter proventus tempus incertum, non permittit hodieque constitutio graviorem usuram stipulari, quam adusque centesimam tantum, neque etiam vult propter retenta pignora majus fœnus accipi, neque judices unquam majus decernere sub prætextu consuetudinis loci. Si quis autem uberiorem usuram capit, tantum principali detrahitur. Usura autem centesimalis vocatur, cum duodecim nummi pro centum quotannis redduntur. Ea vero quæ libra apud nos æstimatur, juxta proportionem nummos continet octo cum besse.

Usuræ usque ad valorem principalis mutuo dati extendantur: sin tamen contingat ultra principalem summam expendi, ad principalem imputetur.

247 Qui usuram usuræ quærit, infamis fit. Nemo enim usuræ usuram poscit, saltem si paulatim persolvatur.

CAP. VIII. *De hymno trisagio.*

Quære in 35 cap. litt. E canonem 81 synodi sextæ.

CAP. IX. *Quod capillos capitis delicatius ornare haud liceat.*

Canon autem 96 syn. sextæ, Qui Christum, inquit, per baptismum induerunt, ejus in carne vitæ agendæ rationem imitari professi sunt, et omnem omnino castitatem ac temperantiam exercere, neque terrenarum rerum vanitati adhæren-

tes corpus superfluo ac nimis curioso cultu ornare. Quid vero vanius quam plurimam curam capillis capitis ac barbæ impendere adornandis, et juxta artem disponendis, adeoque escam proponere animabus ad intemperantiam pronis, cum interim insuper habent interioris hominis per virtutes cultum? Dicit enim Apostolus, « Si vir comam alat, dedecus ipsi est. » Et Moses in Deuteronomio: « Non facietis cincinnos in capite vestro; neque corrumpetis formam barbæ vestræ. » Eos qui ista fecerint primum paterne increpari jubet: perseverantes tamen, excommunicari. Easdem pœnas incurrunt etiam hi qui crines plicant, ut crispi fiant, aut tingunt, aut aqua primum irrigantes in sole arefaciunt, ut flavedinem acquirant, vel studeant ut aurei evadant, vel densi, aut cincinnos spurios gestant, aut mentum rasum habent, aut maximam ejus partem testa ignita exurunt, semet nitidulos, ut sibi videntur, reddentes, quasi lanugo ipsis jam primum excreverit. Hoc enim hodie potissimum, tanquam morbus epidemius, apud Christianos increbuit.

CAP. X *De sepulcrorum violatoribus.*

Canon 66 magni Basilii effossorem busti, qui ruptis sepulcris expilat ea quæ cum mortuo consepulta fuere, in decennium sacra communione privat.

Magnus autem Gregorius Nyssenus in canone 7, Sepulcrorum violatio, inquit, dividitur in remissibilem et irremissibilem. Si quis enim religione tactus, inviolatum reliquit corpus conditum, ne forte soli exponeretur naturæ deformitas, lapidibus tamen quibusdam, qui circa bustum erant, utatur ad ædificium aliquod, hoc quidem haudquaquam laudabile est, sed tamen venia dignum usus fecit, quando materiei translatio conducit ad aliquid pulchrius, et utilius: atqui sollicitare cineres inhumatæ carnis, et commovere ossa, spe ornamentum aliquod in tumulum conjectum nanciscendi, pari supplicio plectitur atque simplex fornicatio, scilicet in annos novem. Sin vero corrigendus demonstret conversionem laudabilem, fas est **248** correctionis moderatori contrahere tempus ex canonibus punitioni ejus præstitutum.

Leges.

Qui a sepulcris materiam quamvis auferunt, crimine sacrilegii teneantur.

Si quis a sepulcro abstulerit lapides aut columnas aut marmora, vel aliam materiem quamcunque, viginti libras auri fisco solvat.

Qui sepulcra effodiunt, et denudant mortuorum corpora, si quidem cum armis patraverint, capite plectuntur: sin absque armis, ad metalla.

Qui in sepulcris mortuos indumentis spoliant, abscissis manibus luant.

Qui reliquias vel ossa transferunt, plebeii qui-

A σμεῖν περιττῶς τε καὶ περιέργως· τί δ' ἂν γένοιτο περιττότερον, τοῦ τὰς τρίχας τῆς κεφαλῆς καὶ τοῦ πώγωνας περὶ πλείστου ποιεῖσθαι κοσμεῖν, εὖ τε διατιθέναι, καὶ δέλεαρ καθεῖναι ταῖς εὐολίσθοις πρὸς ἀκολασίαν ψυχαῖς, ἀφέντας τὸ διά πάσης ἀρετῆς τὸν ἔνδον κασμεῖν ἄνθρωπον; Φησὶ γὰρ ὁ Ἀπόστολος· « Ἀνὴρ ἐὰν κομᾷ, ἀτιμία αὐτῷ ἐστι· » καὶ ὁ Μωσῆς ἐν τῷ Δευτερονομίῳ· « Οὐ ποιήσετε σισόην ἐν τῆς κόμης τῆς κεφαλῆς ὑμῶν, οὐδὲ φθερεῖτε τὴν ὄψιν τοῦ πώγωνος ὑμῶν. » Τοὺς οὐκ τοιοῦτόν τι ποιοῦντας πατρικῶς πρότερον ἐπιτιμᾶσθαι κελεύει· ἐπιμένοντας δὲ, ἀφορίζεσθαι. Τούτοις ὑπόκεινται τοῖς ἐπιτιμίοις καὶ οἱ τὰς τρίχας κλώθοντες ὥστε οὖλας γενέσθαι, ἢ βάπτοντες, ἢ ὕδατι διαβρόχους ποιοῦντες, καὶ τῷ ἡλίῳ θέροντες, ἵν' εἰς ξανθὰς μεταβάλλοιεν, ἢ χρυσιζούσας, ἢ δασείας ἐπιμελούμενοι
B γενέσθαι, ἢ νόθους πλοκάμους περιτιθέμενοι, ἢ τὸ γένειον ξηρῶντες. ἢ κεράμῳ πεπυρωμένῳ τὸ πλέον τούτου ἀποτεφροῦντες, ἢ τοῖς ὀδοῦσιν εὐφυῶς ἔστιν ἃ περιαιροῦντες, καὶ πρὸς τὸ δοκοῦν εὔσχημον ἀποκαθιστάντες, ὡς δοκεῖν ἄρτι φύειν αὐτοῖς τὸν ἴουλον· τοῦτο γὰρ νῦν καὶ μάλιστα ὥσπερ τι νόσημα ἐπιδήμιον τοῖς Χριστωνύμοις ἐνέσκηψεν.

ΚΕΦΑΛ. Γ'. Περὶ τυμβωρύχων.

Ὁ ξς' τοῦ μεγάλου Βασιλείου κανὼν τὸν τυμβωρύχον, ὃς τοὺς τάφους ἀνοίγνυσι, καὶ συλᾷ τὰ τοῖς νεκροῖς συνθαπτόμενα, εἰς δέκα ἔτη τῆς ἱερᾶς κοινωνίας ἀποκλείεσθαι κελεύει.

Ὁ δὲ μέγας Γρηγόριος Νύσσης ἐν τῷ ζ' κανόνι, Ἡ τυμβωρυχία, φησὶ, διῄρηται εἰς τὸ συγγνωστόν τε καὶ ἀσύγγνωστον. Εἰ μὲν γάρ τις φειδόμενος τῆς
C ὁσίας, καὶ ἄσυλον ἀφεὶς τὸ κεκρυμμένον σῶμα, ὡς μὴ ἀναδειχθῆναι τῷ ἡλίῳ τὴν ἀσχημοσύνην τῆς φύσεως, λίθις τισὶ τῶν τῷ τάφῳ προβεβλημένων συγχρήσεται εἰς ἔργου τινὸς κατασκευὴν, ἐπαινετὸν οὐδὲ τοῦτό ἐστι, πλὴν ἀλλὰ συγγνωστὸν ἐποίησεν ἡ συνήθεια, ὅταν εἴτ προτιμότερόν τι καὶ κοινωφελέστερον ἡ τῆς ὕλης μετάθεσις γένηται· τὸ δὲ ἀνερευνᾶσθαι τὴν κόνιν ἀπὸ τῆς γεωθείσης σαρκὸς, καὶ ἀνακιθεῖν τὰ ὀστᾶ ἐλπίδι τοῦ κόσμον τινὰ τῶν συγκατορυχθέντων κερδᾶναι, τοῦτο τῷ αὐτῷ κρίματι κατεδικάσθη, ᾧ καὶ ἡ ψιλὴ πόρνεία, εἰς ἐννέα δηλαδὴ χρόνους· εἰ δὲ σπουδαίαν ὁ θεραπευόμενος ἐπιδείξαισο τὴν ἐπιστροφὴν, ἔξεστι τῷ οἰκονομοῦντι τὴν αὐτοῦ θεραπείαν, συντεμεῖν τὴν ἐκ τῶν κανόνων ὁρισθεῖσαν τῇ ἐπιτιμίᾳ προθεσμίαν.

D Νόμοι.

Οἱ ἀπὸ τῶν τάφων ὕλας ἀφαιροῦντες ὑποκείσθωσαν τῷ τῆς ἱεροσυλίας ἐγκλήματι.

Ἐάν τις ἀπὸ τάφου ἀφέληται λίθους, ἢ κίονας, ἢ μάρμαρα, ἢ ἄλλην οἱανδήποτε ὕλην, εἴκοσι λίτρας χρυσίου τῷ δημοσίῳ καταβαλλέτω.

Οἱ τυμβωρυχοῦντες, καὶ γυμνοῦντες τὰ τῶν τεθνεώτων σώματα, εἰ μὲν μεθ' ὅπλων, κεφαλικῶς τιμωροῦνται· εἰ δὲ χωρὶς ὅπλων, μέχρι μετάλλου.

Οἱ τοὺς νεκροὺς ἐν τοῖς τάφοις ἐκδύοντες χειροκοπείτωσαν.

Οἱ λείψαδα ἢ ὀστᾶ μετακινήσαντες, εὐτελεῖς μὲν

ὄντες, ἄκρως τιμωροῦνται· ἔντιμοι δὲ, περιορίζονται, ἢ εἰς μέταλλα πέμπονται.

Οὐ δεῖ τὰ λείψανα τῶν τελευτώντων ψηλαφᾶσθαι ἢ σκυλεύεσθαι· τὰ δὲ προσκαίρως αποτεθέντα μεταφέρειν ἔξεστι.

Μηδεὶς σῶμα ἀνθρώπινον χωρὶς κελεύσεως βασιλικῆς εἰς ἕτερον τόπον μεταφερέτω.

dem extremum supplicium dant; ingenui vero exsulant, vel mittuntur ad metalla.

Defunctorum reliquias exui spoliarive non licet, quæ autem pro tempore deposita fuere, reponi debebunt.

Nemo absque imperatoris jussu corpus hominis mortui in alienum locum transferat.

ΚΕΦΑΛ. ΙΑ'. Ὅτι τυπτειν κληρικοῖς οὐκ ἐφεται.

Ὁ κζ' τῶν ἁγίων ἀποστόλων κανὼν, Ἐπίσκοπον, φησὶν, ἢ πρεσβύτερον ἢ διάκονον, τύπτοντα πιστοὺς ἁμαρτάνοντας, ἢ ἀπίστους ἀδικήσαντας, καὶ ταύτῃ φοβεῖν ἐκείνους ἐθέλοντα καθαιρεῖσθαι προστάττομεν· οὐδαμοῦ γὰρ ὁ Κύριος τοῦτο ἡμᾶς ἐδίδαξε. Γοὐναντίον δὲ, αὐτὸς τυπτόμενος οὐκ ἀντέτυπτε, λοιδορούμενος οὐκ ἀντελοιδόρει, πάσχων οὐκ ἠπείλει· ἐκέλευε δὲ καὶ τὴν ἀριστερὰν ἐμπαρέχειν τῷ μὴ φειδομένῳ τῆς δεξιᾶς. Ἐλέγχειν γὰρ τοὺς ἀδικοῦντας ἄλλως ἔξεστι, καὶ τοῖς ἀδικουμένοις ἐπικουρεῖν ὁπόση δύναμις· καθὰ δὴ καὶ Παῦλον ἴσμεν τὸν μέγαν. Τιμοθέῳ ἐντελλόμενον, τοὺς ἁμαρτάνοντας ὑπ' ὄψιν πάντων ἐλέγχειν, ἵνα καὶ τοῖς λοιποῖς φόβος ἐγγένηται. Κληρικοῖς δὲ οὐ υεμιτὸν ἑαυτοὺς ἐκδικεῖν· σωφρονίζειν μέντοι μετρίως τοὺς ἰδίους αὐτῶν μαθητὰς ἁμαρτάνοντας, καὶ μετὰ παραγγελίαν μὴ ἐπιστρέφοντας συγκεχώρηται· ὅτι καὶ ὁ Κύριος τοὺς ἐν τῷ ἱερῷ ἐμπορευομένους, ὡς εἰς τὸ Θεῖον ἁμαρτάνοντας, τῷ φραγγελίῳ τύπτων ἀπήλασεν. Εἰ δέ τις καὶ διδάσκαλος ὤν, θυμῷ εἴξας, φονευτηρίῳ τύψειεν ὀργάνῳ, οὐκ ἀτιμώρητος ἔσται.

CAP. XI. *Quod clericis verberare quempiam non permittitur.*

Canon 27 sanctorum apostolorum. Episcopum, ait, aut presbyterum, aut diaconum qui verberat fideles delinquentes, aut infideles male ipsis facientes, atque hoc modo ipsos deterrere vult, deponi mandamus. Nullibi enim Dominus hoc nos docuit; verum e contra ipse vapulans non reverberabat, et conviciis oneratus, non pariter conviciabatur; passus est, et non minitabatur; jussit autem sinistram genam præbere ei qui minime parcit dexteræ. Nam alias increpare licet malefacientes, et hos qui injuriam patiuntur defendere, quantum possumus. Sicuti et magnum Paulum scimus Timotheo præcipere, delinquentes in conspectu omnium reprehendere, ut metus etiam reliquos percellat. Clericis vero haud licet seipsos vindicare. Suos quidem discipulos castigare concessum est, cum delinquunt, et post admonitionem non convertuntur: quia etiam Dominus eos qui in templo negotiabantur, tanquam in Deum peccantes, flagello verberans abegit. Si quis tamen magister iræ impatiens instrumento lethifero verberaverit, haud impune fecerit.

Ὁ δὲ θ' τῆς λεγομένης πρώτης καὶ δεύτερας συνόδου, τὸν ἀποστολικὸν τοῦτον κανόνα δεξιὸν, ἐπιτιμᾷ τοῖς αὐτὸν πειρωμένοις παραχαράττειν, καὶ οἰομένοις τοὺς αὐτοχειρίᾳ τύπτοντας μόνους αἰτιᾶσθαι, οὐ μὴν καὶ τοὺς ἐξ ἐπιτάγματος. Μάταιον γὰρ τοῦτο, φησὶ, καὶ τῆς διανοίας τοῦ ἀποστολικοῦ κανόνος ἀλλότριον, τὸν μὲν τρὶς ἢ τετράκις πλήξαντα καθαιρεισθαι, τὸν δὲ ἐξ ἐπιτάγματος εἰς θάνατον στίζοντα εἶναι ἀθῷον· χρὴ γὰρ τὸν τοῦ Θεοῦ ἱερέα διδαχῇ καὶ νουθεσίᾳ, ἔσθ' ὅτε δὲ καὶ ἐκκλησιαστικοῖς ἐπιτιμίοις τὸν ἀτακτοῦντα ποιδαγωγεῖν, ἀλλὰ μὴ μάστιξι καὶ πληγαῖς εἰς τὰ τῶν ἀνθρώπων ἐπιπηδᾷν ἀσέμνως, καὶ ἐνυβρίζειν σώματα. Εἰ δέ τινες εἶεν παντάπασιν ἀσωφρόνιστοι, τούτους διὰ τοῦ ἐγχωρίου ἄρχοντος οὐδεὶς ὁ κωλύων σωφρονίζειν, ὡς καὶ ὁ τῆς ἐν Ἀντιοχείᾳ ε' κανὼν διορίζεται, ὃν καὶ ζήτει ἐν τῷ ιβ' κεφ. τοῦ Σ στοιχείου.

Tertius autem canon concilii, cui præfuit Photius, anathemati subjicit illum qui ausus fuerit vel verberare 249 vel in custodia detinere episcopum aliquem, sive citra causam hoc faciat, sive causam obtendat. Imo vero etsi causa valde probabilis fuerit, haud tamen est penes summum magistratum eam vindicare, sed oportet ad synodum referre, quæ sola jure potest judicare et punire episcopos delinquentes.

Ὁ δὲ γ' τῆς συνόδου, ἧς ἐξῆρχεν ὁ Φώτιος, ὑπὸ ἀνάθεμα τίθησι τὸν ὅλως τύψαι ἢ φυλακῇ καθεῖρξαι τολμήσαντα τῶν ἐπισκόπων τινὰ, εἴτε χωρὶς αἰτίας, εἴτε καὶ αἰτίαν πλασάμενον. Εἰ δὲ πάνυ εἴη εὐπρόσωπος ἡ αἰτία, οὐδὲ ὁ τὴν μεγίστην ἀρχὴν διέπων ἐκδικεῖν ταύτην δύναται, ἀλλὰ δεῖ τῇ συνόδῳ ἀνατιθέναι, ᾗ μόνῃ κρίνειν ἐφεῖται καὶ κολάζειν τῶν ἐπισκόπων τοὺς ἁμαρτάνοντας.

Leges.

Jus autem civile vetat episcopos manibus suis plectere, pœnam tamen non constituit; in genere autem de quovis verberante aut injuriam inferente decernit, concedens adversus ipsos injuriarum actionem, quæ transigitur et pecuniarie et criminaliter, imo etiam definit, quænam æstimari debet gravis injuria, quænam levis.

Is qui sacerdotem vel in ecclesia, vel in processione percutere attentat, relegetur.

Si læsum fuerit corpus liberum, res judicata erit ad sumptus curationis, et quæstus jacturam, non vero ad deformitatem. Corpus enim liberum non infame redditur. Qui vero corpus servile lædit, postulatur præter jam dicta etiam honestatis ejus diminutæ.

250 INITIUM LITTERÆ Υ.

CAP. I *De injuriis.*

Quære cap. 7 litt. B.

Canon dein 55 sanctorum apostolorum, atque etiam 56. Clericus, inquiunt, qui episcopum suum contumelia afficit, deponatur: « Præfecto enim populi tui non maledices. » Quæ vox est Mosis viri summi. Qui vero presbyterum vel diaconum contumelia affecit, excommunicetur. Nam injuria erga majorem, pœnam etiam majorem postulat, atque erga minores minorem. Quippe hic capitis locum obtinet in corpore Ecclesiæ, illi vero manuum et reliquorum subservientium membrorum.

Canon autem 57 ait: Et qui claudum, vel cæcum, vel cui vitiosus est incessus irrisit, communione privetur, sive sit clericus sive laicus. Tales enim potius miseratione prosequi oportet manum adjutricem porrigentes, quam eos scommatis ac derisionis scopum facere.

Leges.

Atrox injuria vel ex persona, vel ex ipsa re, vel a loco definitur. Ex persona, cum magistratui vel patrono facta fuerit. Ex loco, cum in theatro cunctis videntibus. Ex re, quando vulnus inflictum fuerit, aut facies cæsa. Tales vel ad tempus relegantur, vel aliqua re interdicuntur, si spectabiles fuerint: sin vero liberi fuerint, sed ex plebe, fustibus verberantur; servi autem flagellis cæsi dominis suis traduntur.

Si quis, dum sacra mysteria, vel aliud quodvis sacrorum officiorum peragitur, in sanctam ecclesiam ingressus, episcopum, aut clericos, aliosve ecclesiæ ministros injuria aliqua affecerit, jubemus eum torqueri, et in exsilium relegari: atque si sacra mysteria et liturgias turbaverit, aut celebrari prohibuerit, capite plecti. Idem observetur etiam in processionibus, in quibus episcopi vel clerici reperiuntur; nemque si quis solum contumelia affecerit, tormentis et exsilio luet, sin vero processionem dissipaverit, capite punietur.

A

Νόμοι.

Ὁ δὲ νόμος ἀπαγορεύει μὲν τοῖς ἐπισκόποις πλήττειν χερσὶν οἰκείαις οὐχ ὥρισε δὲ ποινὴν· γενικῶς δὲ περὶ παντὸς τύπτοντος ἢ ὑβρίζοντος διορίζεται, διδοὺς κατ' αὐτῶν τὴν περὶ ὕβρεως ἀγωγήν, ἥτις καὶ χρηματικῶς κινεῖται καὶ ἐγκληματικῶς, καὶ διορίζεται ποία ἐστὶ τραχεῖα ὕβρις, ποία δ' ἐλαφρά.

Ὁ ἱερέα, εἴτε ἐν ἐκκλησίᾳ, εἴτε ἐν λιτῇ ἐπιχειρῶν τύπτειν, ἐξοριζέσθω.

Ἐὰν βλαβῇ σῶμα ἐλεύθερον, ἡ καταδίλη γίνεται εἰς τὴν δαπάνην τῆς ἰατρείας, καὶ τὴν ἀπώλειαν τῆς ἐργασίας, οὐ μὴν τῆς ἀμορφίας· σῶμα γὰρ ἐλεύθερον οὐ διατιμᾶται. Ὁ δὲ σῶμα δούλου βλάψας ἀπαιτεῖται πρὸς τοῖς εἰρημένοις καὶ τὴν ἐλάττωσιν τῆς διατιμήσεως αὐτοῦ.

B

ΑΡΧΗ ΤΟΥ Υ ΣΤΟΙΧΕΙΟΥ.

ΚΕΦΑΛ. Α'· Περὶ ὕβρεων.

Ζήτει τὸ ζ' κεφάλαιον τοῦ Β στοιχείου.

Ὁ δὲ νε' τῶν ἁγίων ἀποστόλων κανὼν, ἔτι δὲ καὶ ὁ νς', Ὁ τὸν ἴδιον ἐπίσκοπον ὑβρίσας κληρικὸς καθαιρείσθω, φησί· « Ἄρχοντα γὰρ τοῦ λαοῦ σου, οὐκ ἐρεῖς κακῶς· » Μωσέως τοῦτο τοῦ πάνυ φωνή. Πρεσβύτερον δὲ ἢ διάκονον ὁ ὑβρίσας ἀφοριζέσθω· ἡ γὰρ πρὸς τὸν μείζονα ὕβρις, καὶ μείζονος ἀξία τῆς τιμωρίας, ἐλάττονος δὲ ἡ πρὸς τοὺς ἐλάττονας. Ὁ μὲν γὰρ κεφαλῆς ἐπέχει τόπον τῷ σώματι τῆς Ἐκκλησίας, οἱ δὲ χειρῶν καὶ τῶν διακονικῶν ἑτέρων μελῶν.

C

Ὁ δὲ νζ', Καὶ ὁ χωλὸν, ἢ τυφλὸν, ἢ τὰς βάσεις πεπλημένον χλευάσας, ἀφοριζεσθω, φησὶν, εἴτε κληρικὸς εἴη, εἴτε τῶν τοῦ λαοῦ. Τοὺς τοιούτους γὰρ ἐλεεῖν μᾶλλον δέον χεῖρα βοηθὸν ἐπορέγοντας, ἢ χλεύης καὶ γέλωτος ποιεῖσθαι ὑπόθεσιν.

Νόμοι.

Ἡ τραχεῖα ὕβρις ἢ ἀπὸ τοῦ προσώπου, ἢ ἀπὸ τοῦ πράγματος, ἢ ἀπὸ τοῦ τόπου κανονίζεται. Ἀπὸ προσώπου, ὅταν ἄρχοντι ἢ πάτρωνι γένηται· ἀπὸ τόπου, ὅταν ἐν θεάτρῳ πάντων ὁρώντων· ἀπὸ τοῦ πράγματος, ὅταν καὶ τραῦμα γένηται, ἢ ὄψις πληγῇ. Οἱ τοιοῦτοι ἢ πρὸς καιρὸν ἐξορίζονται, ἢ τινος κωλύονται πράγματος ἔντιμοι ὄντες· εἰ δὲ ἐλεύθεροι μὲν εἶεν, εὐτελεῖς δὲ, ῥοπαλίζονται· εἰ δὲ δοῦλοι,

D

φραγγελιζόμενοι, τῷ δεσπότῃ ἀποδίδονται.

Εἴ τις τῶν θείων μυστηρίων ἢ τῶν ἄλλων ἁγίων λειτουργιῶν ἐπιτελουμένων εἰς ἁγίαν εἰσελθὼν ἐκκλησίαν, τῷ ἐπισκόπῳ, ἢ τοῖς κληρικοῖς, ἢ τοῖς ἄλλοις ὑπηρέταις τῆς ἐκκλησίας ὕβρεώς τι ἐπαγάγοι, κελεύομεν τοῦτον βασάνους ὑπομεῖναι, καὶ εἰς ἐξορίαν πεμφθῆναι· εἰ δὲ καὶ αὐτὰ τὰ θεῖα μυστήρια καὶ τὰς λειτουργίας ταράξοι ἢ ἐπιτελεῖσθαι κωλύσοι, κεφαλικῶς τιμωρεῖσθαι· τούτου αὐτοῦ καὶ ἐπὶ ταῖς λιταῖς, ἐν αἷς ἐπίσκοποι ἢ κληρικοὶ εὑρίσκονται, φυλαττομένου· ἵνα, εἰ μὲν ὕβριν τις μόνον ποιήσοι, βασάνοις καὶ ἐξορίᾳ παραδοθῇ, εἰ δὲ καὶ τὴν λιτὴν διασκεδάσοι, κεφαλικὸν κίνδυνον ὑπομείνῃ.

ΚΕΦΑΛ. Β'. Περὶ Ὑδροπαραστατῶν αἱρετικῶν. A

Ζήτει ἐν τῷ β' κεφ. τοῦ Α στοιχείου, καὶ ἐν τῷ η' κεφ. τοῦ Κ στοιχείου κανόνα λβ' τῆς ς' συνόδου.

ΚΕΦΑΛ. Γ'. Περὶ υἱοθεσίας.

Ζήτει ἐν τῷ η κεφ. τοῦ Β στοιχείου.

Ὁ υἱοθετῶν ὀφείλει μείζων εἶναι κατὰ τὴν ἡλικίαν τοῦ υἱοθετουμένου χρόνοις ιη' · ἡ γὰρ θέσις μιμεῖται τὴν φύσιν.

ΚΕΦΑΛ. Δ'. Περὶ ὑπηρετῶν ἤτοι ὑποδιακόνων.

Ὁ κα' τῆς ἐν Λαοδικείᾳ συνόδου κανὼν, Οὐκ ἔξεστι, φησὶ, τοῖς ὑπηρέταις, ἐν τῷ οὕτω πως ὠνομασμένῳ διακονικῷ, τῶν ἱερῶν ἅπτεσθαι σκευῶν, πρὸς τὸ δι' αὐτῶν ἱερουργῆσαι δηλονότι τὰ εἰς θυσίαν προσφερόμενα, τὸν ἄρτον, φημὶ, καὶ τὸν οἶνον, ἐκ τῶν περιεχόντων ὑποδηλῶν τὰ περιεχόμενα · οὐ γὰρ ἐφεῖται τούτοις τὰ τῶν διακόνων μετιέναι. Κενῶν δὲ B τῶν ἱερῶν σκευῶν ἅπτεσθαι, καὶ πρὸς τὴν ἱερουργίαν ἑτοιμάζειν, καὶ μετὰ τοῦτο περιστέλλειν, καὶ ἐν καλῷ τοῦ νεὼ τιθέναι, τοῖς ὑποδιακόνοις παντὸς μᾶλλον προσῆκον · τοῦτο καὶ γὰρ αὐτοῖς ἡ διακονία.

Ὁ δὲ κε' οὐδὲ ἄρτον διδόναι, ἢ ποτήριον εὐλογεῖν ἐφίησι τὸν ὑπηρέτην, ἤτοι τὸν ὑποδιάκονον.

Ὁ δὲ μγ' οὔτε τοῦ λαοῦ ὑπερεύχεσθαι τοὺς ὑποδιακόνους κελεύει ἐν τῷ τῆς θείας λειτουργίας καιρῷ, οὔτε τὰ θεῖα μεταχειρίζειν μυστήρια, τοῦτο γὰρ ἔργον μόνοις τοῖς ἱερεῦσιν, ἀλλὰ ταῖς θύραις ἑφεστάναι τῶν ἁγίων ἐκκλησιῶν, καὶ μηδὲ πρὸς βραχὺ τούτων ἀφίστασθαι, ὥστε εἰσάγειν τε καὶ ἐξάγειν τοὺς κατηχουμένους, τοὺς ἐν μετανοίᾳ, καὶ τοὺς λοιποὺς. Ἓν δὲ καὶ τοῦτο τῶν τῆς Ἐκκλησίας ταγμάτων, τὸ τῶν ὑπηρετῶν, φημὶ, τῶν καὶ θεραπευτῶν C λεγομένων, καὶ ὑποδιακόνων, παρὰ τοσοῦτον τοῦ λαϊκοῦ πληρώματος ὑψηλότερον, παρ' ὅσον τῶν τοῦ βήματος ταπεινότερον.

Ζήτει καὶ ἐν τῷ θ' κεφ. τοῦ Α στοιχείου κανόνα τῆς ἐν Σαρδικῇ συνόδου ιε' καὶ ἐν τῷ θ' κεφ. τοῦ Σ στοιχείου κανόνα τῆς ἐν Λαοδικείᾳ κδ' καὶ κγ'. Ζήτει καὶ τὸ λ' κεφ. τοῦ Ε στοιχείου.

ΚΕΦΑΛ. Ε'. Περὶ ὑποβόλου.

Ἡ τοῦ σοφοῦ Λέοντος νεαρὰ, Πλείονα δεῖ εἶναι, φησὶ, τὴν προῖκα τοῦ ὑποβόλου · τοῦ δὲ ἀνδρὸς ἀτέκνου τελευτήσαντος, ἂν μὴ παρῇ σύμφωνον, ἀνακομίζεται ἡ γυνὴ τήν τε προῖκα καὶ τὸ ὑπόβολον. καὶ πλέον οὐδέν. Εἰ δὲ τὴν γυναῖκα ὁ θάνατος διασπάσει, τῆς μὲν οἱ κληρονόμοι τὴν προῖκα λαμβανέτωσαν · ὁ δὲ ἀνὴρ τοῦ ἰδίου μὴ ἀποστερείσθω D ὑποβόλου.

ΑΡΧΗ ΤΟΥ Φ ΣΤΟΙΚΕΙΟΥ.

ΚΕΦΑΛ. Α'. Περὶ Φαλκιδίου.

Φαλκιδιός ἐστι νόμος περιαιρῶν ἀπὸ τῶν λεγαταρίων τὸ τρίτον μέρος τῆς πατρικῆς οὐσίας, καὶ περιποιῶν τῷ κληρονόμῳ · ἐπενοήθη δὲ προνοίᾳ τῶν παίδων, ἵνα οἱ φυσικοὶ κληρονόμοι πρότερον θεραπευθῶσιν. Ἔστι δὲ τοιοῦτος · Εἰ μὲν εἷς ὢν τυγχάνει τῷ πατρὶ παῖς, ἢ δύο, ἢ τρεῖς, ἄχρι καὶ τῶν τεσσάρων, ὑπεξαιρουμένων πρότερον τῶν χρεῶν, καὶ τῶν ἐν τῇ κηδείᾳ ἀναλωμάτων, καὶ τῶν ἐπ' εὐσεβείᾳ διδομένων, ἔτι δὲ καὶ τῶν τιμημάτων τῶν ἐλευθερω-

CAP. II. *De Hydroparastatis hæreticis.*

Quære in cap. 2 litt. A, et in cap. 8 litt. K. canonem 52 synodi sextæ.

CAP. III. *De adoptione.*

Vide in cap. 8 litt. B.

Qui adoptat adoptato major 18 annis esse debet. Nam adoptio naturam sequitur.

251 CAP. IV. *De ministris sive hypodiaconis.*

Canon 21 synodi Laodicenæ. Non licet, inquit, ministris in loco, qui vocatur diaconicum, sacra vasa attingere, nempe ad ministrandum ea quæ in sacrificium offeruntur, panem, dico, et vinum, per continens quidem id quod continetur subinnuens. Non enim istis permittitur diaconorum munus obire. Vasa autem vacua tangere, et ad sacrum officium præparare, et postea deponere, et in loco templi commodo collocare, hypodiaconis maxime convenit. Hoc enim eorum ministerium est.

Canon vero 25 neque panem distribuere, neque poculum benedicere permittit ministrum sive hypodiaconum.

Atque 43 jubet hypodiaconos neque pro populo orare, quo tempore sacra mysteria peraguntur, neque sacra illa manibus suis contrectare, quod peculiare munus est sacerdotum ; sed ad fores astare sacrarum ecclesiarum, et ne tantillum quidem illas relinquere, ut possint educere et introducere catechumenos pœnitentiam agentes, atque etiam reliquos. Hic autem ipse ex ordinibus ecclesiaticis, scilicet ministrorum et servorum, ut vocantur, seu hypodiaconorum tanto laicorum superior, quanto gradibus ecclesiasticis inferior.

Quære et in nono capite litt. A can. syn. Sardicensis 15, et in 9 cad. litt. Σ can. 22 et 23 syn. Laodicenæ. Vide etiam cap, 30 litt. E.

CAP. V. *De donatione ante nuptias.*

Leonis Sapientis constitutio novella, Dotem, inquit, oportet majorem esse donatione. Si vir tamen sine liberis moriatur, et contractus non intercesserit, repetit mulier dotem et donationem ante nuptias, et nihil præter. At si mors corripiat mulierem, hæredes ipsius dotem recipiant ; sed vir suam donationem minime amittat.

252 INITIUM LITTERÆ Φ.

CAP. I. *De lege Falcidia.*

Falcidia est lex quæ a legatis eximit tertiam partem patrimonii, eamque hæredi concedit. Lata autem est liberorum causa, ut naturalibus hæredibus primo prospiceretur. Sic autem lex se habet: Si pater vel unum vel duos vel tres et usque ad quatuor filios habuerit, subductis prius debitis, atque sumptibus in luctu factis, et iis quæ in pios usus erogantur, tum etiam pretio servorum libertate donandorum, accipient liberi tertiam partem

bonorum paternorum. Sin vero quinque fuerint liberi, aut ultra, atque insuper, possident dimidium facultatum, reliquum vero parter largitur, ut ipsi tibet, vel uni vel pluribus filiorum suorum, aut extraneo cuilibet. Si tamen in profondum forte projicere velit pater, nemo ei criminari potest. Dicit autem lex : Legata, quæ in pios usus relinquuntur, ante legem Falcidiam obtinere volumus.

A

CAP. II. *De veneficis et magis.*

Quære cap. 1 litt. M.

CAP. II. *De stupro.*

Quære in cap. 15 litt. M canonem 18 et 60 magni Basilii; et cap. 13 litt. A; et cap. 8 et 30 lit. Γ.

B

CAP. IV. *De avaritia.*

Vide cap. 11 litt. II.

CAP. V. *De homicidio voluntario et involuntario.*

Canon 65 sanctorum apostolorum. Qui in pugna, inquit, et jurgio percutiens aliquem interfecerit, quamvis unicum ictum intulerit, si clericus fuerit, deponatur, propter animi sui temeritatem; at si laicus, excommunicetur. Nam propterera etiam Dominus jubet oppressum non solum non obsistere, sed dexteram præbere ferienti; ideo quod sæpe pugna in cædem disinit.

Magnus autem Gregorius Nyssenus in can. 5, Crimen, inquit, homicidii in voluntarium et involuntarium distinguitur. Et homicidium quidem voluntarium est, quod ex deliberatione perpetratur; deinde et illud inter **253** voluntaria recensetur, quando quis in congressu et pugna verberans et verberatus, inferat arrepta opportunitate manu sua ictum lethalem. Nam qui animi impotens iræ suæ impetui locum dederit, jam nihil eorum in mentem induxit quæ malum præcidere poterant, dum viget passio; adeo ut homicidium ex congressu referatur inter deliberationis opera, et neutiquam inter fortuita.

C

Involuntaria autem homicidia indicia manifesta habent, cum quis, dum aliud prorsus intendit, fortuito aliquid eorum quæ curari non possunt, facerit. Homicidii autem voluntarii pœna ad 27 annos extenditur, qui in tria novennia distinguntur, ita ut per primum novennium pœnitens penitus segregetur, et extra ecclesiam stans ploret ; reliqua autem duo transigat partim, et quidem primum in statione audientium, partim in numero procidentium, atque ita ad participationem mysteriorum accedat. At vero si viri insignis puniti conversio, et pœnitentiæ vehementia vincat eam in longiori tempore seipsos lentius purgantium, contrahetur ipsi et pœnæ mora, ut pro annis novem, qui singulis gradibus competit, octo aut septem aut sex

D

θέντων οἰκετῶν, λαμβάνουσιν οἱ παῖδες τὸ γ' τῆς καθαρᾶς περιουσίας τοῦ πατρός. Εἰ δὲ ε' εἰσὶν οἱ παῖδες καὶ ἐπέκεινα, τὸ ἥμισυ κτῶνται τῆς ὑποστάσεως, τὸ δὲ λοιπὸν φιλοτιμεῖται ὁ πατὴρ ἔνθα ἂν αἱρεῖται, ἢ ἑνὶ τῶν αὐτοῦ παίδων, ἢ πλείοσιν, ἢ ξένῳ οἱῳδήτινι. Εἰ δὲ καὶ κατὰ βυθοῦ ῥῖψαι βουληθείη τυχὸν ὁ πατὴρ, οὐκ ἔχει τὸν ἀνακρίνοντα. Φησὶ δὲ ὁ νόμος · Τὰ ἐπ' εὐσεβείᾳ καταλιμπανόμενα λεγάτα καὶ τοῦ Φαλκιδίου αὐτοῦ κατὰ προτίμησιν ἀνώτερα εἶναι θεσπίζομεν.

ΚΕΦΑΛ. Β'. Περὶ φαρμακῶν καὶ μάγων.

Ζήτει τὸ α' κεφάλαιον τοῦ Μ στοιχείου.

ΚΕΦΑΛ. Γ'. Περὶ φθορᾶς παρθένων.

Ζήτει ἐν τῷ ιε' κεφ. τοῦ Μ στοιχείου κανόνα τοῦ μεγάλου Βασιλείου ιη' καὶ ξ', καὶ τὸ ιγ' κεφ. τοῦ Α στοιχείου, καὶ τοῦ Γ στοιχείου τὸ η' καὶ λ' κεφάλαιον.

ΚΕΦΑΛ. Δ'. Περὶ φιλαργυρίας.

Ζήτει τὸ ια' κεφάλαιον τοῦ Π στοιχείου.

ΚΕΦΑΛ. Ε'. Περὶ φόνων ἑκουσίων καὶ ἀκουσίων.

Ὁ ξε' τῶν ἁγίων ἀποστόλων κανὼν, Ὅστις ἐν μάχῃ, φησὶ, καὶ φιλονεικίᾳ πλήξας ἀποκτείνει τινὰ, εἰ καὶ μίαν ἔτυχε κατενεγκὼν τὴν πληγὴν, εἰ μὲν κληρικὸς εἴη, καθαιρείσθω διὰ τὴν προπέτειαν αὐτοῦ · εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω. Διὰ γάρ τοι τοῦτο καὶ ὁ Κύριος οὐχ ὅπως μὴ ἀμύνεσθαι τὸν λελυπηκότα, ἀλλὰ καὶ τὴν δεξιὰν ἐμπαρέχειν κέλευει τῷ παίοντι, οἷα τῆς μάχης ἔσθ' ὅτε τελευτώσης εἰς φόνον.

Ὁ δὲ μέγας Γρηγόριος Νύσσης ἐν τῷ ε' κανόνι, Τὸ τοῦ φόνου, φησὶν, ἄγος τῇ διαφορᾷ τοῦ ἑκουσίου καὶ τοῦ ἀκουσίου διῄρηται. Καὶ ἑκούσιος μέν ἐστι φόνος ὁ ἐκ παρασκευῆς τετολμημένος · ἔπειτα κἀκεῖνος ἐν τοῖς ἑκουσίοις ἐνομίσθη, ὅταν τις ἐν συμπλοκῇ καὶ μάχῃ τύπτων τε καὶ τυπτόμενος ἐνέγκῃ κατὰ τινος καιρίαν τὴν διὰ χειρὸς πληγήν. Ὁ γὰρ ἄπαξ τῷ θυμῷ κρατηθεὶς, καὶ τῇ ὁρμῇ τῆς ὀργῆς χαριζόμενος, οὐδὲν ἂν παρὰ τὸν καιρὸν τοῦ πάθους τῶν ἀνακόψαι τὸ κανὸν δυναμένων ἐπὶ νοῦν λάβοι ποτὲ, ὥστε καὶ τὸ ἐκ συμπλοκῆς ἀποτέλεσμα τοῦ φόνου εἰς ἔργον προαιρέσεως, καὶ οὐκ εἰς ἀποτυχίαν ἀνάγεται.

Οἱ δὲ ἀκούσιοι φόνοι φανερὰ ἔχουσι τὰ γνωρίσματα, ὅταν τις πρὸς ἕτερόν τι τὴν σπουδὴν ἔχων, ἐξ ἀποτυχίας τῶν ἀνηκέστων τι δράσῃ. Τοῦ μὲν οὖν ἑκουσίου φόνου εἰς ἑπτὰ καὶ εἴκοσι χρόνους παρατείνεται τὸ ἐπιτίμιον, εἰς τρεῖς ἐννεατηρίδας διαιρουμένους · ὡς ἐπὶ μὲν τῆς μιᾶς παντελῶς εἶναι ἀφωρισμένον τὸν ἐπιτιμηθέντα, ἔξω τῆς ἐκκλησίας ἱστάμενον, καὶ προσκλαίοντα · τὰς δὲ λοιπὰς, δύο εἰς τε τὴν τῶν ἀκροωμένων πρότερον, εἶτα τῶν ὑποπιπτόντων διελθόμενον στάσιν, οὕτως ἐπὶ τὴν τῶν ἁγιασμάτων μετουσίαν ἐλθεῖν. Εἰ δὲ τὸ μέγεθος τῆς ἐπιστροφῆς τοῦ ἐπιτιμηθέντος καὶ ἡ τῆς μετανοίας θερμότης περιγένοιτο τῶν ἐν μακρᾷ προθεσμίᾳ ῥᾳθυμότερον ἑαυτοὺς ἐκκαθαιρόντων, συντμηθήσεται αὐτῷ καὶ ἡ τοῦ ἐπιτιμίου παράτασις, ὥστε ἀντὶ τῶν ἐφ' ἑκάστῳ βαθμῷ

ἐννέα ἐτῶν ἀκτὼ, ἢ ἑπτὰ, ἢ ἕξ, ἢ πέντε μόνα γενέσθαι κατὰ τὴν κρίσιν τοῦ τὴν Ἐκκλησίαν οἰκονομοῦντος.

Ὁ δὲ ἀκούσιος φόνος συγγνωστὸς μὲν, οὐ μὴν ἐπαινετὸς ἐκρίθη. Τὸν γὰρ ἀλόντα τῷ μιάσματι τουτῳ, ὡς ἐξάγιστον ἤδη γενόμενον, ἀπόβλητον ἱερατικῆς χάριτος ὁ κανὼν ἀπεφήνατο· ὅσος δέ ἐστιν ἐπὶ τῇ ψιλῇ πορνείᾳ τοῦ καθαρσίου ὁ χρόνος τῶν ἐννέα ἐτῶν, τοσοῦτος καὶ ἐπὶ τῶν ἀκουσίως πεφονευκότων καλῶς ἔχειν ἐδοκιμάσθη· δηλαδὴ καὶ ἐν τούτῳ τῆς προαιραίστως τοῦ μετανοοῦντος δοκιμαζομένης, εἰ δέον τὸν ὁρισθέντα χρόνον αὐτῷ ἐξήκειν ἢ ἐλάττω γενέσθαι.

Οὕτω καὶ ὁ μέγας Βασίλειος ἐν τῷ η' κανόνι τὸν ἑκούσιον καὶ ἀκούσιον ὁριζόμενος φόνον. Ἀκούσως μέν ἐστι, φησὶν, ὅταν τις ἀκοντίσας λίθον, ἐφ' ᾧ θηρίον ἀμύνασθαι, ἢ κατασεῖσαι δένδρου καρπὸν, ἄνθρωπον παριόντα μὴ προϊδὼν, εἰς θάνατον πλήξῃ· οὐ μὴν ἀλλὰ καὶ εἴ τις ἐπιστρέψαι τινὰ βουλόμενος, ἱμάντι ἢ ῥάβδῳ, μὴ πάνυ τραχείᾳ τύψοι, ἀποθάνοι δὲ ὀτυπτόμενος· ἡ γὰρ πρόθεσις ἐνταῦθα σκοπεῖται, ὅτι βελτιῶσαι ἐβούλετο τὸν ἁμαρτάνοντα, οὐκ ἀνελεῖν. Ἐν τοῖς ἀκουσίοις ἐστὶ κἀκεῖνο, ὅταν τις ἀμυνόμενος ἐν μάχῃ τινὰ, ξύλῳ ἢ χειρὶ ἀφειδῶς ἐπὶ τὰ καίρια τὴν πληγὴν ἐνέγκῃ, ἐφ' ᾧ κακῶσαι τοῦτον, οὐχ ὥστε παντελῶς ἀνελεῖν· ἀλλὰ τοῦτο ἤδη προσεγγίζει τῷ ἑκουσίῳ. Ὁ γὰρ τοιούτῳ χρησάμενος ὀργάνῳ πρὸς ἄμυναν, καὶ μὴ πεφεισμένως τὴν πληγὴν ἐπαγαγών, δῆλός ἐστι τῷ κεκρατῆσθαι ὑπὸ τοῦ πάθους ἀφειδῶν τοῦ ἀνθρώπου. Ὁμοίως καὶ ὁ ξύλῳ βαρεῖ ἢ λίθῳ μείζονι τῆς δυνάμεως τῆς ἀνθρωπίνης χρησάμενος, τοῖς ἀκουσίοις φονεῦσι συναριθμεῖται· ἄλλο μέν τι προελόμενος, ἄλλο δέ τι ποιήσας. Ὑπὸ γὰρ τοῦ θυμοῦ τοιαύτην ἤνεγκε τὴν πληγὴν, ὥστε ἀνελεῖν τὸν πληγέντα· καί τοι ἡ σπουδὴ ἦν αὐτῷ συντρίψαι τυχὸν, οὐχὶ καὶ παντελῶς θανατῶσαι. Ὁ μέντοι ξίφει χρησάμενος οἰφδήτινι, οὐδεμίαν ἔχει παραίτησιν, καὶ μάλιστα ὁ τὴν ἀξίνην ἀκοντίσας· καὶ γὰρ οὐδὲ ἀπὸ χειρὸς φαίνεται πλήξας, ὥστε τὸ μέτρον τῆς πληγῆς ἐπ' αὐτῷ εἶναι· ἀλλ' ἠκόντισεν. ὥστε τῷ βάρει τοῦ σιδήρου, καὶ τῇ ἀκμῇ, καὶ τῇ διὰ πλείστου φορᾷ, ὀλεθρίαν τὴν πληγὴν ἀναγκαίως γενέσθαι.

Ἑκούσιον δὲ πάλιν παντελῶς, καὶ οὐδεμίαν ἔχον ἀμφιβολίαν, οἷόν ἐστι τὸ τῶν ληστῶν, καὶ τὸ τῶν πολεμικῶν ἐφόδων. Οἱ μὲν γὰρ χρημάτων ἕνεκεν ἀνειροῦσι, τὸν ἔλεγχον ἀποφεύγοντες· οἱ δὲ ἐν τοῖς πολέμοις ἐπὶ φόνους ἔρχονται, οὔτε φοβῆσαι, οὔτε σωφρονίσαι, ἀλλ' ἀνελεῖν τοὺς ἐναντιουμένους ἐκ τοῦ φανεροῦ προαιρούμενοι. Καὶ μέντοι κἂν δι' ἄλλην τινὰ αἰτίαν περίεργον φάρμακόν τις ἐγκεράσῃ, ἀνέλῃ δὲ, ἑκούσιον τιθέμεθα τὸ τοιοῦτον· οἷα ποιοῦσιν αἱ γυναῖκες πολλάκις, ἐπαοιδίαις τισὶ καὶ καταδέσμοις πρὸς τὸ ἑαυτῶν φίλτρον ἐπάγεσθαι τοὺς ἄνδρας πειρώμεναι, καὶ προσδιδοῦσαι φάρμακα, σκότωσιν ἐμποιοῦντα ταῖς αὐτῶν διανοίαι· αἱ τοιαῦται ἀνελοῦσαι, εἰ καὶ ἄλλο προελόμεναι, ἄλλο ἐποίησαν, ὅμως διὰ τὸ περίεργον καὶ ἀπηγορευμένον τῆς ἐπιτηδεύ-

A vel solum 5 annos agat, juxta sententiam ejus qui Ecclesiam regit.

Cædes autem involuntaria, venia quidem, non tamen laude digna æstimata est. Nam qui ea culpa tenetur, tanquam im purum ac piaculum, gratia sacerdotali rejiciendum decernit canon. Quantum autem temporis simplici fornicationi expurgandæ statuitur, tantum etiam convenire existimatum est, scilicet spatium novema nnorum, reconciliandis homicidiis involuntariis, hic etiam ratione pœnitentis habita, an opus sit tempus definitum ipsi integrum protrahi, an vero contrahi.

Sic etiam magnus Basilius in 8 canone cædem voluntariam et involuntariam definiens dicit : Involuntaria quidem est, quando quis lapidem projicit,eo fine ut bestiam propulset,aut arboris fructum excutiat, atque minime id volens hominem prætereuntem lethaliter percutit ; imo et si quis cupiens aliquem convertere in melius, loro vel virga non admodum dura eum verberet adeo ut intermoriatur is qui vapulat. Propositum enim tum considerabatur, quod corrigere delinquentem voluit, non interimere. Illud etiam est in homicidiis involuntariis, ubi qui in pugna acriter aliquem propulsans ligno aut manu satis gravem plagam incutit, qua eum lædere possit, non vero penitus interficere : sed hoc quidem proxime ad voluntarium accedit. Qui enim tali instrumento usus fuerit ad se defendendum, et ita vulnus inflixerit dirissimum, pro animi impotentia in hominem sæviisse videtur. Similiter et qui ligno gravi aut lapide majore quam pro viribus humanis usus est, involuntariis homicidiis adnumeratur, tanquam quid aliud voluerit, aliud vero fecerit. Illuc enim vulnus ira commotus intulit, quo percussum interfecit : quanquam ei forte in animo erat eum lædere, non tamen penitus enecare. Qui autem ense aliquo usus est, nullam habet excusationem, præsertim qui securim jaculatur : non enim manu percussisse videtur, ut sit aliqua moderatio ictus penes illum : sed projecit, ut et gravitate ferri, et acie et motu per bene magnum spatium, vulnus necessario sit perniciosum.

254 Porro voluntarium simpliciter dicitur, et nullam omnino dubitationem patitur, id quod a latronibus fit et hostibus. Isti enim propter pecuniam interimunt, tribunal fugientes, et qui bella gerunt ad cædes patrandas accedunt, neque terrere neque castigare, sed ex professo adversarios interficere student. Imo etiam si propter aliquam aliam causam fatale medicamentum aliquis misceat, atque ita interficiat, voluntariam esse istam cædem judicamus. Istud sæpe faciunt muliares, quæ quibusdam incantationibus ac amuletis ad sui amorem viros attrahere conantur, et dant iis medicamenta quæ mentibus tenebras offundunt. Hæ ergo, si enecent, quamvis aliud voluerint, aliud fecerint, propter lethiferum atque prohibitum medicamen,

inter voluntarios homicidas reputabuntur. Imo et quæ abortum cientia medicamenta præbent, vel quæ recipiunt venena fœtum necantia aut præcipitantia, nihil plane a voluntariis homicidis differunt.

In canone autem 43 : Quisquis vulnus lethale vicino inflixerit, sive prior aggressus sit, sive se defenderit, homicida est.

Atque canone 56 : Qui sua sponte interfecet, et postea pœnitentia ductus fuerit, per 20 annos sacra communione privabitur ; scilicet annis quatuor extra fores oratorii stans et flens, et palam denuntians crimen suum, atque rogans fideles intrantes, ut pro ipso Deum precari velint ; tum per quinquennium una cum audientibus egredietur ; dein septem annis simul cum substratis ante finitam liturgiam exibit. In reliquis quatuor, pedibus stabit, et hoc faciet continuo in celebratione Eucharistiæ.

A sacramento autem Eucharistiæ per docennium excludit homicidam involuntarium canon 57. Verum in canone 54 ipro ratione circumstantiarum pœnas homicidæ involuntarii remitti vel roborari jubet.

Atque in can. 11 sufficere affirmat id supplicii involuntarie interficienti, quod undecim annos a communione abstineat. Excedit enim istud etiam præscriptum sacris cononibus tempus. Quoad illos qui percussi sunt, legem Mosaicam observare oportet : et hunc quidem, qui propter plagas decubuit, rursus tamen baculo suo innixus ambulat, occisum esse minime existimare ; sin autem post vulnus non surrexit, quia eum nollet interficere qui verberavit, nomicida quidem est, sed involuntarius propter propositum.

Canon autem 22 synodi Neocæsariensis eos qui in homicidium involuntarium incidunt, ait, prior constitutio per septennium communicare vetat, posterior autem quinquennium adimplere jubet.

Canon vero 23 homicidas voluntarios in exitu vitæ ad communionem admitti jubet. Tu tamen potuis sequere cononos magni Basilii.

CAP. VI. *De suicidis.*

Vide 12 cap. litt. B.

255 CAP. VII. *De cædibus bellicis, et latronum interfectoribus.*

Magnus sane Athanasius, in epistola ad Ammum, Hominem occidere, inquit, non licet, sed tamen hostes in bello interficere et licet, et laude etiam dignum est.

Magnus autem Basilius in can. 13, Cædes, inquit, bellicas Patres nostri homicidia esse minime reputabant, ignoscentes, ut mihi videtur, iis qui pro virtute et pietate decertant. Recte tamen hoc consilii dedisse videntur, ut a communione per triennium tanquam manibus impuri abstinant. Laude enim dignos existimat etiam eos sanctus hic Pater qui in hostes impetum faciunt, et genus Christianum defendunt ; qui enim illorum in laudem

σεως ἐν τοῖς ἑκουσίως φονεύουσι καταλογίζονται. Καὶ αἱ τὰ ἐμβρυοκτόνα τοίνυν ἐπορέγουσαι ἢ δεχόμεναι φάρμακα, ὡς ἀμβλωθρίδια προενεγκεῖν καὶ ἄωρα τὰ γεννήματα, οὐδὲν τοῖς ἑκοντὶ φονεύουσιν ἀπεπίκασιν.

Ἐν δὲ τῷ μγ', Ὅστις, φησὶ, θανάτου πληγὴν τῷ πλησίον δέδωκε, φονεύς ἐστιν. εἴτε ἦρξε τῆς πληγῆς, εἴτε ἠμύνατο.

Ἐν δὲ τῷ νς'. Ὁ ἑκοντὶ φονεύσας, ἔπειτα μεταμεληθείς, εἰς κ' ἔτη τῆς κοινωνίας ἐκποδὼν ἔσται τῶν ἁγιασμάτων, ἐν τέσσαρσιν ἔτεσιν ἔξω τῆς θύρας τοῦ εὐκτηρίου ἑστὼς καὶ προσκλαίων, καὶ τὴν ἰδίαν ἐξαγορεύων παρανομίαν, τῶν εἰσιόντων τε πιστῶν δεόμενος εὐχὴν ὑπὲρ αὐτοῦ ποιεῖσθαι· ἐν πέντε ἔτεσι μετὰ τῶν ἀκροωμένων ἐξελεύσεται, καὶ αὖθις ἐν ἑπτὰ μετὰ τῶν ἐν ὑποπτώσει ἔνδον οὐ μενεῖ διὰ τέλους· ἐν τοῖς λοιποῖς τέσσαρσι συστήσεται· καὶ ταῦτα διηνυκὼς, ἐν μεθέξει τῶν ἁγιασμάτων γενήσεται.

Τὸν δὲ ἀκουσίως πεφονευκότα ἐν τῷ νζ εἰς δέκα ἔτη τῆς τῶν ἁγιασμάτων κοινωνίας ἀπείργει. Ἐν δὲ τῷ νδ' κατὰ τὸ ἰδίωμα τῆς περιστάσεως τοῦ ἀκουσίως φονεύσαντος ἢ ὑφεῖναι, ἢ ἐπιτεῖναι κελεύει τὰ ἐπιτίμια.

Ἐν δέ γε τῷ ια' ἀποχρῶσαν εἶναί φησι καταδίκην τῷ ἀκουσίως φονεύσαντι, τὸ ἐπὶ ἕνδεκα ἔτη μὴ κοινωνῆσαι· ὑπερβέβηκε γὰρ καὶ τὸν τετυπωμένον τοῖς κανόσι καιρόν. Ἐπὶ δὲ τῶν πληγέντων, τὰ Μωσέως παρατηρήσωμεν· καὶ τὸν κατακλιθέντα μὲν ὑπὸ τῶν πληγῶν, ἃς ἔλαβε, βαδίσαντα δὲ πάλιν ἐπὶ τῇ ἑαυτοῦ ῥάβδῳ, οὐ λογισόμεθα πεφονεῦσθαι. Εἰ δὲ οὐκ ἐξανέστη μετὰ τὰς πληγὰς, ἀλλ' οὖν τῷ μὴ προελέσθαι αὐτὸν ἀνελεῖν, ὁ τυπτήσας φονεὺς μὲν, ἀλλ' ἀκούσιος διὰ τὴν πρόθεσιν.

Ὁ δὲ τῆς ἐν Ἀγκύρᾳ συνόδου κανὼν κβ' τοὺς ἀκουσίῳ φόνῳ περιπεσόντας, φησὶ, ὁ μὲν πρότερος ὅρος ἐν ἑπταετίᾳ κελεύει τοῦ τελείου μὴ μετασχεῖν· ὁ δὲ δεύτερος τὸν πενταετῆ χρόνον πληρῶσαι.

Ὁ δὲ κγ' τοὺς ἑκουσίως φονεύσαντας ἐν τῷ τέλει τοῦ βίου τῆς κοινωνίας ἀξιοῦσθαι κελεύει. Σὺ δὲ τοῖς τοῦ μεγάλου Βασιλείου μᾶλλον πείθου κανόσιν.

ΚΕΦΑΛ. ϛ'. Περὶ τῶν φονευόντων ἑαυτούς.

Ζήτει τὸ ιβ' κεφάλαιον τοῦ Β στοιχείου.

ΚΕΦΑΛ. Ζ'. Περὶ τῶν φόνων τῶν ἐν πολέμῳ, καὶ τῶν φονευόντων λῃστάς.

Ὁ μὲν μέγας Ἀθανάσιος ἐν τῇ πρὸς Ἀμμοῦν ἐπιστολῇ. Φονεύειν οὐκ ἔξεστι, φησὶν, ἀλλ' ἐν πολέμῳ ἀναιρεῖν τοὺς ἀντιπάλους, καὶ ἔννομον καὶ ἐπαίνου ἄξιον.

Ὁ δὲ μέγας Βασίλειος ἐν τῷ ιγ' κανόνι. Τοὺς ἐν πολέμοις φόνους οἱ Πατέρες ἡμῶν, φησὶν, ἐν τοῖς φόνοις οὐκ ἐλογίσαντο, ἐμοὶ δοκεῖ, συγγνώμην δόντες τοῖς ὑπὲρ σωφροσύνης καὶ εὐσεβείας ἀμυνομένοις. Τάχα δὲ καλῶς ἔχει συμβουλεύειν, ὡς τὰς χεῖρας μὴ καθαροὺς, τριῶν ἐτῶν τῆς κοινωνίας ἀπέχεσθαι. Δι' ἐπαίνου γὰρ τίθεται καὶ ὁ θεσπέσιος οὗτος Πατὴρ, τοὺς ὁμόσε τοῖς ἀντιπάλοις εὐψύχως ἰόντας, καὶ τοῦ τῶν Χριστιανῶν γένους ὑπερασπίζοντας.

Τί γὰρ τῶν ὑπὲρ σωφροσύνης καὶ εὐσεβείας ἀμυνομένων εἰς ἐπαίνου λόγον γένοιτ' ἂν ἀξιώτερον ; Ὅτι γε μὴν αὐτῷ πρόκειται σκοπὸς, τὰς συνεζευγμένας ἔσθ' ὅπη καὶ ταῖς ἀγαθαῖς τῶν πράξεων καθαίρειν κηλῖδας, μετρίως καὶ τούτοις ἐπιτιμᾷ, ὥσπερ, οἶμαι, καὶ ὁ μέγας ἂν ἐποίησεν Ἀθανάσιος, εἰ ταύτην προστησάμενος καὶ αὐτὸς ἐτύγχανε τὴν ὑπόθεσιν, καὶ μὴ ἐτέρωσε βλέπων, τούτων ἀπεμνημόνευσεν. Ἀλλ' οἱ τῆς μεγαλονοίας τοῦ νομοθέτου μὴ ἐφικνούμενοι, μηδὲ τῶν ἀνθρωπίνων κατορθωμάτων τὸ πρὸς κακίαν ἀγχίθυρον στοχαζόμενοι, μέμψεις αὐτῷ περιάπτειν τολμῶσιν, οἷα φορτικὸν ὂν τὸ τῆς συμβουλῆς, καὶ τῆς ἀρθῆς ἀποδέον κρίσεως. Συμβήσεσεται γὰρ, φασὶ, παρὰ τοῦτό, τῶν στρατιωτῶν τοὺς εὐδοκιμωτάτους, καὶ μάλιστα οἷς ἔργον, ξίφει καὶ φόνῳ τὰς τῶν ἀλλοφύλων ἀνακόπτειν ὁρμὰς, διὰ βίου τῆς τοῦ ἀγαθοῦ στέρεσθαι μετάλήψεως, ὅπερ Χριστιανοῖς ἀφόρητος κόλασις. Διὰ τί γὰρ, φασὶν, οὐ καθαροὶ τὰς χεῖρας, οὓς σωφροσύνης πέρι καὶ εὐσεβείας αὐτὸς πολεμεῖν μαρτυρεῖς, ἄριστα πάντων τοῦτο σκοπήσας ; Καὶ γὰρ εἰ μὴ οὗτοι προθυμηθεῖεν εἰς χεῖρας τοῖς βαρβάροις ἰέναι, καὶ τὰ ξίφη ἐπισείοντες πείθειν οὐχ ὅπως τῶν ἀλλοτρίων μὴ ἐφίεσθαι, ἀλλὰ καὶ περὶ τῶν σφετέρων δεδοικέναι, οὐκ ἂν φθάνοι τὰ τῆς εὐσεβείας οἰχόμενα, τῶν βαρβάρων ὑφ' ἑαυτοὺς πάντα ποιουμένων κατὰ πολλὴν τοῦ κωλύσοντος ἐρημίαν, καὶ τὸ οἰκεῖον σέβας διὰ σπουδῆς τιθεμένων κρατύνειν ; Σωφροσύνην δὲ τίς ἔσται ὁ μετιὼν, ἀναγκαζομένων πάντων ζῆν κατ' ἐκείνους, αὐτοκράτορας ἤδη γεγενημένους ; Τούτοις παιδικῇ ὡς ἂν φαίη τις γλώττῃ τολμῶσι περιβομβεῖν τὴν πολύστομον τοῦ Πνεύματος σάλπιγγα, καὶ τῆς εὐαγγελικῆς ἐμπειρίας τὴν βίβλον · πρὸς οὓς ἐκεῖνο ἂν εἴποιμι, ὅτι τῶν ἐν ἡμῖν φυσικῶν παθῶν συλλήδδην εἰπεῖν ὁ ἰσμὸς, μετὰ τὴν τοῦ Ἀδὰμ, ὡς ἴσμεν, παράβασιν, τῷ τῶν ἀνθρώπων εἰσεκώμασε γένει, ὥσπερ ἀῤῥωστημάτων κοινῶν τῇ κακίᾳ συνεισπεσόντων. Τούτων τὰ μέν φύσει συνέζευκται καὶ ἀνάγκῃ, τὰ δὲ φύσει διοικεῖται καὶ προαιρέσει · καὶ τὰ μὲν ἔχει τὸ ἀνεπίκλητο, τῷ ἀποχρῶσαν κεκτῆσθαι παραίτησιν τὴν ὅλογον ἀνάγκην τῆς φύσεως, ἂν μὴ τῇ χρείᾳ μόνον ἡ ἁμετρία λυμήνηται · ἐφ' ἃ δὲ ἡ προαίρεσις ἄγει, ἥπερ τῇ λογικῇ καὶ αὐτεξουσίῳ συνεισέρχεται φύσει, ὑποκλίνεσθαι ταύτην πείθουσα τοῖς τῆς ἀλόγου φύσεως πάθεσιν, ἐξὸν, εἴπερ ἐβούλετο, μὴ ἐνδοῦναι, οὐ πάντη τὸ ἄμεμπτον, εἰ καὶ συγκεχώρηται, διαπέφευλε · ταύτῃ τοι καὶ καθάρσεως ταῦτα δεῖται, οἷα τῆς προγονικῆς ἥττης κατ' ἴχνος ἑπόμενα. Καὶ γὰρ ὁ γάμος, εἰ καὶ τῆς ἀθανασίας, ἧς ἐκπεπτώκαμεν, δοκεῖ γε δήπου φέρειν τὸ ἐπεικόνισμα τῇ τοῦ γένους διαδοχῇ, ἀλλ' οὖν εἰ μὴ ἐπάκουρον σχοίη τὸν νόμον, καὶ τῇ ἱερᾷ τελετῇ τὴν παλαιὰν προστροπὴν ἀποπλύναιτο, τῶν ἐξαγίστων εἶναι δοκεῖ. Ὥσπερ δὴ καὶ τὰ τικτόμενα βρέφη, εἰ μὴ τῷ θείῳ καθαρθείη λουτρῷ, ἐκποδὼν τῆς ἡμῶν ἵσταται κοινωνίας, καίτοι μὴ ἐκ προαιρέσεως, φυσικῶς δὲ τοῦ προγονικοῦ μετεσχηκέναι μιάσματος πιστευόμενα, ἅτε τῆς γενέσεως αἰτίαν, τῆς σαρκὸς ἴσχοντα τὴν ἐπιθυμίαν, ὡς πού φησιν ὁ θεῖος Δαβίδ .

præclarius dici possit quam quod pugnent pro virtute et pietate ? Quia vero ipsi propositum fuit, maculas quæ nonnunquam præclaris actionibus adhærent eluere, moderate etiam istos punit : sicuti et magnus Athanasius, quod reor, fecisset, si ipsi conti gisset hanc causam tractare, neque alio respiciens istos præteriisset : verum illi (Zonaram innuit), qui magnanimitatem spiritualis hujus legislatoris non assequuntur, neque naturæ humanæ ad vitium pronitatem considerant, ipsum reprehendere non verentur, quasi esset iusulsum consilium, et recto judicio carens. Hoc enim pacto, ait ille, contingeT ut milites spectatissimi, et quorum studium est ense ac cæde exterorum incursus præcidere, per totam vitam boni communione priventur, quod viris Christianis intolerabilis pœna est. Quippe cur non illi manibus puri esse debent, quos tu ipse fateris pro pudicitia et pietate pugnare, ut ille optime animadvertit? Nisi enim illi in animum induxissent Barbaros aggredi, et vibratis gladiis persuadere, non quidem cupidos bonorum alienorum, sed de suis sollicitos esse, anne de pietate actum esset, cum Barbari omnia sibi subjicerent propter nimiam adversarii ignaviam, et suam superstitionem stabilire magnopere anniterentur ? Quis autem honestati locus erit, cum omnes arrepto semel imperio ad ipsorum mores vitam agere cogent Barbari ? Hæc quidem audent puerili balbutie adversus multisonam Spiritus buccinam et evangelicæ scientiæ syntagma obmurmurare. Quibus sic respondere, licet, quod naturalium nostrorum affectuum, ut summatim dicam, examen post lapsum Adæ, quod scimus, universum genus humanum invasit, tanquam farrago imfirmitatum communium in malum conspirantium. Quorum alia nobis ex natura et necessitate adhærent : alia autem secundum naturam et electionem nobis insunt. Et illa quidem nullam culpam trahunt, quia obtendunt tanquam sufficientem excusationem irrationalem necessitatem naturæ, modo excessus usum non vitiet : sed quoad ista ad quæ electio incitat (quæ quidem naturæ rationali libere agenti convenit) persuadens eam irrationalis naturæ passionibus se submittere, ut par est, quamvis sese dedere recusaverit, haud penitus tamen reprehensionem, condonatus licet, evaserit. Quapropter hæc etiam expiatione opus habent, tanquam originale vitium e vestigio consequentia. Namque matrimonium, quamvis vel immortalitatis, qua excidimus, imaginem quamdam præ se ferre videatur generis successione, nihilominus, nisi quis legitimam potestatem habuerit, et sacro ritu veterem statum eluerit, inter res exsecrabiles censetur. Idcireo et infantes nisi sacro purgentur lavacro, a communione nostra excluduntur : quamvis non ex electione, sed naturaliter labis originalis participes fieri credantur : quatenus carnis concupiscentiam tanquam naturæ culpam ferunt. **256** Unde dicit sanctus David : « Ecce enim in iniquitatibus conceptus fui, » etc. Quare si bella, et quæ inde se-

quuntur hominum cædes, passionum post lapsum voluntariarum soboles sint, opus est ut ii qui in castris vivere et dextram sanguine exterorum imbuere student, repurgentur prius pœnitentiæ medicina, atque hujusce igne sordes illi vitæ generi adhærescentes absumant, atque ita ad mysteria novi Adæ accedant. Quoniam etiam tota evangelica institutio, nos ad pristinum statum reducens, et ad spiritualem, ut licet, et meliorem vitam instruens, nullo in loco vel bella laudat, aut per cædes malitiæ impetum sistit, prout se res habuit sub veteri lege: sed maxime huic adversatur et prorsus contraria docet. Nam Dominus aliquando discipulos suos, qui rogaverant eum, zelo Thesbitæ commoti, ut vellet fulmina in Samaritanos immittere, qui ipsos non receperant, semet ad ipsos convertens increpavit hisce verbis: « Non nostis quod spiritu sitis. » Verum tamen si veterem etiam legem diligenter consideraveris, paria cum evangelica quoad ista sentientem reperies: tametsi alius naturæ humanæ status aliam providentiam legesque postulare videbatur. Id facere Deus Davidi exstruendi templi cupido cur non permisit? annon quod dextra ejus infinita cæde exterorum fuit polluta? Josephus etiam hic merito fidem faciat. Quare etiam Deus, quando ostentis de cœlo, et voce tenuissimæ auræ in Horeb dictum Thesbitem allocutus est, Dominum in istis non esse, in hac vero adesse dixit? Nonne inde plane demonstravit, quod sola longanimitas et misericordia Deo placet quodlibet autem cæterorum hominum malitia inducit? Quænam illa administrationis Mosis præstantia? annon quod impietatem e medio tollere potuit, quæ dominari solet in vitam humanam et conterere omnes qui ipsi renituntur, et omnibus modis recusantes reformationem in melius? Quare igitur eos qui etiam ex mandato Dei cum corporibus humanis impietatem una demetunt, percertos dies ingredi in castra alicubi vetuit? Nuntios enim ad Balaamum infestissimum cum diris oraculis a se missos, qui civitates ei tributarias expugnaverant, et cives omnes præter infantes crudeliter interfecerant, rege etiam ipso mactato, qui prius infinita mala meditatus fuerat contra Judæos, feceratque: quippe offerens ipsis mulieres impudicas, lascivia corpora, et impietate animas eorum qui cum ipsis corrupit; hos, inquam, qui tam præclare hostem devicerant, extra campum manere jussit usque ad diem septimum, jussitque magnum sacerdotem Eleazarum ipsos purgare: ostendens, uti puto, quod licet legitimæ fuerint inimicorum cædes nihilominus tamen qui hominem occidit, juste licet se defendendo, et invite fecerit, ad sacrificium obnoxius esse videtur propter summam cognationem et communionem; cujus ergo etiam viros minime improbos, quibus cæde pollui contigerat, purgari voluit ad delendum illum reatum. Quare ad legem spiritualem animum suum totum intendens vir sanctus (et Musem sibi tanquam

A « Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, » καὶ τὰ ἑξῆς. Εἰ οὖν τῶν τῆς παραβάσεως προαιρετικῶν παθῶν ἔκλονε καὶ οἱ πόλεμοι, καὶ οἱ τούτοις ἑπόμενοι φόνοι, ἀνάγκη δήπου καὶ τοὺς ἐν ὅπλοις ζῆν ἑλομένους, καὶ τὴν δεξιὰν τοῖς τῶν ἀλλοσύλων αἵμασι βάπτειν, καθαρθῆναι πρότερον τοῖς τῆς μετανοίας φαρμάκοις, καὶ τῷ ταύτης πυρὶ τὰ περιφυόμενα τῷ ἐπιτηδεύματι ῥύπη ἐκτῆξαι, καὶ οὕτω τοῖς μυστηρίοις τοῦ νέου προσιέναι Ἀδάμ. Ἐπεὶ καὶ πᾶσα ἡ εὐαγγελικὴ νομοθεσία, ἐπὶ τὸ ἀρχαῖον ἡμᾶς ἐπανάγουσα, καὶ πρὸς τὴν πνευματικὴν ὡς οἷόν τε καὶ ἀμείνω παρακαλοῦσα ζωὴν, οὐδαμοῦ δείκνυται ἢ πολέμους ἐν καλῷ τιθεμένη, ἢ φόνοις τὴν τῆς κακίας ἄγχουσα ῥύμην, ὡς τὰ τῆς παλαιᾶς εἶχε νομοθεσίας, ἀλλ' ἐκ διαμέτρου τούτοις ἱσταμένη, καὶ τἀναντία διδάσκουσα. Καὶ γάρ που τοῖς μαθηταῖς ἐρομένοις τὸν Κύριον, εἰ ἐπιτραπεῖεν σκηπτοὺς ἐπαφεῖναι τοῖς Σαμαρείταις μὴ δεξαμένοις αὐτοὺς, ζήλῳ τῷ τοῦ Θεσβίτου, ἐπιστραφεὶς, ἐπετίμησεν, Οὐκ ἴστε, εἰπὼν, οἵου πνεύματός ἐστε ὑμεῖς. Οὐ μὴν ἀλλ' εἰ καὶ τὴν παλαιὰν ἀκριβῶς σκοπήσαις, ἀδελφὰ ταύτῃ φρονοῦσαν ἔν γε τοῖς τοιούτοις εὑρήσεις, εἰ καὶ τῶν τρόπων τῆς ἀνθρωπείας φύσεως τὸ διάφορον, τὸ τῆς προνοίας ἀπήτει διάφορον. Ἐπεὶ τί μαθὼν ὁ Θεὸς τὸν θεῖον Δαβὶδ οὐ προσήκατο, ναὸν αὐτῷ προθυμούμενον ἀνεγεῖραι; Οὐ παρὰ τὸ μεμιάνθαι τούτου τὴν δεξιὰν τῷ μυρίῳ φόνῳ τῶν ἀλλοφύλων, εἴ πω κἀνταῦθα πρὸς πίστιν Ἰώσηπος ἀξιόχρεως; Τί δὲ ἠνίκα τοῖς ἐξ οὐρανοῦ δείμασι, καὶ τῇ λεπτοτάτῃ φωνῇ τῆς αὔρας, ὁ Θεὸς ἐν Χωρὴβ ἐχρημάτιζεν αὐτῷ τούτῳ τῷ δηλωθέντι Θεσβίτῃ, καὶ τῶν μὲν ἀπεῖναι, τῇ δὲ B παρεῖναι Κύριον ἔλεγεν; Οὐκ ἐναργῶς ἐντεῦθεν ἔδειξεν, ὅτι μακροθυμία καὶ φιλανθρωπία μόνη φίλη Θεῷ, ἕκαστον δὲ τῶν ἄλλων ἡ πονηρία τῶν ἀνθρώπων ἐφέλκεται; Τί τῆς Μωσέως ὑπουργίας τὸ κράτιστον; Οὐ τὸ τὴν ἀσέβειαν ἐκ μέσου γεγενῆσθαι παρασκευάσαι, τῷ βίῳ τῶν ἀνθρώπων ἐνδυναστεύουσαν, καὶ ἅπαντας ἐκτριβῆναι τοὺς ταύτῃ κατάκρας ἁλόντας, καὶ ἀπεγνωσμένους παντάπασι τὴν πρὸς τὰ κρείττονα μεταβολήν; Τί οὖν δὴ τοὺς ἐκθερίζοντας, ἐξ ἐπιτάγματος θείου μετὰ τῶν ἀνθρωπείων σωμάτων καὶ τὴν ἀσέβειαν ἔσθ' ὅπου τῆς εἰς τὴν παρεμβολὴν ἐπὶ ῥητὰς ἡμέρας ἀπεῖργεν εἰσόδου; Τοὺς γὰρ ἐπὶ τὸν ἔχθιστον Βαλαὰμ πρὸς αὐτοῦ μετὰ χρησμῶν ἐκπεμφθέντας αἰσίων, καὶ τὰς ὑποτελεῖς ἐκείνῳ πόλεις ἄρδην ὀλώσαντας, τοὺς ἐν αὐταῖς τε C πάντας, πλὴν ὅσον ἦν ἐν νηπίοις, ἀφειδῶς καταθύσαντας, ἀλλὰ καὶ αὐτὸν ἱερεύσαντας βασιλέα, ἄνδρα μυρία καὶ βεβουλευμένον καὶ δεδρακότα πρότερον τοὺς Ἰουδαίους κακὰ (γυναῖκας γὰρ ἀσελγεῖς προστησάμενος, λαγνείαις μὲν τὰ σώματα, τὰς ψυχὰς δὲ ἀσεβείᾳ τῶν αὐταῖς συμφθαρέντων διέφθειρε), Τοὺς οὖν οὕτω κατὰ τῶν πολεμίων ἠριστευκότας, ἔξω μεῖναι τοῦ στρατοπέδου εἰς ἑβδόμην ἡμέραν ἐπέταξε, τῷ δὲ μεγάλῳ ἱερεῖ Ἐλεαζάρῳ καθαίρειν αὐτοὺς παρεγγύησε, δείξας, οἶμαι, ὡς εἰ καὶ νόμιμοι αἱ κατ' ἐχθρῶν σφαγαὶ, ἀλλ' ὅ γε κνείνων ἄνθρωπον, εἰ καὶ δικαίως ἀμυνόμενος καὶ βιασθείς, κἂν ὁποιασοῦν ὢν τυγχάνῃ θρησκείας, ὑπαίτιος D

εἶναι δοκεῖ διὰ τὴν ἀνωτάτω τυγγένειαν καὶ κοινὴν, οὗ χάριν καθάρσεως ἐδέησε τοῖς κτείνασι καὶ τοὺς πόῤῥω ἀσεβείας ἐληλακότας, πρὸς ἀπαλλαγὴν τοῦ νομισθέντος ἄγους. Πρὸς τοίνυν τὸν νόμον τοῦ Πνεύματος τὸν νοῦν ὅλον τείνων ὁ ἅγιος, καὶ πρὸς παράδειγμα Μωσέα βλέπων, ὠδίνοντα μὲν τοῦ πνευματικοῦ νόμου τὸ δίκαιον, μήπω δὲ τελέως θαῤῥοῦντα δοῦναι τούτῳ τὴν παῤῥησίαν, τοῦ καιροῦ καὶ τῶν πραγμάτων ταύτην μὴ προσιεμένων, οὐδὲ τοὺς ἐν ἐπίκρισις ἔχει τοῦ κεραννύντος τὰ φάρμακα καὶ ἡ χρόνοις τὴν τοῦ πταίσματος ἐπιμετρεῖν ἄφεσιν, ὡς τόμενος.

A exemplar ante oculos proponens, qui æquitatem legis expressit, neque tamen ausus est plene ipsi concedere temporis et rerum arbitrium) cædes quæ in bello fiunt, non extra pœnam esse voluit, pro discretione ejus qui miscet medicamentum, et dispositione recipientis, quamvis ad certum tempus videtur culpæ remissionem limitare, sicuti etiam in aliis delictis præcipere solet.

πολέμοις φόνους ἔξω δίκης ἑστάναι κελεύει, ὡς ἡ διάθεσις τοῦ ταῦτα προσιεμένου, εἰ καὶ ῥητοῖς δοκεῖ καὶ ἐν τοῖς ἄλλοις ἁμαρτήμασιν ὁρᾶται διατατ-

Καὶ ἐπὶ τοῦ βασιλέως δε Νικηφόρου τοῦ Φωκᾶ, ἐν καιρῷ τῇ Ἐκκλησίᾳ τὰ τοῦ κανόνος γέγονε τοῦδε. Ἐκείνου γὰρ ἀναγκάζοντος νόμον θέσθαι τὴν Ἐκκλησίαν, τοὺς πίπτοντας ἐν πολέμοις ἐξ ἴσης τοῖς ἁγίοις πρεσβεύειν μάρτυσι, καὶ ὥσπερ ἐκείνους ὕμνοις γεραίρειν καὶ πανηγύρεσιν, οἱ τότε τῆς Ἐκκλησίας προβεβλημένοι, ἐπεὶ πολλὰ λέγοντες τὸν βασιλέα οὐκ ἔπειθον μὴ ὅσιον εἶναι τοὐπίταγμα, τελευτῶντες τῷ κανόνι τούτῳ ἐχρήσαντο, Πῶς οἷόν τε, φάμενοι, τοὺς ἐν πολέμοις πεσόντας συναριθμεῖν τοῖς μάρτυσιν, οὓς ὁ μέγας Βασίλειος, ὡς τὰς χεῖρας μὴ καθαροὺς, τῶν ἁγιασμάτων ἐπὶ τριετίαν ἀπεῖρξε· καὶ οὕτω τὴν τοῦ βασιλέως βίαν ἀπεσκευάσαντο. Διαφόρων δὲ ἱερέων καὶ ἐπισκόπων, ἐπὶ τῆς συνόδου ἐξομολογησαμένων, πολεμίοις συμπλακῆναι, καὶ πολλοὺς ἐξ αὐτῶν ἀνελεῖν, ἡ ἱερὰ καὶ θεία σύνοδος τῷ τοῦ ἁγίου τούτου κανόνι καὶ τῷ νε' ἑπόμενοι, ὃν καὶ ζήτει ἐν τῷ ε' κεφ. τοῦ Λ στοιχείου, ἀναλεγόμενοι καὶ ὅσα τῇ θείᾳ Γραφῇ διείληπται, τῆς λειτουργίας αὐτοὺς ἐκέλευσε παύσασθαι, εἰ καὶ ἔνιοι, τῶν τοῦ στρατιωτικοῦ καταλόγου μάλιστα, τούτοις οὐκ ἐτίθεντο. Ζήτει καὶ τὸ ζ' κεφ. τοῦ Λ στοιχείου.

Præterea sub imperatore Nicephoro filio Phocæ utilis erat Ecclesiæ hujusce canonis institutio. Illo enim urgente Ecclesiam, ut decernerent iis qui in bello 257 perierint pares honores cum sanctis martyribus, ipsosque tanquam memorias martyrum, hymnis et solemnitatibus celebrarent; illi qui eo tempore Ecclesiæ præfuerunt, cum multo sermone imperatori minime persuadere poterant jussum ipsius haud pium fuisse, tandem hoc canone usi sunt. Æquumne esse possit, dicentes, eos qui in bello ceciderint, cum martyribus una recensere, quos magnus Basilius, tanquam manibus impuros, a sacris mysteriis per triennium exclusit? atque hoc modo imperatoris ferociam amoliti sunt. Cum autem multi sacerdotes et episcopi confiterentur apud synodum se cum hoste congressos fuisse, et multos ex illis interfecisse, sancta et veneranda synodus procedens juxta hujusce viri sancti can. istum, atque etiam 55, quem vide in cap. 5 litt. A, et recitantes quæcunque in sacra Scriptura hac de re continentur, eos ab officio desistere jussit, præsertim si aliqui ex ordine militari hoc ipsis haud posuerant. Vide et cap. 7. litt. A.

ΚΕΦΑΛ. Η'. Περὶ τῶν φονευουσῶν γυναικῶν διὰ φαρμάκων τὰ ἔμβρυα.

CAP. VIII. *De mulieribus quæ medicamentis fetus suos enecant.*

Ζήτει τὸ κη' καὶ τὸ κθ' κεφ. τοῦ Γ' στοιχείου, καὶ ἐν τῷ θ κεφ. τοῦ αὐτοῦ στοιχείου κανόνα κε' τῆς ἐν Ἀγκύρᾳ συνόδου. Ἔτι περὶ φόνων ἀκουσίων, καὶ περὶ τῶν ἀποπνιγέντων νηπίων παρακειμένων τοῖς γονεῦσιν αὐτῶν.

Vide capita 28 et 29 litt. Γ, et in cap. 9 ejusdem elementi canonem 25 synodi Ancyr.; insuper de cædibus involuntariis, et de infantibus qui juxta parentes suos cubantes suffocantur.

Ἐν τοῖς ἀκουσίοις δὲ φόνοις ἐκεῖνα κρίνεται, ἡνίκα τῶν βρεφῶν ἔνια, μέσον κείμενα νυκτὸς τῶν γονέων, ἐκ ῥᾳθυμίας αὐτῶν, ἢ μέθῃ, ἢ γαστρὸς κόρῳ βαρυνομένων, καὶ ἐμπεσόντων αὐτοῖς, ἀποπνιγῇ· οἱ καὶ τὴν ἑπταετίαν φυλάξουσι, ξηροφαγίᾳ δὲ καὶ γονάτων κλίσεσι τὸ Θεῖον ἐξιλεούμενοι, κλαυθμῷ καὶ τῇ κατὰ δύναμιν ἐλεημοσύνῃ ὑποτέμνουσι καὶ τοὺς ὁρισθέντας χρόνους, συγγνώμην ἔχοντες καὶ τῇ ἀνηκέστῳ λαφθῆναι συμφορᾷ.

Involuntariis etiam homicidiis illud accensetur, cum infantes aliqui noctu inter parentes suos jacentes, præ negligentia illorum aut crapula aut impleto ventre gravatorum, et in ipsos incidentium suffocantur. Hi quidem septennium observabunt, cibis aridis et genuflexione Deum placantes, sed et luctu et pro facultatibus eleemosyna præcidunt præstitutos annos veniam consequentes, quia irremediabili malo tenentur.

Εἰ δ' ἐξ ἐπιβουλῆς τοῦ ἀντικειμένου σαφῶς τοῦτο συνίδῃ, μηδὲν τῶν γονέων ἐπταικότων, εἰ καὶ συγγνώμης τὸ συμβὰν ἄξιον, ἀλλ' οὖν καὶ μενρίων δεῖ τῶν ἐπιτιμίων. Ἔοικε γὰρ δι' ἑτερά τινα ἀμετανόητα πταίσματα τὴν ἐγκατάλειψιν ταυτηνὶ γεγονέναι παρὰ τοῦ φυλάσσοντος Κυρίου τὰ νήπια. « Μὴ δῴης γὰρ, φησὶν, εἰς σάλον τὸν πόδα σου, καὶ οὐ νυστάξει ὁ φυλάσσων σε ἄγγελος. »

Sin vero ex insidiis adversarii hoc contigisse constet, parentibus nihil peccantibus, quamvis casus iste veniam mereatur, mediocris tamen pœna intercedere debet. Nam probabile est propter alia, quorum nondum egerunt pœnitentiam, hanc derelictionem a Domino qui custodit infantes immissam. Dicit enim : « Non des in commotionem pedem tuum, neque dormitet angelus qui te custodit. »

Si vero suffocetur fetus antequam lucem videat, præter pœnas etiam exigi oportet a parentibus officium eleemosynæ.

Leges.

Homicidium a voluntate æstimatur, an propositum ipsi fuerit hominem occidere, an non. Unde fit, ut is qui hominem percutit, non tamen occidit, nonnunquam tanquam homicida puniatur, et ille qui occidit, cum verberare solum voluit, non puniatur ut homicida. Intentio autem animi ex instrumento verberantis spectatur. Pœna in sicarium honestiorem est deportatio, sive plena bonorum publicatio. In viliores vero, gladio et bestiis subjici : et in eos qui ex lascivia et incuria occidunt, quinquennalis relegatio. Involuntario autem venia conceditur.

Lex de sicariis dolum malum requirit, et non magnam negligentiam : unde si quis ipsorum ex sublimi lapidem projecerit, aut ramum arboris, atque quempiam occiderit, non tenetur lege contra sicarios.

258 Nec infans, hoc est, septem annorum puer, nec furiosus cædis reus lege de homicidis tenetur.

Qui alicui mandat ut interficiat, ut homicida damnatur.

In omnibus criminibus inquirere oportet, an ex proposito, an fortuito quis patraverit, adeoque vel juxta rigorem legis, vel mitius eum plectere.

Qui aliquem suorum cognatorum vel ascendentium vel descendentium sustulerit, igni traditur.

Qui aggressorem de vita sua periclitans interfecerit, extra noxam est.

Si quis noctu furantem interfecerit, impunis evadit, si modo citra suum periculum ipsi parcere haud poterat. Quære in cap. 5 litt. A, et cap. 29 litt. Γ.

Novella autem sancti patriarchæ Athanasii, et venerabilis imperatoris Andronici, statuit eum solum, qui in homicidio deprehensus est, juxta leges puniri : liberos autem ejus non publicari, modo haud fuerint cædis socii : sed bonis ejus juxta numerum filiorum distributis, partem unam etiam occiso assignat, maxime si dum vixerit, pauperie laborabat, et uxorem ac liberos habuit, et duntaxat portionem homicidæ cedere.

Qui infantem enecat, homicidii pœna tenetur.

Vide et duas novellas imperatoris Constantini Porphyrogennetæ, pro qualitate cædis alias atque alias pœnas decernentes, et quosnam homicidas haud rejicere oportet, dum ab ecclesiam confugiunt, quos vero omnino inde avellere.

CAP. IX. *Quod phylacteria facere minime oportet.*

Consule cap. 1 litt. M.

Εἰ δὲ καὶ ἀφώτιστον ὂν ἀπεπνίγη τὸ βρέφος, ἐπιτελέσθαι δεῖ τοῖς γονεῦσι μετὰ τῶν ἐπιτιμίων καὶ τὸ περὶ τὴν ἐλεημοσύνην φιλότιμον.

Νόμοι.

Ὁ φόνος ἀπὸ διαθέσεως σκοπεῖται, εἰ σκοπὸν ἔσχε φονεῦσαι ἢ οὔ· ὅθεν ἔστιν εὑρεῖν, ὅτι καὶ ὁ πλήξας, μὴ φονεύσας δὲ, ὡς φονεὺς τιμωρεῖται· καὶ ὁ φονεύσας, εἰ μόνον ἠθέλησε πλῆξαι, οὐ τιμωρεῖται ὡς φονεύς· ἡ δὲ τοιαύτη διάθεσις ἀπὸ τοῦ πλήξαντος ὀργάνου σκοπεῖται. Καὶ ἔστι τοῦ μὲν ἑκουσίου φόνου τιμωρία, ἐπὶ μὲν ἐντίμου φονεύσαντος, δεπορτατίων, ἤτοι τελεία δήμευσις· ἐπὶ δὲ τῶν εὐτελῶν, τὸ ξίφει καὶ θηρίοις ὑποβληθῆναι· ἐπὶ δὲ τοῦ κατὰ βλακείαν ἢ ἀμέλειαν φονεύσαντος, πενιταετὴς ἐξορία· ἐπὶ δὲ τοῦ ἀκουσίου συγγνώμη δέδοται.

B

Ὁ περὶ ἀνδροφόνων νόμος δόλον ἐπιζητεῖ, καὶ οὐ μεγάλην ἀμέλειαν· ὅθεν ἐάν τις αὐτῶν ἐξ ὕψους ῥίψας ἢ λίθον, ἢ κλάδον ἀπὸ δένδρου, φονεύσῃ τινὰ, οὐχ ὑπόκειται τῷ παρόντι νόμῳ.

Οὔτε ἴνφανς, τουτέστιν ὁ ἑπταετὴς, οὔτε ὁ μαινόμενος, φονεύων ὑπόκειται τῷ περὶ ἀνδροφόνων νόμῳ.

Ὁ ἐντειλάμενός τινι φονεῦσαι, ὡς φονεὺς κρίνεται.

Ἐν πᾶσι τοῖς ἐγκλήμασι δεῖ ζητεῖν, εἰ ἐκ προνοίας ἢ κατὰ τύχην ἥμαρτέ τις· καὶ οὕτως ἢ κατὰ νόμον, ἢ πραοτέραν τὴν τιμωρίαν ἐπιφέρειν.

Ὁ ἀνελὼν ἀνιόντα ἢ κατιόντα συγγενῆ, πυρὶ παραδίδοται.

C

Ὁ τὸν ἐπελθόντα φονεύσας ἐν ᾧ περὶ τὴν ζωὴν ἐκινδύνευεν, ἀνεύθυνός ἐστιν.

Ἐὰν τὸν ἐν νυκτὶ κλέπτοντα φονεύσῃ τις, τότε ἀτιμώρητος μένει, ὅτε μὴ ἠδύνατο δίχα τοῦ ἰδίου κινδύνου φείσασθαι αὐτοῦ. Ζήτει καὶ ἐν τῷ ε' κεφ. τοῦ Α στοιχείου, τὸ κθ' κεφ. τοῦ Γ στοιχείου.

Ἡ δὲ νεαρὰ τοῦ ἁγίου πατριάρχου Ἀθανασίου καὶ τοῦ ἀοιδίμου βασιλέως Ἀνδρονίκου διορίζεται, τὸν φόνῳ ἁλόντα αὐτὸν μόνον τιμωρεῖσθαι κατὰ τοὺς νόμους, τοὺς δὲ παῖδας αὐτοῦ μὴ δημεύεσθαι, τῇ μιαιφονίᾳ μὴ σύμπραξαντας· μεριζομένης δὲ τῆς αὐτοῦ περιουσίας κατὰ τὸν ἀριθμὸν τῶν οἰκείων παίδων, ἀπονέμει μίαν καὶ τῷ φονευθέντι μερίδα, καὶ μάλιστα εἰ πενίᾳ συζῶν ἦν, καὶ ἐπὶ γυναικὶ καὶ παισὶν ἀπῆλθε· μόνην δὲ τὴν τοῦ φονέως μερίδα

D

προσκληροῦσθαι τῷ δημοσίῳ.

Καὶ ὁ τὸ νήπιον φονεύσας, τιμωρίᾳ φόνου ὑπόκειται.

Ζήτει καὶ τὰς δύο νεαρὰς τοῦ βασιλέως Κωνσταντίνου τοῦ πορφυρογεννήτου κατὰ τὴν τοῦ φόνου ποιότητα, διαφόρους καὶ τὰς τιμωσίας νομοθετούσας· καὶ τίνας δεῖ τῶν φονέων προσρεύγοντας τῇ ἐκκλησίᾳ μὴ ἐκβάλλειν, καὶ τίνας ἀφειδῶς ἀποσπᾶν.

ΚΕΦΑΛ. Θ'. Ὅτι οὐ δεῖ φυλακτήρια ποιεῖν·

Ζήτει τὸ α' κεφ. τοῦ Α στοιχείου.

ΚΕΦΑΛ. Ι'. Περὶ τῶν ἐν φυλακῇ κατακρίτων. A

Ζήτει ἐν τῷ ια' κεφαλαίῳ τοῦ Τ στοιχείου κανόνα γ' τοῦ Φωτίου Κωνσταντινουπόλεως, καὶ τὸ ιζ' κεφ. τοῦ Ε στοιχείου.

Νόμος.

Χρὴ τοὺς ἄρχοντας κατὰ Κυριακὴν ἐπισκέπτεσθαι τοὺς ἐν φυλακῇ, καὶ ὁρίζειν, ἵνα φιλανθρώπως αὐτοῖς οἱ φυλάκες χρῶνται, καὶ τροφὰς αὐτοῖς ἀπορουμένοις ἐπινοεῖν.

ΑΡΧΗ ΤΟΥ Χ ΣΤΟΙΧΕΙΟΥ.

ΚΕΦΑΛ. Α'. Ὅπως αἱ τῶν χειροτονουμένων ἐπισκόπων ψῆφοι γίνονται, καὶ περὶ τῆς γινομένης ἐν ταύταις ἀντιλογίας.

Ὁ δ' κανὼν τῆς πρώτης συνόδου κατὰ ῥῆμά φησιν, ἐπίσκοπον προσήκειν μάλιστα μὲν ὑπὸ πάντων τῶν ἐν τῇ ἐπαρχίᾳ καθίστασθαι· εἰ δὲ δυσχερὲς εἴη τὸ τοιοῦτον ἢ διὰ κατεπείγουσαν ἀνάγκην, ἢ διὰ μῆκος ὁδοῦ, ἐξάπαντος τρεῖς ἐπὶ τὸ αὐτὸ συναγομένους, συμψήφων γινομένων καὶ τῶν ἀπόντων, καὶ συντιθεμένων διὰ γραμμάτων, τότε τὴν χειροτονίαν ποιεῖσθαι· τὸ δὲ κῦρος τῶν γινομένων δίδοσθαι καθ' ἑκάστην ἐπαρχίαν τῷ μητροπολίτῃ. Ἐπικύροι γὰρ οὗτος τὰς ψήφους, ἕνα τῶν ψηφισθέντων ἐκλεγόμενος, καὶ χειροτονῶν μεθ' ἑτέρων δύο ἢ τριῶν ἐπισκόπων. Εἰ δὲ ἡ τοῦ μητροπολίτου ἐπαρχία τοσοῦτον ἐπισκόπων ἐνδεῶς ἔχοι, καὶ ἐξ ἀλλοδαπῆς προσλαμβάνειν χρεὼν εἴς τε τὰς ψήφους καὶ τὴν χειροτονίαν.

Τούτοις καὶ ὁ ιγ' τῆς ἐν Καρθαγένῃ ἐπιψηφίζεται. Εἰ δέ τις, φησί, τῇ ἰδίᾳ ὁμολογίᾳ ἢ τῇ ὑπογραφῇ ἐναντιωθείη, αὐτὸς καθ' ἑαυτοῦ τὴν δίκην ἐκφέρει, στερούμενος τῆς ἰδίας τιμῆς. Δείκνυται δὲ ἐκ τῶν C κανόνων, μὴ νόμιμον εἶναι τὸν μητροπολίτην ταῖς ψήφοις τῶν ὑπ' αὐτὸν ἀρχιερέων συμπαρεῖναι, ἀλλὰ μόνους τοὺς ἐπισκόπους.

Ὁ δὲ τῆς ἐν Λαοδικείᾳ ε' κανὼν μὴ ἐξεῖναί φησι τῷ βουλομένῳ παντὶ τῇ ψήφῳ τοῦ μέλλοντος χειροτονεῖσθαι παρεῖναι· ἐγκλήματα γὰρ ἔσθ' ὅτε κατὰ τινων ἐν τῷ μέσῳ συμβαίνει κινεῖσθαι, καὶ τῆς χειροτονίας ἴσως αὐτοὺς ἀπείργοντα· καὶ εἰ μὴ ἀνέκφορα τοῖς πολλοῖς εἴη ταῦτα, αὐτὸς μὲν αἰσχύνην αὑτοῖς ὀφλήσει καὶ γέλωτα, καὶ ἅμα προτροπὴ πρὸς κακίαν αὐτοῖς τοῦτο γενήσεται· βλασφημηθήσεται δὲ τὸ Θεῖον πρὸς τῶν μὴ καλῶς ἐνιδρυμένων τῇ πίστει, ὥσπερ ἅρα διὰ τῶν ἀρετῆς μεταποιουμένων δοξάζεται.

Τὰ αὐτὰ καὶ ὁ τῆς ἐν Ἀντιοχείᾳ ιθ' κανὼν διορίζεται, παρεῖναι δεῖν προηγουμένως λέγων τὸν μητροπολίτην τῆς ἐπαρχίας **τῇ ψήφῳ** τοῦ μέλλοντος χειροτονεῖσθαι, οὐχὶ **τῷ** συμπαρεῖναι τοῖς ἐπισκόποις, ἀλλὰ τῷ ἐπιτρέπειν· χωρὶς γὰρ τῆς αὐτοῦ ἐπιτροπῆς ψήφους γενέσθαι ἀδύνατον. Εἶτα πάντας τοὺς τῆς αὐτῆς ἐπαρχίας ἐπισκόπους μετακλητους γεγενημένους δι' ἐπιστολῶν τοῦ μητροπολίτου. Καὶ βέλτιον μὲν τοὺς πάντας συνιέναι. Εἰ δὲ δισχερὲς εἴη τοῦτο, τοὺς γοῦν πλείους παρεῖναι δεῖ· τοὺς μέντοι δι' ἀναγκαίας αἰτίας μὴ ἀπαντήσαντας, διὰ γραμμάτων τοῖς πεπραγμένοις ἐπιψηφίζειν, καὶ οὕτω γίνεσθαι τὴν τῆς **ψήφου** κατάστασιν· ἂν δὲ μὴ

CAP. X. *De damnatis qui in carrere servantur.* A

Vide in cap. 11. litt. T canonem 3 Photii patriarchæ. Constantinopolitani, et 17 cap. litt. E.

Lex.

Oportet magistratus diebus Dominicis visitare incarceratos, et jubere custodes humaniter ipsos tractare, et curare ut victus iis indigentibus subministretur.

259 INITIUM LITTERÆ X.

CAP. I. *Quanam ratione ordinandorum episcoporum fiant electiones, et de litibus quæ circa illos oboriuntur.*

Concilii primi canon quartus diserte dicit, episcopum oportere maxime quidem ab omnibus qui B sunt in provincia constitui: si autem hoc difficile sit, vel propter urgentem necessitatem, vel propter viæ longitudinem, tres omnino eumdem in locum congregatos, absentibus quoque suffragium ferentibus, scriptisque assentientibus, tunc ordinationem facere: eorum autem quæ aguntur confirmationem in unaquaque provincia a metropolitano fieri. Confirmat enim iste suffragia, seligens ex electis aliquem, eumque cum duobus aliis aut tribus episcopis consecrans. Verumtamen si provincia metropolitani episcoporum penuria laboret, opus est etiam ex aliena accipere tam ad electionem quam ordinationem peragendas.

Hæc etiam comprobat can. 13 concilii Carthaginensis. Si quis, inquit, propriam confessionem vel subscriptionem contra fecerit, adversus semet- C ipsum judicium fert, cum honore suo privatur. Ostenditur autem ex canonibus, haut licere ut metropolitanus electionibus archiepiscoporum sibi subjectorum intersit, sed episcopi soli.

Canon vero quintus synodi Laodicenæ non licere inquit cuivis volenti electioni ordinandi adesse: contingit enim nonnunquam ut criminationes adversus aliquos in medium proferantur, quæ ipsos forte ab ordinatione prohibere debent, adeo ut nisi ea plebem lateant, ipse contumeliam risumque apud illo movebit, atque hæc res fiet incitamentum malorum; atque a non bene firmatis in fide blasphemabitur nomen Dei, sicut per eos qui secundum virtutem vivunt, glorificatur.

Eadem est canon 19 concilii Antiocheni constituit; præcipue adesse oportere dicens metropolitanum provinciæ electioni episcopi ordinandi, D non quidem ad suffragandum una cum episcopis, sed ad moderandum: sine cujus permissione electiones fieri nequeant. Tum omnes ipsius provinciæ episcopos litteris metropolitani convocantur, et quidem melius est si omnes conveniunt. Sin vero hoc difficile fuerit, plures tamen adesse opus, vel demum hos qui ob causas necessarias non adeunt, per litteras eis quæ decreta sunt assentire, et sic perfici electionem: sin vero secus fiat, nullam plane esse ordinationem. Atqui si canonice,

ut diximus, res peragatur, et nonnulli episcoporum forte ex contentionis studio contradicant, ne inhibeatur electio, verum suffragia majoris partis valeant.

Cæterum canon 49 concilii Carthaginensis. Si de episcopo etiam a tribus episcopis electo, controversia aliqua oboriatur, a quibusdam ex plebe causas non satis manifestas afferentibus commota, numero trium episcoporum alios duos adjicere oportet, ut omnes simul examinent ea quæ adversus electum objiciuntur, et ipsum purgent.

260 Quære etiam in cap. 11 litt. E canon. primæ syn. sextum, et 28 synodi quartæ.

Novella autem Justiniani 137 a tribus personis electionem episcoporum fieri jubet, videlicet a clericis, et a primoribus civitatis, cui eligendus est episcopus, quolibet horum super sacro-sancta Evangelia hoc juramenti præstante, neque per datam aut promissam pecuniam, neque amicitiam, neque gratiam, aut aliam quamcunque affectionem istum eligere, sed scientes ipsum esse orthodoxum, et honestæ vitæ, et habere uxorem, et quidem unicam, neque viduam vel repudiatam, sed nec concubinam alere; et ex tribus electis digniorem ordinari juxta electionem et sententiam ordinantis. Ita vitam instituere jubet etiam omnes clericos, qui ordinantur. Sed tamen maxima pars horum rituum sunt præter sacros canones, qui neque necessarium judicant super sacrosancta Evangelia jurare, neque electiones fieri a clericis vel primoribus civitatis, sed ab episcopis solis, qui et rationem pro illis corum judice omnium reddituri sunt.

Lex.

At si accusationem, inquit, aliquis moverit contra episcopum vel clericum, qui ordinandus est, super quavis causa, differatur ordinatio illa, et accurata examinatio habeatur intra tres menses, et si obnoxium invenerint eum qui ordinandus est, etiam prohibeatur ordinatio: sin vero insons, ordinetur. At si accusator non possit probare, si clericus sit, suo gradu excidat; sin vero laicus, competentem coercitionem sustineat. Si autem quis ante examinationem causæ illum ordinaverit, sacerdotio exuatur una cum ordinato.

Qui etiam contra suam infra latas sententias subscriptionem iverit, dicens postea aliquid sibi innotuisse, quominus electus ordinetur, non deponetur, nisi in argumentis vacillet.

CAP. II. *Quod minime oporteat ordinandorum electiones vel a magistratu, vel a populo fieri.*

Quære cap 19 litt. E.

Canones quidem 12 et 13 concilii Laodiceni plebi non permittunt aut episcopos aut presbyteros eligere, sed hoc fieri volunt secundum indicium

οὕτω γένηται, ἀνίσχυρον εἶναι τὴν χειροτονίαν. Εἰ δὲ κανονικῶς, ὡς εἰρήκαμεν, τὰ τοῦ πράγματος τελεσθείη, ἔνιοι δὲ τῶν ἐπισκόπων ἴσως ἀντιλέγοιεν φιλονείκως, μὴ τὰ τῆς ψήφου ἐμποδιζέσθω, ἀλλ' ἡ τῶν πλειόνων ψῆφος κρατείτω.

Ὁ δὲ μθ' τῆς ἐν Καρθαγένῃ, Τοῦ ἐπισκόπου, φησὶν, ἐκλεγομένου παρὰ τριῶν ἐπισκόπων, ἐὰν ἀναφυῇ τις ἐκ τῶν τοῦ δήμου ἀντιλογία, οὐκ εὐαγεῖς εἰσαγόντων τινῶν αἰτίας, δεῖ προστεθῆναι τῷ ἀριθμῷ τῶν τριῶν καὶ ἑτέρους δύο, ὥστε ὁμοῦ πάντας ἐξετάσαι τὰ κατὰ τοῦ ψηφιζομένου λεγόμενα, καὶ καθαρὸν αὐτὸν ἀποφῆναι.

Ζήτει καὶ ἐν τῷ ια' κεφ. τοῦ Ε στοιχ. κανόνα ς' τῆς α' συνόδου, καὶ κη' τῆς τετάρτης συνόδου.

Ἡ δὲ ρλζ' Ἰουστινιάνειος νεαρὰ ἐπὶ τρισὶ προσώποις τὸ ψήφισμα γίνεσθαι τῶν ἐπισκόπων κελεύει παρά τε τῶν κληρικῶν καὶ τῶν τῆς πόλεως τὰ πρῶτα φερόντων, ἐφ' ᾗ ψηφίζεται ὁ ἐπίσκοπος, ἑκάστου τούτων κατὰ τῶν θείων ἐπομνυμένων Εὐαγγελίων, μήτε δόσει χρυσίου, ἢ ὑποσχέσει, ἢ φιλίᾳ, ἢ χάριτι, ἢ ἄλλῃ τινὶ προσπαθείᾳ τοῦτον ἐκλέγεσθαι, ἀλλ' εἰδότες τῇ τε πίστει ὀρθὸν καὶ τῷ βίῳ σεμνόν· καὶ εἰ ἔσχε γαμετὴν, καὶ αὐτὴν μίαν, καὶ οὔτε χήραν ἢ ἐκβεβλημένην, ἀλλ' οὐδὲ παλλακὴν ἐκτήσατο, καὶ ἐκ τῶν ψηφιζομένων τριῶν τὸν βελτίονα χειροτονεῖσθαι τῇ ἐπιλογῇ καὶ τῇ κρίσει τοῦ χειροτονοῦντος· τοιοῦτον ἔχειν βίον ἀπαιτεῖ καὶ τοὺς χειροτονουμένους κληρικούς. Ἀλλὰ τὰ πλείω τούτων τοῖς ἱεροῖς παρεῖται κανόσι, μήτε κατὰ τῶν θείων Εὐαγγελίων ὀμνύναι τοὺς ψηφιζομένους δεῖν οἰομένοις, μήτε παρὰ των κληρικῶν ἢ τῶν πρώτων τῆς πόλεως τὰς ψήφους γίνεσθαι, ἀλλὰ μόνων τῶν ἐπισκόπων. οἳ καὶ τὸν ὑπὲρ τούτων λόγον πρὸς τοῦ κοινοῦ κριτοῦ εἰσπραχθήσονται.

Νόμος.

Κατηγορίας δὲ, φησὶ, πρός τινος κινηθείσης κατὰ τοῦ μέλλοντος χειροτονεῖσθαι ἐπισκόπου ἢ κληρικοῦ ἐφ' οἱαδήποτε αἰτίᾳ, ἀναβαλλέσθω ἡ τοιαύτη χειροτονία, καὶ ζήτησις ἀκριβεστάτη γινέσθω τριῶν εἴσω μηνῶν· καὶ εἰ μὲν ὑπεύθυνος εὑρεθείη ὁ μέλλων χειροτονηθήσεσθαι, κωλυέσθω ἡ χειροτονία· εἰ δὲ ἀνεύθυνος, χειροτονείσθω· ὁ δὲ μὴ ἰσχύσας ἀποδεῖξαι κατήγορος, εἰ μὲν κληρικὸς εἴη, τοῦ οἰκείου ἐξωθείσθω βαθμοῦ, εἰ δὲ λαϊκὸς, προσηκόντως σωφρονιζέσθω. Εἰ δέ τις πρὸ ἐξετάσεως τοῦτον χειροτονήσειε, καθαιρείσθω σύναμα τῷ χειροτονηθέντι.

Ὁ δὲ τῇ οἰκείᾳ ἐναντιούμενος περὶ τὰς ψήφους ὑπογραφῇ, λέγων μετὰ ταῦτα μεμαθηκέναι τόδε τι τὸ κωλύον τὸν ψηφισθέντα χειροτονηθῆναι, ἄλλως οὐ καθαιρεθήσεται, εἰ μὴ περὶ τὰς ἀποδείξεις ἐτονήσειεν.

ΚΕΦΑΛ. Β'. Ὅτι τὰς τῶν χειροτονουμένων ψήφους οὔτε παρὰ ἀρχόντων, οὔτε παρὰ τοῦ δήμου γίνεσθαι χρή.

Ζήτει τὸ ιθ' κεφ. τοῦ Ε στοιχείου.

Ὅ γε μὴν ιβ' καὶ ὁ ιγ' τῆς ἐν Λαοδικείᾳ συνόδου κανὼν οὐ τοῖς ὄχλοις ἐπιτρέπουσιν ἢ ἐπισκόπους ἢ πρεσβυτέρους ἐκλέγεσθαι, ἀλλὰ τῇ κρίσει τοῦ μητρο-

πολίτου, καὶ τῶν τῆς ἐπαρχίας αὐτοῦ ἐπισκόπων· εἶναι δὲ τὸν ἐκλεγόμενον ἐκ πολλοῦ δεδοκιμασμένον ἔν τε λόγῳ καὶ πράξει, ὡς τῷ μὲν δύνασθαι τοὺς ὑπ' αὐτὸν πρὸς τὴν ὑγιαίνουσαν πίστιν παρακαλεῖν, καὶ τοὺς ἀντιλέγοντας τοῖς ὀρθοῖς δόγμασιν ἐλέγχειν, τῷ δὲ βίῳ οἷόν τε εἶναι πρὸς τὸν τῆς ἀρετῆς ζῆλον ἕλκειν τοὺς πρὸς αὐτὸν βλίποντας, εὐθύν τε ὄντα καὶ ἀνεπίληπτον, καὶ τρόποις χρηστοῖς εὐθηνούμενον. A

metropolitani et provinciæ istius episcoporum : esse etiam electum diu probatum et in sermone, et in operibus, ita ut possit omnes qui ipsi subjiciuntur in fide sana adhortari, et doctrinæ rectæ contradicentes arguere, et vita talem se præstare. ut queat ad amorem virtutis illos trahere qui ad ipsum accedunt, nimirum rectam, inculpatam et honestam vitam agere.

ΚΕΦΑΛ. Γ'. Περὶ τοῦ χρόνου οὗ ἐντὸς δεῖ τοὺς ἐπισκόπους χειροτονεῖσθαι.

CAP. III. *De tempore intra quod episcopos ordinari oportet.*

Ὁ κε' τῆς δ' συνόδου κανὼν τὰς τῶν ἐπισκόπων χειροτονίας ἐντὸς τριῶν μηνῶν γίνεσθαι διατάττεται, παρ' οἷς ἡ ἐκείνων ἀνήκει προχείρισις. Οὐ γὰρ ἐπὶ πολὺ χρὴ τοὺς τῶν ἐκκλησιῶν λαοὺς ἐρήμους εἶναι τῆς τῶν ποιμένων προνοίας, καὶ ὡς ἔτυχε φέρεσθαι, εἰ μήπου ἐξ αἰτίας ἀπαραιτήτου συμβαίη ἐπιταθῆναι τὸν χρόνον, καὶ ὑπερτιθῆναι τὴν χειροτονίαν, ὑπὸ βαρβάρων ἴσως ἁλωκυίας τῆς πόλεως· τοὺς δὲ μὴ οὕτω ποιοῦντας ἐκκλησιαστικοῖς ἐπιτιμίοις ὑποβάλλεσθαι. Τὴν μέντοι πρόσοδον τῆς χηρευούσης ἐκκλησίας, τοῦ καιροῦ τῶν ὁριῶν μηνῶν ἢ καὶ πλείονος ὢν παρὰ τῷ οἰκονόμῳ τῆς αὐτῆς ἐκκλησίας ἐπιτάττει φυλάττεσθαι τῷ χειροτονηθησεσθαι μέλλοντι. B

Canon 25 concilii quarti episcoporum ordinationes intra tres menses ab illis fieri jubet, ad quos res ista pertinet. Non enim decet ecclesiarum cœtus diu providentia pastorum carere, et incertos vagari, nisi forte ex causa prorsus necessaria contingat tempus prorogari, et differri ordinationem, **261** civitate puta a Barbaris capta. Qui aliter fecerint, pœnis ecclesiasticis subjici. Proventum tamen ecclesiæ vacantis, per spatium trium mensium aut ultra ab istius ecclesiæ œconomo receptum, episcopo qui ordinandus est reservari jubet.

Ζήτει τὸ κζ' κεφ. τοῦ Ε στοιχείου.

Quare cap. 27 litt. E.

ΚΕΦΑΛ. Δ'. Ὁποίους εἶναι δεῖ τοὺς χειροτονουμένους ἐπισκόπους, καὶ τίνα πρὸ πάντων γινώσκειν χρή.

CAP. IV. *Quales esse eos oportet qui episcopi ordinandi sunt, et quænam præ cæteris scire debeant.*

Ὁ β' τῆς ζ' συνόδου κανὼν τῷ μέλλοντι προχειρίζεσθαι καὶ εἰς τὸν τῆς ἐπισκοπῆς ἀνιέναι βαθμὸν, τοῦτο εἶναί οἱ προὔργου παρεγγυᾶται, τὸν Ψαλτῆρα παντὸς μᾶλλον ἐπίστασθαι, ἐκπαιδεύειν τε τὸν οἰκεῖον λαὸν τὰ τούτου πρὸ τῶν ἄλλων ᾄδειν τε καὶ μοεῖσθαι· ἀνακρίνεσθαι δὲ ἀσφαλῶς πρὸς τοῦ οἰκείου μητροπολίτου, εἰ προθύμως ἔχει, ἐρευνητικῶς καὶ οὐ κατὰ τὸ παρῆκον τοὺς ἱεροὺς ἀναγινώσκειν κανόνας, καὶ τὸ ἅγιον Εὐαγγέλιον. τήν τε τοῦ θείου Ἀποστόλου βίβλον, καὶ πᾶσαν τὴν ἄλλην θείαν Γραφὴν, καὶ τὸν νοῦν αὐτῆς σπουδαίως ἐκλέγεσθαι, καὶ κατὰ τὰ θεῖα ταύτης ἐντάλματα αὐτόν τε βιοῦν, καὶ τοὺς ἄλλους ἐνάγειν περὶ πλείστου ταῦτα τιθέναι, ἕτοιμόν τε εἶναι πρὸς ἀπολογίαν παντὶ τῷ αἰτοῦντι λόγον περὶ τῆς ἐν ἡμῖν ἐλπίδος, καὶ νοὺς ὑπ' αὐτὸν εὐπρεπεῖς εἶναι πρὸς τοῦτο παρασκευάζειν. Οὐσία γὰρ καὶ σύστασις τῆς καθ' ἡμᾶς ἱεραρχίας, τὰ θεοπαράδοτα λόγια, ὡς ὁ μέγας ἀπεφήνατο Διονύσιος· καὶ εἰ μὲν ἀσμένως ταῦτα ποιεῖν ὑπισχνεῖται, τὴν χειροτονίαν λαμβάνειν· εἰ δὲ ἀμφιβάλλων εἴη καὶ ἀναδυόμενος, ἄπρακτον ἀποπέμπεσθαι. Φησὶ γὰρ ὁ Θεὸς διὰ τοῦ προφήτου· « Σὺ ἀπώσω ἐπίγνωσιν, κἀγὼ ἀπώσομαί σε τοῦ μὴ ἱερατεύειν μοι. » Εἰ γὰρ πάντες οἱ πιστοὶ ψάλλοντες συντασσόμεθα, Ἐν τοῖς δικαιώμασί σου μελετήσω, οὐκ ἐπιλήσομαι τῶν λόγων σου, ἦπου τοῖς τὴν ἱερὰν ἐνδεδύμενοις στολὴν πολλῷ γε μᾶλλον τοῦτο προσήκει ποιεῖν. C D

Canon 2 synodi septimæ, qui ad gradum episcopatus promovendus et attollendus est, summam curam adhibere mandat, ut maxime Psalterium intelligat, moneatque populum hymnos illos præ cæteris canere et callere : accurate etiam a metropolitano suo examinari, an paratus sit legere diligenter et non obiter sacros canones, et sanctum Evangelium, et librum divi Apostoli, et reliquam Scripturam sacram, et sensum ejus sedulo elicere: et juxta ejus divina præcepta et vitam suam agere, et alios suadere hæc maximi facere, et promptum esse ad respondendum omni qui rationem spei nostræ exquirit, et curare ut omnes, qui ipsi subjiciuntur, ad idem etiam parati sint. Essentia enim et constitutio nostra hierachiæ sunt eloquia divinitus tradita, uti ait magnus Dionysius; et si libenter polliceatur se hæc præstiturum, ordinationem obtinere; sin vero sit dubius animi et conditiones recuset, re infecta dimittatur. Dicit enim Deus per prophetam : « Tu repulisti scientiam, et ego repellam te, ne sis mihi sacerdos. » Nam si omnes Christiani consistentes una psallimus : « In judiciis tuis meditabor, non obliviscar sermonis tui : » certe illos qui sacram infulam induti sunt, multo magis hoc facere decet.

Ὁ δὲ ιη' καὶ ιθ' τῆς ἐν Καρθαγένῃ συνόδου τὸν χειροτονούμενον ὑπομιμνήσκεσθαι κελεύει τοὺς ὅρους τῶν Πατέρων φυλάττειν, ὅσα τε περὶ δογμάτων, καὶ ὅσα περὶ τῶν ἱερῶν κανόνων ἐθέσπισαν, ἵνα μὴ τοὺς

Canon autem 18 et 19 synodi Carthaginensis admoneri ordinandum præcipit, ut Patrum decreta servet, tam quæ circa fidem, quam mores per sacros canones sanxerunt, ne horum sanctiones præ-

tergredientes tandem stultitiæ ipsos pœniteat, videlicet vel in hac vita sacerdotio exutos, vel pœnas perpetuas in futura dantes.

CLP. V. *Quot episcopi ad ordinationem episcopi et reliquorum clericorum requiruntur.*

Canon primus sanctorum apost. episcopum inbet a duobus episcopis ordinari; ab illis scilicet consecratum invocatione Spiritus sancti, et sacro orationum ritu.

Secundus autem presbyterum, et diaconum, et reliquos clericos ab uno episcopo ordinari præcipit.

Canon autem concilii Carthaginensis 49 tres episcopos ad ordinationem episcopi sufficere affirmat, ne si plures requirantur, hoc impedimento sit utilitati ac necessitati Ecclesiæ. Nos autem necessarium est ut tres illi sint unius et ejusdem provinciæ; verum si tot non habeat sub se metropolitanus, etiam ex alia provincia duos assumit, atque ita electum ordinat.

262 CAP VI. *Quod eum qui in episcopum ordinandus est, oporteat ab uxore sua separari.*

Quære cap. 17 litt. Γ.

CAP. VII. *De ætate ordinandorum.*

Quære. cap. 2 litt. B.

CAP. VIII. *Quod non oporteat episcopum morientem alium in locum suum sufficere ac ordinare.*

Canon 76 sanct. apost. » Non oportet, ait, episcopum ab ecclesia quam regit quovis modo secedentem, ut vel alicui consanguineorum, aut alii gratificetur, illum ad sedem suam ordinare. Non enim æquum est vel cognatos hæredes episcopatus constituere, aut quæ Dei sunt, aliis more humano largiri; sin vero hoc contingat fieri, et ordinationem invalidam esse, et ordinantem segregari. Nam episcopos sub concilio esse constitutum est. Imo vero unumquemque in suum locum præficere quemcunque vellet, videtur etiam Israelitis esse interdictum. Ita sane divinum illum Mosem incusabant, quod fratrem suum Aaronem filiosque ejus in sacerdotium promovit; et nisi Deus per miracula sacerdotium ipsis confirmasset, non diuesset quin illo depulsi fuissent.

Canon autem 23 syn. Antiochenæ admonet non licere episcopo ordinare cupienti quem vellet, sui successorem, quamvis in exitu vitæ fuerit; et quidem si fecerit, irritam esse ordinationem. Hi autem qui ritus Ecclesiæ observant post obitum episcopi, virum judicio episcoporum provinciæ dignum promovebunt.

CAP. IX. *Quod episcopum aut presbyterum aut diaconum ordinari non oporteat, priusquam omnes suos domesticos Christianos fecerit.*

Canon 36 synodi Carthaginensis non ordinari

A ὅρους τούτων παρεξιόντες, ἐπ' ἰσχάτων ἀνόνητα μεταμεληθῶσιν, ἢ ἐν τῷ παρόντι καθαιρεθέντες, ἢ ἀπαραιτήτους δίκας ὑπέχοντες ἐν τῷ μέλλοντι.

ΚΕΦΑΛ. Ε'. Ὑπὸ πόσων ἐπισκόπων χειροτονοῦνται οἱ ἐπίσκοποι καὶ οἱ λοιποὶ κληρικοί.

Ὁ μὲν α' τῶν ἁγίων ἀποστόλων κανὼν ἐπίσκοπον ὑπὸ δύο ἐπισκόπων χειροτονεῖσθαι κελεύει, καθιερούμενον πρὸς αὐτῶν τῇ ἐπικλήσει τοῦ ἁγίου Πνεύματος, καὶ τῇ ἱερᾷ τῶν εὐχῶν τελετῇ.

Ὁ δὲ β' πρεσβύτερον, καὶ διάκονον, καὶ τοὺς λοιποὺς κληρικοὺς, ὑφ' ἑνὸς ἐπισκόπου χειροτονεῖσθαι παρεγγυᾶται.

Ὁ δὲ τῆς ἐν Καρθαγένῃ μθ' τρεῖς ἐπισκόπους εἰς ἐπισκόπου χειροτονίαν ἀρκεῖν ἀπεφήνατο, ἵνα μὴ πλείους ἐπιζητούντων, τῷ χρησίμῳ καὶ ἀναγκαίῳ B τῆς Ἐκκλησίας ἐμποδὼν τοῦτο γένηται. Οὐκ ἀνάγκη δὲ καὶ τοὺς τρεῖς τῆς αὐτῆς ἐπαρχίας εἶναι· ἀλλ' εἰ μὴ τοσούτους ἔχει ὁ μητροπολίτης, καὶ ἐξ ἑτέρας ἐπαρχίας δύο προσλαμβάνει, καὶ οὕτω τὸν ψηφισθέντα χειροτονεῖ.

ΚΕΦΑΛ. Ϛ'. Ὅτι τὸν χειροτονηθήσεσθαι μέλλοντα ἐπίσκοπον δεῖ πρότερον τῆς ἰδίας χωρίζεσθαι γυναικός.

Ζήτει τὸ ιζ' κεφάλαιον τοῦ Γ στοιχείου.

ΚΕΦΑΛ. Ζ'. Περὶ τῆς τῶν χειροτονουμένων ἡλικίας.

Ζήτει τὸ β' κεφάλαιον τοῦ Β στοιχείου.

ΚΕΦΑΛ. Η'. Ὅτι οὐ δεῖ χειροτονεῖν ἕτερον ἀνθ' ἑαυτοῦ τὸν τελευτῶντα ἐπίσκοπον.

Ὁ ος' τῶν ἁγίων ἀποστόλων κανὼν, Οὐ χρὴ, C φησὶ, τὸν ἐπίσκοπον, ὁποιῳδήποτε μεθιστάμενον τρόπῳ ἧς ἰθύνειν ἔλαχεν ἐκκλησίας, ἢ τινι τῶν ἀφ' αἵματος ἢ ἑτέρῳ χαριζόμενον, εἰς τὸν ταύτης θρόνον τοῦτον χειροτονεῖν. Οὐ γὰρ δίκαιον, ἢ τοὺς γένει προσήκοντας κληρονόμους τῆς ἐπισκοπῆς ποιεῖσθαι, ἢ ἑτέροις τὰ τοῦ Θεοῦ πάθει ἀνθρωπίνῳ χαρίζεσθαι· εἰ δὲ συμβαίη γενέσθαι, καὶ τὴν χειροτονίαν ἄκυρον μένειν, καὶ τὸν χειροτονήσαντα ἀφορίζεσθαι. Ὑπὸ γὰρ συνόδου τοὺς ἐπισκόπους γίνεσθαι διατέτακται, οὐ μὴν ἕκαστον ἀνθ' ἑαυτοῦ προίσχεσθαι ὃν ἂν βουληθείη. Τοῦτο καὶ τοῖς ἐξ Ἰσραὴλ τῶν ἀπειρημένων ἐδόκει· ἀμέλει καὶ τῷ θεσπεσίῳ ἐνεκάλουν Μωσῇ, ὡς ἄρα τὸν ἀδελφὸν Ἀαρὼν καὶ τοὺς ἐκείνου υἱεῖς ἱερᾶσθαι προεχειρίσατο· καὶ εἰ μὴ σημείοις ὁ Θεὸς τὴν ἱερωσύνην αὐ- D τοῖς ἐπεψήφισεν, οὐκ ἂν ἦσαν φθάνοντες ταύτης ὠστρακισμένοι.

Ὁ δὲ κγ' τῆς ἐν Ἀντιοχείᾳ συνόδου μὴ ἐξεῖναι κελεύει τῷ βουλομένῳ χειροτονεῖν ὃν βούλεται διάδοχον ἑαυτοῦ, κἂν πρὸς τῇ τελευτῇ τοῦ βίου τυγχάνῃ ὤν, εἰ δὲ μὴ, ἄκυρον εἶναι τὴν κατάστασιν· τοὺς δὲ θεσμοὺς τῆς Ἐκκλησίας φυλάττοντας, μετὰ τὸ μηκέτι εἶναι τὸν ἐπίσκοπον, κρίσει τῶν τῆς ἐπαρχίας ἐπισκόπων τὸν ἄξιον προχειρίζεσθαι.

ΚΕΦΑΛ. Θ'. Ὅτι οὐ δεῖ χειροτονεῖσθαί τινα ἐπίσκοπον, ἢ πρεσβύτερον, ἢ διάκονον, ἐὰν μὴ πρότερον τοὺς ἐν τῷ οἴκῳ αὐτοῦ πάντας ποιήσῃ Χριστιανούς.

Ὁ δὲ λς' τῆς ἐν Καρθαγένῃ συνόδου κανὼν μὴ

χειροτονεῖσθαι κελεύει μήτε ἐπίσκοπον, μήτε πρεσβύτερον, μήτε διάκονον, ἂν μὴ πρότερον τοὺς οἰκείους πάντας Χριστιανοὺς γενέσθαι παρασκευάσωσιν. Ὁ γὰρ τοὺς οἰκείους ἐπιστρέψαι πρὸς εὐσέβειαν μὴ δεξιῶς ἔχων, πῶς ἑτέρους ἱκανὸς ἔσται διδάσκειν; ὡς καὶ ὁ μέγας φησὶ Παῦλος· « Εἴ τις ἰδίου οἴκου προστῆναι οὐκ οἶδε, πῶς οὗτος Ἐκκλησίας Θεοῦ προστήσεται; »

A præcipit vel episcopum vel presbyterum vel diaconum, nisi prius domesticos suos ad Christianismum adduxerint. Nam qui suos ad pietatem convertere nescit, quomodo aptus esse queat alios docere? Sicut et magnus Paulus dicit: « Si quis domui suæ præesse nescit, quomodo Dei Ecclesiam regere poterit? »

ΚΕΦΑΛ. Γ. Ὅτι οὐ δεῖ χειροτονεῖσθαι ἀυρύον τὸν λαϊκὸν ἐπίσκοπον, οὐδὲ τὸν ἄρτι φωτισθέντα· καὶ διὰ ποίας αἰτίας ὁ κληρικὸς τῆς ἱερωσύνης ἀφαιρεῖται.

Cap. X. *Quod non oporteat laicum statim episcopum creari, neque illum qui nuperrime baptizatus fuit: et quibus de causis clericus sacerdotio excidit.*

Ζήτει τὸ α' κεφάλαιον τοῦ Α στοιχείου.

Quære cap. 1 litt. A.

ΚΕΦΑΛ. ΙΑ'. Πότε χειροτονεῖται εὐνοῦχος, ἢ ἄλλως τὸ σῶμα λελωβημένος, ἐπίσκοπος ἢ κληρικός.

563 CAP. XI. *Quando non ordinetur eunuchus episcopus aut clericus, aut aliter corpore mancus.*

B

Ζήτει τὸ λδ' κεφάλαιον τοῦ Ε στοιχείου.

Quære cap. 34 litt. E.

Ὁ δὲ οζ' καὶ ὁ οη' κανόνες τῶν ἁγίων ἀποστόλων οὐκ ἀπωθοῦνται τῆς ἱερωσύνης τὸν ἑτερόφθαλμον, ἢ τὸ σκέλος ὑποσκάζοντα. Οὐ γὰρ λώβη, φησὶ, σώματος, οἵα τε τοῦτο μιᾶναι, ἀλλὰ ψυχῆς μολυσμός. Ταυτὶ γὰρ τῷ σκιώδει παρατετήρητο νόμῳ, ὁλόκληρον ἐπιζητοῦντι τὸ σῶμα, τοῖς ὁρωμένοις ἐκπαιδεύειν τὰ πνευματικὰ εἰωθότι. Ἀλλὰ καὶ ὁ μετὰ τὴν ἱερωσύνην τοιοῦτόν τι πεπονθὼς, ταύτης ἀπεκινεῖτο· παρ' ἡμῖν δὲ, καὶ ὁ τὰς ὄψεις μετὰ τὴν ἱερωσύνην ἀνακοπεὶς, ἢ ἑτέρῳ πάθει περιπεσὼν ἀνηκέστῳ, τῆς ἱερωσύνης οὐ μετατίθεται. Εἰ γάρ τις, φησὶ, καὶ ἄμφω τοὺς ὀφθαλμοὺς ἐκκέκοπται, ἢ τὰ ὦτα κεκώφωται, ἢ τὴν δεξιὰν ἀργὴν ἔχει χεῖρα, ἢ ἄλλην τινὰ τῶν αἰσθήσεων ἀφῄρηται, προσισταμένης αὐτῷ τῆς πηρώσεως πρὸς τὴν τῆς ἱερωσύνης ἐνέργειαν, εἰς ἱερωσύνην οὐ προβιβασθήσεται, οὐ τῷ βεβλάφθαι τὰ μέλη, ἀλλὰ τῷ ἀδυνάτως ἔχειν πρὸς τὴν τῶν θείων μεταχείρησιν. Ὁ δὲ μετὰ τὴν ἱερωσύνην ἐκεῖνα παθὼν, τούτης οὐκ ἀφαιρεῖται.

563 Canones 77 et 78 sanctorum apostolorum non rejiciunt a sacerdotio monoculum, aut claudicantem. Non enim labes corporalis quoad hoc polluit, sed animæ vitium. Istud enim sub lege umbratili observatum est, quæ integrum corpus exegit, atque solet ex visibilibus spiritualia edocere. Is quidem qui tale quid passus fuerat munere suo movebatur: verumtamen apud nos, qui vel oculos post sacerdotium exsectos habet, vel incidit in aliud vitium corporale, quod sanari nequit, sacerdotio non semovetur. Nam si quis, inquit, oculis ambobus orbatus fuerit, aut utrisque auribus obsurduerit, aut dexteram aridam habuerit, aut alio aliquo sensu privatus fuerit, ita ut mutilatio ejus impediat, quin sacerdotale munus exerceat, ad episcopatum non promovebitur, non quod læsa sunt membra, sed quia sacra mysteria tractare haud possit. Qui tamen post sacerdotium collatum istiusmodi labe laborat, sacerdotio non excidet.

C

ΚΕΦΑΛ. ΙΒ'. Ὅτι οὐ δεῖ χειροτονεῖσθαι ἐπίσκοπον ἐν ἐκκλησίᾳ, ἧς ὁ ἐπίσκοπος ἔτι περίεστι.

CAP. XII. *Quod episcopum in ecclesia, cujus episcopus adhuc in vivis est, non ordinari oporteat.*

Ζήτει ἐν τῷ θ' κεφ. τοῦ Δ στοιχείου κανόνα ις' τῆς α' καὶ β' συνόδου.

Quære in cap. 9 litt. Δ canonem 16 primæ et secundæ synodi.

ΚΕΦΑΛ. ΙΓ'. Ὅτι οὐ δεῖ χειροτονεῖσθαι ἐπίσκοπον ἐν πόλει μικρᾷ ἢ κώμῃ.

CAP. XIII. *Quod non oporteat episcopum in civitate parva aut vico ordinare.*

Ζήτει τὸ λ' κεφάλαιον τοῦ Ε στοιχείου.

Vide cap. 30 litt. E.

ΚΕΦΑΛ. ΙΔ'. Περὶ χειροτονίας χωρεπισκόπων.

CAP. XIV. *De ordinatione chorepiscoporum.*

Ζήτει τὸ λα' κεφάλαιον τοῦ Ε στοιχείου.

D

Consule cap. 31 litt. E.

ΚΕΦΑΛ. ΙΕ'. Περὶ τοῦ χειροτονηθέντος ἐπισκόπου, καὶ μὴ καταδεχομένου ἀπελθεῖν εἰς τὴν λαχοῦσαν αὐτῷ ἐκκλησίαν.

CAP. XV. *De episcopo ordinato qui ad ecclesiam suam abire recusat.*

Ζήτει τὸ κ' κεφάλαιον τοῦ Ε στοιχείου.

Vide cap. 20 litt. E.

ΚΕΦΑΛ. ΙϚ'. Ὅτι οὐ δεῖ χειροτονίας ποιεῖν ἐπίσκοπον ἐν ταῖς μὴ ὑποκειμέναις αὐτῷ ἐνορίαις.

264 CAP. XVI. *Quod non licet episcopo ordinationes facere in districtu ipsi non subjecto.*

Ὁ λε' τῶν ἁγίων ἀποστόλων κανὼν ἐπίσκοπον μὴ τολμᾷν διορίζεται, ἔξω τῶν αὐτοῦ ὅρων χειροτονίας ποιεῖσθαι ἐν ταῖς μὴ ὑποκειμέναις αὐτῷ πόλεσι καὶ χώραις· εἰ δέ τις τοῦτο πεποιηκὼς ἐλεγχθείη παρὰ γνώμην τῶν αὐτὰς κατεχόντων, καθαιρείσθω καὶ

Canon 35 sanctorum apostolorum episcopum mandat non præsumere extra suos limites ordinationes facere in urbibus et pagis sibi non subjectis: sin autem aliquis hoc fecisse convictus fuerit, præter illorum qui loca illa occupant sen-

tentiam et ipse deponatur, et illi quos ordinavit. Sed nec metropolitano licet ad alicujus episcoporum, qui sub ipso sunt, diœcesin proficisci, et munus aliquod hierarchicum peragere, absque consensu episcopi.

Vide in cap. 9 litt. A synodi Antiochenæ canonem 13 et 22, et synodi secundæ secundum.

CAP. XVII. *Quod non permittitur episcopo clericum alius provinciæ ordinare.*

Canon 54 synodi Carthaginensis episcopos qui alienum clericum suscipientes in suis ecclesiis ordinant, communione reliquarum privat.

Constitutio autem synodica, quæ facta est sub patriarcha Michaele, qui cognominatur princeps philosophorum, Concessum est, inquit, Pontificibus omnes, qui nondum sacris initiati sunt, fidei verbum docere, et erudire et baptizare undecunque sint, et sacra mysteria impertiri fidelibus cujuscunque diœceseos, haud tamen iis qui undequaque adveniunt, sacros ordines conferre : sed his tantum qui ad suam ditionem pertinent, uti sacri canones decernunt. Durum enim reputatum est et inhumanum eos qui hoc facere attentant, episcopos scilicet, excommunicare, ordinatos vero sacerdotio privare, nisi forte post unam et alteram admonitionem obtemperare recusaverint; verum et tunc quidem episcopi socordiam damnat, addito certo tempore : ordinatos autem in illa diœcesi sacerdotale suum munus exercere vult in qua ordinati sunt. Dare etiam jubet ministris episcopatus et chartophylaci seu registrario quæ ex veteri consuetudine ordinandis sunt præscripta. Ista autem dices ex capite 28 præsentis elementi.

CAP. XVIII. *Quod quibusdam episcopis concessum est alienos clericos recipere, et ordinare in suis ecclesiis.*

Vide in cap. 9 litt. A canonem 55 synodi Carthaginensis.

CAP. XIX. *Quod ordinatur clericus, etiam ille qui non est ex genere sacerdotali.*

Quære 13 cap. litt. K.

265 CAP. XX. *Quando ordinantur et servi.*

Consule cap. 12 litt. Δ.

CAP. XXI. *De ordinatione lectorum.*

Quære cap. 6 litt. A.

Lex.

Lector ordinatur quamprimum legendo par erit; at si secundam uxorem duxerit, vel primam ex viduis, aut repudiatis, aut interdictis vel per jus civile vel sacros canones, neutiquam ad alium gradum ecclesiasticum promoveatur.

CAP. XXII. *Quod clerici non ordinabantur simpliciter.*

Vide cap. 19 litt. K.

A αὐτὸς, καὶ οὓς ἐχειροτόνησεν. Ἀλλ' οὐδὲ αὐτῷ τῷ μητροπολίτῃ ἔξεστιν εἰς ἐνορίαν τινὸς τῶν ὑπ' αὐτὸν ἐπισκοπων ἀπιέναι, καὶ ἱεραρχικόν τι τελεῖν γνώμης ἄνευ τοῦ ἐπισκόπου.

Ζήτει ἐν τῷ θ'. κεφ. τοῦ Α στοιχείου τῆς ἐν Ἀντιοχείᾳ συνόδου κανόνα ιγ' καὶ κϐ', καὶ τῆς β' συνόδου κανόνα β'.

ΚΕΦΑΛ. ΙΖ'. Ὅτι χειροτονεῖν ἐπισκόπῳ οὐκ ἐφεῖται κληρικὸν ἑτέρας ἐνορίας.

Ὁ νδ' τῆς ἐν Καρθαγένῃ συνόδου κανὼν τοὺς ἀλλότριον δεχομένους κληρικὸν ἐπισκόπους, καὶ χειροτονοῦντας ἐν ταῖς ὑπ' αὐτοὺς ἐκκλησίαις τῆς τῶν λοιπῶν κοινωνίας ἀφορίζει.

B Τὸ μέν τοι συνοδικὸν σημείωμα, ὃ γέγονεν ἐπὶ τοῦ πατριάρχου Μιχαὴλ, τοῦ καὶ χρηματίσαντος ὑπάτου τῶν φιλοσόφων, Συγκεχώρηται μὲν, φησὶ, τοῖς ἀρχιερεῦσι τοὺς ἀμυήτους ἅπαντας τὸν περὶ πίστεως λόγον διδάσκειν, καὶ κατηχεῖν, καὶ βαπτίζειν ὁθενδήποτε ὄντας, τῶν θείων τε μυστηρίων μεταδιδόναι τοῖς ἐξ οἱασοῦν ἐνορίας πιστοῖς· χειροτονίας δὲ ἀξιοῦν τοὺς ἀπανταχόθεν ἐρχομένους οὐδαμῶς, ἀλλ' ἢ μόνους τοὺς ἐκ τῆς οἰκείας ἐνορίας, ὡς οἱ θεῖοι κανόνες διορίζονται. Σκληρόν μέν τοι καὶ ἀπηνὲς ἐλογίσαντο τοὺς οὕτω φθάσαντας πρᾶξαι, τοὺς μὲν ἐπισκόπους ἀφορίσαι, τοὺς δὲ χειροτονηθέντας γυμνῶσαι τῆς ἱερωσύνης, εἰ μήπου μετὰ πρώτην καὶ δευτέραν παραίνεσιν πεισθῆναι οὐκ ἐβουλήθησαν· ἀλλὰ καὶ τότε τοῦ μὲν ἐπισκόπου ἀργίαν ἐπὶ ῥητῷ κατεψηφίσατο χρόνῳ, τὸν δὲ χειροτονηθέντα, ἐν ἐκείνῃ τῇ ἐνορίᾳ ἱερατεύειν, ἐν ᾗ C κεχειροτόνητο. Δίδοσθαι δὲ κελεύει τοῖς τῆς ἐπισκοπῆς ὑπηρέταις καὶ τῷ χαρτοφύλακι παρὰ τῶν χειροτονουμένων, τὰ ἐξ ἔθους ἀρχαίου τετυπωμένα. Καὶ ζήτει ταῦτα ἐν τῷ κη' κεφ. τοῦ παρόντος στοιχείου.

ΚΕΦΑΛ. ΙΗ'. Τισὶ τῶν ἐπισκόπων δέδοται ἀλλοτρίους λαμβάνειν κληρικοὺς, καὶ χειροτονεῖν ἐν ταῖς ὑπ' αὐτοὺς ἐκκλησίαις.

Ζήτει ἐν τῷ θ' κεφ. τοῦ Α στοιχείου κανόνα νε' τῆς ἐν Καρθαγένῃ συνόδου.

ΚΕΦΑΛ. ΙΘ', Ὅτι χειροτονεῖται κληρικὸς, καὶ ὁ μὴ ἐκ γένους ἱερατικοῦ καταγόμενος.

Ζήτει τὸ ιγ' κεφάλαιον τοῦ Κ στοιχείου.

ΚΕΦΑΛ. Κ'· Πότε χειροτονοῦνται καὶ δοῦλοι.

D Ζήτει τὸ ιϐ' κεφάλαιον τοῦ Δ στοιχείου.

ΚΕΦΑΛ. ΚΑ'. Περὶ χειροτονίας ἀναγνωστῶν.

Ζήτει τὸ ς' κεφάλαιον τοῦ Α στοιχείου.

Νόμος.

Ἀναγνώστης χειροτονείσθω ἀφ' ὁτουοῦν χρόνου δύναται καὶ ἐπίσταται ἀναγινώσκειν· ἂν δὲ δευτέραν γαμετὴν ἀγάγηται, ἢ πρώτην μὲν, χήραν δὲ, ἢ διεζευχθεῖσαν ἀνδρὸς, ἢ τοῖς νόμοις ἢ τοῖς ἱεροῖς κανόσιν ἀπηγορευμένην, μηκέτι εἰς ἄλλον ἐκκλησιαστικὸν προβαινέτω βαθμόν.

ΚΕΦΑΛ. ΚΒ'. Ὅτι οὐκ ἐχειροτονοῦντο ἀπολελυμένως οἱ κληρικοί.

Ζήτει τὸ ιθ' κεφάλαιον τοῦ Κ στοιχείου.

ΚΕΦΑΛ. ΚΓ'. Ὅτε χειροτονεῖται ὁ πρὸ τοῦ βαπτίσματος θύσας κατηχούμενος.

Ζήτει ἐν τῷ α' αεφ. τοῦ Α' στοιχείου κανόνα ιβ' τῆς ἐν Ἀγκύρᾳ συνόδου.

ΚΕΦΑΛ. ΚΔ'. Ὅτι ἀναχειροτονήσεις οὐ δεῖ γίνεσθαι.

Ὁ ξη' τῶν ἁγίων ἀποστόλων κανὼν τὸν δευτέραν πρός τινος χειροτονίαν δεξάμενον ἐπίσκοπον ἢ κληρικὸν καθαιρεῖσθαι κελεύει καὶ αὐτὸν καὶ τὸν χειροτονήσαντα, εἰ τοῦτο σύνοιδεν αὐτῷ, εἰ μὴ ἄρα πρὸς αἱρετικῶν τὴν χειροτονίαν δεξάμενος ἔτυχεν. Ἀθετοῦμεν γὰρ τῶν τοιούτων ὥσπερ τὸ βάπτισμα, οὕτω δὴ καὶ τὴν χειροτονίαν· οὐ γὰρ ἁγιασμὸν ταῦτα, ἀλλὰ μονυσμὸν πεπείσμεθα προξενεῖν. Ὁ δὲ δευτέραν πειρώμενος δέξασθαι χειροτονίαν, ἢ ὡς τοῦ πρώτου χειροτονήσαντος καταγινώσκων τοῦτο ποιεῖ, ἢ ὡς ἐλπίζων πλείονος ἀπολαύσεσθαι πρὸς τοῦ δευτέρου χάριτος, ἢ ὡς ἀποστὰς τυχὸν τῆς ἱερωσύνης, καὶ ἐξ ὑπαρχῆς χειροτονεῖσθαι διανοούμενος, ὅπερ ἄθεσμον.

Ὁ δὲ τῆς ἐν Καρθαγένῃ συνόδου μὴ' κανὼν μήτε ἀναβαπτίζειν, μήτε δέχεσθαί τινα δευτέραν χειροτονίαν διορίζεται· ἀλλὰ δευτέραν οὕτος χειροτονίαν φησὶ τὸ ἐᾶσαί τινα τὴν ἰδίαν ἐπισκοπὴν· καὶ πρὸς ἑτέραν μεταπεσεῖν, ὃς καὶ μετὰ πραότητος ὑπομιμνησκόμενος, εἰ μὴ πεισθείη πρὸς τὴν ἰδίαν ἐπανιέναι, τῇ τῶν ἀρχόντων ἐκδοθήσεται ἐξουσίᾳ.

ΚΕΦΑΛ. ΚΕ'. Περὶ τοῦ ὑποκειμένου ἁμαρτήμασι, καὶ χειροτονηέντος.

Ὁ θ' τῆς α' συνόδου κανὼν τὸν ἀνεξετάστως χειροτονηθέντα πρεσβύτερον, ἢ ἀνακριθέντα μὲν καὶ ἐξομολογησάμενον πρὸ τῆς χειροτονίας πορνείᾳ τυχὸν περιπεπτωκέναι, παρὰ κανόνας δὲ χειροτονηθέντα, μηδὲν ἀπόνασθαι τοῦτον ἐκ τῆς ἀθέσμου χειροτονίας κελεύει· μετὰ γὰρ τὴν διάγνωσιν καθαιρεῖται. Οὐ γὰρ ὥσπερ τὸ θεῖον λουτρὸν νέον ἄνθρωπον τὸν βαπτισάμενον ἀποτελεῖ, οὕτω καὶ ἡ ἱερωσύνη τὰ πρό γε αὐτῆς ἁμαρτήματα λύει, ὡς τινες οἴονται· τοῦτο γὰρ ὁ κανὼν οὐ προσιεται. Τὸ γὰρ ἀνεπίληπτον ἐν πᾶσιν ἡ Ἐκκλησία ζητεῖ, καὶ μὴ εὑροῦσα, ἐκδικεῖ.

Ὁ δὲ ε' τοῦ Θεοφίλου Ἀλεξανδρείας τοὺς μὲν τοιούτους καὶ τῆς Ἐκκλησίας ἐξωθεῖ, μήτοι γε τῆς ἱερωσύνης· τῷ δὲ ἐξ ἀγνοίας χειροτονήσαντι συγγνώμην δίδωσι.

Ζήτει τὸν κανόνα τοῦτον καὶ ἐν τῷ ις' κεφ. τοῦ Π στοιχείου καὶ τῆς ἐν Νεοκαισαρείᾳ συνόδου θ' καὶ ι'.

ΚΕΦΑΛ. ΚΣ'. Ὅτι οὐ δεῖ χειροτονεῖσθαι τὸν ἐν νόσῳ φωτισθέντα.

Ζήτει ἐν τῷ α' κεφ. τοῦ Β στοιχείου κανόνα ιβ τῆς ἐν Νεοκαισαρείᾳ συνόδου.

ΚΕΦΑΛ. ΚΖ'. Περὶ τῶν τὴν χειροτονίαν ὀμνυόντων μὴ καταδέξασθαι.

Ζήτει ἐν τῷ λδ' κεφ. τοῦ Ε στοιχείου κανόνα ι' τοῦ μεγάλου Βασιλείου.

ΚΕΦΑΛ. ΚΗ'. Περὶ τῶν χειροτονουμένων ἐπὶ χρήμασιν..

Ὁ κθ' τῶν ἁγίων ἀποστόλων κανὼν οὕτως ἐπὶ λέξεως ἔχει· Εἴ τις ἐπίσκοπος διὰ χρημάτων τῆς

A CAP. XXIII. *Quando ordinetur catechumenus qui ante baptismum immolavi.*

Quære in cap. 1 litt. A canonem 12 synodi Ancyranæ.

CAP. XXIV. *Quod reordinationes fieri minime oporteat.*

Canon 68 sanctorum apostolorum episcopum aut clericum qui secundam ordinationem acceperit, deponi jubet una cum ordinante, si ipse hujus rei conscius fuerit, nisi forte ab hæreticis ordinationem suscepit. Nullam enim facimus illorum ut baptisma, ita et ordinationem; non enim sanctificationem, sed contaminationem credimus inferre. Qui autem secundam ordinationem suscipere cupit, hoc facit vel quia damnat priorem ordinantem, vel quia B sperat plus gratiæ accipere a secundo, vel qaia sacerdotia excidit atque denuo ordinari studet, quod est nefarium.

Canon vero 48 concilii Carthaginensis neque quempiam rebaptizare, neque iteratam ordinationem accipere decernit, imo hanc esse secundam ordinationem ait, permittere aliquem propriam diœcesin deserere et in aliam transilire; atque etiam clementer submonitus, nisi velit ad propriam ditionem redire, tradatur potestati magistratus.

266 CAP. XXV. *De illo qui crimini alicui obnoxius ordinatur tamen.*

Canon 9 synodi primæ presbyterum qui citra examinationem ordinatur, aut examinatus quidem confiteatur quod ante ordinationem in fornicationem C prolapsus, sed tamen præter canones ordinatus est, jubet nihil ex illegitima oratinatione adjuvari, sed re comperta deponi. Non enim ut sacrum lavacrum novum reddit hominem, qui baptizatur, ita et sacerdotium delicta quæ ipsum antecesserunt solvit, ut nonnulli putant. Hunc enim casum canon non attingit. Cæterum innocentiam in omnibus requirit Ecclesia, et ubi non invenit, sententia tamen sua vindicat.

Canon etiam quintus Theophili Alexandrini tales ab ecclesia pellit non solum sacerdotio. Illi autem qui ex ignorantia ordinavit, veniam concedit.

Quære hunc can. in 16 cap. litt. II, atque etiam can. 9 et 10 synodi Neocæsariensis.

D CAP. XXVI. *Quod is non debet ordinari, qui ægrotus baptizabatur.*

Quære in cap. 1 littt B. can. 12 synodi Neocæsariensis.

CAP. XXVII. *De iis qui jurant se sacros ordines nondum suscepisse.*

Quære in cap. 32 litt. E canonem decimum magni Basilii.

CAP. XXVIII. *De iis qui propter pecuniam ordinantur.*

Canon 29 sanctorum apostolorum sic expresse sese habet; Si quis episcopus per pecuniam digni-

tatis hujus particeps fiat, aut presbyter, aut diaconus, deponatur et ipse, et qui ordinat, et penitus a communione abscindatur, ut Simon Magus a me Petro.

Quære et 30 canonem illorum in capties 19 litt. E. et quæ ibi dicuntur de utrisque horum canonum.

Canon autem secundus synodi quartæ : Si quis, inquit, episcopus venumdat non vendibilem Spiritus sancti gratiam, nimirum quæ nullo pretio æstimari potest, et venditioni non obnoxiam, ob eximiam suam naturam et omni æstimatione superiorem, et propter 267 pecuniam ordinaverit episcopum, vel chorepiscopum, aut presbyterum, vel diaconum, aut hypodiaconum (hi enim sunt qui sacros ordines suscipiunt), aut aliquem in clero œconomum, aut patronum, aut curatorem (hi enim primores, sicut et lectores et psaltæ consignantur); vel summatim alium alium aliquem qui ad statum ecclesiasticum pertinet, qui hisce manus imponit propter suam avaritiam, et convictus fuerit, cum discrimine sui gradus faciet, et is qui ordinatur, nihil emolumenti capiet ex ordinatione sua emptitia aut promotione, sed vacabit etiam dignitate sive munere, quod per pecuniam nactus erat. Si quis vero mediator accedat turpibus illis et nefariis muneribus, et hic, si clericus fuerit, suo gradu excidet ; at si laicus aut monachus, anathemate ferietur. Hic autem æquum fuerit pectus pulsantes gravissime exclamare : « Si iniquitates observaveris, Domine, Domine, quis sustinebit ? » Qui enim est qui administrationem domus religiosæ vel ministerium aliquod ecclesiasticum suscipit, aut clericus fit, aut monasterium regit, sine munere aliquo ; at si omnibus illis tam qui conferunt quam qui accipiunt per nefas, sacri can. summum supplicium intentant, quæ nobis spes salutis, qui nullatenus ab eorum communione abstinemus ?

Canon autem 22 synodi sextæ : Qui propter pecuniam ordinantur, ait, sive episcopi, sive clerici quicunque, et non secundum probationem et vitæ probitatem, et ipsos et ordinantes deponi jubemus.

Canon autem quintus synodi septimæ omnes dictos canones recensens, et in summum Ecclesiæ commodum latos esse reputans, illorum sententiam ipse etiam confirmat.

Magnus autem Basilius ad episcopus, qui sub ipso erant, scribens, ne ordinarent propter pecuniam, inter alia hæc habet : Existimant nonnulli se nihil peccare, si tum quando sacros ordines conferunt nihil accipiant, sed post ordinationem. Accipere autem est quovis tempore accipere. Adhortor igitur vos ut hunc morem seu potius viam ducentem ad gehennam deponatis, neque contaminantes manus vestras hujusmodi muneribus vos sacra mysteria celebrando indignos præstetis.

A ἀξίας ταύτης ἐγκρατὴς γένοιτο, ἢ πρεσβύτερος, ἢ διάκονος, καθαιρείσθω καὶ αὐτὸς, καὶ ὁ χειροτονήσας, καὶ ἐκκοπτέσθω τῆς κοινωνίας παντάπασιν, ὡς Σίμων ὁ Μάγος ὑπ' ἐμοῦ Πέτρου.

Ζήτει καὶ τὸν λ' τούτων κανόνα ἐν τῷ ιθ' κεφ, τοῦ Ε στοιχείου, καὶ τὰ ἐνταῦθα περὶ ἀμφοτέρων τῶν κανόνω τουτωνὶ ῥηθέντα.

Ὁ δὲ β' κανὼν τῆς δ' συνοδου, Εἴ τις, φησὶν, ἐπίσκοπος εἰς πρᾶσιν καταγάγοι τὴν ἄπρατον χάριν τοῦ ἁγίου Πνεύματος, τὴν ἀτίμητον δηλαδὴ, καὶ πράσει μὴ ὑποπίπτουσαν, τῷ ὑπερφυᾶ ταυτην εἶναι καὶ τιμῆς πάσης ἐπέκεινα, καὶ χειροτονήσειεν ἐπὶ χρήμασιν ἐπίσκοπον, ἢ χωρεπίσκοπον, ἢ πρεσβύτερον, ἢ διάκονον, ἢ ὑποδιάκονον (οὗτοι γὰρ οἱ χειροτονούμενοι), ἤ τινα τῶν ἐν τῷ κλήρῳ προ-
B βάλλοιτο οἰκονόμον, ἢ ἔκδικον, ἢ νεωκόρον (οὗτοι γὰρ οἱ προβαλλόμενοι, ὥσπερ ἄρα οἱ ἀναγνῶσται καὶ ψάλται σφραγίζονται), ἤ τινα ὅλως τῶν τοῦ κανόνος ἕτερον, ὁ τούτοις ἐπιχειρήσας δι' οἰκείαν αἰσχροκέρδειαν, καὶ ἐλεγχθεὶς, κινδυνευέτω περὶ τὸν οἰκεῖον βαθμόν · καὶ ὁ χειροτονούμενος μηδὲν ἐκ τῆς κατ' ἐμπορίαν χειροτονίας ὠφελείσθω ἢ προβολῆς, ἀλλ' ἔστω ἀλλότριος τῆς ἀξίας ἢ τοῦ φροντίσματος, οὗ διὰ χρημάτων τετύχηκεν. Εἰ δέ
C τις καὶ μεσιτεύων φανείη τοῖς οὕτως αἰσχροῖς καὶ ἀθεμίτοις λήμμασι, καὶ οὗτος, εἰ μὲν κληρικὸς εἴη, τοῦ οἰκείου ἐκπιπτέτω βαθμοῦ, εἰ δὲ λαϊκὸς, ἢ μονάζων, ἀναθεματιζέσθω. Ἐνταῦθα καλὸν ἂν εἴη τὸ στῆθος πλήξαντας πεπονθότως ἀναβοῆσαι · « Ἐὰν ἀνολίας παρατηρήσῃς, Κύριε, Κύριε, τίς ὑποστήσεται ; » Τίς γάρ ἐστιν ὁ διοίκησιν εὐαγοῦς οἴκου, ἢ διακονίαν οἱανδήτινα τῆς Ἐκκλησίας ἀναδεχόμενος, ἢ κληρικὸς γινόμενος, ἢ μονίδριον λαμβάνων, ἄνευ τῆς δόσεως ; Εἰ δὴ πᾶσι τούτοις τοῖς τε πορίζουσι καὶ πορίζομένοις ἀθέσμως τῶν ἐσχάτων οἱ ἱεροὶ τιμῶνται κανόνες, ποία ἡμῖν σωτηρίας ἐλπὶς μὴ ἀφισταμένοις καὶ τῆς αὐτῶν κοινωνίας παντάπασιν ;

Ὁ δὲ κδ' τῆς ς' συνότου κανὼν, Τοὺς ἐπὶ χρήμασι χειροτονουμένους, φησὶ, εἴτε ἐπισκόπους, εἴτε οἱουσδήποτε κληρικοὺς, καὶ οὐ κατὰ δοκιμασίαν καὶ τοῦ βίου ἀστείαν αἵρεσιν, αὐτούς τε καὶ τοὺς χειροτονήσαντας καθαιρεῖσθαι προστάσσομεν.

Ὁ δὲ ε' κανὼν τῆς ζ' συνόδου, σύμπαντας τοὺς ῥηθέντας κανόνας διεξιὼν, καὶ ἐν καλοῦ μοίρᾳ
D τῇ πρώτῃ τῷ κοινῷ τῆς Ἐκκλησίας δεδόσθαι νομίσας, τῇ ἐκείνων κρίσει καὶ οὗτος ἐπιψηφίζεται.

Ὁ δὲ μέγας βασίλειος πρὸς τοὺς ὑπ' ἐαυτὸν ἐπισκόπους γράφων, ὥστε μὴ χειροτονεῖν ἐπὶ χρήμασι, μετὰ τῶν ἄλλων καὶ ταῦτά φησι · Νομίζουσί τινες μὴ ἁμαρτάνειν, τῷ μὴ ἅμα λαμβάνειν, ἀλλὰ μετὰ τὴν χειροτονίαν · λαβεῖν δέ ἐστι τὸ ὁτεδήποτε καβεῖν. Παρακαλῶ οὖν, ταύτην τὴν πρόσοδον, μᾶλλον δὲ τὴν προσαγωγὴν τὴν ἐπὶ γέενναν ἀπόθεσθε, καὶ μὴ τὰς χεῖρας μολύναντες τοῖς τοιούτοις λήμμασιν, ἑαυτοὺς ἀναξίους ποιήσητε τοῦ ἐπιτελεῖν ἅγια μυστήρια.

Ἡ δὲ ἐγκύκλιος ἐπιστολὴ Γενναδίου πατριάρχου Κωνσταντινουπόλεως πρός γε τοῖς ἄλλοις καὶ ταῦτα περιέχει· Ἔστω τοίνυν καὶ ἔστιν ἀποκήρυκτος, καὶ πάσης ἱερατικῆς ἀξίας τε καὶ λειτουργίας ἀλλότριος, καὶ τῇ κατάρᾳ τοῦ ἀναθέματος ὑποκείμενος, ὅ τε κτᾶσθαι τὴν ἱερωσύνην διὰ χρημάτων οἰόμενος, καὶ ὁ ταύτην παρέχειν ἐπὶ χρήμασιν ὑπισχνούμενος, εἴτε κληρικὸς, εἴτε λαϊκὸς εἴη,, κἂν ἐλέγχηται, κἂν μὴ ἐλέγχηται τοῦτο ποιήσας. Οὐ γὰρ οἷόν τε συμβῆναί ποτε τὰ ἀσύμβατα, οὐδὲ Θεῷ συμφωνῆσαι τὸν Μαμωνᾶν, ἢ τοὺς τούτῳ δουλεύοντας δουλεῦσαι Θεῷ· δεσποτικὴ καὶ αὕτη ἀπόφασις ἀναμφίλεκτος· « Οὐ δύνασθε Θεῷ δουλεύειν καὶ μαμωνᾷ. » A

Ἡ δὲ τοῦ ἐν ἁγίοις Ταρασίου, πατριάρχου Κωνσταντινουπόλεως, πρὸς Ἀδριανὸν πάππαν Ῥώμης σταλεῖσα, Φορητότερος μᾶλλόν ἐστι, φησὶ, Μακεδόνιος, καὶ ἡ τῶν ἀμφ' αὐτὸν Πνευματομάχων δυσεβὴς αἵρεσις, ἢ οἱ πιπράσκειν τολμῶντες τὴν χάριν τοῦ ἁγίου Πνεύματος. Ἐκεῖνοι μὲν γὰρ κτίσμα καὶ δοῦλον τοῦ Θεοῦ καὶ Πατρὸς τὸ ἅγιον Πνεῦμα λῃρωδοῦσιν· οὗτοι δὲ ἑαυτῶν, ὡς δοκοῦσι, δοῦλον αὐτὸ ποιοῦσιν. Ὁ γάρ τι πιπράσκων ὡς δεσπότης αὐτοῦ πιπράσκει· καὶ ὁ ἀγοράζων, δεσπότης εἶναι βουλόμενος τοῦ ἐξωνηθέντος, ἀργυρίου τοῦτο κτᾶται τιμῆς. Προστίθησι δὲ καὶ ὡς ἐφάμιλλον τὸ τούτων ἁμάρτημα τῷ τοῦ προδότου Ἰούδα, οὑτωσὶ συλλογιζομένη· Εἰ γὰρ ὁμοούσιον τῷ Υἱῷ τὸ Πνεῦμά ἐστι καὶ ὁμότιμον, κατακρίνεται δὲ ὁ Ἰούδας, τὸν Υἱὸν ἀποδόμενος ἀργυρίου, ἀνάγκη δήπου καὶ τοὺς τὸ Πνεῦμα πιπράσκοντας μὴ ἐλάττονας ἢ ἐκεῖνος τὰς εὐθύνας ὑπέχειν. Ἀλλὰ γὰρ παρίτω καὶ ἡ τῆς Ἐκκλησίας σειρὴν, ἡ διὰ πάσης τῆς οἰκουμένης ᾄδουσα λύρα, ὁ τὰ πνευματικὰ φάρμακα μᾶλλον παντὸς ἰατροῦ εἰδώς τε καὶ σοφῶς κεραννὺς, ὁ Θεῖος, φημὶ, Χρυσόστομος, ὡς ἂν ἡμᾶς κἂν τούτῳ διδάξῃ, ὅπως χρὴ τὸ αὐστηρὸν τῶν θείων κανόνων ἔσθ' ὅτε τῇ συμπαθείᾳ παρακιρνῶντας ὑποχαλᾷν. Ἴσμεν γὰρ ὅπως τοὺς χρυσίῳ τὰς χειροτονίας ἐωνημένους τῆς μὲν ἱερωσύνης ἐγύμνωσε, τὸ δὲ χρυσίον παρὰ τῶν τοῦ χειροτονήσαντος κληρονόμων ἠξίωσεν ἀπολαβεῖν, ἐπειδὴ τὴν ζωὴν ἐκμετρήσας ἐκεῖνος ἔφθασεν ἤδη (Ἀντωνῖνος οὗτος ἦν τῆς Ἐφεσίων ὁ πρόεδρος, ὁ τὴν τοῦ ἁγίου Πνεύματος δωρεὰν ὠνιον θέσθαι μὴ καταπτήξας). Ἀλλ' ὅρα μοι τῆς τοῦ ἁγίου συμπαθείας τὸ περιόν. Ἐξώμνυντο μὲν γὰρ ἐπὶ πολὺ πρότερον ἐκεῖνοι, ἢ μὴν τοῦτο πεποιηκέναι μηδέποτε· τοῖς δὲ φανεροῖς ἐλέγχοις δυσωπηθέντες, τόπων ὑπομιμνησκόμενοι καὶ καιρῶν, καὶ τῆς τοῦ χρυσίου ποσότητος, οὕτως ἔχειν ἀνωμολόγησαν ὕστερον, διατεινόμενοι ὡς οὐ σκαιότητι γνώμης, ἀλλ' ἀκρισιότητι μᾶλλον καθυπαχθῆναι, τοιαύτην ὑπειληφότες τὴν συνήθειαν εἶναι, καὶ ἵνα τοῦ βουλευτηρίου, ᾧ περ ἦμεν ὑποτελεῖς, ἀπαλλαγείημεν, φάμενοι. Πρὸς ταῦτα ἡ οὐρανομήκης ἐκείνη ψυχὴ, καὶ τῶν τοῦ Θεοῦ οἰκτιρμῶν εἴπερ τις ὑφηγητὴς γνησιώτατος, οὐκ ἀφορισμὸν πρὸς τῇ καθαιρέσει ἐπήνεγκεν, ὡς οἱ Θεῖοι κανόνες κρίσεως ἔχουσιν, οὐ τῆς Ἐκκλησίας ἀπεώ- B C D

Epistola autem encyclica Gennadii patriarchæ Constantinopolitani præter alia hæc habet : Sit ergo et est ab omni sacerdotali dignitate et ministerio alienus, et anathematis exsecrationi subjectus, qui se per pecunias sacerdotium acquirere existimat, atque qui id pecuniis præbere pollicetur, sive clericus, sive laicus fuerit, sive hoc facere convincatur, sive non. Quia fieri non potest ut inconvenientia conveniant, vel mammona Deo consentiat, vel qui ei serviunt, Deo serviant. Domini est sententia, cui contradici non potest ; « Non potestis servire Deo et mammonæ. »

Epistola vero sancti Tarasii, patriarchæ Constantinopolitani, ad Adrianum papam missa : Multo, inquit, tolerabilior est Macedonius, et impia hostium sancti Spiritus hæresis, quam illi qui vendere audent gratiam Spiritus sancti. Illi enim in creaturam, et servum Dei et Patris sanctum Spiritum contumeliam faciunt ; hi autem servum suum, ut videtur, ipsum faciunt. Omnis enim qui aliquid vendit, tanquam dominus istius vendit, et qui emit cupiens dominus esse rei venditæ, argenti pretio id acquirit. **268** Addit etiam, quod hoc crimen consimile sit illi Judæ proditoris, hunc in modum disserens : Nam si consubstantialis sit Filio Spiritus sanctus, et ejusdem dignitatis, et damnetur Judas, quod propter pecuniam prodidit Filium, necesse etiam est illos qui Spiritum vendunt, haud leviores quam ille pœnas subire. Sed vero adsit jam Ecclesiæ suada, lyraque quæ per totum terranum orbem sonat, is qui spiritualia medicamenta perite magis quam medicorum quispiam, et sapienter miscet, sanctus, inquam, Chrysostomus, qui quidem nos etiam hac in re docuit, quod severitatem canonum nonnunquam lenitate temperantes paulum mitigare oportet. Scimus enim quod eos qui auro ordinationes redemerunt, sacerdotio privare, aurum tamen ab hæredibus ejus qui ordinavit repetere voluit ; quoniam vita jam emensa, iste præiverat. Antoninus autem erat Ecclesiæ Ephesinæ antistes, qui Spiritus sancti gratiam venumdare nullus dubitabat. Vide autem eximiam viri sancti clementiam. Juraverunt enim jam ante se nunquam tale quid perpetrasse. Argumentis autem evidentibus convicti, indicatis et tempore et auri quantitate, postmodum rem se ita habere fassi sunt, obtendentes se non animi malitia, sed simplicitate potius ferri, quatenus ex more esse existimabant, et a tribunali (quod aiebant), cui obnoxii fuimus, liberaremur. Ad hæc amplissima, ut cœlum patet, illa anima et miserationum Dei, si quis alius, maxime genuinus explanator, non excommunicationem depositioni superinduxit, uti sacri canones decernunt, neque Ecclesia penitus exclusit (licet voluntaria confessio de quovis crimine multum detrahat, sicut convictio e contra

valde aggravat) : sed misericordia rigorem canonum attemperando, intra altare ipsis de sacris mysteriis communicare permisit, ea ratione satis, ut videbatur, eorum animas consolans, quæ sacerdotii amissione depressæ erant.

ἐχειν ἐπέτρεψεν, ἱκανῶς ταύτῃ τὰς αὐτῶν οἰόμενος ἐκπτώσει.

A σατο (καί τοι τῆς μὲν ἐκουσίας ἐξομολογήσεως ἑκασταχῆ τῶν εὐθυνῶν τὸ πλεῖστον ἀφαιρουμένης, τοῦ δὲ ἐλέγχου χαλεπωτέρας ταύτας ἐργαζομένου), ἀλλ' ἡμερότητι τὸ τῶν κανόνων κεράσας ἀπότομον, εἴσω τοῦ θυσιαστηρίου τῶν ἁγιασμάτων αὐτοῖς μετπαρακαλέσαι ψυχὰς τῇ τῆς ἱερωσύνης ὀδυνωμένας

In libro autem Actuum hæc occurrunt : Ubi autem vidit Simon, quod per impositionem manuum apostolis datus fuit Spiritus sanctus, obtulit eis pecuniam, dicens : Date mihi facultatem istam, ut cuicunque manus imposuero, recipiat Spiritum sanctum. Petrus autem dixit ei : Argentum tuum tecum sit in perditionem, quia donum Dei existimasti pecunia possideri. » *etc.*

Tertius autem liber Regum : « Et non conversus est Jeroboamus, inquit, ab iniquitate ejus, et reversus est, et fecit ex parte populi sacerdotes excelsorum, quicunque voluit, ejus manum adimplebat. Et hæc res vertit in malum domui Jeroboami, et in perniciem et ad delendum eum a facie terræ» Quis igitur non novit veterem illum Gieze, ut prophetæ Elisæo ministrabat, et, uti narrat liber quartus Regnum, quas facinorum pœnas tulit ? Vix enim minus ille ob nequitiam innotescit, quam magister ejus ob virtutem. Cum igitur Neeman munera prophetæ dare decreverat, quia liberatus erat per illum a lepra, ille autem largitionem minime acceperat, Gieze Neeman abeuntem præstolatus, et avaritiam suam mendacio tegens, quasi magister ejus in mandatis dederat recipere, et postquam ita de bonis ejus non pauca accepisset, statim lepræ quam ille deposuerat, hæres factus est, propheta hoc maledicti ipsi denuntiante.

Magnus autem Basilius in Expositione sua in prophetam Isaiam, locum illum explicans, Legem dedit in auxilium : ut dicant, non tanquam verbum hoc, pro quo non licet munus dare, quoniam ventriloqui, inquit, **269** propter pecuniam divinantur. Hoc enim ridiculum est, quod qui decipiuntur, mercedem mendacii argentum ipsis dant. Verbum autem legis non est tale, ut pro illo donum aliquod detur, quoniam nemo gratiam dat. « Gratis enim, ait, accepistis, gratis date. » Vides quomodo Petrus succensuit adversus Simonem, qui argentum pro gratia sancti Spiritus obtulerat ; « Argentum tuum sit tecum, inquit, in perditionem, quoniam existimasti donum Dei per pecuniam comparare. » Non est igitur sermo Dei ut venalia verba ventriloquorum Quodnam enim pretium aliquis det illo condignum? Audi Davidem hæsitantem et dicentem : « Quid retribuam Domino pro omnibus quæ retribuit mihi ? » Non igitur licet dare donum gratia ejus condignum. Unicum est donum dignum conservatio rei donatæ. Qui dat tibi thesaurum, non

Ἐν δὲ τῇ βίβλῳ τῶν Πράξεων ταῦτα γέγραπται · Θεασάμενος δὲ ὁ Σίμων, ὅτι διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν τῶν ἀποστόλων δίδοται τὸ Πνεῦμα τὸ ἅγιον, προσήνεγκεν αὐτοῖς χρήματα, λέγων · Δότε κἀμοὶ τὴν ἐξουσίαν ταύτην, ἵνα ᾧ ἂν ἐπιθῶ τὰς χεῖρας, λαμβάνῃ Πνεῦμα ἅγιον. Πέτρος δὲ εἶπε πρὸς αὐτόν · Τὸ ἀργύριόν σου σὺν σοὶ εἴη εἰς ἀπώλειαν, B ὅτι τὴν δωρεὰν τοῦ Θεοῦ ἐνόμισας διὰ χρημάτων κτᾶσθαι, καὶ τὰ ἑξῆς.

Ἡ δὲ τρίτη τῶν Βασιλειῶν, « Καὶ οὐκ ἐπέστρεψεν Ἱεροβοὰμ, φησὶν, ἀπὸ τῆς κακίας αὐτοῦ, καὶ ἐπέστρεψε, καὶ ἐποίησεν ἐκ μέρους τοῦ λαοῦ ἱερεῖς ὑψηλῶν · ὁ βουλόμενος ἐπλήρου τὴν χεῖρα αὐτοῦ. Καὶ ἐγένετο τοῦτο τὸ ῥῆμα εἰς ἁμαρτίαν τῷ οἴκῳ Ἱεροβοὰμ, καὶ εἰς ὄλεθρον, καὶ εἰς ἀφανισμὸν ἀπὸ προσώπου τῆς γῆς » Τίς οὖν οὐκ οἶδε καὶ τὸν πάλαι Γιεζῆ, ὅπως τῷ προφήτῃ μὲν Ἐλισσαίῳ διακονούμενος ἦν, ὡς ἡ τῶν Βασιλειῶν τετάρτη διέξεισιν, οἷα δὲ πέπονθεν ἐξ ὧν ἔδρασεν; Οὐχ ἧττον γὰρ διὰ κακίαν ἐκεῖνός ἢ δι' ἀρετὴν ὁ διδάσκαλος μικροῦ τοῖς πᾶσι γνωρίζεται. Χρήματα γοῦν τοῦ Νεεμὰν τῷ προφήτῃ πορίσαι προθυμουμένου, ἀνθ' ὧν τῆς λέπρας ἐξάντης δι' αὐτοῦ γεγέ- C νητο, κἀκείνου τὴν εἰσφορὰν μὴ προσηκαμένους ὁ Γιεζῆ καταλαβὼν ἀπιόντα τὸν Νεεμὰν, καὶ τὴν φιλοχρηματίαν τῷ ψεύδει ἐπιλυγάσας, ὡς ἄρα ὁ διδάσκαλος αὐτῷ λαβεῖν ἐπιτάξειε, καὶ ταύτῃ τῶν ἐκείνου εἰκῇφῶς οὐκ ὀλίγα, κληρονόμος εὐθὺς καὶ ἧς ἐκεῖνος ἀπήλλακτο λέπρας γεγένητο, αὐτὸ τοῦτο τοῦ προφήτου ἀρασάμενου.

Ὁ δὲ μέγας Βασίλειος ἐν τῇ εἰς τὸν προφήτην Ἡσαΐαν ἑρμηνείᾳ, ἐξηγούμενος τὸ, Νόμον ἔδωκεν εἰς βοήθειαν, ἵνα εἴπωσιν οὐχ ὡς τὸ ῥῆμα τοῦτο, περὶ οὗ οὐκ ἔστι δῶρα δοῦναι περὶ αὐτοῦ, ὅτι αἱ ἐγγαστρίμυθοι, φησὶν, ἐπ' ἀργυρίῳ μαντεύονται. Τοῦτο γάρ ἐστι τὸ καταγέλαστον, ὅτι καὶ ἀργύριον αὐτοῖς τελοῦσι, μισθὸν τοῦ ψεύδους, οἱ ἀπατώμενοι. Τὸ δὲ ῥῆμα τοῦ νόμου οὐκ ἔστι τοιοῦτον, ὥστε D δῶρα δοῦναι περὶ αὐτοῦ, ὅτι τὴν χάριν οὐδεὶς ἀποδίδοται · « Δωρεὰν γὰρ, φησὶν, ἐλάβετε, δωρεὰν δότε. » Ὁρᾷς ὅπως ἠγανάκτησε Πέτρος ἐπὶ τῷ Σίμωνι, ἀργύριον ὑπὲρ τῆς τοῦ Πνεύματος χάριτος προσκομίσαντι ; « Το ἀργύριόν σου σὺν σοὶ εἴη, φησὶν, εἰς ἀπώλειαν, ὅτι ἐνόμισας τὴν δωρεὰν τοῦ Θεοῦ διὰ χρημάτων κτᾶσθαι. » Οὐκ ἔστιν οὖν ὁ τοῦ Εὐαγγελίου λόγος ὡς τὰ πωλούμενα ῥήματα τῶν ἐγγαστριμύθων. Τί γὰρ ἂν τις δοίη ἄξιον, αὐτοῦ ἀντάλλαγμα ; Ἄκουε τοῦ Δαβὶδ διαπορουῦντος καὶ λέγοντος · « Τί ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκέ μοι ; » Οὐκ ἔστιν οὖν δῶρα δοῦναι περὶ τούτου ἀντάξια τῆς αὐτοῦ χάριτος · ἓν δῶρον

ἄξιον, ἡ φυλακὴ τοῦ δωρηθέντος, Ὁ δούς σοι τὸν θησαυρὸν οὐχὶ τιμὴν ἀπαιτεῖ τοῦ δοθέντος, ἀλλὰ φυλακὴν ἀξίαν τοῦ δεδομένου.

Νόμοι.

Ἐάν τις διὰ δόσεως χρυσίου ἐπίσκοπος ἢ κληρικὸς γένηται, ἢ ξενοδόχος, ἢ πτωχοτρόφος, ἢ νοσοκόμος, ἢ διοικητὴς εὐαγοῦς οἱουδήποτε οἴκου, ἢ ἑτέρου τινὸς ἐκκλησιαστικοῦ φροντιστὴς διακονήματος, καὶ ὁ δούς, καὶ ὁ λαβών, καὶ ὁ μέσος γενόμενος, τῆς ἱερωσύνης, ἢ τοῦ κλήρου, ἢ τῆς ἐμπιστευθείσης διοικήσεως, ἀπεγυμνούσθωσαν.

Εἰ δέ τις τῶν ἐπισκόπων ἢ κληρικῶν, εἴτε πρὸ τῆς χειροτονίας, εἴτε μετὰ ταῦτα, ἐκ τῶν ἰδίων πραγμάτων δοῦναι βουληθείη τῇ ἐκκλησίᾳ, εἰς ἣν ἐπεκηρύχθη, οὐ μόνον οὐ κωλύομεν, ἀλλὰ καὶ παντὸς ἐπαίνου ἄξιον κρίνομεν.

Περὶ κανονικοῦ, καὶ τῶν ὑπέρ χειροτονίας διδομένων.

Ἐξ αὐτῆς τῆς κώμης, ἐν ᾗ ἐστιν ἡ ἐκκλησία, κατὰ ἀναλογίαν τῶν τόπων, κρίσει τοῦ ἐπισκόπου οἱ κληρικοὶ χειροτονείσθωσαν, καὶ τὴν οἰκείαν ἐπιγενωσκέτωσαν κεφαλιτιῶνα. Χάριν δὲ τοῦ τοιούτου κανονικοῦ, καὶ τῶν ὑπὲρ χειροτονίας διδομένων συνήθως, διορίζεται τὸ χρυσόβουλλον τοῦ ἀοιδίμου βασιλέως Ἰσαακίου τοῦ Κομνηνοῦ πρὸς τοῖς ἄλλοις λαὶ ταῦτα· Τυποῖ γὰρ, φησὶν, ἡ βασιλεία μου ἐπὶ τῇ χειροτονίᾳ τῶν ἱερέων, καὶ ἐπὶ τῷ κανόνικῷ, τὸν παλαιὸν ἐνεργεῖν τυπον, καὶ μηδὲν ἐπὶ τῇ χειροτονία λαμβάνειν πλέον τὸν χειροτονοῦντα τούτους ἐπίσκοπον, ἀλλ' ἢ μόνα τὰ ἑπτὰ χρυσᾶ νομίσματα, ἤγουν ἓν μὲν, ὅτε ποιεῖ αὐτὸν ἀναγνώστην, τρία δὲ, ὅτε χειροτονεῖ αὐτὸν διάκονον, καὶ ἕτερα τρία, ὅτε πληροῖ αὐτὸν ἱερέα. Ἐπιβεβαιοῖ δὲ τοῦτο καὶ τὸ συνοδικὸν ψήφισμα τὸ γεγονὸν ἐπὶ τοῦ πατριάρχου Μιχαὴλ, ὃ καὶ ζήτει κατὰ τὸ ιζ' κεφάλαιον τοῦ παρόντος στοιχείου. Ὡσαύτως καὶ ὑπὲρ τοῦ κανονικοῦ, ἀπὸ τοῦ ἔχοντος χωρίου τριάκοντα καπνοὺς, νόμισμα χρυσοῦν ἕν, ἀργυρᾶ δύο, κριὸν ἕνα, κριθῆς μοδίους ἕξ, οἴνου μέτρα ἕξ, ἀλεύρου μόδίους ἕξ, καὶ ὄρνεις τριάκοντα. Ἀλλὰ καὶ ἕτερον συνοδικὸν σημείωμα γέγονεν ἐπὶ τοῦ πατριάρχου Νικολάου, κελεῦον κατὰ τὸ τοιοῦτον χρυσόβουλλον δίδοσθαι τὰ κανονικὰ, καὶ τὰ ὑπὲρ χειροτονίας.

ΚΕΦΑΛ. ΚΘ'. Περὶ χηρῶν γυναικῶν.

Ζήτει τὸ α' κεφάλαιον τοῦ Γ στοιχείου.

ΚΕΦΑΛ. Λ'. Περὶ τῶν χλευαζόντων τοὺς ἀσθενῶς τοῦ σώματος ἐχοντας.

Ζήτει τὸ α' κεφ. τοῦ Γ στοιχείου.

ΚΕΦΑΛ. ΛΑ' Περὶ τοῦ ἁγίου χρίσματος, καὶ τίνες χρίονται μόνον τῶν προσερχομένων τῇ Ἐκκλησίᾳ αἱρετικῶν.

Ζήτει ἐν τῷ Θ' κεφ, τοῦ Μ στοιχείου κανόνα ς' τῆς ἐν Καρθαγένῃ συνόδου, καὶ ἐν τῷ α' κεφ. τοῦ Β στοιχείου κανόνα μή' τῆς ἐν Λαοδικείᾳ συνόδου, καὶ ἐν τῷ β' κεφ. τοῦ Α στοιχείου κανόνα ζ' τῆς β' συνόδου.

ΚΕΦΑΛ. ΛΒ'. Περὶ Χριστιανισμοῦ.

Ὁ ρη' κανὼν τῆς ἐν Καρθαγένῃ συνόδου τοὺς τὴν ἄσκησιν εἰσδεχομένους τῶν Χριστιανῶν ἐλευ-

A pretium requirit rei datæ, sed custodiam debitam dono oblato.

Leges.

Si quis pecunia data episcopus aut clericus fiat, vel peregrinorum, vel pauperum, vel ægrotantium præfectus, aut administrator cujuscunque domus Deo consecratæ, vel alius ecclesiastici ministerii curator, et is qui dat, et qui accipit, et mediator, sacerdotio suo aut clero, aut concredita administratione privabuntur.

Si quis tamen episcopus vel clericus ante ordinationem suam, vel post illam, de bonis suis largiri velit Ecclesiæ, ad quam vocatus est, non solum non prohibemus, sed etiam omni laude

B dignum decernimus.

De canonico, et iis quæ pro ordinatione, solvuntur.

Ex eodem vico ubi est ecclesia, pro ratione locorum, et discretione episcopi clerici ordinentur, et proprium agnoscant capitulum. Hujusce autem canonici causa, et eorum quæ pro ordinatione ex consuetudine data erant, Aurea Bulla venerabilis imperatoris Isaacii Commeni, inter alia, hæc decernit. Statuit imperatoria mea majestas, ut pro ordinatione sacerdotum, et canonico vetus forma obtineat, et nihil amplius pro ordinatione alicujus episcopus qui ordinat, recipiat, quam, solos septem aureos nummos, videlicet unum, quando eum lectorem creat, tres vero cum diacenatum confert, et alios tres, quando sacerdo-

C tem perficit. Et similiter decretum synodicum, quod sancitum est sub Michaele patriarcha (quod vide ad cap. 17 hujusce elementi) procanonico a loco, qui 30 caminos habet, unum nummum aureum, argenteos duos, arietem unum hordei modios sex, vini mensuras sex, tritici modios sex, et aves triginta. Sed et aliud edictum synodicum factum est sub patriarcha Nicolao, quod secundum hanc Auream Bullam solvi jubet jura canonica et quæ pro ordinatione erigi solent.

CAP. XXIX. *De Viduis.*

Vide. cap. 1 litt. Γ.

D CAP. XXX. *De his qui infirmitate aliqua corporali laborantes deridenl.*

Quære. cap. 1 litt. Υ.

270 CAP. XXXI. *De sacro chrismate : et quinam ex hæreticis, qui ad Ecclesiam revertuntur, per solam unctionem recipiuntur.*

Consule in cap. 9 litt. M canonem sextum synodi Carthaginensis, et in cap. 1 litt. B canonem 48 concilii Laodiceni, et in cap. 2 litt. A canonem 7 synodii secundæ.

CAP. XXXII. *De Christianismo.*

Canon 108 concilii Carthaginensis qui professionem sive exercitium Christianorum susciplunt.

ex voluntate libera, et sua sponte ad fidem accedere ordinat, non autem per vim atque ex necessitate ; ista enem neque firma sunt neque diuturna. Nam virtutem ex electione esse oportet, non coactam et invitam. Exercitationem vero nuncupans innuit, quod quemvis Christianum oportet virtutem exercere, ac continentiam et pudicitiam, et præ cæteris charitatem erga omnes. Ita ut qui non hoc modo vivat, nomine tenus Christianus sit, non revera.

Magnus autem Basilius in canone 45 : Qui nomen Christiani assumit, et mandatorum transgressione Christum contumelia afficit, nihil illi conducit mera appellatio. Paria scilicet dicens cum magno Jacobo : « Quid juvat, rogante, fratres mei, si quis fidem se habere dicat, opera vero non habeat? num fides illum queat servare? » Nam ut splendore virtutum in nobis relucente glorificatur Deus, juxta illud ; « Splendeat lux vestra coram hominibus, » etc., ita tenebris vitiorum nosmet obfuscantibus contingit ut Deus blasphemiis proscindatur inter gentes.

CAP. XXXIII. *De chorepiscopis.*

Quære cap. 31 litt. E.

INITIUM LITTERÆ Ψ.

CAP. I. *Quomodo psallere et orare oportet.*

Vide 35 cap. litt. E.

CAP. II. *De cantoribus et lectoribus.*

Vide in cap. 9 litt. E canonem 23 synodi Laodicenæ.

CAP. III. *Quod hæreticorum pseudomartyres sequi non licet.*

Quære in 2 cap. litt. A canonem 9 et 34 synodi Laodicenæ.

CAP. IV. *Quomodo in ordinationibus fiant suffragia.*

Quære in litt. X cap. 1 et 2.

INITIUM LITTERÆ Ω.

CAP. I. *Quibusnam licet horarium gestare.*

Vide in mono capite litt. E canones 22 et 23 concilii Lao diceni.

θέρᾳ προαιρέσει καὶ αὐτεξουσίῳ νομοθετεῖ προσιέναι τῇ πίστει, ἀλλὰ μὴ βίᾳ, μοδ' ἐξ ἀνάγκης· τὰ γὰρ τοιαῦτα οὐ βέβαια, οὐδὲ νόμιμα. Αἱρετὴν γὰρ εἶναι δεῖ τὴν ἀρετὴν, ἀλλ' οὐ βεβιασμένην, ἢ ἀκούσιον. Ἄσκησιν δὲ νιπὼν, ἐνέφηνεν, ὅτι πᾶσαν δεῖ τὸν Χριστιανὸν ἀρετὴν ἀσκεῖν, ἐγκράτειαν, καὶ σωφροσύνην, καὶ πρό γε τῶν ἄλλων τὴν εἰς ἅπαντας ἀγάπην· ὡς ὅ γε μὴ ταύτῃ βιοὺς ὀνόματι μόνον Χριστιανὸς, ἀλλ' οὐ πράγματι λέγεται.

Ὁ δὲ μέγας Βασίλειος ἐν τῷ με' κανόνι, Ὁ τὴν τοῦ Χριστιανοῦς, φησὶ, προσηγορίαν εἰληφὼς, καὶ διὰ τῆς τῶν ἐντολῶν παραβάσεως τὸν Χριστὸν ἐνυβρίζων, οὐδὲν ἐκ τῆς ἐπωνυμίας ἀπώνατο μόνης, ἀδελφὰ τῷ μεγάλῳ φιλοσοφῶν Ἰακώβῳ, « Τί τὸ ὄφελος, ἀδελφοί μου, φάσκοντι, ἐὰν πίστιν τις λέγῃ ἔχειν, ἔργα δὲ μὴ ἔχῃ ; » μὴ δύναται ἡ πίστις σῶσαι αὐτόν ; Ὥσπερ γὰρ τῆς αὐγῆς τῶν ἀρετῶν ἐν ἡμῖν ἀστραπνούσης δοξάζεται ὁ Θεὸς, λατὰ τὸ, « Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ». καὶ τὰ ἑξῆς, οὕτω τοῦ ζόφου προσαναχρωννόντος ἡμᾶς τῶν παθῶν, βλασφημεῖσθαι τὸν Θεὸν συμβαίνει παρὰ τοῖς ἔθνεσι.

ΚΕΦΑΛ. ΛΓ'. Περὶ χωρεπισκόπων.

Ζήτει τὸ λα' κεφάλαιον τοῦ Ε στοιχείου.

ΑΡΧΗ ΤΟΥ Ψ ΣΤΟΙΧΕΙΟΥ.

ΚΕΦΑΛ. Α' Πῶς δεῖ ψάλλειν καὶ εὔχεσθαι.

Ζήτει τὸ λε' κεφ. τοῦ Ε στοιχείου.

ΚΕΦΑΛ. Β'. Περὶ ψαλτῶν καὶ ἀναγνωστῶν.

Ζήτει ἐν τῷ θ' κεφ. τοῦ Ε στοιχείου κανόνα κγ' τῆς ἐν Λαοδικείᾳ συνόδου.

ΚΕΦΑΛ. Γ'. Ὅτι πρὸς τοὺς ψευδομάρτυρας τῶν αἱρετικῶν οὐ δεῖ ἀπιέναι.

Ζήτει ἐν τῷ β' κεφ. τοῦ Α στοιχείου κανόνα τῆς ἐν Λαοδικείᾳ συνόδου θ' καὶ λδ'.

ΚΕΦΑΛ. Δ'. Ὅπως αἱ ψῆφοι γίνονται τῶν μελλόντων χειροτονεῖσθαι.

Ζήτει τοῦ Χ στοιχείου κεφάλαιον α' καὶ β'.

ΑΡΧΗ ΤΟΥ Ω ΣΤΟΙΧΕΙΟΥ.

ΚΕΦΑΛ. Α'. Τίνα δεῖ ὡράριον φέρειν.

Ζήτει ἐν τῷ 0' κεφ. τοῦ Ε στοιχείου κανόνας τῆς ἐν Λαοδικείᾳ συνόδου κβ' καὶ κγ.

MATTHÆI BLASTARIS

CARMINA DUO

DE OFFICIIS ECCLESIÆ ET AULÆ CP.

Exstant in notis Goari ad Codinum. Vide tom. CLVII, col. 129.

ANNO DOMINI MCCCXXXII.

THEODULUS MONACHUS

SIVE

THOMAS MAGISTER.

NOTITIA.

(Cave De Script. eccles. ad an. 1311.)

Theodulus monachus, qui alio nomine Thomas Magister dicitur natione Græcus, patria, si L. Allatio fides Thessalonicensis, claruit sub Andronico Palæologo avo, Theodoro Metochitæ familiaris, Niphoni patriarchæ charus, anno 1311. Ex variis ejus appellationibus varia eum munera obiisse, et quod Græcis istius ævi solemne fuit, a forensibus negotiis ad monasticam ἡσυχίαν transiisse, utriusque item status culmen attigisse, ac rhethorum magistrum, cœnobii abbatem aliquando fuisse, conjectari fas est. Exstat ejus *Oratio encomiastica* in S. Gregorium Theologum Nazianzenum. Habetur ms. in Bibl. Vindob. cod. jurid. XII, n. x, *Orationes gratulatoriæ quatuor; prima* ad Angelum sub Andronico Seniore imp. magnum stratopedarcham; *secunda*, ad Theodorum Metochitam, magnum logothetam; *tertia*, ad Niphonem patriarcham nuper renuntiatum; *quarta*, ad regem Cypri. *Epistolæ* septem. Opera hactenus numerata cum sua versione edidit *Laur. Normannus*, Upsaliæ 1693, 4°, *Dictionum Atticarum* Sylloge Græce prodiit Romæ, 1517, 1525. Paris. 1532. 8° sub nomine *Thomæ Magistri* cura Nic. Blancardi nuper recusa, ac indice auctorum locupletata, Franequer. 1690, 8°. Idem opus exstat MS. Theodulo Magistro ascriptum in Bibliotheca regia Parisiensi cod. 1853. In eodem cod. habentur ejusdem Theoduli *Declamationes* aliquot, *Epistolæ et Orationes*, testante Cl. du Cangio. *Ind. Auct. ad Glossar. Græc.* Quæ utrum ab iis a Normanno editis diversæ sint, merito dubitandum est, cum ex iis una sit in *Triphonem* Patr. CP. pro quo *Niphonem* substituendum esse temporis ratio omnino postulat. Hujus etiam censendæ sunt *Declamationes* nonnullæ; *Oratio* ad Thessalonicenses de pace et concordia. Pr. Οὔ μοι δοκῶ τῶν πάντων οὐδέν. *Oratio* in legatione habita ad imp. Andronicum Palæologum. *Ad Philosophum* Josephum de iis quæ in expeditione Italorum et Persarum gesta sunt. *Sermo* in S. Euthymium Thaumaturgum episcopum Madytarum. *Encomium* maris et universæ aquarum naturæ, et quædam alia, quæ una cum iis nuper editis a nobis supra memoratis Græce habentur MS. in *Bibl. Residentiæ Soc. Jesu Constantinop.* Varia etiam ejus opuscula Græca in quadam Italiæ Bibliotheca latitare narrat Simlerus, *viz.* Ad *Athenienses* in Olynthiis; *de Navigatione* e Thessalonica Byzantium, et rursus Byzantio Thessalonicam; *De regno, de repub.* etc. *Epistolæ* etiam nonnullæ MSS. in cod. Regio Paris. 185 habentur. *Scholia* ejus *in Aristophanem, Euripidem et Pindarum*, quorum etiam *Vitas* conscripsit, uti et *grammatica* quædam et istiusmodi alia, partim impressa, partim mss. non sunt hujus loci.

ΘΕΟΔΟΥΛΟΥ ΜΟΝΑΧΟΥ

ΗΤΟΙ

ΘΩΜΑ ΤΟΥ ΜΑΓΙΣΤΡΟΥ

ΛΟΓΟΣ ΕΙΣ ΓΡΗΓΟΡΙΟΝ

ΤΟΝ ΘΕΟΛΟΓΟΝ.

—

THEODULI MONACHI

SIVE

THOMÆ MAGISTRI

LAUDATIO S. GREGORII THEOLOGI.

(Edidit Laur. Normannus Upsaliæ 1693.)

—

1. Neminem ego mortalium omnium fore arbitror, qui jure mihi ulla ex parte succenseat, aut amentiæ cujusdam temeritatisque reum faciat, si neque causæ hujus gravitate pensitata deterritus, neque quod impar ad illam ego pertractandam accedo, ita nunc audacter tamen periclitari voluerim, ut viribus meis majora aggredi minime dubitaverim. Verum e contrario potius, ut rem verbo complectar, omnium judicio, rectam sat scio consilii rationem me secutum visum iri, neque alia, quam hujusmodi animi alacritate in causam incumbendum fuisse. Quando enim, quæ præcipue suscipere, verbisque extollere, et nihil quidquam quod huc faciat, omittere, omnes sane debemus; nec periculo denique eorumdem neglectio vacat; quanquam cæteris, metu, ut apparet, revocante, hæc ipsa silentio prætermittentibus, causæque susceptionem detrectantibus, hic ego unus quoque quasi afflatu, aut novo animi robore impletus, cum verba mihi faciunda, tum incredibili studio faciunda censeo; numquid causæ est, quo minus vel hoc ipso nomine eximiam quamdam promeritus esse laudem videar, quod honesti justique haud paulo majorem hac ipsa debiti officii persolutione, quidquid id est quod præ magnitudine sua tamdiu procrastinaverim, quam mei ipsius rationem habuerim? quodque periculi, levius esse duxerim? Quam utique rem ipsi mihi nunc propemodum succenseo.

II. Id quod ita profecto patet. Nimirum cum in laudatione tua, o supreme theologorum apex, longeque omnibus in rebus præstantissime vir, duo quædam potissimum contineantur, quod et dicere necesse sit, et quid deceat aptumque sit in dicendo

Α'. Οὐχ ὅπως οὐδ' ἄν εἷς οἶμαι τῶν πάντων οὐδ' ὁπωστιοῦν ἐμοὶ νεμεσήσαι, οὐδ' ἀπονοίας ἠστινοσοῦν ἕλοι καὶ θρασους, εἰ μηδὲν μήτε τὸ μέγεθος ὑπολογισάμενος τοῦ παρόντος ἀγῶνος, οὐθ' ὡς οὐκ ἀποχρῶν εἴην τὰ τοιαῦτα περαίνειν, ἔπειθ' οὕτω παρακινδυνεύειν εἱλόμην ὡς μείζοσιν ἢ κατ' ἐμαυτὸν πράγμασιν ἐγχειρεῖν, ἀλλὰ καὶ παρὰ πᾶσιν, ὡς ἔπος εἰπεῖν, τοῖς κριταῖς εὖ οἶδα δόξιν ὀρθῶς βεβουλεῦσθαι, καὶ ὡς οὐκ ἄλλως, ἢ τοῦτον ἐχρῆν προτεθυμῆσθαι τὸν τρόπον· Ὅταν γὰρ ἃ μάλιστα πάντων θαυμάζειν τε καὶ κοσμεῖν, καὶ μηδενὸς ἀφίστασθαι των εἰς τοῦτο φερόντων, ὑπόχρεῳ καθέσταμεν πάντες· καὶ τὸ λιπεῖν οὐκ ἀκίνδυνον, ταῦτα τῶν ἄλλων διὰ δέος οἶμαι σιγώντων καὶ πρὸς τὴν ἐγχείρησιν ἀποκνούντων, μόνος αὐτὸς ὥσπερ τινὸς κατοχῆς ἢ μένους πλησθεὶς, λέγειν οἴομαι δεῖν. καὶ θαυμαστήν τινα ταύτην ποιεισθαι σπουδὴν πῶς οὐκ αὐτό γε τοῦτο, **πολλοῦ** τινος ἂν ἄξιος εἴην, τοῦ μὲν καλοῦ καὶ **δικαίου ποιησάμενος** λόγον, τοῦ δὲ κατ' ἐμαυτὸν ἀφειδήσας καὶ πάντα κίνδυνον ἐλάττω κρίνας ταυτησὶ τῆς φορᾶς; ἦν καὶ ὅτι περ ἐς τοσοῦτον ἀνεβαλλόμην διὰ τὸ μέγεθος ἐμαυτῷ δυσχεραίνων.

Β'. Δῆλον δέ. Δυοῖδ γὰρ ὄντοιν ἐπὶ τῶν ἐγκωμίων, ὦ θεολογούντων ἀκρότης, καὶ πάντ' ἄριστε σὺ, τοῦ τε λέγειν ἀνάγκην εἶναι, τοῦ τε τὰ γιγνόμενα σώζειν· εἰ μὲν ἄμφω ταῦτα πράττειν ἐξῆν, πᾶς τις ἂν ἀπεδίδου, καὶ οὐκ ἂν εἴχομεν πράγματα·

ὅτε δὲ πρὸς μὲν τὴν ἀνάγκην ἐξ ἀνάγκης εἴκομεν, καὶ λέγειν βουλόμεθα πάντες, τὸ δὲ τῆς ἀξίας βουλόμεθα μὲν, οὐ δυνάμεθα δὲ, ἀλογίᾳ τῳόντι περιφανὴς · ἐπεὶ τοῦτο οὐκ ἔξεστι μηδ' ἐκεῖνο πράσσειν αἱρεῖσθαι, ἀλλ' ἑκατέρωθεν ἁμαρτάνειν, ἔκ τε ὧν λέγειν ἀνάγκην ἔχοντες παραλείπομεν, ἔκ τε ὧν τῆς ἀξίας λειπόμεθα, δέον τοὺς μὴ ταύτῃ γε παρεσκευασμένους, ἐκείνως γοῦν ἐκτιννύναι · ἐπεὶ καὶ τοῦ λέγειν ἁπλῶς, οὐ τοῦ προσαξίαν λέγειν ἐστὶν ἀνάγκη · ἄνευ γὰρ τοῦ μὴ δ' ἡντινοῦν μὲν αἰσχύνην τοῖς λέγουσιν εἶναι παρὰ τὴν ἧτταν, κοινὸν γὰρ τοῦτο τῶν ζώντων ἐν λόγοις, μεγίστην δ' ἀγνωμοσύνην, ἐὰν τοῦτ' αὐτὸ δεδιότες σιγᾷν ἀξιῶμεν, ἃ λέγειν ἀνάγκη, καὶ ὑπὲρ ὧν ἡμῖν καὶ τῶν Ὁμήρου στομάτων, εἴπερ οἷόν τ' ἦν, παρὰ πάντ' ἔδει τὸν χρόνον, τίς οὐκ οἶδεν ὡς οἷς αὐτὸς λόγων, καὶ ἀρετῆς, καὶ δογμάτων, καὶ ξυμπάντων ὡς εἰπεῖν τῶν καλλιστων κεφάλαιον ἀνεφάνης τῷ βίῳ, καὶ μόνος ἔσχει παρὰ πάντων ἐν τούτοις τὸ συγκεχωρηκὸς, τοῦ μὲν διὰ πάντα ταῦτα θαυμάζεσθαι παρὰ πάντας, ὀφειλέτας ἅπαντας ἴσχεις · τοῦ δὲ προσαξίαν, οὐδένα · μόνης γὰρ τῆς σῆς γλώττης εἴπερ οἷόν τε σπούδασμα τοῦτ' ἂν ἦν. Καὶ μόνος ὑπὲρ αὐτὸς σαυτοῦ τοῦτον ἂν εἰσέδυς ἀποχρώντως τὸν ἆθλον · οὐ μὴν διὰ τοῦτο κἀκεῖνο λιπεῖν ἡμᾶς δεῖ, οὐδὲ τοῦ παντὸς ὑστερῆσαι τὸ μέρος οὐκ ἔχοντας · ἀλλὰ μάλιστα μὲν εἰσφέρειν ἐκ τῶν ἐνόντων καὶ τὴν νομιζομένην ἀποδιδόναι δήπου συντέλειαν · εἰ δὲ τὴν γιγνομένην οὐκ ἔνεστιν, οὐδὲν πρὸς ἡμᾶς · ἀλλὰ σύ γ' αὐτὸς τούτου σαυτὸν αἰτιῶ, πᾶσαν λόγου δύναμιν ὑπερβαίνων, καὶ μόνος τοῖς ἐπαινεῖν αἱρουμένοις ἀνέφικτος ὤν, ὥς που καὶ αὐτὸς ἐν πεύσεως εἶδει, τοῦτ' ἀποφηνάμενος ἔφθης, Τίς ἡμᾶς ἐπαινέσεται ; φήσας· ὥσπερ προϋπογράφων τὸ μέλλον, καὶ συστέλλων πάντας πρὸς τὴν ἐγχείρησιν · καὶ οὐ λέγω ὅτι καὶ τοῦθ' ὑπὲρ σοῦ μᾶλλον, ἢ θάτερον γίγνεται · οὐ γὰρ τοσαύτην ἔκπληξιν ἕξει τὰ σὰ διὰ μέγεθος σιωπώμενα, δσην ἂν, εἰ πάντες ἐπαινεῖν προελόμενοι, πάντες ἀποτυγχάνοιεν · καὶ μὴν εἰ τὸ καταξίαν ζητήσαις, οὐ μόνον οὐδ' ὀντινοῦν ποτε τὸν εἰσφέροντα ἕξεις (πάντες γὰρ ἴσασιν ἐλάττους ὄντες τῶν σῶν ἐγκωμίων, καὶ πάντες παντάπασιν ἀποστήσονται), ἀλλὰ κεἰ τρόπον ἄν ἕτερον, ὥσπερ εἰς αἴνιγμα πέσῃς, καὶ δόξῃς ὁ αὐτὸς θαύμαστός τε εἶναι καὶ μή · τὸ μὲν, οἷς οὕτως ἔχεις · τὸ δὲ, οἷς οὐ τοὺς θαυμάζοντας ἔχεις · ὑπὲρ οὗ μοι δοκεῖ καὶ τοὺς ἐπαίνους αὐτοὺς, εἰ μὴ κατ' ἀνθρώπους πρότερον ἦσαν, πάντως ἄν, νυνὶ νενομίσθαι, καὶ τὴν ἀρχὴν ἐντεῦθεν λαβεῖν.

servare, si utrumque assequi liceret, hoc tibi quisque officium haud dubie redditurus erat, nihilque nostro nunc labore opus fuerat. Cæterum ut necessitati ex necessitate cedimus, et de te quidem dicere omnes avemus ; sed digne satis dicere, avemus non item possumus : hoc sane manifeste absurdum fuerit, si quoniam hoc non datur, ideo ne quidem illud nobis agendum statuamus, verum utrinque potius ab officio discedere malimus, tum eo, quod licet dicendi imposita nobis necessitas sit, non dicamus tamen, tum quod a dignitate operis longius absimus, cum contra oporteret, si ad dignitatem istam minus instructi essemus, quod debebamus, utcunque dicendo persolvere : siquidem dicere duntaxat, non autem ex merito dicere, necesse est. Præter id enim, quod nulla dicentibus, si inferiores discedimus, subeunda ignominia est, quando tralatitium hos iis ac commune, qui his in litteris ætatem agunt, sed maxima potius iniquitatis opinio, si metu ignominiæ hujus silere ea malimus, quæ dicere necesse est ; quibusque exprimendis dena illa Homeri ora (1), si qua fieri posset, nobis perpetuo opus essent : quis, quæso, est qui nesciat, quod hoc ipso quo tu et eloquentiæ, et virtutis, et dogmatum religionis, et ut semel dicam, pulcherrimarum rerum omnium, caput ac fastigium generi humano apparuisti, et his in rebus summa omnium consensione, primas tibi uni concessas tenes ; simul ob hæc omnia ut super alios omnis celebreris, universos obstrictos tibi debitores habeas, neminem vero, ut pro merito celebreris. Quod si fieri poterat, unius tui oris opus erat. Solus enim tua causa idoneus in hoc certamen athleta descensurus eras. Quanquam nec hac sane de causa illud tui celebrandi deserendum fuerit officium, nec toto desistendum, quod parte illius aliqua deficimur. Contra vero potius quo ad facultas feret large ac liberaliter conferre, ratamque communis pensionis partem repræsentare debemus : quod si tantam, quantam par erat, haud valemus, nihil illud profecto nostra refert, sed tute tibi imputes licet, qui facultatem orationis omnem supervectus, unusque laudatoribus tuis inaccessus es. Quod et ipse quodam loco (2), interrogatiuncula aliqua jam declarasti : « Ecquis, inquiens, nos laudaturus est? » quasi præsignificans quod futurum erat, omnesque ab hoc incepto deducens. Verumtamen haud facile dixerim honorificentius hoc tibi futurum silentium illo laudandi conatu. Non enim perinde obstupefactura homines decora tua erunt silentio transmissa, atque si et laudare te omnes insistant, et frustra tamen omnibus hi conatus sint. Quod si te vero dignum omnino præconium quæris, cum nullum inquam qui operam suam huc conferat reperies (nemo enim nescit quanto laudibus tuis minor sit ; unde et universi iis penitus absistent), tum et alia qua ratione velut in ænigma quoddam incides, videberisque vir idem admirabilis pariter esse, et non esse : alterum, quod talis reapse es, alterum, quod admiratores laudatoresque nullos habes. Cujus equidem causa, si minus antea usurpatæ hominibus hujuscemodi laudationes fuissent, utique nunc primum instituendas, et ab hoc exemplo originem sumpturas fuisse crediderim.

(1) *Iliad. B.* vers. 489.

(2) Fine *Epitaphii in Basilium*,

III. Si illud itaque decorum tibi est; nam hoc alterum neutiquam probaveris : est enim necesse, in admiratione hominum te tuaque versari ; quod et proprium hoc virtutis est, cujus primas merito partes ipse fers : et quod universis hominibus, qui nunc sunt, quique postea futuri sunt, in exemplar et typum pulchri omnis et honesti, vitam tuam maxime propositam esse oportet : æquum proinde fuerit, ut laudes tuas justa magnanimitate excipias, ferasque quod te non dignam satis prædicationem auferas. Eo namque mode haud paucos ultro operam collaturos habebis : quippe omneis, quibus nonnihil cum eloquentia usus intercedit, in laudationis tuæ consortium necessario etiam venturos : non equidem quo res tuas ornaltores se facturos sperent, sed ex eisdem claritudinem relaturos. Quale quiddam circa oculorum, ut opinor, usum contingit, qui quod solem contuentur ac suspiciunt, eo nihil illi gloriæ addunt ; verum se potius ipsos ornant, insitam nimirum videndi vim ope solis in actum provehentes. Proinde optimos quosque viros, quamlibet alloqui sui ipsorum præcones ipsi testesque sunt, hoc ipso quod boni probique sunt, omniumque pradicatione digni, laudari tamen ab aliis cernimus, suæque virtutis hanc velut mercedem ferre : quod tu utrumque, singulari quadam prærogativa, a te ipso acceptum habes ; tum quod summe inter omneis admirandus par te es, tum quod facundiæ tuæ fructum ipse percipis, ex eo quod propinquitate tibi conjunctissimos, ut quisque diem suum obiit, funebri allocutione collaudasti, quo non illos magis quam temetipsum cohonestasti. Imo, ut rectius loquar, tum illos laudationibus tuis ornatiores fecisti, tum luculenter ostendisti, cujusmodi esse oporteat, qui te, qui cæteros omnes, laudando ornare se postulet. Quæ igitur tum ad præsens institutum adhiberi oportebat, tum queis potissimum inductus ad dicendum surrexerim, illamque in dicendo offensionem jucundiorem mihi omnino duxerim, quam vacuum periculo silentium, hæc fere sunt : quibus pulchrius quiddam honestiusque haud facile quemquam perspecturum arbitror, eademque ejusmodi, ut rebus ipsis paria ac suffectura credam.

Γ'. Εἰ τοίνυν ἐκεῖνο μὲν ὑπὲρ σοῦ · τοῦτο δ' οὐκ ἂν ἔλοιο · θαυμάζεσθαι γὰρ ἀνάγκη τὰ σά, καὶ ὅτι τοῦτ' ἀρετῆς ἴδιον, ἧς αὐτὸς φέρῃ τὰ πρῶτα, καὶ τοῦ γ' ἕνεκα πᾶσι μάλιστα χρῆναι, τοῖς τε νῦν οὖσι τοῖς τε ἐπιγιγνομένοις, παράδειγμα καὶ τύπον καλοῦ παντὸς προκεῖσθαι τὰ σά · δίκαιος ἂν εἴης μεγαλοψυχίᾳ πρὸς τοὺς ἐπαίνους κεχρῆσθαι, καὶ παραξίαν θαυμαζόμενος φέρειν. Οὕτω γὰρ οὐκ ὀλίγους ἕξεις εἰσφέροντας · πᾶσι γὰρ οἷς μέτεστι λόγων, καὶ τῶν ὑπὲρ σοῦ λόγων ἀνάγκη μετεῖναι · οὐχ ὥστε κοσμεῖν ἔχειν τὰ σά · ἀλλ' ὑπ' αὐτῶν τούτους κοσμεῖσθαι, καθάπερ ἐπὶ τῶν ὀφθαλμῶν οἶμαι ξυμβαίνει. Οὐδὲ γὰρ οἷς οὗτοι τὸν ἥλιον ὁρῶντες θαυμάζουσι, τούτῳ δόξαν ἐντεῦθεν ἡντινοῦν ἐμποιοῦσιν · ἀλλὰ σφᾶς αὐτοὺς μᾶλλον κοσμοῦσιν, ἢν τοῦ ὁρᾶν ἴσχουσι δύναμιν, ταύτην ἐκεῖθεν προάγοντες εἰς ἐνέργειαν. Ἅπαντας μὲν οὖν τοὺς ἀρίστους, εἰ καὶ ἄλλως οὗτοι σφῶν αὐτῶν εἰσιν ἐπαινέται καὶ μάρτυρες, τῷ καλοὶ καὶ ἀγαθοὶ γεγονέναι, καὶ οἷοι παρὰ πᾶσι θαυμάζεσθαι, ἀλλ' οὖν ἐπαινουμένους δήπουθεν ὑφ' ἑτέρων ὁρῶμεν, καὶ τοῦτον μισθὸν κομιζομένους τῆς ἀρετῆς · σὺ δὲ καὶ τοῦτο κἀκεῖνο μετὰ πολλοῦ τοῦ περιόντος παρὰ σαυτοῦ λαβὼν ἔχεις · τῷ τε μάλιστα πάντων θαυμαστὸς οἴκοθεν εἶναι, τῷ τε τῆς αὐτὸς σαυτοῦ γλώττης μετέχειν, ἐν οἷς τῶν οἰκειοτάτων οὐστινασοῦν ἀπογεγονότας προσεῖπες, οὐ μᾶλλον αὐτοὺς ἢ σαυτὸν ἐντεῦθεν κοσμῶν · μᾶλλον δὲ, εἰ χρὴ τάληθὲς εἰπεῖν, ἐκείνους τε τοῖς παρὰ σαυτοῦ λόγοις ἀποφήνας καλλίους, αὐτός τε σαφῶς ἐπιδείξας ὁποίους τινὰς εἶνας χρὴ τοὺς σέ τε καὶ πάντας τοὺς ἄλλους κοσμεῖν αἱρουμένους · οἷς μὲν οὖν πρὸς τὴν παροῦσαν ῥᾳστώνην ἔδει κεχρῆσθαι καὶ ἃ μάλιστ' ἐμαυτὸν πεπεικὼς διανέστην, σιωπῆς ἀκινδύνου τὴν ἐν τῷ λέγειν ἥτταν ἡδίω παντάπασι κρίνας, ταῦτ' ἔστιν ὧν οὐδ' ἂν εἷς, ὡς γε ἐγὼ νομίζω, ξυνίδοι καλλίω καὶ τοῖς πράγμασιν ἀποχρῶντα.

IV. Jam igitur ad ipsam magni viri laudationem manum admoventi, eamque capessere instituenti mihi, haud aliud quidquam ante patriam, quæque illam attingunt, commemorandum videtur, imo vero de illa ante cætera omnino agendum, naturæ artisque oratoriæ vestigia, et æqua utriusque desideria, sequenti. Quippe ad hunc modum dirigi tractarique oportere orationem, cum ars ipsa velut lege sancit, tum et necessitatem suam natura adjungit. Siquidem priores liberis parentes, sunt, patria parentibus, quod ex ea, tanquam fundamento, aut radice subjecta, genera hominum ipsa oriuntur ; omni itaque ex parte optimum, rerumque naturæ convenientissimum est, ut priore loco de patria nostri dicamus, tum deinceps ad parentes veniamus, eisque quod jus fasque est reddamus.

Δ'. Ἤδη δέ με τοῖς ἐπαίνοις προσάγοντα τοῦ μεγάλου, καὶ τούτων ἐπιδαλλόμενον ἅπτέσθαι, οὐδενὸς οἶμαι δεῖν τῶν ἄλλων πρὸ τῆς πατρίδος μεμνῆσθαι, καὶ τοῦ κατ' αὐτὴν ἔχοντος, ἀλλὰ καὶ μάλ' αὐτῆς πρὸ τῶν ἄλλων ἐπόμενον φύσει καὶ τέχνῃ, καὶ τῷ παρ' ἀμφοῖν ἀξιοῦντι. τῆς μὲν γάρ ἐστι νόμος οὕτω προάγειν χρῆναι τὸν λόγον, καὶ τοῦτον διαχειρίζειν τὸν τρόπον · ἡ δ' ἄρα φύσις καὶ τὴν ἐξ αὐτῆς ἀνάγκην προστίθησιν, ἅπερ τῶν μὲν παίδων οἱ πατέρες πρότεροι, τούτων δ' αὖ ἡ πατρὶς, τῷ ταύτης ὥσπερ τινὸς κρηπῖδος ἢ ῥίζης ὑποκειμένης τὰ γένη φύεσθαι · κράτιστον οὖν ἂν εἴη πανταχόθεν καὶ τοῖς πράγμασιν εἰκον, τῆς ἐνεγκούσης πρόσθεν ποιησάμενον λόγον, ἔπειτ' ἐφεξῆς ἐπὶ τοὺς πατέρας χωρεῖν, κἀκείνοις τὸ νικὸς ἀπονέμειν.

V. Jam patria ejusmodi sane est, ut non modo nulla penitus carum rerum, quæ decorare urbes solent, destituatur sed et tanta eorum exsupe-

Ε'. Ἔστι τοίνυν αὕτη τοιαύτη, ὡς μὴ μόνον ἑνὸς μηδενὸς τῶν ὅσα πόλιν οἶδε σεμνύνειν μηδ' ὁπωστιοῦν ἀφεστάναι, ἀλλὰ καὶ μετὰ τοσῆσδε ταῦτ' ἔχειν

περιουσίας, ὡς καὶ ταῖς διὰ πάντων παραβαλλομένη κρατίσταις εὑρίσκεσθαι πρώτη· οὕτω μὲν γὰρ ἔσχεν ἄειρος, ὡς τῶν μὲν ἁπανταχοῦ πασῶν ἄριστα κεκράσθαι δοκεῖν· πρὸς δὲ μεγίστην καὶ παντοδαπὴν καρπῶν τε καὶ ζώων ἐρρῶσθαι φορὰν, ἑκάστων τῆς γῆς τῶν μερῶν πλεῖστα καὶ κάλλιστα τὰ παρ' ἑαυτοῖς χορηγούντων, καὶ οἷα μὴ τοῖς ἐνοικοῦσι μόνον, ἀλλὰ καὶ πᾶσι προσοίκοις τε καὶ τοῖς πόρρω παρελαύνειν τὴν χρείαν· οὕτω δ' αὖ ὡρῶν συμμετρίας, καὶ τοῦ κατ' αὐτὰς εὐδοκίμου, ὡς ἃ παρ' ἑκάσταις πρόσεστι δυσχερῆ, τούτων ἁπάντων τὸν ἀεὶ χρόνον ἐξίσης ἀφεστηκυῖα, μόνων τῶν ἀγαθῶν ἐκ περιουσίας μετέχειν, ὥσπερ ἐξεπίτηδες τὸ μὲν καθάπαξ λυσιτελὲς αἱρουμένη, τὰ δ' ἄλλα χαίρειν ἐῶσα. Τοσούτοις δὲ καὶ τηλικούτοις ἀγαθοῖς ἡ Καππαδοκῶν κοσμουμένη, καὶ οὕτω κομῶσα, ὡς καὶ τοὺς πᾶσι τοῖς καλοῖς οὐκ οἶδ' ὅπως ἀξιοῦντας βασκαίνειν, καὶ τὸ κακῶς λέγειν τέχνην ὡς εἰπεῖν ποιουμένους, θαυμαστούς τινας ἄγαν ἐπαινέτας κακτῆσθαι, καὶ τῷ μηδὲν ὅλως ἀντειπεῖν ἔχειν, τιμῶντας αὐτὴν τὰ γιγνόμενα, τοσούτων καὶ τηλικούτων ἀνδρῶν ἐπ' εὐσεβείᾳ καὶ φιλοσοφίᾳ καὶ λόγοις, ἔτι τε τοῖς ὑπὲρ ἀληθείας ἀγῶσι, καὶ πᾶσιν οἷς ἄν τις φήσαι βελτίστοις θαυμαζομένων πεπλούτηκεν, ὡς μήτε ταύτην ἑτέρων ἢ τούτων χρῆναι μητέρα καὶ τροφὴν γεγενῆσθαι, μήτ' αὐτοὺς τούτους ἐξ ἄλλης ἡστινοσοῦν ἢ ταυτησὶ προελθεῖν, ἀλλ' ἐπ' ἄμφω τὸ εἰκὸς ἀπαντῆσαι, καὶ τὴν ἁρμονίαν ταυτησὶ τῆς κιθάρας, ἐντελῆ καταστῆναι, καὶ διὰ πασῶν, ὡς εἰπεῖν, ὧν πρῶτος καὶ μέσος καὶ τελευταῖος, ὁ νῦν εὐφημούμενος· τὸ μὲν, ὅτι πρὸς μηδέν τι τοιοῦτον παράδειγμα βλέπων, οὕτω διὰ πάντων ἐξέλαμψε· τὸ δ' ὅτι μετὰ πολλούς τινας ἑτέρους καλοὺς κἀγαθοὺς, μόνος οὗτος ἀνεφάνη τοιοῦτος.

rantia præstet, ut eum florentissimis quibusque, quacunque in re collata, jure ipsa primas ferat. Nempe et aeris ea natura est, ut omnium quæ usquam sunt urbium, temperatissima facile sit, et ad uberrimum omnis generis frugum animaliumque proventum instructissima; singulis illius partibus, quæ in qualibet nascuntur, tum plurima, tum præstantissima, suppeditantibus, nec incolarum modo, sed finitimorum item et longinquorum omnium necessitates satis superque expletura. Adhæc ita partium anni congruentia, et quidquid in iis maxime commendatur, comparata sunt, ut ab incommodis cujusque partis omnibus perpetuo æqualiter remota, solis commodis, et his cumulatissimis, perfruatur : velut consulto, quod solidam utilitatem habet adsciscens, cæteris repudiatis. Tot vero tantisque naturæ bonis ornata Cappadocia, adeoque florens, ut qui pulchris rebus omnibus haud scio qua ratione invidere student, et maledicendi libidinem artem quodammodo suam fecere, hos mirificos certe sui laudatores habeat : quippe qui dum nihil habent quod obloquantur, meritis ipsam laudibus honorant, tanta eadem præsantissimorum virorum, pietate, Christiana philosophia, litterarum studiis, obitisque item pro veritate certaminibus atque optimis quibusque, quæ a quopiam nominari queunt, ornamentis, maxime illustrium, ditata copia fuit, ut neque illa aliorum, quam horumce parens altrixque esse debuerit, neque hi ipsi aliunde, quam ex illa prodire, atque utrisque quod æquum erat evenire eoque modo citharæ hujus concentum, per omnes, quod dicitur, fides plene absolvi. Quorum virorum primus idem, et medius, et postremus hic ipse, cujus nunc laudes celebramus, merito est : partim quod tametsi nullum ille tale tantumque exemplar intueretur, ita in omnibus tamen emicuerit : partim quod post tot præclaræ virtutis homines, solus ille talis tantusque evaserit.

ς'. Ἀλλὰ μὲν καὶ ὅτι μηδένα πω τῶν πάντων τοιοῦτον γενόμενον ἴσμεν, δεδόσθω δὲ μετὰ παῤῥησίας εἰπεῖν, μηδ' εἰς ἔπειτ' ἐσόμενον, τὸν τελευταῖον ὅρον τῆς περὶ πᾶσαν ἀρετὴν εὐκληρίας εἰλήφει· ἧς οὐ μικρόν ἐστι μέρος ἡ θαυμαστὴ τῶν τεκόντων ἐπιτυχία καὶ τὸ λαμπρούς τινας ἄγαν αὐτῷ τῆς ἐς τὸν βίον προόδου τοὺς αἰτίους γενέσθαι· εἰ γὰρ καὶ μείζων αὐτῶν ἀνεφάνη τοῖς ὅλοις, ἀλλ' οἷς τὰ σπέρματα ταυτησὶ τῆς πλεονεξίας ἐκεῖθεν λαβὼν, εἰς ἑκατὸν κατὰ τὸν εὐαγγελικὸν ἐξήνεγκε σπόρον, κοινωνοὺς ἴσχει κἀκείνους τῆς νίκης, καὶ ξυναγωνιστὰς τοῦ κρατεῖν. Τό τε γὰρ κατ' αὐτὸν τοῦτον « τὰ τῶν παίδων τῷ πατρὶ λογίζεσθαι, τῶν ἐννομωτάτων τε καὶ δικαιοτάτων, » χωρίς τε τούτου « αἴτιον εἶναι τῶν φύντων, τὸν τὸ σπέρμα παρασχόντα » φασὶν οἱ σοφοί· ὥστε τούτου κρατοῦντος, κἀκείνους ἐξ ἀνάγκης κρατεῖν· καὶ τὸ μέγιστον, οὐχ ὅσον τῶν ἄλλων πατέρων, ἀλλὰ καὶ σφῶν αὐτῶν ἐν τούτῳ τῷ μέρει.

VI. Sed et neminem mortalium omnium aut adhuc talem tantumque fuisse, aut, sed detur, quæso, mihi plena eloquendi libertas, in posterum futurum, scimus, quoniam ultimam in omni virtute felicitatis metam ipse attigit. Cujus non minima sane pars mirifica illius circa parentes prosperitas est, et quod tam illustres sui in vitam ingressus auctores habuit. Quibus quanquam per omnia major ipse erat, quoniam tamen prætantiæ hujus accepta a parentibus semina, ad sementis evangelicæ modum, *cum centesimo fœnore* [1] reddidit, partæ illos victoriæ socios habet, ut pariendæ adjutores habuit. Nam et ex ipsius sententia (1), « æquissimum justissimumque est parti liberorum attribuere virtutes, » et præter ipsum, « enatæ segetis auctorem esse, qui semen præbuit, » adfirmant sapientes (2). Eo itaque vincente, simul et parentes vincere necesse est. Et quod caput est, non alios duntaxat vincere parentes, sed hac in parte etiam semetipsos.

[1] **Matth. XIII, 8 ; Marc. IV, 8 ; Luc. VIII, 8.**

(1) *De Machabeis*, I, 399.

(2) Demosth. *Coron.* LII.

VII. Quippe et propria ipsorum virtus clara adeo ac illustris fuit, ut splendidissimum a filio elogium tulerit; nec enim parte quadam morum optimorum instructi erant, parte alia non item; nec hac parte plus, illa minus, sed omnia simul et eximie complexi, summo adnitebantur opere, ne qua virtutum particula deficerentur: et qui tales jam per se erant, ea haud paulo gloriosius fuit, qui hujus tanti filii parentes fierent dignos Deo visos. Quamobrem istuc? Quoniam illa quidem certe ratione pares sibi nonnullos, virtutisque æqualitate haud facile cessuros, nec illos tamen admodum multos, habituri; de hac ipsa omnium hominum neminem in certamen admittunt. Unde, si fas est dicere, Gregorius et Nonna, par conjugum beatissimum, et una cum filio sanctissimam Trinitatem ordine et forma quodammodo referens, probitatis ne suæ pretium dicam nescio, an certum exceptura ipsos olim beatitudinis pignus, an utrumque potius, divinum hunc filium, a Deo, qui quanti et ipsos et illum faceret hoc modo monstrabat, accepisse mihi videntur.

Ζ'. Τῆς γὰρ προσούσης ἀρετῆς οὕτω λαμπρᾶς τινος καὶ περιφανοῦς γεγονυίας, ὡς καὶ παρὰ τοῦ παιδὸς ἐπιεικῶς προσειρῆσθαι οὐ γὰρ τὸ μὲν· αὐτοῖς προσῆν τῶν καλῶν, τὸ δ' οὔ· οὐδὲ τὸ μὲν μᾶλλον, τὸδ' ἧττον· ἀλλὰ πάνθ' ὁμοῦ καὶ μεθ' ὑπερβολῆς συνειλήφεσαν, ὥσπερ φιλονεικοῦντες μηδενὸς τῶν ἀγαθῶν ἐλλελεῖφθαι· τοιούτοις τοίνυν αὐτοῖς οὖσι, μεῖζον εἰς δόξαν τὸ τούτου πατέρας ἠξιῶσθαι γενέσθαι· διατί; Ὅτι ἐκείνως μὲν ἄν, εἰ καὶ μὴ πολλοὺς, ἀλλ' οὖν παραπλησίους ὁή νινας σχοῖεν καὶ τῶν ἴσων ἀμφισβητοῦντας· οὕτω δὲ οὐδ' ὁντινοῦν τῶν ἁπάντων. Ὥστ' εἰ καὶ τοῦτ' εἰπεῖν δεῖ, δοκοῦσί μοι Γρηγόριός τε καὶ Νόννα, ἡ μακαρία δυὰς, καὶ τῇ Τριάδι μετὰ τοῦ παιδὸς σύσσιχός τε καὶ σύμμορφος, οὐκ οἶδ' εἴτε γέρας καλοκἀγαθίας, εἴτε σύμβολον ἐναργὲς, τῆς εἰσέπειτ' αὐτοὺς ἐκδεξομένης μακριότητός, εἴτε καὶ ἄμφω ταυτὶ τὸν θαυμαστὸν τουτονὶ κεκομίσθαι θεόθεν, ὅσου τινὸς αὐτούς τε καὶ τοῦτον ἄγει δεικνύντος.

VIII. Quando enim et filium longe et optimum eminentissimumque futurum, ne quid illi ad omnigenam felicitatem deesset, similes item nancisci oportuit parentes, et pari ratione parentes ipsos, ob summam vitæ sanctimoniam, spectatamque in omnibus probitatem, claros in primis ac beatos, omniumque Deo charissimos, admirabili quadam ipsisque simillima dignari prole, ita convenienter prorsus utrinque accidit, alterique ab alteris quod par est accipiunt, debitumque ordinem capiunt. Nam propria quisque sua mutuo tradentes, invicemque recipientes, sic conveniunt penitus, ut junctim ubique commemorentur audianturque, et sint, quod dicitur, « terque quaterque beati. » Quapropter cum publice ac privatim tum separatim singuli, itemque inter se comparati, admirabiles profecto sunt, maximisque dignissimi laudibus: qui non essent sane tales, nisi tales essent; sunt autem tales, quoniam tales sunt.

Η'. Ἐπειδὴ γὰρ ἔδει τὸν μὲν, οἷς ἄριστος ἔμελλεν ἔσεσθαι καὶ πάνυ τοι προῦχων παραπλησίων τυχεῖν καὶ πατέρων, ὡς ἂν αὐτῷ πανταχόθεν εἴη τὸ εὔδαιμον, ἔδει δὲ κατὰ τὸν αὐτὸν λόγον καὶ σφᾶς διὰ τὴν τοῦ βίου φιλοσοφίαν καὶ τὴν ἐς πάντα χρηστότητα, λαμπρούς τινας ἄγαν καὶ ζηλωτοὺς γεγονότας, καὶ μάλιστα πάντων θεοφιλεῖς, θαυμαστῆς τινος ἠξιῶσθαι καὶ τῆς γονῆς, καὶ μάλ' αὐτοῖς ἐοικυίας· ἄμφω γίνεται καταλλήλως· καὶ παρ' ἑκατέρων ἑκάτεροι δέχονται τὸ εἰκός. Καὶ τὴν γιγνομένην λαμβάνουσι τάξιν· τὰ γὰρ δὴ σφέτερ' αὐτῶν ἀλλήλοις ἀντιδιδόντες, καὶ παρ' ἀλλήλων ἀντιλαμβάνοντες, οὕτω καθάπαξ συμβαίνουσιν, ὡς συλλαλεῖσθαι καὶ συνακούεσθαι, « τρισμάκαρες ὄντες » ὡς εἰπεῖν καὶ τετράκις· ἀνθ' ὧν καὶ κοινῇ καὶ ἰδίᾳ καὶ καθ' αὑτοὺς ἀμέλει καὶ πρὸς ἀλλήλους, θαυμαστῶς εἰσιν ἔχοντες, καὶ μεγίστων ἀξιόχρεῳ τῶν ἐπαίνων, οὐκ ἂν, ὄντες τοιοῦτοι μὴ τοιοῦτοί γε ὄντες· τοιοῦτο δὲ ὄντες, ἅτ' ὄντες τοιοῦτοι.

IX. Huc et illiud adjungendum: minime quidem ad injuriam parentis magni Gregorii, ut suspicari quisquam fortasse possit, pertinens; verum partæ hominis gloriæ maximum potius cumulum adjiciens, magnæque cujusdam virtutis testimonium perhibens. Quanquam enim pristinis suis circa sacra opinionibus Deo adversari visus erat, per ea tamen quæ operibus ipsis spectanda exhibuit, quodammodo cum illo facere sentiebatur: et cum alia omnia animo sentiret, rebus ipsis arcanam nostræ religionis significationem dare videbatur, ita ut nihilo secius actionum suarum affectione noster esset, quam cultu sacrorum alienus. Qui enim præoccupatum Hypsistariorum hæresi animum gerebat, quam luem tanquam partem aliquam paternæ hæreditatis creverat; postea, o admiranda Dei judicia, « qui facit omnia transformatque [1], » solo ar-

Θ'. Οὐ μὴν ἀλλὰ κἀκεῖνο προσθεῖναί δεῖ· οὐκ εἰς ὄνειδος, ὡς ἄν τις εἰκάσαι, φέρον τῷ τοῦ μεγάλου πατρὶ, ἀλλὰ καὶ σφόδρα ξυναιρόμενον παὸς ἦν κέκτηται δόξαν, καὶ τὰ μεγάλ' αὐτῷ μαρτυροῦν· ὃς εἰ καὶ δι' ὧν πρόσθεν ἐνόμιζεν ἀντιπράττειν ἐδόκει Θεῷ, ἀλλὰ δι' ὧν ἐπεδείκνυ τοῖς ἔργοις συμπράττων πως αὐτῷ ἐωρᾶτο· καὶ τἀναντία φρονῶν τοῖς ἔργοις τὸ καθ' ἡμᾶς ὑποσημαίνειν ἐδόκει· οὐχ ἧττον ἀπὸ τοῦ διακειμένου τῶν ἔργων ἡμέτερος ὤν, ἢ διὰ τὸ σέβας ἀλλότριος· τὸ γὰρ προκατειλῆφθαι μὲν τῇ τῶν Ὑψισταρίων αἱρέσει· καὶ ταύτην ὥσπερ ἄλλον τινὰ κλῆρον πατρῷων διαδεδέχθαι τὴν νόσον, ἔπειτ', ὦ Θεοῦ κριμάτων! « τοῦ πάντα ποιοῦντος καὶ μετασκευάζοντος » μόνῳ τῷ βούλεσθαι, τῆς μὲν ὡς πονηροτάτης κατεγνωκέναι τε καὶ μισῆσαι· καὶ μὴ μόνον αὐτὸ τοῦτο χαίρειν ἐάσαι, ἀλλὰ καὶ τῆς μνήμης παντάπασιν ἐξελεῖν, καὶ μηδ' ἠντινοῦν ἔτ' αὖ-

[1] Amos. v, 8.

τῆς ἔννοιαν σχεῖν · οὕτω δὲ γνησίως καὶ μετὰ τοσ- A
αύτης εἰλικρινείας, ὥσπερ ἐκ δυοῖν ποδοῖν τὸ τοῦ
λόγου τῷ Χριστῷ προσχωρῆσαι, ὡς καὶ τῆς εὐσε-
βείας καὶ τῶν τῆς εὐσεβείας δογμάτων, ἧς ἐρρωμε-
νέστατα πάντων ἀντεποιεῖτο · καὶ θαυμαστὸς ἦγ
ἀθλητὴς τῶν τοιούτων, μισθὸν ὡσπερεὶ κεκομίσθαι,
τὴν τῶν λογικῶν τοῦ Χριστοῦ θρεμμάτων ποιμαντι-
κὴν προστασίαν, καὶ ὧν τέως ἠγνόει, τούτων ἔπειτ'
αὐτὸν διδάσκαλον, τοῖς ἄλλοις καὶ παιδευτὴν κατα-
στῆναι. Διὰ δὴ τούτων ἁπάντων, ἔδειξεν ἐναργῶς ὡς
οὐ κακουργῶν καὶ πονηρευόμενος, οὐδ' ὡς ἂν τινες
φιλονεικίᾳ καὶ σκαιότητι γνώμης, τὸ ψεῦδος τάλη-
θοῦς προτιμῶν, δυσσεβῶν ἐγνωρίζετο · ἀλλ' ὧν δεῖ
φρονεῖν ἐπιστήμην οὐκ ἔχων, οὐδ' ἃ διώκειν ἐγνώκει
ταῦθ' ὅπως φεύξεται ξυνοράων.

pietate insignem fuisse : verum rectioris sententiæ ignarum haud perspicere potuisse fugienda esse, quæ ipse sibi sectanda proposuerat.

Ι'. Ταῦτ' ἄρα καὶ πρὶν τὴν θαυμαστὴν ταύτην ἀλ- B
λοίωσιν ἠλλοιῶσθαι καὶ πρὸς τὰ βελτίω μεταβαλεῖν,
τοῦ καθ' ἡμᾶς ὡς εἰπεῖν ἦν συνεδρίου · οὐδενὸς γοῦν
τῶν θείων ἐπιταγμάτων, τὸ γοῦν εἰς αὐτὸν ἦκον
ὑπερεώρα, ἀλλὰ πᾶσιν ἁπλῶς ἐπέβαλε χεῖρα, καὶ
τὴν ψυχὴν εἶχε μεστὴν ἀρετῶν, καὶ οἷον εὖ παρ-
εσκευασμένην πρὸς τὴν τῆς ἀληθείας ἐπίγνωσιν καὶ
τῶν ὀρθῶν δογμάτων ὑποδοχήν, εἰς ἣν καὶ προ-
κλήθη, παρὰ τοῦ « πλάσαντος καταμόνας τὰς καρδίας
ἡμῶν καὶ συνιέντος εἰς πάντα τὰ ἔργα ἡμῶν, » ἐμοὶ
δοκεῖν οὐκ ἀνεχομένου, μήτ' αὐτὸν τοιοῦτον ὄντα,
καὶ οὕτως ἔχοντα γνώμης ἐγκαταλιπεῖν, καὶ μὴ
παρ' ἑαυτοῦ τοῦτον ἐντελῆ καταστῆσαι τοῖς ὅλοις,
καὶ οἷον ἐχρῆν, μήτ' αὖ παριδεῖν τὴν ἰδίαν κληρονο-
μίαν ἀνδρὸς ἐπιπολὺ στερομένην τοιούτου, ἀλλὰ τὸν
πάλαι προσήκοντα κόσμον αὐτῇ κεχαρίσθαι, καὶ C
τιμῆσαι τὴν μὲν τῇ τοῦδε προσθήκῃ, τὸν δὲ τῷ
προσαγαγέσθαι καὶ προσλαβεῖν καὶ φίλον καὶ ἀδελ-
φὸν καὶ οἰκεῖον, καὶ τὸ μέγιστον, συγκληρονόμον
καὶ τὰ τοιαῦτα εἰργάσθαι.

X. Per hæc itaque omnia, etiam priusquam mi- B
rabili illa mutatione mutatus, et ad meliora tra-
ductus esset, nostri jam, ut ita dicam, Synedrii
erat. Itaque nullum ille divinorum præceptorum,
quantum poterat, prætermittere, verum omnibus
simpliciter manum admovere, animumque virtuti-
bus refertum, et bene quasi præparatum ad veri-
tatis intelligentiam, rectorumque dogmatum sus-
ceptionem afferre. Ad quam etiam vocatus ab illo
est, « qui finxit sigillatim corda nostra qui anim-
advertit ad omnia opera nostra[3]. » Quippe qui, ut
mihi videtur, pati haudquaquam poterat, ut ejus-
modi virum itaque animatum, in cœno suo relin-
queret, ac non potuis sua ipsius ope illum omni ex
parte perfectum, et qualem esse decebat, efficeret :
neque rursus dissimulanter ferre, ut diu tali viro C
orba hæreditas sua maneret ; debitum itaque jam-
dudum Ecclesiæ mundum largitus, tum illam viri
hujus accessione honestabat ; tum ipsum eo quod
inter suos allectum cooptatumque, amicum, fra-
trem, familiarem, et quod maximum est, cohære-
dem suum, aliaque id genus. Ecclesia faceret.

ΙΑ'. Τοιοῦτος μὲν δὴ τοκαταρχὰς Γρηγόριος ὤν,
τοιοῦτος ἡμῖν ἔπειθ' ὑπῆρξεν, ὥσθ' ἕνεκα λόγων
ἱερῶν, καὶ τῶν ἐν τούτοις νομίμων · καὶ τοῦ, τί
μὲν Ἐκκλησίας θεσμός, τί δὲ ψυχῶν προβεβλῆσθαι ·
καὶ ὅλως τίσι, καὶ ὅτε · καὶ τίνων δεῖ τῶν φαρμά-
κων · καὶ πάντων ὡς εἰπεῖν τῶν τοιούτων, ἵνα μὴ
καθέκαστον λέγω, μηδενὶ τῶν ἁπάντων, ὑπερβολὴν
λελοιπέναι. Νόννης δὲ πέρι τῆς πάντα καλῆς καὶ
γενναίας τοσοῦτον ἔχομεν λέγειν, ὅτιπερ ἐν τοῖς D
τῆς εὐσεβείας ἀκηράτοις λειμῶσι καὶ φῦσα καὶ
τραφεῖσα καὶ αὐξηθεῖσα, οὐ τούτοις μόνοις δεῖν μέ-
νειν ᾤήθη, οὐδ' ἐφ' οἷς ἔλαβε στῆναι · οὐδὲ τὸ καλεῖ-
σθαι μόνον ἀπὸ Χριστοῦ καὶ πρὸς τὴν πίστιν ἐρρῶ-
σθαι κέκρικεν ἀποχρῶν, ἀλλ' εἰ μὴ μετὰ πολλοῦ τοῦ
περιόντος, καὶ τὰ παρ' αὐτῆς αὖτη προσθείη · καὶ
οἷον εἶναι χρὴ κἀν τοῖς ἔργοις, τὸν ἐκεῖθεν προσει-
ρημένον παρασκευάσειεν ἑαυτήν, μικρὸν ἔχειν ἢ
οὐδὲν ἡγουμένη, σώματος μὲν καὶ τῶν τοῦ σώματος

XI. Verumenim vero qui illiusmodi olim fuerat Gregorius, postea hujusmodi nobis fuit, ut sacrarum Litterarum, et quæ in iis habentur sanctionum, intellectu, tum quid Ecclesiæ decreta valerent, quid suscepta animarum tutela ac propugnatio exigeret, et summatim, quibus, quove tempore, et quænam danda essent medicamenta ; rerumque hujus generis omnium respectu, ut ne sigillatim de iis agam, D nihil cuiquam ad summam excellentiam reliqui fecerit. De Nonna vero, matrona optima et generosissima, hoc dicere habemus, quod in integerrimis pietatis viridariis et nata, et educata, et adulta, neutiquam in iis solis manendum sibi duxit, aut ad ea quæ aliunde acceperat consistendum : neque ab solidum fidei robur satis valere existimabat sumpti duntaxat de Christo cognomenti consortium. Quippe nisi luculenta accessione quidquid posset boni, ipsa præterea accumulasset, ad eumque se

[3] Psal. xxxiii, 15.

composuisset modum, quem opere ipso exhibere oporteat appellationis istius participes, parum profecto aut nihil adhuc consecutam sese rata : corpus suum, omnesque corporis veneres et gratias aspernabatur, ut nullo iis habenda loco, qui vitam aspectabilia omnia supergressam, sequerentur : unam vero quæ animo cernitur, respiciens pulchritudinem, omnibusque momentis anhelans, compluribus cujusque generis virtutibus animam exornabat : eaque omnia agere instituit, queis tum pulchritudinem istam inveniret, tum laudem insuper eximiam consequeretur. Atque illam quidem certe invenit, nec minus admirationis, quam vir ipse, retulit. Nimirum quoniam ut corporum, ita mutuam virtutum communionem exercebant, quæ sola vere admirabilis quædam communio est, officiique sui religionem tuetur : et invicem sibi capitis instar erant, ille ex Pauli præcepto[4], ut maritus, hæc ut marito dux ac magistra pietatis, et ad Christum perductrix. Hinc fiebat, ut omnibus in rebus fortunatissimi omnibus esse viderentur ; conjuges videlicet excellenti adeo pietate, ea morum probitate, ea vitæ propositique sanctitate, unoque verbo, re qualibet laudabili, insignes. Perinde itaque illos quisque iuuebatur, ut spirantes quasdam columnas, tum exactæ rerum divinarum notitiæ, tum rectissimæ vitæ, et ad sanctioris disciplinæ virtutisque numeros agendæ.

A ὑπερεώρα χαρίτων, ὡς οὐδὲν ὄντων τῶν τοιούτων τοῖς ὑπὲρ τὰ ὁρώμενα ζῶσι · πρὸς δὲ μόνον τὸ νοητὸν ἀφορῶσα κάλλος, καὶ τοῦθ' ὅσαι ὥραι ποθοῦσα, πολλαῖς καὶ παντοδαπαῖς ἀρετῆς ἰδέαις τὴν ψυχὴν κατεκόσμει καὶ πάντα πράττειν ἠξίου. Δι' ὧν τοῦτ' ἔστιν εὑρεῖν, καὶ τὸ θαυμάζεσθαι προσλαβεῖν · καὶ μέντοι καὶ εὗρε · καὶ προστεθαύμασται τοῦ ἀνδρὸς οὐδὲν ἧττον · ἀλλ' ὥσπερ σωμάτων, οὕτω καὶ ἀρετῆς κοινωνοῦντες ἀλλήλοις, τὴν μόνην ὡς ἀληθῶς θαυμαστὴν κοινωνίαν καὶ τὰ γιγνόμενα σώζουσαν · καὶ κεφαλῆς λόγον ἀλλήλοις ἐπέχοντες, ὁ μὲν κατὰ τὴν Παύλου φωνὴν ὡς ἀνήρ · ἡδ' ὡς εὐσεβείας ἐκείνῳ καθηγεμῶν καὶ διδάσκαλος καὶ πρὸς Χριστὸν ἀγωγὸς, ζηλωτοὶ διὰ πάντων ἅπασιν ἦσαν · οὕτω μὲν εὐσεβείας, οὕτω δὲ χρηστῶν ἔχοντες τρόπων, καὶ βίου καὶ προαιρέσεως, καὶ ξυνόλως εἰπεῖν, παντὸς B τοῦ φέροντος ἔπαινον. Πρὸς γοῦν αὐτοὺς πάντες ἐώρων, ὥσπερ τινὰς στήλας ἐμψύχους οὐκ ἀκριβοῦς μόνον θεογνωσίας, ἀλλὰ καὶ τοῦ βιοῦν εὖ μάλα καὶ κατ' ἀρετὴν πολιτεύειν.

XII. Atque hujusmodi sane vita moribusque par hocce conjugum fuit : cæterum « *si de fructu suo arbor noscitatur,* » quemadmodum divino proditum oraculo est[5], nec fallax hoc nativæ illius indolis, bonæ an malæ, indicium est ; etiam hoc modo illorum inculenter patescit præstantia, queis enim perse, etiam sejuncto filio, tantum virtutis superat, ut et sibi ipsis et mutuo alter alteri, satis ornamenti præstent, quosnam hos tandem accedente filio existimare conveniat ? quippe qui, etiamsi sua ipsorum causa nihil magnopere quo sibi placerent fuisset, de solo tamen filio haud injuria gloriari poterant ; ubi et filio hoc convenit decus, et eo decore suam illi cumulatum eunt gloriam, quomodo non undique exsplendescunt ? Et hoc eo magis, quod ex filio gloriam habere, quanquam non tantam, nonnullis illud tamen contigit, verum laudatorem etiam filium habere, nullis inquam post hominum memoriam, si hos excipias, illud gloriæ incrementum contigisse scimus. Optimo sane jure ; nam qui talem soli procreavere filium, hos solos talem a filio educationis mercedem referre æquum fuit : quasi si peculiarem rerum omnium novitatem fata ipsis destinavissent, et majora, quam quorum ulla exstarent exempla, ipsos experiri voluissent : cujusmodi et hoc est, planeque ejusdem, quod aiunt, gymnasii, non idem videlicet huic nostro quod aliis, nascendi initium fuisse, nec assueto naturæ ordine, sed ex singulari providentia divina, sanctique Spiritus prædictionibus, prout mox patebit.

IB'. Οὗτοι μὲν δὴ, τοιοῦτοι καὶ οὕτως ἔχοντες · εἰ δὲ καὶ τὸ δένδρον ἐκ τοῦ καρποῦ γίγνεται δῆλον, κατὰ τὸν θεῖον χρησμὸν, καὶ τῆς ὁποτερασοῦν ἕξεως ἐκείνου, τοῦτ' ἀπόδειξις ἐναργὴς, καὶ οὕτω τὸ κατ' αὐτοὺς δείκνυται προῦχον · οἷς γὰρ καὶ τοῦ παιδὸς ἄνευ ἀρετῆς τοσοῦτον περίεστιν, ὡς καὶ σφίσιν αὐτοῖς καὶ ἀλλήλοις εἰς κόσμον ἀρκεῖν, τίνας ποτ' ἄρα τουτουσὶ νομιστέον, προσλαβόντας τὸν παῖδα ; ὅπου γὰρ εἰ καὶ μὴ παρ' ἑαυτῶν μέγα φρονεῖν εἶχον, ἐξ ἄρα μόνου τοῦ παιδὸς ἐπὶ τοῦτ' ἂν ἦκον δικαίως, ὅταν ἐκείνῳ καὶ τοῦτο προστῇ, καὶ μετὰ τῆς σφετέρας αὐτῶν καὶ τὴν ἐκεῖθεν προσλαμβάνουσι δόξαν, πῶς οὐ διὰ πάντων ἐκλάμπουσι ; καὶ τοσουτῳ μᾶλλον ὅσῳ τὸ μὲν διὰ τὸν παῖδα θαυμάζεσθαι, εἰ καὶ μὴ τοσοῦτον, ἀλλ' ἔστιν οἷς ξυνηνέχθη · τὸ δὲ καὶ τοῦτον αὐτὸν τὸν θαυμάζοντα ἔχειν, οὐδέσιν ἄλλοις τῶν ἐκ παντὸς αἰῶνος ταυτηνὶ τὴν προσθήκην, ὅτι μὴ τοότοις ἐνυπάρχουσαν ἴσμεν · καὶ μάλα εἰκότως · τοὺς γὰρ δὴ μόνους τοιοῦτον προενεγκόντας, μόνους ἔδει καὶ τοιαῦτα παρ' αὐτοῦ κεκομίσθαι τροφεῖα · ὥσπερ τῆς καινότητος διαπάντων αὐτοῖς συγκεκληρωμένης · καὶ τοῦ μειζόνων, ἢ παράδειγμα δέχεσθαι τῶν πραγμάτων πειρᾶσθαι · ὁποῖον δή τι κἀκεῖνο βαί τοῦ αὐτοῦ φασι γυμνασίου, τὸ τὴν ἀρχὴν τῆς γενέσεως τούτῳ μὴ τὴν αὐτὴν τοῖς ἄλλοις γενέσθαι · μὴ δὲ κατὰ τὸ κρατοῦν ἔθος τῇ φύσει, ἀλλ' ἐξ ἄρα θείας ἐπιφροσύνης, καὶ τῶν τοῦ Πνεύματος θεσπισμάτων · δηλώσει δ' ὁ λόγος.

XIII. Postquam enim longo jam tempore masculæ prolis cupiditas parentes tenuerat, illiusque tam ardenti flagrabant desiderio, ut non modo (1) hanc

IΓ'. Ὡς γὰρ παιδὸς ἄρρενος ἐπιθυμοῦντες ἦσαν ἐκ πλείστου, καὶ οὕτω μανικός τις αὐτοὺς ἔρως κατεῖχε ταυτησὶ τῆς γονῆς, ὡς μὴ ὅτι στέγειν [sum.

[4] Cor. xi, 3 ; Ephes. v, 23. [5] Matth. xii, 33 ; Luc. vi, 44.

(1) An, *non contenti bonis suis essent?*

στέργειν?] ἔτ' ἔχειν, ἀλλὰ καὶ τοῦ μηδενὸς πάντα τἄλλ' ἀξιοῦν, μὴ καὶ τούτου προσόντος, τί γίγνεται; Ὃ πρῶτον καὶ μόνον, καὶ μάλιστα πάντων ἐχρῆν. Ἐπὶ τὴν μεγάλην καὶ θαυμαστὴν καταφεύγουσι πρυτανείαν, καὶ τὸν δυνάμενον ταῦτα πορίζειν Θεόν· καὶ οὕτω θερμῶς τοῦτ' ἄγαν καὶ μετ' ἀγαθῶν τῶν ἐλπίδων αἰτοῦνται, ὡς μὴ μόνον πάντως ἕξειν πιστεύειν τὸ σπουδαζόμενον, ἀλλὰ καὶ πρὶν ἢ λαβεῖν, ἀναθήσειν τοῦθ' ὑποσχέσθαι· καὶ προκαταλαβέσθαι τὴν δόσιν· ἐλπίσιν ὡς ἄν τις εἴπῃ φωναῖς ταῖς τοῦ Πνεύματος· εὖ γὰρ ἤδεσαν διά τε τὴν τῆς ἀρετῆς οἰκειότητα καὶ τὸ τυγχάνειν ἀεὶ τῶν εὐχῶν, ὡς καὶ τοῦτο μειζόνως ἢ βούλονται λήψονται. Οὔκουν οὐδ' ἐψεύσαντο τῶν ἐλπίδων· ἀλλὰ καὶ προσυπερβαλέσθαι τοῖς πράγμασιν ἔσχον· χρηματίζεται γοῦν ἡ μήτηρ νυκτὸς ὀι' ἀγγέλου τὸν παῖδα, ὁποῖος ἔσται δηλοῦντος· καὶ ὅτι τοσοῦτον αὐτῷ τῆς χάριτος περιέσται, ὡς μὴ μόνον πράξει καὶ θεωρίᾳ, καὶ πᾶσιν ἁπλῶς τοῖς τῆς ἀρετῆς εἴδεσι τῶν ἄλλων ὑπερσχεῖν δεδυνῆσθαι, ἀλλὰ καὶ τῇ τῶν λόγων ῥώμῃ τῇ τε ἄλλῃ, καὶ τῷ περὶ Θεοῦ καὶ τῶν θείων μετὰ Θεοῦ καὶ τῆς ἐκεῖθεν ἐπιπνοίας φιλοσοφεῖν ἔχειν ἀξίως, ὀλίγοις καταλιπεῖν ἐγγὺς ἐλθεῖν ἑαυτοῦ. Ἀμφω δὲ ταῦτα δι' ἀμφοῖν βεβαιοῦνται· διὰ μὲν τοῦ τοιούτων χρησμῶν ἠξιῶσθαι, ἡ τῶν πατέρων κατ' ἀρετὴν εὐδοκίμησις· τὸ δ' ἀξίωμα τοῦ παιδὸς, διὰ τοῦ τοῦτον αὐτοῖς οὕτω δεδόσθαι· ὑ μὲρ γὰρ εἰ μὴ θαυμαστός τις ἔμελλεν ἔσεσθαι, οὐκ ἂν τοιαύτην γένεσιν ἔσχεν· οἱ δ' οὐκ ἂν οὕτω μεγαλοπρεπῶς εἰσηκούσθησαν, μὴ τὴν ἀπὸ τῶν τρόπων ἔχοντες συμμαχίαν.

A desiderii sui igniculum ferre diutius nequirent, sed reliqua sua omnia ne pili facerent, tantisper dum hoc unum deesset; quid tandem fit? Nimirum quod primum, et unice, et maxime omnium fieri oportebat, ad summam et divinam rerum gubernatricem potestatem, Deum videlicet, qui rem expedire ipoterat, confugiunt fervidisque adeo precibus et bona spe hoc orant, ut non modo fide indubia, quod cupiebant, adepturos sese crederent; sed et priusquam accepissent, Deo illud se totum dicaturos voverent: speque ita certa hoc donum prædicerent, velut divinis oraculis, ut sic dicamus, promissum: probe enim norant, tum ob summam virtutis familiaritatem, tum assiduam votorum suo B rum impetrationem, hoc se, majore etiam quam peterent mensura, consecuturos. Neque sua illos hic frustrata spes est; quam etiam reipsa vicerunt; quippe noctu per angelum divinitus de filio admonita mater, qui qualisque futurus esset monstrantem, et quod tanta divinæ gratiæ copia illi adfutura esset, ut non modo actione atque contemplatione, et universo virtutum agmine, cæteris mortalibus anteiturus esset, sed variæ item doctrinæ facundiæque vi, cum alia omni, tum præcique de Deo ac divinis rebus ope inspirationeque divina, dignum in modum disserendi ac philosophandi facultate, paucis id concessurus, ut proprius ad se accederent. Quod utrumque utrinque satis re comprobatum fuit, C parentum videlicet eximia virtutis gloria astructa, quod oraculis hujusmodi dignati essent: filii item præstantia ex eo, quod hoc modo iis donatus sit; qui nisi vir admirabilis evasurus fuisset, talem haudquaquam habiturus erat originem; neque rursus ample adeo et magnifice exauditi parentes fuissent, absque vitæ morum suorum suffragatione.

ΙΔ'. Οὕτως, ὦ θεία καὶ ἱερὰ κεφαλὴ, καὶ τῶν μεγάλων τοῦ Θεοῦ μυστηρίων μάλιστα πάντων αὐτόπτα καὶ κοινωνέ· καὶ πρὶν ἢ γεγεννῆσθαι, θεοφιλὴς ἐτύγχανες ὤν· οὐκ ἐκ κοιλίας μητρὸς ὡς ὁ Παῦλος ἀφωρισμένος· ἀλλ' ἄνωθεν ὁποῖος ἔπειτ' ἔσῃ προωρισμένος καὶ προεγνωσμένος τῷ πάντα πρὶν γενέσεως αὐτῶν εἰδότι Θεῷ· ἐφῷ διὰ τῆς τῶν πατέρων προκλήσεως δεδόσθαι τῷ βίῳ κοινή τις ἀνθρώπων ὄνησις! Εἰ δὲ καὶ τὰ ἐφεξῆς τούτοις ξυμβαίνει, καὶ τῆς ὑποθέσεως ἀξιόχρεως ἀνεφάνης αὐτὸς καὶ μὴ πολὺ κρεῖττον θαυμαστότερος, ὅσῳ τὰ μὲν προτέλειαί τινές εἰσι καὶ παρασκευαὶ, τὰδ' εἰς ἔπειτ' ἀγῶνες D καὶ ἔργων ἐπίδειξις καὶ πρᾶξις ὑπερφυὴς, τίς οὐκ οἶδε τῶν πάντων, μᾶλλον δὲ τίς εἰδὼς, οὐ διαφερόντως θαυμάζει τε καὶ ξυγχαίρει, καί σοι μόνῳ τῶν πάντων τίθεται; Ἀλλὰ μήπω τοῦτο· ἀλλ' ὅτι παραδόξως οὕτω τεχθεὶς, παράδοξον οὐχ ἧττον καὶ τὴν ἐντεῦθεν πρόοδον ἔσχεν.

XIV. Hunc in modum, o divinum ac sanctum caput, et magnorum Dei mysteriorum spectator arbiterque intime, Deo etiam priusquam in lucem susceptus charus eras: non ex utero materno, ut Paulus [6], selectus, sed jamdudum qualis postomodum futurus esses prædestinatus prænognitusque Deo, « qui omnia antequam fiant perspecta habet [7], » ut commune quoddam generis humani bonum, par vota parentum in vitam veniret! Utrum vero cætera recte conveniant, tantæque destinationi per revera exstiteris, et non potius multo magis admirabilis, quod hæc hactenusinitia quædam et apparatus fuere, secutura autem vera erunt certamina, operumque specimina, et actiones heroicæ, quis mortalium unus est, qui nesciat? imo vero potius quis est rerum istarum notitia instructus, qui non majorem in modum eas admiretur congratuleturque, tibique ex omnibus uni potissimum suffragetur? Verum enimvero nondum his locus erat: potius enim nunc ostendendum, qui ita inusitato modo in lucem prodierat, deinceps non minus singularem novumque vitæ progressum habuisse.

ΙΕ'. Οὐ γὰρ δὴ παῖς ὢν καὶ κατ' αὐτοὺς τούτους εἵλετο ζῆν, καὶ τῶν αὐτῶν ἐκείνοις ἠττᾶσθαι, ὡς νῦν μὲν ἡδονὰς καὶ κρότους καὶ ἄλση καὶ παραδείσων χάριτας, νῦν δὲ γυμνάσια καὶ λουτρὰ, καὶ

XV. Minime enim ille in primis adolescentiæ spatiis versans, ætatis illius adoptare mores, quibusque illa capitur, capi vincique: et modo voluntates, et plausus, et prata, et lucos, et paradisorum

[6] Galat. I, 15. [7] Dan. XIII, 42.

amœnitates ; modo rursus gymnasia, et balneas, et ludos circenseis, et theatralia spectacula sectari, non ille circa venationes insanire, non armis in camp exerceri, non arcum scienter contendere, aut apte ad scopum collineare ; non item fritillum exercere, aut choreas ducere, aut pila lusitare, aut alia hujusmodi factitare, quibus ut plurimum ætatulam suam juventus oblectat, quorum Gregorio nostro placebat omnino nihil, multum profecto aberat: verum his omnibus longum valere jussi, sut suo judicio abjectæ animæ vitiosis affectionibus verius quam disciplinis ; contra rebus omnium gravissimis pulcherrimisque, et quæ summo apud Deum hominesque in pretio sunt, totum sese addixit, quamque hæ commentationem atque diligentiam exigunt, ea assiduitate complectebatur, ut solas hasce delicias suas duceret, operæque suæ pretia haberet. Tum quod maximum utique est, non ille vicissim et alternis ad hæc studia incumbebat ; neque nunc hæc, nunc illa, sed simul utraque tractabat: quippe qui compertam haberet utrorumque mutuam inter se relationem, sociatasque operas, quandoquidem officia virtutis recte antea præstari nequeunt, quam ratio illorum accurata commentatione perspecta fuerit : rursus doctrina virtute marumque probitate orbata, ne doctrina esse videtur, sed irrationabilis quædam ut sic loquar, doctrina; sin vero magni facienda harum rerum copulatio est, summo profecto studio simul illæ nobis capessendæ erunt, si non modo nobismetipsis majores, sed Deo etiam similes fieri omnino studemus.

XVI. Etenim quæ sunt, qua sunt, mente complecti, rerumque divinarum et humanarum intelligentia pollare, et jam nunc velut in concilio cœlestium versari, nec rei terrestrium rerum ulli affixos adhærescere, quod indefessæ ac beatæ cujusdam naturæ proprium est, id de virtute bonisque litteris nobis provenit : quarum supra omneis omnis memoriæ homines ingenti amore noster perculsus, et earum possessionem rebus aliis omnibus antiquiorem ducens, aut verius si has habiturus esset omnia esse habiturum ratus, continentiæ maxime assiduisque laboribus operam dabat : cum somno vero in primis ejusque necessitate pugnabat, ita ut non parum de sueta ac debita quiete deduceret, aliaque item omnia agebat, queis tum « corpereas cupiditates perdomaret [8], » et « terrestris membra funditus exstirparet [9] ; tum mentem perpugaret acueretque, et ad divina pariter litterarumque studia promptam expeditamque pararet Animi namque remissionibus ac genio liberalius indulgere, a præscripta vivendi lege per mollitiem delicere est, quasique præ sagina crassescere, et in terram degenerare; nihilque eorum quæ necessaria sunt, neque animo concipere, neque opere libenter exsequi : tenebras animo offundente, quæ ex immodicis epulis excitatur, nebula, rectumque rationis cursum præpediente : contra moderata esculentorum abstinentia, contento studio atque sobrietate con-

ἵππων ἀμίλλας, καὶ θεατροσκοπίας διώκειν· οὐδὲ περὶ θήρας μαίνεσθαι καὶ ὅπλα μεταχειρίζειν· καὶ τόξον ἐντείνειν εὖ εἰδέναι, καὶ μετὰ σκοπὸν βάλλειν· καὶ προσέτι κυβεύειν, ὀρχεῖσθαι, σφαῖραν παίζειν, τἄλλα ποιεῖν οἷς εἰκὸς τοὺς ἐν νεότητι χαίρειν. τούτων οὐδὲν ἐκείνῳ πρὸς λόγον· πολλοῦ γε καὶ δεῖ· ἀλλ' ἐῤῥῶσθαι τούτοις ἅπασι φράσας, καὶ ψυχῆς ἀγεννοῦς παθήματα ταῦτ' εἶναι μᾶλλον ἢ μαθήματα κρίνας, ὁ δὲ τοῖς πάντων σπουδαιοτάτοις τε καὶ καλλίστοις καὶ παρὰ Θεῷ καὶ ἀνθρώποις μεγάλων ἀξιουμένοις τῶν πραγμάτων φέρων ἑαυτὸν ἐμπαμέσχε· καὶ τὴν ἐν τούτοις μελέτην τε καὶ σπουδὴν τοσαύτης ἠξίου σπουδῆς, ὡς μόνα ταῦτα νομίζειν ἑαυτοῦ παιδικὰ καὶ προῦργου ποιεῖσθαι· καὶ τὸ μέγιστον, οὐ παρὰ μέρος τούτοις ἐχρῆτο, οὐδὲ νῦν μὲν τοῦτο, νῦν δ' ἐκεῖνο, ἀλλὰ κατὰ ταυτὸν ἄμφω μετήει· τὴν ἑκατέρων εἰδὼς πρὸς ἄλληλα σχέσιν τε καὶ συντέλειαν· οὔτε γὰρ ἃ δεῖ πράττειν ἐστὶ πρὶν ἔδει [an ἤδη aut denuo ἃ δεῖ] γνῶναι τῷ λόγῳ, ὅ τε λόγος εἰ μὴ μετ' ἀρετῆς καὶ τρόπων εἴη χρηστῶν, κινδυνεύει μηδὲ λόγος τις εἶναι, ἀλλὰ λόγος ἄλογος ὡς εἰπεῖν· εἰ δ' ὁ τούτων συνδυασμὸς πολλοῦ τινος ἄξιος, πῶς οὐκ ἀντιληπτέον ἡμῖν ἐστιν ἀμφοτέρων, εἴ γε βουλοίμεθα, μὴ ὅτι γε μείζους ἡμῶν αὐτῶν γεγενῆσθαι, ἀλλὰ καὶ θεοείκελοί τινες ἀτεχνῶς ;

ΙϚ'. Τὸ γὰρ ᾗ ὄντα ἐστὶ τὰ ὄντα εἰδέναι, καὶ θείων τε καὶ ἀνθρωπίνων πραγμάτων ἐπιστήμονας εἶναι, καὶ πολιτεύειν ἐν οὐρανῷ δύνασθαι, μὴ δ' ὁτιφοῦν τῶν τῇδε προσπάσχοντας, ἀκαμάτου καὶ μακαρίας φύσεως ἴδιον ὄν, ἐξ ἄρ' ἀρετῆς καὶ λόγων ἔστιν ἡμῖν· ὧν οὗτος παρ' ὀντινοῦν ὧν ἴσμεν εἰς ἔρωτα μανικὸν καταστάς, καὶ ὅπως κτήσαιτο ταῦτα περὶ πλείονος ἄγων τῶν ἀλλων, μᾶλλον δ' εἰ ταῦθ' ἕξει, τὰ πάνθ' ἕξειν, νομίζων, ἐγκρατείᾳ καὶ πόνοις ὡς μάλιστ' ἐχρῆτο· καὶ παρεβάλλετο μὲν πρὸς ὕπνον καὶ τὴν ἐντεῦθεν ἀνάγκην· ὡς καὶ τοῦ νομιζομένου τε καὶ προσήκοντος οὐ μικρὸν ὑφιέναι· πάντα δ' ἐποίει, ὁμοῦ μὲν τὸ φρόνημα τῆς σαρκὸς καταστέλλων, καὶ τἀπὶ γῆς μέλη νεκρῶν, ὁμοῦ δὲ καὶ οὸν νοῦν καθαίρων τε καὶ λεπτύνων, καὶ πρός τε τὰ θεῖα καὶ τοὺς λόγους αὐτοὺς ἑτοίμως ἔχειν παρασκευάζων· τὸ μὲν γὰρ ἀνέσεως καὶ τρυφῆς ἀπολαύειν ἐκλύεσθαι του καθεστηκότος ἐστὶ, καὶ οἷον παχύνεσθαι καὶ γεοῦσθαι, καὶ μηδὲν τῶν δεόντων μήτε νοεῖν, μήτε πράσσειν αἱρεῖσθαι, τῆς ἀναδιδομένης ἐντεῦθεν ἐπισκοτούσης ἀχλύος, καὶ χωρεῖν κατὰ φύσιν τὸν λογισμὸν οὐκ ἐώσης, τὸ δὲ τῆς γιγνομένης ἀσιτίας τυγχάνειν, μετὰ συντόνου σπουδῆς καὶ νήφειν καθάπαξ μετέωρόν τινα καὶ κοῦφον παρασκευάζει τὸν νοῦν, καὶ κρείττω καὶ δεινότερον τοῖς πράγμασι χρῆσθαι· ἀνθ' ὧν ἑαυτὸν οἷς ἔφην ἐξήσκει· καὶ τοίνυν τῇ τῆς φύσεως περιουσίᾳ καὶ ῥώμῃ καὶ τὰ τῆς σπουδῆς ἐξ ἀντιῤῥόπου παρα-

[8] Rom. VIII, 6, 7. [9] Col. III, 5.

σκευῆς ὄντως προσθεὶς, καὶ καταλλήλως ἄμφω κεράσας καὶ συνηφῶς, ἐξ ὧν ἀνθρώποις τὰ κράτιστα γίγνεται, οὕτως ὀξέως εἰ δεῖ συντόμως εἰπεῖν, ἁπάσης λογικῆς ἐπιστήμης εἰς ἄκρον ἦλασε, καὶ τὰ πολλῷ πόνῳ καὶ μόγις τοῖς ἄλλοις κτηθέντα, μετὰ τοσαύτης οὗτοσὶ κατωρθώκει ῥηστώνης, ὡς μηδὲ μεμαθηκέναι ταῦτα δόξαι σχεδὸν, ἀλλ' ἀναμνησθῆναι, καὶ ὥσπερ προεγνωσμένα πάλιν ἀναλαβεῖν. ὡς καὶ κινδυνεύειν ἐπ' αὐτοῦ μόνου τὸν τοῦ Σαμίου τοῦ σοφοῦ λόγον χώραν κεκτῆσθαι; καὶ τὴν μάθησιν ἀνάμνησιν εἶναι.

A juncta, animum sublimem omino agilemque et ad dextrum rerum usum acriorem solertioremque reddit. Ob hæc igitur, ita ut diximus, diligentissime sese exercuit : et ingenii præstantiæ opibusque æquali apparatu diligentiam bona fide adjungens, convenientique utrumque ratione temperans ac connectens, ex quibus id quod perfectissimum est hominibus exsistere solet; ita celeriter, si verbo dicenda res omnis liberalis doctrinæ verticem occupavit, et quæ multo labore ægre difficulterque aliis comparantur, tanta facilitate felicitateque absolvit, ut illa propemodum non didicisse, sed reminiscendo recognovisse, velutique præcognita denuo recoluisse, videretur. Adeo ut in uno Gregorio locum habuisse videri queat sapientis Samii dictum : « doctrinæ perceptionem recordationem esse. »

ΙΖ'. Ἀλλὰ « τοὺς μὲν ἐγκυκλίους καὶ προτελείους τῶν λόγων, » ὅταν δὲ ταῦτα λέγω, καὶ ποιητὰς ξυλλαμβάνω, ἡ πατρὶς εὖ μάλα καὶ μετὰ πολλοῦ B τοῦ περιόντος τούτῳ παρέσχεν ἐκμελετῆσαί τε καὶ σπουδάσαι καὶ κατεργάσασθαι, ἐπιτηδείως πρὸς τοῦτ' ἔχουσα, καὶ δυναμένη τοὺς ἐξ αὐτῆς καὶ τούτοις δωρεῖσθαι· τό γε μὴν εὖ δύνασθαι λέγειν, καὶ εἶναι ῥητορικὸν καὶ δεινὸν ἐν συλλόγοις, καὶ πείθειν ἔχειν ἐκάστοτε μετὰ παντὸς τοῦ δικαίου, καὶ νῦν μὲν τὰ βέλτιστα συμβουλεύειν, νῦν δὲ ἀδικουμένοις ἀμύνειν, καὶ νόμων προΐστασθαι, καὶ τἀκείνων βεβαιοῦν, καὶ τὸ μέγιστον, λόγους τοὺς μὲν ποιεῖν, τοὺς δὲ, κρίνειν εἰδέναι, καὶ τὸ γινόμενον σώζειν ἀπανταχοῦ, τὴν τοίνυν τοσαῦτα καὶ τηλικαῦτα δυναμένην ῥητορικὴν, καὶ μέγα μὲν τῷ βίῳ κατὰ τὸ ἔπος ὄνειαρ οὖσαν· ζηλωτοὺς δὲ ἄγαν τοὺς εἰδότας δεικνῦσαν, ἐκτήσατο μὲν εἰς Παλαιστίνην ἐλθών, καὶ τοῖς ἐκεῖ παιδευτηρίοις ἐνδιατρίψας μάλιστα πάντων ἀντιποιουμένοις τῆς τέχνης· οὕτω C δὲ τῷ μεγαλοφυεῖ τῆς αὐτοῦ διανοίας, ἅπερ εἴληφεν, ηὔξησε καὶ κεκόσμηκεν, ὡς τοὺς αὐσοῦ λόγους, καινόν τι καὶ ἀλλόκοτον εἶναι χρῆμα δοκεῖν, θαυμαζομένους μὲν ὑφ' ἁπάντων, μηδενὶ δὲ πρὸς ζῆλον ἰόντας.

XVII. Cæterum corbem illum artium liberalium, variæque eruditiones initiamenta, » in quorum censu et poetas comprehendo, pridem ipsi patria egregie plenaque manu ediscenda, serioque studio portractanda tradiderat, satis illa sane idonea ad hanc rem magistra, et quæ hasce etiam artes civibus suis impertire posset. Porro ut bene ornateque dicendi facultatem consequeretur, et in conjunctionibus diserti oratoris partes tueretur, omnique loco animorum habenas æquissimo jure teneret, sive optima quæque suaderet, sive injuria oppressis adesset, legumque ipsarum causam susciperet, iisque auctoritatem suam astrueret : et quod facile primum est, ut orationes et ipse conficeret, et de alienis perite sententiam ferret, omnibusque in rebus decorum servaret; hanc inquam, quæ tales tantasque una efficere res potest, artem rhetoricam, vitæ humanæ, ut poetico verbo utar (1) « ingens præsidium et columen » invidendæque felicitatis familiaribus suis conciliatricem, in Palæstinam profectus, ejusque in scholis versans, quæ studiosissime omnium oratoriæ operam dant, sibi comparabat : mox insita animi magnitudine quæ illic hauserat in tantum auxit ornavitque, ut illius oratio, res quædam nova et inusitata esse videretur : admiranda quidem omnibus, sed quæ nemini æmulationis spem relinqueret.

ΙΗ'. Ἐπεὶ δὲ καὶ τοῦ πάντων μεγίστου καὶ καλλίστου καὶ τελεωτάτου τυχεῖν ἐπεθύμει, καὶ οὗ χωρὶς οὐδ' ἂν εἷς πάντων εἴη σοφὸς, κἂν εἰ πᾶσι προῦχῃ τοῖς ἄλλοις, τὸ μέγιστον πάντων οὐκ ἔχων, μέγιστον δὲ πάντων φιλοσοφία, ἅτε τέχνη τεχνῶν καὶ ἐπιστήμη ἐπιστημῶν, δεῖν ἔγνω τούτου χάριν τὴν Παλαιστίνην λιπὼν, ἐπὶ τὴν Ἀλεξάνδρου χωρῆσαι, οὐ μόνον κάλλει καὶ θέσει καὶ μεγέθει, καὶ D πᾶσιν οἷς μεγαλαυχοῦνται πόλεις σεμνυνομένην, ἀλλὰ καὶ τῷ λόγων εὖ ἥκειν τοτηνικαῦτα καὶ προῦχειν ἔχειν ἐν τούτοις τοσοῦτο θαυμαζομένην, ὡς πάντοθεν πάντας τοὺς τε ἄλλους, καὶ οἷς λόγων ἔνεστι λόγος, πρὸς ἑαυτὴν ἐπισπᾶσθαί τε καὶ καλεῖν, παιδείας καὶ λόγων μεθέξοντας, καὶ προσέτι τῶν ἐν τοῖς δημοσίοις ταμείοις ἐναποκειμένων βιβλίων, παντοδαπὴν μοῦσαν ἐχόντων, καὶ ὄντων τοσούτων, ὅσων οὐδ' ἐν ἁπάσῃ σχεδὸν τῇ Ἑλλάδι, ὃ

XVIII. Porro quoniam illud etiam quod inter cætera studiorum genera et maximum, et pulcherrimum, et perfectissimum est, consequi avebat : suæ quo fieri nequit, ut mortalium quisquam sapiens sit, etiamsi in cæteris omnibus præstet, usque eo dum maximo illo careat. Est autem omnium maximum philosophia, quippe ars artium, et scientia scientiarum (2). Idcirco relicta Palæstina Alexandriam ire constituit : urbem tum elegantia, et situ, et amplitudine, et omnibus iis de quibus gloriari urbes solent, inclytam : tum optimarum artium cultu, illa tempestate florentissimo, in tantum commendatam, ut et alios omnes undique ad se attraheret acciretque, et eos præcipue, qui cum politiore humanitate aliquid rationis habebant, doctrinæ facundiæque participes futuros, et librorum etiam publicis in bibliothecis repositurum. Qui et universas

(1) *Odyss.* IV, 444.

(2) Joan Damase. *Dialect.* cap. 3

Musarum opes complectebantur, et tot numero erant, quot vix in cuncta reperirentur Græcia. Quod urbem tanto amabiliorem studiosis et industriis hominibus reddebat. Cum igitur non longo tempore magnam illic lectissimarum doctrinarum vim collegisset, nihilque admodum, pene dicam extra se suamque discendi aviditatem reliquisset, quoniam parentem ac nutricem omnis sapientiæ Athens, solis animi sensibus e longinquo intuebatur, quarum amore jamdiu flagrabat, tum ut queis destituebatur, ea illic compararet ; tum ut urbem iis quæ habebat exornaret. Alexandria quamprimum solvens in viam illuc ferentem se dabat.

XIX. Conscensa itaque Æginetica navi, sunt autem Æginetæ rei nauticæ scientissimi, lætus cum lætis in altum provehitur ; nec initio adversi quidquam sentiebatur, nec erat omnino de quo quererentur, contra vero placida illis ac tranquilla omnia, cœlum, nubes, mare, aer, verbo mera undique securitas, Subinde vero conversa velut testula in contrarium res mutari ; commodum enim Parthenicum mare transmittentibus, decurso jam fere medio navigationis, atque adeo salutis item curriculo, hic turbo intolerandus omnique memoria, si nautis credimus, sævissimus, subito ingruit. Mox igitur mare cinni in modum misceri, sursum deorsumque magna vi exagitatum, nec usquam consistere situm ; sed et navigium nunc sublime evectum, nunc aquis demersum, præ fluctibus, præque crebra, et continua, et vehementissima undarum jactione, non exiguum ultimi periculi metum navigantibus injecit. Jam cæteris non modo mors ipsa imminens, sed et mors in undis sufferenda, perquam horribilis visa est, quod utrumque abominabantur, quanquam enim necessario alterum quandoque sibi eventurum norant, sive nunc hoc pacto, sive alio alias : de salute tamen ac vita, ut par erat, solliciti, suarumque necessitudinum quisque recordati, quas calamitatis suæ appendices habebant, lacrymis omnia ac lamentis complebant, nec quo se verterent, quidve cœptarent, reperire poterant. Gregorio non minus gravia et hæc ipsa accidebant ; multo gravius tamen, imo malorum omnium ultimum erat omnemque consolationem superabat, quad quoniam sanctissimis religionis mysteriis nondum initiatus erat, nec legitimum divinæ familiaritatis signaculum acceperat, in discrimine versaretur, ne Deum ipsum miser amitteret, illiusque gloria prorsus excideret.

XX. Quippe ut lustrali lavacro rite expiatum esse, docente Paulo [19], Christum induisse est, novoque quodam modo Christum factum esse, aqua nimirum spirituque perunctum ; sic necesse omnino est, a Christo etium disjunctum esse, quisquis lustrationem illam consecutus non est : quo quid dirius unquam accidere potest, non illi solum, qui et prius Deo consecratus quam conceptus erat, et postea et mentem, et vitam, et dictionem, et actio-

καὶ τὴν πόλιν ἐπέραστον μᾶλλον ἐποίει τάῖς φιλοπονεῖν αἱρουμένοις. Τὰ κράτιστα τοίνυν ἐντεῦθεν ἐν οὐ πολλῷ τῷ χρόνῳ ξυνειλοχὼς, καὶ μηδὲν ὡς εἰπεῖν ἔξω καταλιπὼν ἑαυτοῦ καὶ τοῦ καθ' αὐτὸν βουλομένου, ἐπεὶ τὴν μητέρα καὶ τροφὸν ἁπάσης σοφίας τὰς Ἀθήνας, πόῤῥωθεν ἑώρα τοῖς λογισμοῖς, καὶ τούτων ἐκπλείονος ἦρα, ὁμοῦ μὲν ὧν οὐκ εἶχε τευξόμενος, ὁμοῦ δὲ καὶ ταύτας οἷς αὐτὸς εἶχε κοσμήσων, ἄρας ἐκεῖθεν ὡς τάχιστα, τῆς ἐνταῦθα φερούσης ἀντεποιεῖτο.

Ιθ'. Καὶ δὴτα νεὼς ἐπιβὰς Αἰγιναίας, δεινοὶ δ' οὗτοι τὰ ναυτικὰ, χαίρων χαίρουσιν αὐτοῖς συνανήχθη· καὶ τέως μὲν δυσχεροῦς οὐδενὸς ἐπειρῶντο, οὐδ' εἶχον οὐδὲν οὐδοτιοῦν αἰτιᾶσθαι, ἀλλὰ πάντ' ἦν αὐτοῖς ἐν ῥᾳστώνῃ, καὶ οὐρανὸς καὶ νέφη καὶ θάλαττα, καὶ ἀὴρ, καὶ τὸ καθάπαξ εἰπεῖν εἰς ἅπαν θάῤῥεῖν. Ἔπειθ' ὥσπερ ὀστράκου μεταπεσόντος, εἰς τοὐναντίον τὰ πράγματα περιέστη· τὸ γὰρ παρθενικὸν διαβάλλουσι πέλαγος, καὶ σχεδὸν οὗσιν ἐν μεσημβρίᾳ τοῦ πλοῦ, ἐν ἴσῳ δὲ [f. add. ὡς] εἰπεῖν καὶ τοῦ σώζεσθαι, τυφῶνός τινος ἐμπεσόντος ἀθρόως, οὔθ' οἷου καὶ φέρειν, καὶ τῶν εἰς μνήμην ἡκόντων χαλεπωτάτου ὡς τῶν ναυτῶν [f. add. ἦν] ἀκούειν, ἥ τε θάλαττα κυκεὼν ἐγεγόνει, ἄνω καὶ κάτω φερομένη τῇ βίᾳ, καὶ στῆναι μηδαμοῦ δυναμένη· τό τε σκάφος, νῦν μὲν μετέωρον, νῦν δ' ὕφαλον γιγνόμενον ὑπό τῶν κυμάτων, καὶ τῆς ἐπαλλήλου καὶ συνεχοῦς καὶ σφοδροτάτης τοῦ κλυδωνίου φορᾶς, οὐ μικρὸν αὐτοῖς τον περὶ τῶν ἐσχάτων φόβον ἐπῆγε. Τοῖς μὲν οὖν ἄλλοις, οὐ τὸ τεθνήξεσθαι μόνον, ἀλλὰ καὶ τὸ τοῖς ὕδασι τοῦτο πείσεσθαι, δεινὸν ἐδόκει καὶ κατ' ἄμφω δυσχεραίνοντες ἦσαν· εἰ γὰρ καὶ θάτερον σφίσιν αὐτοῖς ἐξ ἀνάγκης ἐσόμενον ᾔδεσαν, ἐάν τε νῦν οὕτως, ἐάν τ' ἄλλως [add. ἄλλοτε aut ὕστερον] ξυμβῇ, ἀλλ' ἄρα τοῦ περιεῖναι καὶ ζῆν ὡς εἰκὸς ποιούμενοι λόγον, καὶ ἅμα τῶν οἰκείων εἰς μνήμην ἰόντες καὶ τούτους ἐπιθήκην, τῆς συμφορᾶς κεκτημένοι, δακρύων ἅπαντ' ἐπλήρουν καὶ οἰμωγῶν, καὶ οὐκ εἶχον ὅ τι καὶ γένοιντο. Τῷ δὲ, καὶ ταῦτα μὲν οὐδὲν ἦττον· πολλῷ δὲ πλέον, μᾶλλον δὲ κακῶν ἔσχατον ἦν, καὶ παραμυθίαν πᾶσαν ὑπερβαῖνον, τὸ κινδυνεύειν οἷς τῶν μεγίστων ἔτ' ἀτέλεστος ἦν, καὶ τῆς πρὸς Θεὸν οἰκειότητος οὕτω τὴν γιγνομένην δεδεγμένος σφραγῖδα, θεὸν αὐτὸν ἀπολέσαι καὶ τῆς ἐκείνου δόξης παντάπασιν ἐκπεσεῖν.

Κ'. Ὡς γὰρ τὸ βαπτίσματος ἠξιῶσθαι, Χριστόν ἐστι κατὰ Παῦλον ἐνῆφθαι· καὶ ἄλλως Χριστὸν γεγονέναι ὕδατι χρισθέντα καὶ πνεύματι, οὕτως ἀνάγκη πᾶσα τὸν μὴ τούτου τυχόντα, καὶ Χριστοῦ κεχωρίσθαι· οὐ τί τῶν ἁπάντων ἐλεεινότερον, οὐχ ὅπως ἐκείνῳ τῷ καὶ πρὸ συλλήψεως ἀφωσιωμένῳ Θεῷ, καὶ ὕστερον καὶ νοῦν καὶ βίον καὶ λόγον καὶ πρᾶξιν, καὶ πάνθ' ἑαυτὸν τῆς ἄνωθεν ἐξάψαντι δεξιᾶς, ἀλλὰ καὶ ὅλως ἀνθρώπῳ νοῦν ἔχοντι, καὶ

[19] Galat. II, 27.

λογίζεσθαι δυναμενῳ, καὶ τοῦτ' εἰδότι καλῶς ὅτι κἂν τὴν οἰκουμένην πᾶσαν κατάσχῃ, κἂν τὸν ὑπὸ γῆν τε καὶ ὑπὲρ γῆς κτήσηται μόνος χρυσὸν, κἂν πάντας τοὺς τε ὄντας, τούς τ' ἐσομένους πρό τ' ἐόντας ἀνθρώπους εὐδαιμονίᾳ παρέλθῃ, οὐδὲν αὐτῷ πλέον ἔσται περὶ ψυχῆς κινδυνεύοντι. Ταῦτ' οὖν ἐκεῖνος τηνικαῦτ' ἐννοῶν, καὶ τούτους ἄνω καὶ κάτω στρέφων τοὺς λογισμοὺς, ἐπηρτημένου μὲν τοσούτου κινδύνου, τοῦ δὲ χειμῶνος οὔ τι λωφοῦντος, καὶ πρὸς ὑπερβολὴν αἰρομένου, ἀπορίας δὲ πάντοθεν οὔσης, ἐπιλειπουσῶν δὲ σχεδὸν τῶν ἐλπίδων, ἐπὶ ξυροῦ δὲ ἀκμῆς τῶν πραγμάτων ἑστώτων, τί ποιεῖ, καὶ τίνα λύσιν ἐπινοεῖ τοῦ δεινοῦς ; Πάσης ἡστινοσοῦν ἀνθρωπίνης ἀπεγνωκὼς ἐπινοίας καὶ μηδενὶ τούτων καὶ τοὺς ἄλλους πείσας προσέχειν, ἐπὶ τὸν ἐν ἀπόροις πόριμον καὶ πάντα ποιοῦντα καὶ μετασκευάζοντα μόνῳ τῷ βούλεσθαι δεῖν ἔγνω καταφεύγειν Θεὸν, καὶ τούτῳ πιστεύειν τὸ σώζεσθαι · εὖ εἰδὼς ὡς εἰ καὶ συμφοραῖς τισιν ἡμᾶς περιπεσεῖν ποτε ξυγχωροίη, εἴτε παροῦσαν ἀναστέλλων κακίαν, εἴτ' ἐσομένην προαναιρῶν, ἢ τιμωρούμενος γεγονυῖαν, τὸ γὰρ τῆς πείρας παρίημι, ἔστιν ὅτε καὶ ἐφ' ὧν γινομένης, ἀλλ' ὑπὲρ τοῦ βελτίους ἂν γεγενῆσθαι, καὶ κηδόμενος μᾶλλον ἢ κολάσαι βουλόμενος συγχωρεῖ τῆς γοῦν συνήθους εὐθὺς χρηστότητος ἔχεται καὶ οὐκ ἀνέχεται τοπαράπαν, οὔτ' ἐπιλελῆσθαι τοῦ οἰκτειρῆσαι, οὔτε τοὺς ἰκτιρμοὺς αὐτοῦ συνέχειν ἐν ὀργῇ · φιλάνθρωπος γάρ · καὶ τοῦτ' αὐτῷ μᾶλλον πρὸς τρόπου.

A nem, et se denique totum supernæ dexteræ velut appenderat; verum ulli omnino homini mentis compoti ac ratiocinationis, et quem illud minime fugiat, quod tametsi universum terrarum orbem in ditione sua ac potestate teneat, aurique vim omnem, quæ sub terra, aut super terram est, unus possideat; tametsi quotquot usquam sunt mortalium, aut in posterum futuri sunt, aut olim fuerunt, felicitate gaudeat, nihil id sibi tamen, de anima periclitanti, profuturum. Hæc ille tum secum reputans, et hujusmodi sursum deorsumque animo cogitationes versans, præsentissimo in periculo, nihil remittente procella, imo ad summum excessum intumescente, nulla usquam elabendi rima, nulla ferme residua specula, rebusque in acie novaculæ jam hærentibus, quid occipit, quæso, quamve B expediendorum malorum rationem init? Nempe damnata humana arte ac industria, cæterisque ne aliqua re hujusmodi confiderent admonitis, ad illum, qui in rebus inviis viam reperit, « *qui omniaque solo nutu suo facit ac immutat* [11], » confugiendum, suamque illi committendam salutem, statuit, haud ignarus, quod quanquam in adversa quædam nos nonnunquam incidere Deus sinat, sive ut præsens aliquod refrenet vitium, sive futurum præcidat, sive antea admissum vindicat; nam tentationem divinam, quæ aliquando, et in quibusdam fit, nunc omitto; ideo hoc tamen permittat, ut ad bonam redeamus frugem, et nostri potius curam agens, quam ultionem expetens, unde et suetam mox benignitatem suam amplectatur, nec omnino sustineat, *aut oblivisci misereri, aut præ iracundia coercere misericordias suas* [12]. Clemens, enim mitisque in genus humanum est, et id naturæ illius magis convenit.

ΚΑ'. Ταῦτ' ἄρα καὶ πάντων αὐτὸν ἀναμνήσας τῶν ἐξ ἀρχῆς τεραστίων, καὶ ὧν ἑκάστοτε διὰ πλῆθος ἐλέους καὶ πεποίηκε καὶ ποιεῖ, καὶ τούτοις προσθεῖναι τὸ κατ' αὐτὸν ἐξ ἄγαν ὀδυνωμένης δεηθεὶς τῆς καρδίας, ἐπεὶ καὶ τὴν φιλανθρωπίαν αὐτοῦ συμπρεσβεύουσαν εἶχε, καὶ ταῖς εὐχαῖς συμμαχοῦσαν, οὕτως ἀπέλαυσε τῶν εὐχῶν καὶ αὐτὸς τῶν ἑαυτοῦ, καὶ οἱ ἄλλοι τῶν αὐτοῦ, ὡς μὴ μόνον αὐτὸν δι' αὐτὸν, ἀλλὰ δι' αὐτὸν καὶ τοὺς ἄλλους τεσῶσθαι · καὶ χαρισθῆναι μὲν αὐτὸν πάσῃ τῇ οἰκουμένῃ σωτῆρα καὶ πρόμαχον εὐσεβείας, καὶ ξυναγωνιστὴν τῶν καλλίστων, καὶ πρὸς Θεὸν ἀγωγὴν (. ἀγωγὸν), χαρισθῆναι δὲ τούτῳ τοὺς ἄλλους καὶ δι' αὐτοῦ τῷ Θεῷ. Τῶν γὰρ ἀπίστων σχεδὸν ὄντες οἱ πλείους, οἷς τε παρὰ πᾶσαν ἠντινοῦν προσδοκίαν ἀπήλλαξεν τοῦ κινδύνου, καὶ οἷς οὕτω καινότατα, πρὸς Χριστὸν εὐθὺς μετετάξαντο · καὶ γεγόνασι προσθήκη τοῦ καθ' ἡμᾶς συνεδρίου · οὐ γὰρ κατὰ βραχὺ τὸ κλυδώνιον ὑπεδίδου οὐδὲ σχολῇ καὶ βάδην ὡς ἂν εἴπῃ τις ὁ χειμὼν ὑπεχώρει · ἀλλ' ὦ τῶν μεγίστων σου θαυμασίων ! Χριστὲ, ἅμ' ἔπος ἅμ' ἔργον ἦν ὡς ὁ λόγος. Τὸ τῆς εὐχῆς, τὸ τοῦ σώζεσθαι, ὡς μηδὲ χειμῶνος οὑτινοσοῦν δοκεῖν ὡς εἰπεῖν πεπειρᾶσθαι.

C XXI. Ob hæc itaque miraculorum omnium, quæcunque a primordio rerum edita fuere, quæque identidem per multam misericordiam suam fecit facitque, Deum commonefaciens, illique ut suum hoc adjungeret exemplum, anxio admodum pectore obsecrans, quoniam benevolentiam erga homines Dei, adjutricem precum sociamque habebat; hoc ex precibus suis commodi ipse cæterique cepere, ut cum ipse per se, tum per ipsum reliqui, periculo liberati fuerint, ut orbique ipse universo vindex salutis pietatisque propugnator, et pulcherrimorum operum adjutor, et ad Deum dux ac signifer, datus sit, concessa simul illi, et per illum Deo, cætera vectorum turba. Quorum plerique fere infideles, quod ita præter omnem exspectationem ex D periculo evasissent, quod novo adeo insolitoque more, e vestigio ad Christum transibant, nostrique additamentum cœtus fiebant; non enim paulatim undarum subsidit tumor, nec cum moro aliqua ac pedetentium, ut eo utamur verbo, recessit procella, sed, o immensa miracula tua! Christe, simul dictum factumque erat, ut vulgo dicitur: simul votum nimirum et plena incolumitas ita, ut haud ullam probe dicam experti viderentur procellam.

ΚΒ'. Οὐ μὴν ἀλλὰ καὶ προσετέθη τῷ θαύματι

XXII. Quin et novum miraculo accessit miracu-

[11] Amos. v. 8. [12] Psal. LXXVII, 9.

lum ; quippe nocte eadem, ut postea compertum est, de periculo filii certiores divinitus facti parentes, pro eo ac debuerunt, graviter animo angebantur : et quidquid hic opis poterant, laboranti ferebant, ferventissimas in preces incumbentes, omniaque ut ipsum discrimini eriperent molientes : tum mox voti sese compotes factos esse liquido intelligere, abscedente illico non modo omni ægritudinis sensu, sed invicem ineffabili quadam voluptate animos ipsorum replente : quod clarissimum signum erat prosperioris filii status, quantæque una cum illo curæ Deo essent. Hujusmodi equidem navigatio fuit : adeo illa omnium difficillima ac asperrima, ut si evenissent quæ minitabatur haudquaquam digna esset cujus ulla superesset memoria : rursus tanto eadem postea in pretio merito habita, ut nec posteris silentio transmittantur, queis tot tantorumque bonorum præcipua nimirum causa fuit, dum cæteros quidem e tenebris in lucem venire, lustrico regenerationis lavacro Servatori suo adoptari, coegit : cui hoc ipsum fidei sacramentum, velut acceptæ salutis pretium deferebant. Gregorium vero non paulo meliorem constantioremque effecit, qui ita materna promissa renovabat, seque Deo totum bona fide addicebat.

XXIII. Jam vero hunc in locum adductam orationem, ut Athenas ipsas ingressura, virique illuc adventum expensura sit, quemadmodum recte atque ordine instituam ac exsequar, incertus hæreo, neque enim postquam in rerum harumce mentionem oratio incidit, illas omittere nobis integrum, rebus nimirum ipsis dicendi necessitatem afferentibus : quandoquidem omnia et singula nostri sua serie reddere nobis proposuimus. Rursus quoniam neutiquam par nobis, atque ipsi (Epitaphio Basilii) hæc ipsa describendi facultas est, illud nos propemodum ab iis quoquomodo attingendis revocat : scilicet solius Gregorii hoc proprium est, ut et factis egregiis cæteris hominibus antistet, et divina quadam gratia eadem commemoret ; solus illis enim revera, « *Verborum bonus arator, rerumque erat actor* (1). » Sed hoc tantum dicam, quod ita cum inter se mutuo, tum cum Atheniensibus noster et Basilius, vir optimus, Athenis vixerint, ut majore omnino in admiratione ac honore apud illos fuerint, quam hospitum quisquam, qui ea in urbe aliquando versati fuerant : idque tum ingenii virtutisque suæ merito, tum quod ultro omnes, omnibus in rebus, primas ad ipsos deferrent : rursus ipsi inter se non modo alter ipse uterque esse, sed plus etiam alter alteri, quam alteruter sibi, esse haberique adnitebantur : usque adeo novum conjunctissimæ familiaritatis exemplum per ipos vitæ humanæ ostensum fuit : sive potius quemadmodum in cæteris omnibus, ita in hoc etiam excellebant, quasi ferre nequirent, quin naturæ suæ præstantiam exemplis omnibus spectandam præberent, et quacunque in re palmam ipsi ferrent.

XXIV. Hunc in modum cum affecti animatique essent, quod discedere Basilius et ad sua redire

(1) *Iliad.* I, 445.

θαῦμα · τῆς γὰρ αὐτῆς νυκτὸς ὡς ἔπειτα καταφανὲς ἐγεγόνει, τὰ τοῦ παιδὸς δυσχερῆ θεόθεν οἱ γεννήτορει ἐμπνευσθέντες ἀγωνιῶντες ἦσαν ὡς εἰκός, καὶ οἷς εἶχον πρὸς συμμαχίαν ἐχρῶντο · θεοκλυτοῦντες πάνυ θερμῶς καὶ ὅπως οὗτος ἐξάντης ἔσται τοῦ κινδύνου πάντα ποιοῦντες · καὶ μέντοι καὶ ὧν ἐπήγγελλον τυλόντες, ἔγνωσαν ἐμφανῶς, οὐχ ὅπως τῆς ἀθυμίας παντάπασιν εὐθὺς ἀπιούσης, ἀλλὰ καὶ ἡδονῆς ἀφάτου πλησθέντες, τεκμήριον ἐναργὲς τῆς τοῦ παιδὸς εὐπραγίας, καὶ ὅσον αὐτοῦ τε κἀκείνων μέλει θεῷ. Ὁ μὲν δὴ πλοῦς, τοιοῦτος, καὶ τοῦτον ἔσχε τὸν τρόπον · οὕτω μὲν χαλεπώτατος καὶ δυσφορώτατος πάντων ἀναφανείς, ὡς εἰ ἃ πράξειν ἠπείλει ὕστερον προὐχώρησε, μηδ' ἂν ὅλως ἥκειν εἰς μνήμην ἀξιόχρεως εἶναι · οὕτω δὲ πολλοῦ τινος ἔπειτ' ἄξιος γεγονὼς, ὡς μηδὲ τοῖς ἐπιγιγνομένοις σιγᾶσθαι, τῷ τοσούτων καὶ τηλικούτων ἀγαθῶν σφίσιν αἰτιώτατος καταστῆναι · τοὺς μὲν ἐκ σκότους εἰς φῶς ἐλθεῖν ἀναγκάσας, καὶ διὰ τοῦ λουτροῦ τῆς παλιγγενεσίας εἰσποιηθῆναι τῷ σώσαντι · ὥσπερ τινὰ σῶστρα προσενηνοχότας τὴν πίστιν · τὸν δὲ, πολλῷ καλλίω καὶ βεβαιότερον ἀποφήνας · ἀνανεωσάμενον μὲν τὰς τῆς μητρὸς ὑποσχέσεις, ὅλον δὲ καθάπαξ ἑαυτὸν ἀναθέντα θεῷ.

ΚΓ'. Μέλλοντι δὲ Ἀθηνῶν ἐπιβαίνειν, καὶ τὴν ἐνταῦθα πάροδον τοῦ ἀνδρὸς ἐξετάζειν, οὐκ οἶδ' ὅ τι τῷ λόγῳ χρήσομαι, οὐδ' ὅπως ἂν αὐτὸν διαθείην · οὔτε γὰρ ἐπειδὴ τούτων οὕτος ἐμνήσθη παραλιπεῖν ἡμᾶς δεῖ, τῶν πραγμάτων λέγειν ἀναγκαζόντων, πάντα γὰρ ἐφεξῆς τὰ τούτου λέγειν προὐθέμεθα, τό τ' αὖ μὴ δύνασθαι τούτῳ παραπλησόως τούτων μνησθῆναι, ἀπάγει δήπως τοῦ καὶ ἀπηοῦν τούτων μνησθῆναι · μόνου γὰρ ἐκείνου καὶ πράττειν ὑπὲρ τούς ἄλλους, καὶ μεθ' ὑπερφυῶν τῶν χαρίτων ταυτὶ διηγεῖσθαι, διὰ τὸ μόνον ὡς ἀληθῶς, « μύθων τε ῥητῆρ' ἔμεναι, πρηκτῆρά τε ἔργων. » Ἰλὴν τοσοῦτον εἴποιμ' ἄν, ὅτι τοιοῦτόι δή τινες ἐνταῦθα πρὸς ἀλλήλους καὶ Ἀθηναίους αὐτός τε καὶ Βασίλειος γεγόνασιν ὁ χρηστὸς. ὡς τοῖς μὲν παρ' οὐστινασοῦν τῶν πώποτ' εἰς αὐτοὺς ἀφιγμένων θαυμασθῆναι καὶ σπουδασθῆναι · καὶ φύσεως εἵνεκα λέγω καὶ ἀρετῆς, καὶ τοῦ παρὰ πάντων ἐν ἅπασι συγκεχωρηκότος · αὐτοὶ δὲ οὐχ ὅσον ἄλλος αὐτὸς ἑκάτερος εἶναι σπουδάσαι, ἀλλὰ καὶ πλέον ἑκάτερος ἑκατέρῳ, ἢ ἑκάτερος ἑαυτῷ νομισθῆναι · οὕτως εἰς ἑταιρίος λόγοο, καινόν τι χρῆμα τὸ κατ' αὐτοὺς ἀνεφάνη τῷ βίῳ · μᾶλλον δὲ ὥσπερ ἐν πᾶσι τοῖς ἄλλοις, οὕτω καὶ ἐνταῦθα διαφέροντες ἦσαν · ὥσπερ οὐκ ἀνεχόμενοι μὴ τὴν τῆς φύσεως πλεονεξίαν διαπάντων δεικνύναι καὶ ὡς κατὰ παντὸς ὁτουοῦν φέρονται κράτος.

ΚΔ'. Οὕτω δ' ἔχοντες καὶ τοῦτον διακείμενοι δήπου τοὐ τρόπον, ἐπειδήπερ ὁ μὲν ἔμελλεν ἐκεῖθεν

ἀναχωρεῖν καὶ κάθοδον ἐπὶ τὰ οἴκοι ποιεῖσθαι, Γρηγορίῳ γε μὴν οὐκ ἔτ' ἀνεκτὸν τοῦτ' ἦν, οὐδὲ φιλοσοφεῖν οἷός τ' ἦν, ἀλλὰ καὶ πρὸς μόνην ἀπεχθῶ, ἔσχε τὴν ἀκοὴν, τότε δὴ σαφέστατα διεδείχθη καὶ τὸ τῆς συμπνοίας αὐτῶν διαπεφυκὸς, καὶ ὅσου δή τινος Ἀθηναίοις τὰ σφῶν ἐτιμᾶτο. Περιχυθέντες γὰρ καὶ προσφύντες ἀλλήλοις καὶ οἷον ἓν ἄμφω γενόμενοι τῇ τε τοῦ ἔρωτος κατοχῇ τῷ τε τοὺς Ἀθηναίους καὶ οἷς ἐποίουν καὶ οἷς ἔλεγον χορηγοῦντας οὐ μικρῶς ἴσχειν τῷ πάθει. Οὕτως εἶχοντο καὶ κατείχοντο, καὶ ὥσπερ σφῶν αὐτῶν ἀλλήλων ἀντείχοντο, ὡς ἑκάτερον ἑκατέρου τοῖς μέλεσιν ἐναποθανεῖν ἥδιου κρίνειν, ἢ καὶ ὁμωσοῦν διεζεῦχθαι, ἕως τὰ μὲν τῆς ἀνάγκης ὡς εἰκὸς ἡττηθέντες, τὰ δ' εἰδότες καὶ πεπεισμένοι ὡς ὅτι τάχιστ' ἀλλήλους ὄψονται καὶ συνέσονται · καὶ τὰ πόῤῥωθεν φιλοσοφίας πέρι καὶ τοῦ τῆς ὕλης δρασμοῦ συνδόξαντα σφίσιν ὅσον οὐκ ἤδη πέρας σχήσει χρηστὸν, μόλις διέστησαν εἶεν · τοῦτο μὲν δὴ τοιοῦτον · ὃ δ' ὑπὲρ αὐτοῦ τούτου μάλιστα λέγειν ἔχομεν, καὶ ὃ πρὸ τῶν ἄλλων ὧν ἔχει τοῦτον σεμνύνει καὶ πρὸ τῶν ἄλλων ἀνθρώπων τίθησιν, ἅτε πάντων ἀγαθῶν ὑπερέχον · καὶ τούτῳ διαφερόντως προσὸν, τοῦθ' ὡς ἂν οἷός τε ὦ, δώσω τῷ λόγῳ · οὐδὲ γὰρ ἐπεὶ τὸν περὶ τούτων ἁπάντων λόγον ἅπαξ ἐνεστησάμην, καὶ τὸ καταξίαν ἐνεστησάμην. Οὐδὲ μικροῦ δεῖ · ἀλλὰ τοῦ λέγειν ἁπλῶς σωζομένου, ἐὰν μὲν καὶ τοῦτο προσῇ, πολλοῦ τινος ἔσται τῷ λόγῳ · ἐὰν δὲ μὴ, οὐδέν φασι πρὸς τὸν λόγον.

A jam parabat, non id æquo animo ferre Gregorius, nec philosophiæ suæ tranquillitatem tenere amplius poterat, sed vel solam discessus auditionem perhorrescebat. Hic sane luculentissimo documento et necessitudinis illorum germana penitusque inscita indoles apparuit, et quanto ipsis Athenienses in pretio essent. Quippe circumfusi arctissimoque amplexu alter alteri hærentes et ambo velut in unum confusi corpus, tum mutui amoris vi atque afflatu, tum quod multum olei huic illorum igni dictis factisque suis Athenienses superfunderent, ita hærebant continebanturque, neque aliter alter alterum quam semetipsum complexus detinebat : ut utrique dulcius videretur amici inhærentem artubus animam efflare, B quam ullo inde modo divelli. Donec tum necessitate ipsa, ut par erat, expugnati, tum ignari ac persuasi fore ut perbrevi temporis intervallo, iterum inter se viderent ac conversarentur, et quod dudum de sanctiore philosophia, materiæque corporeæ fuga, constitutum habebant, paulo post ad optatum exitium perventurum esset, ægre tandem diversi abitant. Sed hæc, quæ hujusmodi fuere, hactenus. Cæterum quod præcipue de Gregorio nostro dicere habemus, quod illum supra cæteras ipsius dotes commendat, cæterosque supra mortales attollit, ut bonorum omnium primum, et quo ille singulariter ornatus erat, id nunc prout potero verbis complectar. Quanquam enim de universis nostri rebus semel dicere institui, minime ideo pro dignitate earum dicere institui; nihil profecto minus, nimirum dum bona fide modo dicamus, si et hoc accesserit decus, magni equidem illud ad orationis splendorem referret : sin minus, nihil id, quod aiunt, ad orationem ipsam faciet.

ΚΕ'. Ἁπάντων μὲν οὖν μετασχεῖν τῶν καλλίστων, καὶ ταῦθ' ὁμοῦ ξυλλαβεῖν, οὐκ οἶδα ὅτῳ τῶν ἐκ τοῦ παντὸς αἰῶνος ὑπῆξεν, οὔκουν ὀντινοῦν ἔχομεν φάναι διὰ πάντων ἰόντα, καὶ τοῦ καθάπαξ ἐπιτυχεῖν · ἀλλὰ τὸν μὲν, τοῦτο · τὸν δ' ἐκεῖνο · ἔστι δ' ὃν καὶ πλείω κατωρθωκότα · ὃς δ' εἰς ἅπαντα καθῆκεν ἑαυτὸν, ἐργῶδες εὑρεῖν· πλὴν εἴ τις ἐφ' οὕτω τοῖς προῦβη τῆς τύχης, θαυμαστὸς οὗτος τῳότι ταυτησὶ τῆς φορᾶς, καὶ μόνος τοῦ παντὸς ἀξιώτατος χρῆσθαι · ὅταν δ' αὐτὸς ἡμῖν καὶ σοφίαν μετὰ πάντων τυγχάνῃς κατωρθωκὼς, οὐ τὴν καθ' ἡμᾶς μόνον ἧς ἔχεις τὰ πρῶτα, καὶ ἣν οἱ τῶν ἀνθρώπων ἀνδραποδώδεις καὶ τὴν γνώμην ὡς ἀληθῶς βάναυσοι, κακίζειν τολμῶντες, σφῶν αὐτῶν καταδικάζουσιν ἀλογίαν, οἷς ἄγαν ἀλόγως περὶ τὰ λόγου παντὸς ἄξια διατίθενται, καὶ ταύτης οὐ μέρος ἀλλ' ὅλην αὐτὴν ὡς εἰπεῖν τὴν ἰδέαν, ποίαν τινα περὶ σοῦ δόξαν ἐκτέον, καὶ τί σε δεῖ προσειπεῖν ; Πότερον ὑπεράνθρωπον ἄνθρωπον, καὶ οἷόν τινα τελευταῖον ξυμπάσης τῆς καθ' ἡμᾶς φύσεως ὅρον, ἢ θεσπέσιόν τι καὶ ὑπερφυὲς καὶ καινότατον χρῆμα καὶ παντοδαπὸν ἀγαθὸν, καὶ ὅλως μοναδικήν τινα καὶ ξένην οὐσίαν καλοῦ, ἐξ ἄρα πάντων τῶν τῆς ἀρετῆς μορίων συγκεκραμένην οὔτε πρὸς παράδειγμα φέρουσαν, οὔτ' αὖ ἐσομένην παράδειγμα, ἀλλ' αὐτὴν πρώτην καὶ μόνην ἀναφανεῖσαν τῷ βίῳ καθάπερ φασὶν τὸν ὄρνιν τὸν ἱερὸν ; Οὕτω σοι στεφάνων πανταχόθεν προσήκει, καὶ οὐδὲν οὐδοτιοῦν

C XXV. Jam ut pulcherrimarum rerum omnium particeps quisquam fuerit, easque pariter complexus sit, id haud scio cui unquam post hominum memoriam, contigerit; itaque neminem proferre possumus, qui per omnia gradum intulerit, rectequo cuncta assecutus sit ; alios quidem in alio alioque optimarum artium genere sigillatim, nonnullos item in compluribus præclare elaborasset : qui ad omnia sese demiserit, haud facile repertum iri ; verumtamen si eo fortunæ quisquam progressus fuit, hic ipse certe ob singularem progressionem admirandus, unusque porro dignissimus erat, qui universa ista felicitate in solidum frueretur. Quando vero tute nobis sapientiam una cum cæteris omnibus perfecte hausisti, non D nostram Christianorum modo, cujus primas tenes, et quam servili homines ingenio, et vere illiberali abjectoque animo præditi, dum incessere non verentur, semet ratione destitui arguunt, eo quod valde irrationabili modo erga ea affecti sunt, quorum summa merito habenda ratio erat : tum et sapientiæ hujus non partem aliquam tenes, sed ipsam totam, ut verbo dicam, ideam ; quam sano de te habere convenit opinionem, quove te nemine compellabimus ? Utrum plus quam humanum hominem, et velut extremum totius naturæ nostræ terminum ? an divinam quamdam humanumque fa-

stigium egressam, et novitate sua rarissimam rem, bonumque quoddam universale; et postremo unicam omnino atque peregrinam quampiam pulchri essentiam, ex universis virtutis partibus conflatam: eamque de nullo exemplari expressam, nec imitabile aliis exemplar futuram, sed primam eamdem ac solam mortalibus ostensam, more sacræ avis, quam dicunt, usque adeo undique tibi coronæ debentur: nihilque pulcherrimarum rerum est, quod non tuis laudibus materiam suppeditet, tuæque gloriæ mirifice velificetur. Verumenimvero quod nulla penitus re, ad censum virtutum pertinente, abstinueris, sed hæc omnia ita simpliciter complexus fueris, ut nemo alius ullam virtutem unam, illius rei clarissimum argumentum est incredibilis tua ad Deum familiaritas, et quod ex divino hoc consortio Deus tutemet ipse pene evasisti: cujus consortii, tametsi dictu fortasse absurdum videatur, hunc in modum particeps jam eras, priusquam esse cœperas, hominesque inter censeri.

A ἐστὶ τῶν καλλίστων, ὃ μὴ πρὸς ἔπαινον τὸν σὸν χρηγεῖ· καὶ τὰ μεγάλα πρὸς εὐφημίαν ξυμβάλλεται· ἀλλ' ὅτι μὲν τῶν εἰς ἀρετὴν φερόντων ἑνὸς οὐδενὸς τοπαράπαν ἀπέσχου, ἀλλὰ καὶ πάντων τούτων ἁπλῶς οὑτωσὶ περιέσχου, ὡς οὐδενός τινος τῶν ἄλλων οὐδείς, τεκμήριον ἐναργὲς, ἡ θαυμαστή σοι πρὸς Θεὸν οἰκειότης, καὶ τὸ Θεὸν ἀμέλει γενέσθαι τῇ πρὸς αὐτὸν κοινωνίᾳ· ἧς εἰ καὶ παράδοξον φάναι, καὶ πρὶν ἥφθαι τοῦ εἶναι, καὶ πρὶν εἰς ἀνθρώπους τελέσαι, τοῦτον τὸν τρόπον διετέλεις μετέχων.

XXVI. Quippe si quos egregie bonos seque dignos futuros præcognovit Deus, eos necdum susceptos natosque prædestinat, et ut ingens aliquod emolumentum, omnisque decoris publici sæculo auctores futuros, despondet; tu vero de illis eras, quos longe optimos idem præcognovit, eaque re prædestinavit; ita probabile sane, sive verius omnino necesse est, non eo duntaxat tempore quod dixi, charum te Deo familiaremque fuisse, sed et omnis virtutis, ut verbo dicam, excellentissimum opificem, nimirum virtutis causa prædestinatus, valde item admirabilis, aliisque omnibus excelsior factus es, virque profecto illiusmodi, ut tametsi prædestinatus non fuisses, merito prædestinari debueris; quippe qui unus omnia aliis omnibus sigillatim præstita junctim comprehenderis confecerisque.

B ΚϚ'. Εἰ γὰρ οὓς μὲν καλοὺς κἀγαθοὺς ἐσομένους, καὶ μᾶλ' ἀξιόχρεως ἑαυτοῦ προῄδει Θεὸς, τουτουσὶ προορίζει καὶ μήπω γεγονότας· ὡς μέγιστον ἀγαθὸν καὶ πάντ' ἐσομένους τῷ βίῳ προμνᾶται· σὺ δὲ τῶν μάλιστ' αὐτῷ προεγνωσμένων βελτίστων, καὶ διατοῦτο προωρισμένων ὑπῆρξας, ἔοικας, μᾶλλον δὲ πᾶσα ἀνάγκη, οὐ μόνον καθ' ὃν ἔφην χρόνον θεοφιλής τις εἶναι, καὶ οἰκεῖος αὐτῷ, ἀλλὰ καὶ πάσης ἀρετῆς ὡς εἰπεῖν ἄκρος ἐργάτης. Δι' ἣν καὶ προωρισμένος θαυμαστός τις ἄγαν καὶ ὑπὲρ πάντας ἐγεγόνεις τοὺς ἄλλους, καὶ οἷος, εἰ καὶ μὴ προώρισο, εἰκότως ἂν προωρίσθαι· ὡς πάντα τὰ πᾶσι τοῖς ἄλλοις καθὲν εἰργασμένα, μόνος αὐτὸς συνειληφώς τε καὶ καταπράξας.

XXVII. Porro de eloquentia tua dicere aggrediens tuam mihi eloquentiam tuæque orationis robur contingere velim, quo ex merito illam suo commendare queam; is etenim tu es, si summatim res exponenda, qui non aliter in omnibus orationis formis, quam in una quapiam elaboraveris. Rursus unamquamque ita perfecte accurateque pertractaveris, ut haud promptum videre sit, in quanam potissimum regnes, et cui primæ penes te debeantur partos. Non enim ad philosophiam solam, omissa oratoria, animum appellendum duxisti, neque e contrario in arte oratoria operam omnem, spreta philosophia, tibi ponendam existimabas.

C ΚΖ'. Λόγων δὲ περὶ λέγειν ἐθέλων τῶν σῶν, λόγους ἂν τοὺς σοὺς ἐβουλόμην, καὶ τὴν τῶν σῶν λόγων ῥώμην κεκτῆσθαι, ὡς τὰ γιγνόμενα περὶ αὐτῶν διϊέναι· σὺ γὰρ οὖν, εἰ δεῖ συντόμως εἰπεῖν, ὁ λόγων μὲν πᾶσαν ἰδέαν ὡς δή τινα μίαν ἐξησκηκώς· οὕτω δ' εἰς ἄκρον καὶ μετ' ἀκριβείας ἑκάστην, ὡς ξυνιδεῖν ἄπορον εἶναι ποτέρᾳ τούτων πλεονεκτεῖς, καὶ τίνι δοῦναι δεῖ τὰ πρεσβεῖα. Οὐ γὰρ αὐτὸ τοῦτο μόνον φιλοσοφεῖν ᾧου δεῖν, ῥητορεύειν δ' οὐκέτι· οὐδ' αὖ ῥητορεύειν μὲν καθάπαξ, τοῦ δὲ φιλοσοφεῖν ἀλογεῖν.

XXVIII. Rursus neque utriusque tu quidem rationem habebas, sed ex parte quadam duntaxat habebas, ita ut neutrius disciplinæ plenus integerque tibi usus in solidum constaret; verum unius rationis ambas hasce partes esse ratus, cum præterea scires perfecte sapientem per omnia permeaturum, ita hisce te studiis dedidisti, ut nihilosecius et philosophando eloquentiæ operam dares, et invicem causas orando philosophiam excoleres, et in utroque genere admirabilis esses, et hac in parte velut tibi ipsi longe præstares, quod nec studia philosophiæ oratoria facultate spoliares, neque hanc ipsam philosophiæ præsidiis destitutam exiberes, sed alteram alteri magna dexteritate copulares, mutuisque utramque exornares ornamentis.

D ΚΗ'. Οὐ τοίνυν οὐδέ σοι τῶν ἑκατέρων ἐμέλησε μὲν, ἐμέλησε δὲ ἀπὸ μέρους, ὡς ἐνδεῶς καὶ τούτῳ κἀκείνῳ κεχρῆσθαι· καὶ μηδενὶ διαρκῶς, ἀλλ' ἑνὸς ἄμφω ταῦτα λόγου μέρη νομίσας, καὶ τὸν τῳόντι σοφὸν εἰδὼς διὰ πάντων ἥκοντα, οὕτω τούτοις σαυτὸν ἐμπαρέσχες, ὡς μηδὲν ἧττον καὶ οἷς φιλοσοφεῖς ῥητορεύειν, καὶ οἷς ῥητορεύεις φιλοσοφεῖν, καὶ εἶναι θαυμαστὸς ἐν ἀμφοῖν, καὶ οἷον βέλτιστος αὐτὸς σεαυτοῦ τούτῳ τῷ μέρει, οὔτε τὸ φιλοσοφεῖν ῥητορείας ἀποστερῶν, οὔτ' αὐτὴν ταύτην ἀμέτοχον φιλοσοφίας δεικνύς· ἀλλ' ἑκάτερον ἑκατέρῳ δεξιῶς ἄγαν συνάπτων, καὶ δι' ἑκατέρου κοσμῶν ἑκάτερον.

XXIX. Quanquam quid est quod dico? sic hæc

ΚΘ'. Καίτοι τί λέγω; οὕτω γὰρ Ἑρμῆς κατ' Αἰσχύ-

λον ταῦτ' εὐλόγως ξυνήγαγεν, ὥς τε τοὺς μὲν φιλοσοφοῦντας τῷ ῥητορεύειν, τοὺς δὲ ὑητορικοὺς φιλοσοφίᾳ παρέρχῃ· μᾶλλον δὲ φιλοσόφους μὲν τῷ φιλοσοφεῖν, ῥητορικῇ δὲ τοὺς ῥήτορας: τοὺς δὲ καὶ ἄμφω δεινοὺς, τῷ τούτοις αὐτὸς διαφερόντως ἐκλάμπειν, καὶ εἶναι προσέτι ποιητικός· οὗ τοσοῦτον αὐτῷ περίεστι καὶ οὕτω μετέχει τουτωνὶ τῶν χαρίτων, ὡς οὐχ ὅπως μηδὲν ἧττον φιλοτιμίαν ἐντεῦθεν, ἢ ἐξ ὧν ἔφην τούτῳ προσεῖναι, ἀλλὰ καὶ τῶν αὐτῶν αὐτῷ προσήκειν ἐπαίνωνιεί γὰρ μηδὲν [*f.* μηδὲ] ἐκεῖνα προσῆν, τοῦτο δ' αὐτῷ μόνον παρῆν, τοσαύτην ἂν περὶ λόγους ἐξ ἄρα τούτου μόνου δόξαν ἔμελλεν ἴσχειν, ὅσην τούτου κἀκείνων ἅμα προσόντων, κέκτηται νῦν, καὶ ἄκρος ἐξίσης ἀκούειν.

A enim probabiliter conduxit Mercurius, ut apud Æschylum est, ut philosophiæ sectatores oratoriæ artis studio, dicendi studios philosophiæ peritia anteires, aut ut rectius dicam, philosophus exqui sita phylosophiæ notitia, oratores arte oratoria, vinceres: rursus qui utraque præstarent, quod ipse et eximio utriusque splendore præfulgeres, et insuper poeticæ perstudiosus esses, cujus artis tanta noster facultate pollet, illiusque gratiis ita circumfluit, ut non modo nihil illi minus gloriæ inde partum sit, quam ex iis disciplinis, quas diximus; sed et eædem illi debeantur laudes, quippe etiamsi illæ penitus abessent, sola ipsi residua manente poetica, tantum em haud dubie solidæ gloriæ ex hac una habiturus erat, quantum nunc ex universis simul indeptus est, et perinde summus futurus.

Λ'. Τίς γὰρ τούτου κοῖς ἔπεσιν ἐντυχὼν, οὐκ εὐθὺς ἀνίσταται τὴν ψυχὴν, καὶ τούτων ὅλος ὑφ' ἡδονῆς γεγονὼς, γυσαποσπάστως ἔχει; Καὶ παραμένειν εἰσάπαν ἐθέλει, καὶ μηδαμῶς ἐκεῖθεν ἀναχωρεῖν, ἀλλὰ καὶ θαυμαστήν τινα ψῆφον ἐκφέρειν περὶ αὐτῶν. Καὶ οἵαν οὐδείς πω περὶ οὐδενὸς τῶν προτέρων καὶ δόξαν ἐπὶ τηλικούτοις ἐχόντων, ὁμοῦ μὲν τοῦ κάλλους αὐτὰ καὶ τοῦ πλήθους θαυμάζων, ὁμοῦ δὲ καὶ τῆς ἐνούσης αὐτοῖς θείας κατὰ τὸ ἔπος ὁμῳῆς, ἀπορρήτῳ τινὶ πεδούμενος κατοχῇ, ἣν ὁποία τις ἐστὶ λέγειν οὐχ οἷός τε ὤν. Μόνη γὰρ αὕτη πεῖρας, οὐ λόγου, δεῖται πρὸς μάθησιν, ἐκεῖνο μετὰ πάντων καὶ λέγω καὶ διατείνομαι, ὡς οὔτε τὸ κάλλος αὐτῶν ἀμβλύνεται δήπου διὰ τὸ πλῆθος, τό τε πλῆθος ἐκτασταχοῦ τὸ κάλλος καὶ τὸν ὄγκον φυλάττον, οὐδαμοῦ τούτων οὐδὲ καθοντινοῦν ἐκπίπτει· ἀλλ' ἓν εἶναι σῶμα συμβαίνει τὸ πᾶν, ἐκ κεφαλῆς εἰς πόδας τὸ γιγνόμενον σῶζον ὡς τὸ μὲν κάλλος ἐντεῦθεν πολλῷ ποθεινότερον καὶ ἡδιον εἶναι διὰ τὸ πλῆθος· τὸ δ' αὖ πλῆθος, μηδ' ὁντινοῦν κόρον ὁτῳοῦν ἐμποιεῖν τῷ περιόντι τοῦ κάλλους· ἀλλὰ μὴν τὸ παντοδαπὸν τῆς ἐν τούτνις σοφίας καὶ τὴν διαφορὰν τῶν ῥυθμῶν τε καὶ μέτρων, μόνος ἐξεῦρε, μόνος δ' οὕτω κατώρθωκεν ὡς πάντας ἐκπλήττεσθαι καὶ θαυμάζειν καὶ μιμητὰς γίγνεσθαι μὲν ἐθέλειν, γέγνεσθαι δὲ οὐδὲν μᾶλλον εἰκότως.

B XXX. Quis enim est qui cum in carmina nostri inciderit, non protinus animo excitetur, præ ingenuaque ista voluptate totum sese iis dedens non ægre illinc avelli queat? cupit ille nimirum perpetuo iis immorari, nulloque inde modo discebere, sed et honorificentissimam de iis sententiam ferre, et qualem nemo adhuc de ullo veteris ævi, et illustri laude celebratorum, poetarum, tulit: simul videlicet venustatem carminum ingentemque numerum admiratus, simul item « divini sonitus, » ut cum poeta loquar (2), ineffabili vi attonitus vinctusque. Quæ vis cujusmodi sit cum explicare nequeam, soli namque illi ut recte intelligatur experientia, non verbi opus est, hoc una cum aliis affirmo ac contendo, quod nihil venustati corminum multitudo officiat quod ipsaque illa multitudo, dum C elegantiam suam ac magnificam gravitatem ubique retinet, nullo usquam loco modoque suis hisce dotibus excidat; unde fit sane, ut unum continuumqua hoc omne corpus fit, atque a summo vertice ad imos usque talos suam sibi competentiam servet; adeo ut hac ipsa copia haud paulo amabilior suaviorque venustas reddatur, et copia rursus ob adjunctam summam elegantiam, nullam cuiquam satietatem afferat. Sed et omnigenam carminum artem, rhythmorunque ac metrorum differentiam solus item hactenus perfecit, ut magna omnes in admiratione ac stupore versentur, imitarique aveant. et nihilo tamen plus, ut consentaneum est, imitari queant.

ΛΑ'. Οὔτε γὰρ ἐστὶν, οὐκ ἔστιν οὐδὲν τῶν κόσμον ἐμποιούντων τοῖς λόγοις καὶ τούτους ἡδίους ἐργαζομένων, οὗ μὴ μειζόνως οὗτος καὶ ὑπὲρ τοὺς ἄλλους ἐηγάτης κατέστη· καὶ μόνος συνείληχεν [*f.* συνείλεχεν] ἃ τοὺς ἄλλους ἰδίᾳ σεμνύνει. Ἐάν τε γὰρ νοημάτων πλῆθος περὶ πλείστου ποιῇς ὀξέων καὶ πιθανῶν, καὶ ποικίλων καὶ συνεχῶς ἄλληλα διαδεχομένων, καὶ θαυμαστήν τινα καὶ ἄτοπον εἰσαγωγὴν καὶ διαχείρησιν (1) τούτων· ἐάν γε λέξεων τὰς εὐγενε-

D XXXI. Non est enim, non est vero quidquam eorum quæ ornatum orationi inducere, eamque dulciorem efficere idonea sunt, cujus non majorem in modum supraque cæteros excellens noster artifex fuerit, solusque ea cuncta complexus tenuerit, quæ alios singula commendant. Quippe sive sententiarum fecundam copiam maximo in pretio habeas, scilicet quæ acutæ, aptæque ad persuadendum, et multa varietate distinctæ sunt, in-

(1) Διαχείρησιν. Sic perspicue librarius noster pro διαχείρισιν. Etiam alibi, ut Libanii epist. 66 fine, ἀπάλλαξον τοὺς οἰκέτας τῆς διαχειρίσεως, grandiusculo plane ἰῶτα et recentiore attramento sub quo vetus η delitescens adhuc transparet. Simile quiddam de voce μεταχείρισις ad Aristidem adnotavimus p. 483.

(2) *Iliad.* Bγ 41.

vicemque sese perpetua quadam consecutione excipiunt, harumque porro sententiarum mirificam ac inusitatam inductionem tractationemque ; sive verba generosissima, et mundissima, et exquisitissima, et Attricum ubique habitum retinentia, spectes ; sive rursus densissimas figurarum variationes, argutam celeritatem, flexusque, et artificiosas innovationes, et simul accuratam compositionem, decentemque numerorum collocationem, tum præterea venustatem cum festiva gravitate, morumque concinnitate junctam; adhæc item, et una cum his perpetuum in omnibus consensum conceniumque, ut musicam quamdam totum orationis animantem corpus : si hæc, inquam, universa quæris, in unius Gregorii orationibus, longeque profecto optima, eadem reperies : ita vero, ut neutiquam perspicere queas, quonam ipse genere præstet maxime ac eluceat : nempe primo quidque aspectu melius cæteris præstantiusque videtur, sed mox tamen paria inter se omnia, eademque cura ac divina animi incitatione scripta deprehenduntur, vincentia nimirum quidquid hujusmodi apud alios occurrit, sed a se invicem superata.

A στάτας καὶ καθαρωτάτας καὶ ἀκριβεστάτας καὶ τῆς ἀττικιζούσης ἕξεως εἰς ἅπαν ἰούσας· ἐάν τε σχημάτων ἐναλλαγαῖς [ἐναλλαγὰς] ἐπαλλήλους καὶ γοργότητας καὶ στροφὰς καὶ καινοτομίας ἐντέχνους, καὶ μὴν καὶ συνθέσεως ἀκρίβειαν καὶ ῥυθμοῦ τάξιν, καὶ κάλλος μετὰ σεμνότητος κεχαρισμένης καὶ ἤθους· καὶ πρὸς τούτοις καὶ μετὰ τούτων, τὴν διαπάντων ὁμολογίαν καὶ μουσικὴν τὴν τὸ ὅλον ψυχοῦσαν· ἐὰν ταῦτα πάντα ζητῇς, ἐν μὲν τοῖς αὐτοῦ λόγοις μόνοις εὑρήσεις μετὰ παντὸς τοῦ βελτίονος· ἐν ᾧ δὲ τούτῳ τὸ μᾶλλόν ἐστι καὶ ᾧ μειζόνως ἐκλάμπει, τὸ δ' οὐκ ἄν ποτε γνοίης· ἕκαστον γοῦν δοκεῖ μέν πως ὡς γ' ἐκ τοῦ προφαινομένου κρεῖττον δήπουθεν εἶναι καὶ τῶν λοιπῶν ὑπερέχον· ἐλέγχεται δὲ πάντ' εὐθὺς ὄντα τῶν ἴσων, καὶ τῆς αὐτῆς σπουδῆς καὶ βακχείας, νεκῶντα μὲν τὴν [an τὰ ?] B τῶν ἄλλων, ὑπὸ δ' ἀλλήλων νικώμενα.

XXXII. Scilicet quemadmodum sol non in alia locorum plus, in alia minus radios suos jacit, sed pari et simili per omnia gradu fertur, eodemque universa fulgore replet ; ad eumdem et noster modum, illud ubique sequitur, quod in suis præcipue eminet, utque in omnibus ipse æqualiter optimus sit laborat, velut necessitate quadam sibi statuta, ne quid usquam ulloque modo de altissima illa sublimitate sua remittat : quo fit, ut quidquid admirationis cunctis pariter tum poetis, tum oratoribus debetur, id omne unus sibi meritissime C vindicet. Quippe quæ cæteri membratim modo attigerunt, ipse permensus universa ; qui item ut suis rebus omnibus longe cæteros anteit, ita hac in parte etiam semetipsum prævertit. Ea namque contentione adnixus est, ut neque ulla penitus proba venustaque orationis idea minus ipse instructus esset, neque rursus ut vitæ integritate illi concederet, quem facultate dicendi proximum haberet ; tam vero item ut ipsam eloquentiæ artem in altius fastigium attolleret exornaretque, et meliorem ei illustrioremque circumfunderet gloriam.

ΛΒ'. Ὡς γὰρ ὁ ἥλιος οὐ τοῖς μὲν μᾶλλον, τοῖς δ' ἧττον ἐπαφίησι τὰς ἀκτῖνας, ἀλλὰ δι' ἴσου καὶ ὁμοίου χωρεῖ, καὶ τῆς αὐτῆς πάντ' ἐμπίπλησιν αἴγλης, ὡς δὲ καὶ οὗτος ἑκασταχοῦ τῶν αὐτοῦ μεγίστου λόγον ποιεῖται καὶ τοῦ γε διαπάντων κράτιστος εἶναι· ὥσπερ εἰς ἀνάγκην δή τινα καταστὰς, μηδαμοῦ τῆς ὑπερβολῆς μηδ' ὁπωστιοῦν ὑφιέναι· ὥσθ' ὃ πᾶσιν ὁμοῦ καὶ ποιηταῖς καὶ λογοποιοῖς ὀφείλεται θαῦμα, μόνος οὗτος τούτου τογχάνειν δίκαιος ἂν εἴη. εἴπερ ὁ μὲν διαπάντων ἁφῖκτο, οἱ δ' ἐπὶ μέρους ἐχρήσαντο τούτοις· ὅπου γε καὶ τοῖς αὐτοῦ πᾶσι τοὺς ἄλλους καθάπαξ νικῶν ἐν τούτῳ τῷ μέρει, καὶ αὐτὸν παρελαύνει· οὕτως ἐσπούδακε μήτ' αὐτὸς μηδ' ἡστινοσοῦν τοπαράπαν δοκίμου καὶ κεχαρισμένης λόγων ἰδίας ἀπολελεῖφθαι, μήτε μὴν τὸν ἐγγὺς ἂν αὐτοῦ γεγονότα τῷ βίῳ καταλιπεῖν, ἀλλὰ τοὺς λόγους αὐτοὺς εἰς ὕψος ἄραί τε καὶ κοσμῆσαι καὶ βελτίω καὶ περιφανεστέραν δόξαν αὐτοῖς περιθέσθαι.

XXXIII. Quippe si quisquis artem quamlibet de iis quæ ab se inhonoratæ sordidæque habentur perfectissime excoluit, sua ipse laude eamdem paritur cohonestat : quid de te, quæso, nobis dicendum, qui ita omnem sane liberalem artem solus assecutus es, ut nemo alius unam quampiam ? D solus item unamquamque adeo feliciter perdidicisti perfecistique, tum supra alios omnes quæ jam reperta tradebantur exercendo, tum ad hæc plurima et optima adinveniendo pertractandoque, ut inde non modo acriore studio expeti majoreque in pretio has esse disciplinas videamus, sed et si quo casu de medio sublatæ fuissent, de te tuisque scriptis nihilo certe deterius, quam inveniæ olim fuerant denuo ipsas restitui in vitamque revocari potuisse.

ΛΓ'. Εἰ γὰρ ὁ τέχνην ἡντινοῦν τῶν εὐτελῶν τε καὶ φαύλων εἰς ἄκρον κατωρθωκὼς οἷς αὐτὸς ἐπαινεῖται ταύτην σεμνύνει, τί περὶ σοῦ φήσομεν, τοῦ μόνου μὲν ἁπάσης λογικῆς ἐπιστήμης οὕτω μετεσχηκότος, ὡς οὐδενός του τῶν πάντων μιᾶς ; μόνου δ' ἑκάστην οὕτως ἐξησκηκότος τε καὶ κατωῤθωκότος καὶ οἷς ὑπὲρ πάντας τοὺς ἄλλους τοῖς κειμένοις ἐχρήσω, καὶ οἷς πλεῖστα καὶ κάλλιστ' αὐτὸς προσεξεῦρές τε καὶ προσεξειργάσω, ὡς οὐχ ὅσον ἐντεῦθεν αὐτας ζηλωτοτέρας ὁρᾷν καὶ μείζω δεχομένας ἔπαινον ἀλλὰ καὶ εἴ πως ἐκ μέσου ταυτασὶ γεγενῆσθαι ξυνέβη, ἐξ ἄρα σοῦ καὶ τῶν σῶν λόγων, ἀναλαβεῖν ἔχειν ἔτ' αὖθις τῶν εὑρηκότων πρόσθεν οὐχ ἧττον, καὶ κατεστῆσαι πάλιν τῷ βίῳ ;

XXXIV. Quam meam sententiam vel inde rectius quisquam animadvertat. Quippe si et artis

ΛΔ'. Γνοίη δ' ἄν τις ἐκεῖθεν ἀκριβέστερον ὃ λέγω. Εἰ γὰρ ῥητορικῆς τε καὶ φιλοσοφίας ἐξετάσει τὰ εἴδη,

σὲ πάντως παντων ἄκρον εὑρήσει τεχνίτην πολλῷ θαυμαστότερον καὶ καλλίω τῶν ἐξ ἀρχῆς προστατῶν· τῆς μὲν, πρὸς τῷ πρακτικῷ, τό τε θεωρητικὸν καὶ θεολογικὸν καὶ προσέτι διαλεκτικὸν ὑπερφυῶς κεκτημένον· οἷς δὲ ῥητορικὸς ὢν τυγχάνεις, δεινότατον πάντων, νῦν μὲν πανηγυρίζειν, νῦν δὲ συμβουλεύειν, νῦν δὲ θατέρῳ κεχρῆσθαι καὶ εἶναι δικανικόν· ἔστι δ' οὗ καὶ πᾶσι τούτοις ὁμοῦ· μάρτυρες δὲ ἀξιόχρειῳ, οἱ σοὶ μάλιστα λόγοι πᾶσαν τηλικαύτην ἰδέαν δεικνύντες ἐκ περιττοῦ, καὶ πάντας ἐκπλήττοντες καὶ προσέτι πείθοντες, μὴ μόνον σὲ γλῶτταν σοφίας, ἀλλὰ καὶ νοῦν ἁπλῶς ὀνομάζειν παντὸς μᾶλλον Ἀναξαγόρου, ὃν οἱ πρόσθεν νοῦν ἐπικάλουν, διὰ τὸ τοῦ τον οὕτω τοῖς πράγμασιν ἐπιβάλλειν δύνασθαι, ὥσπερ τινὰ λελυμένον σώματος. Ἀλλὰ μὴν ἀστρονομίας πέρι καὶ γεωμετρίας καὶ τῶν ἄλλων τῶν ταυταισὶ ξυνημμένων, ἐκεῖνο λέγω ὅτι καὶ τούτων εἴπερ τις καὶ οὗτος κτησάμενο, ἐπιστήμην, καὶ ὅπως ταῦτ' ἔχει καταμαθὼν, οὐδὲν γὰρ ἀνεπιχείρητον οὐδ' ἀνεξέταστον τῷ σοφῷ, πολλοῦ γε καὶ τοῦ παντὸς ἐδέησε τούτοις πᾶσι κεχρῆσθαι· ἀλλὰ τοῖς μὲν, τοῖς δ' οὔ· ὅσα γὰρ αὐτῶν εἰκότα καὶ ἀναγκαῖα, ταῦτα παρ' ἑαυτῷ κατασχὼν, τἆλλα τοῖς ἄλλοις παρῆκεν, ὡς ὄντα πόρρω τῶν ἱερῶν καὶ τῆς καθ' ἡμᾶς αἱρέσεως· οὐχ ὧν προείλετο θαυμαζόμενος μᾶλλον, ἢ ὧν ὑπερεῖδεν· ἐπεὶ καὶ ἰατρὸς πάντα μὲν οἶδεν ὡσαύτως τά τε λυσιτελοῦντα τῶν φαρμάκων καὶ ἄττα πρὸς βλάβην, ἀλλὰ τῶν μὲν ἀπέχει καθάπαξ ὡς ἄν τις μὴ γνοὺς, ἃ δὲ πρὸς μὲν τῶν καμνόντων ἐστὶ, τῇ νόσῳ δὲ πολεμεῖ, μετὰ δὲ τῆς τέχνης ἵσταται τούτων ὡς οἰκείων ἀντιποιεῖται, καὶ τούτοις προσέχει τὸν νοῦν, ὁμοῦ μὲν ὡς ἐπίσταιτο σώζειν, ὁμοῦ δὲ καὶ ὡς ἑκατέρων εἴη τεχνίτης δεικνὺς, τῷ μὴ τηνάλλως μηδ' εἰκῇ φέρεσθαι, ἀλλ' ἃ προσήκει, ταῦτ' ἐκ παντὸς τρόπου διώκων, ἃ μὴ προσήκει καὶ προσέτι λυμαίνεται, ταῦτα χαίρειν ἐᾷ.

A oratoriæ et philosophiæ partes excutiat, omnium te omnino summum reperiet artificem, longeque mirabilem magis præstantioremque primis ipsis cujusque magistris, quando philosophiæ partes omnes tum activam, tum contemplativam, divinæque item naturæ explicatricem, atque illam præterea quæ disserendi rationem complectitur, pene ultra humani ingenii molum tenebas, rursus qua oratorii ingenii studiique specimen præbes, omnium te solertissimum comperiet, modo in panegyrico, modo in suasorio causarum genere, modo rursus ut et horum alterutrum usurpes, et simul judiciali impetu feraris, aliquando item ut hæc omnia in unum conducas: cujus rei sane quam locupletes testes tuæ orationes sunt, in quibus formas hasce omnes luculentissime expressas videre est, quæ B cum admirationem omnibus movent, tum te non os modo linguamque sapientiæ, sed et mentem simpliciter appellandum esse persuadent. Idque non paulo rectius quam Anaxagoram quempiam, quem hoc veteres nomine vocabant, quod hand aliter in naturas rerum penetraret, quam mens quædam suo exsoluta corpore. De astronomia vero et geometria, cæterisque quæ cum iis cohærent disciplinis, hoc habeo dicere, quod etsi earum, si quis unquam alius, eximie noster peritus erat, quoque illa omnia comparata modo essent compertum habeat, nihil enim vir sapientissimus intactum inexcussumque omisit: procul ille tamen, imo longissime ab eo abfuerit, ut iisdem omnibus postea uteretur; aliis enim usus est, aliis non item nempe C retentis quam maxime probabilibus atque necessariis, cætera aliis, velut a religione sacrisque nostris longius remota, linquebat. In quo non magis ille admirandus ob ea est quæ sibi delegit, quam quæ rejecit: quandoquidem et medicus omnium pariter notitiam medicamentorum habet, tum salutarium, tum pestiferorum; sed his ille quidem perinde abstinet, atque eorum quispiam penitus ignarus; quæ vero ægrotantibus prosunt, et morbo adversantur, artemque adjuvant, illa ut familiaria et sua sibi vindicat, illisque animum advertit certam hoc ipso fidem faciens, quod et ægris medendi peritus, et cæterorum item intelligene artifex existimatorque, sit, dum non frustra, nec temere fertur, nimirum quæ opportuna ac domestica sunt, ea modis omnibus consectans, alienis, eisque noxiis, rejectis.

ΛΕ'. Τὸ μὲν δὴ περὶ τοὺν λόγους αὐτῷ κράτος καὶ τὴν τῆς σοφίας ὑπερβολὴν, καὶ ὡς κάν τούτῳ τῷ μέρει πάντων καθάπαξ ὑπέρκειται, οὐ προσαξίαν οὐδ' ἱκανῶς εἰρῆσθαί μοι δοκῷ, ἀλλ' ὅσον ἐξ ἄρα φαύλων καὶ μικρῶν τῶν ἀκτίνων, τὸ τοῦ ἡλίου λαμπρὸν ἐνδεδεῖχθαι. Ὅτι μὲν γὰρ τοῦθ' οὕτως ἔχει, καὶ τοῦτον ἀμέλει τὸν τρόπον, ἅπαντες ἴσμεν καὶ πάνυ τοι μέγα βοῶμεν· ὁποῖον δ' ἄρα καὶ ὅπως ἔχον ἐστὶν, οὐδ' ἂν εἷς οἶμαι τῶν ἄκρων ἐν λόγοις δύναιτο φάναι, ἀλλ' ἅπασαν λόγων ἰσχὺν ἡ τῶν τούτου λόγων ὑπερβαίνει περιουσία. Καὶ ὥσπερ εἴσω τῆς αὐτοῦ μούσης ἅπαντες πίπτουσι, καὶ ὡς τῶν πάντων οὐδεὶς ἀμφισβητῶν εἴη τῶν ἴσων, οὐδ' ἔτ' ἐσαῦθις ἀμφισβητήσων, οὐ μᾶλλόν γε ἢ καὶ ὁ τὴν αὐτοῦ σκιὰν ὑπερβῆναι σπουδάζων, τὸν αὐτὸν τρόπον καὶ τοῦ λέγειν ὑπὲρ αὐτῆς ταύτης ἔχειν, ἐκπίπτουσι πάντες ὁμοίως.

XXXV. Sic igitur eximiam nostri in arte dicendi præstantiam summamque sapientiam, et D quod hac etiam in parte longo omnes intervallo supervectus est, neutiquam digne nec plene satis exsecutus mihi videor, sed hactenus, ut ex obscuris quibusdam exilibusque radiis fulgentissimus solis splendor utcunque monstretur. Hæc enim hunc omnino ad modum comparata esse omnes equidem exploratum habemus, magnaque voce confirmamus; qualia vero illa, et cujusmodi reapse sint, id vix, ac ne vix quidem, eloquentissimorum aliquis oratorum facile exposuerit. Omnes videlicet eloquentiæ vires excellens orationum nostri artificium exsuperat. Perinde enim ut infra illius musam omnes subsidunt, atque nemo omnium cum illo de palma nunc, aut olim, certare ausit, haud meliore sane spe quam qui suam ipsius umbram saltu trasilire se postulet, eodem utique modo ut nostri facundia, prout meretur, dicant, omnes atque irrito conatu laborant.

XXXVI. Sed tempus nunc tandem fuerit commemorare nostri in patriam reditum, et sim l ostendere, tum quod insito ille erga parentes amore adductus summum gloriæ gradum facile neglexerit, tum quod Athenienses in maximis id omnino posuerint, ut ipsum in omne sibi tempus auctoratum tenerent. Quippe ubi ea quorum causa urbem adiisset, perfectissime hauserat feliciusque quam alius quisquam, nobis cognitus, absolverat, votique sui omnis plane compos factus erat; ita Athenis excedere, et ad domesticum farem redire statuit, quando nihil præterea supererat, quod iis in locis illum detineret. Nam et suorum illum parentum urgebat desiderium et ante id ipsum, itemque post idipsum, jampridem nuncupatum Deo sanctioris vitæ votum, et magna hæcce promissa atque destinata. Surgit igitur et Athenis, illo oratoriæ domicilio, veriesimum ipse artis illius domicilium, abit: atque in patriam ad suos lætus lattantesque revertitur, tanto Atheniensibus, quod eos reliquisset, relicto luctu, quantam allaturus fuerat voluptatem, si apud ipsos manere animum induxisset. Quippe qui omnes adhibebant machinas ad hominem perpetuo tenendum, sophistici professoriique subsellii, summorum item maximorumque honorum auctoramento, quo hos tandem animo fuisse credas illo jam iter suum ingreniente? Quanquam vero ut maneret ab ipso impetrare nequebant, non ideo missum penitus faciebant, verum quibus monstrare modis poterant, hoc ipso, quod hominem apud se non retinuissent, eo maximam sese jacturam, suopte judicio fecisse, eamque ferre vix posse; et hanc tamen sui contemptionem non modo non ægrius sane accipere, sed contra unumquemque identidem hunc nostrum, ut optime de se meritum, spirare nominisque illius commemorationem pro linguæ oblectamento habere, omniaque alia perpeti promptius, quam vel minimum ab usurpatione memoriæ laudumque ipsius digredi, illiud non obscure monstrabant. Hunc itaque in modum cum erga illum animati essent, nihilo ipsum secius apud se retinebant, tametsi hominem ipsum nulla ex parte retinerent, retinebant illum videlicet in pulcherrimo et appositissimo loco, suo ipsorum animo. Id quod haud paulo gloriosius nostro, mea sententia, fuit, quam positæ olim Harmodio atque Aristogitoni statuæ: illæ nimirum in foro publico collocatæ stabant, at noster in animis omnium intimisque sensibus dedicatus erat; illas ævi vetustas consumpsit, noster ævo omni vigens virensque persistit, non sine summa admiratione sermonibus mortalium usurpatus auditusque, perinde ut maxima Athenieusium tropæa, Marathon, et Salamis, et nobile Artemisium. Proinde absens etiam tanto Atheniensibus studio colebatur, ut unus singulari modo, supraque præstantissimos quosque admirabilis haberetur, omniumque in ore ut longe omnium princeps esset. Præterea ita addicti absenti erant adhærebantque, sic uniceque de illius gratiis pendebant, ut non modo velut cum ipso præsente agere viderentur, eumque intueri, et cum

ΛΣ'. Καιρὸς δ' ἂν εἴη λοιπὸν, καὶ τῆς πρὸς τὴν πατρίδα τούτῳ καθόδου μνησθῆναι. καὶ δεῖξαι τὸν μὲν, διὰ τὴν πρὸς τοὺς γεγεννηκότας στοργὴν, δόξης τῆς μεγίστης ὑπεριδόντα, Ἀθηναίους δὲ τὸ τοῦτον εἰσάπαν κεκτῆσθαι, τοῦ παντὸς τιμωμένους. Ὡς γὰρ ὧν εἵνεκ' ἀφῖκτο, ταῦτ' εἰς ἄκρον ἀσκήσας, καὶ ὡς οὐκ οἶδ' εἴ τις κατωρθωκὼς, καὶ τῆς ἐφέσεως ἁπάσης τυχὼν, ἔπειτ' ἀναχωρεῖν Ἀθήνηθεν ἔγνω καὶ πρὸς τὰ οἴκοι χωρεῖν, ἑνὸς οὐδενὸς ἔτ' ὄντος, ὃ τοῦτον ἐνταῦθα καθέξει· ὅ τε γὰρ τῶν τοκέων κατήπειγε πόθος, καὶ πρὸ τούτου καὶ μετὰ τοῦτον αἱ πρὸς Θεὸν ἐξ ἀρχῆς ὑπὲρ φιλοσοφίας ξυνθῆκαι, καὶ τα μεγάλα ταῦτ' ἐπαγγέλματα καὶ βουλεύματα, ἀπανίσταται μὲν Ἀθηνῶν καὶ τῆς τῶν λόγων ἑστίας, ἡ τῶν λόγων ὄντως ἑστία· πρὸς δὲ τὴν πατρίδα καὶ τοὺς οἰκείους χαίρων χαίροντας ἐπανήκει· τοσοῦτον Ἀθηναίοις ὅτι τούτους ἀπέλιπε πένθος καταλιπὼν, ὅσην εἰ παρ' αὐτοῖς μένειν ἠρεῖτο παρέσχεν ἂν ἡδονήν. Οἱ γὰρ ὅπως τοῦτον εἰς τέλος κατάσχοιεν πάντα ποιοῦντες, καὶ τοῦτο μὲν, τὸν σοφιστικὸν καὶ παιδευτικὸν αὐτῷ θρονον, τοῦτο δὲ τὰς πρώτας καὶ μεγίστας διδόντες τιμὰς, πῶς ποτ' αὐτοὺς διατεθεῖσθαι νομίζεις ἀναχωροῦντος ἐκείνου; Οὐ μὴν οἷς πεῖσαι οὐκ ἴσχυσαν καὶ τούτου καθάπαξ ἀπέστησαν· ἀλλ' οἷς ἔσχον ὅτι μὴ παρ' ἑαυτοῖς τοῦτον κατέσχον, ὡς τῶν μεγιστων ἀποστερεῖσθαι νομίζειν, καὶ μὴ δύνασθαι φέρειν, καὶ μὴ μόνον δυσχερῶς ὑπερφρονούμενοι σχεῖν, ἀλλὰ καὶ τοῦτον ὡς εὐεργέτην ἑκάστοτε πνεῖν, καὶ γλώττης τρυφὴν ποιεῖσθαι τὰ τοῦδε· καὶ πάντα παθεῖν ἔχειν ἑτοίμως, ἢ τῆς αὐτοῦ μνήμης καὶ τῶν ἐπαίνων καὶ μικρὸν ἀποστῆναι· δηλοῦσι δήπου σαφῶς καὶ οἷς οὕτως ἔσχον, οὐδὲν ἧττον κατέσχον, καὶ μηδὲ αὐτὸν κατασχόντες· ἐν γὰρ καλλίστῳ καὶ καιριωτάτῳ τῇ σφῶν διανοίᾳ τοῦτον κατέσχον· Ὃ καὶ μεῖζον εἰς φιλοτιμίαν ἔγωγε τούτῳ νομίζω, ἢ Ἁρμοδίῳ καὶ Ἀριστογείτονι τὰς εἰκόνας, εἴπερ αἱ μὲν ἐπ' ἀγορᾶς σφίσιν ἑστᾶσιν, ὁ δ' ἐν ταῖς ἁπάντων ἵδρυται ψυχαῖς καὶ ταῖς γνώμαις· καὶ νὰς μὲν ἀνεῖλετ ὁ χρόνος· ὁ δὲ κατὰ παντὸς ἀκμάζων ἕστηκε γρόνου, λεγόμενός τε καὶ ἀκουόμενος σὺν ὅτι μάλιστα τῇ ἐκπλήξει· καθάπερ τὰ μέγιστ' αὐτοῖς τῶν τροπαίων. Μαρπθών τε καὶ Σαλαμὶς, καὶ τὸ καλὸν Ἀρτεμίσιον. Ὁ μὲν οὖν καὶ ἀπὼν, Ἀθηναίοις οὕτω περισπούδαστος ἦν, ὡς διαφερόντως καὶ πάντας θαυμαζεσθαι τοὺς ἀρίστους, κἀν τοῖς ἁπάντων ὡς προὔχων ἁπάντων στόμασιν εἶναι. Καὶ πάλιν ἀπόντος οὗτοι τοσοῦτον εἶχοντό τε καὶ περιεἶχοντο, καὶ τῶν αὐτοῦ καθάπαξ χαρίτων ἐξείχοντο, ὡς μὴ μόνον ὡς παρόντι τούτῳ ξυνεῖναι δοκεῖν καὶ ὁρᾷν καὶ κεχρῆσθαι, ἀλλὰ καὶ μονονοὺ τὴν ψυχὴν ἐν τοῖς ὑπὲρ αὐτοῦ λόγοις ἐκχεῖν, καὶ τούτῳ ζῆν μᾶλλον ἢ σφίσιν αὐτοῖς· ἐπεὶ καὶ ψυχή τις αὐτῶν ὡς εἰπεῖν ἐδόκει παρῶν· τοὺς μὲν προσάγων καὶ ξυνιστὰς τῷ Θεῷ· τοὺς δ' ἐπιβεβαιῶν καὶ στηρίζων καὶ ἀκλονήτους καθάπαξ τιθείς· καὶ ἁπλῶς καὶ τούτους κἀκείνους θείαις ὑποθήκαις καὶ δόγμασι συνάγων καὶ συγκροτῶν, καὶ τὴν ἀληθινὴν καὶ μόνην ζωὴν ζῆν τούτους παρασκευάζων.

illo conversari, sed et animam pene ipsam in suis de illo sermonibus effunderent, illique magis quam sibimet ipsis viverent, quandoquidem dum præsens adhuc erat, velut anima quædam ipsorum fuerat : dum ex iis partim Deo edducit ac conciliat, partim in pietate confirmat stabilitque, et penitus concussos reddit, tum simpliciter hos pariter illosque divinis monitis præceptisque conjungit ac instruit, et ad veram illam unicamque vitam condocefacit.

ΛΖ'. Οὕτω δὲ ἐπανήκων, πρῶτα μὲν τοῦ θείου καὶ ἱεροῦ, καὶ πάντων ἡμᾶς τῶν κακῶν ἐξάντεις ποιοῦντος, καὶ πᾶσαν πλημμελημάτων κηλῖδα καθάπαξ ἐκπλύνοντος, Θεῷ δὲ συνιστάντος, βαπτίσματος ἀξιοῦται, καὶ τὴν τοῦ λουτροῦ δέχεται χάριν, ὁ καὶ πρὶν οὐδὲν ἧττον ταύτης ἠξιωμένος · οἷς οὖν κατειλήφει τὰ οἴκοι καὶ μετὰ τῶν τεκόντων γέγονε, χάριν εἰδὼς τῷ Θεῷ · οἷς τοῦ μεγίστου πάντων μετέσχε, καὶ τὰ μεγάλα μεμύηται καὶ τῶν τὰ θεῖα κατάπαξ ἀπηρτισμένων ὑπῆρξε, πολλῷ μείζω τούτῳ καὶ πολλαπλασίω ταύτην ὡς εἰκὸς ἀπεδίδου, ὅσῳ καὶ μεῖζον ἐνταῦθα τὸ εὖ πεπονθέναι, καὶ περιφανεστέθας ἀφορμὰς ἔσχε τὸ γάννος. Ἔπειτ' ἐντεῦθεν ὅρον αὐτῷ τίθησιν, ὃς τοῖς πολλοῖς οὐκ ἀμίμητος μόνον, ἀλλὰ καὶ πᾶσιν ἀνέφικτος ὡς εἰπεῖν, μητ' αὐτὸς κἂν ᾖ πᾶσα ἀνάγκη, ὅρκῳ χρήσασθαι διὰ βίου παντὸς, μήτε τοὺς ἄλλους ἐπὶ τοῦτο προτρέψαι · τὸ γὰρ πρὸς ὅρκους ἑτοίμως χωρεῖν ἐθέλειν, εἰς ἐπιορκίαν κατ' αὐτὸν τοῦτον ἐξάγει, ἣν οὐκ ἀθέτησιν Θεοῦ μόνον, ἀλλὰ καὶ ὕβριν, ὡς ἐγώ τε καὶ πάντες ἂν οἶμαι συμφαῖεν · ὃν καὶ εἰς τέλος οὕτως ἐφύλαξεν, ὥσπερ ἂν εἰ καὶ κατ' ἀρχὰς ὠμωπόκει φυλάξειν.

A XXXVII. Ubi in patriam noster hoc modo revertit, primum sanctissimo divini baptismatis sacramento, quod a malis omnibus immunes nos efficit, et omnem delictorum labem penitus eluit Deoque conciliat initiari merebatur; et lavacri illius gratiam adeptus est, qua etiam antea nihilominus exornatus erat; quapropter ut eam ob rem quod larem familiarem iterum videret, parentibusque suis redditus esset grates Deo debitas agebat; ita quod rei omnium maximæ particeps factus, et magnis fidei mysteriis initiatus et ex eorum jam numero esset qui sacras religionis cæremonias perfecte explessent multo majorem Deo, eamque multiplicem, ut par erat, referebat gratiam, quanto utique majus erat hoc ornatum esse beneficio, B quantoque illustriores causas hoc habebat gaudium. Mox deinceps certam sibi vivendi legem statuit, vulgo mortalium non inimitabilem modo, sed omnibus etiam, prope dixerim, inaccessam, ut nec ipse nimirum toto vitæ suæ spatio, quantalibet urgente necessitate, jusjurandum usurparet, neque alii, jurandi auctor fieret; nam ad dejerandum promptius prorumpere, id ex nostri sententia (1), ad pejerationem adducit, quam uno mecum omnes ore, non solum rejectionem Dei, sed et contumeliam appellaturos arbitror. Atque hanc ille legem ad supremum usque vitæ diem ita religiose servavit, quasi principio ad illam servandam jurejurando sese astrinxisset.

ΛΗ'. Οἱ μὲν οὖν πατέρες αὐτῷ, μάλιστα μὲν καὶ γήρᾳ καὶ χρόνῳ καὶ νόσῳ καὶ τοῖς ἐκεῖθεν δεινοῖς, οὐκ ἧκιστα δὲ καὶ παιδὸς ἀπουσίᾳ, παιδὸς οἷον οὐδένα, οὔτ' αὐτοὶ δήπουθεν ἔσχον, οὔτε σχεδὸν τῶν πάντων οὐδένες, τούτους τοίνυν οἷς ἔφην ἀπειρηκότας, καὶ πρὸς τὸ μηδὲν ὡς εἰπεῖν ἤδη χωροῦντας, οὕτως ἐπιφανεὶς ἐπέῤῥωσε καὶ κρείττους εἰργάσατο σφῶν αὐτῶν, ὡς εἰς ἀκμάζοντας δόξαι τελεῖν, οἷόν τι μένος κατὰ τὸ ἔπος τούτοις ἐμπεπνευκώς, καθάπερ ποτὲ ψυχὴν ὁ Θεσβίτης τῷ τῆς Σαραφθίας υἱεῖ. Τούτους μὲν οὕτως ἔχοντας οὕτω παρεσκεύακεν ἔχειν, καὶ νέους ἀντὶ πρεσβυτέρων τοῦτον εἶναι τὸν τρόπον, ὥσπερ ἐπιλελησμένους ὅτι περ ἦσαν τοιοῦτοι.

XXXVIII. Porro parentes nostri, maxime illos quidem et affecta ætate, et spatio temporis, et ægra valetudine, et ortis inde incommodis, neque minus tamen longa filii absentia, filii autem illiusmodi, qualem nec ipsi videlicet alium habebant, neque alii omnium fere hominum ulli; his illos, inquam, C jam confectos, ad nihilumque propemodum redactos, eum ille admodum conspectus recreabat, seque ipsis valentiores efficiebat, ut ætate virentibus quodammodo accensendi viderentur, quasi si novam vim vigoremque, ut poetæ loquuntur, illis inspiravisset, perinde ut animam olim Saraphtiæ mulieris filio reddebat vates Thesbites [18]. Hos equidem ita antea affectos ita mox ille reficiebat, atque ut juvenes hoc modo ex senibus facti veluti obliviscerentur qua essent ætate efficiebat.

ΛΘ'. Ἥ γε μὴν πατρὶς, ἀλλὰ καὶ ταύτην τίς οὐκ ἂν ἀγασθείη, οὐ τοῦ πρὸς αὐτὸν ἁπλῶς διατεθεμένου, εὖ τοῦτο λέγω · μαρτυρεῖται γὰρ τοῦτο πᾶσαις ταῖς ψήφοις ἐξ ἅρα τῶν ἁπανταχοῦ πάντων διαφερόντως θαυμαζόντων τε καὶ κροτούντων καὶ οἰκειουμένων τὰ τοῦδε, ἀλλ' οἷς ἐχρήσαντο περὶ τὴν κάθοδον τοῦδε. Οὕτω γὰρ πάντες ἐπανήκοντος ἔσχον, καὶ τοσαύτης καὶ τηλικαύτης ἐπειδὰν τοῦτον εἶδον ἐπλήσθησαν ἡδονῆς καὶ βακχείας, ὥστ' εἰ καὶ σφό-

XXXIX. Cæterum quod ad patriam attinet, quis non et illam merito suspiciat, non ob singularem modo erga nostrum benevolentiam, de qua nunc non loquor, hæc enim calculis omnibus punctisque inde profecto testatissima est, quod ingenti supra D alios omnes, omnibusque in rebus, admiratione atque applausu omnia nostri ut sua ac propria complectebantur, sed ob ea potissimum quæ sub reditum illius usurpata fuere; sic enim tum omnes

[18] I Reg. XVII, 22.

(1) Orat. 2 in Pascha, q. 688.

affici animis tantaque ac tali ex illius conspectu jucunditate gestientique exsultatione perfundi, ut tametsi summo id quispiam studio agat, vix idoneis tamen rem verbis unquam exprimat, ea lætitiæ illius magnitudo erat, esse continendi impotentia. Quanquam quid hoc est quod dico ego? in tantum enim cives suos vel solo aspectu cepit, popularisque cujusdam ducis in morem sibi devinxit, ut non supinis modo quod aiunt, manibus, verum toto penitus pectore ac animo, et quidquid unquam nominari potest, illum reciperent, deducentes in publico, concelebrantes, concinentes, quidve porro indictum infectumque omittentes? imo vero cum omnia et dicerent et facerent, nullam se tamen meritorum illius partem consequi existimantes. Nec enim quem dudum cognitum habebant oculis se suis cernere, sed quem cernebant cœlo in terras delapsum suæ ipsorum felicitatis causa adventare credebant: quam ob rem etiam supra quam natura erat mortalium, hominem colebant observabantque. Tametsi vir maximus altioraque humano captu animo agitans, quippe mortale fastigium egressus, et humanis idem majoribus ornatus virtutibus, acclamationes hominum ac plausus, ac reliquam id genus popularium laudum coacervationem, nullo admodum numero ducebat; meras nimirum nugas, viliumque animarum, et qua pertinacius ad terram adhærescunt, seque suaque nobilitate indignarum, pabula et illecebras hæc ipsa esse ratus; cæterum quæ ad cœlum ducunt studia rerumque cœlestium non participes solum homines, sed divos item prope dicam ex hominibus officere queunt: hæc perpetua nostro cura commentatioque fuere, his addictus unice erat, in his ætatem agebat, nempe laudari ille, non pro beato prædicari studebat, quorum hoc ob externa quædam bona usurpari, rursus laudem ob illa tribui quæ ex virtute acta sunt, inter omnes convenit. Sed hæc hactenus.

XL. Cæterum dum in his vir summus erat, flagrantibusque suorum omnium studiis colebatur, ubi debita pietatis officia parentibus et patriæ cumulatissime explerat, interea religiosi otii secessusque desiderium vehementius se insinuat: vetus illud sane, et quod jam olim hominem complexum penitus insederat, nec vel tantillum recesserat, verum præ immenso ac incredibili eloquentiæ velut furore, qui in animo nostri prævalidus, ut ipso posteriora omnia ducerentur efficiebat, neque aliud interea quidquam attingi suscipique sinebat, in rem ipsam antea deduci nequitum. Ut vero in hæc dicendi ratione plurimum, idque adeo singulariter profecerat, ut nec artem ipsam humano corpore indutam pulchrius aliquod sui specimen daturam, nec quid ipsa omnino sit, quove comparata modo, clarius monstraturam crediderim: et jam aliquando cæteris omnibus expeditum, quam tandiu tantoque concupierat opere, frui quiete, et ipsum sibi vivere, qui nunquam non sibi vixerat, oportebat; quid hic tandem homo facere institit? Nimirum continuo, leonis catenas suas dirumpentis modo, tum parentes ipsos missos facere, tum propin-

A δρα βούλοιτό τις, οὐκ ἐνδεδεῖχθαι τουτὶ δεδυνῆσθαι· τοσαύτη τις ἦν ἡ περιουσία τοῦ γάννους, καὶ τοῦ μὴ σφᾶς αὐτοὺς ἔχειν κατέχειν. Καίτοι τί λέγως τοσοῦτο γὰρ αὐτοὺς εἶλε καὶ καταδεδημαγωγήκει μόνῃ τῇ θέᾳ, ὥσθ' οὐχ ὅσον ὑπτίαις χερσὶ τὸ τοῦ λόγου, ἀλλὰ καὶ πάσῃ ψυχῇ τε καὶ γνώμῃ, καὶ ὅ τι ἂν εἴποι τις τοῦτον προσέσθαι· δημοσίᾳ προπέμποντες, κηρύττοντες, παιανίζοντες, τί μὲν οὐ λέγοντες, τί δὲ οὐ ποιοῦντες, μᾶλλον δὲ πάντα μὲν λέγοντες καὶ ποιοῦντες, οὐδὲν δέ τῶν εἰκότων ἀποδιδόναι νομίζοντες. Οὐ γὰρ ὃν ᾔδεσαν ἐδόκουν ὁρᾷς, ἀλλ' ὃν ἐώρων, οὐρανόθεν εἰς γῆν ἥκειν ἐδόκουν ἐπ' εὐδαιμονίᾳ τῇ σφῶν· καὶ διατοῦτο μεῖζον ἢ κατ' ἀνθρώπους τούτῳ προσεῖχον, εἰ καὶ μεῖζον ἢ κατ' ἀνθρώπους ὁ μέγας φρονῶν, ἅτε μείζων ἢ κατ'
B ἀνθρώπους ὤν· τῷ μείζοσιν ἢ κατ' ἀνθρώπους ἀρεταῖς κεκοσμῆσθαι, τὰς μὲν ἐκβοήσεις ἐκείνων καὶ κρότους καὶ τὴν τοιαύτην τοῦ δήμου συντέλειαν, οὐδενός τινος ἠξίου τοῦ λόγου, φληναφον ἀτεχνῶς ταῦτα νομίζων· καὶ ψυχῶν ἀγεννῶν δελεάσματα, καὶ οἷς πρὸς γῆν ἔχουσι σφῶν αὐτῶν, καὶ τοῦ κατ' αὐτὰς ἀναξίων· ἃ δὲ εἰς Ὄλυμπον φέρει καὶ τῶν Ὀλύμπου πραγμάτων μὴ ὅτι κοινωνοὺς τοὺς ἀνθρώπους, ἀλλὰ καὶ θεοὺς ἐξ ἀνθρώπων ὡς εἰπεῖν οἵδε ποιεῖν, ταῦτ' ἦν αὐτῷ διηνεκὴς φροντὶς, καὶ μελέτη· καὶ τούτων ἐξείχετο, καὶ τούτοις συνέζη, ἐπαινεῖσθαι γὰρ οὐ μακαρίζεσθαι ἤλεθε, τοῦ μὲν ἐπὶ τοῖς ἐκτὸς γιγνομένου, ἐπὶ δὲ τοῖς κατ' ἀρετὴν τὸν ἔπαινον ἴσμεν. Εἶεν.

C Μ'. Οὕτω δ' ἔχοντι καὶ παρὰ πάντων τῷ γενναίῳ θαυμαζομένῳ, καὶ τὸ εἰκὸς τοῖς τε γονεῦσι τῇ τε πατρίδι παντάπασιν ἀφοσιωσαμένῳ, σφοδρότερον ὁ τῆς ἡσυχίας καὶ ἀναχωρήσεως ἔρως ἐμπίπτει· ἄνωθεν μὲν καὶ ἐξαρχῆς τοῦτον ἔχων τε καὶ συνέχων, καὶ οὐδ' ὁπωστιοῦν ἀφιστάμενος, ὑπὸ δὲ τῆς ἀτόπου καὶ θαυμασκῆς τῶν λόγων μανίας εἰς ἔργον ἥκει εἰργόμενος, κατακρατούσης τὸν λογισμὸν, καὶ πάντα δεύτερ' αὐτῆς ποιουμένης καὶ οὐκ ἐώσης ἑτέρου δήτινος ἅπτεσθαι· ὡς δ' οἱ μὲν, ἐπιτοσοῦτον αὐτῷ κατώρθωντο, καὶ οὕτως ὑπερφυῶς, ὡς μηδ' ἂν οἶμαι ταυτηνὶ τὴν σοφίαν σῶμα λαβοῦσαν κάλλιον τὰ αὐτῆς ἐνδεδεῖχθαι, καὶ ὅτι ποτ' εἴη, καὶ ὅπως ἔχει· οὐ μᾶλλον ποιῆσαι καταφανὲς. Ἔδει δὲ πάντων ἀφειμένον τῶν ἄλλων, ἧς ἐξ ἀρχῆς ἦρα σχολῆς
D ἀπολαῦσαι, καὶ καθ' ἑαυτὸν γεγονέναι, ὃ τὸν ἐπὶ χρόνον καθ' ἑαυτὸν ὢν, τί ποιεῖ; Εὐθὺς ὥσπερ λύων τὸν δεσμὸν ἀποῤῥήξας, ὑπερφρονεῖ μὲν πατέρων, καταφρονεῖ δὲ ξυγγενῶν καὶ οἰκείων καὶ φίλων, καὶ οὔτι γῆρας ἐκείνων ἢ νόσον ὑπολογισάμενος ὅλως, (1) ἀλλὰ πάντων ἀνώτερος γεγονὼς, ὅλῃ γνώμῃ καὶ ὅλῳ ποδὶ πρὸς τὴν ἡσυχίαν χωρεῖ, τὴν τῆς φιλοσοφίας μητέρα, καὶ δυοῖν τῶν προῤῥόμων παιδαγωγὸ·

(1) Deest alterum membrum.

ὡς ἂν εἴποι τις καὶ τροφὸν, ἐφ' ᾧ θεῷ τὲ καὶ ἑαυτῷ καταμόνας ἔχειν ξυνεῖναι.

A quos et familiares et amicos negligere, nihilque admodum sive senio illorum fractaque valetudine commoveri, sed his omnibus superior, toto animo, totoque gradu, ad quietem sacratioris philosophiæ parentem, duorumque præcursorum, ut sit loquamur, magistram et nutricem, se confert, scilicet ut cum Deo et secum in solitudine rectius vivere posset.

ΜΑ'. Καὶ τοίνυν πρῶτα μὲν ἁπάσης γεώδους καὶ ὑλικῆς, προσπαθείας παντάπασιν ἀποσχὼν, καὶ πάντυθεν συνεσταλκὼς ἑαυτὸν, οὕτω φιλοσοφεῖν ᾤετο δεῖν, καὶ πρὸς τὰς τῆς φύσεως ἀνάγκας ὑπερφυῶς ἀπομάχεσθαι, τοῦτο μὲν νηστείας καὶ ἀγρυπνίαις, τοῦτο δὲ δυσχερείαις ἁπάσαις ὑπὲρ τὸ μέτρον διδοὺς, καὶ τὸ σῶμα ταλαιπωρῶν καὶ δουλαγωγῶν καὶ κατατρύχων, καὶ πάντ' εἰκειν καταναγκάζων τῷ κρείττονι, ὡς καὶ σώματος ἔξω δοκεῖν μετὰ σώματος, καὶ τὸν ἄνθρωπον ὑπερβαίνειν. Ἔπειτα μόνῃ τῇ κατὰ νοῦν ἐνεργείᾳ συντεταχὼς ἑαυτὸν, οὕτω τροδρότερον καὶ σπουδαιότερον ἀντέσχε τὰ τοῦ [*f.* ἀντέσχετο τοῦ] Θεοῦ, ὡς ἐν τούτῳ κατὰ τὸν Παῦλον, « καὶ ζῆν καὶ κινεῖσθαι καὶ εἶναι, » καὶ χαίρειν μὲν ἑαυτὸν [*num.* ἑαυτῷ ?] καθάπαξ ἐᾷν, χαίρειν δὲ τῷ Χριστῷ μηδὲν ἧττον ἢ ἀναπνεῖν. Κόσμῳ γὰρ καὶ τοῖς κόσμου πράγμασι παντάπασι νεκρωθεὶς, ὡς μηδ' ὅτι ποτ' εἶεν ἐθέλειν μεμνῆσθαι, ὁ δὲ τὴν ἐν Χριστῷ κεκρυμμένην ἕξη ζωὴν, δι' αὐτοῦ τῶν αὐτοῦ καλαπολαύων χαρίτων, καὶ τούτοις [*an* ταύταις ?] ἐντρυφῶν ὅσαι ὧραι, θεὸν καθόσον ἐφικτὸν ὁρῶν τε καὶ φανταζόμενος, καὶ πᾶσαν δυσχέρειαν ἐντεῦθεν ἀποκρουόμενος.

XLI. Principio itaque omni terrestri ac materiali perturbationi penitus temperans, vitæque suæ modum quam a tissimum contractissimumque sibi sanciens, hoc pacto rigidioris disciplinæ institutum amplectendum, naturæque ipsius necessitatibus, pene supra quam natura patitur, obnitendum sibi duxit; nimirum dum partim inediæ ac vigiliis, partim reliquis id genus afflictationibus nimis sese dedit, corpusculumque varie excrucial, atque durissima servitute edomat, ærumnisque voluntariis B conficit, et parti meliori per omnia obtemperare cogit, ita ut cum corpore adhuc incedens, eodem exsolutus, humanamque supergressus sortem merito videretur. Deinde item uni secundum mentem agendi rationi addictus, ardentissimo studio Deum et divina complectebatur, ut in illo plane, ex sententia Pauli [13], « Et viveret, et moveretur, et esset; » et se quidem ipso penitus neglecto, unice in Christo non minus lætaretur, quam spiritum ipsum duceret. mundo scilicet et mundanis omnibus sine ulla exceptione ita defunctus, ut ne quid hæc essent amplius in memoriam sibi revocare sustineret, « absconditam illam in Christo vitam » vivebat [14]. Christi nimirum ope gratiis Christi perfruens, in eisque suavissimas animi delictas omni temporis puncto percipiens, et Deum ipsum, quantum poterat, intuens, sibique præsentem proponens, atque hoc ipso adversa ac molesta omnia profligans.

ΜΒ'. Εἰ τοίνυν ἐκ μὲν τοῦ σχολὴν ἄγειν ὡς δεῖ, τοσαύτη τίς ἐστι Θεοῦ κατοχὴ, σχολὴν δὲ οὐκ ἄλλως ἔνι γενέσθαι, μὴ πάντων ὑπεροψίας ὑποὺσης, σπουδαστέα παντὸς μᾶλλον αὕτη ἂν εἴη τοῖς φιλοσοφεῖν αἱρουμένοις, εἴπερ ὧν βούλονται τυχεῖν ὄντως βούλονται. Ταύτης γὰρ ὥσπερ κρηπῖδος ἢ ῥίζης ὑποκειμένης τῆς τῶν πραγμάτων πέδης ὁ νοῦς ὡς εἰκὸς ἐκλυθεὶς καὶ γεγυνὼς ἑαυτοῦ, ἀναπεμπάζεται μὲν τὴν πρόσθεν εὐδαιμονίαν, καὶ οἷος ὢν, οἷος ἄρα κατέστη, ἀναμαχέσασθαι δὲ ταυτηνὶ τὴν ἧτταν ὥσπερ ἐθέλων καὶ ὅπερ ἦν γεγενῆσθαι, καὶ πρὸς ἑαυτὸν ἐπανήκειν, πάντα ποιεῖ καὶ πᾶσιν οἷς ἔξεστι χρῆται, ἐφ' ᾧ τοῦ μὲν πρὸς Θεοῦ φωτισθέντος, τῆς δὲ ψυχῆς καθαρθείσης, καθαγνισθέντος δὲ καὶ τοῦ σώματος, συνδρομή τις ἔσται δυοῖν τῶν ἐσχάτων, πρὸς ἓν τὸ πρῶτον καὶ τρίτον μεταστοιχειωθέντων ἑκατέρων πρὸς τοῦτο γνωμικῇ προαιρέσει, ὡς ἐκ τῆς τοιαύτης οἰκονομίας καὶ συγκράσεως καὶ προσέτ' ἀκλινοῦς τε καὶ παντελοῦς ἀπροσεξίας τῶν κάτω, ἓν τὰ τρία γεγενημένα, τῷ μοναδικῷ καὶ τρισηλίῳ συνῆφθαι Θεῷ. Οὕτω δὲ οὐ σαρκικὸς οὐδὲ ψυχικὸς, ἀλλὰ πνευματικὸς ὅλος ὁ ἄνθρωπος γεγονὼς, καὶ τὸ ἐν αὐτῷ θεῖον ἀνάγων εὖ μάλα πρὸς τὸ πρωτόγονον θεῖον κατὰ τὸν ἐξ Αἰγύπτου Πλωτῖνον, χαίρει μὲν ὡς εἰκὸς, οἷς ὄθεν οὐ καλῶς ἐκβεβήκει, ἐνταῦθα καλῶς ἐπανήκει, γνωρίζων τε τὴν οἰκείαν

C XLII. Proinde si de pie religioseque acto otio sanctissima hæcce divini numinis commercia existunt, nec parari aliter hoc otium, quam omnium rerum humanarum despicientia potest, utique ante cætera in id studiosissime iis incumbendum, qui sanctius vivendi consilium cepere, si modo quæ consequi cupiunt, bona fide cupiunt; hujusmodi enim otio, tanquam fundamento aut radice, substrato, continuo rerum externarum pedicis, ut est verisimile, soluta mens, sibique reddita, pristinam secum reputat beatitudinem, et qualis ipsa olim cum fuerit, qualis nunc evaserit. Quam sarcire cladem, denuoque quod fuerat fieri, ad seque redire parans, nihil non molitur, nihilque, quantum licet, inexpertum omittit; ut tum mente ipsa divinitus D illuminata, tum expiata anima, corporeque puro et casto reddito, duo extrema hoc pacto in unum, quod primum idemque tertium est, conveniant, transformato nimirum in illud unum, per firmam animi inductionem utroque extremorum, ita ut ex hujuscemodi œconomia ac temperatione, immotaque præterea et perfecta rerum terrestrium negligentia, tria illa unum facta, unico et ex ternis velut solibus coalito, Deo conjungantur. Hoc igitur modo non carnalis, non animalis, verum omni ex parte spiritualis homo factus, et « quod in ipso divinum

[13] Act. xvii, 28. [14] Coloss. iii, 3.

est ad primigeniam divinitatem penitus evehens. » A ex sententia Plotini philosophi Ægyptii (1), haud abs re sane eo nomine lætatur, quod unde male excesserat, illuc recte redit, suæ nempe nobilitatis sibi jam conscius, quidve a natura creatus sit, tum vero item gaudet (2), vera inde gaudia sese cepisse, quod queis prius inaniter lætabatur, eadem postmodum ut inconsulte improbeque acta graviter dolere cœperit. Atque hæc hactenus.

εὐγένειαν, καὶ ὃ πέφυκε, χαίρει δὲ καὶ οἷς χαίρειν ἔσχεν, ἐφ' οἷς χαίρειν ἔχων τοπρόσθεν, ἔπειτ' ἀλγεῖν δι' ὧν ἠγνωμόνησεν ἔσχε. Καὶ ταῦτα μὲν ἐς τοσοῦτον.

XLIII. Verumenimvero denuo ad religiosæ quietis commemorationem sermo mihi flectendus, illique sua vindicanda dignitas est, qua summo vir maximus opere fruens, maximo hæc duo in pretio habebat, illisque potissimum studebat : scilicet tum sacrorum ac divinitus inspiratorum voluminum lectioni acerrimo studio sese dabat, indidemque quidquid præcipuum erat in sanctiore animi ærario coactum conditumque habebat, ita ut in proclivi B ipsi esset partim divina mysteria anquisitius enucleatiusque tractare, et quantum mortali datum est, in altissimas ejus generis contemplatione, penetrare, partim etiam iis qui pestilentissimas opiniones disseminare audebant, divinamque naturam ore sacrilego lacerabant, os penitus occludere pudoremque incutere, et eorum dogmata germanas nugas esse convincere. Tum vero præterea cuncta religiosorum exercitiorum genera velut unum aliquod obibat, adeoque perfecte eorum quodlibet, ut ejus unius rationem habere videretur : quippe hos secundum Deum sudores pro pignore regni cœlestis ducens, simul item insidiosæ carnis sensum passionibus suis æstuantem comprimere, contra verosensum spiritus attollere studens, usque adeo in re C sibi connitendum statuebat, ut hujusmodi labores pro otiosa remissione, præmiisque laborum verios quam laboribus, haberet. : satis videlicet gnarus quorsum illi ducant, tum quæ ac qualia ex sese edant bona. Ita sane non laborare noster duntaxat, sed et in iis maxime laborare, in quibus maxime oportet, norat. Callebat enim ille eximie, nec scio an æque alius quisquam, motus animi, cordisque cogitationes, et quæ ipsa ex se mens profert accurate examinare, et animadvertere, exactaque quadam trutina dijudicare, ut alia horum probaret, alia non item. Adhæc adversus mali item vejovis machinamenta et laqueos et artes ita scienter prorsus ac dextre occurrere promptum habebat, ut D eadem ipsa in caput illius rectissime retorqueret, in nihilumque omnia redigeret, qui principio quidem a dextra, suetisque sibi rebus, hominem aggreditur, postremo vero ad ultimas lævæ partes contendit, et per voluptates exitium nobis accelerat : nimirum lubrico voluptatum lævore mortalibus imponens, quæ fugere oportebat persequendi ; rursus quæ ut optima ac saluberrima contento studio complectenda erant, ea pro freto Siculo habendi, auctor illis esse solet.

ΜΓ'. Ἐπαναχτέον δέ μοι τὸν λόγον αὖθις ἐπὶ τὴν ἡσυχίαν, καὶ τὰ πρεσβεῖα φυλακτέον αὐτῇ· ἧς κατακρας ἀπολαύων ὁ μέγας, ἄμφω ταῦτα περὶ παντὸς ἐποιεῖτο, καὶ τούτοις προσεῖχε τὸν νοῦν, τῷ τε τὰς ἱερὰς καὶ θεοπνεύστους τῶν βίβλων ἐπιμελῶς ἐπιέναι, κἀντεῦθεν πᾶν ὅτι κράτιστον τοῖς τῆς διανοίας θησαυροῖς συνηχέναι ὡς ἂν ῥᾷστ' ἔχῃ, τοῦτο μὲν τὰ θεῖα περιεργάζεσθαι πράγματα, καὶ θεωριῶν ὅσον ἔξεστιν ἅπτεσθαι τῶν μεγίστων· τοῦτο δὲ τοὺς τολμητὰς τῶν κακίστων καὶ ὑβριστὰς τῆς θεότητος ἐπιστομίζειν εὖ μάλα καὶ καταισχύνειν, καὶ φληνάφους ἀτεχνῶς τἀκείνων δεικνύναι· τῷ τε πᾶν εἶδος ἀσκήσεως ὡς ἓν μετιέναι, καὶ οὕτως εἰς ἄκρον ἕκαστον, ὡς μόνου τούτου δοκεῖν λόγον ποιεῖσθαι. Τῆς γὰρ τῶν οὐρανῶν βασιλείας ὥσπερ τοὺς κατὰ Θεὸν ἱδρῶτας ἐνέχυρον κρίνων, καὶ ἅμα τὸ τῆς ἐπιβούλου σαρκὸς ἐμπαθὲς φρόνημα καταστέλλειν ἐθέλων, καὶ τὸ τοῦ πνεύματος ἀνυφοῦν, τοσοῦτο πονεῖν ᾤετο δεῖν, ὡς καὶ ῥᾳστώνην τοὺς τοιούτους πόνους ἡγεῖσθαι, καὶ ἄθλα μᾶλλον ἢ πόνους, εἰδὼς οἳ φέρουσι καὶ ὅσων καὶ οἵων ἀγαθῶν αἴτιοι καθεστᾶσιν· οὕτως οὐ μόνον ἤδει πονεῖν, ἀλλὰ καὶ ἐφ' οἷς μάλιστα χρὴ, μάλιστα τοῦτο ποιεῖν, Δεινὸς γὰρ ἦν ὡς οὐκ οἶ δ' εἴτις τὰ μὲν τῆς διανοίας κινήματα, καὶ λογισμοὺς τῆς καρδίας, καὶ ἃ προΐσχεται νοῦς, ἀκριβῶς ἐξετάσαι καὶ κατανοῆσαι καὶ δικάσαι τὰ πρέποντα, ὡς τοῖς μὲν θέσθαι, τοῖς δὲ μή· πρὸς δὲ τὰς τοῦ πονηροῦ μεθοδείας καὶ πάγας καὶ τέχνας, οὕτως εὐμεθόδως ἄγαν καὶ δεξιῶς ἀνθίστασθαι δύνασθαι, ὡς καὶ κατὰ τῆς αὐτοῦ κεφαλῆς, εὖ μάλα ταυτὶ περιτρίπειν, καὶ τομηδὲν ταῦτ' ἀποφαίνειν, προσβάλλοντος μὲν ἐκ δεξιῶν τὴν ἀρχὴν, καὶ ὧν αὐτὸς εἴωθεν, εἰς ἀριστερωτάτας δὲ τὰ τελευταῖα χωροῦντος, καὶ τὴν ἡμῶν ἐξώλειαν δι' ἡδονῆς ἐπισπεύδοντος. Τῷ γὰρ· δηλείῳ [δελητίῳ *aut potius* δὴ λείῳ] ταυτησὶ φεναξίζων, ἃ μὲν φεύγειν ἐχρῆν, ταῦτα πείθει διώκειν, οἷς δὲ ὡς βελτίστοις καὶ λυσιτελεστάτοις τὸν νοῦν προσέχειν, ταῦτα πορθμὸν Σικελίας ἡγεῖσθαι.

XLIV. Jam porro id studiose operam ipsum dedisse, ut præ omnibus corde contrito ac humili, multaque modestia ac submissione referto esset,

ΜΔ'. Τόγε μὴν συντετριμμένην καὶ τεταπεινωμένην καὶ πολὺ τὸ μέτριον καὶ ὑποδεδηκὸς κεκτημένην καρδίαν, παρὰ πάντας ἔχειν ἀσκῆσαι καὶ μηδένα τοπαρά-

(1) Prophyr. *Vita Plotini*, p. 2 ; Synes, ep. 139.

(2) Post *gaudet* lege, *eo denuo sese gaudere cœpisse quo cum primitus gaudere potuisset, postmodum per ea quæ in se admisit flagitia amisso, dolenti causam habuit.* Nam de naturæ humanæ integritate tum amissa, tum instaurata, ambigua et brevitate sua perobscura verba interpretanda arbitror.

παν τῶν τῇδε λόγον ποιεῖσθαι, ἀλλὰ καὶ τῆς πρὸς τὸ σῶμα συμπαθείας, οὕτω καθάπαξ ὑπερορᾷν, ὡς μηδὲ χιτῶνος δήπουθεν δεδεῆσθαι δευτέρου, ἀλλὰ καὶ κατὰ ψιλοῦ τοῦ ἐδάφους ἑαυτὸν κατακλίνειν, καὶ τὸ μὲν μηδὲν ἔχειν, ἄγαν ἔχειν ἡγεῖσθαι· μᾶλλον δὲ πάντα τὰ κάλλιστα ἔχειν, ἐν τῷ μηδὲν ἔχειν τῶν κάτω, ἀλλ' ἔχειν ἄνω τὸν νοῦν, καὶ ταῖς ἐλπίσιν ἔχειν κἀκεῖνα, ἃ μάλιστα πάντων ἔχειν ἐχρῆν, καὶ τρυφᾷν μὲν εἰ πεινῴη νομίζειν· κάλλιστον δὲ κρίνειν ποτὸν καὶ παντὸς ἥδιον νέκταρος, τὸ τῆς θείας ἐποψίας ὅσαι ὧραι κατὰ νοῦν ἐμφορεῖσθαι, καὶ πάντα μὲν τὸν βίον μελέτην θανάτου ποιεῖσθαι, μόνην δὲ ζωὴν τὴν ἐν πνεύματι, καὶ ἣν τοὺς τοιούτους εἰκὸς.

A nec ulla prorsus rerum humanarum cura tangeretur, verum ita penitus etiam mutuas consortii corporei affectiones aspernaretur, ut unica contentus tunica ætatem ageret, nudoque item solo fessos artus componeret, et abunde se habere crederet cum nihil haberet, aut verius optima quæque tum habere, cum rerum harumce inferiorum nihil haberet; verum mente sursum versus levata, jam spe illa haberet, quæ omnium maxime habere oportebat, atque tunc in summis sese deliciis versari existimare, quando inedia conflictabatur: potum autem gratissimum et nectare quovis dulciorem judicaret. Dei ipsius visitatione ac præsentia in horas animo perfrui, denique vitam omnem in mortis commentatione poneret, illam autem solam viveret, quæ in spiritu est, et quam ejusmodi homines vivere par est.

ΜΕ'. Ταῦτα τοίνυν θαυμάζειν μὲν ἔνι καὶ πάνυ θαυμάζειν, πρὸς ἀξίαν δ' οὐκέτι· εἰ δὲ τοῦτο οὐχ οἷόν τε, τὸ καὶ μιμεῖσθαι ποῦ θήσομεν, ἃ καὶ αὐτὸς ἐφ' ἑαυτοῦ, καὶ σύν γε τῷ μεγάλῳ καὶ θαυμαστῷ Βασιλείῳ κατώρθουν· νῦν μὲν ἐν τοῖς τῶν Καππαδόκων ὅροις, νῦν δ' ἐν ταῖς ὑπωρείαις τοῦ Πόντου· νῦν δὲ ὅποι ποτ' αὐτοῖς χωρίαν ἡσυχίας ἐδόκει, τὸν μέγαν τοῦτον ἀνύοντες ἆθλον, καὶ τὰ σεμνὰ καὶ περιφανῆ σκάμματα· τοῖς μὲν ἄλλοις ὥσπερ ὑποθῆκαί τινες ὄντες καὶ τύποι, καὶ πρὸς ἀρετὴν παραδείγματα, ὁμότιμοι δὲ ἀλλήλοις καθεστηκότες τὰ πάντα, καὶ μηδὲν πλέον μήτ' ἔχοντες μήτ' ἔχειν μηδ' ὁπωστιοῦν ἀξιοῦντες, ἀλλὰ καὶ φιλονεικοῦντες καθάπαξ· οὐχ ὥστε καὶ προῦχειν, ἀλλ' ὥστε τῶν πρωτείων ἀλλήλοις ἐξίστασθαι, καὶ προσέτι τὸ νικᾶσθαι τοῦ νικᾷν οὐχ ὅσον πρότερον ἄγειν, ἀλλὰ καὶ νικᾷν τῳόντι νομίζειν, νικώμενοι· ἀλλήλοις μᾶλλον ζῶντες ἢ σφίσιν αὐτοῖς· μᾶλλον δὲ καὶ σφίσιν αὐτοῖς, καὶ ἀλλήλοις ζῶντές τε καὶ τὰ βέλτιστα συνεχόμενοι, καὶ ὅλως οὐδὲν ἧττον ἐν ἀλλήλοις, ἢ σφίσιν αὐτοῖς γνωριζόμενοι· ἅτε διὰ πάντων ἓν πνέοντες καὶ φρονοῦντες, καὶ τὴν αὐτὴν καὶ μίαν προαίρεσιν ἐν διαφορᾷ σωμάτων δεικνύντες· ὥστε καὶ εἰ μὴ πρότερον εἰρῆσθαι ξυνέβη, τό τε Ἄλλος αὐτὸς, τό τε Κοινὰ τὰ τῶν φίλων, τὸ μὲν ὑπ' Εὐριπίδου, τὸ δ' Ἄλλως αὐτὸς, ὑπὸ τοῦ Σαμίου σοφοῦ, ἐξ ἄρα τούτων καὶ τῆς τούτων ξυμπνοίας, δοκεῖν ἄν μοι ταῦτα τὴν ἀρχὴν εἰληφέναι λέγεσθαι· εἰκότως καὶ μάλ' ἀξίως τοῦ τὰς αὐτῶν γνώμας συνετετηκότος ὥσπερ Θεοῦ, καὶ ἓν ἄμφω πεποιηκότος.

universis pariter civibus singulisque luctus erat et præterea de anima, ac mente, ac vita, ac mundo, rebusque supramundanis, quantique item præsentia, quæ nihil admodum sunt, et quanti rursus futura, quæ revera sunt, facere conveniat, omnium gravissime disserebat : adhæc auctor illis erat, ne beati viri de hac vita discessum ferrent dolentius plangerentque, verum discessum illum ad Deum, sive accessum, sive reditum, seu quodcunque cuiquam placuerit vocabulum, esse credentes, lætanti potius animo essent, illique, ut qui unus omnium longe Deo charissimus, ejusque ordinis hominum facile princeps esset, summo congratularentur opere. Neque vero hic protinus ab officio consolandi desistendum sibi, neque unam istam sui muneris suffecturam partem, ratus, perpetuo deinceps apud matrem, quoad ipsa viveret, remansit; commodis illius serviens, obsequium cultumque tribuens, convenientemque gerens curam, unoque verbo, piæ providæque sollicitudinis copiam omnem prompta illi manu præbens, quam ubi debitum vitæ fatum e terris subductam, ad Deum, quem ab incunabulis suis summe desiderarat, reduxit, quis est qui nesciat, qua ipsi pietate parentabat, in magnam omnes traduxisse admirationem ? Non enim ut matri illum suæ, sed ut unice Deo dilectæ, eique etiam priusquam vocata fuisset desponsæ, parentasse dixeris.

A ὄντα κάλλιστα πάντων φιλοσοφήσας, καὶ πείσας μὴ πρὸς τὴν ἐνθένδε τοῦ ἀνδρὸς ἐκδημίαν δυσχερῶς ἔχειν καὶ κόπτεσθαι, ἀλλὰ πρὸς τὸν Θεὸν ἐκδημίαν εἴτ' ἐνδημίαν, εἴτ' ἐπάνοδον, εἴθ' ὅ τι τὶς βούλεται ταύτην νομίσαντας, χαίρειν τε καὶ τούτῳ διαφερόντως συγχαίρειν, ὡς ὑπὲρ πάντας θεοφιλεῖ καὶ τῆς τῶν τοιούτων φατρίας φερομένῳ ταπρῶτα. Οὐκ ᾤετο δεῖν ἐνταῦθα τῆς παραμυθίας ἑστάναι, οὐδ' ἀποχρῆν τοῦτον μόνον τὴν ἔφανον, ἀλλ' ἄχρι παντὸς ἐς τελευτὴν αὐτὴν τῇ μητρὶ παραμένειν [f. παραμένει] κηδόμενος, θεραπεύων · ἐπιμελούμενος τὰ εἰκότα, πᾶσαν ὡς εἰπεῖν χορηγίαν προνοίας εἰσφέρων · ἐπειδὰν δὲ ἡ προσήκουσα μοῖρα τοῦ βίου ἀπήγαγε μὲν ταύτην ἐνθένδε, πρὸς δὲ τὸν ὂν ἐξ ἀρχῆς ἐπόθει Θεὸν ἐπανήγαγε, τίς οὐκ οἶδεν ὡς οἷς αὐτὴν τετιμήκει, πάντας ἐξέπληξεν ; οὐχ ὡς ἂν εἴποι τις μητέρα τιμῶν · ἀλλ' ὡς μάλ' ἐρωμένην Θεοῦ, καὶ νυμφευθεῖσαν τούτῳ καὶ πρὸ τῆς κλήσεως.

LXXXV. Atqui parentes suos maximi facere, diguisque colere honoribus, nihilque adeo prætermittere eorum quæ ipsis præstare jus ac fas est, illud non maximæ sane laudi ducitur, quippe justum plane debitumque. Scilicet ut neglectum hoc pietatis officium gravissimam reprehensionem habeat, et divini etiam præcepti impia abrogatio est, ita servatum obitumque, nullam recipit admirationem, quando quod æquum est duntaxat persolvitur, quidquid autem æquum per se est, illud officii necessitate nititur, at necessitas rursus nulla donatur corona. Quando hoc ipsum officium, tanta cum excellentia viro justissimo perfectum est, ut ad nullum expressum exemplar, verum unicum aliis futurum sit exemplum, adeo sane magno illud in pretio habendum est, ut si ad non singulari quispiam laude afficiat, ille neque æquus rerum arbiter esse videatur, et invidentiæ se simul alliget. Rom tantam videlicet simplici modo laude, non summa admiratione honestans.

B C ΠΕ'. Τὸ μὲν δὴ τοὺς γεννησαμένους περὶ πλείστου ποιεῖσθαι, καὶ τιμᾷν τὰ γιγνόμενα, καὶ μηδὲν ἀνιέναι τῶν ὅσα γε εἰς αὐτοὺς πράττειν εἰκὸς, θαυμαστὸν οὐδὲν, εἰ καὶ τῶν πάνυ δικαίων · ὀφείλεται γάρ · ἀλλὰ μὴ γενόμενον μὲν, μίμψεως οὐ μικρᾶς ἂν εἴη, καὶ προσέτ' ἀθέτησις ἐντολῆς · γενόμενον δὲ, οὐκ ἔτ' ἂν ἐπιδέχοιτο θαῦμα · τὸ γὰρ εἰκὸς ἐστιν ἐκτινύναι · πᾶν δὲ τὸ εἰκὸς, ἀνάγκης δήπουθεν ἧρτηται · ἀνάγκη δὲ ἀστεφάνωτον · νῦν δὲ οἷς αὐτὸ μετὰ τοσαύτης ὑπερβολῆς κατώρθωται τῷ δικαίῳ, ὡς μήδ' εἰς παράδειγμα φέρειν · ἀλλ' αὐτὸ τοῦτο μόνον εἶναι τοῖς ἄλλοις παράδειγμα, οὕτω πολλοῦ τινός ἐστιν ἄξιον, ὡς εἰ μὴ σφόδρά τις ἐπαινοίη, οὐτ' ἂν τοῖς πράγμασιν ὀρθῶς διαιτᾷν δόξειεν ἄν, καὶ βασκανίας ἁλισκέσθαι · πρᾶγμα τοσοῦτον ἁπλῶς ἐπαινῶν, καὶ μὴ κατάκρας θαυμάζων.

LXXXVI. Idem præterea ubi Nazianzenam Ecclesiam eum hoc pastore in modum pastam viderit, ut supra alias omnes ad virtutem fidemque optime comparata ac consolidata esset, ab eoque justi omnis et honesti maxima accepisset incitamenta, quo ipsum pacto non impensiore studio admiretur, qui tam multis admirandisque pariter enituerat, virtutibus; qui omnibusque in rebus ita magnifice excellenterque versatus fuerat, velut in re quadam una sigillatim? cujus ideo tam eximio omnis Nazianzenorum civitas capta amore erat, sic ipsum tanquam conditorem suum conservatoremque, et spiritualis animarum beatitudinis auctorem præstitemque, penes se retinere studebat, ut quidvis perpeti mallet, quam ullo ipsum modo missum facere. At Gregorius, ut perpetuam apud illos mansionem, siquidem fieri id non posset, abunebat: sic eatenus precibus illorum locum dabat, donec

D ΠΣ'. Καὶ μὴν ὅταν πρὸς τούτῳ καὶ τὴν τῶν Ναζιανζηνῶν Ἐκκλησίαν οὕτως ὑπ' αὐτοῦ ποιμαινομένην κατίδῃ, ὡς πρὸς ἀρετήν τε καὶ πίστιν ὑπὲρ πάσας τὰς ἄλλας κατηρτίσθαι καὶ ἡδράσθαι καὶ καλοῦ καὶ δικαίου παντὸς λαβεῖν ἐντεῦθεν μᾶλλον τοὐνδόσιμον, πῶς οὐκ ἂν αὐτὸν ἐκπλαγείη, θαυμαστὸν ἐν ταυτῷ διὰ πάντων φανέντα, καὶ πᾶσιν ὑπερφυῶς ὡς ἐνί γέ τῳ χρησάμενον ; οὗ Ναζιανζηνῶν μὲν ἅπας ὁ δῆμος οὕτω διαφερόντως ἁλόντες, οὕτως αὐτὸν ὡς οἰκιστήν τινα καὶ σωτῆρα, καὶ τῆς κατὰ ψυχὴν εὐδαιμονίας χορηγὸν καὶ προστάτην παρ' ἑαυτοῖς κατέχειν ἐβούλοντο, ὡς πάντ' ἂν ἐλέσθαι παθεῖν, ἢ τούτου καὶ ὁπηοῦν ἀποσχέσθαι. Ὁ δὲ τὸ μὲν εἰς ἅπαν ἀπεῖπεν, οὐδὲ γὰρ οἷόν τε · ἐπιτοσοῦτο δὲ τῇ σφῶν εἶξε προκλήσει, ἕως ἑτέρου δή τινος φροντιοῦσι ποιμένος · οὗ γενομένου, αὐτὸς ἐκεῖθεν ἀπάρας, καταλαμβάνει Σελεύκειαν · καὶ χρόνον οὐχὶ συχνὸν ἐνταυθοῖ διατρίψας, ὁ μὲν Πόντον ἐνενόει, καὶ τὴν Ποντικὴν Ξου-

φιρίαν, καὶ οὓς ἤδει τῶν χώρων οἵους τε ὄντας ψυχὴν ἐκκαθάραι τε καὶ πτερῶσαι, καὶ θεὸν ἔπειτ' αὐτὴν, εἰ μὴ μέγα εἰπεῖν, ἀποφῆναι· τοῦτ' ἦν αὐτῷ μελέτη καὶ τὸ λογίζεσθαι· ἑτέρως γε μὴν ὁ τούτου Θεὸς τὰ κατ' αὐτὸν ᾠκονόμει· οὐκέτ' ἐπιπλέον εὐαγγελικῶς εἰπεῖν, « ὑπὸ τῷ μοδίῳ κρύπτεσθαι τὸν λύχνον ἐθέλων, ἀλλ' ἐπὶ τὴν λυχνίαν τεθεῖσθαι, » ὡς μέγα φῶς εἶναι τῷ κόσμῳ, καὶ τοῖς ὑπ' οὐρανὸν λαμπτῆρα περιφανῆ.

A alium sibi prospexissent pastorem. Quo facto, e patria excedene Seleuciam adit. Ubi post non longam moram, Pontum, Ponticamque Xuphirfam, et quæ alia norat loco, ad expiandam animam alisque spiritualibus instruendam, Deumque etiam tandem, si hoc fas est dictu, efficiendam, opportuna, cogitare cœpit: hæ tum illi curæ cogitationesque erant; atqui aliter destinata ipsius, illius gubernabat Deus, qui haud amplius, ut evangelicis rem verbis dicam, « abscondi subter modis lucernam, sed super candelabrum suum reponi [33], » volebat, ut ingens orbi universo lumen, omnibusque sub cœlo degentibus fax fulgentissima, esset.

ΠΖ'. Ταῦτ' ἄρα καὶ τὴν βασιλεύουσαν τῶν πόλεων ἐκεῖθεν ἐμπνευσθεὶς τε καὶ χρηματισθεὶς, ἅτε κακῶς διακειμένην τοτηνικαῦτα τὰ θεῖα· καὶ χειρὸς οὐ μικρᾶς δεομένην, μηδὲν μελλήσας, ὅλῳ ποδὶ πρὸς ταύτην ἐχώρει· ὃ καὶ πρὶν ἐμπνευσθῆναι πάντως ἔδρασεν ἂν ὑπό τ' αὐτὸς ἑαυτοῦ καὶ τοῦ περὶ τεῦτα ζήλου καὶ τόνου παρακληθεὶς, πρεσβείαν τε ὅτι πλείστην περὶ τούτου δεδεγμένος ἐκεῖθεν ὡς τάχιστ' αὐτοῖς παρεῖναι καὶ βοηθεῖν, καὶ μὴ περιιδεῖν τὸν τῆς ἀληθείας κινδυνεύοντα λόγον. Οὐ μὴν ἀλλὰ καὶ ὅσοι τῶν ἑταιροτάτων ἦσαν αὐτῷ καὶ φιλτάτων, καὶ πρό γε πάντων καὶ μετὰ πάντων Βασίλειος ὁ κλεινὸς, πάνυ τοι προὔτρεπον αὐτὸν ἐπὶ ταῦτα, καὶ τὸν ἆθλον ἐπῄνουν· σπεύδοντα καὶ αὐτὸν κατὰ τὸ ἔπος ὀτρύνοντες· μόνην γὰρ εἶναι τὴν παράταξιν ταύτην ἀσφαλῆ καὶ γενναίαν, καὶ θεῷ τοῦ παντὸς τιμωμένην. Τῶν γοῦν ἐν Βυζαντίῳ κακοδόξων, τῶν τε ἄλλων, καὶ μάλισθ' ὅσοι τῆς Ἀρειανικῆς λύσσης ἐτύγχανον ὄντες πολὺν ἤδη χρόνον τοῖς εὐσεβέσιν ἐπικειμένων, καὶ πᾶσιν οἷς ἔξεστι τούτου λυποῦντων, καὶ νῦν μὲν ὕβρεις καὶ πληγὰς ἀφορήτους καὶ δημοσίας δή τινας περιαγωγὰς, πολὺ δήπου τὸ ἄτιμον καὶ φαῦλον ἐχούσας, καὶ οὐσιῶν ἁφαιρέσεις· νῦν δὲ καθείρξεις, ἐξορίας, ἐμπρησμοὺς θαλαττίους (5), θανάτους καὶ σφαγὰς ἀθεμίτους, τὰς μὲν, δι' αἵματος, τὰς δὲ, δι' ἀγχόνης, τἄλλα ἃ μήδ' ἂν εἰς εὐσεβῶν μὴ ὅτι μεμνῆσθαι καὶ λέγειν, ἀλλ' οὐδὲ ἀκούειν ὅλως ἀνάσχοιτο, τούτοις ἀνηλεῶς ἐπαγόντων τε καὶ κακούντων, καὶ τί γὰρ οὐ ποιούντων, ἐφῷ τούτους ἢ καθάπαξ ἐκτρίψαι, ἢ τῇ τούτων δυσσεβείᾳ πεῖσαι συνθέσθαι, τοῦ πάντων ἀνομωτάτου βασιλέως Οὐάλεντος διδόντος σφίσι τοὐνδόσιμον καὶ τὰ μεγάλα συναιρομένου· τούτους τοίνυν εὑρὼν ἀσχέτῳ ῥύμῃ κατ' αὐτῶν κεχρημένους καὶ πάνυ τοι μανικὸν πνέοντας, καὶ νῦν μὲν, τὰ ἔσχατα ἀπειλοῦντας· νῦν δὲ τὰς ἀπειλὰς παριόντας τοῖς ἔργοις· καὶ ὅλως, μηδενὶ τῶν ἁπάντων ὄντας ἐπιμηδενὶ φοτητοὺς, ῥᾴσους περιουσίᾳ, καὶ τῷ σροβίλου δίκην πάντ' ἄνω καὶ κάτω κυκᾶν, καὶ ἀγωνίαν καὶ φόβον ταῖς ἁπάντων ἐνιέναι ψυχαῖς, οὕτως

LXXXVII. Divino igitur instinctu monitus, urbi imperiali, ea tempestate in sacris vacillanti, haud exigua quadam opus esse manu, nulla interposita mora, pleno pedum gradu, ad eam contendit, id quod antea etiam quam divino oraculo admonerebat haud dubie facturus erat; et sua nimirum sponte, suoque circa res ejuscemodi zelo animique robore impulsus, et crebris inde acceptis nuntiis, ut quamprimum præsto ipsis esset, auxiliumque ferret, nec indefensam veritatis causam periclitari sineret, rogatus, eodem etiam intimi quique amicorum ac familiarissimi, et ante omnes, itemque cum omnibus, inclytus Basilius, magnopere ipsum hortabantur, idque commendabant certamen; qui suopre jam nisu properabat, u. vetus verbum habet (6), incitantes, unum videlicet hoc præliorum genus tutum, et nobile, et in maximo rpud Deum honore ac pretio, esse. At Byzantii, quotquot pravis adhærebant erroribus, tum alii, tum in primis qui Arianico occupati erant furore, longo jam tempore piis graves incubuerant, quibusque unquam poterant illos divexarant modis, nunc quidem contumelias et plagas intolerabiles, et publicas per ora hominum traductiones, multo ludibrio ac dedecore refertas, et bonorum publicationes; nunc rursus carceres, exsilia, ardentesque medio mari, roges, mortesque ac cædes nefarias, partim cruentas, partim resti laqueoque factas, cæteraque id genus, quæ nemo pius omnino audire, nedum referre ac commemorare sustineat; efferata immanitate fidelibus imponentes, eosque pessimis tractantes modis, nihilque inausum intentatumque linquentes, quo ipsos aut funditus exstirparent, aut ad comprobandam impietatem suam pertraberent, instigante illos nimirum impiissimo imperatorum Valente, vehementerque adjurante; Cregorius igitur indomito effrenatoque hos adversus Ecclesiam impetu agere, merosque spirare furores animadvertens, et modo ultima quævis fidelibus minitari,

[33] Matth. v, 15.

(5) Ἐμπρησμοὺς θαλαττίους. Gregorium suum noster, ut solet, sequitur, una duntaxat vocula, haud sio an consulto, omissa. Εἰς βασίλειον, f. 267, πρεσβυτέρων ἐμπρησμοὶ θαλάττιοι· quæ ipsa verba ἐν τῷ συντακτηρίῳ, p. 525 paritor leguntur. Est autem, ut hoc obiter nunc adjungamus, sermo de octoginta presbyteris, navigio, quo vehebantur, clam succenso, miserabiliter exustis. Sive legatos et deprecatores ab orthodoxa Ecclesia ad se missos, Valens imperatorum sævissimus, hoc tam barbaro, aut verius Satanico supplicio, martyres sanctissimos adfecit. Quod historiæ ecclesiasticæ scriptores, Socrates Scholasticus, IV, 16, et Hermias Sozomenus, VI, 14, produnt; sive civum Constantinopolitanorum, τῶν τῆς Ἀρείου συμμορίας, immanissimum facinus fuit, ut auctor est Theodoretus, IV, 24.

(6) *Iliad* IX, 293.

modo terrores verborum rebus ipsis longe præterire, nec ulli omnino amplius ferendos esse, tum ob impotentissimam illam audaciam suam, tum quod turbinis in morem sursum omnia deorsumque permiscerent, et angorem metumque omnium inculerent animis: hic adeo ille validam in ipsos impressionem fecit, tantoque divini Spiritus auxilio instructuque, ut copias eorum non modo penitus prosterneret profligaretque, « et omnem eorum celsitudinem, quæ adversus Dei cognitionem attollebatur, destrueret [34], » sed nec altero in illos opus esset conflictu, semel fusos omnino fugatosque, et quibus cum re simul animus plane conciderat, ita ut non modo non os impudens denuo perfricare, sed nec oculos contra clarissimos veritatis radios, et rationum orationumque nostri jacta fulmina attollere auderent. Quamobrem minime illi ultra in publico garrire, suamque propalam pervulgare impietatem, gnari nimirum haud e re sua id futurum, seque hoc pacto in adversos omnino stimulos rituros, secundum vulgarem sententiam (7), « Sapit accepto nam vulnere stultus; » at privatim ac remotis arbitris, nihilo magis desierant « iniquatatem in Excelsum loqui [34a], » atque effrenatam adversus Deum vibrare linguam; verum eadem adhuc perciti rabie, paresque et similes manentes, quemadmodum ille in adagio nunquam albescens Æthiops, omnem movebant rudentem, omniaque machinabantur ac agitabant, ut sublato de medio sanctissimo viro, iisdem porro uterentur successibus et cumulatiore multo mensura acceptam repararent cladem. Hic vero illorum adversus nostrum calumnias, summamque et insanam plane audaciam, et odia, et maleficia, et invidiam, et nunc in propatulo, nunc in occulto, structas insidias, et conjecta in ipsum saxa, et eorum consilio decretam, sed a Deo reoressam, illius mortem; hæc, inquam, missa facio omnia, quando nec ipse horum quidpiam ad animum revocabat, sed potius, quod strenuum veritatis propugnatorem decuit, his velut rosis sese conspergi gaudebat.

LXXXVIII. Cæterum id quod ex omnibus unum præcipue dignum memoratu dictuque, dignum animis auribusque attentissimis est, dicam. Nimirum, quod cum « prædate emicante « dogmatum verborumque Gregorii « fulgore dissipatæ transiissent nubes [35], » hæreticæque factionis discussa caligo esset; superioribus plane jam nostris partibus « et robore accinctis imbecillis [36], » libereque agentibus qui pro Spiritus sancti numine propugnabant. Hic primum haud promptum narrare, quam effusa mentes piorum pertentarint gaudia, quasque illi Deo laudes gratesque obtulerint; tum quod omnis ista propemodum pestiferæ doctrinæ vis, instar telæ araneæ dissoluta evanuisset, finemque item aliquando habuisset invicto imperatoris tyrannis illa alioqui, « si qua fieri potcrat, vel electos ipsos in erroris consortium fractura [37]; » tum præterea, quod « suo ipsius sanguine quæsitam Ecclesiam [38], » cujus causa omnis Deo cura, omne in-

A οὗτος αὐτοῖς ἐπέθετο κραταιῶς καὶ μετὰ τοσαύτης παρασκευῆς τῆς τοῦ Πνεύματος, ὡς μὴ μόνον κατὰ κράτος ἐλεῖν τε καὶ καταστρέψασθαι, καὶ « καθελεῖν αὐτῶν πᾶν ὕψωμα κατὰ τῆς γνώσεως ἐπαιρόμενον τοῦ Θεοῦ, » ἀλλὰ μὴ δὲ συμπλοκῆς ἔτι δεηθῆναι δευτέρας, [f. add. πρὸς] ἅπαξ κατειργασμένους καὶ ἡττημένους, καὶ παντάπασιν ἀπογνόντας· ὡς μὴ ὅσον ἀναισχυντεῖν δύνασθαι, ἀλλὰ μηδ' ἀντιβλέπειν ἔτ' ἔχειν πρὸς τὰς τῆς ἀληθείας ἀκτῖνας καὶ τὰς ἐκείνου τῶν λόγων βολάς. Δημοσίᾳ μέν γε ληρεῖν καὶ παῤῥησιάζεσθαι τὴν δυσσέβειαν, ἥκιστ' ἐτόλμων· ἤδεσαν γὰρ οὔτε σφίσιν αὐτοῖς τοῦτο συνοῖσον, καὶ πρὸς κέντρα χωρήσοντες ἀτεχνῶς τὸ τοῦ λόγου· « Παθὼν δέ τε νήπιος ἔγνω· » τοῦ δ' ἰδίᾳ καὶ καθ' ἑαυτοὺς « ἀδικίαν εἰς τὸ ὕψος λαλεῖν, » καὶ πάντολμον
B γλῶσσαν κατὰ τοῦ Θείου κινεῖν, οὐ μᾶλλον ἀπέστησαν, ἀλλὰ τῆς αὐτῆς ἔτ' ἐχόμενοι λύσσης, καὶ μένοντες ἴσοι καὶ παραπλήσιοι καθάπερ ὁ μὴ λευκαινόμενος τῆς παροιμίας Αἰθίοψ, πάντ' ἦσαν κάλων κινοῦντες, καὶ πάντα μηχανώμενοι καὶ ποιοῦντες ἐφῷ τὸν ἅγιον ἀνελόντες, τοῖς αὐτοῖς ἔθ' ἕξουσι χρῆσθαι, καὶ μετὰ πολλοῦ τοῦ μείζονος τὴν ἧτταν ἀνακαλέσασθαι· τὰς μὲν οὖν τούτων κατ' αὐτοῦ βλασφημίας καὶ τὸ πολὺ καὶ ἄλογον θράσος καὶ μῖσος καὶ κακουργίαν καὶ φθόνον, καὶ νῦν μὲν εἰς τοὐμφανές, νῦν δὲ λαθραίας ἐπιβουλὰς, καὶ τοὺς ἀφειμένους κατὰ τούτου γε λίθους, καὶ τὸν βεβουλευμένον μὲν ὑπ' αὐτῶν θάνατον, ὑπὸ Θεοῦ δὲ κωλυθέντα, ταῦτα μὲν λέγειν ἐῶ· διὰ τὸ μηδενὸς τούτων μηδ' αὐτὸν προτιμᾶν, ὥσπερ δὲ ῥόδοις παττόμενον χαί-
C ρειν, ὡς εὐσεβείας ἀγωνιστήν

ΠΗ'. Ὅ γε μὴν μάλιστα πάντων καὶ μεμνῆσθαι καὶ λέγειν δεῖ καὶ προσέτ' ἀκούειν ἐστ..... ἐπειδὴ γὰρ ἀπὸ « τῆς τηλαυγήσεως » τῶν τούτου δογμάτων τε καὶ ῥημάτων αἱ « νεφέλαι διῆλθον » καὶ ὁ τῶν αἱρετιζόντων διαλέλυται ζόφος, τὸ δὲ καθ' ἡμᾶς ὑπερέσχε, καὶ « οἱ μὲν ἀσθενοῦντες περιεζώσαντο δύναμιν » οἱ δὲ τοῦ Πνεύματος ἐπαῤῥησιάσαντο, πρῶτα μέν, οὐκ ἔστιν εἰπεῖν ὁπόση τις ἡδονὴ τοὺς εὐσεβοῦντας κατεῖχε, καὶ ὅσους καὶ οἵους πρὸς Θεὸν τοὺς παῖδας ἀνῆγον· τοῦ
D πᾶσαν μὲν σχεδὸν κακοδοξίαν ὡς ἑστὸν ἀράχνης διαλυθεῖσαν ἐκμέσου γενέσθαι, καὶ τὴν ἄμαχον ἐκείνην τυραννίδα πεπαῦσθαι, « πλανῶσαν, εἰ δυνατὸν, καὶ τοὺς ἐκλεκτοὺς, » τὴν δὲ τῷ » οἰκείῳ αἵματι περιποιηθεῖσαν αὐτῷ Ἐκκλησίαν, » ὑπὲρ ἧς απας λόγος καὶ ἅπαν μυστήριον, ἐπιδιδοῦσαν ὅτι μάλιστα καὶ κρατυνομένην ὁρᾶσθαι· καὶ πολλαπλασίω ἑαυτῆς γιγνομένην τῷ πλήθει τῶν ἑκάστοτε προσιόντων, καὶ τὰς μὲν ἁλμυρὰς καὶ ἀθέσμους περὶ Θεοῦ καινοφωνίας καὶ ὑπολήψεις, ὡς δή τινα ψυχώλε-

[34] II Cor. x, 5. [34a] Psal. LXXIII. 8. [35] Psal. XVIII, 12. [36] I Reg. II, 4. [37] Matth. XXIV, 24. [38] Act. XX, 28.

(7) Hesiod. *Opera et dies*, 216.

θρον καχεξίαν ἀποκλυζόντων τῷ τῆς διδασκαλίας ποτίμῳ, πρὸς δὲ τὴν εἰλικρινῆ καὶ καθαρὰν καὶ ἡδίστην, καὶ τῶν Ὀλύμπου πραγμάτων αἰτιωτάτην πίστιν, μεθισταμένων τε καὶ μετατιθεμένων ὅλῃ ψυχῇ τε καὶ γνώμῃ, καὶ πειθομένωτ ἀντὶ τοῦ φρονεῖν ἃ μὴ δεῖ, φρονεῖν ἃ δεῖ· καὶ τῷ καλῷ καὶ γιγνομένῳ προστιθεσθαι, καὶ τοῦτ' οὕτως ἀκριβῶς ἐνσημαινομένων τῳ βάθει τῆς διανοίας, ὡς μὴ μόνον αὐτοὺς τούτους ἀκλινεῖς καθάπαξ ἑστάναι ἐρηρεισμένους τῇ τῆς « πίστεως πέτρᾳ, » ἀλλὰ καὶ τῶν ἄρτι καθισταμένων ἐν τούτοις, παιδευτὰς ἀγαθοὺς καθεστάναι καὶ πλάστας. A stitutum fuit mysterium (8), maxima subinde capere incrementa corroborarique cernerent, et seipsa multis partibus numerosiorem fieri per insignem eorum numerum qui sua quotidie nomina dabant; qui amaris ac nefariis de Deo vocum novitatibus falsisque opinonibus, velut exitiabili animæ languore, dulci gratoque melioris institutionis liquore, dilutis, protenus ad sinceram, et puram, et suavissimam, et quæ rerum cœlestium adipiscendarum potissima causa est, fidem, toto pectore animoque se recipiebant atque transibant. Illiusque loco, quod impia et illicita prius senserant, ad recta sentienda, verumque et genuinam amplectendam doctrinam, adducebantur, quam accurate adeo alteque animis suis imprimebant, ut non modo immodi plane perstarent, firmatis in « petra fidei » vestigiis, sed eorum item, qui postmodum ad hæc eadem accedebant, magistri fictoresque optimi exsisterent.

Πθ'. Ἔπειτα τοῦ πάντ' ἀρίστου καὶ θαυμαστοῦ βασιλέως, (Θεοδόσιος δὲ ἦν ὁ μέγας διὰ ταυτὶ προσρηθείς·) καὶ σύν γε πάσης τῆς εὐσεβούσης φατρίας, πᾶσαν σπουδὴν, πᾶσαν δέησιν προσηχότων, ὡς ἂν ὁ μέγας τῆς Ἐκκλησίας προσταίη, καὶ πρόμαχος ἔπειτ' αὐτῆς εἴη καὶ πρόβολος ἀσφαλὴς, τὸν τῶν αἱρέσεων σάλον ἀποκρουόμενος, ὁ καὶ πάντ' αὐτῇ ταῦτα καὶ πρὸ τῆς προκλήσεως γεγονώς· καὶ πάλαι προσήκων ἐπιστατεῖν καὶ δυνάμενος μόνος ὡς ἀληθῶς τὴν μὲν πάσης ἡστινοσοῦν δυσχερείας ἀνωτέραν παντάπασι δεῖξαι· πᾶσαν δὲ ἀγαθὴν ἕξιν καὶ παντοδαποῦ καλοῦ ζῆλον ταῖς ἁπάντων ἐντῆξαι ψυχαῖς, ἐπειδή περ ὀψέ ποτε καὶ μόγις ἐπείσθη τε καὶ κατένευσεν, οὔτ' ἀντέχειν ἔτ' ἀξιῶν καὶ θείαν ὡς ἀληθῶς ψῆφον ταύτην νομίζων, μὴ δὲ γὰρ ἄλλως ἐπιδῆναι τῆς Κωνσταντίνου χρηματισθῆναι τοκαταρχάς. Ἐπεὶ τοίνυν οὕτως συνέθετο, καὶ τῇ τοῦ κρατοῦντος προβλήσει, θαυμαστὴ δὲ αὕτη, καὶ μείζων ἢ παραβάλλεσθαι, τῆς καθέδρας ἐπέβη, καὶ τῶν τῆς εὐσεβείας πραγμάτων μάλ' ἐῤῥωμένως, καὶ μετὰ πλείστης ὅσης ἀντεποιεῖτο ῥᾳστώνης, οἱ μὲν, ἀμύνεσθαι τοὺς ὑβριστὰς οἰόμενοι δεῖν, καὶ ὧν εἰς αὐτοὺς ἐπλημμέλησαν εἰσπράξασθαι δίκην, πᾶσιν οἷς εἶχον, πείθειν ταῦτα καὶ τὸν ἅγιον ἐπεχείρουν, συναγωνίσασθαι τούτοις καὶ συλλαβεῖν, τὴν δὲ τοῦ βασιλέως πρὸς αὐτὸν εἰδότες ῥοπήν, τῆς τε καρδίας ὧν ἔπαθον ζωπυρούσης τὴν μνήμην, καὶ οὐκ ἐώσης τὸν λογισμὸν ἠρεμεῖν. Ὁ δὲ, πραείᾳ καὶ φιλανθρώπῳ φωνῇ, πρῶτα μὲν ἐπειρᾶτο τὴν αὐτῶν ὁρμὴν καταστέλλειν, λέγων· « Οὐκ οἴδατε ποίου πνεύματός ἐστε, » ὡς καὶ τοιαῦτα πράττειν προάγεσθαι; ἔπειθ' ὡς θαυμαστὴν μεγαλοψυχίας ἀποίσεσθε δόξαν μὴ τούτοις ἐπεξιόντες, ἀρκοῦντος μόνου τοῦ δύνασθαι· τὸ δὲ μέγιστον καὶ πλείστου δή τινος, εἰ μὲν γὰρ φιλανθρωπίας, ἔφη, τύχοιεν παρ' ἡμῶν, βελτίους τε ἔσονται τάχιστα τὰς ψυχὰς, εὖ οἶδα, καὶ φέροντες σφᾶς αὐτοὺς ἐγχειριοῦσι τῇ καθ' ἡμᾶς Ἐκκλησίᾳ ἧς κακῶς ἀπερῥώγεσαν· ἂν δ', ὃ μὴ γένοιτο! τιμωρησόμεθα σφᾶς, τῷ τε δυσσεβεῖν ἔτι μᾶλλον προσθήσονται, καὶ παντάπασιν ἀπολοῦνται « δι' οὓς Χριστὸς ἐτεθνήκει· » ὅσον οὖν ἐκεῖνο τούτου σεμνότερον καὶ B LXXXIX. Tum *deinde* longe optimo laudatissimoque imperatore (9), unaque cum ipso universo piorum cœtu, omne studium omnemque obtestationem adhibente, ut vir maximus suscepto Ecclesiæ illius pontificatu, deinceps propugnatur ejusdem, rupesque firmissima, fluctus hæresium fractura atque depulsura, esset: qui antea etiam quam pontifex crearetur, hæc omnia Ecclesiæ fuerat, et jam pridem illo munere dignissimus, et solus revera idoneus, qui illam quibusvis molestiis superiorem plane præstare, atque invicem bonum habitum emnem, virtutisque universæ desiderium, omnium animis velut colliquefactum, infundere posset. Postquam tandem aliquando, ægreque admodum cessit adnuitque, nec ultra obstinatius repugnare fas esse statuit, simul divinum omnino calculum suffragiumque esse ratus, nam absque eo esset, nunquam se ab initio de adeunda Constantinopoli divinitus admonitum fuisse. Postquam igitur hoc pacto assonsus est, et imperatoris opera atque suffragatione, quæ summa sane et sine exemplo maxima erat, cathedram pontificalem conscendit, pietatisque negotia strenue fortiterque, et eximia quadam dexteritate, administrare instituit. Mox quotquot protervis illis vexatoribus suis vicem reddendam, superiorumque injuriarum exigendas ab iis pœnas statuebant, quacunque poterant ratione, sanctissimum item virum suis aggregare partibus, in operisque pollicere societatem, laborabant, haud ignari quem ille gratiæ auctoritatisque locum apud principem obtineret, simul et eorum quæ pertulerant, memoriam, velut sopitum ignem, ægro suscitante pectore, neque istam animi commotionem conquiescere sinente. At Gregorius miti atque humanissima voce, primum eorum cohibere ardorem impetumque tentabat: « Nunquid nescitis, inquit, cujus vos spiritus estis [39], » ut ad hæc audenda prorumpatis? Tum quantam quamque admirabilem inde magnanimitatis laudem habituri sitis, si sola vindictæ facultate contenti, delictorum eis gratiam faciatis? Denique quod maximum, summoque fa-

C

D

[39] Luc. IX, 55.

(8) Ex Gr. Nazianz, *in Epiphaniam*, fine.

(9) Theodosio.

cile in pretio habendum est, si benigne, inquit humaniterque in illos consulimus, meliores illi mox animis suis erunt, seseque ultro nostræ Ecclesiæ, a qua vitio divulsi sunt, totos dedent : sin, quod abominor, severius in ipsos animadvertimus, et tanto iidem majore obstinatione impietatem suam fovebunt, et sempiterno penitus exitio peribunt, « quorum causa tamen Christus mortuus fuit [40]. » Quanto igitur illud sanctius divinisque quam hoc

A θειότερον, τοσοῦτον ἡμῖν ἀντιληπτέον αὐτῶν ἐστιν ἢ παροπτέον, εἴπερ ὑπὲρ σωτηρίας αὐτῶν φροντίζομεν · φροντίζειν δὲ ἀξιον ὡς οἰκείων δήπου μελῶν · οὕτω μὴ ὅτι γε τῶν αὐτὸς αὐτοῦ, ἀλλὰ καὶ τῶν ἐχθρῶν αὐτῶν [*an* αὐτοῦ ?] τοῦ Χριστοῦ, λόγον ὅπως σωθεῖεν, οὐ μικρὸν ἐποιεῖτο, « τὸ πλανηθὲν πρόβατον » τούτους ἀποκαλῶν · ὡς ἀνάγκην οὖσαν καὶ ζητεῖν τοῦτο καὶ σώζειν, καὶ πρὸς τὴν ἀρχαίαν ἐπανάγειν νομήν τε καὶ μάνδραν, ὅση δύναμις.

psum est, tanto magis adjuvandi nobis, quam negligendi erunt ; si modo salus eorum curæ nobis est, quæ haud aliter sane curæ nobis esse debet, quam ut nostri corporis membrorum artuumque. Ita ille non suorum duntaxat, sed et Christi ipsius hostium, ut salvi fierent, maximam ducebat rationem, quos « errabundam oviculam [41] » appellare suerat; quippe quam et suis vestigiis quærere, et servare, et ad pristina pascua caulasque pro viribus reducere necesse esset.

XC. Qui sic igitur mansuetudini, et moderationi, atque ad omnes diffusæ homines humanitati, quomodo vix alius omnino ullus, ipse studebat ; tales et cæteros monitis suis fere efficiebat : ne videlicet dum injuriæ auctoribus justam, ut sibi videbantur, exsolvere vicem quærerent, ipsi in crimen nimii vindictæ studii incurrerent : ut qui malum malo alio sanatum irent, verum potius ut animi magnitudine « malum bono vincentes [42], » bene de iis qui injuste ipsos læserant mererentur. Atque hoc non ea modo re, quod longe cæterarum virtutum princeps charitas est, qua sine, ex sententia Pauli [43], frustra et inaniter reliquis omnibus opera navatur ; sive misericordiam erga egentes, sive profusum pro Christo sanguinem dicas, sive ut divinorum arcanorum peritus interpres quispiam sit, « motesque ipsos suis demovendi sedibus facultate polleat, » sed vero etiam quod charitatis possessio, compendiaria virtutum omnium possessio est. Perinde enim ut quicum amicitiam sibi jungendam aliquis statuit, eidem fausta ac felicia omnia comprecatur, ad eumdem utique modum, qui convenientem animæ suæ rationem habet, eamque summe æstimat, illum omnes colere necesse est virtutes, scilicet ut earum beneficio salutis suæ compos fiat. Cæterum ad hæc omnia illud necessario tenendum, quicunque Dei esse cupit, huic quantum potest, ad similitudinem Dei omnino enitendum esse fit autem tum Dei quispiam similis, cum charitatem erga homines bona fide exercet : « Estote enim, inquit, misericordes, sicut et Pater vester misericors est [44] ; » quo Patris nomine ille magis profecto quam ullo alio delectatur : patet igitur, qui misericors non est, utut reliqua virtutum officia recte exsecutus fuit, a Deo tamen exclusissimum fore, quod in his ipsis Deo plane contraria sequatur : « Quæ enim luci cum tenebris : aut Christo cum Beliale esse potest communio [45] ? » Nempe immortale Beliali in nos odium est. Unde et nomen hoc habet. At amore nostri Christus in crucem actus fuit. A qui quod nemo non de hostibus ipsis inaudire abnuat atque detestetur, hoccine vobis ipsis optaretis ? Tum quo pacto non ultimæ illud vecordiæ fue-

B ιγ' Ὁ μὲν οὖν πραότητος καὶ ἐπιεικείας καὶ τῆς πρὸς πάντας φιλανθρωπίας ὡς οὐκ οἶδ' εἴ τις ἐχόμενος, τοιούτους δή τινας καὶ αὐτοὺς ἐπειθεν εἶναι, καὶ μὴ δοκοῦντας δίκαια πράττειν ἐν τῷ ζητεῖν ἀμύνεσθαι τοὺς ὑπάρξαντας, ἔπειτα μνησικακίας εἰς ἔγκλημα πίπτειν, κακῷ τὸ κακὸν ἰωμήνους, ἀλλ' « ἀγαθῷ τὸ κακὸν ὑπὸ μεγαλοψυχίας νικῶντας, » εὖ ποιεῖν τοὺς ἠδικηκότας · οὐ μόνον ὅτι τὸ τῆς ἀγάπης χρῆμα πασῶν ἀρετῶν ὑπεραίρει, ἧς ἄνευ, κατὰ τὴν Παύλου φωνήν, πάντ' ἔτι τἄλλα διακενῆς σπουδαζόμενα, ἐάν τε τὸν πρὸς τοὺς δεομένους ἔλεον φῆς, ἐάν τε τὴν ὑπὲρ Χριστοῦ μαρτυρίαν, ἐάν τέ τις ἢ τῶν θείων ἀπορρήτων τεχνίτης, « καὶ ὄρη μεθιστάναι δύναμιν ἔχων, » ἀλλὰ καὶ τὸ ταύτην κεκτῆσθαι, πάσας ἀρετάς ἐστι κεκτῆσθαι. Ὥσπερ γὰρ εἴ τις

C ὁντινοῦν φιλεῖν οἴοιτο δεῖν, πάντ' αὐτῷ συνεύχεται τὰ βελτίω, οὕτως ὁ τῆς αὐτοῦ ψυχῆς ὃν προσῆκε ποιούμενος λόγον, καὶ περὶ πλείστου ταύτην τιθεὶς, πᾶσαν ἀρετὴν ἐξ ἀνάγκης ἀσκήσει, δι' ὧν αὐτῷ τὸ σεσωσθαι προσέσθαι. Παρὰ πάντα δὲ ταῦτα ἐκεῖνο φρονεῖν ἀνάγκη, ὡς ὅστις εἶναι Θεοῦ βούλεται, δεῖ τοῦτον αὐτῷ κατὰ τὸ δυνατὸν, ἐξισοῦσθαι. Ἐξισοῦται δέ τις Θεῷ, φιλανθρωπίαν καθάπαξ ἀσκῶν. « Γίνεσθε γὰρ, φησὶν, οἰκτίρμονες καθὼς καὶ ὁ Πατὴρ ἡμῶν [*ed.* ὑμῶν] οἰκτίρμων ἐστί · τοῦτο γὰρ πρὸ τῶν ἄλλων χαίρει καλούμενος · ὁ δὲ μὴ οὕτως ἔχων, κἂν ᾖ πάντα κατωρθωκὼς, ἐκπεσεῖται πάντως Θεοῦ, ὡς ἀπεναντίας ἔχων ἐν τούτοις Θεῷ. « Τίς γὰρ κοινωνία φωτὶ πρὸς σκότος, ἢ Χριστῷ πρὸς Βελίαρ ; » ᾧ τὸ μὲν δυσμεναίνειν ἔστιν αἰεὶ καὶ τοῦτ' αὐτὸ [*f.* αὐτῷ] πρόσρημα · διὰ δὲ τὴν περὶ ἡμᾶς ἀγάπην

D ὁ Χριστὸς ἐσταυρώθη · εἰθ' ὅ μηδ' ἐπὶ τῶν ἐχθρῶν ἀπεύξαιτ' [*f.* ἐπεύξ.] ἄν τις ἀκοῦσαι, τοῦτ' ὑμῖν αὐτοῖς ἔλοισθε ἄν ; καὶ πῶς οὐκ ἰσχάτης παραπληξίας, ἐξὸν ἃ δεῖ πεπραχότας σεσῶσθαι, ἔπειθ ἑκόντας ὄντας ἑαυτοῖς βρόχον ἐξάπτειν. Οὕτως αὐτοὺς πρὸς τοὺς λελυπηκότας ἔχειν παρασκευάζων, καὶ τοῖς τῆς φιλανθρωπίας φαρμάκοις. τὸ τούτων καταστέλλων φλεγμαῖνον · ὁ δὲ καὶ πάσης ἄλλης ἀρετῆς λόγον ποιεῖσθαι παρήνει, καὶ μηδενὸς ἀφίστασθαι τῶν βελτίστων · ἀλλὰ τὸ μὲν κατὰ φύσιν χωρεῖν καὶ πράττειν ἃ δεῖ, προὔργου ποιεῖσθαι · τὸ δὲ κακίᾳ τὸν νοῦν προσέχειν, παρὰ φύσιν τε ὂν

[40] I Cor. VIII. 11. [41] Matth. XVIII, 12. [42] Rom. XII, 21. [43] I Cor. XIII, 2, 3. [44] Luc VI, 36. [45] II Cor. VI, 14 15.

καὶ μόνης ἐξηοτημένον τῆς προαιρέσεως, χαίρειν καθάπαξ ἐᾷν· ἢ παραχρησάμενοι τὴν ἀρχὴν, τῆς μὲν κατὰ θύσιν ἐξέστημεν ἀρετῆς. Μετέστημεν δὲ, πρὸς τὴν παρὰ φύσιν κακίαν, ἀφελόμενοι μὲν τὴν οἰκείαν ἡγεμονίαν τῷ νῷ, μόνῃ δὲ τῇ σαρκὶ δόντες τὸ δύνασθαι, καὶ ὅλως γεώδεις καὶ ὑλικοὶ γεγονότες· εἶεν.

A rit, cum recte agendo salvi esse possitis, vestra vosmetipsos sponte laqueum vobis defigere? Hunc ut illis animi sensum erga sectores oppressoresque suos inseruerat, lenibusque humanitatis medicaminibus eorum retuderat excandescentiam, etiam insuper eosdem ad reliquæ omnis virtutis studium hortabatur: atque ne quid optimarum rerum omitterent monuit; sed ut magnum operæ pretium esse ducerent, naturæ ipsius sequi vestigia, et quæ recta sunt agere; contra, ad improbitatem, quæ et præter naturæ ordinem sit, et ex sola hominis libera voluntate dependeat, animum appellere; id vero missum omnina facerent, quo nimirum voluntatis arbitrio mox ab initio male usi, a consentanea naturæ nostræ virtute descivimus, atque ad malitiam, quæ præter naturam est, transgressionem fecimus, mente nimirum legitimo suo spoliata imperio, carnique soli tradito dominio, unde et nos ipsi terreni penitus facti, materiæque cæno toli mersi fuimus. Sed hæc hactenus.

ΚΑ'. Ὁ μὲν οὖν οἷς ἃ παρῄνει, ταῦτ' αὐτὸς πρῶτος πράττειν ἠξίου. Πειθομένους ἅπαντας ἔχων, οἷς αὐτοὺς οὕτως εἶχε, καὶ ταυτὰ πράττοντας εἶχεν· οὗ τι καθάπαξ, ἀλλ' ὅσον εἰκάσαι· μόνος γὰρ ὧν ἴσμεν, καὶ λέγων καὶ πράττων, ἀμίμητος ἦν· θαυμαζόμενον δὲ ὑφ' ἁπάντων τοῦτον ὁρῶν ὁ κρατῶν, καὶ νῦν μὲν « ἔρεισμα εὐσεβείας καὶ θαυμαστήν τινα » καλούμενον « δόξαν· » νῦν δὲ σπέρμα θεῖον καὶ δρόσον Ἑρμῶν καταβαίνουσαν ἐπὶ τὰ ὄρη Σιὼν, » ψυχὰς τῷ δυσσεβείας φλογμῷ τηκομένας· καὶ τοῦτο μὲν, « γνώμονα θεολογίας καὶ κανόνα δογμάτων, » — « καθαιροῦντα πᾶν ὕψωμα κατὰ τῆς γνώσεως ἐπαιρόμενον τοῦ Θεοῦ. » τοῦτο δὲ, εἰ δεῖ συντόμως εἰπεῖν, « παντὸς ἀγαθοῦ πρυτανεῖον, » πᾶσί τε ἀηλῶς καὶ καθ' ἕνα ἑκάστῳ τὰ γιγνόμενά διανέμον, καὶ παντὶ παρέχον τὰ πρόσφορα· τοῦτον τοίνυν τοιοῦτον ὄντα ἐπείπερ αὐτὸς ἑώρα καὶ πάντων λεγόντων τε καὶ κροτούντων ἤκουεν, οἰκεῖον γὰρ ἕκαστος ἄθλον τὰ τοῦδ' ἐποιεῖτο, ἔχαιρέ τε τούτοις πολὺ μᾶλλον, ἢ τῷ περιόντι τοῦ κράτους, καὶ τῷ τοσῷδε διακειμένῳ τῆς τύχης· χάριτάς τε ὅτι πλείστας ὡμολόγει τῷ δι' αὐτοῦ τοῦτον προβεβλημένῳ Θεῷ· εὐδαιμονίζων μὲν τὴν πόλιν, τοῦ, ποιμένος ἠξιῶσθαι τοιούτου· εἰ δὲ βούλει, καὶ πᾶσαν τὴν οἰκουμένην. Ἐπειδήπερ « εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτοῦ· » εὐδαιμονίζων δὲ καὶ τοῦτον αὐτὸν, ὅτι πλείστας τε καὶ καλλίστας καὶ καταλλήλους ἀφορμὰς ἔσχε τῇ φύσει πρὸς ἔνδειξιν ἐναργῆ τῆς εἰς αὐτὸν μεγάλης τοῦ Πνεύματος ἐπιπνοίας τε καὶ φορᾶς, καὶ τῶν ἀκενώτων θησαυρῶν τῆς σοφίας, ὧν ὑπὲρ πάντας ἐκεῖθεν ἐπλούτησε καὶ πλουτίζειν ἔσχε τοὺς ἄλλους.

B XCI. Quando igitur primus sibi præstanda censuit, quorum suasor auctorque aliis esset, hinc universos satis obsequentes habuit, tum quod sic ad obsequia promptos haberet, eadem pariter capessentes agentesque habuit: non perfectissime quidem, sed hactenus, ut speciem ipsius aliquam similitudinemque referrent: erat ille enim unus omnium, quos cognitos habemus, dictis factisque plane inimitabilis. Quem cum admiratione omnium coli Cæsar animadverteret, et nunc « puræ religionis columen ac decus quoddam singulare » prædicari: nunc « semen divinum[46], » — « et rorem Hermonis descendentem in montes Sionis[47], » animos videlicet impietatis ardore liquefactos; partim item « norman theologiæ, sacrorumque dogmatum regulam, » — C altitudinem omnem, quæ adversus Dei cognitionem attollitur, destruentem[48], » partim, ut compendio dicam, « boni omnis publicum prytaneum, » cunctis singulisque convenientia omnia distribuens, et unicuique apta et idonea præbens. Siquidem hunc igitur talem tantumque virum esse, et ipse perspexerat, et consentiente bonorum omnium prædicatione plausuque intelligebat: suas enim quisque adoreas, suas coronas, quæ nostri erant, habebat: iis ille rebus haud paulo plus affici, quam potentatus sui majestate, tantoque imperialis fortunæ habitu, atque Deo, qui sua potissimum opera pontificem maximum Gregorium prodidisset, maximas agere gratias. Quin et urbi, quæ tanto dignata esset antistite, aut si mavis, universo terrarum orbi, suam congratulari felicitatem, quando « in omnem terram exibat sonus illius, et ad fines usque orbis terræ verba illius[49]; » et Gregorio ipsi pariter congratulari, quod uberrimam, et pulcherrimam, et naturæ suæ parem facultatem, et materiem nactus esset proferendi in apricum monstrandique ingentem afflatus et motus sancti Spiritus, quo ferebatur, vim, et inexhaustos cœlestis sapientiæ thesauros, quibus divinitus supra alios omnes cumulatus, alios item collocupletare posset.

ΚΒ'. Ὁ μὲν, οὖν πάνυ τοι τοῦτον ἐκπληττόμενος καὶ θαυμάζων ὑπὲρ πάντας τοὺς ἄλλους, καὶ αὐτὸς οὐχ ἧττον ἀντιβοᾶτο, καὶ παραπλησίως τῶν παιάνων μετεῖχεν, ὥσπερ τις κοινὸς εὐεργέτης ἀνθρώ-

XCII. Jam ut unice in Gregorio nostro præ aliis omnibus defixas Cæsar hærebat, unumque mirabatur, ita ipse non minus claris invicem attollebatur præconiis, cœlestiumque pariter laudum consors

[46] I Joan. III, 9. [47] Psal. CXXXIII, 3. [48] Cor. X, 5. [49] Psal. XIX, 5.

habebatur, quasi qui de toto genere humano in commune bene meritus esset, omniumque quos usquam solum sustineret, maximis homines ornavisset beneficiis ; unde imperatorum omnium augustissimus idem sacratissimusque celebratur : idque non ob numerum magis, et amplitudinem, et splendorem operum tropæorumque, quibus orbem terrarum omnifariam impleverat, neque item ob eam qua ad omnia utebatur, magnanimitatem atque clementiam, unaque omnium voce concessum ipsi virtutum omnium principatum, quam quod unum ex omnibus Gregorium, piæ plebis antesignanum ac tribunum, ut sic dicamus, divinorumque mysteriorum, et amplissimi Ecclesiæ cœrtus antistitem, legisset, quo nimirum ad instruendum parandumque Domino « proprii peculii populum (10), » haud alius aptior reperitur.

A πων, καὶ τῶν ἁπάντων ταμίγιστα χαρισάμενος · βασιλεύτατος γοῦν πάντων αὐτοκρατόρων καὶ θειότατος ἐκαλεῖτο . οὐ μᾶλλον τῷ πλήθει καὶ μεγέθει καὶ κάλλει τῶν ἔργων τε καὶ τροπαίων, ὧν ἐκασταχοῦ τῆς οἰκουμένης ἐστήσατο, οὐδὲ τῇ πρὸς ἅπαντα μεγαλοψυχίᾳ τε καὶ πραότητι, καὶ τῷ παρὰ πάντων ἐν ἅπασι συγκεχωρηκότι, ἢ ὅτι τοῦτον ἐξ ἁπάντων εἵλετο, δημαγωγὸν, ὡς εἰπεῖν, καὶ προστάτην τῶν τοῦ Θεοῦ μυστηρίων, καὶ τοῦ μεγάλου τῆς Ἐκκλησίας πληρώματος, ἅτ' ἔχοντα παντὸς μᾶλλον κατασκευάζειν Κυρίῳ « λαὸν περιούσιον. »

XCIII. Inter hæc concilium centum et quinquaginta episcoporum ex omni. Asia adversus Macedonium coactum, Constantinopolin occupabat, præside Meletio, archiepiscopo Antiocheno, viro cum aliis rebus maximo, tum quas pro pietate atque religione sustinuerat dimicationibus, in primis nobili ; patres igitur, quod Ecclesiæ Constantinopolitanæ patrocinium sanctissimum virum jam suscepisse viderent, et quot qualesque illius causa labores ac discrimina pertulisset, et quod hæresin omnem fundibus delesset, compertum haberent, simul item eloquentiæ, et veræ doctrinæ et, ut verbo complectar, per pulchra omnia pertinentis laudis nomine, hominem suspicientes, imperatoris de ipso suffragium, velut Dei plane suffragium, recte ac merito itidem comprobabant, thronumque hunc ipsi deberi summo studio decernebant. Ego vero etiam naud dubitarim affirmare, id quod longe profecto omnium maxime veritatis particeps est, rebusque ipsis quam optime respondet, nimirum, si unum ejuscemodi virum Asia, unum item Africa et Europa habuissent (10), et qui adeo perfecte omnes omnis virtutis numeros implesset, nullam usquam coorituram fuisse hæresim, omnesque omnino virtutis, ejusque quæ ad animam refertur gloriæ, peritissimos futuros cultores.

B ΚΓ'. Ἀρχιερέων μέντοι πεντήκοντα πρὸς τοῖς ἑκατὸν, ἐξ ἄρα πάσης Ἀσίας κατὰ Μακεδονίου τῶτότε τὴν Κωνσταντίνου κατειληφότων, ὧν ὁ Ἀντιοχείας Μελέτιος ἐξηγεῖτο, ἀνὴρ θαυμαστὸς τά τε ἄλλα, καὶ δὴ καὶ τοὺς ὑπὲρ εὐσεβείας ἀγῶνας εἴπερ τις περιφανής · οὗτοι τοίνυν ἐπεὶ τῆς Ἐκκλησίας προβεβλημένον εἶδον τὸν ἅγιον, καὶ ὅσους καὶ οἵους ὑπὲρ αὐτῆς πόνους καὶ κινδύνους ὑπάστη, καὶ ὡς καθεῖλεν ἅπασαν αἵρεσιν ἔγνωσαν, θαυμάσαντες τοῦτον καὶ λόγων κρὶ ἀρετῆς καὶ δογμάτων, καὶ τοῦ διὰ πάντων ὡς εἰπεῖν, ἥκοντος, τήν τε τοῦ βασιλέως καὶ οὗτοι περὶ αὐτὸν εὖ ποιοῦντες ἐκρατύναντο ψῆφον, ὡς δὴ Θεοῦ ψῆφον ἄντικρυς οὖσαν. τόν τε θρόνον ὀφείλεσθαι οἱ μάλα λαμπρῶς διετείναντο. Ἐγὼ δὲ καὶ τοῦτο λέγω, παντὸς μᾶλλον ἀληθείας μετέχον, καὶ μάλα ταῖς πράγμασιν ἀποχρῶν · ὡς, εἰ ἕνα ἄνδρα Ἀσία καὶ ἕνα ἄνδρα Λιβύη τε καὶ Εὐρώπη τοιοῦτον ἔσχήκασι, καὶ οὕτω παντοδαπῆς ἀρετῆς εἰσάπαν ἰόντα, οὔτ' ἂν οὐδητισοῦν αἵρεσις τοπαράπαν συνέστη, καὶ πάντες πάντως ἀρετῆς ἦσαν τεχνῖται καὶ τοῦ κατὰ ψυχὴν εὐδοκίμου.

XCIV. Verumenimvero nullum, invidia pestilentius esse reor flagitium, quæ quidquid decorum et eximium perpetuo invadit, atque neminem penitus mortalium excellenti gloria frui sinit ; quæ tantum illi etiam, qui ipsam habet, objicit furorem, ut alienam felicitatem suam existimet esse calamitatem : tum vero secundis esse vehi ventis, si alius quispiam adversos sentiat, quod si vanæ gloriæ cupiditatem homo adjunxerit, inconsulta, nullosque exitus repertura, cæco idem impetu audet, et indomitam plane malum est, quando enim satis per se grave utrumlibet vitium est, quid de junctis copulatisque censendum ? quale quiddam et hic accidebat. Quippe Ægyptii quidam et Macedones episcopi, qui rei jam dictæ gratia, post Asiasticos, Constantinopolin adierant, levicuh plane contemptique homines, qua doctrina, qua moribus actionibusque, qui nihilque prorsus titulo suo dignum haberent : hi non

C ΚΔ'. Ἀλλὰ γὰρ βασκανίας οὐδὲν δεινότερον οἶμαι τῶν πάντων, τοῖς μὲν καλοῖς ἐπιφυομένης ἀεὶ, θαυμάζεσθαι δὲ μηδοντινοῦν τοπαράπαν ἀνεχομένης, ἀλλὰ καὶ τοσαύτην ἐμποιούσης τῷ κεκτημένῳ μανίαν, ὡς τὴν μὲν εὐτυχίαν ἑτέρου, δυστυχίαν οἰκείαν νομίζειν · εὖ δ' αὐτὴν πάνυ τοι πράσσειν, ἐὰν ὁστισοῦν δυστυχῇ · ὅταν δὲ καὶ κενοδοξίαν ὁ τοιοῦτος προσλάβῃ, ὁ δὴ καὶ τοῖς ἀνηνύτοις ἐπιπηδᾷ, καὶ κακὸν ἄμαχόν ἐστιν · ὅπου γὰρ καὶ τούτων ἑκάτερον καθ' ἑαυτὸ δυσχερὲς, τί δεῖ τὸν συνδυασμὸν τούτων

D νομίζειν ; ὁποῖόν τι κἀνταῦθα ξυνέπεσεν. Αἰγύπτιοι γάρ τινες καὶ Μακεδόνες ἐπίσκοποι, δι' ἅπερ ἔφην ἐνταῦθα, καὶ οὗτοι μετὰ τοὺς Ἀσιανοὺς ἀφιγμένοι, ἄνθρωποι βάναυσοί τινες, καὶ λόγον καὶ ἦθος καὶ πρᾶξιν, καὶ μηδὲν ὅλως ἄξιον τοῦ προσρήματος ἔχοντες, οὐ μᾶλλον βασκαίνοντες Γρηγορίῳ, ἢ ὄνι μὴ συμψήφους ἐπ' αὐτῷ καὶ τούτους προσέλαβον οἱ ἐκ τῆς Ἀσίας, οὐ μικρῶς δυσχεράνατες, ἃ μὴ προ-

[80] Tit. II, 14.

(10) Adumbratum ex Demosth. *De corona*, 195.

ἦκεν· ὦ δίκη καὶ νόμοι καὶ πάντα βλέποντες ὀφθαλμοὶ τοῦ Θεοῦ καταψεύδονται τοῦ ἁγίου, τρισεπίσκοπον ἀποκολοῦντες τοῦτον καὶ οὐκ εὐλόγως οὐδὲ κανονικῶς ταυτησὶ τῆς καθέδρας ἐπειλημμένον. Σάσιμα, καὶ Ναζιανζὸν, καὶ Βυζάντιον, καὶ τὰ τοιαῦτα ληροῦντες· ὧν τοῦ μὲν πρώτου καὶ τελευταίου κατὰ τοὺς ἱεροὺς τυφῶντι θεσμοὺς· τῶν μέντοι Ναζιανζηνῶν, οὔτ' οὐδενὸς τοιούτου τὴν ἀρχὴν προσκεχωρηκότος, καὶ τῆς πατρικῆς ἀνάγκης εἵνεκα προΐστη· γήρᾳ τε καὶ νόσῳ, καὶ πλείστοις ὅσοις ἀπειρηκότος δεινοῖς· καὶ προσέτι παλαμναιοτάταις αὐτὸν συσχόντος ἀραῖς· ἵν' ἐπειδὴ Κασίμοις μένειν οὐκ ἔπειθε, συναντιλάβοιτο γοῦν αὐτῷ τοῦ ποιμνίου καὶ τῆς τοῦ λαοῦ προστασίας, καὶ τῶν ἐν τούτοις φροντίδων κοινωνὸς, ἕως ἂν περιῇ κατασταίη· ἐκείνου δὲ μεταλλαχότος τὸν βίον, οἵ ἂν αὐτὸν τὸ τῆς ψυχῆς αἱρούμενον ἀγῇ, χωροίη.

A invidentia magis adversus Gregorium moti, quam quod in illo confirmando non ipsorum item suffragatorios calculos Asiatici antistites assumpsissent, haud mediocriter stomachantes, de sancto viro, quæ minime in illum quadrarent: o justitia et leges, et cuncta contuentes Dei oculi! effutiebant mendicia, *tripontificem* nimirum vocitantes, quive nullo bono jure, nec canonice, hanc ipsam occupavisset cathedram, Sasima, et Nazianzum et Byzantium, et alia id genus garrientes, quanquam primum ille postremumque omnino pontificatum, secundum sacra Ecclesiæ decreta, rite susceperat, Nazianzenum autem, et quod nemo satis idoneus mox vacuum adibat, et antea paternæ necessitatis causa, vicaria opera, gubernarat. Etenim pater provecta senectute, ægro corpore, et innumeris præterea malis B quassatus adhæc gravissimis filium exsecrationibus devinxit, ut quando Sasimis remanere ipsi in animum inducere nequibat, junctis secum operis, suis gregis populique tutelam susciperet, sibique, dum vita maneret, curarum laborumque socius et adjutor esset; qua ubi concessisset, iret sane, quo illum cunque animi impetus ferret.

ιεʹ. Τοὺς μὲν οὖν ἔχων ἐλέγξαι καὶ καταισχύναι καὶ δεῖξαι, κατὰ τὸ ἔπος· « Παγγλωσσίας κόρακας ὥς, ἄκραντα γαρύοντας Διὸς πρὸς ὄρνιχα θεῖον. » τὸ μὲν οὐκ ἠξίωσεν· ὁ δὲ κάλλιστον καὶ λυσιτελέστατον ᾤετο, καὶ αὐτῷ μάλα πρὸς τρόπου, τοῦτο καὶ βουλεύεται καὶ ποιεῖ· τοῦτο μὲν, τοῦ μὴ δοκεῖν δόξης ἐρᾷν· τοῦτό δὲ, τοῦ μισεῖν οὕτω φιλονεικίαν, « ὡς καὶ μετὰ τῶν μισούντων τὴν εἰρήνην εἰρηνικὸς εἶναι βούλεσθαι. » Καταλείπει μέν· γε ὦ θαυμαστῆς καὶ καινῆς μεγαλοψυχίας, καὶ ζῆλον ἥκιστ' ἐχούσης! τὸν περισπούδαστον καὶ περιμάχητον, καὶ πᾶσι τοῖς ἄλλοις ἐπίρραστον θρόνον, πολλῷ ῥᾷον καὶ ἥδιον, ἢ C λαμβάνουσιν ἕτεροι· δείξας ἐντεῦθεν, ὡς οὐδὲ τὴν ἀρχὴν ἔρωτι δόξης τῆς καθέδρας ἐπέβη· οὐδὲ φαντασίας ἐπιθυμῶν, ἀλλὰ πολεμουμένην ὁρῶν τὴν Τριάδα κακῶς διαιρουμένην καὶ συνολειφομένην· καὶ τὸ κατ' αὐτὴν ὑπορρέον ἐὰν μὴ χεῖρά τις ὡς τάχιστ' ὀρέξῃ. Καταλείπει δ' αὖ καὶ τὸν ποιμανθέντα λεὼν τὰ θεῖα πατηρτισμένον, καὶ περὶ τὴν πίστιν εὖ μάλα λαμπρῶς ὠχυρωμένον καὶ ἡδρασμένον καὶ τῆς Τριάδος γνήσιον λατρευτὴν, ὅσον ἐνέδει τὰ τοιαῦτα πρστοῦ κακῶς ὑπὸ τῆς τῶν αἱρετιζόντων πάσχων φατρίας.

XCV. Tametsi vero in proclivi nostro fuerat obtrectatores suos redarguere, et in pudorem dare, et ostendere illos, secundum notum versum (11); « Instar omnilinguium corvorum contra divinam Jovis alitem vana et inania crocitare, » hanc ille tamen repudiabat rationem. Cæterum, quod pulcherrimum optimumque factu visum, et ingenio hominis convenientissimum erat, hoc arripit ac sequitur consilium, partim ne gloriæ honorique suo cupidius velificari videretur, partim quod sic ab rixis atque dimicationibus adhorreret, « ut cum iis etiam qui pacem odissent pacem colere studeret. [31] » Mox itaque, o incredibilem et novam, imitationisque minime studium habituram, animi magnitudinem! thronum patriarchalem, rem per se expetendam, et optabilem, omnique nisu vindicandum, et cæteris omnibus charissimam, haud paulo expeditius promptiusque relinquit, quam accipiunt alii. Quo ipso satis comprobatum dedit, sede ne principio quidem, ullo gloriæ ambitu, externique splendoris amore, istam ascendisse cathedram, sed quod sanctissimæ Trinitati, male videlicet tum divulsæ, tum confusæ, bellum illatum cerneret, veramque adeo illius brevi dilapsuram intelligentiam, nisi quam primum subsidio quispiam veniret. Sed et quem paverat cœtum, in divinis redintegratum, instructumque et in recta pietate probe luculenterque confirmatum atque constabilitum, et sanctæ Trinitatis geninum cultorem reliquit (12), quanto idem antea, male ab hæreticorum factione muletatus, his in rebus deficiebatur.

ιϛʹ. Βασιλέως δὲ καὶ τοῦ κατ' αὐτὸν συνεδρίου καὶ ὅσον τῶν ἀρχιερέων ὑγιαίνοντες ἦσαν, σχεδὸν δ' ἅπαντες ἦσαν, ἔτι τε παντὸς τῶν ὀρθοδόξων συλλόγου, συναθροισθέντων καὶ πλεῖστ' αὐτοῦ δεομένων καὶ μένειν παρακαλούντων, καὶ κινηθέντος παντὸς ἔργου καὶ λόγου, καὶ παντοδαπῆς σπουδῆς καὶ προκλήσεως, καὶ πανταχόθεν πείθειν ἐπιχειρούντων, καὶ πάνυ τοι διατεινομένων, μηδ' ἂν εἴτι καὶ γένοιτο D

XCVI. Hic imperator sane una cum suo senatu, et sanior item antistitum pars, quæ multo utique maxima fuit; et universus insuper orthodoxorum cœtus, in unum coacti locum, Gregorium, ut maneret, maximo rogare obtestarique opere, omniaque dictis factisque, omnique et studio et obsteratione, sedulo movere, et undelibet in suam illum ad ducere conari sententiam, et vehementius etiam

[31] Psal. cxx, 6, 7.

(11) Pindari *Olymp.* stroph. v, 13.

(12) Greg. p. 549.

asseverare, nullo ipsum pacto, quidquid inde aventurum esset, sese amissuros: postremo etiam, maxima vocis contentione, unus quispiam, nescio quis, exclamare: « Tu sane quod hinc discedis, ipsam etiam Trinitatem tecum abducis. » Verumtamen nihilo ille magis de obstinato abdicationis consilio decedere, aut tantulum de sua remittere pervicacia, verum immotus omnino persistere, imbecillitatem corporis, suumque senium causatus (12'), per quæ capessendis in posterum gravioribus negotiis, publicisque juvandis commodis, inhabilis ; agendæ duntaxat in solitudine vitæ consortio par esset. Quapropter vix tandem datus illi commeatus fuit, quando quidquid facerent omnino dicerentque, in irritum cadere videbant.

A τοῦτον μεθήσειν, καὶ τὸ μέγιστον βοήσαντος ὁτουοῦν, « ὡς οἷς αὐτὸς ἀπαίρεις ἐνθένδε, καὶ τὴν Τριάδα σαυτῷ συναπάγεις, » οὐδὲν μᾶλλον ἀπέστη τοῦ περὶ τὴν ἀπόλειψιν τόνου, οὐδ' ἐνέδωκε τῆς ἐνστάσεως · ἀλλ' ἀκλινὴς παντάπασιν ἦν, ἀσθένειαν προβεβλημένος καὶ γῆρας, καὶ τὸ μηκέθ' οἷόστ' εἶναι διαταῦτα πράγμασι χρῆσθαι, καὶ τῷ κοινῷ λυσιτελεῖ ξυντελεῖν, ἀλλὰ μόνου τοῦ κατὰ μόνας εἶναι μετέχειν, δι' ἃ καὶ μόλις συνεχωρήθη τὴν ἔξοδον · εἰδότων ὡς ἀνηνύτοις ἐπιχειροῦσι πάντα ποιοῦντες καὶ λέγοντες.

XCVII. Mox, quoniam ne puncto quidem temporis sine pastore suo esse poterat Ecclesia, quodipsis ad genuinam pietatem recens informatis, velutique, quod dicitur [52], « ex oleastro in veram oleam insitis, » majore perfectioreque ad fidem tuendam opus erat habitu; et quod ex insidiis imminentes hæretici, in illos irruere, et diripere, et ad pristini erroris lubricum reducere, prompti expeditique essent. Ibi protenus in patriarchale evectus solium Nectarius, municeps Tarsensis, illam omnium maximam, Deo que super omnia æstimatam, animarum suscepit procurationem : homo sapientia et virtute tanto aliis major, quantum et his ipsis, et cæteris rebus omnibus, illum vir maximus anteibat; et qui non paulo plus sibi de tanti viri successione, quam throni pontificii dignitate, gratularetur; quippe inter omnes convenit, etiam thronum ipsum a nostro gloriosiorem factum, et majore omnino in pretio deinceps habitum fuisse.

ιζ'. Εἶτ' ἐπειδήπερ οὐχ οἷοντ' ἦν οὐδ' ἐπίβραχὺ τὴν Ἐκκλησίαν ἐστερῆσθαι ποιμένος, τῶν μὲν ἀρτιπαγῶν πρὸς εὐσέβειαν ὄντων, καὶ οἷον ἐγκεντρισθέντων, ὡς λόγος, « ἐξ ἀγριελαίου πρὸς καλλιέλαιον, » B κάντεῦθεν μείζονος καὶ τελεωτέρας δεομένων ἕξεως πρὸς τὴν πίστιν, τῶν δ' αἱρετιζόντων ἐφεδρευόντων καὶ ὄντων ἑτοίμων τούτοις ἐπεισπεσεῖν καὶ σιαρπάσαι καὶ πρὸς τὸν πρότερον ἐπαναγαγεῖν ὅλισθον · ἀνάγεται μὲν εὐθὺς εἰς τὸν τῆς ἐπισκοπῆς θρόνον, Νεκτάριος ὁ Ταρσεὺς, καὶ τὴν τῶν ἁπασῶν μεγίστην καὶ τοῦ παντὸς Θεῷ τιμωμένην δέχεται ψυχῶν προστασίαν · συνέσει μὲν καὶ ἀρετῇ τοσοῦτο τῶν πολλῶν διαφέρων, ὅσον αὐτοῖς τε τούτοις καὶ πᾶσι τοῖς ἄλλοις ὁ μέγας αὐτοῦ · τῷ δὲ διάδοχος γεγενῆσθαι τοιούτου, σεμνυνόμενος πλέον, ἢ τῷ τοῦ θρόνου μεγέθει · ἐπεὶ καὶ τὸν θρόνον αὐτὸν, ζηλωτότερον ἐξ ἐκείνου, καὶ πλείονος σπουδῆς ἀξιούμενον ἅπαντες ἴσμεν.

XCVIII. His ad hunc modum peractis, synodoque jam conclusa, quæ contra « Spiritus sancti oppugnatores et semiarianos, » quemadmodum noster appellat, conflata et instituta fuerat : quæ simul et Macedonium, vanitatis hujus auctorem, et Apollinarium Syrum, qui assumptam Christi carnem mente sua destitutam fuisse delirabat, et adversus divinam istam insurgebat œconomiam, quasi in mentis humanæ vicem sua Christo suffecisset divinitas, penitus redarguit, eosque ut homines summe impios et conscelerates anathemati tradidit. Cujus synodi tanquam caput quoddam Gregorius fuit ; quippe qui longe omnium maximam Patribus in eo certamine opem operamque præstitit, omnesque in stuporem eruditionis suæ divinæque gratiæ ubertate, dedit, et qui singulari gaudio atque ornamento nostris fuit : adversariis autem, ut æquum erat, perpetuam ignominiam inussit, meræque insaniæ reos peregit.

ιη'. Οὕτω δὲ τούτων κεχωρηκότων, καὶ τῆς κατὰ « τῶν Πνευματομάχων τε καὶ Ἡμιαρείων, » ὡς αὐτὸς οὗτος λέγει, συγκροτηθείσης καὶ παρασκευασθείσης συνόδου, τότ' ἤδη πέρας λαβούσης · καὶ ἅμα μὲν Μακεδόνιον, τὸν ταυτησὶ τῆς ματαιότητος ἀρχηγὸν, ἅμα δὲ καὶ τὸν Σύρον Ἀπολινάριον, τὸν ἄνουν τὴν τοῦ Χριστοῦ πρόσληψιν λήρῳ δοῦντα, καὶ κατεξανιστάμενον τῆς θείας οἰκονομίας, ὡς ἀντὶ νοῦ τῆς θεότητος ἀποχρώσης, κατάκρας ἐξελεγξάσης, καὶ ὡς ἀθεωτάτους τε καὶ κακίστους ἀναθέματι παραδούσης · ταύτης ὡσπερεὶ κεφάλαιον Γρηγόριος ἦν · τὰ μέγιστα πάντων συναράμενος σφίσι πρὸς τὸν ἀγῶνα, καὶ πάντας ἐκπλήξας λόγου περιουσίᾳ καὶ χάριτος · καὶ τοὺς μὲν ἡμετέρους εὐφράνας τε καὶ κοσμήσας · τοὺς δ' ἀντιπάλους, ὡς εἰκὸς, καταισχύνας, καὶ δεῖ- D ξας μηδὲν ὑγιές.

XCIX. Demum ubi imperatorem ob acerrimum veræ fidei ardorem studiumque eximie collaudasset, et quidquid unquam poterat maximarum laudum in illum congessisset, eumque suis simul votis contra visibiles invisibilesque armavisset hostes; at que cæteros item omnes, quæ tempus postulabat.

ιθ'. Τὸν μὲν οὖν κρατοῦντα τοῦ περὶ τὴν πίστιν ζήλου καὶ τῆς σπουδῆς πάνυ θαυμάσας, καὶ πᾶσιν οἷς εἶχεν ἐγκωμίοις προσειρηκὼς, καὶ σύν γε καθ' ὁρατῶν τε καὶ ἀοράτων ἐχθρῶν ταῖς εὐχαῖς αὐτὸν καθοπλίσας, τοῖς δ' ἄλλοις πᾶσι τὰ γιγνόμενα παραινέσας, καὶ πείσας εἰσάπαν ὁμονοεῖν, καὶ τὴν τῆς

[52] Rom. vi, 24.

(12) Greg. 523.

Fortasse quidem quibusdam absurde facere videbor si, cum sim exsuli genere conjunctus, attamen pro ipso verba faciam : existimabunt enim quod non propter justitiam nec ut res quas oportet tuear, sed naturæ instinctu surrexerim, nil æqui habens dicere, sed verborum astutia et occultis artibus maxime confisus. Ego quidem in hoc plane dissentire fateor : tantum abest ut propterea timeam, ut ipsius causa longinquam navigationem susceperim et maris pertulerim molestias, non hoc solum tributum conferens generi in opportunitate temporis, sed multo magis veritus, ne in proprios ferus atque impius videar, si, in rebus quæ etiam alienos incitant, solus ego quiescam. His autem posthabitis, si scindi possem, et benevolentiam seorsum ostendere, ac postea in hoc certamine illi auxiliari, hæc forent, et non essent causæ iis qui cupiunt vituperare : quod si autem illud fieri nequeat, quomodo non pro virili parte propinquos contra omnes fas periclitantes defendam ? Certe nemo est ita calamitatis ignarus, et malæ fortunæ inexpertus ut nesciat cujusque adversitates benevolas mentes postulare, et inde bonos judicari.

Et revera, si apud alium quemvis verba facerem, illud cogitare possem, quod verba mea secutus, sed inique, sententiam statueret ; quoniam vero omnes scimus te dicendo oratores Homericos superare, cur hæc oportebat dicere, et non omnibus viribus colluctari ?

Da autem mihi, imperator, paucis verbis uti, ut satis videre possis jampridem Chandrenum inter bonos recenseri, et nihil esse quod illi ad laudem non faciat. Sed si de genere interrogas, multa

(3) Nestorem videlicet, λιγὺν Πυλίων ἀγορητήν.

A πεφήνασί τινες οἷς τῶν κοινῶν ἔλασσον μέλει, καὶ διὰ τοῦτο κρίνουσιν ἄνθρωπον, ᾧ τῶν ὑπὲρ ἡμῶν κινδύνων, ὡς αὐτὸς οἶσθα, μάλιστα συγχαίρειν ἐχρῆν, δέομαί σου, βασιλεῦ, μὴ, συναρπασθέντα τοῖς τούτων λόγοις, τὸν μὲν καὶ ἃ πάλαι τούτῳ συνοιδας ἀτιμάσαι, τὰς δὲ τῶν συκοφαντῶν βλασφημίας ἰσχυροτέρας νομίσαι τῶν ἐν τούτοις δικαίων, ἀλλ' ἡσυχῇ καὶ τοὺς παρὰ τούτου δεξάμενον λόγους, ἂν μὲν ἀδικῶν ἐλεγχθῇ, τότε καλάζειν καὶ τιμᾷν αὐτῷ τῶν ἐσχάτων, ἂν δ' ἔξω πάσης αἰτίας, ὡς ἐγῷμαι, φανῇται, ἐπὶ τοὺς καταψευσαμένους δήπουθεν τὴν ὀργὴν ἐνεγκεῖν. Ἃ γὰρ ἂν, οὗτος εἰ πλημμελῶν ἐφωράθη, δίκαιον ἦν ὑποστῆναι, τούτοις αὐτοὺς ἠλωκέναι πλημμελεῖν φωραθέντας, μάλιστα μὲν ἵνα μὴ τοῖς ὁμοίοις ἐγχειρήσωσιν αὖθις, ἔπειθ' ἅτι καὶ πάνδεινόν ἐστιν εἰ τοῖς πονηροτάτοις B οὕτω γ' ἂν χρῆσθαι τῇ φύσει δώσομεν, εἰδότας ὡς οὐ πείσονται κακῶς, ἂν μυριάκις ἐλεγχθῶσι ψευσθέντες.

Ἴσως μὲν οὖν ἄτοπόν τισι δόξω ποιεῖν, εἰ τῷ φεύγοντι καιὰ γένος προσήκων, ἔπειθ' ὑπὲρ αὐτοῦ χρῶμαι τοῖς λόγοις· οἰήσονται γὰρ ὡς οὐ τοῦ δικαίου χάριν, οὐδὲ τοῖς πράγμασιν ἃ δεῖ συνερῶν, ἀλλ' ὑπὸ τοῦ πεφυκότος ἀνέστην, δίκαια μὲν οὐδὲν ἔχων λέγειν, τῇ δὲ τῶν λόγων δεινότητι καὶ παρασκευῇ μάλα θαῤῥῶν. Ἐγὼ δὲ τὸ μὲν αὐτῷ καὶ πάνυ τι διαφέρειν ὁμολογῶ· τεσοῦτόν γε μὴν δέω διὰ ταῦτα φοβεῖσθαι, ὥσθ' ὑπὲρ αὐτοῦ τούτου καὶ μακρὸν πλοῦν ἐστειλάμην καὶ τῶν ἐκ τοῦ πελάγους δυσχερῶν ἠνεσχόμην, οὐκ αὐτὸ τοῦτο μόνον τὴν γιγνομένην ἀποδιδοὺς τῷ γένει συντέλειαν ἐν τῷ C καλοῦντι καιροῦ, ἀλλά τι καὶ δεδιὼς πολὺ πλέον, μὴ περὶ τοὺς οἰκείους θηριώδης δόξω καὶ δυσσεβὴς, εἰ, τῶν πραγμάτων καὶ τοὺς ἔξω καλούντων, μόνος αὐτὸς ἡσυχάζοιμι. Ἄνευ δὲ τούτων· εἰ μὲν ἦν διελέσθαι, καὶ τὴν μὲν εὔνοιαν ἐνδεδεῖχθαι χωρὶς, ἔπειτα δὲ καὶ πρὸς τὸν ἀγῶνα συνάρασθαι τουτῳ, ἦν ἂν ταῦτα, καὶ οὐκ ἂν ἦσαν προφάσεις τοῖς ἐπιθυμοῦσι κακίζειν· εἰ δὲ τοῦτο οὐχ οἷόν τε, πῶς οὐκ ἐκ τῶν ἐνόντων παρίστασθαι τοῖς οἰκείοις παρὰ πάντα κινδυνεύουσι νόμον ; Οὔκουν γε οὐδεὶς οὕτως ἔξω καθάπαξ τοῦ δυστυχεῖν καὶ τῆς οὐκ ἀγαθῆς τύχης ἄπειρος, ὃς ἀγνοεῖ δήπου ὡς αἱ συμφοραὶ παντὸς μᾶλλον ἀπαιτοῦσι τοὺς εὔνους, καὶ τοὺς ἀγαθοὺς ἐντεῦθεν κρίνομεν.

Καὶ μὴν εἰ μὲν πρὸς ἕτερον ὁντινοῦν ἐποιούμην D τοὺς λόγους, ἦν ἂν ἐννοεῖν ὡς λόγοις παρακολουθήσας τοῖς ἐμοῖς, ἀλλ' οὐκ ἐν δίκῃ, τὰ τῆς ψήφου γε θεῖτο· ὅτι δ' ἅπαντες ἴσμεν ὡς καὶ τοὺς ἄγαν δεινοὺς οὐδὲν αὐτὸς ἀποφαίνεις δημηγορῶν, ὅς γε καὶ τοὺς Ὁμηρικοὺς παρελαύνεις ῥήτορας (3), τί ταῦτα λέγειν ἐχρῆν, ἀλλ' οὐ παντὶ σθένει συναγωνίζεσθαι ;

Δὸς δέ μοι, μικρὸν, ὦ βασιλεῦ, τὸν λόγον ἀνενεγκεῖν, ἵν' ἰδεῖν ἔχῃς ἀρκούντως ὡς πόῤῥωθεν Χανδρηνὸς εἰς ἀγαθοὺς ἤφερε, καὶ οὐδὲν ἔσθ' ὃ μὴ τούτῳ χορηγεῖ πρὸς ἔπαινον. Ἀλλ' ἐάν τε τὸ γένος

εἶπῃς, πολλοῦ τινος ἄξιον καὶ τῆς Ἀσίας πολλάκις ὡσπερεὶ πρόβολος ὤπται· ἐάν τε τοῦτον ἐξετάσῃς, εὑρήσεις οὐ τῶν προγόνων ἀξιόχρεων μόνον, ἀλλὰ καὶ συχνῷ τῷ τουτουὶ παριόντα (4), καὶ τῶν ἐκεῖθεν αὐτῷ πολλῶν καὶ μεγάλων παραδειγμάτων μείζω τοῖς ὅλοις ἀγωνιστήν. Καὶ οὔτ' ἐκείνων τοῖς ἰδίοις ἀγαθοῖς κοσμουμένων εἰς ὄνειδος καὶ ξημίαν ἐτελεύτησεν οὗτος, πλεῖστον ὅσον ἀπολειφθείς, ἀλλ' ἐξέτεινε τὴν μίμησιν εἰς ὑπερβολήν· οὔτ' αὖ πάλιν οὗτος τοῖς ἐκ τοῦ γένους ἠγάπησε μόνοις, ὥσπερ τις οἴκοθεν μὲν οὐ φανείς, τὸ δὲ πατρὸς ὀλυμπιονίκου εἶναι εἰς ἀρετῆς λόγον ἀποχρῶν εἶναι νομίζων, ἀλλὰ, τὴν πατρῴαν ἀρετὴν μεγίστης εὐδοκιμήσεως ὑπόθεσιν κρίνας καὶ πρὸς τὰ μείζω παρασκευήν, ὁμοῦ τε σφᾶς ὑπερῆρε καὶ πλεῖστον ἐφ' αὑτῷ φιλοτιμεῖσθαι παρέσχε.

A existimatione dignum est et sæpenumero Asiæ quasi murus exstitit : si de illo quæris, invenies non esse tantum parentibus illustribus ortum, sed etiam ea longe superasse virtutis exemplaria ipsi ab eis proposita. Et non, ipse multum illis inferior, eos propriis decoribus ornatos turpitudine ac ignominia affecit, sed imitationem longe provexit : nec autem ille sola generis virtutes satis esse duxit, sicut aliquis suapte natura ignobilis, patrem Olympionicen ob virtutem esse clarum sufficere ratus, sed patris virtutem maximæ gloriæ fundamentum esse judicans et ad majora præparationem, simul et suos superavit, et multa in seipso præclara præbuit.

Δῆλον δέ· ὧν γὰρ ἐπὶ τῆς Ἀσίας (ἐκεῖθεν γὰρ, ὡς ἔφην, αὐτῷ τὰ τοῦ γένους), καὶ τοῦτο μὲν στρατοπέδων, τοῦτο δὲ καὶ πόλεων ἄρχων ἐκ παίδων ἤδη, ὅσα μὲν εἰς λογισμοὺς ἥκει καὶ τὸ βουλεύεσθαι γερόντων ἐκράτει, ὅσα δ' εἰς πολέμους καὶ μάχας καὶ χειρῶν εὐψυχίαν τῶν συνειλεγμένων ἁπάντων, οὐχ ὅπως τῶν ἀντιπάλων αὐτῶν, τῇ μὲν τῶν νόμων φυλακῇ τοὺς ἀρχομένους ἐπαύξων καὶ μετὰ τῶν εὐδαιμόνων τιθείς, τῷ δὲ σκηπτοῦ δίκην ἐμπίπτειν τοὺς ἐχθροὺς καταπλήττων· ἀεὶ μὲν νικῶν, ἡττώμενος δὲ οὐδ' εἰσάπαξ, οὐ μὴν οὐδ' ἄπρακτος ἀποχωρῶν· ἔσθ' ὅτε ἀμάχου μὲν τόλμης ἐμπιπλὰς τοὺς οἰκείους, τρόμον δὲ τοῖς πολεμίοις ἐμβάλλων· μόνος μὲν πρὸς πολλοὺς πολλάκις, πρὸς ἀριθμοῦ δὲ κρεῖττον πλῆθος παρατατόμενος μετ' ὀλίγων, καὶ νικας τὰς κάλλιστας τε καὶ μεγίστας λαμβάνων· θαυμαζόμενος μὲν οἷς τοὺς παραπεσόντας πάντας ἀνῄρει, θαυμαζόμενος δὲ καὶ οἷς τοὺς ἀπόντας μετριωτέρους καθίστη τῷ φόβῳ. Τοὐντεῦθεν οὐκ ἔτ' εἰς χεῖρας ἰέναι, ἀλλ' οὐδ' ἐξιέναι τῆς σφετέρας τὸ παράπαν ἐτόλμων· ἀλλ', ἃ πρόσθεν ἔδρων οὗτοι τοὺς ἄλλους, ταῦτ' οὐκ ὀλιγάκις ὑπ' ἐκείνου παθόντες καὶ πειραθέντες ἔξω παντάπασι λογισμῶν, τὴν ἡσυχίαν ἐπειτ' ἄγειν ᾠοντο δεῖν, ὥσπερ αὐτῶν, οἶμαι, κατεγνωκότες τὸ καὶ τὴν ἀρχὴν ἐγχειρίσον· τοσοῦτον ἦν αὐτῷ παρὰ πάντων τὸ πρὸς τὰς μάχας ἀφεστηκὸς, καὶ τῶν οἰκείων μόνων, ἀλλ' ἤδη καὶ τῶν πολεμίων αὐτῶν, καὶ τούτων Περσῶν (οὐδὲ γὰρ τοῦτο μικρὸν εἰς προσθήκην), οὓς ἅπαντες ἴσμεν ἐν τοῖς ὅπλοις βιαῦντας, καὶ ταυτην ἡγουμένους ῥᾳστώνην εἶσω βελῶν καθάπαξ ἑστάναι, ὥστε καὶ σφᾶς πλέον, εἰ καὶ παρέδοξον φάναι, νομίζειν ὑπ' αὐτοῦ νενιλῆσθαι ἢ περιγιγνομένους αὐτοὺς εἶναι τῶν ἄλλων, μεῖζον ἡγουμένους εἰς δόξαν τοὺς κεκρατηκότας λαμπρούς τινας ἔχειν ἢ φαυλοτέρων αὐτοὺς ἥττας κοσμεῖσθαι.

B Quod in promptu est : cum enim in Asia versaretur (exinde namque, ut dixi, genus ducebat), et nunc exercitibus, nunc urbibus jam inde a juventute præesset, quidquid in senibus judicii et in consilio sapientiæ inesset, quidquid bellorum ac certaminum peritiæ et manuum strenuitatis non tantum in suis hostibus, sed in omnibus congregatis esset, superabat, egum custodia amplificabat subjectos ac felices efficiebat, et inimicos, fulminis instar in eos irruendo, perculiebat. Semper erat victor. numquam, ne semel quidem, superatus, aut re male gesta reversus; aliquando insuperabilem audaciam suis infundens, terrorem hostibds incutiebat. Solus sæpe contra multos, aut propre turbam numero præstantiorem cum paucis collocatus, pulcherrimas ac maximas reportabat victorias, mirabilis et cum diruerét obvios hostes, mirabilis et cum paucissimos qui abierant terrore contineret. Hinc non tantum manus conserere, sed nec domo exire prorsus audebant; sed, quæ prius isti erga alios agebant, hæc non semel ex illo præter opinionem experti atque perpessi, quiescere deinceps oportere censuerunt, quasi, ut opinor, seipsos imperium appetiisse pœnituerit. Ita omnes cum illo pugnare abstinebant, non modo subjecti, sed etiam hostes ipsi et isti Persæ (non enim illud parva est accessio), quos omnes scimus inter arma vitam agere, et illud oblectamento habere quod semper in armis remaneant, ita ut pluris faciant, etiamsi illud sit incredibile dictu, se ab illo victos esse quam ipsi alios superare, magis gloriæ esse rati claros habere victores, quam infirmiorum cladibus decorari.

Οὐ τοίνυν πολεμῶν μὲν οὕτως ἐκράτει, τὰ δ' εἰς εἰρήνην ἑτέρων ἠττήθη· ἀλλὰ καὶ ταῦτα τῶν ἐν τοῖς πολέμοις οὐκ ἀντίῤῥοπα (5) μόνον, ἀλλὰ καὶ καλλίω τοῖς ὅλοις ἐδείκνυ, ὥσπερ αὐτὸς αὐτὸν ἀμιλλώμενος. Καὶ σιωπῶ τὰ τ' ἄλλα καὶ τὸ φιλαν-

Verum, sicut militiæ, ita in pacis studiis non fuit aliis inferior : sed hæc non modo bellicis æqualia, sed etiam excellentiora prorsus exhibuit, quasi ipse se ipsum superaret. Et cæterum taceo et eum humanum esse in alienos, mansuetum et be-

(4) Forsan, σ. τῷ μέσῳ τούτους παρ.
(5) Legendum, ὥσπερ πρὸς αὐτὸς αὐτὸν, qua verborum collatione utitur alibi.

nevolum in subjectos, et largis beneficiis indigentes recreare, et in omnibus justitiæ esse addictum, et, cum possit de dotibus quibus præditus est gloriari, non velle, ut moderatione et magnanimitate Epaminondæ magis quam quivis alius æquiparandus sit : hæc enim, etsi non dicam, omnes clamabunt.

A θρώπως μὲν ἔχειν τοῖς ξένοις, ἡμέρως δὲ καὶ προσηνῶς τοῖς οἰκείοις, καὶ χαίρειν μὲν εὖ ποιοῦντα δαψιλῶς τοὺς ἐν χρείᾳ, τίθεσθαι δὲ πανταχῇ τῷ δικαίῳ, καὶ τοῖς μὲν προσοῦσιν ἀγαθοῖς ἔχειν μέγα φρονεῖν, μὴ βούλεσθαι δὲ, ἀλλ' ἐπιεικείᾳ μετὰ μεγαλοψυχίας διδόναι παντὸς μᾶλλον Ἐπαμυνώνδου· ταυτὶ γὰρ, κἂν ἐγὼ μὴ λέγω, πάντες βοήσονται.

Talem in Asia se exhibuit, in Europa autem quem? Primum quidem adversus Persas et Italos qui in Thraciam dire sævierant et propter fœdus inter se pactum non parva repleti erant audacia, adeo ut ultima minitarentur, grave bellum a Romanis susceptum est, et dimicare statuerunt, gnari quod, nisi celerrime certamen conserendo sese liberarent, contra multo plures pugnarent, et dein sæviora experiri eis accideret. Cum autem, inter utrumque exercitum ad Ægos Potamos acri certamine exorto, plus valerent barbari, non equidem quod ad pugnam essent meliores (quis enim hoc diceret?), sed quod ex eis omnes qui sub nobis militabant confestim ad illos transierint (o crudelem illum casum!), nostrorum alii ceciderunt non pauci, alii fuga undequaque elapsi sunt, ipse autem solus inter multos superatos insuperabilis exstitit; aut potius tantum abest ut retrocesserit, ut, non solum prosternendo hostes, quot aliquis scire nequeat, sed etiam illis vulnera inferendo, illius virtus quasi ancipitem illorum reddiderit victoriam, ostendens quod, etiamsi infausta acciderent Romanis, illis tamen suus honos maneat, et quod nil unquam eum subducet et auferet.

Τοιοῦτος μὲν ἐπὶ τῆς Ἀσίας· τὰ δ' εἰς Εὐρώπην, ποῖός τις; Πρῶτον μὲν πρὸς τοὺς ἐπὶ Θρᾴκης κακῶς εἰσκωμάσαντας Πέρσας καὶ Ἰταλοὺς (6), καὶ τῇ πρὸς ἀλλήλους συστάσει θράσους οὐκ ὀλίγου πλησθέντας ὡς καὶ τὰ ἔσχατα ἀπειλεῖν, δεινή τις συνέστη μάχη Ῥωμαίοις, καὶ πολεμεῖν ἔγνωσαν, εἰδότες ὡς, ἐὰν μὴ τάχιστα συμπεσόντες ἐξέλωσι B σφᾶς, πολλῷ πλείοσιν αὖθις μαχοῦνται καὶ σχετλιωτέρων τῶν δευτέρων πειραθῆναι παρέσται. Ὡς δὲ, συνερῤῥωγότων ἑκατέρων τῶς στρατοπέδων ἐν Αἰγὸς Ποταμοῖς καὶ τῆς συμπλοκῆς θαυμαστῆς γεγονυίας, τὸ πλέον ἔσχον οἱ βάρβαροι, οὐ τῷ τὰ ἐς μάχην κρείττους γε εἶναι (τίς δ' ἂν εἴποι ταῦτα;) τῷ δ' οὐστινασοῦν τῶν ὑφ' ἡμῖν τεταγμένων βαρβάρων ἀθρόως ὡς ἐκείνους αὐτομολῆσαι (ὦ δεινοῦ πάθους ἐκείνου!) πεπτώκασι μὲν ἡμῶν οὐκ ὀλίγοι, οἱ δὲ φυγάδες ὁπηδήποτ' ἐχώρουν, μόνος δ' οὗτος ἐν πολλοῖς ἡττημένοις ἀήττητος διαγέγονε, μᾶλλον δὲ τοσοῦτ' ἀπέσχε τοῦ ταυτὰ πεπονθέναι, ὥστε καὶ τῶν πολεμίων οὐχ ὅσους ἄν τις ἀγνοήσαι κατενεγκὼν, ἔστι δ' οὓς καὶ τραυματίας πεποιηκὼς, ὥσπερ ἀμφίβολον αὐτοῖς πεποιήκει τὴν νίκην τὸ C καθ' αὐτὸν, ἐνδειξάμενος τοῦθ', ὅτι, κἂν ἀτυχῇ συνηνέχθη Ῥωμαίοις, τὸ γοῦν ἑαυτῶν ἀξίωμα μένει, καὶ οὐδὲν μή ποτε καθεῖλε τῶν πάντων, οὔτε μὴν καθαιρήσει.

Et quidem hoc ita fuit. Cum autem oporteret eos transire in Macedoniam, transeunt et in Pallene castra ponunt; et illinc profecti omnia deprædaverunt, ut ex Decelia Atticam Lacedæmonii. Inveniunt et ibi strenuum illum adversarium : illud autem nondum dicam, sed quod, cum illic venissent, copias nostras nepos tuus duxit, et cæterum qualis ille vir! ducum qui veteribus Romanis præerant, adjiciam et qui undequaque exstiterunt, omnium profecto longe excellentissimus, non modo in rebus deliberandis, et in operibus cito peragendis, aut quia judicio futurum melius quam vates, sicut præsens, videat, et in his quæ aliis difficillima videntur quam facillime opportunas res expediat, sed etiam quod a juventule bella multa et maxima, et illa quidem omnibus ardua, feliciter et ut nemo existimasset gesserit (*omnibus peritior equos ordinare et viros clypeatos.* (Homer., *Iliad*, B, (554.) Illud nimirum maxime eum tibi

Καὶ τοῦτο μὲν οὕτως· ἐπεὶ δὲ καὶ πρὸς Μακεδονίαν ἔδει τουτουσὶ διαβῆναι, διαβαίνουσι μὲν καὶ στρατοπεδεύουσιν ἐν Παλήνῃ· κἀκεῖθεν ἐξιόντες ἐλῃΐζοντο πάντα, καθάπερ ἐκ Δεκελείας τὴν Ἀττικὴν Λάκωνες. Εὑρίσκουσί γέ τοι κἀνταῦθα τοῦτον δεινὸν ἀνταγωνιστήν· ἀλλὰ μήπω τοῦτο, ἀλλ' ὅτι, δεῦρο κεχωρηκότων, τῆς ἡμετέρας στρατιᾶς σὸς ἀδελφιδοῦς (7) ἐπεστάτει, τὰ τ' ἄλλ' ὁποῖος ἀνὴρ, καὶ τῶν ἐν στρατηγίαις τῶν πάλαι Ῥωμαίων, προσθήσω δὲ καὶ τῶν ἁπανταχοῦ γενομένων, ἁπλῶς μακρῷ πάντων ἄριστος οὐ λογίζεσθαι περὶ πραγμά- D των μόνον καὶ τοῖς ἔργοις ὡς τάχος περαίνειν, οὐδ' ὥστε τοῖς λογισμοῖς τὸ μέλλον μαντείας κρεῖττον ὡς παρὸν θεωρεῖν, καὶ περὶ τῶν ἀπορωτάτων τοῖς ἄλλοις εἶναι δοκούντων μάλα ῥᾳδίως αὐτοσχεδιάζειν τὸ δέον, ἀλλὰ καὶ πολέμους ἐκ παίδων πλείστους τε καὶ μεγίστους, τοὺς δ' αὐτοὺς καὶ τοῖς ἅπασι δυσχερεῖς, εὖ τε καὶ ὡς οὐκ ἄν τις ᾠήθη διενεγκεῖν, ἀθ' ὑπὲρ πάντας ἔχων ἵππους τε κοσμῆσαι καὶ ἀνέ-

(6) Turcos scilicet et Catalanos.

(7) Ei nomen fuit Angelo, quod didici ex oratione Theoduli τῷ Μεγάλῳ Στρατοπεδάρχῃ τῷ Ἀγγέλῳ. Dum melius quid a viris horum temporum historiæ peritioribus proferatur, opinor fere hunc Angelum Palæologum, imperatoris fratris filium, illum esse Joannis Palæologi, filium, de quo Canpius agit in Familiis Byzantinis, pag. 234, sed quem non nominat : ita ut proprie Angelus non fuerit ipse ἀδελφιδοῦς, sed τοῦ ἀδελφιδοῦ filius.

ρας ἀσπιδιώτας (8) · ὃ δὴ καὶ μᾶλλον τοῦ γένους σοι προσήκοντα τοῦτον ἐδείκνυ · σὰ γοῦν ταῦτα καὶ τοῦ κατὰ σὲ πράγματος.

Οὗτος, πρὶν μὲν ἢ Χανδρηνὸν ἀφικέσθαι, ἐχρῆτα μέν τισι λοχαγοῖς, ἐχρῆτο δ' οὐ μάλα πρέπουσιν, οὐδ' ἀξιόχρεως ὑπὸ τούτῳ τετάχθαι · ἀμέλει καὶ τοῖς πολεμίοις τοσοῦτον εἶχον (9) ἀνταρκεῖν, ὥστε καὶ τούτοις, ὡς ἐγὼ φαίην ἄν, δι' ὧν ἐμαλακίζοντο πρὸς τὰς μάχας, τὸ γοῦν καθ' αὐτοὺς ἐστρατήγουν, ἀγαπῶντες εἰ σώζοιντο (τοῦτο δ' αὐτοῖς ἀπήντα παρὰ τοῦ στρατηγοῦ), κυσὶν ἐοικότες ἐῤῥᾳστωνευμένοις πρὸς μάχην . Τούτου (10) δ' εἰς τὴν ἐκείνων τάξιν ἰόντος, ὦ βασιλεῦ, καὶ προσλαβόντος Ἡρακλέους (11) Ἰόλεων, ἀθρόον ἅπαντ' ἐκεῖνα πρὸς τοὐναντίον μετέστη, καὶ τοὺς ὑβριστὰς καὶ μείζω φρονοῦντας διεδέξατο φόβος, εἰς Παλήνην αὖθις συγκλείσας · καὶ οὐκ ἔτ' αὐτοῖς ἦν πλατεῖ στρατεύματι πανταχόσε χωροῦντας τὸ προστυχὸν διαφθείρειν · αλλ' ἔγνωσαν ἐλάττους ὄντες ἢ ὥστε Ῥωμαίοις ἀντοφθαλμεῖν δύνασθαι. Ὅσους μὲν ἀνεῖλε τῶν πολεμίων αὐτίκα φανεὶς, καὶ πλῆθος αἰχμαλώτων ὧν εἶλε, καὶ σκύλα καὶ ὅπλα καὶ λάφυρα, καὶ ἵππους καὶ βόας καὶ ὄϊς, καὶ πάνθ' ὅσα ταυτησὶ τῆς μερίδος, τί τις ἂν λέγοι ; Τοὺς γοῦν ἡμετέρους στρατιώτας Μίδας μικροῦ τόθ' ὁρᾷν ἦν.

Ἀλλὰ τοῦ μὴ στρατοπεδεύειν ἔχειν ἢ πρόσθεν οἱ βάρβαροι δυσχεραίνοντες, ὡς εἰκὸς, ἅτε τῶν πολεμικῶν ὄντες ἐθάδες καὶ τὴν περὶ ταῦτα σχολὴν δυστύχημα κρίνοντες, ἑτέραν ἐτράποντο · λῃστείαις γὰρ ἐχρῶντο, καὶ λόχους ἐποίουν ἐξ ἀφανοῦς, καὶ περὶ βοσκημάτων καὶ τῶν τούτοις ἑφεπομένων λόγος αὐτοῖς ἦν οὐ μικρὸς στρατηγουμένοις ὑπὸ λιμοῦ. Ὡς δὲ καὶ, τούτοις ἅπαξ εὐτυχηκότες, οὐκ ὀλιγάκις κακῶς ἔπαθον, ἀπειρηκότες, οἶμαι, τοῖς ὅλοις, καὶ μηδὲν ἔχοντες εἰς παραμυθίαν λοιπὸν, τῶν μὲν ἀναγκαίων ἐπιλελοιπότων ἁπάντων, ἐπὶ ξυροῦ δὲ ἀκμῆς τῶν πραγμάτων σφίσι καθεστηκότων, εὐθὺς Θετταλίας χωρεῖν ἔγνωσαν, ἐφ' ᾧ γοῦν τοῖς ἐπιτηδείοις ἔχειν ἀφθόνοις χρήσασθαι, καὶ ἅμα τῶν Χανδρηνοῦ χειρῶν, ἐμοὶ δοκεῖν, ἀποστῆναι σπεύδοντες.

Ἀλλ' οὔτ' αὐτοῖς πλέον οὐδὲν ἦν εἰς ἀπαλλαγὴν, τῆς ἀλλοδαπῆς εἰλημμένοις, καὶ τοι σφόδρα δοκοῦν · οὐδ' αὖ σφίσιν αὐτοῖς ἀμύνειν ἠδύναντο Θετταλοὶ καὶ πρὸς τοσοῦτον παραβάλλεσθαι πλῆθος. Οὐ μὴν ἑτέρου πρὸς ταῦτ' ἐδεήθησαν · ἀλλὰ καὶ τούτοις κακῶς πράττουσι καὶ θορυβουμένοις ἐλθὼν Χανδρηνὸς συνεμάχει, σοῦ τὴν ἐκείνων ἐλεήσαντος τύχην, ἐπειδὴ πρεσβεύοντας εἶδες, καὶ τοὺς βαρβάρους παρείλετο τὰς ἐλπίδας ἃς ἐπιστρατεύοντες εἶχον, ἀπροσδοκήτως φανεὶς, ὥσπερ ἀνάγκη τινὶ καὶ τύχῃ συγκεκληρωμένον μηδ' ὁντινοῦν ἕτερον τούτους ἢ Χανδρηνὸν ἔχειν ἀντίπαλον. Τοσάδε γοῦν κἀνταῦθα κατ' αὐτῶν ἔστησε τρόπαια καὶ οὕτω περιφανῆ, νῦν μὲν ἀθρόοις ἐμπίπτων, νῦν δ' ἐκ πολλῶν ὀλίγοις καὶ πολλοῖς κατ' ὀλίγους, ὥστ' ᾄδουσί μὲν ἐς

genere conjunctum esse ostendit : hæc ergo sunt tua, et tuam rem attinent.

Ille, priusquam Chandrenus adesset quibusdam turmarum ductoribus præerat non adeo aptis et omnino indignis qui ipsi subessent : certe tantum abest ut hostibus obsisterent, ut pro illis, si ita loqui liceat, propterea quod ad pugnam essent enervati, ipsi omnia gererent, satis ducentes si salvi essent (illud enim eis a duce obvenit), canibus similes ad pugnam segnioribus. Cum autem Chandrenus ad eos rite ordinandos venisset, o imperator, et Hercules sibi Iolaum adjunxisset, subito hæc omnia in contrarium fuerunt conversa, et arrogantes ac superbos corripuit pavor et eos in Pallenen iterum interclusit : et nondum datum erat eis amplo cum exercitu aggredientibus fortunam labefactare, sed cognoverunt se esse minores quam ut Romanis adversari valerent. Quot interemerit hostes, prima congressione, et numerum captivorum quos subegit, et prædam et arma et exuvias et equos et boves et oves et omnia quæ in hac regione erant, quis enumeraverit ? Nostros ergo milites ferme ut totidem Midas videro erat.

Sed barbari, irati, ut par est, ex eo quod non castra ponere potuerint in loco quo prius erant, quia rebus bellicis erant assuefacti et a præliis abstinere ut calamitatem ducebant, aliam in regionem transierunt ; latrociniis enim utebantur, et ex occulto struebant insidias, ac de pecoribus et qui eos sequebantur militibus non parvus erat sermo propter ciborum penuriam. Postquam autem, in his semel felices, calamitatibus non paucis fuerunt afflicti, desperatis omnibus, ut opinor et nihil habentes ad solatium, omnibus opibus relictis, et rebus eorum quasi in acie novaculæ stantibus, cito in Thessaliam ire statuerunt ubi commeatus copiam capessere et simul ex Chandreni manibus, ut mihi videtur, effugere possent.

Non autem poterant magis sese salvare, terram alienam occupando, etiamsi maxime id sperarent : nec seipsos armis defendere valebant Thessali et cum tanta multitudine congredi. Non alio sane in his opus erat : sed Chandrenus adveniens cum male ordinatis et trepidantibus congressus est, quia tu eorum fortunam misertus es, postquam legatos vidisti, et improviso adventu abstulit barbaris spem quam bellum inferendo habuerant, quasi necessitate quadam et fortuna sortiti non alium tunc adversarium ac Chandrenum. Tanta ergo et tam præclara illic etiam adversus eos statuit tropæa, nunc in densos hostes irruens, nunc paucos cum multis nunc multos cum paucis aggrediens, ut illa celebrent usque nunc Thessali, celebrent

(8) Ex Homero *Iliad.* B, 554.
(9) Forsan ἀπεῖχον.
(10) Chandrenus intelligendus.
(11) Hercules, Angelus nempe Palæologus, Iolaum, seu Chandrenum, socium belli sibi adjunxit.

omnes fere homines, et stetit quasi columna præ- A clara in animis singulorum memoria, quæ et victorem illustrat et alios ad strenuitatem adhortatur.

Et quid plura edisserere oporteat? Nisi enim confestim pacem petiissent, omnes illic cecidissent, mali male disperditi. Tunc vero cum Thessalis inducias fecerunt, et, cum Chandrenus propterea ad nos cum tot ac tantis coronis, ut alius Hercules, regressus esset, seipsos abstulerunt a periculo, cessante bello in quo infausti fuerant, et pulcherrimam illam victoriam retulerunt adversus vicinos Italos, qui contra eos cum superbo apparatu movebant, et non tantum eos, sed et totam Thessaliam et Macedoniam confringere mi- B nitabantur, et qui ipsi ita prorsus confracti sunt, ut nec ignifer, sicuti aiunt, superfuerit.

Cum autem hæc bene succederent, Chandrenus inprimis felix erat. Quod si fieri non poterat ut bene procederent, nisi securitatem essent consecuti, illam autem non habuissent nisi res susceptas relinquendo, reliquerunt vero, Chandreno regresso, Chandreno revera victoriæ laus referenda qui ejus causam præbuit.

Cum ergo illi essent fugati et has dedissent temeritatis pœnas, quæ in alios perverse decreverant agere, hæc ab aliis ipsi belle perpessi, oportebat victores non tantum armorum et equorum, sed et urbium et regionum, et omnium quæ illis erant C dominos fieri et postea hæc partiri inter seipsos; et hæc quidem hoc modo partiti sunt. Qui ex Sicilia venerant urbibus potiti illic morari statuerunt, hic se constituentes ubi erant mortuorum pueri et conjuges; equos autem et arma et omnem belli apparatum Persæ habuerunt. Esto.

Sed cum Triballorum princeps fœdera Romanorum transgressus esset, et propterea juxta Persas morari tentaret, quod nostrates minime permittebant (nos enim attentavit), armis opus fuit et manibus, et, utrinque inter se conjuncti, in montibus illorum dimicabant. Cum autem, bello vehementer incenso, barbari asperitate regionis et D eorum consuetudinibus, maximis equidem adversus nos adjumentis, uterentur, et nihil pacifici cogitarent, nos vero jam ad nihil essemus adducti et in angustiis staremus, ita hæc convertit Chandrenus, nunc per militares industrias, nunc per ma-

δεῦρο ταυτὶ Θετταλοὶ, ᾄδουσι δὲ σχεδὸν πάντες ἄνθρωποι· ἔστηκε δὲ, ὥσπερ τις στήλη περιφανὴς, ἐν ταῖς ψυχαῖς ἑκάστων ἡ μνήμη, ὁμοῦ τε τὸν εἰργασμένον κοσμοῦσα, τούς τε ἄλλους εἰς εὐψυχίαν παρακαλοῦσα.

Καὶ τί δεῖ πλείω διεξιέναι; εἰ μὴ γὰρ τὴν ταχίστην εἰρήνης ἐπεθύμησαν, κἂν αὐτοῦ πάντες ἔπεσον, κακοὶ κακῶς ὀλωλότες· Νῦν δὲ σπονδὰς πρὸς Θετταλοὺς ποιησάμενοι, καὶ τοῦ Χανδρηνοῦ διὰ ταῦτα μετὰ τοσούτων καὶ τηλικούτων τῶν ἄθλων, ὥσπερ τινὸς Ἡρακλέους, ἐπανιόντος ἡμῖν, σφᾶς τε αὐτοὺς ἐξείλοντο τοῦ κινδύνου, πεπαυμένης τῆς μάχης δ' ἦν κακῶς ἔπραττον, καὶ τὴν καλλίστην καὶ θαυμαστὴν ἐκείνην κατὰ τῶν προσχώρων Ἰταλῶν (12) ἀνείλοντο νίκην, μετὰ μὲν ὑπερηφάνου παρασκευῆς αὐτοῖς ἐπιόντων, καὶ μὴ ὅτι τούτους, ἀλλὰ καὶ Θετταλίαν πᾶσαν καὶ Μακεδονίαν ἀπειλούντων ἐκτρίψειν, οὕτω δ' αὐτῶν παντάπασιν ἐκτριβέντων, ὡς μηδὲ πυρφόρον, τὸ τοῦ λόγου, λελεῖφθαι.

Οὐκοῦν ὅτε ταῦθ' οὗτοι κατώρθουν, Χανδρηνὸς δήπου κατώρθου. Εἰ γὰρ οὐχ οἷόν τε σφᾶς εὐτυχῆσαι μὴ τυχόντας ἀδείας, ταύτην δὲ οὐκ ἂν μετέσχον μὴ τῶν ἐν χερσὶν ἀπηλλαχότες πραγμάτων, ἀπήλλαξαν δὲ, τοῦ Χανδρηνοῦ μεταστάντος, Χανδρηνὸς ἂν εἴη τῷ ὄντι καὶ τῆς νίκης ἐργάτης, ὁ καὶ παρασχὼν τὴν αἰτίαν.

Ὡς δὲ οἱ μὲν (13) ἐκποδὼν ἦσαν καὶ ταύτθν τοῦ θράσους ἔτισαν δίκην, ἃ τῶν ἄλλων πέρι κακῶς ἐβουλεύσαντο, ταῦθ' ὑπ' ἐκείνων αὐτοὶ καλῶς πεπονθότες, ἔδει δὲ τοὺς κεκρατηκότας οὐχ ὅσον ὅπλων καὶ ἵππων, ἀλλὰ καὶ πόλεων καὶ χωρῶν καὶ πάντων τῶν ἐκείνοις προσόντων αὐτοὺς γεγονότας κυρίους ἔπειτ' ἐν σφίσιν αὐτοῖς ταυτὶ διελέσθαι, διείλοντο καὶ ταῦτα τρόπῳ τοιῷδε. Οἱ μὲν ἐκ Σικελίας ὁρμώμενοι, τὰς πόλεις ἑλόντες, αὐτοῦ που μένειν ἐτ' ᾤοντο δεῖν, ἀντὶ τῶν ἀπολωλότων ταῖς τούτων γυναιξὶ καὶ παισὶν αὐτοὶ καταστάντες· ἵπποι δὲ καὶ ὅπλα, καὶ πᾶσά τις πρὸς μάχην παρασκευὴ, Πέρσαις ἦν (14). Εἶεν.

Τοῦ δὲ Τριβαλλῶν ἄρχοντος (15) τὰ πρὸς Ῥωμαίους ἠθετηκότος, καὶ διὰ τοῦτο τοῦ μὲν Πέρσας περὶ ὑποκίσασθαι (16) πειρωμένου, τῶν δ' ἡμετέρων ἥκιστ' ἐώντων (ἐπὶ γὰρ ἡμῶν ἐπειρᾶτο), ὅπλων ἐδέησε καὶ χειρῶν, καὶ, ξυμβαλόντες ἀλλήλοις, ἐν τοῖς ἐκείνων ὁρίοις ἐμάχοντο. Τοῦ δὲ πολέμου καρτεροῦ γιγνομένου, καὶ τῶν μὲν βαρβάρων τῇ τε τραχύτητι τοῦ χωρίου τῷ τε ξυνήθεις αὐτοὺς εἶναι, μεγίστοις ὁρμητηρίοις καθ' ἡμῶν, κεχρημένων, καὶ μέτριον μηδὲν ἐνορώντων, ἡμῶν δ' εἰς τὸ μηδὲν ἤδη χωρούντων καὶ τοῖς ὅλοις ἀπορουμένων, οὕτω ταῦτα περιέστησε (17) Χαρδρηνὸς, τοῦτο μὲν

(12) Quos vocat προσχώρους Ἰταλοὺς Latini sunt, Gualterio Athenarum Duci parentes, quos à Catalanis cæde ingenti statos narrat Gregoras Hist. VII, 7, 6.

(13) Copiæ scilicet Latini principis Gualterii.

(14) Erant enim Turci in illa expeditione Catalanorum socii..

(15) Vide Niceph. Gregoram Hist. VII, 8, 1.

(16) Sic cod. Quid scripserit auctor nunc non extrico. Forsan πέριξ ὑποκίσασθαι.

(17) An hæc Servorum ac Turcorum eum Græcis, Chandreno duce, pugna ab historicis memoretur ignoro, Silet, quem unum nunc ad manum habeo, Gregoras, silet et, quem inspexi Ame Ihon

στρατηγικαῖς ἐπινοίαις, τοῦτο δὲ χειρῶν εὐψυχίᾳ καὶ τόλμῃ, καὶ τῷ μόνος ἄνω καὶ κάτω θεῖν καὶ παρακελεύεσθαι, καὶ ἔργοις καὶ λόγοις μόνος ὥσπερ πᾶσιν ἐμπνεῖν, καὶ πρὸς τοσοῦτον ἦλασεν ἀρετῆς τε καὶ τύχης, ὥστ' οὐ μόνον τὰς τῆς νίκης ἐλπίδας, ἀλλὰ καὶ τὰς αὐτοῦ τοῦ ζῆν σφόδρ' αὐτοῖς περιεῖλε, τῶν μὲν οἰκείων μηδὲν ἀποβεβληκὼς, τῶν δὲ πολεμίων τοὺς μὲν πλείους διειργασμένος, τραυματίας δὲ καὶ φυγάδας τοὺς λοιποὺς εἰργασμένος.

A nus strenuitatem et audaciam, et solus omnia susque deque mittere adhortando, et solus actis et verbis quasi omnes inspirando, et ad tantum virtutis ac fortunæ ascendit, ut non solum victoriæ, sed et ipsius vitæ spem illis penitus abstulerit, et nullum ex suis amiserit, dum hostes plerosque ferro delevit, vel vulneratos in fugam vertit.

Ἐπειδὴ πᾶσι τούτοις δέον αὐτὸν στεφανοῦσθαι καὶ γερῶν ἀπολαύειν, καὶ τοῦτόν τε αὐτὸν, καὶ πολλοὺς ἑτέρους δι' αὐτὸν, πράττειν εὖ, ὁ δὲ καὶ προσαπεστέρηται τῶν ὄντων, ὥσπερ τις τὰ ἔσχατα πεπονηρευμένος. Καὶ, εἰ μὲν προδοσίας ἑάλω, οὐκ οἶδ' ὅ τι μεῖζον ἂν ἐπεπόνθει· νῦν δ' ὑπὲρ ἡμῶν καὶ τῶν ἡμετέρων πραγμάτων ἐν παντὶ τῷ παρασχόντι φαινερώτατα τῶν τε νῦν τῶν τε ἄλλων πάντων ἡγωνισμένος, καὶ μονονοὺ προέμενος τὴν ψυχὴν, ἔπειτα κακὸς εἶναι δοκεῖ, ὁ τοὺς ὑπ' αὐτὸν στρατιώτας τῆς τε ἄλλης καὶ δὴ καὶ τῆς ἐς τοὺς πολεμίους ἀπαλλάξας κακίας, καὶ πείσας τὸν ὑπὲρ τῆς κοινῆς ἀσφαλείας θάνατον προτιμότερον κρίνειν τῆς Ἀργανθονίκου ζωῆς. Καὶ πρὸς μὲν οὓς ἑκάστοτε παρετάξατο, ἄνδρα ἀγαθὸν πάντα τοῦτον ἡγοῦνται καὶ θαυμάζουσι, καὶ τοῖς τε ἔχουσι συγχαίρουσι, σφίσι τε αὐτοῖς τοιούτους δή τινας ἔχειν συνεύχονται· ἡμεῖς δὲ, εἰ μηδὲν ἄλλο, μηδ' οὓς ὑπὲρ ἡμῶν πλείστους τε καὶ καλλίστους ἤνεγκεν ἆθλους καὶ τὴν διὰ πάντων θαυμαστὴν εὐψυχίαν, τὴν γοῦν παρὰ ἐχθρῶν μαρτυρίαν, ὡς εἰκὸς, αἰδεσθέντες, οὐ βεβαιοτέραν ταύτην τῶν συκοφαντῶν νομιοῦμεν, ἀλλὰ καταγνωσόμεθα μοχθηρίαν αὐτοῦ, ὃν, εἰ μὴ λαμπρῶς ἐπαινοῖμεν, μοχθηρίαν πᾶς τις ἂν ἡμῶν καταγνοίης.

B in omni occasione præclariora præsentibus et cæteris omnibus certamina commisit et tantum non vitam devovit, tunc is perversus videtur qui suos milites ab aliorum ac hostium perversitate propulsavit, et eis suasit mortem pro omnium salute acceptam potiorem esse ducendam Arganthonica vita. Et omnes contra quos ubique decertavit, illum virum bonum censent et mirantur, et illis qui eum habent congratulantur, et talem virum sibiipsis esse exorant: nos vero, nisi aliud quidquam, nec multa ac pulcherrima quæ pro nobis pertulit præl a, et in omnibus mirandam strenuitatem, saltem inimicorum testimonium, ut par est, reveriti, nonne illo firmius esse calumniatorum testimonium arbitrabimur, sed eum accusabimus perversitatis, quem si non præclare laudemus, nos quisque perversitatis accusaret?

Σὺ δὲ μάχεσθαι μὲν καὶ πολεμεῖν τοῖς αὐτὸς σαυτοῦ, καὶ κακῶς ποιεῖν ἃ καλῶς πάντων μάλιστα βούλει, οὐκ ἂν δέξαιο· ἐὰν δ' ἃ λέγουσιν οὗτοι πεισθῇς καὶ τὰ τῶν βασκάνων στόματα περιῇ, πῶς οὐκ αὐτὸς τοῦτο ποιήσεις, καὶ στμμαχήσεις ὥσπερεὶ τοῖς ἐχθροῖς, ἃ σφίσιν αὐτοῖς συνεύξαιντ' ἂν οὗτοι, ταῦτ' αὐτὸς ἐν τούτοις τελῶν; Τίς γὰρ ἔθ' ὑπὲρ σοῦ προθύμως ἀγωνιεῖται, καὶ παραβαλεῖται μὲν πρὸς κινδύνους, ὑπερφρονήσει δὲ τῆς ζωῆς, πάντα δὲ τἆλλα δεύτερα φοῦ νομιεῖ, ὁρῶν τὸν τῶν στρατηγῶν ἄριστον, μετὰ τὰς πολλὰς καὶ μεγάλας μάχας καὶ τρόπαια καὶ τοὺς ἀνῃρημένους βαρβάρους, ὑπ' ἀλιτηρίων δή τινῶν δυστυχῶς ἑλαυνόμενον, κοινῶν ἀλαστόρων τῆς πολιτείας, εἰ μὴ σύ γε δύσεαι ἀλκήν (18);

C Tu equidem adversus teipsum pugnare ac certare, et male agere quæ maxime omnium vis bene gerere non permitteres: si autem quæ isti dicunt a te pro certo habeantur et calumniatorum voces prævaleant, quomodo hoc ipse non facies, et quasi pro inimicis dimicabis, quæ sibimetipsis exoptarent isti, hæc ipse nunc peragendo? Quis enim posthæe pro te pugnabit, et in periculum esse inferet, vitam despiciet, omnia cætera te posteriora existimabit, cum viderit egregium ducem, post multas et maximas pugnas et trepæa et hostes superatos, miserabiliter vexatum a quibusdam nefariis hominibus qui sunt communis reipublicæ pestis, *nisi tu fortitudinem induas*?

Καὶ μὴν εἰ μὲν ἅπαντες ἡμάρτομεν, καλῶς εὗρες ὅθεν ἡμᾶς τιμωρήσῃ· εἰ δὲ οὐδὲν ἔχεις ἐγκαλεῖν τῇ Φιλίππου, μᾶλλον δὲ τῇ σαυτοῦ, ἀλλὰ καὶ πλείστην ὅσην αὐτῇ περὶ σὲ τὸν ἀεὶ χρόνον εὔνοιαν σύνοισθα, καὶ σπουδὴν, καὶ πάντ' ἂν ἐνέγκαι ῥᾳδίως ὑπὲρ τοῦ σοῦ συνεστῶτος, τί, τὸν μόνον αὐτῆς ὡς ἀληθῶς πρόβολον ἐξαιρῶν, τοῖς πολεμιοις ἀδίκως (19) καὶ θύραν ἀνοίγεις τοῖς καθαιρεῖν τὰ σὰ βουλομένοις;

Si tamen omnes deliquimus. bene invenisti unde nos castigares: si autem nil habes quod exprobres urbi Philippis, aut potius tuæ, sed jam dudum illius erga te benevolentiam et studium cognoscis, et omnia ferre pro tuo fœdere, cur, solum illius revera clypeum auferendo, hostibus immerito et his qui tua volunt eripere portam aperis? Non enim, si adversus Chandrenum solum iraseeris, iram solus

(18) Ex Hom. *Iliad.* I, 231.

(19) Videtur hic nonnihil periisse.

sustinebit : sed tela quæ adversus eum jaciuntur nos quoque certe percutiunt, et quemadmodum, lapso Hectore, una lapsum est Ilium, quia inconcussa illi columna, ut ait Pindarus, erat, ita, illo ærumnis afflicto, nos a continuis barbarorum incursionibus labefactemur necesse est.

A Οὐ γὰρ, εἰ πρὸς Χανδρηνὸν μόνον τὰ τῆς ὀργῆς ἔστι σοι, καὶ ταύτης ἀπολαύσεται μόνος· ἀλλὰ τὰ πρὸς τοῦτον δή πουθεν βέλη καὶ ἡμῶν ἅπτεται πάντων, καὶ τὸν αὐτὸν ἂν τρόπον ὥσπερ Ἕκτορος πεπτωκότος συνεπεπτώκει τὸ Ἴλιον, ὃς ἀστραβὴς τούτῳ κίων, κατὰ Πίνδαρον (20), ἦν, οὕτω καὶ, τοῦδε δοστυχῶς πεπονθότος, ἀνάγκη καὶ ἡμᾶς διεφθάρθαι συνεχέσι τῶν βαρβάρων ἐπιδρομαῖς.

His vero omissis, Chandrenum non esse reum, quis non multimodis videat, præsertim ex eo quod accusatores nil solidum possint afferre, nec ex aperto vituperare velint; illum autem multorum ac maximorum bonorum auctorem nobis fuisse et futurum, quis ita audax et aperte contraria sapiens, ut non, meo judicio, alte vociferetur?

Χωρὶς δὲ τούτων, ὡς μὲν οὐκ ἠδίκηκε, Χανδρηνὸν πολλαχόθεν ἄν τις κατίδοι, οὐχ ἥκιστα δὲ ἐκ τοῦ τοὺς ἐγκαλοῦντας, παρὰ τὸ μηδὲ ἔχειν ἰσχυρὸν εἰπεῖν, οὐδ' εἰς τοὐμφανὲς ἐξελέγχειν βούλεσθαι· ὡς δὲ πολλῶν καὶ μεγάλων αἴτιος ἡμῖν ἀγαθῶν καὶ γέγονε καὶ γενήσεται, τίς οὕτω θρασὺς, καὶ τἀναντία φανερῶς φρονῶν, ὃς οὐκ ἂν, οἶμαι, μέγα βοήσαι;

Sed esto, pone illum quæ non oportet adiisse, et audacia usum esse, et non sicut volebas deliberasse : utrum ergo de his loquemur, quæ semel et in quodam tempore illum fecisse apparet, an de strenuitate in omnibus et de laboribus virtute plenis, et quod testes gestorum habeat Græcos et barbaros? Utrum omnibus per hæc utilis est, an, si forte lapsus sit, vilis? Et quod semel factum est solidum, quæ autem per tam longum tempus gesta sunt nihil esse arbitrabimur? Et non ex primis actis et quæ in illo omnes cognoverant suffragia feremus, sed ex ultimis et quæ nemo omnium novit, nisi isti sceleratissimi, qui illum ex occulto insequuntur? Nemo prorsus ex iis qui sciunt ratione uti hæc diceret.

B Ἀλλ' ἔστω, δεδόσθω τοῦτον ἐφ' ἃ μὴ δεῖ προελθεῖν, καὶ χρήσασθαι θράσει, καὶ μὴ καθ' αὑτὸν βεβουλεῦσθαι· πότερον οὖν εἰς λόγον ταῦθ' ἕξομεν, ἃ καὶ μόνον καὶ χρόνον τιν' αὐτῷ συνέβη σεπρᾶχθαι, ἢ τὴν διὰ παντὸς εὐψυχίαν τοῦ βίου καὶ τοὺς ἀρετῆς γέμοντας πόνους, καὶ τὸ μάρτυρας ἴσχειν τῶν ἔργων καὶ Ἕλληνας καὶ βαρβάρους; καὶ πότερον ἅπασι χρηστὸς δι' ἐκεῖνα, ἢ, εἴ τι που καὶ προσέπταισε, φαῦλος; καὶ τὸ μὲν εἰς ἅπαξ γεγονὸς ἰσχυρὸν, τὰ δ' εἰς τοσοῦτον καὶ ὄντα γεγενημένα τοῦ χρόνου πράγματα οὐδὲν νομιοῦμεν; καὶ τὰς ψήφους οὐκ ἐκ τῶν προτέρων καὶ ὧν αὐτῷ πάντες ξυνίσασι θήσομεν, ἀλλ' ἐκ τῶν ὑστέρων καὶ ὧν οὐδεὶς ἔγνω τῶν πάντων, πλὴν τῶν κάκιστ' ἀπολουμένων τουτωνὶ, καὶ αὐτῶν ἐκ τἀφανοῦς ἐπιόντων; οὐδ' ἂν εἰς ταῦτ' εἶποι τῶν εἰδότων λογίζεσθαι.

Ego igitur, etiamsi deliquisse et malo quocunque modo succubuisse eum sciam, non ideo committerem ut non mirer quidquid boni inest viro, et merita obliviscerer. Nec enim, nec solem turpissimum esse diceremus, quia nubes quædam aliquando illum offuscant, sed ex natura sane eum judicabimus, et primum inter stellas locum ei dabimus. Si autem semper in hominibus, ex Euripide :

Perversus nihil aliud est nisi malus,
Bonus autem bonus, nec casu
Naturam corrupit, sed optimus est semper,

non igitur Chandrenus, qui ab initio optimus fuit, naturam corruperit, sed optimus est semper, non jam perversus; sicut e contra, si malus fuerit, non optimus evasisset, cum, ut ait, *Perversus nihil aliud est nisi malus;* ita ut si malus, non bonus, si autem optimam partem revera sortitus sit, malam non deberet nancisci. Qui ergo nobis idem perversus et optimus videatur; et nunc illum laudemus, nunc vero maledicamus, nec nos pudeat cum nobismetipsis pugnare, loquentes sicut Abderitæ et Maronitæ?

Ἐγὼ μὲν οὖν, εἰ καὶ τῷ ὄντι ἀδικήσας ἐτύγχανε καὶ τοῦ καλῶς ἔχοντος ὁποιωσοῦν ὑφεικὼς, οὐδ' οὕτως ἂν ἀπέσχον τοῦ μὴ οὐ πᾶσιν οἷς εἶχον θαυμάζειν τὸν ἄνδρα, καὶ τίθεσθαι τὰ γιγνόμενα· οὐδὲ γὰρ, οὐδὲ τὸν ἥλιον αἴσχιστον φαίημεν ἄν, ὅτι νεφέλαι δή τινες ἔσθ' ὅτ' αὐτὸν περιίσχουσιν, ἀλλ' ἐκ τῆς φύσεως ἀμέλει τοῦτον κρινοῦμεν, καὶ τῶν Ὀλύμπου πραγμάτων τὰ πρῶτα δώσομεν. Εἰ δ' ἀνθρώποις ἀεὶ, κατ' Εὐριπίδην (21),

Ὁ μὲν πονηρὸς οὐδὲν ἄλλο πλὴν κακὸς,
Ὁ δ' ἐσθλὸς ἐσθλὸς, οὐδὲ συμφορᾶς ὕπο
Φύσιν διέφθειρεν, ἀλλὰ χρηστός ἐστ' ἀεὶ,

οὐκ ἄρα Χανδρηνὸς, χρηστός γε ὢν ἐξ ἀρχῆς, φύσιν ἂν εἴη διεφθαρκὼς, ἀλλὰ χρηστος μέν ἐστ' ἀεὶ, πονηρὸς δὲ οὐκ ἔτι· ὥσπερ αὖ τοὐναντίον, εἰ πονηρὸς ἐτύγχανεν ὤν, οὐκ ἂν χρηστὸς ἐγεγόνει, ἐπειδή, φησὶν, « ὁ πονηρὸς οὐδὲν ἄλλο πλὴν κακός· » ὥστ', εἰ μὲν πονηρὸς, οὐ χρηστὸς, εἰ δὲ τῆς βελτίστης μερίδος ὡς ἀληθῶς, τοῦ παντὸς (22) ἔδει γεγονέναι τῆς φαύλης. Πῶς οὖν ὁ αὐτὸς ἡμῖν καὶ πονηρὸς καὶ χρηστὸς, καὶ νῦν μὲν αὐτὸν ἐπαινοῦμεν, νῦν δὲ κακίζομεν, καὶ οὐκ αἰσχυνόμεθ' αὐτοῖς ἡμῖν περιπίπτοντες, ὥσπερ ἐν Ἀβδηρίταις ἢ Μαρωνείταις (23) τοὺς λόγους ποιούμενοι;

(20) Pindar. Ol. II. 146.
(21) Eurip. *Hec.* 600.
(22) Forsan ἥκιστα τοῦ παντός.

(23) Abderitæ et Maronitæ stolidi ac fatui habebantur.

Σκόπει δὲ κἀκεῖνα, ὦ βασιλεῦ. Εἰ μὲν βδελυρίᾳ πάλαι τούτῳ προσῆκε καὶ τοῦ πονηροτάτου κόμματος ἄνθρωπος ἦν, οὐχ ἃ νῦν ἐγκαλεῖται μόνον, ἀλλὰ καὶ πόλλ' ἕτερα πρὸς τούτοις πρότερον εἰργαστο ἄνεί δὲ τὸν ἀεὶ χρόνον χρηστὸς καὶ ἐπιεικὴς, καὶ τοῦ καλοῦ καὶ δικαίου λόγον, εἴπερ τις ἀνθρώπων, ἔθετο, οὔκουν ἔσ' οὐδεὶς ὃς πώποτ' αὐτῷ δίκην ἀναισχυντίας εἰλήχει, τί τὰ μὴ προσήκοντα κατηγοροῦμεν αὐτοῦ καὶ ἃ παντὶ μᾶλλον ἢ τούτῳ γιγνόμενα, καὶ οὐκ αἰσχυνόμεθα τὸν ἥλιον ἐσχάτης ἀγνωμοσύνης ποιούμενοι μάρτυρα, ὥσπερ ἂν εἰ καὶ Κέφαλον καὶ Ἀριστοφῶντα πονηροῦ τις ἔκρινε βίου (24), οἷς χρηστότητος οὕτως ἐμέλησεν, ὡς οὐχ ὅπως ἀλλήλοις ἀμφισβητεῖν ἀρετῆς, ἀλλὰ καὶ παράδειγμ' αὐτοὺς εἶναι τοῖς ἄλλοις τρόπων χρηστῶν ;

Οὐ τοίνυν τὸ διαβεβλῆσθαι μόνον αὐτὸς, τοῦτο δεινὸν ἐπιεικῶς Χανδρηνῷ, μηδὲν τοιοῦτον παρὰ πάντα πεπονθότι τὸν βίον, ἀλλὰ καὶ πολλῷ τούτου δεινότερον τὸ πάντα μὲν τὰ βελτίω, πονηρὸν δ' οὐδὲν αὐτῷ συνειδότα, καὶ πλείστους μὲν ἐπὶ τοῖς ἔργοις πρόσοὁκῶντα στεφάνους, πάντας δ', ὡς εἰπεῖν, θαυμαστὰς ἔχοντα, ἔπειτ' οὐχ ὅπως τοιοῦτον οὐδὲν ὑποστῆναι, ἀλλὰ καὶ τοιαῦτ' ἐγκεκλῆσθαι, ἃ ποταμῶν ἄνω (25) καὶ τῆς αὐτοῦ φύσεως. Πῶς γὰρ οὐκ ἄτοπον καὶ ὑπερφυὲς, εἰ πραότητος μὲν καὶ δικαιοσύνης καὶ πάντων, ὡς εἰπεῖν, τῶν καλλίστων ἐφ' οὕτω τι ἥκων, ὡς ἐντεῦθεν γνωρίζεσθαι καὶ ταῦτ' εἶναι μᾶλλον πρόσρημ' αὐτῷ, τῶν δ' ἐναντίων μὴ ὅτι πεῖραν, ἀλλὰ καὶ τοὔνομα δυσχεραίνων, ὅδ', οὐκ, οἶδ' ὅπως, καὶ θράσους ἔσχεν αἰτίαν, καὶ ταῦτ' ἐν τῷδε τῆς ἡλικίας, ὅτε καὶ, εἴ τί που νεότητος ἐφόλκιον ἦν, ἔδει πεπαῦσθαι ;

Δυοῖν τοίνυν ἀνάγκη θάτερον · ἢ, ὡς οὐ τῶν φαύλων ἐστὶ τὸ θρασύνεσθαι, εἴπερ ὁ τῶν ἀνδρῶν ἄριστος θρασὺς παρ' αὐτοῖς, ἢ, εἰ τῶν φαύλων, ἄλλου κατηγόρημ' ἂν εἴη τόδε καὶ οὐκ αὐτοῦ, εἴπερ οὗτος τἀναντία τούτων καὶ πεφυκὼς καὶ πολιτευόμενος. Εἰ δὲ βούλει καὶ οὕτως · εἰ μὲν καλὸν ἡ θρασύτης, καὶ Χανδρηνὸς ἂν εἴη τοιοῦτος ταύτῃ χρθσάμενος, οὐκουν αἰτίας, ἀλλ' ἐπαίνων ἄξιος · εἰ δὲ αἴσχιστον μὲν τοῦτο καὶ μανίας ἐγγὺς, τούτῳ δὲ πάντες, ὡς καλῷ κἀγαθῷ, πάντα τὰ βέλτιστα καὶ βούλονται καὶ συνεύχονται, οὐχ ὁρω πῶς ἄν τινες μᾶλλον καταφανεῖς γένοιντο συκοφαντοῦντες, καὶ σφᾶς τοὺς, ὡς οὐκ ἀληθῆ λέγουσιν, ἐξελέγχοντες, ἃ μὴ ἔξεστι λέγοντες, καὶ, ὃ μάλιστ' ἂν τις ὑπὲρ αὐτοῦ καὶ κατ' αὐτῶν εὔξαιτο, θαυμαστότερον τοῦτον ταῖς αἰτίαις δεικνύντες, ἢ εἰ πολλοῖς ἐχρῶντο κατ' αὐτοῦ τοῖς ἐπαίνοις. Πρῶτον μὲν γὰρ, ἐν τῷ κατ' αὐτοῦ λέγειν τούτους ἃ μὴ δεῖ, διανίστανται πάντες ὑπὲρ αὐτοῦ λέγειν ἃ δεῖ, καὶ τούς γε δύο ἢ τρεῖς τούτων φληνάφους ὁ τῶν ἐγκωμίων ἐσμὸς παρασύρει, καὶ οὐδεὶς ὃς οὐχ ὑπερ αὐτοῦ καὶ κατ' αὐτῶν γίνεται ῥήτωρ εὔπορος · ἔπειτα, εἰ τοῖς διὰ βίου πονηροτάτοις οὐκ

Hæc etiam considera, o imperator, si revera flagitiis jamdudum deditus iste et pessimæ notæ esset homo, non tantum de quibus nunc accusatur, sed multa alia præter hæc antea perpetravisset ; si autem ab omni tempore optimus et probus est, et boni et æqui, ut nemo magis, rationem habuit, et propterea nemo aliquando eum protervitatis accusavit, cur ei exprobramus quæ non decent et quæ alii magis quam ei conveniunt, et non erubescimus solem ultimæ atrocitatis facere testem, veluti si quis Cephalum et Aristophonta accusaret perversam habuisse vitam, quibus tanta probitas inerat, ut non tantum inter se de virtute certarent, sed etiam sint aliis excellentium morum exemplar ?

Non tantum ergo sese accusari acerbissimum videtur Chandreno, qui nil tale in omni vita passus est, sed etiam illud multo acerbius quod, cum excellentiora quæque, nil vero malum sibi inesse conscius sit, et multas ob bene gesta exspectet coronas, omnes ut ita dicam, admiratores habeat, deinde non modo tale sibi quidquam affuerit, sed etiam de his accusetur quæ fluminum sursum versus sunt et hujusmodi. Quomodo non absurdum est et singulare, si ad tantam mansuetudinem et æquitatem et omnia, ut ita dicam, pulcherrima ascendit, ut inde innotescat et his maxime celebretur, et quæ his contraria sunt non modo facere, sed etiam nominare abhorreat, eum, nescio quomodo, audaciæ crimen suscipere, et præsertim in tanta ætate, possit, cum, si quid vitii reliquum ex juventute remanserit, cessare oporteret ?

Ex duobus alterutrum sit necesse est : aut, ignavorum proprium non est audacia, si quidem virorum optimus apud eos audax est, aut si ignavorum est proprium, alius sed non ille in hanc criminationem venit, siquidem ille semper natura et vita ab iis discrepavit. Aut si vis ita res est : si pulchra sit audacia, et Chandrenus illa cum usus sit, non criminatione, sed laude dignus evasit : si autem illa turpissima et amantiæ finitima, cum omnes illi utpote bono proboque optima quæque velint et exorent, non video cur quidam illum agerte potius criminentur, et seipsos, non quod verum est dixisse convincant, quæ non decent dicant et, quod maxime aliquis pro illo et contra eos precaretur, mirabiliorem illum per criminationes ostendant, quam si multis laudibus illum cumularent ; primum enim, cum adversus illum isti dicunt quæ non oportet omnes exsurgent ut quæ oportet de illo edisserant, et duas aut tres eorum ineptias laudum moles transvertit, et nemo est qui non pro illo et contra eos copiosus exsistat orator. Deinde, si quis homines perversæ vitæ non accusaret ut malefacere pergant,

(24) Cephalus notus est e primo Platonicæ Reiplubicæ libro. An hunc respexerit orator nescio ; nec quis sit Aristophon ille facile dixerim. Quos novi Aristophontes tanta virtutis laude floruisse nondum comperi. Ea forsan nomina temere posuit.

(25) De proverbio ἄνω ποταμῶν χωροῦσι πηγαὶ, vide Gregorii Cyprii Proverbia. tom. CXLII. Edit.

inde sequitur et necesse ex altera parte ut si quid falsum dixerint, cum veritate loquantur. Ergo quæ illi exprobrant, hæc eum optimum esse confirmant, et quoniam iis quæ exprobrant fidem non habent, sed susque deque penitus feruntur, hæc non tantum innocentem, sed et præclariorem quam antea ostendunt, dum ipsi in criminatione incurrunt, et ex ipsis has pœnas non reprehensione dignas sumunt, quod mali merito arguuntur.

Si igitur non modo non citra omnem culpam, sed et optimus plane exstiterit, et perversos ac scelestos calumniatores omnes sponte redarguerit, quomodo non necesse sit illum quidem honoribus affici et muneribus donari, et cum majore quam antea splendore rebus publicis immisceri, et propter mores, et propter bonam famam, istos autem odio esse et pœnas pendere protervitatis? aut potius, si æquas pendent (et pendent, certo scio, ut accidit sæpe), ipsi meliores posthac evadent, et neminem omnium eadem suscipere arbitror, gnarum quæ patietur. Si enim, si qui antea hæc delicta admiserunt pœna fuissent multati, non hæc isti fecissent; aut, istis nunc castigatis, alius non faciet, quia homines, sive bonis, sive malis exemplis præcedentibus uti consueverunt.

Considera, imperator, quot nobis bonorum in præsenti auctor eris, si hæc facias : virtutem enim maximi facere videberis, et calumnias præsentes auferendo, et en futuro sint impediendo. Cum illæ e medio tollentur, simul auferetur alia malorum series, et contra optima quæque afferentur, si quidem calumniis expulsis, secundum sapienter dictum, cuique virtuti præbetur subsidium. Si hac felicitate te regnante bearentur civitates, et omnes boni evaderent, hoc majus esset tibi sane quam omnia quæ dici possent, et omnis, ut ita dicam, orbis imperium non tanta res esset, quia omne aurum quod sub terra aut super terra est virtuti non est æquiparandum.

Hæc ergo, Deo dante, o imperator, et te volente celerrime præbeas; isti autem, (quid enim plura de eis oportet dicere nisi quod sint mali?) si leges timuissent, non illud contra leges fecissent : nunc autem cum calumniando deprehensi sint mendacia pro veris finxisse et maledixisse cui secundum leges benedicere utique debebant, siquidem lex potissimum est bonos vereri, tunc se nullo modo leges pensi habere ostenderunt. Aut potius, quasi leges non vigerent, aut in codicibus inutiliter vigerent, et nec judices recte judicarent, nec corrigeretur perversitas, et præsertim non tu, o imperator, semper optima quæque omnibus exoptares et copiis munires imperium ut omnem prorsus

ἄν τις ἐγκαλέσαι κακίαν τῷ συντετηκέναι καθάπαν, ἀκόλουθο ν ἂν εἴη καὶ πᾶσα ἀνάγκη κατὰ τῆς ἑτέρας μερίδος, ἐάν τι σφαλῶσι, μετ' ἀληθείας χρῆσθαι τῇ γλώττῃ. Οὐκοῦν οἷς μὲν αὐτὸν αἰτιῶνται, τούτοις ὡς ἐστι χρηστὸς βεβαιοῦσιν · οἷς δ' οὐ προσάγουσι πίστιν οἷς αἰτιῶνται, ἀλλ' ὁπλῶς ἄνω καὶ κάτω χωροῦσιν εἰκῇ, τούτοις αὐτὸν οὐκ εἰς ἀναιτίους μόνον, ἀλλά καὶ λαμπροτέρους ἢ πρόσθεν τιθέντες, ὑπ' ατςίαν σφᾶς αὐτους κασιστᾶσι, καὶ δίκην ταύτην παρ' αὐτῶν λαμβάνουσιν οὐ μεμπτὴν, τὸ κακοὶ καλῶς σφόδρα φανῆναι.

Εἰ τοίνυν ὁ μὲν οὐκ αἰτιῶν ἀνώτερος μόνον, ἀλλὰ καὶ χρηστὸς παντάπασιν ὤπτο, οἱ δὲ πονηροὶ καὶ μιαροὶ καὶ συκοφαντοῦντες ἀτεχνῶς διὰ πάντων ἠλέγχθησαν, πῶς οὐκ ἀνάγκη τὸν μὲν καὶ τιμᾶσθοι καὶ δωρεῶν ἀπολαύειν, καὶ μετὰ μείζονος ἢ πρόσθεν τοῦ σχήματος τοῖς πράγμασιν ὁμιλεῖν, τῶν τε εἵνεκα τρόπων, τοῦ τε κακῶς ἀκοῦσαι, τοὺς δὲ καὶ μισεῖσθαι καὶ δίκην ὑπέχειν τῆς βδελυρίας ; μᾶλλον δὲ, τὴν γιγνομέντην ἐὰν ὑπόσχωσιν (ὑφέξουσι, δὲ, εὖ οἶδα, ὡς ἔδει γε καὶ πολλάκις), αὐτοί τε βελτίους ἔσονται τοῦ λοιποῦ, καὶ οὐδέν' ἔτ' οἶμαι τῶν πάντων τοὶς αὐτοῖς ἐγχειρήσειν, εἰδὼς (26) ἃ πείσεται. Εἰ γὰρ, εἴ γ' οἱ πρὸ τούτων ταυτὰ πλημμελαῦννες ἐτιμωροῦντο, οὐκ ἂν ουτοι ταῦτ' ἔδρασαν · ἢ που τούτων νυνὶ κολασθέντων, ἄλλος οὐ δράσει, εἰωθότων ὡς τὰ πολλὰ νῶν ἀνθρώπων, κἀν τοῖς χρηστοῖς, κἀν τοῖς φαύλοις, παραδείγμασι τοῖς φθάσασι χρῆσφαι.

Σκόπει δὲ, ὦ βασιλεῦ, ὅσων ἡμῖν ἀγαθῶν ἐπὶ τοῦ παρόντος αἴτιος ἔσῃ, ταῦτ' εἰργασμένος · ἀρετήν σε γὰρ δόξεις περὶ πλείστου ποιεῖσθαι, καὶ συκοφαντίαν παροῦσαν μὲν ἀναιρεῖν, ἔσεσθαι δὲ μέλλουσαν ἴσχειν. Ταύτης δὲ γενομένης ἐκ μέσου, συναπέσται μὲν καὶ ὁ λοιπὸς ὁρμαθὸς τῶν κακῶν, ἀντεισενεχθήσεται δὲ πᾶν τὸ βέλτιστον, εἴπερ τὸ συκοφαντας ἀφεῖσθαι, κατὰ τὸν εἰρηκότα σοφὸν, ἀρετῆς ἔστ' ἐφόδιον πάσης. Εἰ δὲ καὶ τὴν εὐδαιμονίαν ἐπὶ σοῦ ταύτην εὐδαιμονήσαιεν αἱ πόλεις, καὶ γένοιντο πάντες χρηστοὶ, τουτο ἦν σοι μεῖζον ὅτου τις ἂν δήπου καὶ φαίη. καὶ οὔτε τὸ ξυμπάσης, ὡς εἰπεῖν, τῆς οἰκουμένης κρατεῖν πρᾶγμα τοσοῦτον, ὁ θ' ὑπὸ γῆν τε καὶ ὑπὲρ γῆν ἅπας χρυσὸς οὐκ ἀντάξιος ἀρετῆς.

Ταῦτα μὲν οὖν, Θεοῦ διδόντος, ὦ βασιλεῦ, καὶ σοῦ βουλομένου, τάχισθ' ὑπάρξαι · οἱ δὲ, (τί γὰρ δεῖ πλείω περὶ τούτων διεξιέναι, ὡς εἶεν κακοί ;) εἰ μὲν ἐδεδοίκεσαν τοὺς νόμους, οὐκ ἂν ταῦτ' ἔδρων παρὰ τοὺς νόμους · νῦν δ' οἷς συκοφαντοῦντες ἐάλωσαν τὸ τὰ μὴ ὄντα ὡς ὄντα δυμπλάσαι, καὶ κακῶς εἰπεῖν ὃν ἐδει κατὰ νόμους καλῶς, εἴπερ μάλιστα νόμος τὸ τιμᾷν τοὺς ἀρίπτους, τούτοις ὡς οὐδ' ὁτιοῦν ςφίσι μέλει τῶν νάμων ἔδειξαν. Μᾶλλον δὲ, ὥσπερ νόμων οὐκ ὄντων, ἢ γράμματα ἄλλως ὄντων, καὶ μήτε δικαστῶν ὀρθῶς δικαζόντων, μήτε ποντηρίας εὐθυνομένης, καὶ τὸ μέγιστον, μὴ σοῦ, ὦ βασιλευ, αἰεὶ τᾶ βελτίω διὰ πάντων προθυμουμένου, καὶ στρατοπέδοις τειχίζοντος τὴν ἀρχὴν, ἐφ' ᾧ πᾶσαν

(26) Si εἰδότα scripsisset, solœcismum effugisset. Sed meliores Theodulo auctores in hac syntaxi titubant, cœptæ syntaxeos negligentius obliti.

παντάπασιν ἐληλάσθαι καίαν, οὗτοι ταῦτ' ἐτόλμησαν μάλιστα μὲν . . . . . (27).

A malitiam expellant, isti hæc ausi sunt pretiosissimum quidem.....

(27) In hac voce interrumpitur codex. — Quis fuerit hujus apologiæ successus ipse nos docuit Theodulus oratione infra ad Theodorum Metochitam.

ΘΕΟΔΟΥΛΟΥ ΜΟΝΑΧΟΥ

ΗΤΟΙ

ΘΩΜΑ ΤΟΥ ΜΑΓΙΣΤΡΟΥ

ΠΡΟΣΦΩΝΗΤΙΚΟΣ

ΤΩ ΜΕΓΑΛΩ ΣΤΡΑΤΟΠΕΔΑΡΧΗ ΤΩ ΑΓΓΕΛΩ

—

THEODULI MONACHI

SEU

THOMÆ MAGISTRI

ORATIO GRATULATORIA

MAGNO EXERCITUM DUCI ANGELO.

—

Α'. Οὐκ ἄρα λόγος ἦν ἄλλως, περὶ ἃ σοῦ πρόσθεν ἠκούομεν · ἀλλ' ἀτεχνῶς αὐτὰ τὰ ὄντα, ὥσπερ ἐν σκιαγραφίᾳ φιλοτιμουμένης παραστῆσαι τῆς φήμης, ὧν ἂν μετ' ὀλίγον τυχεῖν ἐμέλλομεν · τὰ δὲ ἦν ὅτι τὰς Ἀχελώου σειρῆνας, καὶ ἔτι μᾶλλον τοῖς ἐντυγχάνουσι φαντάζεσθαι δίδως, οὐ μόνον τῇ παρὰ σαυτοῦ μουσικῇ πρὸς ἔκπληξιν θέλγων, καὶ δυσαποσπάστως ἔχειν παρασκευάζων, ἀλλὰ καὶ ἡδίους ἀποπέμπων πολλῷ τῷ ὄντι. Ἡμῖν δ' οὖν καὶ τότε μὲν ἐπῆει πιστεύειν, καὶ οὐκ ἂν ἐκώλυε τὸ μὴ πεπειρᾶσθαι · τὸ γὰρ τοὺς ἐπαινοῦντας ἅπαντας εἶναι, καὶ μὴ ἂν ἕνα μηδέν' ἀντικρούειν δύνασθαι, πρὸς παλινῳ-ίαν ἐξάγοντα · ἀλλὰ καὶ τοὺς βασκαίνειν ἐπισταμένους ἐνταῦθα δὴ μετρίους τὰς γνώμας φαίνεσθαι, τοῦτο δὲ καὶ μᾶλλα θαυμάζειν ἔπειθεν. Ὥστε καὶ συγχαίροντες ἤδη τοῖς ὑπὸ σοῦ κοσμουμένοις, ὅτι μὴ τούτων ἦμεν, πῶς ἂν εἴποις ἡλγοῦμεν, αἰσχυνόμενοι μὲν, τῷ μὴ μετὰ τῶν ἄλλων ἔχειν καὶ αὐτοὶ, τὰ σὰ δὴ ναι · εὐχόμενοι μὴν, ὡς τάχιστα αὐτῶν ἠξιώσθαι · νυνὶ δὲ τυχόντες τῶν ἐν ταῖς εὐχαῖς παιδικῶν, τῷ γ' ὑπὸ σοὶ τετάχθαι. Καί σου πεῖραν λαβόντες ἔν τε βουλαῖς, ἔν τε πράξεσιν, ἡγασάμεθά τε πολὺ μᾶλλον ἢ πρόσθεν, καὶ τῶν παλαιῶν ἐκείνων ἀνήκομέν πῶς εἰς μνήμην ῥητόρων καὶ στρατηγῶν · οἳ τῷ πάντας τοὺς ἐφ' ἑαυτῶν ὑπερπεπαικέναι

I. Non inania sane verba fuerunt, quæ de te antehac audiebamus, sed res omnino ipsæ, studente nimirum fama levi velut penicillo adumbrata nobis repræsentare, quibus paulo post in solidum gavisuri essemus. Accepimus autem, ipsas Acheloi Sirenas, et nescio quid adhuc majus, queis tui alloquendi copia est, te spectanda præbere ; non modo quia propria ista tua musica ad stuporem usque homines demulceas, eumque plane in modum, ut ægre abs te avelli queant, concinnes, sed et revera suavius multo affectos dimittas. Atque mihi quidem, dictis fidem adjungere, et tum protinus certum erat, nec quidquam impediebat, quod tui ingenii nondum fecissem periculum. Quod enim universi te certatim collaudabant, atque nemo unus quidquam reclamare habebat, quo cæteros ad sententiam repudiandam permoveret : imo vero quod illi etiam, quibus alioqui promptum ad obtrectationem et invidiam ingenium, hoc in negotio moderatius sentire videbantur, id ipsum erat, quod me in maximam tui adduceret admirationem. Jam itaque ut his qui ornati abs te adjutique erant, recte gratulabamur : ita quod non de eodem nos numero essemus, haud facile dictu, quanto inde affecti simus dolore. Pudebat enim, quod non

una cum cæteris tua nos opera ac beneficia commemorare haberemus : tum vota etiam faciebamus, ut eorum quamprimum compotes evaderemus. Nunc vero præcipuas votorum nostrorum consecuti cupidines, nimirum ut sub te præside positi, experimentum tui, tum in consiliis, tum actibus rerum caperemus, multo quam antea impensius te suspicere cœpimus. Tum et in mentem nobis veniebat oratorum illorum imperatorumque veterum, qui quod æquales suos omneis ore facundo, non factis duntaxat, superare viderentur, fulgurare atque tonare perhibebantur. (Aristoph. Ἀχαρνεῦσι 530, *De Pericle.*) Siquidem utrumque pariter, et boni oratores, et fortes bellatorés, erant. (ex *Iliad.* Γ' 79.) A quibus tu cum nec tantillum ulta plane in re a tergo relictus, sed unus revera notæ classisque ejusdem homo sis, atque tum agentes agendo, tum dicendo dicentes vincas, mirifice omnes obstupefactos in admirationem tui convertis. Unde nemo non rosis suaviores de te serit sermones; atque cum promptus ipse ad hæc verbis efferenda orator est, tum promptiores cæteros habet auditores, assurgente interim per hoc utrumque, ad summum usque excessum, concepta de te lætitia.

ab altero divelleremur, qui alioqui alio quodam modo una sumus. Quando mihi vero, homini undique infelicissimo, hoc nunc etiam ereptum est, meosque Byzantii amores tenent, agedum quid hoc interea autumno mihi acciderit, tibi narrabo. Ante diem quintum decimum Kalendas Octobres (Gorpiæi XVII), cum domum e sacris synodis revenissem, multo adhuc mane, horror protinus febrilis occupat, ille tum magnitudine maximus, tum vi vehementissimus; non enim familiaris quispiam medicis esse videbatur, qui tanta apparatione ingruebat, ut omnia mox pessumdaret: scilicet dum diem noctemque totam, corpus omne perpetuis velitationibus, quasi murali tormento quatit, et in ossa ipsa ac medullas, quod proverbio dicitur, sævam illam impressionem suam impetumque adigit. Quid tum postea? inquies. Nempe religiosissima ad vesperam usque esculentorum omnium abstinentia, quando medicis eorum quæ non obessent, usu nobis gratificari placuit; quibus usi etiam sumus. Postero rursus die eadem urgebat procella, iidem turbines, iisdemque obruebamur fluctibus, nisi quod novi quidam vomitionum accesserant fluctus, et bilis confluxus, tanto meo cum dolore, tantoque æstu utrinque erumpens, ut quoniam idonea nos deficiunt verba, rem omnem tibi conjectandam permittamus. Decem ipsos dies hunc morbus statum tenuit, ut et ægrum vehementissime affictaret, et magnam medentibus formidinem injiceret. Postmodum, perinde ut Athenienses, maxima ad Ægos flumen accepta calamitate, Piræeoque occupato, et summa inde annonæ inopia ac fame consecuta, urbem postremo ipsam amiserunt, ita non absimili et nos circumventi videbamur discrimine. Quippe post gravissimas oculorum vertigines, et mista sanguine bilis profluvia, et complura alia, quæ tum premebant, mala, tandem quiddam illiusmodi secundum corpus nostrum accidit, quod plerisque lethiferum esse medicorum censent filii. Nempe magna vis bilis, et hæc sane quam molesta, circum stomachum allapsa, cor ipsum suffocabat, respirandique adimebat facultatem. Jam itaque ultima imminebant omnia, quandoquidem neque cor usitato more, recepto sanguine evacuaretur, et nullo non tædii atque fastidii genere laboraret ventriculus, nullumque plane ferret alimentum. Sive enim calidis, sive frigidis uteremur, sive quæcunque ab arte medica imperabantur, nugæ et fabulæ erant omnia; nihil enim erat, quod non mox assumptum rejiceretur. Id quod medicos non parum sollicitos habuit. Quippe tametsi omnia artis remedia sedulo adhiberent, nihil eorum tamen, quæ fieri oportuit, consequebatur. At hic naturam ipsam, quamlibet rationis expertem, omnia secundum rationem facere, manifesto deprehensum fuit. Forte enim, mea sponte, vinum calfactum, cum micis aliquot friati panis, gustaram, et nonnihil protinus malum remittere visum. Unde postea eimdse qui, atque magnopere comprobare, medicis consilium fuit.

Interea autem, cum omnia adeo gravia et intolerabilia illa bilis redundantia faceret atque multa, ut erat virsimile, inde animi ægritudo exsisteret, extrinsecus secundum faciem non exigua humoris copia manare cœperat, adhæc ventuli e machina quadam flebant, et unguentorum effusiones, et crebræ mutationes locorum; non enim licebat; non, inquam, licebat, uno uti lectulo, sed ubicunque commodus usquam in ædibus apparebat locus, aliaque omnia, unde quantulumcunque exspectari poterat levamen ; adeoque ne consequi quidem verbis potero, quæ tum consilii inopia atque difficultas, et quam non ferenda morbi sævitia fuerit, tamesti nihil non moliretur quispiam. Porro ex his tam copiosis faciei humoribus, tale quiddam evenit. Ambæ subito extumuere genæ. Hic rursus advolare medici, aliusque ad alium clamitare, nunc vel maxime properandum et pro viribus adlaborandum esse, in primis malva alba opus esse, quæ illico adfuit, et similiter ulmi cortex, et alia quædem, ut dissipati hoc modo tumores non ad interiora penetrarent, atque postea tum novæ medicis trepidationis, tum ægro interitus fortasse causa fierent. Cedo quid postea ? tantum quod ista conquierant; cum serenitatem nos jam tenere rati, denuo in illa superiora recidimus, utut non gemina plane ac simillima, alio tamen quo pacto consimilia; quippe eadem iterum medicis fere aderat hæsitatio, quod febris febrim excipiens, suspensos incertosque teneret: artusque corporis ipsa morbi diuturnitate pridem confectos incredibilem in modum conquassaret, ut nullum hic amplius, neque nos, neque medici, excogitare possemus consilium. Quando hujuscemodi igitur nos auctumnus epulis accepit, te ejusdem etiam participem convivii faciendum nobis esse arbitrabamur : non equidem ut animi te excruciares (apage istam a nobis in amicos inhumanitatem), sed ut cognosceres quibus ex scopulis in quos portus, Dei immortalis ope, tandem aliquando appulissemus.

A πρὸς ἄλλος ἄλλον ἐβόα, Τάχους ὅτι μάλιστα δεῖ· καὶ σπουδάζειν ἔξεστι καὶ μαλάχης λευκῆς χρεία· καὶ παρῆν ὅτι τάχος καὶ πτελεῶν φλοιὸς, καί τιν' ἕτερα, ἵνα διαχυθέντες οἱ ὄγκοι μὴ χωρήσωσιν εἴσω, κἀντεῦθεο τοῖς τε ἰατροῖς ἀγωνίας, τῷ τε κάμνοντι θανάτου τάχ' ἴσως αἴτιοι γένωται. Τί τὸ ἐντεῦθεν ; Πέπαυται ταῦτα· εἶτα δοκοῦντες ἔχειν γαλήνην, πάλιν τοῖς πρώην ἐμπίπτομεν, εἰ καὶ μὴ παραπλησίοις, τρόπον δ' ἕτερον παραπλησίοις· ἡ γὰρ αὐτή τις ἀπορία τοῖς ἰατροῖς· πυρετὸς γὰρ ἐκ πυρετοῦ συλλαμβάνων διῆγε· καὶ τὰ πολλῷ τῷ χρόνῳ μέλη κατεργασθέντα πῶς οἴει κατέτρυχεν· ὡς μηδ' ὁτιοῦν, μήθ' ἡμῖν, μήτε τοῖς ἰατροῖς ἐξεῖναι προσευρεῖν. Τοιούτοις ἡμᾶς τὸ φθινόπωρον ἐστιᾶσαν, δέον ᾠήθημεν κοινωνὸν καὶ σὲ ποιῆσαι τῆς θοίνης· οὐχ ἵν
B ἀλγοίης· πόῤῥω γὰρ ἡμεῖς τῶν τοιούτων τοῖς φίλοις· ἀλλ' ἵν' εἰδείης ἐξ υἵων ἄρα σκοπέλων εἰς οἵους κατέσχομεν σὺν Θεῷ τοὺς λιμένας.

IV. *Eidem.*

C

Δ'. Τῷ αὐτῷ.

Atque tibi equidem, vir optime, optima semper eveniant omnia, et meliore identidem felicitatis incremento, secundissimam experiaris fortunam, cum nobis hæc tibi comprecantibus, tum tot aliis tuis amicis : quanquam mihi haud proclive fuerit eorum inire numerum, quos tuo consauciaveris amore, tum isto item animo tuo haud aliud voti recipiente argumentum; qui enim non solum amicis, sed universe omnibus, et lætis in rebus congratularis, et in afflictis verissimum capis dolorem, annon talem te inquam virum, perpetua animi lætitia, summaque fortunæ prosperitate, perfrui æquum fuerit? Nos vero cum nonnihil de superioribus malis respirassemus, et in meliorem recuperandæ iterum salutis spem venissemus ; hic vero de consilio medicorum balneo forte adhibito, in eisdem denuo malis eramus : priorque illa, sed vehementior, ingruebat tempestas, nosque nondum ex tyrannide penitus ereptos, ille Phalaridis bos tenebat. in causa erat, quod non opportune salis lavatione usi fuissemus, multa adhuc bilis vi ventriculum obsidente. Retro itaque mox sublapsa, et in contrarium lata omnia, nulliaque non mali aderat species, sive verius, nihil non supremo in gradu. Nempe et pessime affecta erant intestina, ita ut vix attollere me ac levare possem. Et reliquum corpus assidus gravissimisque torquebatur doloribus, quoniam unoquoque in membro, sua, ut ita dicam,

Σὺ μὲν εἶης διὰ τελους, ἄριστε, πράττων εὖ, καὶ μετ' ἀμείνονος αἰεὶ τῆς προσθήκης, τάγαθοῦ πειρώμενος δαίμονος, ἡμῶν τέ σοι ταῦτα συνευχομένων, καὶ τῶν·.., ἀλλ' οὐκ ἂν δυναίμην εἰπεῖν ὅσους ἔτρωσας, τῆς τε σῆς γνώμης ἑτέραν οὐ δεχομένης ὑπόθεσιν· ὁ γὰρ οὐ φίκοις μόνον, ἀλλὰ καὶ πᾶσιν ἁπλῶς εὖ μὲν πράττδυσι συνηδόμενος, ἐπὶ δὲ τοῖς ἐναντίοις καὶ μάλ· ἀχθόμενος, τὸν δὴ τοιοῦτον πῶς οὐ διαπαντὸς εὐθυμεῖσθαι προσῆκε, καὶ ὡς ἄριστα ἔχειν ! Ἡμεῖς δὲ μικρὸν ἀναπεπνευκότες ἐκείνων τῶν δυσχερῶν, καὶ πρὸς ἀμείνους καταστάντες ἐλπίδας, ὡς ῥᾷον ἔθ' ἕξομεν, ἐπειδὴ τῶν ἰητρῶν κελευόντων ἐχρησάμεθα λουτροῖς, αὖθις αὖ ἦμεν ἐν τοῖς αὐτοῖς· καὶ ὁ πρόσθεν χειμὼν ἐπῄει σφοδρότερος· καὶ
D μήπω καθαρῶς ἀπηλλαχότας τῆς τυραννίδος, ὁ τοῦ Φακάριδος ἔσχε βοῦς. Αἴτιον δὲ τὸ μὴ κατὰ καιρὸν πάντως λελοῦσθαι, χολῆς ἔτ' ἐχούσης [περὶ τὸν στόμαχον. Ἅπαντα δὴ οὖν εὐθὺς ἀνατέτραπται· καὶ πρὸς τοὐναντίον ὡρμήκει· καὶ οὐδὲν ὅ τι μὴ παρῆν τῶν δεινῶν· μᾶλλον δὲ οὐδὲν ὅ τι οὐ μεθ' ὑπερβολῆς. τά τε γὰρ ἔνδον πονήρως ἔσχεν, ὡς μηδ' ἀνασχεῖν οἷόν τ' εἶναι, τό τε σῶμα πυκναῖς ὅτι μάλιστα καὶ βαρείαις ἔκαμνε ταῖς ὀδύναις κατὰ παντὸς ὁτουοῦν μέλους, ἐστρατοπεδευκότων ὡς εἰπεῖν τῶν δεινῶν. Καὶ σιωπῷ στομάχου κατάψυξιν, καὶ τὴν περὶ πάντ' ἀηδίαν, καὶ τοὺς ὅτε τι τῶν ἐν τοῖς τοιούτοις ὑπ' ἀνάγκης προσιέμην, αὐτίκ' ἀπαντῶντας ἐμέτους. Ἀλλ' ἠπίαλοί τινες ἑκάστης ἡμέρας ἐς μῆνα κατέ-

σχον, δεινοὶ μὲν ἐκτρίψαι καὶ καταβαλεῖν· οὐχ ὅτι γε ἡμᾶς τοὺς ἤδη διαπεπραγμένους, καὶ ὥσπερ καμόντων εἴδωλον ὄντας, ἀλλὰ καὶ τοὺς μάλ' ἐρρωμένους τὸ σῶμα, καὶ τὴν Ἡρακλέους ἴσχοντας ῥώμην· δεινότεροι δὲ, τῷ νυκτὸς ἀρχομένης εὐθὺς ἐπιέναι, ὡς μηδ' ὕπνου λαγχάνειν δύνασθαι· εἶθ' ἕτεροι τουτουσι διαδέχονται, οὐ κατὰ ταυτὰ διακείμενοι, ἀλλ' ἐοικότες τοῖς πάλαι· εἶτ' αὖθις ἄλλοι, καὶ μάλα ἄλλοι, ὥσπερ ἀπὸ συνθήματος. Καὶ ἡμεῖς ἐν φόβῳ πολλῷ καὶ ταράχῳ, τῶν μὲν ἰατρῶν ἄνω καὶ κάτω βοώντων, ὡς ἐπὶ θύραις ἡ τελευτὴ, καὶ οὐδὲν χρὴ μέλλειν οὐδ' ἀναδύεσθαι, ἀλλὰ καὶ πράττειν ἃ πράττειν μάλιστα χρή. Θορυβουμένων δὲ τῶν ἑταίρων, καὶ προστιθέντων οἰμωγαῖς οἰμωγὰς, καὶ συνευχομένων ῥᾳστώνην· τοὺς οὖν οὕτω μὲν ἔχοντας, ἐν δὲ τοσούτων ὄντας δεινῶν μεσημβρίᾳ, μηδαμόθεν δὲ χρηστῆς ἔτ' οὔσης ἐλπίδος, τῶν δ' ἐναντίων ἁπάντων, καὶ τοῖς μὲν ὅλοις ἀπειρηκότας σχεδὸν, μόνον δὲ τὴν περὶ ψυχῆς θέοντας, μᾶλλον δὲ τῷ πλείστῳ τεθνηκότας τοῦ βίου, ὦ τῆς ἀφάτου περὶ ἡμᾶς φιλανθρωπίας Θεοῦ! ὑφέσθαι τε παραχρῆμα ξυνέβη τοῦ τοσοῦδε κλύδωνος, καὶ τῆς προτέρας μὲν οὐκ ἂν φαίην, ὑγείας δ' οὖν ἐπειλῆφθαι, μάλα μὲν ἡδίστης, ὅτι παρῆει παρὰ πᾶσαν ἡντινοῦν προσδοκίαν, μάλα δὲ πιθανωτάτης ἂν καὶ εἰσάπαν ἀφῖχθαι. Καὶ νῦν τοῖς ὁρῶσιν ὥσπερ ἀναβεβιωκόσιν ἐοίκαμεν. Καὶ νῦν μὲν τὰς κεφαλὰς κινοῦντες, νῦν δὲ τὼ χεῖρε κατάσσοντες, ἀπαλλάττονται, Θεῷ χάριν εἰδότες, τῷ πάντα μὲν δυναμένῳ, πάντα δὲ ποιοῦντι καὶ μετασκευάζοντι μόνῳ τῷ βούλεσθαι. Ἡμεῖς μὲν οὖν, αἰεὶ Θεοῦ διδόντος, πρὸς τὰ βελτίω χωροῦμεν καὶ ζῶμεν μετ' ἀγαθῶν τῶν ἐλπίδων, ἐκεῖνα παθόντες, ὧν καὶ τὸ μεμνῆσθαι μόνον κατηφείᾳ ὑπόθεσις· Ἱεροθέῳ δὲ τῷ καλῷ πολλὰ ἀγαθὰ γένοιτο, οὐχ ὅπως ἧς ἔχει χρηστότητος καὶ ἐπιεικείας, καὶ τοῦ περὶ πλείστου καὶ βούλεσθαι καὶ ποιεῖσθαι, ὥσπερ ἄγαλμά τι πάγκαλον διὰ πάντων τὴν ψυχὴν ἐξειργάσθαι· ἀλλ' ὅτι κἀμοὶ μάλα κάμνοντι καὶ ταλαιπωρουμένῳ, καὶ τί γὰρ ἄλλο ἢ πᾶσιν ἁπλῶς ὑπ' ἀπορίας δυσαρεστοῦντι κατὰ τὴν τραγῳδίαν μόνος ἀντὶ πάντων παρῆν, ὑπανέχων, κουφίζων, θεραπεύων εὖ μάλα, καὶ τὴν μὲν εἰς αὐτὸν ἥκουσαν οὐκ ἐγκαταλιμπάνων συντέλειαν, πᾶσι δ' οἷς οἷός τ' ἦν τὰς ὀδύνας παράγων καὶ συναιρόμενος τὰ γιγνόμενα, τὸ λαθικηδὲς ἄντικρυς ἐκεῖνο καὶ οἷς ἔλεγε καὶ οἷς ἔπραττε γιγνόμενος φάρμακον. Ὅς ἐν μὲν ταῖς ἀλλεπαλλήλοις τῶν δεινῶν τρικυμίαις, καὶ τοῖς μεγάλοις ἐκείνοις κύμασιν, οὐδὲν ἧττον ἀλγῶν διετέλει, καὶ τὴν ψυχὴν κατακλύζων ἀθυμίας ῥοθίῳ, ὁπότε δ' αὖθις ραΐσαιμι, καὶ αὐτὸς ἀναφέρων καὶ μεθιστὰς εἰς εὐθύμους. Καίτοι τί λέγως πολλάκις γὰρ καὶ πρὸς πολλοὺς διεξῄει ἡμῶν ἀκουόντων, καὶ ὅρκον τοῖς ῥήμασι προστιθεὶς, ὡς ἥδιστ' ἂν εἴπερ ἦν ἐθελῆσαι τὴν τύχην ἀλλάξασθαι· μᾶλλον δὲ καὶ τὴν ψυχὴν ἂν αὐτὴν ὑπὲρ ἡμῶν ἑτοίμως προίσθαι. Τοσοῦτος αὐτῷ λόγος τοῦμοῦ περιόντος. Ὅθεν φιλῶ μὲν αὐτὸν ἴσον ἐμῇ κεφαλῇ, καὶ τήν γε μίσην χώραν τῆς ψυχῆς ἀπονέμω, συνεύχομαι δὲ τυχεῖν, ὧν τοχεῖν ἐσπούδακε, καὶ ταῖς τῶν ἀρετῶν ἀρδείαις τὴν ψυχὴν τεθηλότα, καρποὺς

castra, vis morbi posuerat. Atque taceo tamen ventriculi refrigerationem, tristemque ad omnia nauseam, et illico, ut aliquid, quod ad ejusmodi morbum facere solet, necessitate coactus assumpsissem, occurrentes vomitus. Jam et continuæ quædam quotidianæque febres mensem integrum tenebant, eæque non nos modo, jam tum plane confectos, et quoddam quasi simulacrum mortuorum (Il. ψ, 72 *etc.*), sed et corpore quam maxime valentes, Herculeisque præditos viribus, frangere ac prosternere, sane quam idoneæ. Tanto vero eædem graviores, quod sub primam identidem facem recurrerent, ut ne somnum capere integrum esset. Quas mox aliæ, nec ejusdem modi tamen, sed superioribus illis simillimæ, excipiebant, tum rursus aliæ, aliæque complures, tanquam ex compacto. Magna igitur nos in forimidine, magno tumultu versabamur, cum medicis sursum deorsumque clamitantibus, jamjamque præ foribus vitæ adesse finem, nec ullum moræ atque tergiversationi locum relinqui, verum strenue, quidquid facto maxime opus esset, esse factitandum, tum amicis tumultuantibus, planctusque plantibus ingeminantibus, et levamentum dolorum optantibus. Hunc autem affectis in modum, ipsoque veluti tot malorum in meridie positis, bona nulla alicunde amplius affulgente spe, imo vero aliis ex contrario omnibus, summaque rerum omnium desperatione propemodum conflictantibus, et extremum nunc de anima currentibus curriculum, sive potius, maxima vitæ parte jam defunctis, o inenarrabilem Dei erga nos benignitatem! subito sane contigit, ut tanto subsidente undarum fluctu eriperemur sanitatemque, haud illam quidem pristinam dixerim, sed aliquam tamen, prehenderemus, eamque longe tum dulcissimam, quippe ex inopinato penitus insperatoque allapsam, tum quam propriam ac perpetuam venisse, vero quam simillimum sit. Jam itaque visentibus velut ex Acheronte excitati videmur, qui partim motis capitibus, partim complosis manibus a nobis. abeunt, Deoque gratiam habent, qui omnia tum potest, tum facit transformatque, solo arbitrio suo. (*Amos*, v, 8.) Sic nos igitur Deo dante, perpetuo ad meliora progredimur, speque optima vivimus, ea videlicet perpessi, quæ vel animo duntaxat revolvere pigeat tædeatque. Optimo vero Hierotheo bona omnia eveniant, precor, non ob probitatem tantum humanitatemque suam, quod somme item tum studet, tum maximo in pretio habet, animam suam velut faberrimum pulcherrimumque quoddam signum, omni ex parte exonare, verum etiam quod mihi gravissime ægrotanti laborantique, quidve aliud, quam præ angoribus erga omnes omnino morosius affecto? ut in tragœdia est, unus omnium vicem præsto fuit: sustollentes, allevans, studiosissime curans, ratamque officii sui partem haudquaquam omittens, atque omnibus, queis poterat modis, doloris sensum avertens ac deducens; et quam licebat opem operamque præstans, quive

dictis suis factisque, illud ærumnarum omnium memoriam diluens pharmacum (ex Ὀδ. Δ' 221, Synes, epist. 146) mihi plane erat. Quippe qui in creberrimis cruciatuum decumanis fluctibus, maximisque illis undis, nihilo ipse minus et perpetuo doleret, animamque suam mœroris fluctibus inundaret, ubi nos vero iterum convaluissemus, etiam ipse pariter se colligeret, et ad lætantes transiret. Quanquam quid dico? sæpe ille enim, et apud complures, nobis audientibus, etiam jurejurando verbis suis apposito, ultro professus est se, si qua fieri posset, libentissimo animo fortunam præsentem mecum commutaturum, imo vero animam etiam ipsam mea vice, sine ulla cunctatione profusurum, usque adeo magnam homo mei ut superates essem, ducebat rationem. Haud immerito illum igitur, perinde ut caput meum adamo (Ἰλ. γ, 82) et mediam animæ sedem illi attribuo, tum opto item ipsum consequi, quidquid consequi studet : et virtutum irrigationibus anima florentem, fructus Deo acceptos, fructuum æternorum causas, producere, Deique plane templum fieri, quod te etiam pariter optare volo, non ob id unum modo, quod liberorum parens jam es, sed præterea ut viro optimos santissimoque, et morum probitate homines omnes laudatores nacto.

βλαστῆσαι θεοφιλεῖς, καρπῶν ἀθανάτων αἰτίους, καὶ Θεοῦ γενέσθαι τέμενος. Συνεύχου δὲ καὶ αὐτὸς, οὐχ ὡς εἰς τοκέας μόνον τελῶν, ἀλλὰ καὶ ὡς ἀνδρὶ καλῷ κἀγαθῷ, καὶ τρόποις χρηστοῖς πάντας ἐπαινέτας ἔχοντι.

V. *Magno logothetæ.*

Ε'. Τῷ μεγάλῳ λογοθέτῃ.

Tu vero, qui optima omnia et vis, et potes, et egregia animi alacritate agis, nihil equidem novi, ut arbitror, facturus es : si quibus tam multa dudum beneficia dedisti, eosdem nunc etiam tuis ornes beneficiis : quibusque non raro antehac gratificatus es, iis nunc item gratificeris. Verum illud plane ipsum, quod quotidie et adversus omnes facere consuesti, petentes pariter, et non petentes : hos nimirum, ut ne petant, illos, quia petunt. Tum vero præterea, nunc etiam superiora omnia, quasi decreto quodam sancire atque confirmare videberis, et simul ostendere, vera te animi magnitudine et dedisse nobis, quidquid dedisses, et hac eadem de causa, eadem in præsens gratificari. Qua in re quemadmodum tuorum nos non possumus non meminisse beneficiorum, et gratiam habere, et tibi cum laudibus acclamare : haud magis sane, quam nostri ipsorum deponere memoriam. *Nam quidquid olim gesseram, quidquid geram, id omne dextra fretus aggredior tua*, ut cum Sophocle loquar. (Αἴαντι, 34.) Ad eumdem et tu modum, temetipsum haudquaquam inficiari; quanque jampridem pulcherrimam agendi rationem, non nostro duntaxat, sed omnium plane mortalium bono, semel ingressus es, missam nunc facere poteris. Unus tu enim præter cæteros, qui, ut ait Demosthenes, *ad communem fructum usumque rempublicam tractarunt*, omnibus in rebus excellis; unus magnum hunc tribunatum tuum, sive prytanicam imperii procurationem, sive quo alio quispiam appellet vocabulo, quoddam quasi specimen virtutis, honestissimæque animi ambitionis ratus; non bene modo de universis, atque nullo non tempore mereris, velut certamen cum necessitatibus uniuscujusque suacipiens, omnesque in eo nervos tuos contendens, ne quis homnium omnium, quocunque tandem modo, re quapiam ulla privetur, verum etiam gaudio exsultas, dum beneficium tribuis : et hoc multo majore, quam illi ipsi qui accipiunt; imo vero tum beneficium temetipsum accipere autumas, cum aliis das. Hanc igitur; hanc, inquam, ob cau-

Οὐδὲν ἄρ' οἶμαι καινὸν, ὦ πάντα τὰ βέλτιστα σὺ καὶ βουλόμενος καὶ δυνάμενος καὶ πράττων ἑτοίμως, εἰ οὓς εὖ πολλάκις πεποίηκας, τούτους καὶ νῦν εὖ ποιήσαις, καὶ χάριν παράσχοις οἷς οὐκ ὀλιγάκις ἔδωκας· ἀλλὰ μάλιστα μὲν ἃ καθεκάστην καὶ πρὸς πάντας ποιεῖν εἴωθας, τούς τε δεομένους, τούς τε μὴ, τοὺς μὲν, ἵνα μὴ δεηθεῖεν, τοὺς δ' ὅτι δέονται· ἔπειτα δ' ἤδη καὶ δόξεις ὥσπερ ἐπιψηφίζειν τὰ πρόσθεν, καὶ ἅμα δεικνύναι ὡς μεγαλοψύχίᾳ θ' ἡμῖν ἔδωκας ἅπερ ἔδωκας, καὶ τανῦν ταυτὰ παράσχοις ἀπὸ τῆς αὐτῆς ταύτης αἰτίας. Καὶ ὡς ἡμῖν οὐχ οἷόν τε μὴ τούτων μεμνῆσθαι, καὶ χάριν ἴσχειν καὶ βοᾷν ξὺν ἐπαίνοις, οὐ μᾶλλον ἢ ἡμῶν αὐτῶν μὴ μεμνῆσθαι· πάντα γὰρ τά τ' οὖν πάρος, τά τ' εἰσέπειτα σῇ κυβερνῶμαι χειρὶ, κατὰ Σοφοκλέα· ὡς δὲ καὶ αὐτὸς οὐκ ἂν ἔχοις σαυτὸν ἀρνηθῆναι· καὶ τὴν ἐξαρχῆς οὐχ ὑπὲρ ἡμῶν μόνον, ἀλλὰ καὶ πάντων ἀνθρώπων καλλίστην ταύτην ἔνστασιν ἐγκαταλιπεῖν· μόνος τε γὰρ τῶν εἰς κοινὸν πολιτευσαμένων, φησὶ Δημοσθένης, τοῖς ὅλοις αὐτὸς ἄριστος καὶ μόνος, ὥσπερ ἔνδειξιν ἀρετῆς, καὶ τοῦ φιλοτιμοτάτου τῆς γνώμης, τὴν μεγάλην ταυτηνὶ δημαγωγίαν ἢ πρυτανείαν, ἢ δ τι τις λέγει νομίζων, οὐχ ὅσον ἅπαντας εὖ ποιεῖς, οὐδ' ἐπὶ παντὶ δήπου τῷ χρόνῳ, ὥσπερ πρὸς τὸς ἑκάστων ἀμιλλώμενος χρείας καὶ φιλονεικῶν μηδένα τῶν ἁπάντων, μηδὲ καθ' ὁντιναδήποτε τρόπον ὁτουοῦν ἑτερῆσθαι· ἀλλὰ καὶ χαίρεις εὖ ποιῶν πολὺ μᾶλλον ἢ οἱ πάσχοντες αὐτοί· μᾶλλον δὲ καὶ χάριν αὐτὸς οἶει λαμβάνειν, χάριν ἑτέροις διδούς· ταῦτ' ἄρα ταῦτα καὶ νύκτωρ ἐπαγρυπνεῖς, καὶ μεθ' ἡμέραν φροντίζεις, ὑπὲρ τοῦ κοινοῦ γιγνομένου, βουλαῖς ἔργα προστιθεὶς· καὶ πάντα πόνον φέρεις ἡδέως· ἐφ' ᾧ τοῖς ἄλλοις ἔσται βελτίω τὰ πράγματα, καὶ πᾶς τις τεύξεται τῶν δικαίων. Ὥστε καὶ εἰ μηδὲν πώποθ' ἡμᾶς εὖ ποήσας ἐτύγχανες, μήδ' ἡστινοσοῦν ἀξιώσας προνοίας, ἐξ ἄρα μόνου τοῦ πᾶσι παντὸς καλοῦ πρυτανεῖον παρὰ πάντ' εἶναί σε τὸν χρόνον, εἰκὸς ἂν ἦν δήπου, μᾶλλον δὲ πᾶσα ἀνάγκη, τῶν ὑπὸ σοῦ κεκοσμημένων καὶ ἡμᾶς γεγενῆσθαι· ὡς ἄν, μὴ τῶν ἄλλων εὖ πάσχειν λεγόντων, μόνοι τῶν ἁπάντων ἡ σιγῶμεν,

ἢ ψευδώμεθα· οὐ γὰρ ἔνεστ' ἄλλως παῤῥησιάζεσθαι, πάντων εἰδότων τὴν σὴν δεξιάν. Ὅτε δ' ἐν πολλοῖς πολλάκις τῆς σῆς χειρός τε καὶ γνώμης καὶ μάλ' ἀπολελαυκότες ἡμεῖς, καὶ οὔτ' αὐτὸς ἐπιλέλησαι, ἡμῖν θ' οὕτω δι' εὐφήμου ταῦτ' ἄγεται μνήμης, ὥσθ' ὅτι μὴ καὶ τῶν Ὁμήρου στομάτων εὐποροῦμεν, ἀλγοῦμεν, εὔδηλον ὡς κἂν τῷ παρόντι μιμήσῃ σαυτὸν, καὶ τοῖς αὐτοῖς χρήσῃ πρὸς ἄνθρωπον πολλάκις μὲν ἐν τοῖς σοῖς Ὀλυμπίοις κραταιῶς ἀποδύντα, καὶ διὰ πάντων ἐστεφανωμένον τῶν ἄθλων, πολλάκις δ' ὑπὲρ σοῦ καὶ τῶν σῶν χείρας εἰς οὐρανοὺς ἄραντα, μᾶλλον δ' αἴροντ' αἰεὶ, καὶ συνευχόμενον πάντ' ἐκεῖθεν τά γ' ἄριστα. Συναίρονται δέ μοι τούτωνὶ τῶν εὐχῶν πᾶσαι μὲν πόλεις, πάντες δ' ἄνθρωποι. Πᾶσι γὰρ δὴ τῶν σῶν μέλει, καὶ πάντων γε σοί· σοὶ μὲν ὅπως εὖ πράττοιεν, τοῖς δ' ὅπως ἐς μήκιστον ὅσον ἐῤῥωμένως βιῴης· οὕτω γὰρ ἂν καὶ τὰ σφέτερ' αὐτῶν ὡς κάλλιστα ἔχειν, ὡς τὸ μὲν διὰ τέλους ἐῤῥῶσθαι σοὶ μάλα προσῆκον, αὐτοῖς δὲ τὴν ἀγαθὴν τύχην, οὐκ ἂν ἄλλως οὖσαν. Εἶεν. Ἀλλὰ γὰρ ὅτι μὲν ἡμῖν ἐσαεὶ πρόθυμος ἔσῃ, καὶ τὰ βέλτιστ' αἰρήσῃ, καὶ τιμῆς ἀξιώσεις, καὶ πάντα πράξεις ἡδέως ἃ τε ἔξεστι καὶ δίδωσι τὸ χρείας ἐστὼς. καὶ μάλα λαμπρῶς οἶδα, τῶν τε ἄλλων εἵνεκα, καὶ ὅτι πρόσθεν κάτω γῆς εἶσιν ἄστρα, γῇ τ' ἄνεισιν εἰς αἰθέρα, φησὶ ποιητὴς, πρὶν μὴ παρὰ σοῦ τυχεῖν ὧν ἄν τις δέηται, ὅς γε καὶ μηδὲν δεηθεῖσι πολλάκις ἔδωκας, καὶ δεηθέντας μειζόνων ἠξίωσας. Καὶ τοῦθ' ὡς ἀληθῶς σοι πρόσρημα πολὺ κάλλιον καὶ σεμνότερον, ὡς ἐγῷμαι, παντὸς ἂν ὅτου καὶ φήσαις· δέδοικα μέντοι, δέδοικα, καὶ ἴσως εἰκότος οὐκ ἔξω, μὴ μεγάλας πεφυκὼς διδόναι χάριτος, ἔπειτα τὴν νυνὶ τούτην σμικράν τε καὶ παραπολὺ τῆς σῆς μεγαλοψυχίας νομίσας, ἢ καθάπαξ οὐ δῷς, ἢ ἐμοῦ καταγνῷς, ὡς οὐ περὶ σοῦ τὰ προσήκοντα διανοουμένου. Εἰ δὲ καὶ ταῦτ' οἶσθα διδόναι, καὶ πᾶσιν ἁπλῶς ἐγχειρεῖν, καὶ ὁ καλλίνικος ἡμῖν Ἡράκλῆς πάρεργα τῶν μεγίστων ἄθλων ἔστιν ἃ κατεργάζεται, θαῤῥεῖν δεῖ. Μᾶλλον δὲ εἰ δώσεις ἑτοίμως, ἡμᾶς τε δείξεις οὐ καλῶς οἰομένους, σαυτὸν δὲ πῶς οἴει κοσμήσεις, οὐ μόνον τῷ μεγάλα καὶ θαυμαστὰ πράττειν δύνασθαι, καὶ στεφάνων καὶ κηρυγμάτων ἄξια, ἀλλὰ καὶ τῷ σμικροῖς εἰδέναι διδόναι κατὰ καιρὸν ἐπιεικείας ὑπερβολῇ· εἰ μὴ καὶ τοῦτο τρόπον ἕτερον, ὡς ἔγωγε οἶμαι, μεγαλοψυχίᾳ τις λογιοῖτο, τὸ μηδὲ τῶν πάνυ δοκούντων ἐλαχίστων ὑπερορᾶν. Ὅτι δὲ τοιαῦτ' ἔστιν ἃ νῦν ἐπαγγέλλομεν, καὶ οὐ σὰ οὐδ' ὧν ἑκάστοτε πράττεις, ἀλλὰ καὶ παντάπασιν ἀπειλημμένα τῆς μεγάλης ταυτησὶ στροφῆς τῶν πραγμάτων, δῆκον ἔκ τε ὧν περὶ αὐτοῖς τούτοις δέδοιμεν, ἔκ τε ὧν παραιτούμεθα, τὸ μὲν, μὴ ἄρα οὐ δώσεις, εἰωθὼς μεγάλα χαρίζεσθαι, τὸ δ' ὡς καλῶς ἔχει σοὶ μὲν δοῦναι, ἡμῖν δὲ λαβεῖν. Ἐγώ τε γὰρ ἃ βούλομαι λήψομαι, σύ τ' ἐπιεικέστερος δόξεις καὶ σαυτοῦ, τῷ καὶ τηλικοῖσδε κεχρῆσθαι. Ἐν γὰρ τῇ καθ' ἡμᾶς ἱερᾷ τῇδε καὶ θαυμαστῇ ξυνοικίᾳ, οὗ καὶ τὰς ἐκ βασιλέως τροφὰς ἔχομεν, οἰκήματά ἐστιν ἄττα, κάλλιστα μὲν θέσεως ἔχοντα, καὶ πρὸς πᾶσαν ἔτους ὥραν εὖ παρεσκευασμένα, τῇ τε φύσει τοῦ χωρίου,

A sam, et noctes insomnes ducis, et dies totos de salute reipublicæ tecum commentaris, simul curis consiliisque tuis opera adjungens, omnemque libenter perfers laborem, quo meliuscule res aliis procedant et quisque jus suum consequatur. Adeo ut si vel nullum unquam separatim in nos contulisses beneficium, neque ulla plane cura providentiasque tua dignatus fuisses, vel hoc solo tamen nomine, quod omni tempore, boni omnis, publicum omnibus ærarium es, æquam videlicet, sive potius plane necessarium fuerat, ut de iis qui abs te adjuti ornatique fuissent, nos etiam essemus: ne scilicet dum tua erga sese alii commemorant beneficia, soli inter omnes nos aut obmutescamus, aut falsa et conficta efferamus. Neque enim aliter palam et B aperte hoc nobis profiteri integrum, quando perspectissima omnibus dextra fidesque tua est. Verum enim vero cum sæpenumero multisque in rebus, manus mentisque tuæ maximum antehac fructum cepmus, quod neque tibi ipsi excidit, nobis vero usque adeo magnifice hæc commemorantur celebranturque, ut ex animo doleamus, dena illa ora Homerica (Ιλ. Β'. 189) nobis non suppetere. Hinc patet sane, etiam hoc tempore tui te ipsius imitatorem fore, eademque erga hominem usurum benevolentia, qui tuis sæpius in Olympiis, omni virium connisu, veste posita decertarit, de omnibusque certaminibus corona donatus fuerit; qui frequenter item tua tuorumque gratia, geminas ad cœlum palmas extulerit, sive rectius, perpetuo extollat, atque optima inde omnia votis suis efflagitet. Quibus suscipiendis nuncupandisque, suas C mecum operas, cum urbes omnes, tum mortales etiam omnes jungunt. Ita enim curæ omnibus tua sunt, ut tibi omnium cura est; tibi nimirum, quo illi prospera et florente fortuna sint, illis vero ut tu quam longissimum ævi spatium salvus et incolumis conficias; ita enim suas etiam loco optimo res futuras. Quoniam et te secundo vitæ valetudinisque cursu perpetuo florere, plane deceat: et ipsis haud aliter fortunatis felicibusque esse contingat. Sed sint ista sane. Te vero ipsum singulari semper erga me voluntate fore, meisque fortunis ac commodis, meæ dignitati, sponte tua consulturum, eaque omnia libenter acturum, quæ poteris cunque, quæque præsens usus ac necessitas per- D mittet, id luculentissime compertum habeo; cum ob alia, tum quod *astra sub terram prius ibunt, et altum terra se in polum feret*, ut ait poeta (Euripides. Οἰλεῖ sive Συλεῖ, ut arbitror, apud Philonem, p. 603, et p. 66, 365, Turneb.), quam abs te quispiam eorum quæ petit repulsam feret; qui etiam nihil rogantibus sæpius dedisti, et rogantes majoribus quam optassent ornasti muneribus, quod tuum elogium, meo judicio, haud paulo pulchrius omnino atque gloriosius, allo, quod usurpes, quovis est. Metuo vero, metuo, nec absurde fortasse, ne tu, qui ingentia largiri beneficia naturæ tuæ ductu soles, nunc hoc ipsum præsens, minutum, et longe

infra animi tui magnitudinem positum, esse ratus, aut non des omnino, aut me incuses, velut qui de te non satis digne convenienterque existimem. Sin autem tum hæc dare potes, tum quævis alia omnino aggredi, nimirum ut inclytus ille plurimarumque palmarum Hercules, præcipuis operibus suis alia quædam extra ordinem interponit, bono sane animo esse convenit. Imo vero si prompte dederis, hoc ipso planum facies, neque nos animi falsos fuisse, teque ipsum majorem in modum ornabis. Scilicet quod non magna modo et admiranda prætare valeas, et publicis coronis atque præconiis digna, sed quod tenuibus etiam, quodam modestiæ excessu, peropportune subvenire noris. Nisi si, ut mea quidem fert sententia, tuæ potius magnanimitati hoc quispiam acceptum referre velit, quod nec quæ multo minutissima esse videntur, ipse dedigneris. Quod autem hujusmodi quædam sunt, quæ nunc rogitamus, nec tui operis, nec ex iis quæ identidem agitas, imo plane etiam remota a magno isto rerum actionumque tuarum orbe, cum ex eo patet quod ipsimet de iis subdubitamus; tum quod tanto rem studio urgemus; illud, ne forte non daturus sis, quippe magna gratificari suetus, hoc quoniam et tibi dare pulchrum est, et nobis accipere. Nam et ego quæ cupio accipiam, et tu temetipso benignior mitiorque videbere, qui ad hæc etiam tam pusilla te demittas. Sunt videlicet in sacris hisce et magnificis ædibus, in quibus regia pecunia alimur et sustinemur, domunculæ quædam, cum situ opportunissimæ, omnibusque anni temporibus accommodatissimæ, sive natura loci, sive arte et industria, tum eo quod separatim et seorsum, et sejunctæ ab aliis sitæ sunt, summam maxie mamque sanctiori animæ templo serenitatem parentes, *ut reapse animarum sapientium ludi ac domicilia quædam sint* (Aristoph. Νεφ. 94), sive potius ejusmodi, quæ animas otio torpentes ad virtutem excitare, et sacro ardore ad divinum hunc, et castum, Deoque gratissimum furorem, implere queant: quem qui germanum in modum furunt, illi non felices modo ac beati, sed divini plane sunt. Ego vero quanquam minime ex isto hominum genere sum, neque iis quæ huc pertinent, instructus virtutibus, longe sane absum; atque adeo mirum fuerit, si non contrario prorsus mea comparata modo sunt. Sic tamen in quiete degendi, et seorsum mihi agendi viventique, captus sum studio, ut hoc vitæ genus fortunis meis omnibus redemptum velim. Huc enim et oculorum me valetudo compellit, tum ut absque hoc esset, quis sapiens non sponte quietem amet? Hæc quippe facem prælucet, et magistra pulcherrimarum rerum omnium est, quæ nominari a quopiam possunt. Hæc summum animæ ætherem, sincerum, mundum, ab omnique materiali fumo secretum, usquequaque servat, dum mentem videlicet colligit ac continet; nec diffundi, mundique hujus jactari obruisque fluctibus patitur, idque efficiit, ut ortus indolisque suæ memor eadem sit, et sublime attollatur, et tota numine instincta feratur, et sola duntaxat divina studiosissime tractet. Tuum igitur, tuæque ad omnia sese porrigentis benignitatis hoc fuerit, *o tu, qui optima omnia, et vis et potes, et animo prompitissimo agis*, eisdem enim denuo (quibus initio) utar verbis, ut et hæc nos consequamur beneficia, nos, inquam, furiosissimi profecto, nescio vero utrum amatores tui, an vero plaussum et acclamationum de te artifices, nobis permittas dicere; dixerit vero insuper unusquisque, et votorum.

A τῷ τε μεμηχανῆσθαι, τῷ δ' ἰδίᾳ καὶ χωρὶς καὶ καθ' ἑαυτὰ τῶν ἄλλων ἰδρῦσθαι, πλείστην ὅσην ἐμποιοῦντά γαλήνην ἐν τῷ τῆς ψυχῆς πρυτανείῳ, ὡς εἶναι τῷ ὄντι ψυχῶν σοφῶν φροντιστήρια, μᾶλλον δὲ καὶ ψυχὰς ἐρρᾳστωνευμένας οἷα κατεπᾶσαι πρὸς ἀρετὴν, καὶ μένους ἐμπλῆσαι πρὸς τὴν ἔνθεον καὶ σώφρονα καὶ θεοφιλῆ ταύτην μανίαν. Ἦν οἱ γνησίως μανέντες οὐκ εὐδαίμονες, ἀλλ' ἄρα δαιμόνιοί τινες ἀτεχνῶς. Ἐγὼ δέ εἰμι μὲν οὐ τοιοῦτος, οὐδὲ τῶν ἐς τοῦτο φερόντων, οὐδὲ μικροῦ δεῖ· θαυμαστὸν μὲν οὖν εἰ μὴ καὶ πολὺ τούναντίον. Τοῦ δ' ἴσχειν ἡσύχως καὶ κατ' ἐμαυτὸν εἶναι καὶ ζῆν οὕτω τοι ἥττων, ὡς παντων ἂν τουτὶ πρίασθαι. Τό τε γὰρ τῶν ὀφθαλμῶν οὕτως ἐσαναγκάζει, χωρίς τε τούτου τίς οὐκ

C ἂν εὖ φρονῶν ἡσυχίας ἐρᾴη; ἅτε δᾳδούχου καὶ μυσταγωγοῦ τῶν ὅτων ἂν τις εἴποι καλλίστων, καὶ τὸν τῆς ψυχῆς αἰθέρα καθάπαξ τηρούσης εἰλικρινῆ καὶ καθαρὸν, καὶ μάλ' ἀμιγῆ παντὸς ὑλώδους καπνοῦ, τῷ τὸν νοῦν συνάγειν καὶ συνέχειν καὶ μὴ συγχωρεῖν διαχεῖσθαι καὶ κατακλυσμὸν ὑπομένειν ὑπὸ τῶν τοῦ κόσμου ῥοθίων, ἀλλὰ καὶ τοῦ πεφυκότος μεμνῆσθαι παρασκευάζειν, καὶ ἄνω φέρειν, καὶ πάντ' ἔνθεον εἶναι, μόνα τὰ δαιμόνια περιεργαζόμενον πράγματα. Σὸν οὖν ἂν εἴη καὶ τῆς σῆς περὶ πάντα χρηστότητος, ὧν πάντα τὰ βέλτιστα σὺ καὶ βουλόμενος καὶ δυνάμενος, καὶ πράττων ἑτοίμως, ἵνα καὶ αὖθις αὖ τοῖς αὐτοῖς χρήσωμαι, τὸ καὶ τούτων ἡμᾶς τυχεῖν τοὺς μανικωτάτους, οὐκ οἶδα πότερον ἐραστὰς δίδως λέγειν, ἢ τῶν κατὰ σοῦ θορύβων τεχνίτας, πᾶς

B δ' ἄν τις φαίη γε καὶ εὐχῶν.

VI. *Eidem.*

Cum eo nomine quod tute nos jam pridem diligis, tum quod unum, te omnium rebus nostris faventissimum experti nos sumus, tibi invicem maxime omnium studemus, teque singulariter amamus. Præterquam quod comperta hæc omni-

D

Ϛ'. Τῷ αὐτῷ.

Καὶ οἷς αὐτὸς ἡμᾶς ἄνωθεν στέργεις, καὶ οἷς ἡμεῖς σὲ μάλιστα πάντων τὰ πρὸς ἡμᾶς αὐτοὺς ἐγνωκότες, σοὶ μάλιστα πάντων τιθέμεθα, καὶ σὲ διαφερόντως φιλοῦμεν. Ἄνευ τοῦ πάντας εἰδέναι τε καὶ βοᾷν, δι' ἀλλήλων τοῦτ' ἀμφότερα δείκνυται.

Οὔτε γὰρ ἔστιν, οὐκ ἔστιν οὐδὲν τῶν ἁπάντων ὃ μὴ σὺ μετὰ τοῦ γιγνομένου τε καὶ ψηφίζοντος πράττεις, οὐ μᾶλλόν γε ἢ τὰς τρεῖς τοῦ τριγώνου γωνίας μὴ δυοῖν ὀρθαῖν ἴσας εἶναι. Ταῦτ' ἄρα καὶ μόνῳ σοι τῶν πάντων τοῦθ' ὥσπερ ἐπίσημον, οὔθ' ἡμῶν αὐτῶν, ἐὰν μὴ δεινούς τινας ὄντας ἥδεις τὰ σὰ, καὶ τῆς σῆς εὐνοίας παρ' οὐστινασοῦν ἐχομένους, οὐκ ἂν ἐφρόντιζες. Νῦν δὲ οὐκ ἔστιν ὅθ' ἡμῶν οὐ λόγον ποιῇ, πάλαι μὲν ἐν πολλοῖς πολλάκις τὰ μέγιστα ξυναράμενος, καὶ γεγονὼς ἐν καιρῷ, νῦν δ' ἐξ ὧν οὕτως εὖ μᾶλα καὶ μετὰ διαθέσεως ἐπιστέλλεις. Ὡς καί τινος οὐκ ἀχάριτος ξυναυλίας ἐνταυθοῖ μνημονεύειν, καὶ τὰς ἡμέρας ἐκείνας ἑορτασίμους καλεῖν, διδοὺς ὡς μάλιστα συλλογίζεσθαι ὡς ὅτι μὴ καὶ νῦν ὑπὲρ ἡμῶν ταῦτ' ἔστι σοι πράττειν, οὐ μικρῶς δυσχεραίνεις. Ὃ καὶ τοῦ τυγχάνειν οὐδὲν ἧττον ἡμῖν.

bus, omniumque decantata ore sunt, satis hoc utrumque ex utroque astruitur; neque enim est, non est, vero quidquid rerum omnium, quod non legitimo modo calculisque subductis tu agas, nihilo sane plus quam ut tres in triangulo anguli, non duobus rectis sint æquales. Quamobrem et soli ex omnibus tibi hæc velut propria nota est, et nostri ipsorum, nisi acerimos cultores tuos, et præter cæteros omnes gratiæ tuæ cupidoes studiososque esse scires, haud ullam haberes rationem. Atqui nullo non tempore nostri rationem habes; quippe qui et olim quamplurimis sæpenumero in rebus maximum adminiculum attulisti, et peropportune adfuisti. Et nunc, dum ita benevole, et cum nativa animi affectione nobis scribis; ut etiam mutui cujusdam non injucundi concentus mentionem facias, et illos olim dies festos appelles. Quo illud potissimum colligendum das, te quod non hoc etiam tempore nostra causa hæc ipsa efficere potes, haud mediocriter animo commoveri, id quod nihilo nobis minoris est, quam si voti nostri compotes evaderemus.

Ζ'. Ἐπιστολὴ τοῦ σοφωτάτου Νικηφόρου τοῦ Γρηγορᾶ τῷ Μαγίστρῳ.

Πολλοί μοι τὸν σὸν ἐμήνυσαν τρόπον, ὡς πλήρης ἐγένου πολλάκις ὁρμῆς ἐς τὸ γράφειν ἡμῖν. Ἀλλά τις ἐξ ἀντιπάλου φερόμενοι λογισμὸς, ἀντέκρουσέ τε καὶ μάλα σφοδρῶς τὴν τοιαύτην ὁρμὴν ἀτεχαίτισεν, αἴτια προβαλλόμενος πρός γε τοῖς ἄλλοις τὸ μήπω τε ἡμῖν συγγεγονέναι, μήτ' ἄλλως μαθεῖν τὸν ἡμέτερον τρόπον, ὁποῖος· εἶναι γὰρ πολυσχιδῆ καὶ πάνυ τοι σφόδρα διάφορα καὶ δυσείκαστα τῶν ἀνθρώπων τὰ ἤθη καὶ δεῖσθαι μακρᾶς συνουσίας καὶ πείρας τινὸς ἀκριβοῦς εἰς κατάληψιν. Καὶ ἐπῆνεσα νὴ τοὺς λόγους ἐγὼ ταυτηνὶ τὴν δειλίαν, καὶ ἀνεμνήσθην ἐκείνου τοῦ μύθου τοῦ Ἀττικοῦ. Ὅς Ἡφαίστῳ τὸν Μῶμον εἰσάγει μεμφόμενον ὅτι μὴ θύρας ἐπὶ τῶν ἀνθρωπίνων πεποίηκε στέρνων ὁπότε, φησὶν, ἐδημιούργει τὸν ἄνθρωπον· ἦ γὰρ ἂν αὐτῶν ἀνοιγομένων ὁπότε ἐχρῆν, δῆλα, φησὶ, καὶ τοῖς ἔξωθεν ὁμιλοῦσι τὰ ἔνδον ὑπῆρχε βουλεύματα. Ἐγὼ δὲ μήτε μεμεῖσθαί σε κρίνας ἐν τούτοις εἰκὸς, καὶ ἅμα πάσας τὰς τοιαύτας προφάσεις καθάπαξ παραλλάξας καὶ ὑπερβὰς ὁμιλήσω σοι καὶ πόῤῥωθεν ἤδη καθάπερ συνήθει καὶ φίλῳ, πρὸς μόνην αὐτὴν ἀποβλέψας τὴν κοινωνίαν τοῦ λόγου. Ἡ μὲν γὰρ παροιμία, κοινὰ τὰ τῶν φίλων εἶναι φάσκουσα δεῖν, τὴν φιλίαν αἴτιον τῆς κοινωνίας προτίθησι τῶν πραγμάτων. Ἐγὼ δὲ τοὐναντίον τὴν κοινωνίαν τοῦ πράγματος αἰτίαν γίνεσθαι ἀξιῶ τῆς φιλίας. Ὥσπερ γὰρ κοινὰ τὰ τῆς φύσεως δίδοται καὶ πλουσίοις καὶ πένησι, καὶ οὔτε τῷ βασιλεῖ μετὰ τῆς πορφύρας γεννᾶσθαι χαρίζεται, οὔτ' αὖ τῷ βαναύσῳ μετὰ τοῦ τρίβωνος, ἀλλὰ γυμνοὺς ἀμφοτέρους εἰς τὸν βίον ἐξάγει· οὕτω καὶ ἡ σοφία τοὺς ἑαυτῆς τροφίμους ἐπίσης μαιεύεται πάντας, καὶ ὁμοια τὰ τῆς παιδείας ἅπασι διανέμει, καὶ ἀδελφὰ φρονεῖν ἀλλήλοις καὶ αὐτοφυᾶ τε καὶ αὐτοδίδακτον ἔχειν ἀξιοῖ τὴν φιλίαν. Εἰ δ' ὥσπερ ἡ φύσις προϊοῦσα ποικίλλεται παίζουσα τὴν σκηνὴν τῶν ἐνταῦθα ἐνυπνίων, καὶ συμφερομένη τοῖς τῆς

VII. *Sapientissimi viri Nicephori Gregoræ epistola ad Magistrum.*

Jam a pluribus de te tuisque moribus renuntiatum mihi fuit, quod cum pleno sæpius ad scribendum nobis impetu fuisses, quædam mox ex adverso ingruens cogitatio, hunc ipsum vehementi nisi retuderit atque sufflaminarit impetum, præter alia et hoc ipsum causæ loco prætexens, quod necdum nos convenisses, nec aliunde naturam indolemque nostram; cujusmodi esset, percepisses: scissa enim multifariam, et nimium quantum diversa, et ad conjectandum perquam obscura hominum esse ingenia, longoque usu et accurata quadam periclitatione opus esse, ad ea penitus introspicienda. Quam ego formidinem tuam, ita me Musæ ament, etiam laudabam; et simul Atticam illam recordabar fabellam; quæ Momum hoc in Vulcano reprehendentem inducit, quod pectori humano, cum hominem, ut ait, fabricaretur, ostia non apposuisset. Iis, enim, ubi usus esset reclusis, extrinsecus cum ipso agentibus, quidquid intus machinationum lateret, manifestum futurum. Ego vero nec in his te imitari æquum ratus, et omnes pariter id genus prætextus plane prætervectus transgressusque, eo tecum modo agam, velut cum pervetere necessario ac amico, in quod nihil aliud quam litterarum studiorumque respicio communionem. Cum enim, quod res amicorum communes esse oportere affirmat adagium, causam communionis, amicitiam, rebus ipsis præstruit, contra ea rei ipsius communionem, causam ego esse volo amicitiæ. Quippe quemadmodum communia divitibus et egenis naturæ munera sunt omnia, quando nec regi cum purpura nasci indulget, nec opifici sellulario cum scissili palliastro, sed nudos utrosque in vitam educit: ita suis etiam alumnis omnibus easdem operas obstetricias præstat sapientia et similia cunctis doctrinæ distribuit

munera, sibique mutuo fraternos animos gerere, ac naturæ quodam instinctu insitam monstratamque fovere necessitudinem, præcipit. Sin autem, ut natura progressu temporis variatur, dum ludibunda somniorum, quæ his in terris sunt, scenam adornat, et una cum materiæ Euripis, ut plurimum circumvertitur : ita et familiaritatem hanc ex materie itidem necessario pendere, illique consentaneam fieri, et nonnunquam confluere, et facillime rursus abscedere, quispiam contendat, illud mihi nihil admodum ad rem tacere censebitur ; minime enim ejusmodi fluctuum murmura extimescit,quæ recte atque ordine fundata est amicitia, verum inferioribus omnibus omissis ac relictis, sursum perpetuo, ad illos expertes erroris rerum fontes, animæ attollit oculos, et indidem jura veritatis rectissime edocetur. Quæ vero infirma sibi substernit fundamenta, ea manere nescit, sed brevi convellitur et dilabitur, quin et ad oppositum nonnunquam recurrere vitium (inimicitias odiumque) non veretur. Cui nos, cum Samio illo Pythagora, *inanes tumulos* merito erigere, non illam imitari, jubemus, utpote quæ e vita ad interitum hoc fere pacto transfugit. Sic ego seminalia quidem, sed firma ac certa amicitiæ pignora, ut prior tibi traderem sponte mea adductus sum, ut qui priores illas suspiciunculas minime cauponari possem, ejus autem, quod futurum erat, conjector pariter et vates haud falsus ex nostris moribus essem. Jam si ex iis quæ nascuntur moventurque rebus, quæcunque immotæ manere solent, ægrescunt et marcent ; utique et nostra hujusmodi amicitiæ conveniente quodam motu opus erit, ne in primo ortu morbus interveniat, et in herba ipsa marcorem contrahat. Tum quoniam inter præsentes mutui aspectus, inter eos vero quos terræ marisque longinqua spatia dividunt, amicitiam alere norunt litteræ : nec nobis, tam longe disjunctis, ad præsens institutum his internuntiis uti cessandum, quæ solæ velut loquentes silentium ingeniorum imprimere colores, et decenti modo incorporeæ animæ imagines repræsentare possunt. Mihi itaque, qui viam amicitiæ prior velut aperui, et plana tibi, quæ salebrosa erant, effeci, scribe quæso, et nobis vicissim, qui in te insunt morum, aliquod documentum præbe ; atque adeo instar tenelli pusionis uterque coalitam nuper inter nos amicitiam nutricantes, ad justam sapientiæ pulchitudinem magnitudinem que provehamus, ipsas naturæ, ut est, secuti leges ; quæ enim in mundo sunt omnia, gemina germana sunt, et pares cursus servant. Porro ut infantes genitricem primitus suam haud aliter quam ut mulierculam quamlibet aspiciunt, postmodum vero familiari consuetudine pleniorem ipsis conciliante notitiam, genuinum ab eo quod alienum est internoscunt ac distinguunt : ad eumdem et amicitia modum, cum ab iis qui mutuo amore jam junguntur, informari et effingi incipit, obscuras initio et

A ὕλης εὑρίποις ὡς τὰ πολλὰ, οὕτω καὶ ταύτην φήσειέ τις ἐκείνης ἐξ ἀνάγκης ἠρτῆσθαι καὶ ὁμόφρονα γίνεσθαι, καὶ συῤῥεῖν ἐνίοτε καὶ ῥᾳδίως μεθίστασθαι · ἀλλ' οὐδὲν ἔμοιγε τοῦτο πρὸς ἔπος. Ἡ μὲν γὰρ σοφῶς ἡδρασμένη φιλία τοιούτων ῥοθίων οὐ δέδιε ψόφους. Ἀλλὰ πάντα κάτω χαίρειν ἀφιεῖσα, ἄνω διηνεκῶς πρὸς τὰς ἁπλανεῖς τῶν πραγμάτων πηγὰς ἀναφέρει τοὺς ὀφθαλμοὺς τῆς ψυχῆς. Κἀκεῖθεν τὰ νόμιμα τῆς ἀληθείας καλῶς ἐκδιδάσκεται. Ἡ δ' ἀσθενεῖς τὰς ἑαυτῆς ὑποτιθεῖσα κρηπῖδας, μένειν οὐκ οἶδεν, ἀλλ' ἐν βραχεῖ κατασείεταί τε καὶ ἄπορρεῖ. Ἔστι δ' ὅτε καὶ πρὸς τὴν ἀντίπαλον παλινδρομεῖν οὐκ αἰδεῖται κακίαν. Ἀλλ' ἡμεῖς γε κενοτάφια καὶ ταύτῃ δικαίως κατὰ τὸν Πυθαγόραν ἐκεῖνον τὸν Σάμιον ἐγείρειν, ἀλλ' οὐ μιμεῖσθαι κελεύομεν, ἅτε

B πρὸς θάνατον ἐκ ζωῆς οὑτωσί πως αὐτομολούσῃ. Οὕτως ἐγὼ σπερματικὰ μὲν, βέβαια δέ σοι τὰ τῆς φιλίας ἐνέχυρα προκαταθέσθαι προεθυμήθην, μηδαμῇ καπηλεύειν τὰς ἔμπροσθεν ὁποψίας δυνάμενος, ἀλλὰ στοχαστὴς ὁμοῦ καὶ μάντις ἀπλανὴς τοῦ μέλλοντος ἐκ τῶν ἡμετέρων γινόμενος τρόπων. Εἰ δὲ τῶν ἐν γενέσει καὶ κινήσει πραγμάτων ὁπόσα μένειν ἐθέλει, νοσεῖ καὶ μαραίνεται, δεῖ τῇ τοιαύτῃ φιλίᾳ λοιπὸν καὶ τῆς ἁρμοττούσης κινήσεως, ἵνα μὴ ἐν τῇ βλάστῃ τὸ νόσημα γένηται, κἂν τῇ χλόῃ τὸν μαρασμὸν ὑπομείνῃ. Ἐπεὶ τοίνυν ὄψεις μὲν ἐπὶ τῶν συνόντων, ἐπὶ δὲ τῶν πόῤῥω που γῆς καὶ θαλάττης ἀπῳκισμένων γράμματα τρέφειν ἴσασι τὴν φιλίαν, οὐκ ὀκνητέον ἀφισταμένους τοσοῦτον παραπομποῖς αὐτοῖς καὶ ἡμᾶς, πρός γε τὴν παροῦσαν ὑπόθεσιν χρήσασθαι, μόνοις αὐτοῖς δυναμένοις

C ὥσπερ λαλοῦντα σιωπώντων ἠθῶν ἐναπομόρξασθαι χρώματα, καὶ ἀσωμάτου ψυχῆς εἰκόνας ἐκφῆναι δεόντως. Ὅθεν ἐμοὶ φιλίας ὁδὸν ὑπανοίξαντι πρώτῳ, καὶ λεῖα σοὶ τὰ δυσχερῆ πεπραχότι, γράφε καὶ δίδου καὶ σὺ τῶν ἐνόντων σοι τρόπων τὴν πεῖραν ἡμῖν. Καὶ φέρε βρεφουργήσαντες ἄμφω φιλίας ὑπόθεσιν, πρὸς κάλλος καὶ μέγεθος σοφίας προσῆκον αὐξήσωμεν, τοῖς φυσικοῖς ὡς εἰκὸς ἀκολουθήσαντες νόμοις. Πάντα γὰρ ἀδελφὰ τὰ ἐν κόσμῳ, καὶ τῶν ὁμοίων ἔχεται δρόμων · καὶ ὥσπερ τὰ βρέφη πρῶτον μὲν ὡς ἄνθρωπον τὴν τεκοῦσαν ὁρᾷ, τῆς συνηθείας δ' εἰς γνῶσιν ἀγούσης τελεωτέραν, διαιρεῖ τοῦ ἀλλοτρίου τὸ γνήσιον, οὕτω καὶ ἡ φιλία, μορφοῦσθαι μὲν ἀρχομένη καὶ διαπλάττεσθαι πρὸς τῶν

D ἤδη συναπτομένων, πρῶτον μὲν ἁσαφῆ καὶ δυστέκμαρτα διδόναι τε καὶ λαμβάνειν τὰ ἑαυτῆς ἀξιοῖ γνωρίσματα · τοῦ δὲ χρόνου ῥέοντος, καὶ τῆς συνηθείας τὰ ἑκατέρωθεν ἤθη παιδαγωγούσης καὶ ῥυθμιζούσης, τὸ μὲν περιττὸν καὶ νόθον ἐλαύνεται πᾶν, τὸ δ' ἐνδέον ἐνδεῖν οὐκ ἐπὶ μακρῷ συγχωρεῖται. Νοῦς μὲν γὰρ δικαστὴς τῶν ἐν κόσμῳ πραγμάτων ὑπάρχων, νῦν μὲν εἰς αἰθέρα, νῦν δ' εἰς γῆν ἐνεργεῖ. Καὶ διὰ τῶν αἰσθητηρίων τὰς τῶν πραγμάτων ἀναγινώσκει ποιότητας · ἐρωτᾷ μὲν γὰρ οἱονεὶ διὰ τῆς ἁφῆς καὶ μανθάνει τίνα μὲν τῶν σωμάτων θερμὰ, τίνα δὲ ψυχρά. Ἐρωτᾷ δὲ διὰ τῆς ὀσφρήσεως ὁπόσα εὐώδη, καὶ ὅσα γε μή. Καὶ νῦν μὲν διὰ τῆς ἀκοῆς τῶν ἐναρμονίων φωνῶν τὴν ἀντίληψιν ἔχει,

νῦν δὲ διὰ τῆς ὄψεως ταῖς διαφόροις βαφαῖς ὁμιλεῖ τῶν χρωμάτων. Εἰ δὲ ταῦθ' οὕτωσὶ διαγίγνεται, καινὸν οὐδὲν, εἰ καὶ νῦν μὲν διὰ γλώττης, νῦν δὲ διὰ γραμμάτων ἐφάπτεται καὶ τῶν ἀνθρωπίνων ἠθῶν, καὶ τὰς τούτων οὕτωσὶ πως ἐκμανθάνει ποιότητας. Ἐπεὶ δὲ καὶ οἱ λόγοι νῦν μὲν εἰκόνες εἰσὶ τῶν πραγμάτων, ὅτε πρὸ τῶν πράξεων ἔν τοῖς τῆς διανοίας ἔτι θαλάμοις γυμνάζονται, καὶ τὰ τέλη ζωγραφοῦσιν ἐκεῖ πως τῶν πράξεων, νῦν δ' ἕτερον τρόπον καὶ εἰκόνες καθίστανται τῆς ψυχῆς, ὅτε μετὰ τὴν ἔνδον διάσκεψιν ἔργα γίνονται καὶ αὐτοὶ, ψυχῆς ἀπόζοντα ὡς εἰπεῖν, καὶ ὅπως ἕξεως ἔχει καὶ γνώμης αὕτη τοῖς ἔξω διατυποῦντα· ὥρα σοι τῷ σοφῷ τούμὸν ἦθος ὁρᾷν ἐν τοῖσδε τοῖς ἡμετέροις γράμμασι· δεῖ δὲ καὶ ἡμῖν τὸ σὸν ἐν τοῖς σοῖς λοιπὸν ἀναγνῶναι. Οὐ γὰρ φιλοτιμίας ἐπίδειξις ταῦτ' ἂν εἴη, ἀλλ' ἐμπορία λαμπρὰ τις φιλίας. Εἰ δὲ καὶ φιλοτιμία, ἀλλ' οὐδὲ τοῦτ' ἀνθρωπίνης πέφυκε φύσεως ὑπερόριον. Πάντων γὰρ τῶν ἐν κόσμῳ τῷ γήρᾳ καμνόντων τὴν ἀνθρωπίνην φιλοτιμίαν ἐν τοῖς μὴ γηράσκουσιν ἔθεσαν τῶν πάλαι σοφῶν οἱ πολλοί· ἄλλως τε καὶ ἀκοινωνήτους παντάπασι κἀκ διαμέτρου κειμένους τοὺς ἐκ φύσεως νόμους εἰληχότας πρὸς τὰς ἄλλας ἴσμεν τέχνας τοὺς λόγους. Ἐν ᾧ γὰρ τῆς ἡλικίας ἔξεστιν ἐκείναις παπακμάζειν, ἐν τούτῳ δὴ τοὺς λόγους ἔπεται περιφανῶς ἀκμάζειν. Καὶ τοῖς τῆς ἔμφρονος φιλοτιμίας ἀρίστην χαρίζεσθαι χώραν σκιρτήμασιν.

A ægre agnoscendas sui notas dare pariter et accipere suevit; at fluxu temporis, usuque ipso ingenia amicorum utrinque instituente, suisque numeris componente, quidquid redundans ac superavacaneum, quidquid fucosum et ementitum est, id exigitur, quidquid autem defit, non diu deesse sinitur. Mens enim rerum, quæ in mundo sunt omnium, arbitra nunc in ætherem, nunc in terram vim illam suam intendit, sensuumque ministerio rerum qualitates recognoscit: dum per tactum quasi interrogat ac discit, quænam corporum calida aut frigida sunt, per olfactum item, quænam suaves exhalant odores, aut insuaves, exquirit, et modo per auditum concinnos sonorum modos percipit, modo per visum cum variis colorum tincturis commercium B habet. Quæ cum ita in cæteris comparata sint, nihil novi est, si nunc per vocem ipsam, nunc per litteras hominum etiam ingenia apprehendit, eorumque qualitates hac ferme ratione condiscit. Quoniam vero et sermones, nunc rerum quidem imagines sunt, cum ante actiones ipsas adhuc in animi thalamis exercentur, et actionum fines eventusque illic depingunt, nunc alio rursus modo animæ ipsius imagines exsistunt, cum ipsi videlicet post interiorem illam consultationem, opera fiunt, animam, ut sic loquamur, redolentia, et quo illa habitu animoque affecta sit, iis qui foris sunt, exprimentia: ita nunc tibi sane, viro sapientissimo tempus fuerit, meum in his ipsis litteris perspectare ingenium, quemadmodum tuum etiam in tuis nos deinceps recognoscere oportet. Non enim ambitionis alicujus hæc specimina erunt, verum splendida quædam ineundæ amicitiæ ratio atque negotiatio; quanquam etiamsi ambitio fuerit, ne illud quidem ab humana natura abhorrens ac peregrinum esse solet. Cæteris enim rebus omnibus, quas orbis complectitur, senio fatiscentibus, solam gloriæ cupidatem, in iis quæ senii expertia sunt, veterum sapientum multi reposuere (Pericles, apud Thucyd. lib. II ἐπιταφίῳ, ad finem), præsertim cum constet, singulares omnino et proprias, et ex diametro oppositas aliis artibus leges, studia litterarum a natura accepisse. Qua enim ætate illis deflorescere licet, illa hæc ipsa quam luculentissime florere, et prudentis ambitionis saltibus campum præstantissimum ultro præbere, sequitur.

Η'. Μαγίστρου ἀμοιβαία.

VIII. *Magistri epistola responsoria.*

Καὶ πάλαι μὲν ἔγωγε σὺν ἄρα πολλοῖς ἑτέροις τῇ σῇ φήμῃ κάτοχον γεγονὼς, οὐχ ὅσον ἐρωτικῶς ἔχω τῶν σῶν, καὶ μανικῶς πως περὶ ταῦτα βακχεύω, καὶ πάνυ τοι φιλῶν καὶ θαυμάζων οὐ παύομαι· ἀλλὰ καὶ ὅπως ὅτι μοι τάχιστ' ἰδεῖν ἐξέσται τὸν θαυμαστὸν ἐρώμενον καὶ πάντ' ἄριστον σὲ, τοῦτο δ' οὐκ ἔστιν εἰπεῖν ταῖς εὐχαῖς, ὅσου τιμῶμαι· καὶ νῦν δ' οὐχ ἥκιστ' αὐτὸς οἷς ἐπέσταλκας ἔτρωσας, ὁμοῦ μὲν ἐμέ τε καὶ σαυτὸν συνάγων ἐντεῦθεν, καὶ ἵν' οὕτως εἴπω συμπλάττων καὶ ἓν ἄμφω τιθεὶς, ὁμοῦ δὲ καὶ ὡς ἐγὼ πνέω τὰ σὰ, καὶ τοῦτον ἴσχω τὸν τρόπον, εὖ μάλα δεικνὺς, δι' ὧν φῂς βεβουλῆσθαι μὲν ἐμὲ πολλάκις πρὸς σὲ γράμματα πέμψαι, τῷ δὲ μὴ τοὺς σοὺς τρόποος εἰδέναι, τῆς ὁρμῆς ἀποσχέσθαι. Ἐγὼ δὲ ὅτι μὲν ταύτης ἐγεγόνειν τῆς γνώμης καὶ οἷος ἦν ἐπιστέλλειν ὁμολογῶ, οὐ μὴν ὑφ' ὧν ἔφης αὐτὸς κεκωλύσθαι· οὐδὲ μικροῦ δεῖ· τοσοῦτον γοῦν ἀπέχω τοῦ ταῦτα σοῦ πέρι καὶ φρονεῖν καὶ δοξάζειν, ὡς καὶ πρὶν ἥκειν εἰς πεῖραν, ἀγώνισμα γλώττης καὶ τρυ-

C

D

Jamdiu est, cum ego una cum aliis compluribus tua afflatus fama, non ingenii modo eruditionis, quæ tuæ amator sum, et insano quodam modo, velut divino furore circa hæc ipsa agitor, nec vehementissime tum amare, tum mirari desino, verum etiam ut primo quoque tempore te, admirabiles amores meos, omnibusque in rebus præstantissimum virum, coram videndi potestas fiat, id quanti in votis meis æstimem, verbis plane efferri nequit. Adhæc non minime per litteras hasce tuas me sauciavisti, simul me et teipsum sic nimirum conducens, atque, ut ita loquar, conflans et confingens, ambosque unum quiddam efficiens, simul item quam ego tua spirem, et quod hoc affectus sim modo, planissimum faciens, dum sæpius me quidem animo agitavisse ais, quo litteras ad te darem, eo autem quod mores tuos minus haberem perspectos, illum abjecisse impetum. Ego vero hoc me animo fuisse, atque scribere constituisse,

fateor; neque iis tamen, quas narras, deterritum rationibus; nihil præfecto minus; tantum enim abest, ut hujusmodi quiddam de te et sentiam, et statuam, ut prius etiam quam tui ingenii periculum fecissem, linguæ certamen ac delicias, laudes tuas facerem, cum te per omnem laudabilem litterarum morumque ideam, summa cum excellentia vectum, miratus, tum sæculo nostro præstantem istam indolem tuam gratulatus, a quo utroque præstando longe absunt, qui adhuc addubitant. Non itaque eam ob causam silentium mihi indixi, sed vel maxime decori habitus gratia, quodque non repente et subito ad hujusmodi quiddam prosiliendum existimarem, tum quod rem diligentius reputanti, justius scribendarum litterarum initium abs te fieri debuisse videretur, qui prior nos mirifica famæ commendatione in tuos furiaras plausus. Quod etiam facere æquum censuisti; bonum hercle factum, et longe nobis gratissimum. Quippe si ita nos antea in stuporem fama nuntiatus auditusque dabas, quantum quiddam ad præconia tua te nobis præstitisse nunc autumas, ipse per litteras visus et loquens, et quoad fieri possit, præsens, idque cum ob alia, tum quod optima et jucundissima spectanda præbes. Partim nimirum gravitatem animi generositatemque, illam philosophiæ dignissimam, tum præterea mentis perspicaciam, et excellentiam, et acumen, et ad omnia dexteritatem; partim quod musas colis universas, et quoquoversus tendis, et quæcunque Mercurii sacra ac initia quispiam nominet, eorum dux et signifer, et cultor admirabilis es: qui oratoriæ philosophiam, et utramque cœli siderumque contemplationi, jungis, adeoque in his omnibus longe multumque præstas, ut nemo alius in uno aliquo doctrinæ genere. Merito igitur omnes omnifariam allicere, tibique mancipare potes: et nunc admiratione percellere, nunc mulcere atque delinire, tuisque istis illecebris penitus excantare. Atque tu quidem hac te potissimum epistola ad familiaritatem tecum jungendam nos invitasse, tibique sodales et amicos haud dubie comparasse, credis: tum etsi communia amicorum omnia esse, quasi lege quadam sanciat proverbium, ipse nihilominus hanc per litteras institutam communicationem amicitiæ te præmittere dicis, quippe quæ mox haud dubie consecutura esset. Atqui scire debes te ignarum, nec opinantem verissimis amicis tuis has dedisse litteras, non qui nunc demum, ut arbitraris, amici fierent, sed qui jamdudum fuissent: ex sola nimirum fama, famæque telis, queis in tantum vulnerati eramus: adeoque tua omnia nos adamare profitemur, ut ea in re nihil his omnino concedamus, quibuscum veteres tibi necessitudines intercedunt.

A φὴν ποιεῖσθαι τὰ σὰ, σὲ μὲν θαυμάζων διὰ πάσης ἐπαινουμένης ἰδέας λόγων τε καὶ τρόπων μετὰ πολλοῦ τοῦ περιόντος ἰόντα, τῆς δὲ κατὰ σὲ φορᾶς τῷ βίῳ ξυγχαίρων, ὃ πολλοῦ ποιεῖν ἔδει τούς γε ἀμφισβητοῦντας. Οὔκουν διὰ ταῦτα σιγᾷν ᾤμην δεῖν· ἀλλὰ μάλιστα μέν γε διὰ τὸ σχῆμα, καὶ τὸ μὴ χρῆναι τοῖς τοιούτοις ἐκ τοῦ εὐθέως ἐπιπηδᾷν· ἔπειθ' ὅτι καὶ βουλομένῳ σκοπεῖν, δίκαιος αὐτὸς ἦσθα πρώτως ἄρχειν γραμμάτων, ὃ καὶ πρώτως ἡμᾶς διὰ τῆς θαυμαστῆς φήμης εἰς τοὺς κατὰ σοῦ θορύβους ἐκμήνας· ὃ δὴ καὶ πράττειν ἠξίωσας εὖ ποιῶν, καὶ ἡμῖν πάνυ κεχαρισμένα· εἰ γὰρ δὴ πρόσθεν λεγόμενός τε καὶ ἀκουόμενος οὕτως ἐξέπληττες, νῦν διὰ τῆς ἐπιστολῆς ὁρώμενος, καὶ τὰ εἰκότα ξυνὼν, πόσον τι νομίζεις ἡμῖν εἰς τοὺς σοὺς εἰργάσθαι παιᾶνας, τά τε ἄλλα, καὶ ὅτι τὰ κάλλιστά τε καὶ ἥδιστα

ε'. Καὶ μάλιστα εἴ σοι τοσοῦτον μεγαλοψυχίας περίεστιν, ὡς μηδὲν μηδοτιοῦν παρὰ μηδενὸς ἀξιοῦν τοπαράπαν λαμβάνειν, μηδὲ δωροφορεῖσθαι διὰ τὸ σχῆμα, καθάπερ οἱ πρόσθεν, ἀλλ' ὅπως δι αὐτὸ τοῦτο μᾶλλον ἅπαντας εὐποιεῖς · εἴπερ τὸ μὲν βασιλικόν τε καὶ μεγαλοπρεπὲς καὶ τῆς ἐπαινουμένης ὡς ἀληθῶς μάλιστα μοίρας · ἀγεννοῦς δὲ καὶ φαύλης καὶ μικρᾶς διανοίας καὶ οἷον πλεονεκτικῆς πως ἐχούσης τὸ μηδενὸς λαμβάνειν χρῄζοντα. Ὁ μὲν γὰρ ὧν ἐν χρείᾳ καθίσταται, ταῦτα λαμβάνων, εἰκότως δήπου λαμβάνει · ὁ δ' ὢν εὐπόρως ἔχει, ταῦτα δεχόμενος οὐκ ἂν δυναίμην εἰπεῖν, ὡς οὐκ ἀκρασίᾳ γνώμης ἐπὶ ταῦτα προῆκται · ἔτι τοίνυν μὲν ἁπλῶς εὐποιεῖν καθαρῶς ἐστιν εὐποιεῖν· Τὸ δὲ μετὰ τοῦ δωροφορεῖσθαι τοῦτο ποιεῖν οὐκ εὐποιεῖν μᾶλλον ἐστὶν ἢ ἀποδιδόναι · καὶ προσέτ' εὐεργετούμενον, ἵν' οὕτως εἴπω, τὸν εὐεργετοῦντα παρασκευάζει νομίζειν, ὅ μηδ' ἂν εἷς ἐνέγκοι ῥᾳδίως μὴ ὅτι γε ὁ βασιλεὺς, ἀλλ' οὐδὲ τῶν ἄλλων γε ὁστισοῦν · χωρὶς δὲ τούτων τὸ μὲν εὐποιεῖν μόνου πάντως ἐστὶ Θεοῦ, παρ' οὗ πᾶσιν τὸν ἅπαντα χρόνον πάντ' ἐπιῤῥεῖ τἀγαθά · τὸ δ' εὖ ποιεῖν τε καὶ πάσχειν ἀνθρώπου · τὸ μὲν κατὰ φύσιν, τὸ δὲ κατὰ μίμησιν. Ὅσον οὖν ἀνθρώπου Θιὸς ὑπερέχει τά γε τοιαῦτα, τοσοῦτο πάντων αὐτοκρατόρων βασιλευτατος ἂν εἴη ὁ μόνον τὸ εὖ ποιεῖν ἡσκηκώς. Οὗτος τοίνυν αυτὸς γενοῦ, λαμβάνων μὲν οὐδαμόφεν μηδ' ἂν ἀνάγκη τις ᾖ, οἴκοθεν δὲ καὶ παρὰ σαυτοῦ πᾶσι πάντα διδούς, καὶ πλέον ὧν ἕκαστος δεῖται · ἂν δὲ καὶ αὐτὸς ὁτιοῦν παρὰ τῶν ὑπηκόων ἐθελήσῃς λαμβάνειν, σὺ δὲ καὶ τοῦτο μετὰ πολλοῦ τοῦ κρείττονος ἕξεις, ἀνθ' ὧν οὕτω σφίσι παρέχεις, εὐνοοῦντας ἅπαντες ἔχων καὶ τὰ σὰ πνέοντα · ὅ μέγιστον πάντων καὶ λυσιτελέστατον καὶ σοὶ καὶ τοῖς ὑπὸ χεῖρα, καὶ ὅλως τοῖς τῆς ἀρχῆς πράγμασιν · ὅπως οὖν, ω βασιλεῦ, μὴ τοῦ εὖ ποιεῖν μηδεντινοῦν ὅρον ἡγήσῃ, ἀλλ' ἀεὶ καὶ πρὸς πάντας καὶ κατὰ πάντα δή τινα τρόπον, καὶ μετὰ πολλοῦ τοῦ περιεῖναι τὰ τοιαῦτα περαίνῃς, καὶ χαίρῃς μὲν εὖ ποιων τῶν εὖ πασχόντων οὐχ ἧττον · μᾶλλον δὲ οἷς ἅπαντας εὖ ποιεῖς, αὐτὸς εὖ πάσχειν νομίζῃς, ἀλγῇς δὲ αὖθις, μὴ ταῦτα ποιεῖν ἔχων, ὥσπερ ἂν εἴ τις βιαίως τῶν προσόντων ἐκπίπτων, καὶ τὴν ἡμέραν ἐκείνην ἰδιώτης οὐ βασιλεὺς εἶναι νομίζῃς · εἰκότως. Οἷς γὰρ τῶν εὖ ποιεῖν δυναμένων ἐγένου, πάντας εὐ ποιεῖν δίκαιος ὢν · οἷς μὲν ἅπαντας εὖ ποιεῖς, τῶν εὖ ποιεῖν δυναμένων βεβαιοῖς ὡς ἀληθῶς γεγονέναι · οἷς δ' ἃ τῶν εὖ ποιεῖν δυναμένων ἐπειδήπερ ἐγένου, ποιεῖν δίκαιος εἶ, ταῦτ' οὐ ποιεῖς, οὐδ' ὅτι τῶν εὖ ποιεῖν δυναμένων ἐγένου, λέγειν δίκαιος εἶ, δι' ὧν πράττεις ἐξελεγχόμενος, καὶ τοῖς ἔργοις αἰσχύνων ἃ προσειρῆσθαι νομίζεις. Εἰ οὖν σο' μέλει τοῦ κατὰ σὲ γιγνομένου, καὶ ὅπως

A possint post tot et tanta in eos beneficia honorificentissima te appellatione salutabant Deo ipsi te comparando. Quid sane majus ad felicitatem quæsieris nisi Deum cujus gratia tam magnifice nunc audis, tu qui a principio mortalis sicut noe, præclare factis ad tantum gloriæ fastigium evectus es !

5. Et hoc quidem tum præcipue accidit, si tam magno et generoso es animo, ut nihil prorsus a quocumque doni nomine accipias, sicut quidam alii, ut e contrario beneficia in alios sponte conferas ; quod sane regium et generosum et citra omnem laudem est, ut econtra indolis est sordidæ et animi abjecti signum accipere, dum egenus plane B non sis. Qui enim acceptum refert id quo opus habet et quo eget, recte accipit ; qui autem ea, quibus jamjam abundat, accipit, is certe avaritiæ sordidæ culpa non vacat. Huc accedit quod sine ostentatione bene facere vera est beneficentia et quod, cum munera das donator plus quam remunerator videris et quod sic benefactor cum eo cui bene fit, confunditur, quæ res non regi tantum sed cuicunque alii mortalium minime grata foret. Quid plura ? Dei unius est benefaciendi munus a quo quidquid bonum est semper proficicitur ; munera autem dare aut datum accipere ad hominem spectat ; unum secundum naturam, alterum C juxta imitationem est. Quantum autem in hisce Deus homini supereminet, tantum ex omnibus viris principibus is præcipuo jure rex censeretur qui nihil nisi bene fecerit. Talis igitur tu ipse fias, a nemine quidquam nisi necessitas adsit, accipiendo, egenos autem quantum poteris ultro adjuvando. Ubi vero ab inferioribus ipse accipere præsumis, cum commodo id tuo feres talem te erga eos præbendo ut tibi rebusque tuis faveant ac studeant ; ita enim et tu ipse et res publica florebitis. Igitur o rex, benefaciendo terminum imponere nolito, imo in universos omnimoda conferas beneficia de D iisque non minus quam ii qui ista accepta referunt, gaudeas ac in mentem inducas te ut aliorum, sic tui ipsius benfactorum esse. Item dolebis, ubi bene faciendi copia deerit, et te privatum, non regem putabis esse, idque recte. Ex quo enim iis accenseris qui bene facere possunt, jure quodam tuo omnibus bene facere potes et jus tuum id faciendi vere probas. Quod si aliter facis, reprobaberis et de tuis ipse factis erubesces. Quodsi tibi cordi est ut imperio optime ac justissime functus esse reputeris, id per omnem vitam age ut non modo spem ab

egenis de te conceptam supores, cum regali liberalitate et ultra necessitatem dando idque priusquam abs te petant auxilium. Sic enim duplici frueris gloria, cum largiendo munera, tum benigne hoc faciendo, unde tui ipsius simul benefactor evades. Dum enim cæteri tuas respiciunt manus, tu ipse vero divinas spectas, sane est quod speres te qualis civibus tuis esse videris, talem numinis divini oculis visum iri, cujus beneficentia et possides, et quæ possides elargiri potes. Id porro pro vero teneto quæ nobis donas non tua, imo nostra ipsorum sunt quæ tu in nostram et reipublicæ utilitatem, eadem qua regiam potestatem, si parva magnis componere licet, administras.

6. Hujus itaque magni officii quod tibi incumbit, cum gravissima omnium Moderatori abs te reddenda erit ratio, id te ante omnia monitum velim, ut non solum erga omnes maximam humanitatem ac in dando largitatem adhibeas, sed id agas ut nemo in quacumque re se læsum dicere possit. Quemadmodum enim urbs sine mœnibus et vallis in tuto stare nequit, sic nec regnum ipsum sine justitia, aut ut uno verbo dicam, urbs quidem non stabit etsi loci et habitantium fortitudine, regnum autem, etsi militari præsidio, castris, armis et similibus protegitur, nisi justitia adsit, parum tecta sartaque est, ut cum Erupide loquar; justitia econtra regnante vel sine mœnibus atque armis, res nihilominus salvæ erunt. Quænam igitur tua potestas si militibus stipatus nihil contra leges facis, et in omnibus quæ dicis facisve justitiæ exhibes exemplum et specimen. Si enim te geris, o rex, etomnia legum moderamini committis,procul dubio fiet ut qui tibi subditi sunt idem quæ tu sentiant, et quidem boni ab id ipsum quod boni sunt; malos autem, ut officiis satisfaciant, metus instigabit. Id enim plane persuasum habeo quod omnes nolentes volentes tibi grato ex animo officia præstabunt, et tu ipse ita agendo veri regis partes explebis non tantum insontes et vexatos omni tempore et loco adjuvando, sed et manus porrigendo ita ut injuria procul avertatur quamdiu tu quidem gubernaculum tenes. Quicumque enim vel e numero tibi familiarissimorum crimen commiserit, pœnas dabit, nec sanguinis communitas ei proderit. Ita fiet ut nemini injuria inferatur et ut tu ipse

A τὴν ἀρχὴν ὡς κάλλιστα καὶ δικαιότατα πάντων δοκῇς ἀνηρῆσθαι, πειρῶ διὰ παντὸς δήπου τοῦ βίου οὐ μόνον τὰς τῶν εὖ παθεῖν δεομένων ὑπεραίρειν ἐλπίδας, τῷ μεγάλα διδόναι καὶ βασιλικῶς μᾶλλον ἢ χρῄζειν ἔνεστ' αὐτοῖς, ἀλλὰ καὶ τῷ πρὶν αἰτηθῆναι, μεγαλοψυχίᾳ πρὸς πάντας κεχρῆσθαι· ὡς ἂν εὐδοκιμεῖν ἑκατέρωθεν ἔχῃς, ἔκ τε ὧν εὖ ποιεῖς, ἔκ τε ὧν φιλοτίμως τοῦτο ποιεῖς· ἐπεὶ καὶ σαυτὸν εὖ ποιεῖν ἐστιν ἐντεῦθεν. Εἰ γὰρ δὴ πάντας μὲν εἰς τὰς σὰς Βλέπουσι χεῖρας, σὺ δ' αὐτὸς εἰς τὰς τοῦ Θεοῦ, εὐδηλον ὡς ὁποῖος ἄν τις τούτοις φανῇς, τοιοῦτον ἄν σοι προσδόκα γεγενῆσθαι κἀκεῖνον, παρ' οὗ σοι τό τε κρατεῖν, τό τε ἔχειν τὰ τοιαῦτα υἱδόναι· οὐκοῦν ἀκριβεῖ λόγῳ οὐδ' ἃ δίδως ἡμῖν, δῶρα σὰ δίδως, οὐδ, οἴκοθεν καὶ παρὰ σαυτοῦ χορηγεῖς, ἀλλὰ τὰ
B ἡμέτερ' αὐτῶν ἡμῖν ἀποδίδως, καὶ ὧν ἕνεχ ἡμῶν καὶ τῆς κοινῆς σωτηρίας δημαγωγεῖς αὐτὸς καὶ προστάτης, ὥσπερ ἐν μεγάλῳ δήμῳ τῷ βίῳ τὴν τῆς οἰκουμένης πολιτείαν πολιτευόμενος.

ς'. Ὡς οὖν τῆς μεγάλης καὶ θαυμαστῆς ταυτησὶ δημαγωγίας, ὦ βασιλεῦ, μεγάλας καὶ τάς γ' εὐθύνας ὑφέξων, καὶ πάντων εἰσπραχθησόμενος λόγον τῷ πάντων πρυτάνει, σὺ δ' οὕτω τοῖς παροῦσι κεχρῆσθαι, καὶ μὴ μόνον φιλανθρώπως, ὡς ἔφην, πρὸς πάντας ἔχειν, καὶ μετὰ πολλοῦ τοῦ περιόντος τὰς εὐεργεσίας ποιεῖσθαι, ἀλλὰ καὶ ὅπως μηδεισοῦν ἀδικήσεται τῶν ἁπάντων, περὶ πλείστου ποιεῖσθαι, Ὡς γὰρ οὐχ οἱόν τε πόλιν τειχῶν ἄνευ καὶ προβλημάτων σεσῶσθαι, ὡς δὲ καὶ βασιλείαν αὐτὴν, μὴ δικαιοσύνης κρατούσης, μᾶλλον δὲ καὶ βασιλείαν
C καὶ πόλιν, τὴν οἷς ἔφην ὠχυρωμένην, καὶ προσέτι θαυμαστῶν οἰκητόρων, καὶ θέσεως ὑπσρηφάνου λαχοῦσαν, τὴν δὲ δορυφόροις καὶ στρατοπέδοις καὶ ὅπλοις καὶ πᾶσι τούτοις κρατυνομένην, εἰ μὴ πάρεστιν αὕτη, τά γ' ἄλλ' ἐπ' ἀσθενοῦς ῥώμης ὀχεῖσθαι, ταῦτα κατ' Εὐριπίδην συμβαίνει· ὥσπερ αὖ τούναντίον παρούσης μὲν ταύτης, ἐκείνων δ' ἀπόντων, ἀσφαλεῖς καὶ βεβαίας παντάπασιν εἶναι. Ἡλίκον οὖν ἔσται σοι κράτος, εἰ μετὰ τοῦ στρατοπέδοις κεχρῆσθαι καὶ μηδὲν ὁτιοῦν ἔξω τῶν νόμων πράττεινσπουδάζεις· πρῶτος δ' αὐτὸς δι' ὧν λέγεις καὶ πράττεις τουτοσὶ βεβαιῶν, παράδειγμα δίκαιοσύνης καὶ τοῦ τί δεῖ ποιεῖν ἅπασιν εἶναι· οὐ γὰρ ἔστιν, οὐκ ἔστιν, ὦ βασιλεῦ, σοῦ ταύτῃ διακειμένου, καὶ περὶ τοὺς νόμους τὰ γιγνόμενα σώζοντος, μὴ οὐχὶ καὶ πάντας ἂν τοὺς γ' ὑπὸ χεῖρα ταῦτα φρονεῖν προελέ-
D σθαι· τοὺς μὲν εὐγνώμονας δι' αὐτὸ τοῦτο· τοῖς δὲ πονηροτάτοις, πρὸς τὸ τὰ δέοντα ποιεῖν, ὁ φόβος ἀρκέσει· κοινῇ δὲ πάντες εὖ οἶδα καὶ ἑκόντες καὶ ἄκοντες ὅπως ἔσονταί σοι κεχαρισμένοι, πάνυ τοι φροντιοῦσιν· οὐκοῦν κἀκεῖνος ἂν εἰργασμένος, χρηστοῦ βασιλέως ὡς ἀληθῶς ἐργάσῃ, καὶ οἷον ὁ λογος βούλεται, τοῦ μὴ μόνον πᾶσιν ἀδικουμένυις αὐτὸς καὶ κατὰ πάντα χρόνον ἐκκεῖσθαι, καὶ οὕτω τάχιστ' αὐτοῖς χεῖρα ἀρέγειν, ὡς τὸ λεγόμενον δὴ τοῦτο, ἅμ' ἔπος ἅμ' ἔργον εἶναι, ἀλλὰ καὶ τοῖς ἑκάστων πάσι κηρύξαι θαῤῥεῖν, ὡς οὐδεὶς τοπαράπαν ἀδικούμενος ἔσται, ἕως ἂν βασιλεύων αὐτὸς ᾖς· ἀλλὰ κἂν τῶν σφόδρα σοι γιγνομένων καθ' αἷμα τυγ-

χάνῃ τις ἀδικῶν, καὶ οὗτος πάντως δώσεται δίκην, καὶ οὐδὲν τὸ γένος προστήσεται· οὕτω γὰρ οὔτ' ἂν οὐδεὶς ἔτ' ἀδικούμενος εἴη, σύ τε περὶ πλείονος σαυτοῦ τοὺς νόμους ὀΰξεις ποιεῖσθαι· τούς τε ἀδικοῦντας αὐτοὺς εὖ ποιήσεις, δικαίους εἶναι παρασκευάσας, καὶ μὴ τὴν σφῶν αὐτῶν μισοῦντας ψυχὴν τῷ τὴν ἀδικίαν, ὡς λόγος, φιλεῖν· τοῦτό σοι τὸ ψήφισμα τῶν ὑφ' ἡλίῳ πάντων κάλλιστον καὶ λυσιτελέστατον ἔσται, μήτι γε οὓς περὶ τοῦ δικαίου Πλάτων ἔθηκε λόγους.

legibus majorem quam tibi ipsi vim attribuas : ut in sontes ipsos beneficium te præbeas, justitiæ regula eos imbuendo, ita ut injuste faciendo animam suam odisse cessent. Hæc de te omnium honorificentissima et præclarissima sententia erit, nec ipse Plato de justitia melius senserit.

ζ'. Καὶ μὴν οὐκ ἐν εἰρήνῃ μόνον, οὐδὲ τῶν πραγμάτων εὖ καθεστώτων, δικαιοσύνης σοι δεῖ, ἀλλὰ κἀν ταῖς μάχαις μάλιστ' αὐταῖς τοιοῦσον αὐτὸν εἶναί σε δεῖ· ἐπείπερ αὗται μὴ μετὰ τοῦ δικαίου πολλάκις γιγνόμεναι μείζω παρασκευάζουσαι βλάβην, ἢ τοῦτ' ἰδεῖν ἔστιν ἐν εἰρήνῃ· ἃς κάλλιστ' ἂν οὕτω καὶ λυσιτελῶς διενέγκῃῃ, ἐὰν μήθ' ὑπὸ τοῦ πλεονεκτεῖν ἐθέλειν αὐτὸς, ἀδίκου μάχης ὑπάρχῃς, ἀλλ' ὡς πρόσθεν ἠδικημένος, ἔπειτ' ἐξ ἀνάγκης τοῖς πράγμασιν ἁπαντᾷς, καὶ τοὺς ὑπάρξαντας ἀμυνόμενος ᾖς κατὰ τὸ τοῦ νόμου παρέχον· μήθ' ὃ τούτου κρεῖττον, τὰς πρὸς οὐστινασοῦν ξυμβαινούσας διαφορὰς λύειν λόγοις ἐξὸν, σὺ δὲ θρασύτητι γνώμης εὐθὺς εἰς ὅπλα χωρήσῃς, ἃ μήποτ' ὤφελε κατ' ἀνθρώπους τό γ' ἐξ ἀρχῆς γεγενῆσθαι, μηδὲ παρελθεῖν μηδοπωστιοῦν εἰς τὸν βίον, ἢ γεγονότ' αὐτίκα πεπαῦσθαι, ὡς ὄργανα πλεονεξίας, καὶ τοῦ κακῶς ἐξεῖναι ποιεῖν· φύσει μὲν τὸ πρὸς ἀλλήλους κηδεμονικὸν κεκτημένοις καὶ πεφυκόσιν ἓν εἶναι, καὶ ταυτὰ διὰ πάντων φρονεῖν, ὑπὸ δὲ τοῦ πλειόνων ἐπιθυμεῖν καὶ χαίρειν ἐθέλειν, οἷς ἥκιστα πάντων χαίρειν ἐχρῆν, οὕτως ἡμᾶς αὐτοὺς ἀγνοοῦσιν, ὡς καὶ πολεμεῖν παρὰ φύσιν ἀλλήλοις ὡς ἀλλοτρίοις πειρᾶσθαι, καὶ τοῦτο πολλοῦ τινος ἄγειν. Εἶεν·

7. Sed non pacis tantum tempore et quando res salvæ sunt, sed inter ipsa belli certamina justum te esse oportet ; siquidem sæpe per nefas certata magis noxia sunt quam quæ in rerum tranquillitate obveniunt. Optime autem ac sine labore isthæc omnia obibis, ubi sine ambitione non armis injustis pugnas, sed prius injusta passus pro necessitate rebus inservis et eos qui superstites sunt tueris : ubi ad lites et dissidia evitanda verbis, non telis pacem concilias. Nunquam enim bella inter homines ad internecionem fieri debuissent, et ubi eorumdem causæ exsistebant, nunquam diuturna esse decebat ut avaritiæ et malignitatis instrumenta. Qui enim natura eadem sentiunt ac curant et meditantur, ab avaritia longe remoti esse debent et ad ea aspirare quæ ipsis minime conveniunt, ut uno verbo dicam, bellum non nisi in extremo rerum discrimine inferre debebunt.

η'. Σὺ δ' εἰ μὲν ἀπολαύειν εἰρήνης ὅτι μάλιστα βούλει, ἀνάγκη μάλιστα πάντων φιλοπόλεμον εἶναι, καὶ οὕτω σοι ταύτης ἀπολαύειν ἐξέσται· τό τε γὰρ ἄπραγμον οὐ σώζεται, φασὶν οἱ σοφοὶ, μὴ μετὰ τοῦ δραστηρίου τεταγμένον· εἰρήνης τε ἀπολαύειν οὐχ οἷόν τε, μὴ φιλοπόκεμον· ὄντα· ὥσπερ οὐδὲ φιλοπόλεμον ὄντα, ταυτησὶ μὴ μετέχειν· εἰκότως. Τὸν γὰρ μάχεσθαι μεμελετηκότα καὶ πολεμεῖν ἠσκημένον πᾶς ὁστισοῦν ὑπέπτηχεν, οἶμαι. Οὐκοῦν εἰ μὲν εἰρήνης ἀντιποιῇ, καὶ πολέμων ἀντιποιεῖσθαι δίκαιος εἶ· εἰ δὲ τοῦ μὲν ἐλάττω λόγον ποιῇ, οὐχ ὅπως ταύτης οὐδοπωστιοῦν ἀπολαύσῃ, ἀλλὰ καὶ πολεμίους τοσούτους διὰ ταύτην προσετήσῃ, ὡς ἀναγκασθῆναι καὶ ἄκων φιλοπόλεμος εἶναι, εἴπερ ὡς ἀληθῶς εἰρήνης σοι μέλει. Εἰ δ' ἐκ μὲν τοῦ τῆς εἰρήνης ἔχεσθαι μόνης, πολεμεῖσθαι συμβαίνει, τὸ δὲ πρὸς τὰς μάχας ἕτοιμον εἶναι καὶ παρεσκευάσθαι τοῖς ὅπλοις χορηγεῖ τὴν εἰρήνην, ἧς οὐδὲν τοῖς κρατοῦσι λυσιτελέστερον, ἑλοῦ μᾶλλον ὑπὲρ τῆς ἐσάπαν εἰρήνης φιλοπόλεμος εἶναι, ἢ ταυτηνὶ μόνην διώκων, μήτε ταύτης μετέχειν, καὶ προσέτι πράγματ' ἔχειν ἐκ πολεμίων. Ἐπεὶ δὲ τὸν οὕτω παρεσκευασμένων ἀνάγκη πᾶσα καὶ ὧν παρεσκεύαστο, τούτων πρότερον ἐπιστήμην κεκτῆσθαι, σὲ δ' εἶναι πολεμικὸν ἡμεῖς ἀξιοῦμεν, ἵν' εἴης εἰρηνικὸς, πολεμικὸς δὲ

8. Quocirca si pace frui tibi in animo est, bello operam dare debes ; sic enim ista fruit licebit. Indolentia enim, ut dicunt philosophi, parum prodest, nisi simul operaris. Id certe constat, eum qui pacem vult, bellum amplecti debere, et quod is qui a bello stat pacis tandem commoda assequetur ; quo nihil verius. Me quidem arbitro, eum qui artem militarem callet et exercet, omnes metuunt. Quare si pacem spectas, bella effugere non poteris ; nunquam enim illam sine his consequeris ; imo ob idipsum hostium numerum augebis, et invitus arma capessere debebis, si pax tibi cordi est. Igitur si bellum gerimus ut pacem habeamus ; si ob eam causam quovis momento arma capessere parati sumus, siquidem nihil pace utilius est, bellum potius amplectere ; sic enim fiet ut pace non frustreris nec hostes te nimis lacessant. Sed cum necesse sit ut is qui animum ad simile quid bene præparatum habet bene fungendi officio artem sciat, et cum te bellicosum esse velim ut pace fruaris, et cum bellicosus esse nemo possit qui non in armorum usu

se exercuerit, id tibi præcipio, ut animum ac corpus exercitiis militaribus jugiter fatiges, ursus, apros venando ubi copia datur, aut cum viris bello assuetis manus conserendo. Sed animum quoque generosum ac nobilem creabis et magna spirantem, si eum quotidia ad antiquorum exemplum efformas, qui magnanimitate et præclare factis eminuerunt, et si concionibus interesse amas, ubi justæ ipsorum laudes celebrantur. Alexandrum Philippi filium memento Homerum cubiculi consortem habuisse. Hæc ratione hisque artibus circa omnia bene valebis, rei militaris apprime gnarus nec minus bonus miles quam ii qui in castris senuerunt. Sed non in pugnis solum terrestribus, sed navalibus quoque arte ac solertia præstabis; quibus omnibus animi vigor mirum in modum augetur. Nam si terræ continentis solius, aut solius maris regnum teneres, alterius utriusque tantum curam haberes; sed ubi in utrumque dominaris, id tibi faciendum erit ut utriusque moderator esse videaris. Nam si unum curando alterum negligis, medico similis es unius tantummodo corporis curam gerenti. Imo eum, quem nihil curas, subigere velle videberis; at tu utrumque sub te habere tendis. Equidem te absurdum dicerem si, ut utriusvis dominus fias, qui nunc quidem nondum es, summum adhiberes studium, et si amborum dominus es, unius tantum curam gereres, dum ambos eadem diligentia amplecti tuum est.

9. Idcirco copiarum et pedestrium et navalium summa ratio est habenda et id agendum, ut nostræ quidem cum viribus nostris et dignitate tua concordent, ita tamen ut exterarum et continentis e regione ratio nulla habeatur, idque non solum quia exercitus res pulcherrima et utilissima, ut brevi dicam, optima cum sit summam curam exigit utpote qui nostralibus ac iis qui rebus nostris favent consistit; sed etiam quod socii ac mercenarii quos in exercitum nostrum recipimus, quia fortitudine pollere videntur, non utique sunt qui esse videntur, nedum satis bonæ fidei sunt erga nos, ut fortunæ nostræ sincere participes esse velint, imo, quamvis res nostras adjuturos sese polliceantur idque gravissimis affirmare videantur juramentis, nihilo magis iis confidendum erit. Cum enim nihil nisi proprium commodum ob oculos habent, quandiu

A οὐκ ἂν ὅλως εἴη, μὴ μάχεσθαι μεμελετηκως, ἀσκητέον ἂν εἴη σοι μάλιστα διὰ ταῦτα τήν τε ψυχὴν τό τε σῶμα, τὸ μὲν συνεχέσι πόνοις καὶ γυμνασίοις πολεμικοῖς, νῦν μὲν ἐπὶ θήρας ἐξίοντι καὶ συμπλοκὰς ἄρκτων τε καὶ συῶν καὶ ὧν ἔξεστι· νῦν δὲ μετ' ἀνδρῶν εὖ εἰδότων μάχης, καὶ τοιούτους δή τινας καὶ τοὺς ἄλλους εὖ μάλα ποιεῖν δυναμένων, τὰ τακτικὰ μελετῶντι· ἀλλὰ μὲν καὶ τὴν ψυχὴν μάλιστ' ἂν ἐργάσαιο καλὴν καὶ γενναίαν, καὶ ταῦτ' αὐτὸ μένος πνείουσαν καὶ ὅλως ἡρωϊκὴν, ἐὰν οὓς ἐπ' εὐψυχίᾳ καὶ ἔργοις ἀρίστοις τε καὶ μεγίστοις θαυμάζειν ἔχομεν τῶν ἀρχαίων, πρὸς τούτους σαυτὸν ἀπευθύνῃς τῇ καθημέραν μελέτῃ, καὶ τῷ τοῖς ὑπὲρ αὐτῶν λόγοις ἡδέως συνεῖναί τε καὶ συζῆν· Ἀλέξανδρον γοῦν Φιλίππου καὶ συγκαθεύδειν τοῖς ἔπεσιν
B Ὁμήρου φασιν. Οὕτω γὰρ ἂν διὰ πάντων τούτων, ὁμοῦ μὲν ἐρρωμένος εἴης καὶ τοῖς ὅλοις εὖ ἔχων, ὁμοῦ δὲ καὶ τῶν πολεμικῶν ἄκρως τεχνίτης, καὶ μηδὲν ἔλαττον ἔχων τῶν γεγηρακότων ἐν μάχαις· στρατόπεδα δὲ καὶ κατὰ θάλατταν πλεῖστα μέν σοι καὶ κάλλιστα ἔστω, καὶ πολεμικῆς ὡς εἰπεῖν εὖ ἥκοντα τέχνης καὶ πείρας· ἐν τούτῳ γάρ ἐστι καὶ τὸ πρὸς εὐψυχίαν ὡς μάλιστα διακεῖσθαι. Εἰ μὲν γὰρ μόνης γῆς ἢ θαλάττης ἦρχες, μόνης ἂν ταύτης ἐφρόντιζες· ἄρχων δὲ ἑκατέρων, δίκαιος ἂν εἴης, ὡς ἂν καὶ ἄρχειν ἑκατέρων δοκῇς. Εἰ δὲ τοῦ μὲν φροντίζεις, τοῦ δὲ μή, πρῶτα μὲν, ὦ βασιλεῦ, ἔοικας ἰατρῷ ἑνός τινος σώματος, τὸ μὲν ὅπως αὐτὸ κάλλιστα ἕξει πάντα ποιοῦντι, θατέρου δὲ μηδοντινοσοῦν τοπαράπαν ἔχοντι λόγον· ἔπειτα καὶ δόξεις,
C οὗ μὲν φροντίζεις, τούτου καὶ ἄρχειν ἐθέλειν· οὗ δὲ μὴ, τούτου μηδ' ἄρχειν· σὺ δὲ ἀμφοτέρων ἄρχειν ἐθέλεις· ἄτοπον δέ μοι δοκεῖ καὶ ἀλογίας μεστὸν, θατέρου μὲν εἴπερ οὐκ ἦσθα κύριος, πᾶσαν ὑπὲρ τοῦ γενέσθαι κύριον οἴεσθαι δεῖν εἰσφέρειν σπουδὴν, ἄρχοντα δὲ ἀμφοτέρων, θατέρου μόνον καὶ μὴ ἀμφοτέρων τίθεσθαι λόγον, καὶ τὴν περὶ τῶν ὅλων σκέψιν ἐν τούτῳ μόνῳ χωλεύειν ἐᾷν, καὶ τὰ τῆς προνοίας ἐξ ἡμισείας δυκεῖν γίγνεσθαι.

θ'. Ἀναγκη τοίνυν καὶ πεζῆς καὶ ναυτικῆς δυνάμεως πάντα ποιεῖσθαι λόγον· οἰκείας μέντοι ταύτης καὶ τοῦ καθ' ἡμᾶς καταλόγου, καὶ ὅλως τῷ σῷ κράτει μάλιστα προσηκούσης· ξενικῆς δὲ οὐδηστινοσοῦν οὐδ' ἐκ τῆς ἀντιπέρας ἠπειρου· οὐ μόνον ὅτι τὸ τῆς στρατιᾶς δήπουθεν χρῆμα κάλλιστον καὶ λυσιτελέστατον καὶ κοινωφελὲς, εἰ δεῖ φάναι συντόμως,
D ὂν ἡμῖν ἀγαθὸν, μεγίστης ὅτι μάλιστα καὶ τῆς παρ' ἡμῶν δεῖται προνοίας, ὡς ἐξ ἡμετέρων τε καὶ συνήθων καὶ οἵων ὑπὲρ τῶν ἡμῖν συμφερόντων ὅσαι ὧραι φροντίζειν ταυτηνὶ καθεστάναι, ἀλλ' ὅτι καὶ οὓς ἐν τοῖς ἡμετέροις στρατεύμασι προσλαμβάνειν εἰώθαμεν ξένους ἐπὶ τῷ μείζω δοκεῖν ἔχειν δύναμιν, οὗτοι πάντες οὐχ ὃ λέγονται δείκνυνται, οὐδὲ τοῖς ἑλομένοις ἀσφαλεῖς εἰσιν εὖνοι, ὡς καὶ τῶν ἐφ' ἑκάτερα μεταβολῶν κοινωνεῖν τούτοις ἐθελειν, ἀλλὰ κἂν μυριάκις τά γ' ἡμέτερα φῶσι πρεσβεύειν, κἂν τοῖς φρικωδεστάτοις τῶν ὅρκων χρήσωνται, οὐδὲν μᾶλλον ἔστ' αὐτοῖς προσεκτέον, πάντα μᾶλλον οὖσιν ἢ τοῦτο. Πρὸς γὰρ τὸ σφίσιν αὐτοῖς λυσιτελοῦν καθάπαξ

σκοποῦντες, ἕως μὲν ἂν ἡμᾶς εὐ πράττοντας καὶ τῶν πολεμίων κρείττους ὁρῶσι, τὴν γιγνομένην καὶ οὗτοι σώζουσι τάξιν. Ἐπὰν δέ ποτε τύχῃ τινὶ σφαλῶμεν, καὶ τἀκείνων ὑπέρσχῃ, εὐθὺς ὥσπερ τινὰ κρουσάμενοι πρύμναν, αὐτομολοῦσιν ἐκεῖσε, καὶ πρὸς οὓς μεθ' ἡμῶν παρετάττοντο, μετὰ τούτων ἡμῖν ἐπίασιν, ὁμοῦ μὲν θρασυτέρους ἐκείνους ἐντεῦθεν παρασκευάζοντες καθ' ἡμῶν, ὁμοῦ δὲ καὶ τοῖς ἡμετέροις δειλίαν ἐνιέντες καὶ φόβον, καὶ ἵνα μὴ λέγω, πολλάκις καὶ κίνδυνον· ἐπίδοξοί τινες ὄντες οὐκ ὀλιγάκις ἂν ταῦτ' εἰργάσθαι κατὰ τὸ ξυμβαῖνον τῆς τύχης· οὕτως ἀπιστίας καὶ πίστεως ἔχοντες, πῶς τὴν ἡμετέραν στρατιὰν ἐκ τούτων, ἀλλ' οὐκ ἐξ ὧν ἔφην εἰκὸς συγκροτεῖσθαι; Καὶ μὴν εἰ πολυχειρίαν μὲν εὐψυχίας ἀκούσης οὐχ ὅπως οὐδαμοῦ πώποτε περιγενομένην οὐδ' ἂν εἰς εἰπεῖν ἔχοι, ἀλλὰ καὶ πᾶν τοὐναντίον ἐπασταχοῦ νικωμένην· εὐψυχίας δὲ, καὶ τῆς ἐκεῖθεν συμμαχίας χωρίς· παραδειγμάτων ἅπαξ ὁ βίος μεστός· οὐδὲ σοί γ' αὐτῷ, βασιλεῦ, πρὸς οἷς ἔχεις στρατεύμασι, καὶ ξενικοῦ τινος ἑτέρου προσδεῖ· ἀποχρῶσιν εὖ οἶδα τούτοις καὶ πλήθους εἵνεκα καὶ παρασκευῆς καὶ τῆς περὶ τὰς μάχας εὐψυχίας καὶ τόλμης τοὺς πολεμίους ἐκπλήττειν τε καὶ φοβεῖν.

ι'. Καὶ μάλιστ' ὅταν ἐκ περιουσίας τούτους αὐτὸς εὖ ποιῶν ᾖς· οὕτω γὰρ ἂν προθυμοτέρους ἐργάσαιο περὶ μάχας καὶ χρῆσθαι καλλίους· οὓς χρὴν ἐν μὲν εἰρήνῃ μὴ σφᾶς αὐτοὺς ἀγνοεῖν, μηδ' ἀμελεῖν τοῦ προσρήματος, ἐφ' ἃ μὴ προσῆκε χωροῦντας· ἀλλ' ὅπερ εἰσὶν ἐννοοῦντας, πράττειν ἐθέλειν αὐτοὺς τοιούτους εἰκὸς, πολεμικῶς ἀσκουμένους, καὶ μετιόντας τὰ τακτικά· καὶ τὸ σύμπαν εἰπεῖν, διὰ τῆς συνεχοῦς πρὸς ἀλλήλους ἀμίλλης, τὸ θυμικὸν ἀνάπτοντας σφίσι, καὶ οἱονεὶ πρὸς συμπλοκὰς ἑτοίμως ἔχειν διανιστάντας· ὅταν δ' αὖ πόλεμος ἐπιστῇ καὶ μάχεσθαι δέῃ, οὕτω παρασκευῆς καὶ γνώμης ἐχόντων, ὡς πρῶτα μὲν μηδ' ἂν εἴ τι καὶ πάθοιεν τὴν τάξιν λιπεῖν ἐθελῆσαι, ἀλλὰ καὶ πολλάκις εἴ οἱόν τε καὶ τῆς ψυχῆς αὐτῆς ἐκπεσεῖν μηδ' ἂν παραιτήσασθαι· ἔπειτα τὰ μὲν τῶν πολεμίων οἰκεῖα σφίσι νομίζειν, ἃ δὲ πρόσεστ' αὐτοῖς, μηδένα τούτων ποιεῖσθαι λόγον· ὡς ἂν μήτε διὰ ταῦτα φιλοψυχῶσι, κἀκείνων ὅπως γένοιντο κύριοι, τοῖς πολεμίοις ὁμόσε χωροῦσιν, οὐ φρονήματι μόνον, ἀλλὰ καὶ καταφρονήματι· τοιούτους δέ τινας τούτους ἕξεις καὶ πολλοῦ γε μαλλίους ἐὰν εὖ εἰδῶσιν, ὡς ἃ μὲν ἀποβαλοῦσιν ἐν τῷ πολέμῳ, ταῦτα αὐτὸς ἀπὸ πολλοῦ τοῦ κρείττονος ἀντικαταστήσεις αὐτοῖς. Εἰ δὲ καὶ τούτοις πεσεῖν ἐνταῦθα ξυμβήσεται, σὺ δὲ πρῶτα μὲν τούτους ὡς νικητὰς νομιεῖς, οὕτω γνώμης ἔχοντας, καὶ οὕτω παρεσκευασμένους, τῇ φύσει δὲ ὡς εἰκὸς εἶξαντας· ἔπειτ' εἰς τοὺς αὐτῶν παῖδας ἀπομνημονεύσεις τὴν χάριν, καὶ τούτων ὡς οἰκείων ἀντιποιήσῃ, εὖ ποιῶν τά τε ἄλλα καὶ τὴν πατρῴαν τάξιν ἀποδιδούς· καθάπερ Ἀθηναῖς τῶν ἐν τῷ πολέπῳ τετελευτηκότων τοὺς παῖδας ἐποίουν, δημοσίᾳ τρέφοντες ἄχρις ἥβης, καὶ τότ' οἰκαδ' ἀποπέμποντες μετὰ τῶν πανοπλιῶν· καὶ τίς οὐκ ἂν ἀφειδήσειε τῆς

A res nostras salvas, nosque ipsos hostibus superiores videbunt, partes nostras agent. Ubi primum autem adversa utemur fortuna, hostesque victores erunt, illico proram vertent et ad eos transfugient, contra quos paulo antea pugnaverant, contra nos jamjam pugnaturi. Sic enim fiet ut et illis animos augeant ac nostris metum ac pavorem injiciant nobisque pericula gravissima creent. Hinc enim cum recte suspicari possis eos postea quoque sic temporibus bona malave fide inservituros esse : qui, quæso, hujusmodi hominibus exercitum constare voles? Quæ cum ita sint, nemo sane multitudinem imbellem victricem prædicabit, imo usque superatam
B confitebitur ; cujus rei vita omnis humana exempla exhibet innumera. Tu quidem, rex, non est quod ad copias quas possides, mercenarios adjicias ; satis enim numerosæ ac bene instructæ sunt, et in pugnando satis fortes atque audaces, ut hostibus terrorem ac metum injiciant.

10. Quod quidem præsertim continget, si de superfluo tuo beneficia in ipsos confers, eoque animosiores ipsos ac manu fortiores ad pugnandum reddis. Hic certe in pace si se cognitos habuissent, eos non audiissent qui quo non oportebat progredi
C hortabantur. Imo ii ipsi quid valeant humeri haud ignorantes pro militari qua pollebant experientia pugnis se ac certaminibus miscere debebunt ; ut paucis dicam, continuis invicem certaminibus animus iis augescet, et manus conserere nunquam non parati erunt. Dein ubi bello exorto pugnandi necessitas aderit, ita animati erunt ut nec in summo rerum discrimine castra deserant, imo vitam cum sanguine efflare velint. Huc accedit quod res hostium suas esse censent, suarum autem nullam rationem habeant. Neque eo magis vitam amant, sed hostes ut subigant aggredi untur, mortem ac vitam juxta habentes. Tales eos et multo meliores
D habebis, ubi primum persuasum iis erit quod in bello perdiderunt, tua opera ipsis in melius restitutum iri. Quodsi casu fatali superantur, tu quidem eos non minus pro victoribus habebis, fortitudinis eorum ratione habita, quanquam in fatis aliter fuit, et liberorum ab ipsis relictorum memor eos ut tuos adoptabis et honores quibus patres fruiti fuerant, in eos conferes, sicut Athenienses, qui in bello cæsorum natos ad pubertatem usque publicis impensis educatos, postremo armis instructos ad suos remittebant. Quis tandem non

vitam contemnet, cujus animus de talibus persuasum habet?

11. Quid plura? Hos et cæteros omnes universim et sigillatim magni æstimare nec minoris quam te ipsum facere, pro dignitate cohonestare, iisque non ut subditis sed ut affinibus uti, benignis eos sermonibus alloqui et benignum temet in ipsos præstare, plane tuum erit. Sic sane bene faciendo cum dignitate et gravite id efficies ut te non minus quam semet ipsos diligant, ut tibi non minus quam sibi ipsis omnia fausta precentur. Subditios namque gubernantium felicitatis participes esse oportet. Tui igitur te non tam ut regem, sed ut patrem amicumve honorabunt, atque ita ut pro te lætius quam pro se ipsis mortem oppetere velint. Interea autem non sufficit ut sis pacificus, aut bellum alio, quam quo dixi, modo geras, et cæteris excellas virtutibus; sed id tibi agendum est ut omnibus gratus et acceptus populi gratiam adeo captes, ut in omnium animas domineris potius quam corpore; unde fiet ut te ipsum plus quam pro te metuas. Delegatos porro quos aut ipse aliorsum mittis aut quos ab exteris gentibus ad te venientes excipis, unquam diu circa te habeas imo quantocius dimittas. Alii enim consilia tua divulgabunt; alii quod sibi proponunt, attingent, quo in discrimine metuendum est ne nostri officio minus satisfaciant; cæteri, ne rebus nostris potituri justo plus investigent et sic commodo suo inserviant. Nam si quæcunque infra solem sunt, occupare idque nemine resistente, tibi contigerit, nec delegatis nec defensoribus tibi opus esset: si autem hostes in te insurgerent, cum omni ærumnarum genere tibi confligendum foret.

12. Si dein probi regis industriique est ut omnes ei subjectæ civitates quam optime administrentur, scito hoc fieri non posse, nisi magistratus omni virtutum genere emineant; aliter enim istæ florere nunquam poterunt, licet rex sit optimæ indolis. Idcirco magistrtuum electiones cum summa cura instituendæ sunt, quippe a quibus res secundæ aut adversæ pendent. Nunquam igitur affines tuos illustri loco natos, sed eos potissimum eliges, quorum indoles et mores veram dignitatem constituunt. Hos ergo rebus administrandis præficies, et sic felicibus tuis

ψυχῆς μετὰ τοιούτων παραταττόμενος μάλιστα λογισμῶν καὶ τοῦ πάνυ πεπεῖσθαι;

ια'. Καίτοι τί λέγω; καὶ τούτους γὰρ καὶ πάντας τοὺς ἄλλους καὶ κοινῇ καὶ καθ' ἕνα περὶ τοσούτου ποιεῖσθαι δίκαιος ἂν εἴης, ὡς καὶ σαυτοῦ μηδὲν ἧττον τούτους φιλεῖν, καὶ τῆς γιγνομένης ἕκαστον τιμῆς ἀξιοῦν, καὶ ὅλως οὐχ ὡς ὑπηκόοις μᾶλλον ἢ ὡς γνησιωτάτοις κεχρῆσθαι, καὶ τὰ εἰκότα συνεῖναι καὶ διαλέγεσθαι, καὶ διὰ πάντων τούτων εὖ ποιεῖν· μᾶλλον δὲ μετὰ πάντων τούτων καὶ ποιεῖν εὖ, καὶ τὸ σεμνὸν τῆς ἀρχῆς διασώζων, ὄῆμον εἶναι τῇ γνώμῃ καὶ τῷ προσίεσθαι, ἵνα καὶ οὗτοί σε σφῶν αὐτῶν μᾶλλον φιλεῖν ἔχωσι, καί σοι τὰ βέλτιστ' ἀεὶ συνεύχωνται πλέον ἢ σφίσιν αὐτοῖς· μᾶλλον δ' ἐν τῷ σοὶ ταῦτα συνεύχεσθαι, καὶ σφίσιν αὐτοῖς οὐδὲν ἧττον ταῦτα συνεύχονται· Τῆς φὰρ τῶν κρατούντων εὐδαιμονίας κοινωνεῖν ἀνάγκη τοὺς ὑπὸ χεῖρα· οὕτω δ' ἔχοντες, καί σε μὴ μόνον ὡς ἄρχοντα σφῶν τιμῶντες ἀλλὰ καὶ πατέρα κατὰ τὸ ἔπος ὡς ἥπιον, καὶ θανεῖν ἕλοιντ' ἂν ὑπὲρ σοῦ μᾶλλον ἢ ὑπὲρ σφῶν αὐτῶν. Οὕτως οὐκ ἀπόχρη μόνον εἰρηνικὸν εἶναι, καὶ οἷς ἔφην στρατεύμασι χρῆσθαι, καὶ πρός γ' ἔτι πᾶσι τοῖς ἄλλοις κοσμεῖσθαι, ἀλλ' ὅπως συγκεκροτημένος πάντοθεν ἔσῃ καὶ μηδαμόθεν τοπαράπαν ἐλλελοιπὼς, δεῖ πρὸς τούτῳ καὶ δημοτικὸν παντὸς μᾶλλον καὶ τοῖς πᾶσι κοινότατον εἶναι. ἐφ' ᾧ βασιλεύειν ἔχειν ἐν ταῖς ἁπάντων ψυχαῖς, καὶ πρὸ τῶν σωμάτων τὰς γνώμας χειροῦσθαι, καὶ παρασκευάζειν ὡς ἀληθῶς μὴ σὲ μαλλον ἢ ὑπὲρ σοῦ δεδιέναι· πρέσβεις μέντοι καὶ οὓς αὐτὸς ἑκάστοτ' ἐκπέμπεις, καὶ οὓς παρ' ἄλλων ἥκοντας δέχῃ, μὴ πολύν τινα χρόνον παρὰ σαυτῷ κατέχειν, ἀλλ' ὅπως ἀπίωσιν ἐνθένδε τὴν ταχίστην παρασκευάζειν· οἱ μὲν περὶ ὧν αὐτὸς ἔγνως ἀπαγγελοῦντες, οἱ δ' ὧν εἵνεχ' ἧκον ταῦτα διαπραξάμενοί τε, καὶ μὴ, ὡς ἔστι δέος μὴ διατριβῆς ἀμφοῖν γιγνομένης, οἱ μὲν ἡμέτεροι τοῦ δέοντος ὑστερήσωσιν, οἱ δ' ὅπως ἔχοιεν τὰ ἡμέτερα περιεργασάμενοι, καταμάθωσί τε ἃ μὴ θέμις, καὶ προσέτ' ἃ σφισιν ἴσως λυσιτελὲς συσκευάσωνται· εἰ μὲν γὰρ τῆς (a) ὑφ' ἡλίῳ πάσης ἐκράτεις, καὶ οὐδοντινοῦν τὸν ἐναντιούμενον εἶχες. οὔτ' ἂν σοι πρεσβειῶν ἔδει, οὔτε τῆς περὶ ταῦτα ἀσφαλείας· ἔχων δὲ πολεμίους, σὺ δὲ καὶ ὧν ἔφην, ἐξ ἀνάγκης ἴσχεισ ἀνάγκην.

ιβ'. Καὶ μὴν εἰ χρηστοῦ μὲν ἔστι βασιλέως καὶ μάλ' ἀπόδειξις ἐναργὴς τὸ πάσας πόλεις ὡς κάλλιστα διοικεῖσθαι, τοῦτο δὲ οὐκ ἂν εἴη, μὴ τῶν ἄρχειν λαχόντων πρὸς ἀρετὴν εὖ ἡρμοσμένων· ὡς ἄλλως γε ἐχόντων, οὐδὲ ταύτας οὐδοπωστιοῦν εὖ ἔχειν οἷόν τε, κἂν ὁ βασιλεύων πάντ' ἄριστος ᾖ· μετὰ τοσαύτης ἀκριβείας τὰς ἀρχαιρεσίας ποιεῖσθαι δεῖ, ἐν αἷς τό τε χεῖρον, τό τ' ἄμεινον κινδυνεύεται· ὡς μὴ ὅτι τοὺς κατὰ γένος σοι διαφέροντας, οὐδὲ τοὺς ἀπὸ μεγάλων τιμημάτων καὶ βαθέων οἴκων, ἀλλὰ τοὺς ἐπιεικεστάτους τὰς φύσεις, καὶ τοῦ καλοῦ διὰ πάσης ἰδέας ἥκοντας ἐξ ἀνάγκης αἱρεῖσθαι, καὶ τούτους τοῖς πράγμασιν ἐφιστάναι, ὡς ἂν καὶ τὸ γιγνό-

(a) Cod. τοῖς.

μενον διὰ πάντων σώκηται, σοῦ τε ὄντος βελτίστου, κἀκείνων ἐπὶ τῷ σώζεσθαι καὶ πόλεις καὶ ἔθνη, καὶ τῆς ἀγαθῆς ὡς εἰπεῖν τύχης μετὰ πολλοῦ τοῦ περιόντος πᾶσι μετεῖναι. Ὅταν δὲ σὺ μὲν τῷ ὄντι βέλτιστος ᾖς, οἱ δὲ πᾶν τοὐναντίον, νοσεῖν μὲν ἀνάγκη τὰς πόλεις καὶ πρὸς τὸ μηδὲν ἧδη χωρεῖν, σὲ δὲ εἰς αἴνιγμα πίπτειν, διὰ μὲν σαυτὸν καὶ ὄντα βέλτιστον καὶ λεγόμενον, διὰ δὲ τοὺς οὐ καλῶς τῶν πραγμάτων ἐπιστατοῦντας, ἃ μὴ προσῆκε νομιζόμενον καὶ λεγόμενον. Εἰ μὲν γὰρ οἷόν τ' ἦν ὥσπερ ὑπόπτερον ἐκασταχόσε χωρεῖν, καὶ διὰ γῆς πάσης ἰέναι οἵους τοὺς Τριπτολέμους διαύλους φασὶ ποιηταί, οὐδὲν ἂν ἦν πρᾶγμα, ἀλλ' ἅπαντ' ἂν ῥᾷστα καὶ μετὰ παντὸς τοῦ γιγνομένου δι' αὐτὸν σαυτὸν κατειργάζου, καὶ μηδεντινοὸν τῇ κακίᾳ χώραν παρεῖχες, ἀλλὰ πρὸς τῷ πάνθ' ἃ προσῆκε ποιεῖν, καὶ σαυτὸν τοῖς οὐκ εἰδύσιν ἐδείκνυς, ἀπὸ μόνου νῦν τοῦ προσρήματος γιγνωσκόμενος, τηνικαῦτα δ' αὐτὸς ὁρώμενος· ὅτε δὲ τοῦτο οὐκ ἔνι, ἀρχόντων δεῖ σοι χρηστῶν, καὶ μὴ ψευδομένων τοὔνομα, μηδ' οἷς ἀνθρώπων ἄρχειν δοκοῦσιν, αὐτῶν ὑπὸ λημμάτων καὶ οὐ καλῶν ἐπιθυμιῶν ἐλεεινῶς ἀρχομένων, ἵνα δι' αὐτῶν ὥσπερ τινῶν ὀμμάτων οἷκοι καθήμενος, καὶ τὰ πάνυ τοι πόρρω πάντα διορᾷς τε, καὶ κοσμοίης ἐπαίνων ἀξίους, καὶ ὡς ἄν τις παρὼν καὶ τῶν γιγνομένων ἕκαστα βλέπων· οὐ μὴν τούτοις ἐπιτετραφότα τὸ πᾶν, ῥᾳθυμότερόν πως αὐτὸν χρὴ διακεῖσθαι, οὐδ' οὕτως ἐῤῥᾳστωνευμένως δι' αὐτοὺς τοῖς πράγμασι χρῆσθαι, ὡς μήτε λόγοις μήτ' ἔργοις μηδ' οἱστισιν τοπαράπαν πρὸς ἀρετὴν ἐθέλειν τὰς πόλεις προτρέπειν, ἀλλ' ὥσπερ ἂν εἰ μὴ τούτων παρόντων ἀνάγκην ἔσχες αὐτὸς, ὥσπερ οὖν καὶ νῦν ἔχεις, ἅτε κοινὼς ἁπάντων μελεδωνὸς καὶ προστάτης ταύταις εἰσηγεῖσθαι τὸ δέον καὶ πάντα τρόπον χεῖρα σώζουσαν ὑπερίσχειν. Οὕτω παρόντων καὶ μαλ' ἄρχειν εἰδότων, καὶ αὐτὸν τὰ παρὰ σαυτοῦ συνεισφέρειν καὶ συμφροντίζειν ὥσπερ εἰκὸς, νῦν μὲν ταῖς πόλεσι δι' ἐπιστολῶν ὁμονοεῖν παρακελευόμενον, καὶ τοῖς προϊσταμένοις ὡς μάλιστ' ὑπείκειν, καὶ ὅλως ὧν μὲν ἔχεσθαι χρὴ, ὧν δ' ἀπέχεσθαι, νῦν δὲ σπεύδοντας καὶ αὐτοὺς κατὰ τὸ ἔπος ὀτρύνοντα, καὶ προθυμοτέρους σφῶν αὐτῶν καθιστάντα· ἐπεὶ δὲ τοὺς ἡνιόχους ὁρῶμεν οὐ ταῖς τῶν ἵππων ἀρεταῖς μόνον χρώμενους, ἀλλὰ καὶ λόγῳ καὶ ἔργῳ τὰ παρ' ἑαυτῶν προστιθέντας. Καὶ τοῦτο μὲν δὴ τοιοῦτον.

ιγ'. Χρημάτων δὲ πέρι πῶς ἂν ἔχειν χρῆναί σε φῶμεν, ἢ δηλονότι βασιλικῶς τε καὶ μεγαλοπρεπῶς καὶ ὡς εἰκὸς ἄρχοντα ἀγαθὸν καὶ γνώμης ἐφ' οὕτω τοι καὶ σπουδῆς ἥκοντα, ὡς πᾶσιν ἀγαθοῖς αὐτόν τε κεκνσμῆσθαι, τοῖς τε ἄλλοις καὶ τοῖς παροῦσιν λέγω καὶ τοῖς ἐπιγιγνομένοις καλοῦ παντὸς ἂν γενέσθαι παράδειγμα; τουτέστι μὴ εἰς πλεονεξίας καὶ τρυφὰς καὶ τὰς οὐκ ἐπαινουμένας ἡδονὰς χρήματα διώκειν αἱρεῖσθαι, καὶ βίον ζῆν ὑγρόν τε καὶ ἀνειμένον καὶ χαμᾶζε φέροντα· ἀλλ' ὥστε δι' αὐτῶν ἅπαντας εὖ ποιεῖν ἔχειν θαυμαστῆς ἐλευθερίας καὶ μεγαλοψυχίας ἐφόδιον ποιούμενον ταῦτα, καὶ χρώμενον πρὸς ἃ δεῖ. Εἰ μὲν οὖν χρημάτων οὕτω λόγον ποιῇ, οὐ μόνον ἀγαθῶν ἁπάντων ἀντιποιήσῃ, ἀλλὰ κἀν

auspiciis res salvæ erunt, urbes et gentes bonis omnibus circumfluentibus florebunt. Quodsi vero tu quidem optimus es, cives autem e contra pravi sunt, civitates labantes in exitium ruent; tu ipse autem per hominum ora ibis dicentium te optimum quidem virum infirmiorem esse quam ut magistratus a prævaricando impedias. Si enim fieri posset ut semitæ quas poetæ Triptolemi nomine decorant totam terram pervaderent, nulla jam difficultas esset, sed omnia pedibus subderes tuis, nullumque sceleri locum dares, sicut antea bonarum te actionum exemplar exhibuisti. Sed cum id fieri jam non possit, bonis tibi re, non nomine tantum magistratibus opus est, et qui homines gubernare præsumunt, dum ipsi pravis cupiditatibus misere lacessuntur, dum tu ipse bonos æquis oculis discernis et laudibus effers. Non enim committes ut res male se habeant, semperque id ages ut civitates voce et exemplo ad virtutis exercitium propellas, persuasum habens quod, si contrarium accidit, rerum angustiis premereris, ut nunc quidem; omnium enim tu protector ac custos omnes quid cuique faciendum sit docebis manumque auxiliarem porriges. Quod si res ita se habent, tu rem publicam pro virili parte administrabis, cives quidem ad concordiam et ad obsequium per litteras exhortando, et quæ observanda, quæ evitanda veniunt ostendendo, nunc stimulando, et animum iis augendo, siquidem aurigas quoque non tantum equorum virtutibus uti videmus, quippe qui verbo ac re adhibita procedunt. Sed hæc hactenus.

13. Jam dicendum est qualem te circa pecuniam exhibere debeas: regium scilicet et magnificum ut probum regem condecet qui ea sentire, iis rebus studere debet quæ ipsum exornant et quibus cæteris exemplaris loco erit. Id fiet, si ab avaritia et luxurie æque remotus pravis voluptatibus non indulges, quæ naturam humanam depravant ac humi sternunt, imo in omnibus liberaliter ac magnanimiter agendum est et ut sana ratio præcipit. Si hoc modo rem pecuniariam tractabis, non modo omnia bona consequeris, sed etiam in exigendis ab urbibus vectigalibus humanum te præbebis et minime

sevorum. Si vero animus tuus possidendi studio magis quam par est tenetur, ante omnia miror quo pacto cum pecuniæ sis servus, homines gubernare præsumere audeas. Sic enim fiet ut proborum nullam, improborum omnem rationem habeas; ne dicam quod pecunias tributarias cum duritia exiges, quod corruptelæ subjectum te monstrabis et ad malas artes confugies: quæ omnia non decent regem generosum qui in omnibus primas tenere, qui in omnes dominari ut imbecilles animi præsumit. Imo a magnanimitate quæ regia virtus habetur adea remota sunt, ut quemcunque ista facientem deprehendunt, summo odio prosequantur ac tale regnum pro abominatione habent. Quid enim? qui ob pecuniam altos spiritus sumit, nihil præter ambitionem studio dignum censebit, et sic ob pravarum artium usum omnium odium ac contemptum incurret. Quare tu quidem conatus gloriabundos sectare et inania encomia aspernare; quæ proba sunt amplectere, et humilis negotiatoris instar res abdorre spernendas, quas nec maximo inimico precari volueris. Tibi quidem, rex, satius erit, auri argentique thesauros perdere quam Midæ divitias superare sine decore. Interim tantum abest ut dicam te pecunia carere posse. Minime, imo non parva tibi summa opus est, non tantum quia nequaquam nocet ei qui recte ea uti novit, et quod ejus beneficio res præclaræ et utiles effici queunt; tu autem ad regnum administrandum magnis opibus indiges, sed ita, ut non in decore tenearis potius quam teneas, et ut non privatæ, sed publicæ utilitati adhibeas, sicut Aristides, Lysimachi filius, ut Pericles Xanthippi, qui quidem, Thucydide teste, adeo integer incorruptusque fuit, ut proprios agros reipublicæ cederet non tam calumniam evitandi gratia, sed ne eos retinendo cæteris prodesse nolle videretur. Aristides qui omnibus bonis abundare potuisset, adeo pauper fuit ut filias dotare nequiret, ita ut Athenarum civitas earum nuptiis pecunia data in honorem patris nobilissimi prospexerit. Sic non simplex pecuniæ usus, ut ipsa vox χρῆμα indicat, reprehendi potest, sed usus illiberalis et qui non ad hominum utilitatem spectat.

14. Quid autem de pecunia tantum nobis sermo? Quodcunque rex citra communem utilitatem facit, ut privatus, non qua rex facit; hic enim omnia curare debet, ille suum duntaxat ante ocu-

A ταῖς τῶν δημοσίων εἰσπράξεσι καὶ πόλεων εἰσφοραῖς φιλάνθρωπος ἄγαν ἔσῃ, καὶ παλὺ τοῦ δέοντος ὑφιείς· εἰ δὲ δοῦλος εἶ τούτων, καί σου κατέχουσιν τὴν ψυχήν, πρῶτον μὲν θαυμάσαιμ' ἂν εἰ ὅλως ἀνθρώπων κρατεῖν ἀξιώσαις, χρημάτων γε δοῦλος αὐτὸς ὤν· ἔπειτα δόξεις ἀγαθοῦ μὲν οὐδοτουοῦν τοπαράπαν, μᾶλλον δὲ πάντων ὡς εἰπεῖν τῶν αἰσχίστων λόγον ποιεῖσθαι φορολογήσεις δὲ ἀγεννῶς καί δώρων ἐπιθυμήσεις καὶ ὅθεν οὐ δεῖ μάλιστα λήψῃ· ἃ μὴ ὅτι γε θαυμαστοῦ βασιλέως ἐστὶ καὶ οἵου πάντων μὲν ἐν ἅπασι κρατεῖν ἐθέλειν πάντεσσι δ' ἀνάσσειν, ἀλλ' οὐδὲ τῶν ἀρχομένων τινος εὖ φρονεῖν ἀξιοῦντος· μᾶλλον δ' οὕτω ταῦτα βασιλικῆς μεγαλοπρεπείας ἀλλότρια, ὥστε καὶ ὅταν τις τῶν ὑπὸ χεῖρα ταῦτα πράττων ἁλῷ, τοῦτον ἀποστρέφονται καὶ
B μισοῦσι, καὶ τῆς ἀρχῆς ὥσπερ ἄγος οὐδ' ὁρᾷν οἵοντπι δεῖν· τοσοῦτον αὐτοῖς φαυλότητος μέτεστιν· εἶτα παρὸν διὰ μὲν τοῦ χρημάτων, ὡς ἔφην, ὑπερφρονεῖν, πάντ, ἄριστον εἶναι καὶ τοῖς πᾶσι ζηλοῦσθαι, διὰ δὲ τοῦ ταῦτα περὶ πλείονος ἄγειν καὶ τούτοις διαφερόντως ἠττᾶσθαι, κακῶς ἀκούειν καὶ μῖσος ἐν ἅπασιν ἔχειν· σὺ δ' ὃ μὲν κατὰ σοῦ καὶ τῆς σῆς δόξης ἐστί, τοῦθ' ἡγησάμενος τῶν σφόδρα λυσιτελῶν, ὃ δὲ σοι μεγίστων καὶ θαυμαστῶν ἐγκωμίων ὑπόθεσις ἔσται, τοῦτο τοῦ μηδενὸς ἄξιον χρῆσθαι νομίσας, τὸ μὲν ἐθελήσεις προέσθαι, τὸ δὲ καθάπαξ ἐλέσθαι, καὶ χρηματιστὴς ἀγεννὴς ἀκοῦσαι μᾶλλον, ἢ τούτων αὐτῶν ὑπερόπτης, ὃ μηδ' ἂν εἷς τῶν ἐχθρῶν σοῦ γε κατεύξαιτο; Μὴ σύ γε· ἀλλὰ βούλου μᾶλλον, ὦ βασιλεῦ, κενοὺς εἰ οἷόν τε ταλάντων ἴσχειν τοὺς θησαυροὺς, ἢ παρελθεῖν ἀνελευθέρως περιουσίᾳ τὸν
C Μίδαν, ἐπεὶ καὶ αὐτὸς οὐκ ἀπέχεσθαί σε καθάπαξ χρημάτων φημί. Πόθεν; πολλοῦ γε καὶ δεῖ· οὐ μόνον ὅτι ταῦτα τοῖς ὀρθῶς χρωμένοις οὐδοτιοῦν λυμαίνεσθαι πέφυκε, μᾶλλον δὲ καὶ πλείστων ἀγαθῶν πολλάκις αἴτια γίγνεσθαι, ἀλλ' ὅτι πᾶσι μὲν ὡς εἰπεῖν, πάντων δὲ μάλιστα σοὶ διὰ τὴν ἀρχὴν καὶ τὰς ἐντεῦθεν ἀνάγκας, τούτων αὐτῶν δεῖ· ἀλλ' οὕτως ἔχεσθαι τούτων, ὡς μὴ ἐνέχεσθαι, μηδ' εἶκειν αἰσχρῶς, μηδὲ σαυτοῦ χάριν, ἀλλὰ τοῦ κοινῇ λυσιτελοῦντος ταῦτα κεκτῆσθαι· καθάπερ Ἀριστείδης ὁ Λυσιμάχου, καὶ Περικλῆς ὁ Ξανθίππου, ὁ μὲν οὕτω χρημάτων διαφανῶς, ὡς Θουκυδίδης φησὶν, ἀδωρότατος γεγονὼς, ὥστε καὶ τοὺς ἀγροὺς ἠφίει τῇ πόλει, οὐ φόβῳ διαβολῆς, ἀλλὰ τῷ μὴ τούτοις ἠττᾶσθαι· ἐπεὶ βουλομένῳ κατέχειν, οὐδ' ἂν εἷς, οἶμαι, προσέ-
D στη· Ἀριστείδης δὲ ὑπὸ τοῦ μηδὲν ἔχειν, ἔχων καὶ ταῦθ' ὅτι πλείστοις εἷπερ ἐβούλετο χρήμασι περιρρεῖσθαι, ὁ δ' οὐδὲ τὰς θυγατέρας οἵτε ὢν ἀνδράσιν ἐκδοῦναι, ἀλλὰ ταύτας ἡ πόλις τῶν Ἀθηναίων μετὰ τὴν ἐκείνου υελευτὴν θαυμαστῶν ἠξίωσε γάμων διὰ τὴν τοῦ πατρὸς ἀρετήν. Οὕτως οὐ τὸ χρήμασιν, ἵν' οὕτως εἴπω, κεχρῆσθαι δεινὸν (τοῦτο γὰρ καὶ τοὔνομα βούλεται), τὸ δὲ τούτοις ἀνελευθέρως κεχρῆσθαι, καὶ μὴ πρὸς ἀνθρώπων ὄνησιν.

ιδ'. Καὶ τί λέγω χρημάτων; πᾶν γὰρ ὅ τι ποτ' ἂν ἔξω τῆς κοινῆς ὠφελείας ἐργάσηται βασιλεὺς, ὡς ἰδιώτης, οὐχ ὡς βασιλεὺς ἐργάσεται· εἷπερ ὁ μὲν ἀνάγκην ἴσχει πάντων φροντίζειν, ὁ δέ γε τοῦ

καθ' αὐτόν· καὶ ὁ μὲν οὐκ ἂν εἰς εὐθύνην ἥκοι, τῷ δ' ἐπεὶ πάντων προΐσταται, καὶ πάντες εἰς αὐτὸν ἀφορῶσι, πᾶς τις ἂν ἐγκαλέσαι δικαίως, ὅτι τὸ πάντων φροντίζειν ἀφεὶς, ὁ δὲ τῶν αὐτοῦ λόγον ποιεῖται· καὶ τὴν κοινὴν ἁπάντων πρόνοιαν ἀποῤῥίψας, οἷς ἀντέχηται τῶν οἰκείων, ἀρνεῖται τοὔνομα· καλεῖσθαι μὲν βασιλεὺς ἀξιῶν, πράττων δὲ ἃ μὴ τὸν τοιοῦτον εἰκός· οὐδὲ γὰρ οὐδὲ τὸν κυβερνήτην μετὰ τοὺς οἴακας καὶ τὸ χρῆσθαι τῇ τέχνῃ, τοῦτ' αὐτὸ φήσομεν εἶναι· οὐ μᾶλλον γε ἢ μὴ τρέχοντα τὸν δρομέα· ἀλλ' ἕως μὲν ἂν καὶ οὗτος κἀκεῖνος ὦσιν, ὁ μὲν τρέχων, ὁ δ' ἐχόμενος τῶν οἰάκων, καὶ κυβερνήτην καὶ δρομέα τουτουσὶ προσεροῦμεν. Ἐπὰν δὲ τοῦ ταῦτα πράττειν ἐκστῶσι, καὶ τοῦ ταῦτ' ἔχειν ἀκούειν προσεξίστανται δήπου· καὶ βασιλεὺς τοίνυν οὐδὲν ἄλλο συγχάνει γε ὢν ἢ πάντων ἀνθρώπων ὧν ἔλαχεν προστάτης καὶ φροντιστὴς ἐσαεὶ, καθάπερ οἱ τῶν καθ' ἕνα πόλεων οὗτοι δημαγωγοί· οὔτ' οὖν τοὺς μὴ πάνθ' ὑπὲρ τοῦ δήμου τὸν ἀεὶ χρόνον καὶ λέγειν καὶ ποιεῖν αἱρουμένους εἰς δημαγωγοὺς οἶμαι θετέον, οὔτ' ἂν εἴη κεκλῆσθαι, ᾧ μὴ τοῦ κοινῇ συνοίσοντος ἑκάστοτε μέλει· καὶ Ὅμηρος οὐχ ἁπλῶς ποιμένας λαῶν λέγει τοὺς βασιλέας, ἀλλ' ὥστε τὸ ἄγρυπνον καὶ κηδεμονικὸν αὐτῶν ἐνδεδεῖχθαι, καὶ ὅσον ὑπὲρ ὧν προστατοῦσιν ὀφείλουσιν ἔχειν. Καὶ τί χρὴν Ὁμήρου τε καὶ εἰκόνων, ἐξὸν τοῦ μεγάλου βασιλέως μεμνῆσθαι, ὅς· δι' ἑκάστοτε πάντων τὴν αὐτὴν πρόνοιαν ἴσχει; δεικνύμενος ἐννεῦθεν δημιουργὸς καὶ κηδεμὼν ἅμα καὶ βασιλεὺς, εἴπερ οἷς αἴτιος τῆς εἰς φῶς προόδου κατέστη, τούτων μεθ' ὅσου καὶ ὑπερφυοῦς φροντίζει τοῦ κράτους. Διὰ τοῦτο καὶ πάντας οὓς ἠξίωσεν ἄρχειν, εἰς ζῆλον τῆς αὐτοῦ προνοίας ἐνάγει. Ὁρᾷς ὅπως σε τὸ μὲν τῶν ἰδίων τε καὶ σαυτοῦ φροντίζειν ἐθέλειν, καὶ οὐχ ἅπερ ὡς ἀληθῶς ἐστι τῆς ἀρχῆς, ἐξίστησι τῆς ἀρχῆς, τὸ δ' ἃ δίδωσιν αὕτη, ταῦτ' ἐκ παντὸς τρόπου σκοπεῖσθαι, οὐ μόνον σοι συνίστητι ταύτην, ἀλλὰ καὶ μιμητὴν ἀποφαίνει θεοῦ;

ιε'. Καὶ μὴν καὶ τοῦθ' ὃ μέλλω λέγειν, οὐ μόνον εἴπερ τι τῶν πάντων, ἀλλὰ καὶ ὡς οὐδέν τι τῶν πάντων, βασιλεῖ σπουδαστέον· μᾶλλον δὲ ἐπειδὴ τοῦτο μόνον τῶν πάντων ἅπαντα σώζει, σοὶ δὲ μόνῳ τῶν πάντων οἷς ἄρχειν ἔχεις, μέλειν ἐξ ἀνάγκης ἔστιν ἁπάντων· δεῖ καὶ σὲ περὶ πλείονος τοῦτο πάντων ποιεῖσθαι, καὶ ὅπως ἄν σοι κάλλιστα καὶ ἀσφαλέστατα καὶ ὡς οὐκ ἂν ἄλλως εἰκὸς ἦν αἱ περὶ τῶν ὅλων ἑκάστοτε γίγνοιντο βουλαί τε καὶ σκέψεις, καὶ μηδοτιοῦν τῶν ἁπάντων ἄνευ ταυτησὶ τῆς προνοίας εἰς ἔργον ἐξάγοις διαφερόντως φροντίζειν, συμβούλοις μὲν χρώμενον τοῖς ἀρίστοις, καὶς οἷς καὶ συνέσεως εἵνεκα λέγω καὶ χρόνου καὶ πείρας ξύνοισθα τὰ τοιαῦτα τεχνίταις· εἰσφέροντα δὲ καὶ αὐτὸν τὰ παρὰ σαυτοῦ· οὐχ ὡς ἐπιτατττοντα δήπου, ἀλλ' ὡς τὸ κοινῇ συνοῖσον, μετὰ τῶν ἄλλων σκοποῦντα, καὶ πάντοθεν ἐκλέγοντα τοῦτο, ἐάν τε σύ γ' αὐτὸς, ἐάν θ' ὁστισοῦν ἄλλος ἐξεύρῃ. Οὐ γὰρ τὸ τοῖς ὑπ' ἄλλου γνωσθεῖσι πεπεῖσθαι, τοῦτό γ' αἰσχρὸν, ἀλλὰ

Οὗτος μὲν πανάριστος, ὃς αὐτῷ πάντα νοήσῃ.
Ἐσθλὸς δ' αὖ κἀκεῖνος, ὃς εὖ εἰπόντα πίθηται·

ios habet. Rex, qua rex, rationem administrationis reddere non debet; sed quia rerum summam regit, omnium oculi in eum directi sunt, et unusquisque jure eum objurgabit, si re publica neglecta rem peculiarem tantum administrat; imo quod cum rei publicæ detrimento suis unice rebus studet, nomen jam non suum mentitur, regis nomen usurpando et non regio nomine digna faciendo. Sic navis gubernatorem sine gubernaculo et tempore quo artem suam exercet, eodem nomine salutamus, ut nec cursorrm eum qui non currit, sed in quantum uterque munere suo fungitur, naucleri aut curroris nomen dabimus. Quando autem istud officii peragere cessant, nomen ipsum amittunt; et rex jam non est nisi curator hominum, sicut et singularum urbium agitatores. Nec tamen demagogis accensere ausim nisi eos qui omni tempore pro plebe agere et verba facere satagunt, et quibus res populi cordi est. Quare et Homerus reges pastores populorum nominat, ut vitam eorum curis erga subditos repletam designet. Quid vero Homero et exemplis opus habemus, ubi magnum regem, qui omnium semper curam agit, ante oculos ponere licet? qui cum rerum moderamine regiam dignitatem ostendit, qui eos quos ad lucem producit, potestate sua protegit? Hanc ob causam omnes subditos in sui obsequium rapit. Vides quomodo te tua curare vult, administrandarum rerum semper habita ratione, regni cura sic commissa ut Dei imaginem referas.

15. Quod deinceps dicturus sum, rex mirum in modum mente revolvere debebit: est enim res minime vulgaris, et apprime salutaris, et qua tu in primis vix carere possis, utpote ad regnandum vocatus. In hoc rerum statu quæcunque consilia inieris, nunquam huic cautioni supersedebis, et priusquam agas, optimos consiliarios adhibebis, quorum ætas atque experientia tibi proderunt. Huc accedet tua ipsius experientia, quæ bono publico numquam non studebit et optima semper exsequitur, sive ipse sive alius invenerit. Nam iis non fidem habere quæ ab aliis excogitata sunt, absurdum est quia.

Præclarus est qui proprio marte res cognoscit; Sed is quoque prudens est qui bono consiliario

obedit. Sed qui per se parum intelligit, nec alterum audit, is sane vir est imbecillus.

In universum sempere bonis consiliis utilitas aliqua in negotia redundat, dum e falsis ratiociniis omnia necessario perditum eunt. Sic militum duces, sic navis rectores, sic quicunque alius, antequam opus aggrediuntur, deliberant, licet de parvis sæpe agitur : tibi autem totius orbis cura incumbit. Tu urbes ac populos ac thesauros jure subjectos tibi habes ; quare tecum delibera, nec unquam cum bonis viris conversari desiste, et pro tua parte operam da ut scopum attingas propositum, te in primis ipsum vincendo. Sed deliberare de gravissimis rebus non satis est, sed quæ facere animo statuisti, cæteros latere conducit, id quod sine magna prudentia fieri nequit; nam consilia atque opera arcto vinculo juncta esse debent, quia alterum alterius eget. Omne utique animi propositum. licet callidissimum sit, et e profundo judicio exortum, cæteris ignotum sit necesse est, si fructum inde percipere vis. Ubi primum autem in vulgus exiit, metuendum est ne non succedat et ad finem perveniat propositum. Quo ut pervenias, prudentia summa opus est. Igitur si contra Persas exercitum ducere in animo habes, Æthiopas prætexito ; si Mysis bellum vis inferre, contra Triballos id facere velle simula : sic etenim quod quæris, facile obtinges, et felici rerum tuarum successu frueris.

16. Id in primis cura ne, quos amicos credis, eos adulatores habeas, et eos in commercium deligas qui eo honore minime digni sunt. Non enim iis qui rebus tuis student tibique blandiuntur confidendum est atque adhærendum. Sed ubi quemdam obvium habueris qui de rebus tuis secundis gaudet, de adversis mœret, qui laudanda laudat, vituperanda vituperat, qui consilia dat salutaria, ac in loquendo agendove sincerum semet præbet, eum amicum ac familiarem assume. Qui autem quæ tua sunt, eo ipso semper collaudant indiscriminatim, quique muneribus accipiendis inhiant, eos æque ac adulatores tergiversare ac odio habe. Probe enim nosti quod alii quidem ægre ferunt si non quotidie beneficia recipiunt, alii, licet summa injuria affecti, minime queruntur, imo quasi beneficia experti tuum commercium inire, tecum bonam ac malam

Ὃς δ' αὖ μήθ' αὐτῷ νοέῃ μήτ' ἄλλον ἀκούων,
Ἐν θυμῷ βάλληται, ὃ δ' αὖτ' ἀχρήϊος ἀνήρ.

Χωρὶς δὲ τούτων, ἐν μὲν τῷ κάλλιστα καὶ ὡς ἐχρῆν βεβουλεῦσθαι μεγίστη τίς ἐστι τοῖς πράγμασι σωτηρία· ἐν δὲ τῷ τοὺς λογισμοὺς ἡμαρτῆσθαι πάντ' ἐξ ἀνάγκης ἐφθάρθαι· οὕτω καὶ στρατήγοι καὶ κυβερνῆται ποιοῦσι καὶ πᾶς τις ἕτερος· τούτων ἕκαστος οὐ πρὶν ὁτιοῦν ἀξιοῦσιν εἰργάσθαι πρὶν ἢ κρλῶς βεβουλεῦσθαι· καίτοι οἱ μὲν ὑπὲρ σμικρῶν δή τινων καὶ τῶν ἐν μέρει πραγμάτων, σοὶ δὲ εἰς ὑπὲρ ἁπάσης τῆς οἰκουμένης ἔρριπται κύβος· ὡς οὖν κύριος ὢν εὖ τε καὶ ὡς ἑτέρως καὶ πόλεις ἴσχειν καὶ ἔθνη καὶ πάντα χρήματα, πάντα τὰ βέλτιστ' αὐτὸς καὶ βουλεύου καὶ πρᾶττε, καὶ μήτε τοῖς ἀγαθοῖς ἀνδράσι παύσῃ ξυνὼν, μήτ' οἴκοθεν αὐτὸς ἀνευρίσκων εὖ δέον καὶ κατεργαζόμενος, καὶ σαυτὸν ἐν τούτοις ὅσαι ὧραι νικῶν. Καὶ μὴν οὐ τὸ βουλεύεσθαι μόνον περὶ τῶν μεγίστων ἀπόχρη, ἀλλὰ καὶ τὸ τὰ βεβουλευμένα πρὶν ἢ πεπρᾶχθαι λανθάνειν τοὺς ἄλλους προσεῖναι δεῖ, καὶ σκοπεῖν οὐχ ὅπως ἐκεῖνο μᾶλλον ἔσται, ἢ ὅπως ἐκείνῳ τοῦτο προσέσται, κἀντεῦθεν τοῦτο μείζονος ἀξιοῦν τῆς προνοίας· ὡς ἐὰν μὲν τοῦτο προσῇ, κἀκεῖνο πολλοῦ τινος ἄξιον ὄν· τούτου δ' ἀπόντος, κἂν μυριάκις ἐκεῖνο παρῇ, οὐδὲν μᾶλλον δ' οὐδενὸς ἄξιον ὄν· εἰκότως. Πᾶσα γὰρ δήπου βουλὴ, κἂν ὡς ἄριστα ἔχῃ, κἂν ἐκ βαθείας ἥκῃ φρενὸς, τοῖς μὲν πολλοῖς ἄγνωστος οὖσα, τὰ μέγιστ' ὀνίνησι τοὺς χρωμένους· καὶ θαυμαστή τις πρὸς τὸ κάτορθοῦν ἐστι ῥοπὴ τὸ μηδένα τῶν πολλῶν ταυτηνὶ ξυνειδέναι· ἔκδηλος δὲ γενομένη, πολλοῦ γε καὶ τοῦ παντὸς δεῖ πρὸς ἔργον ἀφῖχθαι, καὶ τὸ γιγνόμενον δέξασθαι πέρας, εἴπερ τοῦ πράττειν μὲν εἵνεκα βουλευόμεθα· τοῦτο δ' οὐκ ἂν ἄλλως εἴη μὴ τῶν βεβουλευμένων, ὥσπερ ἔφην, προβάντων. Ὅθεν ἐπὶ Πέρσας ἐλαύνων, Αἰθίοπας προὔχου· μάχεσθαι δὲ Μυσοῖς ἐθέλων, σὺ δὲ ὡς κατὰ Τριβαλλῶν ἑτοιμάζου· οὕτω γὰρ ὃ βούλει, ῥᾳδίως ἐργάζοιο, καὶ κατ' εὐχὴν τοῖς πράγμασι χρῷο.

ις'. Σκόπει δὲ, ὅση σοι δύναμις, ὅπως μὴ φίλους οἰόμενος ἕξειν, ἔπειτα λάθῃς κολακευόμενος, καὶ σαυτὸν οἷς οὐκ ἔδει διδοὺς, ἐν τῷ δοκεῖν ἃ προσῆκεν αἱρεῖσθαι. Οὐδὲ γὰρ τοῖς τὰ σὰ δήπου στέργειν τε καὶ φιλεῖν μάλιστα διατεινομένοις, πιστεύειν ἁπλῶς ἅπασι χρὴ, καὶ τὴν αὐτὴν περὶ τούτων δόξαν κεκτῆσθαι· ἀλλ' οὓς μὲν ἂν ἴδῃς ἐπὶ μὲν τοῖς σοῖς ἀγαθοῖς ἡδομένους, ἐπὶ δὲ τοῖς οὐχ οὕτως ἔχουσιν ἀχθομένους, κἀτὰ μὲν ἐπαινοῦντας, τοῖς δ' ἐλευθέρως ἐπιτιμῶντας καὶ συμβουλεύοντας τὰ βελτίω, καὶ ὅλως μετὰ τοῦ λελογισμένου καὶ σώφρονος πάντα καὶ λέγειν καὶ ποιεῖν αἱρουμένους, τούτους καὶ φίλους πάντως ἡγεῖσθαι, καὶ ὡς ἑταιροτάτοις τὰ πλείστου φησὶν ἄξια χρῆσθαι· οὓς δ' αὐτὸ τοῦτο μόνον πάντων ἐπαινέτας τῶν σῶν, καὶ μὴ διαιροῦντας ἅττ' ἔξεστιν, ἅτε μὴ, ἀλλὰ τοὺς αὐτοὺς ἐν ἅπασιν ὄντας, καὶ πρὸς τὸ λαβεῖν παντάπασιν κεχηνότας, τούτους ἀτεχνῶς μετὰ τῶν κολάκων ἀποστρέφεσθαι καὶ μισεῖν, καὶ τῆς ἀρχῆς νομίζειν ἐκτὸς ἐλαύνειν· ἐπεί τοι καὶ ἄλλως τοσοῦτόν ἐστιν ἑκατέρων τὸ διάφορον, ὥσθ' οἱ μὲν ἐὰν μὴ καθεκά-

στην, ὡς εἰπεῖν, εὖ πάσχωσιν, οὐχ' ἀνέχονται· οἱ δ' οὐδ' ἐπηρεασθέντες ἄν, οἶμαι, καὶ τὰ δεινότατα πεπονθότες, δυσχεραινοῦσιν, ἀλλ' οἴσουσιν οὐδὲν ἧττον, ἢ εἰ εὖ πάσχοντες ἦσαν τὸν ἅπαντα χρόνον τῷ σοὶ κατ' ἄκρας ἡνῶσθαι, καὶ πάνθ' ὑπ' εὐνοίας, ὡς λόγος, φέρειν παρεσκευάσθαι, τῶν τε δυσχερῶν κοινωνοῦνιες ἐξίσης. οὐχ ὥσπαρ οἱ κόλακες μόνης ὄντες τῆς εὐδαιμονίας καὶ τοῦ καιροῦ· δυσχερείας δὲ τύχης καὶ μεταβολὰς πραγμάτων οὐδ' ἂν ὄναρ ἐνέγκοιεν· ὥστ' ἂν ἀναγκαίως ἔχῃ, τοὺς μὲν οὕτως ἔχοντας χαίρειν ἐᾶν, καὶ σαυτοῦ πάνυ τοι πόῤῥω ποιεῖν· τοῖς δ' ἐπιεικῶς μάλα τῆς εὐγνωμοσύντης συγχαίρειν, καὶ νομίζειν ὥσπερ τινὰς τούτους αἰσθήσεις τοῦ τῆς ἀρχῆς σώματος, δι' ὧν πάνθ' ὁρᾶν καὶ πάντ' ἀκούειν ἐστὶ, καὶ πᾶσιν εὖ μάλα κεχρῆσθαι, καὶ τοῖς ἔγγιστα καὶ τοῖς πόῤῥω. Εἰς τοῦτο γὰρ, οἶμαι, φέρει καὶ τὸ Φίλος ἄλλος αὐτός· μᾶλλον δὲ καὶ τούτου πλέον ἐκ τῶν πραγμάτων εἶναι συμβαίνει. Ἃ γὰρ οὐχ οἷοί τ' ἐσμεν δι' ἡμῶν αὐτῶν, διὰ τούτων ὡς ῥᾷστα περαίνειν ἔχομεν. Ἀμέλει τοι καὶ Ἀλέξανδρος ὁ Φιλίππου τοὺς θησαυροὺς ἐρωτηθεὶς τοὺς αὑτοῦ, δείκνυσι τοὺς ἑταίρους· ὡς τὸ μὲν τούτους κεκτῆσθαι κάλλιστον καὶ λυσιτελέστατον τυγχάνοντα πλοῦτον· ἄνευ δὲ τούτων καὶ τὴν μεγίστην ἐν ἀνθρώποις περιουσίαν πρὸς τὸ πάνθ' ἃ προσῆκεν εἰργάσθαι μικρὸν ἢ οὐδὲν δυναμένην· οὕτως οὐδὲν κρεῖσσον κατ' Εὐριπίδην ἢ φίλος σαφὴς, οὐ πλοῦτος, οὐ τυραννὶς· ἀλόγιστον δέ τι τὸ πλῆθος ἀντάλλαγμα γενναίου φίλου, καὶ οἷου μηδὲ θανεῖν ἂν ὑπὲρ τῶν παιδικῶν ἀποκνῆσαι, ἀλλὰ καὶ τοῦ περιεῖναι καὶ ζῆν τοῦθ' ὡς ἀληθῶς ἥδιον κρῖναι, καθάπερ ὁ νεανίσκος ἐφ' ὃν καὶ τἄπη ταυτὶ ξυνετέθη.

A fortunam participare volent, aliter quam adulatores qui te felicem sectabuntur, in rerum discrimine autem deserent. Hi igitur prorsus a limine salutandi et rejiciendi erunt; illi autem colendi ac ceu corporis organa per quæ audimus ac videmus longe lateque fovendi sunt. Huc facit, me judice, multum, Amicus alter, plus vero temporis locique conditio. Cum ex Alexandro Philippi filio quæreretur, ubi thesauros suos sitos haberet, amicos suos utpote divitias pulcherrimas ac maxime parabiles monstravit; sine quibus vel maximæ opes nihil aut parum proficiunt. Secundum Euripidem non opes, non dominatio æquipollens est amici; multitudo amico generoso longe postponenda venit qui pro natis mori non recusat; imo vitæ mortem præfert uti dulciorem, sicut adolescens ad quem hæcce verba spectant.

B

C

ιζ'. Ἀλλὰ ἐπεὶ τοὺς μὲν φίλους εὖ ποιεῖν καθάπαξ οἰόμεθα δεῖν, καὶ καθ' ἡμᾶς αὐτοὺς ἄγειν, καὶ πάντ' ἀντέχεσθαι τρόπον· τοὺς δ' αὖ ἐχθροὺς, ἐὰν μὲν μεγαλόψυχοί τινες ὦμεν, οὔτε κακοῦν οὔθ' ὅλως τὸν νοῦν προσέχειν· ἐὰν δὲ μὴ, καὶ πολεμεῖν καὶ μάχεσθαι τούτοις καὶ μετὰ μείζονος ἀμύνεσθαι τῆς παρασκευῆς· ὁποῖόν τινά σε χρὴ περὶ ταῦτ' εἶναι εἴ ποτε τούτους ἀλλήλοις ἐπὶ σοῦ περὶ ὄντινων δικάζεσθαι δέοι. Ἂν μὲν γὰρ ὡς δυσμενέσι καὶ φίλοις καὶ τότ' αὐτοῖς ἀπαντήσῃς, δόξεις ἀπὸ τῶν νόμων εἰργάσθαι· ἂν δὲ τοιοῦτό τι πᾶν ἐκ μέσου πεποιημένος, μόνου τοῦ καλοῦ καὶ δικαίου φροντίσῃς, πάντων ἀνδρῶν ἄριστος εἶναι μήτε τοῖς φίλοις, ἢν ἀδικῶσιν, συγχωρῶν ἐπ' εὐνοίας τὰ τοιαῦτα καρποῦσθαι, μήτε τοὺς ἐχθροὺς ὑπ' ἀπεχθείας τῶν προσηκόντων δικαίων ἀποστερῶν· ἀλλὰ καὶ τούτοις κατὰ τοὺς νόμους συμπράττων, κἀκείνους μετὰ τῶν νόμων ἀνόμους ἐλέγχων. Εἰ γὰρ δὴ καὶ φίλοι τυγχάνουσιν ὄντες, ἀλλὰ καὶ τούτων ἡ δικαιοσύνη κατὰ τὸν Νικόμαχον φιλτέρα· καὶ ἅμα φίλον μάλιστ' ἂν ἔργον δράσαις, φίλους κακίας ἀπηλλαχώς· ὃ πράττειν οὐχ οἷοί τε ὄντες Νεοκλέους Θεμιστοκλῆς καὶ Κλέων ὁ Κλεαινέτου ὁ (1) μὲν ἡνίκα τοῦ

17. Sed cum apud nos id constat quod amicis bene faciendum iisque fortiter adhærendum est, id quoque in mente condendum quod dummodo generosi simus, inimicis nihil mali faciamus, imo ut ignoscamus; sin minus, bellum et pugnas cum majori apparatu iis inferemus. Talem te quoque esse oportebit, ubi vindictam sumere de adversariis voles. Nam si inimicos aut amicos obvios habes, legi obtemperandum, et boni ac justitiæ ratio habenda est, adeo ut omnes animi bonitate vincas et nec amicis, si male agunt, permittas ut male factorum fructus reportent, itidem inimicos non impedies quominus privilegiis justis fruantur, semper illos secundum leges secundans, hos ut exleges vituperans. Si enim amici sunt, eorum justitia juxta Nicomachum potior erit, et pulchrius certe opus non facies quam si amicos a perversitate reducis; quod facere datum non fuit Themistocli Neoclis, et Cleoni Cleæneti filio; quorum hic quidem, cum rempublicam capessere cœpisset,

D

(1) Deest in codice hoc nomen, relicta lacuna. Sed tamen Cleænetum Cleonis parentem fuisse scimus.

amicos ac familiares valere jussit, ne per eos invitus operari cogeretur; Themistocles, homo in primis industrius, gubernare recusavit nisi ea lege ut amici plus quam cæteri pollerent. Tu autem, qui tanto populo jura reddis legesque fers, eam tibi ipsi legem præscribe, quæ nimium tui ipsius amorem rescindit et impedit quominus cupiditatibus indulgeas, consilia minus bona secteris adulatorum; imo hominum ratione posthabita, ad vigilem Dei oculum attendas, a malo nunquam non declines et virtutum exemplar cæteris omnibus evadas.

A δημαγωγεῖν ἤπτετο, πρῶτον συναγαγὼν τοὺς ἑταίρους, τὸ πρὸς αὐτοὺς ἔτ' ἔχειν οἰκείους ἀπεῖπε καθάπαξ, δέει τοῦ μηδὲν ὧν οὐκ ἔδει δι' αὐτοὺς δρᾶσαι προῃχθαι· Θεμιστοκλῆς δὲ καίτοι διαφερόντως ὢν σπουδαρχίδης, ἀπηύχετο πᾶσαν ἀρχὴν, ἐν ᾗ μηδὲν πλέον ἔμελλον ἔχειν τῶν ἄλλων οἱ φίλοι· ὁ δὲ τοῖς ἄλλοις οὕτω δικάζειν ἔχων, σαυτῷ πολὺ πρότερον ὀφείλεις τὰ τοιαῦτα δικάζειν τε καὶ νομοθετεῖν, καὶ μὴ τῷ σφόδρα σαυτὸν φιλεῖν κατακεχαρίσθαι σεαυτῷ, καὶ τὰς ἐπιθυμίας ἐκπιμπλάναι τὰς αὐτὸς σαυτοῦ· μηδ' ὅτι τὸν εὐθυνοῦντα ὅλως οὐκ ἴσχεις, οὐδ' ὑπόκεισαι ψήφοις, ἀδεῶς καὶ ἡδέως οἷς οὐκ ἐχρῆν ἐνδιδόναι· ἀλλ' ὥσπερ ἂν εἰ πολλῶν τινων καὶ δεινῶν τούτων ἠπόρεις, μᾶλλον δ' ἐπείπερ ἀνθρώπων οὐδὲν κέκτησαι, μόνον δὲ τὸ πάντ' ἐφορῶν ἀκοίμητον ὄμμα Θεοῦ, ἀπέχεσθαι μὲν καθάπαξ κακίας, ἔχεσθαι δὲ ἀρετῆς καὶ πάντας εἰς τοῦτο διὰ σαυτοῦ προκαλεῖσθαι.

B

18. Ubi in hominum frequentia sermones seruntur, tu curabis ut istorum magna pars a te proferatur locoque ac tempore opportuno, rebusque adaptata, et ita ut non nimis brevis sis, sed cum veritate procedas, brevi ut res ore tuo et aliorum auribus condignas proferas, idque non tantum, quia lingua primus humani generis thesaurus, in quantum gratiosus ac numerosus est, sed quia ipse Pericles, Xanthippi filius, antequam in concione loqueretur, id voti nuncupavit ne quid citra nec infra rem diceret. Certo verba tua plus fidei habebunt quam cæterorum juramenta atque pro oraculis habebuntur penes omnes quando videbunt te circa omnia veritati obtemperare, quando videbunt te promissis majora præstare, plus quam debet, reddere. Id enim memento, nihil in rege instabile, aut dolosum imperfectumve esse licere, ubi voluntatem manifestavit, sed quod non magnanimus esse nequit.

ιη'. Οὐ μὴν ἀλλὰ καὶ τῶν ἓν ταῖς ὁμιλίαις ἑκάστοτε λόγων ὅτι πλεῖστος ἔστω σοι λόγος, καὶ τοσοῦτος ὡς μὴ μόνον οὗς δεῖ, ἀλλὰ καὶ ὅτε καὶ ὅπως ποιεῖσθαι τουτοσὶ δεῖ· μήτε παριόντας τὸ μέτρον, μήτ' αὖ μετρίους ἄγαν καὶ συνεσταλμένους καὶ τῶν πραγμάτων ἐλάττους, ἢ καὶ ἄλλως ἀπεοικότας, ἀλλ' ὡς ἀληθῶς ἀποχρῶντας, καὶ τὸ γιγνόμενον σώζοντας, καὶ τὸ σύμπαν ἀξιόχρεως σοί τε εἰρῆσθαι τοῖς τε ἄλλοις ἀκοῦσαι· οὐ μόνον ὅτι κατὰ τὸ ἔπος γλώσσης θησαυρὸς ἐν ἀνθρώποις ἄριστος, φειδωλῆς πλείστη δὲ χάρις κατὰ μέτρον ἰούσης, ἀλλ' ὅτι καὶ Περικλῆς ὁ Ξανθίππου μέλλων δημηγορεῖν; εὐχῇ πρόσθεν ἐχρῆτο, μηδὲν περιττὸν μηδ' ἔξω τῆς ὑποθέσεως φάναι· οὕς γε καὶ πιστοτέρους εὖ ἴσθι τῶν τοῖς ἄλλοις ὁμωμοσμένων ἐργάσῃ· καὶ νομιοῦσι πάντες ὥσπερ χρησμοὺς, ἐὰν μὴ μόνον τἀληθοῦς καὶ οἷς πράττεις περὶ πλείονος ἁπάντων φροντίζῃς· ἀλλὰ καὶ τὰς ἐπαγγελίας ἃς οὐκ ὀλιγάκις ἐπαγγέλλῃ τοῖς δεομένοις μετὰ λαμπρᾶς τινος φαίνῃ τελῶν τῆς προσθήκης, καὶ τῶν ὑπεσχημένων πλείω διδούς· ἐπειδήπερ ἀγαθοῦ βασιλέως οὐ μόνον οὐδὲν παλινάγρετον οὐδ' ἀπατηλὸν οὐδ' ἀτελεύτητον εἶναι δεῖ, ὅ τι κεν κεφαλῇ κατανεύσῃ, ἀλλὰ καὶ τὸ μεγαλοψυχίᾳ πρὸς πάντα κεχρῆσθαι.

C

19. Præterea, sicut boni medici non solum præsentes morbos sanant, sed et liquores corruptos qui in corpus illapsi sunt, amovere nituntur, artem suam id faciendo attestantes, ita tu quoque, rex, ubi de rerum summa agitur, id age ut regnum quibus poteris rationibus consolides ac augeas, ea quæ perfici possunt, emendando et ingenio tuo in melius evehendo, publico semper commodo unice intentus. Et cum nunc maxime pecuniæ publicæ in tam malo statu sint, ut eas administrandi munus licitationis via viris corruptis cedatur, quod quidem res Romæorum immane quantum conturbavit, tu eam rem haud levem putes, sed omni legislatoris studio dignam censeas. Quare

ιθ'. Ἔτι τοίνυν ὥσπερ οἱ τῶν ἰατρῶν ἀγαθοὶ οὐ τὰ παρόντα μόνον ἀκοῦνται τῶν νοσημάτων, ἀλλὰ καὶ τοὺς ἐνσκήψαντας τῷ σώματι πάλαι διεφθορότας χυμοὺς μετὰ πολλοῦ τοῦ περιόντος ἐξελαύνειν οἴονται δεῖν, καὶ διὰ πάντων τούτων τὴν σφῶν ἐπιδείκνυνται τέχνην, ὡς δὲ καὶ αὐτὸς, ὦ βασιλεῦ, εἰ τοῦ διὰ πάντων βελτίστου λόγον ποιῇ, προθυμοῦ πᾶσιν οἷς ἔξεστι τὴν ἀρχὴν συνιστάναι τε καὶ συναύξειν, τὰ μὲν καλῶς ἔχοντα βελτίω ποιῶν, τὰ δ' αὖ ὡς ἑτέρως ἐπανορθούμενος τοῖς παρὰ σαυτοῦ· καὶ ὅλως πανταχόθεν τὸ κοινῇ παρασκευάζων ξυνοῖσον· καὶ νῦν τοίνυν τὰς τῶν δημοσίων διαχειρίσεις οὕτως ἀθλίως ἐχούσας, ὡς χρημάτων ὠνίους τοῖς βουλομένοις προκεῖσθαι, ὃ πολύν τινα χρόνον εἰσκωμάζον Ῥωμαίοις, πάντ' ἄνω καὶ κάτω ποιεῖ, μὴ περίδῃς αὐτὸς μηδοπωστιοῦν μηδ' ἐλάττονος λόγου τοῦτο νομίσῃς· ἀλλὰ τοσούτου καὶ

D

οὕτω σπουδῆς ἀξιόχρεω, ὡς μὴ μόνον τὴν ἄτοπον ταυτηνὶ καπηλείαν ὥσπερ ἄγος τῆς πολιτείας ἐξελάσαι καθάπαξ, ἀλλὰ καὶ νόμον θεῖναι μηδενὶ τοῦ λοιποῦ ταῦτ' ἐξεῖναι παράγειν ἐς μέσον, ἢ πλείστων χρημάτων, ἐὰν μὲν ἰδίωτης ᾖ, τούτῳ τιμᾶσθαι· εἰ δ' ἄλλως ἔχων καὶ κρειττων ἢ ταῦτα παθεῖν, πάσαις ἀραῖς ὑποκεῖσθαι. Δύο γὰρ τὰ πάντα κάκιστ' ἐντεῦθεν συμβαίνει, τό τε πόλεις ἁπάσας καὶ χώρας ἐπιτρίβεσθαι καὶ πάσχειν κακῶς ὑπὸ τουτωνὶ τῶν θαυμαστῶν ὠνητόρων σφόδρ' ἐπικειμένων τε καὶ παρανομούντων· καὶ τί γὰρ οὐ ποιούντων, μᾶλλον δὲ πάντων καὶ ποιεῖν καὶ λέγειν ὑπὲρ τοῦ πλείω λαβεῖν ὧν ἔδοσαν ἐξιούντων, τό τε τὸν κρατοῦντα πάντων τούτων ὑπεύθυνον εἶναι, τῷ πεπρακέναι; Εἰ γὰρ ταῦτα μὲν οὐκ ἂν ἐγεγόνει μὴ τούτων ἐωνημένων, ἐώνηνται δὲ τουτουΐ βουλομένου, ὁ τὸ σπέρμα παρασχὼν, φησὶ Δημοσθένης, οὗτος καὶ τῶν φύντων αἴτιος. Βοήθησον τοίνυν καὶ σαυτῷ καὶ ἡμῖν, ἡμᾶς μὲν τοσαυτης ἐξαιρούμενος βλάβης, σαυτὸν δὲ τοῦ τε κακῶς ἀκούειν, τοῦ τε τῶν οἰκείων δοκεῖν εἶναι προδότην.

κ'. Σὺ δὲ καὶ τοῦτο παντὸς μᾶλλον φύλαξαι βασιλεῦ, καὶ μὴ τοῖς πρὸ σοῦ βασιλεῦσι πάθῃς ταυτὸν, μηδὲ τῶν ὑπηδήποτε γῆς θησαυρῶν εὑρημένων ἀξιώσῃς αὐτὸς ἀντὶ τῶε εὑρόντων κύριος εἶναι· ὅν γε καὶ θησαυρὸν τοῖς ὑπὸ Χεῖρα μᾶλλον χρῆν εἶναι, τό τε πλείστοις ὅσοις χρήμασι περιῤῥεῖσθαι, τῷ θ' ἅπαντας εὖ ποιεῖν τὸν ἅπαντα χρόνον παρὰ τῆς ἀρχῆς ἀπαιτεῖσθαι· τοσαύτης γάρ ἐστιν ἀτοπίας, ὡς μόνον τοῦτο τῶν πάντων μηδηντινοῦν παραίτησιν ἴσχειν, ἀλλ' εἶναι καθάπαξ θεομισὲς, καὶ τοῖς ἐκείνῳ δοκοῦσι μαχόμενον. Εἰ γὰρ οὐχ οἷόν τε θησαυρὸν τὸ παράπαν εὑρέσθαι μὴ χορηγοῦντος Θεοῦ, δίδωσι δὲ ὃν ἂν αὐτὸς δοκιμάσῃ, ὑμεῖς δὲ καὶ πρὶν, ὡς εἰπεῖν, καταθέσθαι, τούτους ἁρπάζετε, πῶς οὐ ταῖς θείαις ἀτεχνῶς ἀντιπολιτεύεσθε ψήφοις; ἃ κεῖνος ὁτῳοῦν ἰδίᾳ παρέσχε, ταῦθ' ἡμεῖς βιαίως σρετεριζόμενοι· ὥσπερ τὴν περὶ τούτων τοῦ Θεοῦ διαγνώμην ἐπανορθούμενοι, καὶ μόνον οὐ τοῦτο βοῶντες, ὅτι Τῶν θησαυρῶν ἡμῖν προσηκόντων, ὁ δ' ἑτέροις παρέσχε· ὃ καὶ θαυμάζω εἰ τοῖς μὲν ὑφ' ὑμῶν εὖ πεπονθόσι ἐάν τις ἐπηρεάζῃ καὶ τῶν δοθέντων ἀποστερῇ, πολέμιον τοῦτον ἡγεῖσθε, αὐτοὶ δὲ τὰ χείρω ὁρῶντες, καὶ πρὸς Θεὸν ὠσπερεὶ διὰ τούτων ἀνταίροντες χεῖρας, οὐ προτιμᾶτε. Οὐ γὰρ ὑπὲρ τοῦ κοινῇ λυσιτελοῦντος ταῦτ' ἐρεῖτε λαμβάνειν, οὐδὲ στρατόπεδα καὶ πρεσβείας καὶ πόλεις καὶ ἄττα τοιάδε προστήσεσθε· ἀλλὰ μάλιστα μὲν οὐδεὶς ὑμῖν, οἶμαι, τῶν πάντων προσέξει τὸν νοῦν, ἂν ταῦτά γε φῆτε, τῶν δημοσίων χρημάτων καὶ φόρων πρὸς τὴν τούτων συντέλειαν καὶ παρασκευὴν καὶ μάλ' ἀποχρώντων πάλαι τε τεταγμένων τοῦτον τὸν τρόπον, καὶ ὄντων ἀεὶ, καὶ τὴν ἀναγκαίαν μήποτε ταύτην ἐκλελοιπότων φοράν· ἧς ἀδυνάτων παντάπασιν ἰσχούσης, θησαυροὶ, τῷ τε κατὰ γῆν πάντ' εἶναι τὸν χρόνον, τῷ τ' ἐμφανεῖς οἱστισινοῦν γεγονότες πᾶσι, καὶ οὕτως οὐδὲν ἧττον ἀφανεῖς εἶναι τοῖς ἄλλοις καὶ φαντέντες λανθάνειν· ὀλίγοι δέ τινες κομιδῇ καὶ μόλις ποτὲ ἢ διὰ πλείστου τοῖς πᾶσιν

A non tantum istam venalitatem ut pessimi exempli rem e republica ejicies, imo legem feres contravenientes dirissimis pœnis subjicientem. Duo enim maxime inde proveniunt: urbium ac regionum tristis ruina, ab inhumanis istis exactoribus, quibus nihil durius, effecta. Quid enim mali isti intentatum relinquent? qui id unum ore et manu agunt ut plus recipiant quam dederunt, et ut qui jure possidet usurariorum victima cadat? Quæ si non ante oculos nostros fierent, non segetum simul ac fructuum, ut ait Demosthenes, jactura deploraretur. Quare salve et te et nos; nos quidem, tanto malo eripiens, te ipsum, bonam famam conser-
B vans et perfidiæ suspicionem rejiciens.

20. Tu vero, rex, id ante omnia vide, ne idem tibi quod prædecessoribus tuis accidat. Si enim alicubi terrarum thesauri reperiuntur, tu primus occupans esse debes. Iste enim thesaurus in prompta esse debet et tradi ærario regio, unde ad auxilia ferenda promere possis. Contrarium enim absurdum, impium est et usui recepto repugnat. Si enim fieri non potest ut thesaurus sine Dei voluntate
C effodiatur; et cum Deus cui vult distribuit, vos autem eum vix depositum rapitis, nonne Numinis divini voluntati contraitis? Quod enim Deus singulis impertitus est, nos vi adhibita in nostrum vertimus usum, divinam sic voluntatem correcturi ac tantum non alta voce clamantes quod thesauri jure nostri allis sint traditi. Quare miror quod eum qui aliquem vestratium offenderit inimici loco habetis, ipsi vero qui pejora operamini, pro istis manus ad Deum porrigitis. Nun enim pro bono publico hæc vos facere dicitis, non ut legati, militum
D duces urbium præfecti evadatis. Attamen nemo vobis hæc dicentibus fidem habebit. Nam inde ab omni tempore pecunia tributaria in ærarium redibat, et nunquam vectigalia solvi cessarunt. Thesauri igitur ubique terrarum et nullo non tempore in manifesto et in occulto esse possunt apud omnes. Thesaurum itaque incertum quis ad bonum commune proficere declarabit? Quo pacto dein eos qui sic se habent, bonum publicum adjuvare et civibus suis utiles esse dixerit? Minime. Sed fac ut illud facere possint, num cum bona spe juste et probe agendo procedent, an injustissima quo-

que facient? Quid enim iniquius quam thesauris ab aliis quibusdam inventis insilire? Ut enim secundum Demosthenem domus, navis et rerum similium fundamenta fortiora esse debent, sic principia et hypotheses veras et justrs esse necesse est; et qui injuriarum illatarum excusationem precatur, minus injuste fecisse videtur verba proferendo. Quod si quis ex vobis quæreret cur id faciatis, nil sane responderetis nisi principiorum necessitatem causam interserentes : quæ quidem dicentes vos ipsos tyrannos neque justos reges accusabitis, e quibus hi quidem bene ab omnibus agi volunt, tyranni ipsorum voluntatem rebus faciendum imponunt. Perabsurdum autem esset ac turpe, si quis diceret Nervæ quod thesaurum invenerit quem occupare et in usum vertere deberet, hic autem thesaurum majorem quam pro homine privato dicens eo abuti vellet. Absurde igitur fecisset, si hic quidem justitiæ ac virtutis rationem haberet vir Græcus, et longe a senatu nostro remotus est; vos autem pie ac secundum leges viventes tantum exhibetis magnanimitatem, ut non solum res inventas ambiatis, sed etiam ad altiora aspiretis minis omissis, nescii quot et quibus criminibus obnoxii estis injustitiæ, calumniæ, avaritiæ, ad quod accedit quod Deum ipsum offenditis, et res gravissimas super caput volvitis. Quid autem thesauro tanti momenti inhæret? Equidem ne simile quid audirem, omnibus thesauris renuntiarem. Quod si thesaurorum studium tantam apud Deum et homines nemesim habet, et ii qui, licet repererint, repertis valedicere audent, omnem laudem merentur, tu, rex, cura ne admirationis loco te jugiter calumnientur, ac ne carbones quis thesauri loco inanes inveniat; tu autem quantnm talia contemnas omnibus ostende, et 'posteritati exemplum trade optimi ac egregii regis.

A ἔκδηλοι ταταστῆναι. Πῶς οὖν τοὺς οὕτως ἔχοντας φήσαι τις ἂν ὅλως τοῖς κοινοῖς διαφέρειν, καὶ τούτοις εἶναί γε προὔργού; πολλοῦ γε καὶ δεῖ. Ἔπειτ' εἰ καὶ δοίημεν τὰ τοιαῦτ' αὐτοὺς οἵους τ' εἶναι, πότερον ὅσιον καὶ λυσιτελὲς μετ' ἀγαθῶν τῶν ἐλπίδων καὶ τοῦ καλοῦ καὶ δικαίου πρὸς ταῦτα χωρεῖν, ἢ τῇ τῶν ἀδικιῶν μεγίστῃ χρωμένους; τί ἂν εἴη μεῖζον κακὸν τοῦ θησαυροῖς εὑρημένοις ὑπ' ἄλλων ἐπιπηδᾷν; ὥσπερ γὰρ οἰκίας οἶμαι καὶ πλοίου, φησὶ Δημοσθένης, καὶ τῶν ἄλλων τῶν τοιούτων, τὰ κάτωθεν ἰσχυρότατα εἶναι δεῖ, οὕτω καὶ τῶν πράξεων τὰς ἀρχὰς καὶ τὰς ὑποθέσεις ἀληθεῖς καὶ δικαίας εἶναι προσήκει· καὶ μὴν ὁ μὲν ἐφ' οἷς ἀδίκου παραιτούμενος, ἧττον ἄν πως οἷς παραιτεῖται δόξειεν ἀδικεῖν, δοκῶν μέν τοι λέγειν, λέγων δὲ οὐδὲν μᾶλλον, λέγων δὲ ὅμως· ὑμᾶς δ' ἄν τις ἔρηται B ὅτου χάριν ταῦτα ποιεῖτε, οὔδὲν ἂν εἰπεῖν ἔχετ' οἶμαι τῶν πάντων, πλὴν τὸ τῆς ἀρχῆς συγκεχωρηκὸς, καὶ τὴν ἐντεῦθεν ἀνάγκην· λήσετε δὲ ταῦτ' ἂν εἰπόντες εἰς τυραννοῦντας ἀλλ' οὐκ εἰς βασιλεύοντας ὑμᾶς αὐτοὺς καθιστάντες, εἴπερ τῶν μὲν ἔστι τὸ τὰ δίκαια πράττειν διὰ πάντων αἱρεῖσθαι, τύραννοι δὲ ἀπὸ τοῦ κατ' αὐτοὺς βουλομένου τοῖς πράγμασι χρῶνται· τῶν ἀτοπωτάτων δ' ἂν εἴη καὶ πρὸς αἰσχύνης ὑμῖν, εἰ τῷ μὲν Νερούᾳ πάλαι δή τινος ὅτι περ εὕροι που θησαυρὸν εἰρηκότος, καὶ δεῖ λαμβάνειν ἐκεῖνον, ὁ μὲν αὐτὸν ἐκέλευσε χρῆσθαι· τοῦ δ' ὅτι μείζων ἢ κατ' ἰδιώτην ὁ θησαυρός ἐστι προσθέντος, αὐτὸς πάλιν ἔφη καὶ καταχρῆσθαι· ἄτοπον οὖν, εἰ ὁ μὲν οὕτω δικαιοσύνης καὶ τοῦ καλῶς ἔχοντος πεποίηται λόγον, ὡς καὶ τοῦ περιτυχόντος C δόντός οὐκ ἐπεστράφθαι, ἀνὴρ μάλ' Ἕλλην καὶ πόρρω τοῦ καθ' ἡμᾶς συνεδρίου, ὑμεῖς δ' εἰ καὶ μάλιστ' εὐσεβείᾳ συζῶντες καὶ νόμοις ἱεροῖς ἐντραφέντες ἐπὶ τοσοῦτον, ἵν' εὐφήμως εἴπω, μεγαλοψυχίας ἀφῖχθαι, ὡς μὴ μόνον τῶν εὑρημένων ὡς ὑμῖν διαφερόντων ἀντιποιεῖσθαι, ἀλλὰ καὶ ὡς περὶ μείζονος δυσχεραίνειν τοῦ θησαυροῦ, καὶ τὰ δεινότατα πάντων πρὸς ἀπειλὴν ἐφ' ᾧ τὸ ξύμπαν, ὡς οἴεσθ' ὑμεῖς, ἐμφανὲς γεγενῆσθαι· οὐκ εἰδότες ὅσοις καὶ ἡλίκοις ἐντεῦθεν ἐγκλήμασι περιπίπτετε, τοῦτο μὲν ἀδικίας, τοῦτο δὲ συκοφαντίας καὶ πλεονεξίας ἁλισκόμενοι, καὶ προσέτι προσκρούοντες, ὡς ἔφην, Θεῷ· εἶθ' ἃ μηδ' ἂν εἷς ὑπ' ἐχθρῶν, οἶμαι, δέξαιτ' ἀκούειν, ταῦθ' ὑμεῖς ὑμῖν αὐτοῖς ἐπισκᾶσθε· καὶ τί τοσοῦτόν ἐστιν ἐν θησαυροῖς, δι' ὃ τοσαύτης καὶ D τηλικαύτης ἀνάγκη τῆς αἰτίας κληρονομεῖν; ἐγὼ μὲν γὰρ ὑπὲρ τοῦ μηδέν τι τοιοῦτον ἀκούειν, καὶ ξυμπάντων ἂν θησαυρῶν, εἰ κύριος ἦν, ἐξέστην ἑτοίμως. Εἰ τοίνυν τὸ μὲν θησαυροῖς ἐφεδρεύειν, πλείστην ὅσην καὶ πρὸς Θεοῦ καὶ πρὸς ἀνθρώπων νέμεσιν ἴσχει, τὸ δ' αὖ τούτων τοῖς εὑρηκόσιν ἀφίστασθαι τῶν ἐπαινουμένων ἐστὶν ὡς ἀληθῶς, ἑλοῦ τὸ δεύτερον, ὦ βασιλεῦ, ἵνα μὴ περιπέσῃς ἐξ ἀνάγκης τῷ πρώτῳ, καὶ θαυμάζεσθαι μᾶλλον ἢ κακίζεσθαι· καὶ μηδειστισοῦν ἐπὶ σοῦ τῶν ἁπάντων ἄνθρακας εὕρῃ τοὺς θησαυροὺς, τῷ διακενῆς εὑρηκέναι· ἀλλ' οἷς τοῦτο μισήσεις ἅπασι δεῖξον, ὡς εἰ καὶ κάκιστον ὂν πρόσθεν ἐλάνθανε; νῦν ὑπὸ

σοῦ καλῶς τοῦ πάντ' ἀρίστου καὶ θαυμαστοῦ βασι- A
λέως ἐξελήλεγκται, ὡς μηδὲ τοῖς ἐπιγιγνομένοις
ἐξεῖναι λανθάνειν.

κα'. Καὶ μὴν καὶ τὸ τοῖς ὑπηκόοις, ἐπειδὰν ἡστι-
νοσοῦν καταλαβούσης ἀνάγκης ἀπορῆτε χρημάτων,
ἔπειτ' εἰσφορὰς ἐπιτάττειν, καὶ δι' αὐτῶν αἱρεῖσθαι
τὰ δίοντα πράττειν, πῶς οὐκ ἀτεχνῶς βίαιον, ἢ
πῶς οὐκ ἔξω τῆς παρ' ὑμῶν ὀφειλομένης τουτοισὶ
προμηθείας; καὶ ὃ τούτου μεῖζον, πρίν γ' ἂν αὐ-
τοὺς εὖ ποιῆσαι, δι' ὧν ὑπὲρ αὐτῶν ταῦτ' ἀπαιτεῖν
διατείνεσθε, φθάνετε κακῶς τούτους ποιοῦντες ταῖς
εἰσφοραῖς· εἰ μὲν γὰρ οὐκ ἦν, οὐκ ἐνῆν ὀθενοῦν τὸ
παράπαν χρήματα πεπορίσθαι, εἰκότως ἂν εἰσέφε-
ρον οὗτοι. Εἰ δ' ἔστι μὲν πολὺς ἐν κειμηλίοις χρυ-
σὸς, ἔστι δὲ ἄργυρος καὶ λίθων ὑπερφυνὴς ἀφθονία
πολυτελῶν, πάντα δὲ ταῦθ' ὑπὲρ τοῦ κοινῇ λυσιτε- B
λοῦντος ἐν τῷ τοῦ καιροῦ κάλοῦντι παρεσκευάσθη
τοεξαρχῆς, ποῦ δικαιον ταῦθ' ὑπερβάντας, ἃ μὴ
προσῆκε διώκειν, καὶ μὴ ταῖς εὐλόγοις καὶ τεταγμέ-
ναις ἀφορμαῖς ἐθέλειν κεχρῆσθαι, ἀλλ' ἐτέρωθεν
ζητεῖν τὸ τῆς χρείας ἐστηκὸς θεραπεύειν; Καὶ μὴν
εἴ μὴ τούτοις ἐνταῦθα χρησόμεθα δήπου, ἔγωγε οὐχ
ὁρῶ. Παρὰ πάντα δ' ἐκεῖνο λέγω, ὡς εἰ μὲν τῆς εἰς
ἔπειθ' εἵνεκα χρείας ταυτὶ πρόσθεν υυνείλεκτο, καὶ
πρὸς τοῦτο ἔσχε τὴν ἀναφερὰν, ἀνάγκη πᾶσα τού-
της νυνὶ παραγενομένης, μηδὲν τὸ παράπαν τούτοις
ἐνδοιάζοντας χρῆσθαι, ἵνα καὶ τὸ γιγνόμενον σώ-
ζηται, καὶ μηδειστισοῦν εἰσφέρων ἀλγῇ· καὶ προσ-
έτι παρελθούσης τῆς χρείας καὶ τῶν πραγμάτων
εὖ καθεστώτων, μετὰ περιφανεστέρας καὶ μείζονος
τῆς προσθήκης αὖθις τούτων πλησθῶσιν οἱ θησαυ-
ροί. Εἰ δ' οὐδὲν τοιοῦτόν ἐστιν, ὅπερ ἀμήχανον, ἀλλὰ C
περιττή τις ἄλλως ὕλη ἐκ περιουσίας ὅτι πλείστης
εἰς οὐδὲν δέον ξυστᾶσα, καὶ οὕτω πολὺ μᾶλλον χρη-
στέον αὐτῇ, ὡς ἂν ἀσυντελὴς τις οὖσα, συντελὴς ὡς
μάλιστα γένηται καὶ τοῖς πράγμασιν ἐν καιρῷ·
πανταχόθεν οὖν ἐστι δῆλον, ὡς ἄρα τούτοις ἀνάγκη,
ὅταν ἀνάγκη τις ἐπίῃ, κεχρῆσθαι.

κβ'. Ὧ δὲ μάλιστα πάντων ἀχθόμενος, μάλιστα
πάντων πεπαῦσθαι βούλομαι διὰ σοῦ, τοῦτο ἤδη
προσθήσω τοῖς εἰρημένοις, τῆς μὲν αὐτῆς ἐκείνοις
δήπου διορθώσεως χρῆζον καὶ τῆς σπουδῆς, παρα-
νομίας δὲ εἵνεκα τοσοῦτ' ἐκεῖν' ἀπολεῖπον, ὡς καὶ
θηρῶν ἀγριωτάτων τοῦτ' εἶναι φῆσαι μᾶλλον ἢ τοῦ
καθ' ἡμᾶς πεφυκότος· τὸ γὰρ τοὺς τὰ σφέτερ' αὐ-
τῶν σκάφη παρ' ἀστινασοῦν τῶν ἀκτῶν καταγνύν-
τας καὶ ναυαγίας πειρωμένους ἀτόπου, ἔπειτ' οὐχ D
ὅσον προνοίας παρὰ τῶν προσχώρων ἢ γοῦν παρα-
μυθίας ἡστινοσοῦν ἀπολαύσιν, ἀλλὰ καὶ συνεπιτι-
θεμένους τούτους ἴσχειν, καὶ συγκροτοῦττας πῶς
ἂν εἴποις τὴν τύχην, μᾶλλον δὲ καὶ πολλῷ παριόν-
τας, ε ἴπερ ἃ ἐκείνη παρεῖκε, ταῦθ' οὗτοι παρὰ
πάντα διαρπάζουσιν οἶκτον, ὑπερφυῶς δεινόν τε
καὶ ἧς οὐκ ἄν εἰπεῖν δυναίμην κακίας (1). Τί γὰρ
ἂν οὐτοσὶ πλέον ἐν πελάγει κινδυνεύσας ὑπέστη
ὁπότ' ἐξ ἡμισείας βιβλάφθαι διὰ τὸν τόπον νομίσας,

21. Illud quoque, quod in pecuniæ penuria ad subditorum opes recurritis, non sine vi quadam fieri solet, nec curæ paternæ quam istis debetis, convenit. Adde quod prius quam ipsis bene facitis, exactionibus vestris male iis facitis, quod vel non coacti tributum solverent. Ubi autem magnum auri pondus, argenti et lapidum pretiosorum abundantia ad publicum usum est destinata, ubi primum rerum angustiæ urgent, fas non est aliis quam legitimis rationibus a civibus pecuniam poscere. Equidem certe rem ut iniquam reprehendo. Quod si istæ pecuniæ futuris necessitatibus a principio reservatæ sunt, præsenti rerum discrimine iis utendum est, ita ut rerum angustias aboleamus unoquoque læte debitum solvente. Rebus enim de novo prosperis gaza quoque novis thesauris replebitur. Si vero econtra opes inaccessæ et supervacaneæ jacent, a fortiori utendum eis est ne inutile pondus putrescant, imo publicis necessitatibus inserviant. Unde patet quod istarum auxilio nos præmunire debemus.

22. Huic rei fastidiosæ tandem finem impositurus, id unum adjiciam, quod emendacio ac studium adponere decet summaque cautione, ut a fera, utendum. Sæpe enim contra littus naviculam allidimus ac naufragium facimus, quin accolæ regionis solamen præbeant; econtra quod fortuna ipsa non rapuit, ipsi inhumaniter eripiunt ac vitæ copiam ac facultatem præcludunt. Quid enim hic in periculoso mari gravius tulit, aut ille qui monstris marinis præda factus est? At contentum sese dicere fas est, dummodo solis lumen videre detur, nec aliud quærere. Equidem perquam scire cupio si, in simili casu, idem sentiretis, aut plane contrarium, et per utramque fortunam ad resipiscentiam ac rationem reverterimini ad facilius feren-

(1) Scelestum hunc morem ab Andronico I antiquatum fuisse ait Ephræmius v. 5285 sqq. Sed hinc apparet latrocinio iterum indulsisse usque ad Andronicum II Græcos.

dam calamitatem. Vos certe rem absurdissimam faceretis si quod ipsi reprehenditis alios impune facere arbitramini, non metuentes ne fulmen cæleste in caput vestrum ruat. Id eum cauponibus tum cæteris omnibus grave esse patet. Si enim mercatores qui vitam nostram sustentant mercaturam facere desinerent, de nobis jam non amplius solliciti, quilibet videre potest quid inde sit eventurum. Nonne in tali rerum statu vitam non vitalem haberemus? Maximum sane malum inde surgeret, cui si, vitam emendaturus, mederi velis, duo effeceris : mercatorum animos augebis, quibus injuriam facere nemini licebit, et non circa omnia quibus opus habemus, mirum quantum abundabimus.

A ὁ δὲ καὶ τούτου δυσχερεστέρου τετύχηκε, καὶ μείζονος ἐνταῦθα διὰ τοὺς κάκιστ' ἀπολλυμένους τουτουσὶ γῦπας ἐπειράθη τοῦ σάλου; Ηλὴν εἴ τοῦτο λέγοιεν, ὅτι περίεστι καὶ τὸν ἥλιον βλέπειν, καὶ δεῖ τούτοις ἀγαπᾷν διὰ ταῦτα, καὶ μηδὲν περαιτέρω ζητεῖν καὶ προσέξεσθαι. Ἡδέως δ' ἂν τούτων πυθοίμην, πότερα ταύτην καὶ περὶ ὑμῶν ἂν αὐτῶν ἠνέγκατε ψῆφον, εἰ τοιοῦτον ὑμῖν συνηνέχθη, ἢ πᾶν τοὐναντίον ὥστε φροντίδος καὶ προμηθείας ἐκ τῶν ἐνόντων τυγχάντιν καὶ συνεισφέρειν ἄττ' ἔξεστιν οἴκοθεν ἕκαστον, καὶ πάντα δρᾶν ἐφ' ᾧ τὴν συμ-' φορὰν ἐξετε ῥᾴω. Εἶτ' οὖν πάντων ἀτοπώτατοι ἃ γ οὐκ ἂν ἐδέξασθ' ὑμεῖς εἰ μὴ μαινόμενοί τινες ἦτε, ταῦτ' ἀξιοῦντες σωφρονοῦντας τοὺς ἄλλους οὐ δώσειν οἴεσθε δίκην, καὶ κατὰ τῆς ὑμῶν κεφαλῆς τοὺς ἐξ οὐρανοῦ κινήσειν σκηπτούς; Καὶ μὴν ὅτι τοῖς B ἐμπόροις οὐ μόνον παγχάλεπον τοῦτο, ἀλλὰ καὶ πᾶσιν ἀνθρώποις λυμαίνεται, δῆλον ἐκεῖθεν. Εἰ γὰρ αἱ μὲν ἐμπορεῖαι δι' ὧν πορίζουσι ἑκάστοθ' ἡμῖν συνιστᾶσι τὸν βίον, ταύτας δὲ ἀνάγκη πεπαῦσθαι, ἑνὸς μηδενὸς ἔτι τῶν ἐμπόρων διὰ τὸ ταῦτα πείσεσθαι προσδοκᾷν βουληθέντος χρῆσθαι τῇ τέχνῃ, πῶς οὐχ ὁ λέγω προβήσεται; Πῶς δ' οὐκ ἂν τῆς ἐντεῦθεν προμηθείας κλεισθείσης, ἀβίωτον βιωσαίμεθα βίον: Ὡς οὖν μεγίστου μὲν ἐσομένου κακοῦ, εἰ τοῦθ' οὕτω προβήσεται· ἦν δὲ καθάπαξ ἀνέλῃς εὖ ποιήσων τὸν βίον, εὖ οἶδ' ὅτι σπουδάσεις δύ' ἀνθ' ἑνὸς εἰργάσθαι, τούς τε ἐμπόρους προθυμοτέρους, τῷ μηδενὶ τῶν ἁπάντων παρανομεῖν εἰς τούτους ἐξεῖναι, καὶ πάντων ὧν ἡμῖν δεῖ, μεγίστην καὶ θαυμαστὴν εὐπορίαν.

23. Tu porro illud quoque ut attentione omni C plane dignum considera, ut urbes non annona abundent, sed ut iis omnibus quibus vita opus habet, repleta sint, nec vero turpis lucri gratia privative commodi ergo, sed ut omni tempore, præcipue autem in rerum inopia inde promere liceat, tibi quidem æs necessarium ad communem salutem propriumque tui ipsius honorem. Si enim fossæ, mœnia, circumvallationes et hujusmodi alia urbes tectas sartasque reddere, valent annon multo magis, pecunia insuper accedente? Mihi quidem urbes nummo carentes minus commode obsidionis bellique labores portare posse videntur; opum vero auxilio muniti quacunque ratione resistere D poterunt. Procul dubio igitur isto quoque armorum genere urbes instructæ esse debebunt.

κγ'. Σὺ μέντοι πρὸς τοῖς ἄλλοις κἀκεῖνο σκέψαι, καὶ μάλ' ἀξιόχρεων ὂν τῆς εἰς πάντα προνοίας, τὸ τῶν πόλεων ἑκασταχοῦ μὴ σίτου μόνον, ἀλλὰ καὶ τῶν ἀναγκαιοτάτων ἁπάντων ταμεῖα κεκτῆσθαι· οὐχ ὡς ἐμπορευόμενος δήπου, οὐδ' ἀγεννοῦς εἵνεκα κέρδους, ἀλλ' ὡ ἂν καὶ κατὰ πάντα μὲν δήπου τὸν χρόνον, οὐχ ἥκιστα δὲ ἐν πραγπάτων καὶ καιρῶν δυσκολίαις, πᾶσι μὲν τοῖς ἄλλοις μεγίστη τις ὄνησις ταῦτ' εἶη, σοὶ δ' εἰς τὰς ὑπὲρ τοῦ κοινῇ λυσιτελοῦντος δαπάναξ θαυμαστὸς πόρος χρημάτων, φιλανθρώπως καὶ κάλλιστα ἔχων, τῷ θ' ὑπὲρ σωτηρίας ἀνθρώπων εἶναι, τῷ τε τῆς γιγνομένης τιμῆς ὑφιέναι· καίτοι εἰ χαρακωμάτων καὶ τάφρων καὶ τειχῶν καὶ προβόλων καὶ πάντων τῶν τοιούτων εὐδαιμονίζειν ἔστι τὰς πόλεις τοῦ καὶ τῶν τοιούτων προσαπολαύειν ἔχειν ἑτοίμως, πῶς οὐ μειζόνως; Ἄνευ δὲ τούτου, αἱ μὲν ἐκείνως διακείμεναι μόνον οὐκ ἄν μοι δοκοῦσιν ἐν τυνεχεῖ πολιορκίᾳ καὶ μήκε πολέμου καθάπαξ διευεγκεῖν· τὰς δὲ καὶ τοῦτον παρεσκευασμένας τὸν τρόπον, οὐδὲν ὧν ἕφην αἱρήσει, τὸ μὴ οὐκ εἰς τέλος ἀντισχεῖν δεδυνῆσθαι· ὥστ' ἀναγκαίως ἔχει τὰς πόλεις καὶ τοιούτοις ὅπλοις πεφράχθαι.

24. Jam quæ dicenda veniunt maximi momenti sunt et digna quæ agmen claudant, licet unum contra leges sit, alterum optima conditione vobis relinquatur. Si enim eorum, qui bonorum succes-

κδ'. Οὐ μὴν ἀλλὰ καὶ ὃ βούλομαι λέγειν, οὕτω δή τι τῶν ἀναγκαιοτάτων εἰρῆσθαι, ὡς καὶ αὐτίκα μάλα δι' ἄμφω ταῦτα χρῆναι πεπαῦσθαι, τό τε μὴ κατὰ τοὺς νόμους εἶναι, τό τε βέλτιστον ὑμῖν ὑπειλῆφθαι. Ὅταν γὰρ τῶν ἐν τῷ τελευτᾷν μηδουστι-

νασοῦν διαδόχους ἀμέλει κεκτημένων τοῦ κλήρου, ἔπειθ' ὑμεῖς κληρονομεῖς ἀξιοῦτε, πῶς οὐ παρανομίας ἁλίσκεσθε, τῶν μὲν ἀλλοτρίων ὡς οἰκείων ἀντιποιούμενοι, τοῦ δὲ κεκτημένου μηδέν᾽ μηδοπωστιοῦν ποιούμενοι λόγον, μηδ' ἃ τὰ ἔσχατα πεπλημμεληκὼς ᾖ; μᾶλλον δὲ τοῦτον ἀποστεροῦντες τῶν ὄντων, καὶ ἃ πρόσεσθ' ἐγκλήματ' αὐτῷ, εἴ τε διὰ ταῦτα εἶτ' ἄλλως προστριβέντα, καὶ τούτων αὐτὸν προσαποστερεῖτε δικαίως, εἴπερ ἃ πρὸς ἀπαλλαγὴν τούτων ἀπέχρησεν ἂν ἐνταῦθ' ὑμεῖς ἀφαιρεῖσθε, τὸν μὲν εὖ ποιοῦντες οἷς ἐγκλημάτων ἀπαλλάττετε δήπου, ὑμᾶς δ' αὐτοὺς ἐν ἐγκλήμασι καθιστάντες· καὶ οἱ τοὺς παρανομοῦντας κολάζειν καὶ μισεῖν οἰόμενοι δεῖν, πρὸς οἷς ἔφην καὶ ταύτῃ παρανομοῦντες οὐκ αἰσθάνεσθε, ἀλλὰ καὶ τοσοῦτον ἐκείνων διάκεσθε χεῖρον ὅσον οἱ μὲν ὡς ἀδικοῦσιν ὁμολογοῦντές, ὅμως διὰ τὰ καὶ τὰ δίκην ὑπέχειν οὐδαμῶς ἀξιοῦσιν· αὐτοὶ δὲ καὶ συναγωνίζεσθε τῷ νοσήματι, καὶ τῶν καθεστώτων νόμων μηδενὸς ἧττω νόμον ταυτηνὶ τὴν παρανομίαν ἡγεῖσθε· οὗ χεῖρον οὐδὲν οἶμαι τῶν πάντων· καίτοι οὐδὲ τοῖς κατὰ γένος προσήκουσιν ἔγωγ' ἂν φαίην δικαίως μετεῖναι, πλὴν εἰ πένητες τύχοιεν ὄντες, ἀλλὰ μόνοις δήπουθεν τοῖς ἐγγόνοις· καὶ οὐδὲ τούτοις ἁπάντων, ἀλλὰ μέρους γε, τῆς τοῦ τετελευτηκότος ψυχῆς πολλῷ προτιμοτέρας οὔσης πάντα ταῦτα καρποῦσθαι. Καὶ ὡς ἀληθῶς λέγω, δῆλον ἐκεῖθεν. Ἦν γάρ τις αὐτοὺς ἔρηται, πότερον σφᾶς αὐτοὺς ἢ τοὺς προσήκοντας τιμιωτέρους ἡγοῦνται, ἐὰν μὲν τοὺς προσήκοντας φῶσι, ψεύσονται πάντως· ἕκαστος γάρ φησι τιμιώτατος αὐτὸς ἑαυτῷ· σφᾶς δ' ἂν αὐτοὺς εἰρηκότις, ξυνομολογήσουσι δήπου, καὶ τόν γε τετελευτηκότα παντὸς ὁτουοῦν δικαιότερον εἶναι τῶν αὐτῶν μετέχειν εἰσάπαν. Εἰ δὲ τοὺς προσήκοντας ὁ λόγος ἀπελαύνει τοῦ κλήρου, ποῦ τοὺς μὴ προσήκοντας θήσομεν; Δυοῖν τοίνυν θάτερον ἑλοῦ, βασιλεῦ, ἢ τὴν αἰσχίστην ταύτην παρανομίαν χωρεῖν εἰς τέλος ἐᾶσαι, καὶ μετὰ τῶν πρὸ σοῦ βασιλέως καὶ αὐτὸς τοῖς ἀλλοτρίοις κλήροις αἰτίας κληρονομεῖν, ἢ μηκέτ' εἶναι τὸ παράπαν ταυτηνὶ ξυγχωρήσας, ἀλλὰ παντάπασιν ἀνελών, οὐ μόνον ἐκείνων φιλανθρωπότερος καὶ δικαιότερος ὤφθαι, ἀλλὰ καὶ ὅσοι τῶν διαδεξομένων καθάπαξ ἐνδεῖ. τοιούτοις οὕτως ἡδίῳ παρασκευάσαι τὴν τελευτήν, ὡς μετὰ χρηστῶν τῶν ἐλπίδων ἐνθένδ' ἀπιέναι, εὖ εἰδότας ὡς τῶν προσόντων σφίσιν ἀπολαύειν ἔξουσιν ἐς ἀεὶ κατὰ τὰς ψήφους τὰς σὰς καὶ τὸ ταῦθ' ὑπὸ σοῦ κεκυρῶσθαι, ὃ πᾶσαν ἐκ τοῦ παντὸς αἰῶνος ἀπολείπει δικαιοσύνην καὶ πᾶσιν ὑπέρκειται τοῖς κριταῖς. Ἔτι τοίνυν εἰ πρὸς οἷς ἔχεις καὶ ἃ οὐκ ἔχεις κτήσασθαι βούλει, καὶ τῶν ἁπάντων πάντων ἀκονιτὶ γενέσθαι δεσπότης, ἔσο φιλάνθρωπος, καὶ ταῖς εὐποιίαις καὶ ταῖς ἐλπίσι πρὸς οὓς ἔχεις ἐπίσης οἷς ἔχεις, καὶ μηδὲν ἔλαττον ὧν ἔχεις ἐχέτωσαν οὗτοι, ὅταν κατ' ἐμπορίαν ἢ τιν' ἕτερον τρόπον, ἐκ τῆς αὐτῶν δεῦρο χωροῦντες· μᾶλλον δὲ οὕτως εἰς σεαυτὸν ἅπαντας ἕλξεις, εἰ πρῶτα μὲν καλῶς εἶ κἀγαθὸς καὶ ἀρετὴν ἄκρως ἀσκῶν, ὡς καὶ παντα-χοῦ τὰ σὰ διαβαίνειν ἐξεῖναι· ἔπειτα μὴ μόνον τοῖς

A sores reliquunt neminem, hæredes esse præsumitis, exleges facti ad ea aspiratis quæ aliorum sunt, nullam possessoris rationem habentes, licet vir sit pessimus. Hunc vos, objurgantes simul iis quæ habet, spoliatis; si autem quod juste non habet, eripitis, injuste non facitis, sed ipsos criminibus purgantes, vos ipsos criminosos redditis. Si enim vestrum esse putatis legum transgressores castigare ac odisse, in pejori quam ipsi conditione estis; illi enim peccatum confitentur; vos autem diro morbo laborantes perversitatis vestræ magnitudinem non videtis, quod sane gravissimum. Et hoc non ad familiam integram spectat, aut ad egenos, sed ad B prognatos singulos, quia defuncti anima dignior est quæ hæreditatem in suum usum vertat. Quod autem vere dico, hinc elucet. Si quis ex iis quæreret num se aut affines potiores habeant, et responsum esset pro affinibus, plane mentirentur. Unusquisque enim primus sibi videtur. Sibi ipsis autem palmam dantes defunctum maximis opibus dignum fuisse fatentur. Quod si affines ab hæreditate excludimus, ubi peregrinos statuemus? Ex duobus igitur unum, rex, elige: aut turpissimo crimini indulge, et prædecessorum tuorum exemplum secutus alienis hæreditatibus operam nava, aut plane contrarium faciendo humaniorem iis temet ac ju- C stiorem præbe, ac hæredibus conditionem adeo mitem crea, ut læto animo hinc discedant, persuasum habentes quod bonis suis frui ipsis contingit per omne tempus secundum tuam voluntatem omni justitia superiorem. Si porro ad ea quæ possides aliena addere præsumis, et omnium rerum sine negotio dominus fieri, humanus esto, et beneficiis tuis id effice ut cæteri non minus quam tu ipse habeant, sive mercaturam sive aliquam rem aliam facientes. Sic enim potissimum cæteros ad te attrahes, si ipse virtutis exemplum præbes, nec tantum subditis affabilem, sed vel benefaciendo benefacta oblivioni tradis, ab illiberali indole et mendaciis D longe remotus ac sola imperatoris dignitate te circumvestiens. Si enim erga familiares tantum liberalis es nec non nisi eorum curam geris, nil mirum facis. Sed si exteros item in amicitiam tuam allicis iisque faves, quis non tibi subditus esse recusabit, persuasum habens quod sic vitam jucundam deget?

A ὑπηκόοις ἀλλὰ καὶ πᾶσι τοῖς ἄλλοις οὕτως ἡδέως ἔχεις καὶ μάλα κεχαρισμένως, ὡς ταῖς εἰς αὐτοὺς εὐεργεσίαις ἐπιλελῆσθαι παρασκευάζειν τῶν οἴκοι· ἐκφεύγων μὲν ἀνελευθερίαν εἴ οἷόν τε, καὶ τῷ λόγοις ἀπατηλοῖς δοκεῖν αὐτοὺς ὑπιέναι, καὶ τῶν ἐχόντων ἀφιστάναι πρὸς σεαυτὸν, μόνην δὲ τὴν τῆς ἀρχῆς μεγαλοψυχίαν δεικνύς. Εἰ γὰρ μόνον τὸ περὶ τοὺς οἰκείους οὑτωσὶ διακεῖσθαι, ὡς καὶ πᾶσαν ὑπὲρ αὐτῶν εἰσφέρειν σπουδὴν καὶ παντοδαπῆς ἀξιοῦν τῆς προνοίας, πολλοῦ τινός ἐστιν ἄξιον πρὸς τὸ τοὺς ἀλλοτρίους οἰκείους εἰργάσθαι, καὶ πεῖσαι ταυτὰ φρονεῖν, ὅταν καὶ αὐτοὺς τούτους μετὰ τῶν οἰκείων εὖ ποιεῖν οἵῃ δεῖν, τίς οὐκ ἂν ἕλοιτ' οἶμαι τῶν πάντων πάντων ἀφέμενος ὑπὸ σοὶ μᾶλλον τετάχθαι, ἢ ἄρχειν αὐτὸς, εὖ εἰδὼς οὕτως ἐν εὐδαι-

B μονίᾳ τὸν αἰῶνα διάξων;

κε'. Οὐ τοίνυν ἐκ μὲν τούτων ἁπάντων βασιλείαν ἔνι θαυμαστὴν γεγενῆσθαι καὶ οἵαν ἡμεῖς ὑπεθέμεθα, τὸ δὲ τῶν λόγων κράτος δοκεῖ πως ἔλαττον ἴσχειν ἐν τούτῳ τῷ μέρει· ἀλλ' εἰ χοὴ τἀληθὲς εἰπεῖν, καὶ τούτου τοσοῦτον ἄρχουσι δεῖ, μᾶλλον δὲ ὅτου τις ἂν εἴποι, τοῦθ' οὕτως ἀξιώτερον χρῆσθαι, ὡς πάντ' ἐκεῖνα κόσμου μὲν ἄλογον εἶναι μὴ προσόντος τοῦ λόγου, προσόντος δὲ βέλτιστόν τε τοῖς ὅλοις καὶ πλείονος ἄξιον, τῷ τε χάριν οἴκοθεν ἴσχειν, τῷ τε ξυμμαχεῖσθαι τοῖς λόγοις· ὧν οὐδὲν ἡμῖν οἰκειότερον οὔθ' ἥδιον παντάπασιν ἀπολαύειν· τό τε γαρ λόγους μεταχειρίζειν ὡς οὐδέν τι τῶν πάντων ἀνθρώπῳ μόνῳ πρὸς τρόπου· καὶ ἦν ἂν, ὦ βασιλεῦ, φήσῃς τῶν ἁπασῶν ἡδονὴν, μᾶλλον δ' εἰς ἓν

C ἁπάσας ὁμοῦ συνενηνοχὼς, τοσοῦτον ἐλάττους τῆς ἐντεῦθεν προσγιγνομένης ταύτας εὑρήσεις, ὡς μηδὲ παραβάλλειν τὸ παράπαν ἐξεῖναι. Διὰ τί; ὅτι κινδυνεύει τῷ ὄντι τὰς μὲν ἄλλας ἁπάσας ἡδονὰς ἐπιβούλους εἶναι καὶ σφαλερὰς, καὶ λόχον ἀτεχνῶς τοῖς χρωμένοις, οὐ σώμασι μόνον, ἀλλὰ καὶ ψυχαῖς ἐπανισταμένας· ταῖς μὲν διὰ τῶν ἐντεῦθεν ἀναφυομένων ἐχθίστων δήπου παθῶν, τοῖς δὲ διὰ πλείστων καὶ μεγίστων τῶν νόσων, καὶ οἷον μηδὲ ῥᾳδίως εὑρεῖν δύνασθαι· λόγος δὲ πρῶτα μὲν τὴν ψυχὴν ἡδίω καθάπαξ παρασκευάζει, θαυμαστήν τινα ταύτῃ διάθεσιν ἐμποιῶν καὶ οἷόν τινα θείαν περιχέων κατὰ τὸ ἔπος ὀμφὴν, ὡς ἀκυμάντου γαλήνης πληροῦσθαι, καὶ ἴλεων εἶναι καὶ μανικῷ δή τινι καὶ ἀτόπῳ γάνει χρῆσθαι. Ἔπειθ' ὃ μὲν ἔστιν αὐτῆς ὑλῶδες καὶ

D χεῖρον καὶ τοῦ παθητικοῦ μάλιστα μέρους οὐχ ᾗ πέφυκε φέρεσθαι συγχωρῶν, ἀλλὰ συνέχων καὶ ἄγχων καὶ πάντα τρόπον πρὸς ἀρετὴν ῥυθμίζων καὶ καθιστὰς, βέλτιστόν τε ὁμοῦ καὶ οἷον λογικὸν ἀντ' ἀλόγου τοῦτ' ἀποφαίνει, τῷ κατὰ λόγον κινεῖσθαι παρασκευάζειν, καὶ τὴν ὀρθὴν ὁδὸν σώζειν ὡς ἔπος· τῷ δ' αὖ κρείττονι καὶ διανοητικῷ τὴν κατὰ φύσιν ἡγεμονίαν, παροῦσαν μὲν πατάπασιν συντηρῶν, ἀποῦσαν δὲ μετὰ πολλοῦ τοῦ βελτίονος ἐπανάγων, δεινὸν αὐτὸν ἑαυτῷ καὶ θαυμαστὸν σύμβουλον ἀποφαίνει τοῦ τί δεῖ ποιοῦντα, καὶ τίσι μάλιστα χρώμενον τὰ γιγνόμενα σώζειν καὶ κατὰ φύσιν χωρεῖν.

κς'. Οὕτω γὰρ ἂν καὶ τὸ τοῦ Πλάτωνος ἅρμα

25. Dicere non habemus ex hisce omnibus regnum omnibus numeris absolutum procedere. Sed si verum dicere fas est, regibus ratione magis quam cuivis alteri opus est, qua absente totus mundus absurdus est; præsente omnia superat gratia et sermonis lepore, quo nobis nihil dulcius videtur. Nihil iam homine dignius quam loquela; quam si cum quavis arte humana contuleris, plus illi voluptatis inesse fateberis. Quare? Quia omnes fere cæteræ voluptates periculosæ sunt atque insidiosæ, non corporibus tantum sed et animis; et his quidem propter pravas libidines, illis propter morbos lethiferos. Ratio econtra animo mirabilem ac divinam indit virtutem ac serenitate imperturbata replet; lætitia denique intima præcordia frui sinit. Dein res materiales ac malas quæque ex pravis cupiditatibus oriuntur impediens, quominus malam viam sequantur, refrenabit et quovis modo ad virtutem propellendo, sanam mentem ac rationem in omnibus observandum prædicabit, uno verbo, bonam viam monstrabit, et rerum bonarum et rationabilium gubernium consolidabit secundam naturam; quem dominatum ubi adest, affirmare, ubi deest, redintegrare nitetur; nam hac ratione quæ in promptu sunt, servantur et naturæ jura ut decet in honore sunt.

26. In hoc rerum statu solis quadriga qualem

ὅπερ ἐλαύνειν οἶδε ψυχὴ κάλλιστα ἔχει, μὴ μαχο- A μένων τῶν ἵππων, κἂν ἀντίπαλοί τινες ὦσιν, ἀλλὰ ξυμβαινόντων ἀλλήλοις, καὶ μετὰ τοῦ τεταγμένου ποιουμένων τὸν δρόμον· ἐγὼ δὲ καὶ τοῦτο λέγω, ὡς ὁ σοφὸς ᾗ σοφὸς καὶ γνῶσιν ἴσχων, οὐ μόνον τῶν ὄντων ᾗ ὄντα εἰσὶν, ἀλλὰ καὶ θείων πέρι καὶ ἀνθρωπίνων πραγμάτων, οὐκ ἀπεικότως καὶ ἄνθρωπος μᾶλλον λέγοιτ' ἂν καὶ τὸ καθ' ἡμᾶς ὑπερέχων. Ὡς γὰρ οἱ ἄλλοι πάντες τῶν ἀλόγων διὰ τὸν λόγον ὑπέρκεινται τὸν αὐτὸν τρόπον καὶ οὗτος οἷς ἁπλῶς λόγῳ χρῆται, τελῶν εἰς ἀνθρώπους, οἷς οὕτω χρῆται καὶ σοφίαν ἀσκεῖ, τὸν ἄνθρωπον ὡς εἰπεῖν ὑπερβαίνει, καὶ μόνος τῶν πάντων τὴν τῶν Κολοφωνίων ψῆφον ἐν τῇ κοινῇ ταύτῃ φέρεται φύσει· ἰσόθεός τις φὼς ὢν ὡς εἰπεῖν· ὃ δὴ καὶ τοὔνομα βούλεται· ὥσθ' ὅσον μᾶλλόν ἐστι σοφὸς, τοσοῦτο μᾶλλον ταυτησὶ τῆς B προσθήκης μετέχων, ὅσον μᾶλλον ταύτης μετέχει, τοσοῦτο μᾶλλον ἀφίσταται μὲν τῶν ἀνθρώπων, μέθίσταται δὲ πρὸς Θεόν· καὶ μεθόριον γιγνόμενος ἑκατέρων, ὥσπερ αἰσχύνεσθαί μοι δοκεῖ τῷ σώματος ὅλως μετέχειν, ὡς ἐν ἀσωμάτοις φιλοσοφῶν, καὶ τὸ τῆς ψυχῆς ὄμμα ὅσαι ὧραι καὶ οἷς λέγει καὶ οἷς πράττει παντάπασιν ἐκκαθαίρων, καὶ πρὸς ἐποψίαν ἐπιτηδείως ἔχειν παρασκευάζων τοῦ θείου, καὶ τὴν ἀρχὴν ἐκείνην διώκειν ὅθεν ἐξέπεσεν· ἔπειθ' ὁ τούτου μεῖζον καὶ τοῦ παντὸς ὡς εἰπεῖν ἄξιον, ὅτι ὀνητὸς ὤν, ἀθάνατος εἶναι δολεῖ δι' ὧν καταλέλοιπε λόγων, ὥσπερ τις παρὼν τοῖς ἐπιγιγνομένοις, τὰ κάλλιστα ξυνὼν καὶ πολιτευόμενος· μᾶλλον δὲ οὐχὶ ἑαυτὸν μόνον, ἀλλὰ καὶ τοὺς ἄλλους ἀντὶ θνητῶν ἀθανάτους ποιεῖ· ἑαυτὸν μὲν, οἷς ἔφην, τοὺς δὲ, οἷς C τὴν σῶν ἀρετήν τε καὶ δόξαν ἐσαεὶ παραμένειν παρασκευάζει τοῖς λόγοις· ἣν ἐὰν μὴ τοῦ συστήσοντος τοῖς ἔπειτα τύχῃ, εὐθὺς σβέννυται καὶ περὶ αὐτὴν καταῤῥεῖ· οὐδ' ὅτι γέγονεν οὐδενὶ μετὰ βραχὺ δεικνυμένη.

Plato memorat, rite fungitur, dum equi licet aliquantum divergentes, non diversimode currunt, sed eodem pedibus tendunt. Ad quæ ergo id quoque assero quod homo sapiens qua sapiens non solum rerum naturam, sed et divinarum humanarumque cognitione gaudet, et hanc ob causam hominum vulgus longe superat. Ut enim qui ratione præditi sunt cæteris, qui ea carent præstant, sic is qui sapientia duce, multitudine, ut potest, utitur, inter cæteros mortales excellit, et solus Colophoniorum suffragium feret : est enim vir quasi divinus re et nomine. Quo enim magis est sapiens et perfectus, eo longius ab hominum communi distabit, propiusque ad Deum accedet. Et sic inter duos positus limites et de rebus immaterialibus philosophans, materialis creatura esse nolet ; imo in verbis et actibus mentis oculum purificare nunquam cessabit, ut ad Numinis divini intuitionem se præparet ac pristinam integritatem quam amiserat, recuperet. Sed, quod memoratu dignissimum est, cum immortalis est, immortalitatem in sermonum suorum tenore relinquet post probam vitam ; nec se solum, sed cæteros quoque e mortalibus immortales constituet ; se ipsum, sicut dixi, cæteros autem virtutis ac gloriæ memoria litteris mandata. Hæc memoria nisi sic firmatur, intercidit collapsa vestigia nulla relinquens.

κδ'. Ὅταν τοίνυν ἡ πάντων τῶν ἄλλων ἀγαθῶν περιουσία καὶ χάρις τυχοῦσα μὲν λόγων ἀθάνατος ᾖ μὴ τυχοῦσα δὲ νεκρά πως εἶναι δοκῇ τῷ λανθάνειν, καὶ οὐδὲν αὐταῖς πλέον ᾖ τοῦ ποτὲ γεγενῆσθαι, πῶς οὐ κάλλιστον τῶν ἐν ἀνθρώποις ἁπάντων δεῖ νομίζειν τοὺς λόγους; πῶς δ' οὐ πάντ' εἴσω πίπτει τοῦ θαυμαστοῦ τοῦδε καὶ δαιμονίου τῷ ὄντι πράγματος; Καὶ μὴν εἰ κοινούς τινας εὐεργέτας καὶ σωτῆρας καὶ κηδεμόνας τοῦ βίου καὶ πάντα τὰ τοιαῦτα τοὺς νόμους ἅπαντες ἴσμεν, τῷ πᾶσαν μὲν κακίαν παντάπασιν ἀναιρεῖν, ἀρετὴν δὲ συνιστάναι, δι' ὧν τὴν μὲν τιμᾶν οἴονται δεῖν, τοὺς δὲ πονηροτάτους κολάζειν, ἆ πού γε πολὺ πρότερον τοῖς λόγοις ὧν εὕρημα νόμοι, ταύτην εἰσόμεθα δικαίως τὴν χάριν; καὶ ταῦτα καὶ ἔτι πλείω μετὰ πολλοῦ τοῦ κρείττονος αὐτοὺς προσεροῦμεν, ὡς πάσης εὐδαιμονίας ἀνθρώποις διὰ τῶν νόμων αἰτίους; εἴπερ οὐδὲν μὲν τῶν χρηστῶν οὐκ ἂν ποτε ἐπράχθη μὴ τεθέντων τῶν νόμων, ἐτέθησαν δὲ τοιξαρχῆς ὑπὸ λόγων, καὶ νῦν ἐπιεικῶς συγκροτοῦνται· εἰ δ' ἰδιώτατον μὲν καὶ λυσιτελέστατον καὶ τοῦ παντος ἀξιώτατον ἀνθρώ-

27. Si omnium quotquot sunt bonorum memoria litteraturæ beneficio immortalis est, et contraria vice exstinguitur ipsa oblivione, et res gestæ nullæ sui vestigia relinquunt, nonne historia præclarissima rerum humanarum habenda est ? et quis non videt omnia quæ exsistunt ejus partes constitutivas fieri ? Quod si humani generis benefactores, sospitatores, si leges, si omnia similia memoria tenemus eum in finem ut malitiam interimamus, virtutem stabiliamus, ut homines frugi remuneremur, pravos castigemus, litterarum usum, unde leges manarunt, quo tandem honore afficiemus ? quomodo satis laudabimus rem quæ legum ope hominum felicitatem stabilivit? Revera nihil boni sine legum latione in terra fieret ; leges autem e litteris emanarunt, et nunc quidem communi vinculo ornantur. Si igitur scientia litteraria res est homini uti-

(1) Colophoniorum suffragium apud Schottum proverb. append. vat. II, 43.

lissima, dignissima, quia hominis dignitatem maximopere auget, semper autem fautore ac Mæcenate opus habet, qualis tu, qui auctoritate regia plurimum potes, majorem ipsis gratiam ac dignitatem indas precor, ut hominum utilitati magis magisque inserviat.

28. Si hæc ita se habent, et si ad unum omnes hac de re consentiunt, tu ipse, rex, ejusmodi studia ardenter complecteris eum in finem, ut ubique gentium sermones sapientium magni facias cum ipsisque certamen ineas. Ut vere dicam, sermonum serendorum liborumque legendorum occasio non semper est, neque victorias Pindaric more cantare facultas datur. Tu vero in eo quoque sapientemages ut omnes cives studiorum ardore imbuas et ut sepientum commercio gaudeas, siquidem, ut est in proverbio, tyranni ipsi sapientum consuetudine sapientiam acquirunt. Ita fiet ut sermonum gravitas ac dignitas per te augeatur. Quando enim omnes persuasum habebunt, te ejusmodi rebus delectari, musarum amici tibi ipsi quoque favebunt, et cæteris negotiis posthabitis arti oratoriæ in primis studebunt, quia in ea musarum templum, eloquentiæ focum, omnis srpientiæ curriculum vident, Deumque pro sua prudentia regnum tuum firmare agnoscunt. Tu ipse in admiratione eris, quia in perpetua voluptate positus, dum cæteri per ignorantiam languescunt, tu phari instar luce tua genus humanum illustras ac regeneras; qua in re præclare agis, rex, et sapienter. Ex exemplum probativum. Athenienses inter omnes non Barbaros tantum, sed Græcos universos celeberrima ac splendidissima tropæa erexerunt, omnibus formidandi Græcis, in quos terra marique dominabantur nemine prorsus resistente; imo omnes in ipsos ut communes sospitatores oculos dirigebant, et in rerum discrimine apud ipsos refugium quærebant, utpote qui soli prudenter rebus inservire, arma capessere, uno verbo, qui, ut ait Homerus et sermones serere et opera exsequi sciebant. Apud ipsos enim schola Eleatica in litterarum studia et armorum exercitium divisa erat. Sed ut nihil dicam de Themistocle et Pericle, Miltiade et Cimone ac de tot aliis ducibus et rhetoribus qui virtutem supra omnia laudabant, quique cæteris virtutum exemplum exhibebant; ut præteream Pythagoreos qui

A ποις οἱ λόγοι, τά τ' ἄλλα καὶ ὅτι πολλῷ βελτίους ἢ κατ' ἀνθρώπους καθιστᾶσιν ἀνθρώπους, δέονται δ' ἐς ἀεὶ τοιούτου συναγωνιστοῦ καὶ προστάτου, οἷος αὐτὸς εἶ, μέγα δυνάμενος διὰ τὴν ἀρχὴν, οὐχ ὑπὲρ αὐτῶν μᾶλλον ἢ ὅπως αὐτὸ τοῦθ' ὅπερ εἰσὶ καὶ σομίζονται μετὰ μείζονος ἐργάζωνται τῆς παρασκευῆς, καὶ πρὸς κοινὴν ἀνθρώπων ὄνησιν ὦσιν.

κη'. Εἰ ταῦθ' οὕτω καὶ τοῦτον ἔχει τὸτ τρόπὸν, καὶ πάντες ἂν πάτες τὰ τοιαῦτ' ἀλλήλοις ξυμφαῖεν, δίκαιος ἂν εἴης καὶ αὐτὸς, ὦ βασιλεῦ, ἅτε κοινὸν ὀφείλων ὄφελος εἶναι, οὕτω τούτων ἀντέχεσθαι, καὶ τοσκύτην ὑπὲρ αὐτῶν εἰσφέρειν σπουδὴν, ὡς μὴ μόνον ἑκασταχοῦ τῆς οἰκουμένης μετὰ πολλοῦ τοῦ περιόντος ἀσκεῖσθαι λόγους κελεύειν, καὶ τιμᾷν τοὺς ἔχοντας, ἀλλὰ καὶ σέ γ' αὐτὸν ἀγωνιστὴν τούτων εἶναι κάὶ σπουδαστήν (1). Εἰ δὲ τοσούτων καὶ τηλι-
B κούτων ἐν μεσημβρίᾳ πραγμάτων οὐχ οἷόν τε λόγους μεταχειρίζειν καὶ βιβλίοις ἐγκύπτειν καὶ τἄλλα πράττειν ἃ μεγίστης ἐστὶ σπουδῆς καὶ λόγων ἀξίας· οὐδὲ γὰρ τὸν ἱπποσύνην δεδαότα ᾄδειν κατὰ τὸ ἔπος οἷόν τε (2)· σὺ δὲ καὶ οὕτως ἔσῃ σοφὸς, τὰς μὲν πόλεις ἁπάσας, ὡς ἔφην, μεστὰς εἶναι παρασκευάζων παιδείας, αὐτὸς δὲ τό γε σοφοῖς συνεῖναι καὶ διαλέγεσθαι πολλοῦ τινος ἄγων· ἐπεὶ καὶ σοφοὶ τύραννοι τῇ σοφῶν συνουσίᾳ, φασὶν οἱ σοφοί (3)· δι' οὗ δῆτα καὶ μᾶλλον ζηλωτοὺς πῶς οἴει τοὺς λόγους ἐργάσῃ καὶ σπουδῆς ἁπάσης ἀξίους. Εἰ γὰρ δὴ πάντες πεισθεῖεν ὅτι τοσοῦτο τουτοισὶ χαίρεις, οὕτω σφόδρα τὸ κατ' αὐτοὺς τίθεσαι, ὡς τοὺς μουσῶν ἑταίρους καὶ σαυτοῦ δομίζειν ἑταίρους, καὶ τούτοις ἀπανταχοῦ πραγμάτων τὰ πλείστου φασὶν
C ἄζια χρῆσθαι, πᾶσι τοῖς ἄλλοις εὖ οἶδα χαίρειν εἰπόντες, προσέξουσιν ὡς μάλιστα λόγοις· καὶ πάντα πόνον ὑπὲρ τοῦ κτήσασθαι τούτους νομιοῦσι ῥᾳστώνην, ὡς ἐντὸς ὀλίγου μουσῶν θέατρον, καὶ λόγων ἑστίαν, καὶ ξυμπάσης ὡς εἰπεῖν ἀγῶνα σοφίας, καὶ πάντα τὰ τοιαῦτα Θεοῦ δίδόντος, τὴν σὴν ἀρχὴν καταστῆναι· καί σε θαυμάστὸν ἐντεῦθεν μᾶλλον γενέσθαι, ὅτι τὸ θεσπέσιον τουτὶ χρῆμα καὶ ἡδονῆς κόρον οὐκ ἔχον, πολὺν ἤδη χρόνον τῇ τῶν κρατούντων ἀμαθίᾳ, ὑφ' ὧν ἔδει μᾶλλον ἐκλάμπειν, κατασβεσθὲν, καὶ πρὸς τὸ μηδὲν ἤδη χωρῆσαν, σὺ μόνος πυρσοῦ δίκην δεῖν ᾠήθης ἀνάψαι, καὶ μετὰ τῶν ἄλλων ἀγαθῶν καὶ τοῦτ' ἀνθρώποις ὡς μάλιστ' ἀνανεώσασθαι· καλῶς γε ποιῶν, ὦ βασιλεῦ, καὶ σαυτῷ προσηκόντως· δῆλον δ' ἐκεῖθεν. Ἀθηναῖοι γοῦν μέγιστα
D μὲν καὶ κάλλιστα τῶν ἁπάντων πάντων οὐκ ἀπὸ βαρβάρων μόνων, ἀλλὰ καὶ πάντων Ἑλλήνων ἀνέστησαν τρόπαια· φοβεροὶ δὲ ἅπασιν ἦσαν, τῶν δὲ Ἑλλήνων καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν ἦρχον· καὶ οὐδεὶς, ὡς εἰπεῖν, ἀντισχεῖν ἠδύνατ' αὐτοῖς· πάντες δὲ εἰς αὐτοὺς ὡς κοινοὺς σωτῆρας ἑώρων, καὶ τούτους ἐν τοῖς σκοπέλοις τῆς τύχης ἐποιοῦντο καταφυγὴν, διὰ τὸ μόνους τῶν πάντων μετὰ σοφιας καὶ τοῦ λελογισμένως τοῖς πράγμασι χρῆσθαι πρὸς ὅπλα χωρεῖν, καὶ τοὺς αὐτοὺς, ὡς Ὅμηρος λέγει,

(1) In margine γρ. φροντιστήν.
(2) Exstat proverbium apud Schottum St. 64

(3) Euripides.

Μύθων τε ῥητῆρας ἔμμεναι πρηκτῆράς τ' ἔργων. Ταῦτ' ἄρα καὶ τὸ λεγόμενον παρ' αὐτοῖς Ἐλεατικὸν ἀμέλει διδασκαλεῖον λόγων ἅμα καὶ ὅπλων ἄσκησις ἦν· ἵνα δὲ μετὰ Θεμιστοκλέους καὶ Περικλέους καὶ Μιλτιάδου καὶ Κίμωνος καὶ τῶν ἄλλων ἁπάντων στρατηγῶν καὶ ῥητόρων, οἳ καὶ τὴν ἀρετὴν ὑπὲρ ἔπαινον εἶχον, καὶ μόνοι τοῖς ἄλλοις εὐψυχίας ἦσαν παράδειγμα, καὶ τοὺς εὐδαίμονα τὴν Ἰταλίαν, τὴν καὶ μεγάλην ἐπικεκλημένην Ἑλλάδα, δι' ὧν ἐπολιτεύοντό τε καὶ ἐστρατήγουν πολὺν ἤδη χρόνον πεποιηκότας Πυθαγορείους παρῶ, τίς οὐκ οἶδε τους ἀπογόνους Αἰνείου, τῷ λόγοις καὶ ὅπλοις ἐπιεικῶς ἐξηρτῆσθαι, ἐφ' οὕτω τι δόξης καὶ ῥώμης καὶ τύχης καὶ τοῦ παντάπασι πάντων ἐν πᾶσι κρατεῖν ἥκοντας, ὡς καὶ τῆς οἰκουμένης ἁπάσης γεγενῆσθαι κυρίους; Εἰ δ' εὐψυχία καὶ λόγοι τοσοῦτο δύνανται, καὶ οὕτω θαυμαστοὺς ἀποφαίνουσι τοὺς χρωμένους, ἡλίκον ἂν εἴη χρῆμα αὐτῶν τε τούτων καὶ πάντων ὧν ἐξ ἀρχῆς ἔφην, ὁμοῦ συνιόντων;

κθ'. Δεῖ δή σοι λόγων μάλιστα πάντων, ὦ βασιλεῦ, μᾶλλον δὲ μετὰ πάντων τῶν ἄλλων καὶ λόγων ἐξ ἀνάγκης σοι δεῖ, ὡς μόνην ταύτην οὖσαν καλλίστην καὶ τελεωτάτην καὶ διὰ πασῶν ὡς εἰπεῖν ἁρμονίαν· φθόνον δὲ εἰ μὲν μηδένα παρὰ μηδενὸς ἐπὶ πᾶσι τούτοις, ὦ βασιλεῦ, ἔσεσθαί σοι νομίζεις, πρῶτον μὲν οὐ τὰ προσήκοντα οἴει, τοσαύτην καὶ τηλικαύτην ἀρχὴν ἀνεπίφθονον εἶναι νομίσας, τοῦ πάθους τοῖς σμικροτάτοις ἔστιν ὅτε ξυμβαίνοντος· ἔπειτα πῶς οἷόν τε τὸν ταύτην ὡς δεῖ διοικοῦντα, ὁποῖος εὖ οἶδ' αὐτὸς ἔσῃ, μὴ οὐχὶ καὶ βέλτιστον εἶναι; Τὸν δὲ τοιοῦτον καὶ φθονεῖσθαι πᾶσα ἀνάγκη· πρὸς γὰρ τὸν ἔχονθ' ὁ φθόνος ἕρπει, κατὰ τὸν παῖδα σοφίας, τὰς ἀφορμὰς ἐκ τῆς ἀληθείας λαμβάνων· προσδοκῶν δὲ εἰ μὲν οὐχ ἥξεις εἰς πεῖραν, θεῷ τε χάριν ἴσχειν, σαυτῷ τε διὰ ταῦτα ξυγχαίρειν· εἰ δ' οὐδὲν μᾶλλον, ἢ τὸ εἰκὸς ὡς μάλιστα φέρειν, ἢ δυσχεραίνων, σαυτῷ πάντως περιπεσῇ, ἃ προσεδόκησας ἔσεσθαι, ταῦτα γεγονότα κακίζων· χωρὶς δὲ τούτων, εἰ τὰ μὲν καλῶς ἔχοντα παντάπασι τῶν πραγμάτων ἀπήλλακται βασκανίας καὶ φθόνου, πάντοθεν συγκεκροτημένα καὶ μηδηνοῦν λαβὴν τὸ παράπαν μηδαμόθεν διδόντα· κατὰ δὲ τῶν μὴ ταύτῃ διακειμένων τὰ βέλη φέρεται, εἰ μὲν καὶ αὐτὸς τοῖς ὅλοις βέλτιστος εἶ, οὐκ ἄν μοι δοκεῖς παρὰ μηδενὸς ἀκοῦσαι κακῶς, ἀλλ' ἐπαινέτας πάντας κεκτῆσθαι· εἰ δ' ἀκούσῃ, ἔοικας μηδὲ τοῖς ὅλοις βέλτιστος εἶναι, ἀλλὰ τοῦ διὰ πάντων ἐνδεῖν, καὶ διὰ τοῦτο κακῶς ἀκούειν· διόρθωσαι τοίνυν ἐν τούτοις σαυτὸν, καὶ ποίησον διὰ πάντων βελτίω· ἕως δ' ἂν μὴ τοῦτ' ᾖ, καὶ τῶν αἰτιωμένων ἀνέχου· μᾶλλον δὲ κἂν μηδεὶς τοῦν σε τῶν πάντων εἴπῃ κακῶς, κἂν τοὐναντίον πάντες φῶσι καλῶς, σὺ δὲ καὶ οὕτω σαυτὸν οἷς οὕτως ἔχεις, οὐκ ἀπαλλάξεις αἰτίας, ἐὰν σαυτοῦ λόγον ποιῇ, καὶ τῷ καθεκάστην, ὡς εἰπεῖν, βίῳ δικάζεις· οὑτω σαυτὸν, καὶ μὴ τοὺς λέγοντας κακῶς, αἰτιᾶσθαι δίκαιος εἶ· αὐτοῖς μὲν οὖν τούτοις μάλιστα καὶ χάριν εἰδέναι, ὅτι σὺ μὲν ὑπὸ τοῦ σαυτὸν σφόδρα φιλεῖν, ἠγνόησας σαυτὸν ἐν τούτῳ δήπου μέρει· οἱ δὲ δι' ὧν εἶπον κακῶς, παρέσχον σοι καὶ γνῶναι καὶ

A Italiam magnam et Græciam illustrem reddiderunt; quas regiones diu et artibus et armis regebant: quis nescit quod Æneæ proles eloquentiæ et armorum vi eo gloriæ et potentiæ ac felicitatis pervenerunt, ut totius mundi domini facti sint? Quodsi virtus et eloquentia tantum valent, et eos qui utramque sectantur adeo illustrant, quid inde utilitatis manaret, si omnes iis ducibus uterentur?

B

11. Ut exemplum in medium proferamus, Achæmenidæ terra marique gravissimas Atheniensibus pœnas dederunt, quod Græciam perdere voluerant; quare misere vitam amiserunt. Qui verum imbellem hunc exercitum terram et mare quatiens et mentis male sanæ signa dans eum in finem adduxerat ut Græciam prima aggressione subjugaret, is contra omnem spem turpi fuga salutem quæsivit. Interjecto deinde tempore Atheniensium clades in Sicilia et extremæ illæ calamitates acciderunt, quibus nihil tristius, et quas siccis oculis referre posteri nequibant. Quid denique in causa fuit quod Chii sub Smyrnæorum, Lacedæmonii sub Tholanorum post Leuctricam cladem ditionem venerunt? Nonne quod alii gravem in mondum peccarunt, et insuper filias raptas in puteos dejecerunt? Chii quidem in Dionysiis Symrnæos sacra facientes armorum vi sine causa justa subegerunt. Ut autem Eurystheum Stheneli filium omittant, qui ingratitudine motus Heraclidas e tota Græcia expulsos nusquam morari sinebat, et iis qui illos hospitio excipiebant extremas minas intentabat, et sortem adeo duram expertus est ut in pugna cæsus non tantum sepulcro, sed et liberis privatus sit, et nolens Heraclidas, quos antea in servorum loco habuerat, nunc dominos instituit ac principes. Quis nescit quod Trojæ excidium Alexandri dementiam evocavit, qui urbem et cives et seipsum interemit? Quis ignorat quod harum calamitatum memoriam per omne tempus durat, et quod id quod mortalibus dirissimum accidere potest, malorum Ilias vocatur? ut paucis absolvam quod sola Iliadis voce ærumnarum fastigium indicatur?

12. Nihil itaque perniciosius injustitia, nihil magis fugiendum est, iis præcipue, qui armati vitæ periculum omni hora faciunt, semper in summo discrimine versantur, ii, inquam, potissimum mo-

A τηνικαῦτ' οὐδὲ φρονεῖν ὅλως φήσαιμ' ἂν ἔγωγε τοῦτον τοῦτο τὸ μέρος. Διὰ τί; ὅτι οὐχ ἃ δεῖ, ἀλλ' ἃ μὴ δεῖ πράττειν ᾤετο δεῖν. Εἰ δὲ τὸ μὴ παντα-
χοῦ κρατεῖν ἐκ τοῦ φρονεῖν περιγίγνεται, τὸ δ' εὖ φρονεῖν καὶ δίκαια πράσσειν εἰς ταυτὸν ἔρχεται, ἀνάγκη πᾶσα τοὺς μὴ ταύτῃ διακειμένους, ἀλλ' ἀδικοῦντας, ὡς ἄφρονας ἐκασταχοῦ τοῖς ἐχθροῖς νῶτα διδόναι, καὶ κινδυνεύειν ὥσπερ εἰκός. Καὶ τί δεῖ ταῦτα λέγειν; καὶ ῥώμη δήπου καὶ σύνεσις καὶ ὅ τι ἂν εἴποι τις, πάντ' ἐλάττω μᾶλλον δὲ τοῦ μη-
δενὸς ἄξια τῆς θείας ροπῆς· ἧς οὐχ ὅπως ἀποστε-
ροῦσιν ἑαυτοὺς, ἀλλὰ καὶ κινοῦσιν εὖ μάλα καθ' ἑαυτῶν οἱ προσέχοντες ἀδικίᾳ.

ια'. Ἐντεῦθεν Ἀθηναίοις Ἀχαιμενίδαι μεγίστην τῶν ἐκ τοῦ παντὸς αἰῶνος καὶ κατὰ γῆν καὶ κατὰ
B θάλατταν δίκην ὑπέσχον, ἀνθ' ὧν κακῶς ἐπεθύμη-
σαν τῆς Ἑλλάδος· οἱ μὲν κακοὶ κακῶς ἐνταῦθα πε-
σόντες· ὁ δὲ τὴν ἄμαχον ταύτην καὶ πλήθους εἵνεκα λέγω καὶ ῥώμης καὶ θαυμαστῆς διὰ πάντων πα-
ρασκευῆς ἐπαγόμενος στρατιὰν, καὶ πρὸς τὸ δοκοῦν ἑαυτῷ καὶ γῆν καὶ θάλατταν μεθιστὰς, καὶ ταῖς ἀτόποις ὑπερβολαῖς πάντας ἐκπλήττων, καὶ τὴν Ἑλλάδα πᾶσαν νομίζων αὐτοβοεὶ διαρπάσειν, οὕσος οὕτως αἰσχρῶς ἀπαλλάξας καὶ παρὰ πᾶσαν ἡντι-
νοῦν προσδοκίαν ὡς καὶ φυγῇ τὴν σωτηρίαν ἑαυτῷ πεπορίσσαι· ἐντεῦθεν ἡ τῶν Ἀθηναίων ἐν Σικελίᾳ συμφορὰ, καὶ τὰ δεινότατα ἐκεῖνα καὶ ἀφόρητα πάθη, καὶ πᾶσαν ὑπερβαίνοντα τραγῳδίαν, ὧν οὐδ' ἀδακρυεὶ μεμνῆσθαι τοῖς ἔπειτ' ἐξῆν. Λακεδαιμο-
νίους δὲ καὶ Χίους τί τὸ ποιῆσαν τοὺς μὲν ὑπὸ
C Σμυρναίων, Λακεδαιμονίους δὲ ὑπὸ Θηβαίων ἐν Λεύκτροις τῆς Βοιωτίας ἐσχάτῃ περιπεσεῖν συμ-
φορᾷ; οὐχ ὅτι τὰ μέγιστα πάντων οἱ μὲν παρηνό-
μουν, καὶ οἷς τὰς κόρας μετὰ τὸν βίον ἀνεῖλον, καὶ οἷς ταύτας εἰς φρέαρ ἐνέβαλον; Χῖοι δ' ἐν Διονυσίοις ἡσέβουν, βακχεύουσι τοῖς Σμυρναίοις ἐπιόντες μεθ' ὅπλων, καὶ ταῦτ' οὐδὲν τῶν ἁπάντων ἔχοντες ἐγκα-
λεῖν. Ἵνα δ' Εὐρυσθέα τὸν Σθενέλου παρῶ, οὕτω διὰ τὴν εἰς Ἡρακλείδας ἀγνωμοσύνην, καὶ τὸ μη
δαμοῦ τῆς Ἑλλάδος τούτους ἐᾷν, ἀλλὰ καὶ δεξομέ-
νοις τὰ ἔσχατα ἀπειλεῖν, οὕτω δυσκόλου πειραθέντα τοῦ δαίμονος, ὡς μὴ μόνον ἔργον αὐτὸν γεγενῆσθαι πολέμου, καὶ πρὸς τοῖς οὖσι καὶ τῆς οἴκοι ταρ-
ῆς ἐκπεσεῖν, ἀλλὰ καὶ τῶν αὐτοῦ παίδων, καὶ ἄκοντα τοὺς Ἡρακλείδας καταστῆσαι κυρίους, οὓς πρόσθεν ὡς δούλους ἀπήλαυνε· τίς οὐκ οἶδε τῶν ἁπάντων
D ὡς ἡ τῆς Ἰλίου κατασκαφὴ τῆς Ἀλεξάνδρου παρα-
νομίας ἐξῆπται, κἀκεῖνος αἰτιώτατος ἐγεγόνει τοῦ καὶ ταύτην καὶ γένος ἅπαν καὶ τοῦτον αὐτὸν ἐκτε-
τρίφθαι καθάπαξ; τὴν δὲ τούτων μνήμην οὕτως ἀθάνατον κατὰ παντὸς ἑστάναι τοῦ χρόνου, ὡς καὶ τὰ πλεῖστα καὶ μέγισθ' ἑκάστοτε τῶν ἐν ἀνθρώποις ἀδικημάτων ἐντεῦθεν ἔχειν ἀκούειν, καὶ Ἰλιάδα κακῶν προσειρῆσθαι· ὡς μόνον ἀποχρῶσαν ταυτηνὶ τὴν εἰκόνα πρὸς ἔνδειξιν τῆς τούτων ὑπερβολῆς.

ιβ'. Οὕτως οὐδὲν ἐξωλέστερον δήπουθεν ἀδικίας, οὐδ' ὃ μᾶλλον φεύγειν ἐχρῆν· καὶ πάντας μέν γε τοὺς ἄλλους, τοσοῦτο δὲ πλέον τούς γ' ἐν τοῖς ὅπλοις, ὅσον καὶ μόνοι τὴν πάντων τὸν περὶ ψυχῆς ἑκάστοτε

θέοντες, καὶ τῶν τοῦ βίου σφίσι πραγμάτων ἐπὶ ξυροῦ καθεστώτων, ἀνάγκην ἴσχουσι διὰ ταῦτα μάλιστα πάντων περὶ πλείονος ποιεῖσθαι, μηδένα βιάξεσθαι μηδὲ διασείειν, ὡς λόγος, ἀλλὰ τῆς κάκιστ' ἀπολουμένης πλεονεξίας, καὶ τοῦ τοῖς ταλαιπώροις ἀγρόταις ἐπιχειρεῖν, ἀπέχεσθαι μὲν παντάπασι καὶ μισεῖν ὁμῶς ἅιδαο πύλῃσιν, ἔχεσθαι δὲ δικαιοσύνης καὶ τοῖς οὖσιν ἀρκεῖσθαι · θαυμαστήν τινα ταύτην τῷ ὄντι πανοπλίαν νομίζοντες, καὶ πάσης ἡστινοσοῦν ἄλλης λυσιτελεστέραν τε καὶ καλλίω · εἴπερ αὗται μὲν δικαιοσύνης ἀπούσης, σφαλερὸν κατὰ Σοφοκλέα ῥῦμα πέλονται · ἡ δὲ καὶ τούτων χωρὶς, ἅτε θεοφιλὴς οὖσα, καὶ τοῦ παντὸς αὐτῷ τιμωμένη, οἷά τ' ἐστὶ τοὺς χρωμένους καὶ ἐκ πυρὸς ἂν αἰθομένοιο, καὶ ὅτου τις ἂν φῇ δυσχεροῦς, εὐχερῶς ἁρπάζειν· ὁποίους δή τινας ἅπαντες ἴσμεν, πολλούς τε ἄλλους καλοὺς κἀγαθούς · καὶ δὴ καὶ τοὺς ἀπογόνους μὲν Ἐζεκίου διὰ δὲ τρόπων δικαιοσύνης εἰσποιηθέντας θεῷ · τὸν μὲν λεόντων, τοὺς δ' ἐξάντεις φλογὸς γεγονότας · καὶ τοσοῦτον ὑπ' Ἀσσυρίων καὶ τοῦ σφῶν ἄρχοντος θαυμασθέντας, ὡς τοὺς μὲν τὴν αὑτῶν ἅπασαν χώραν δημαγωγεῖν ἠξιῶσθαι, καὶ ζηλωτοὺς διὰ πάντων ἅπασιν εἶναι · τὸν δ' ἐν ἀπόροις πόριμον Δανίηλον τὸν χρηστὸν καὶ εἰς πατέρα τῷ βασιλεῖ καταστῆναι. Οὕτως οἷς ἔξω φύβου τὸν τῶν ὅλων Θεὸν εἰκαίως τιμᾶν ᾠοντο δεῖν, καὶ τοῖς ἄλλοις κηρύττειν, μισηθέντες ἀδίκως, οἷς τῆς τούτου προνοίας δικαίως ἀπέλαυσαν, οὐ μόνον δικαίας καὶ τῆς παρ' αὐτῶν ἔτυχον ψήφου, μεῖζον ἢ κατ' ἄνθρωπον νομισθέντες καὶ τιμηθέντες εἰκὸς τὰ γιγνόμενα, ἀλλὰ καὶ τοῦ τὰ δίκαια ποιεῖν, καιροῖς ὁμοίοις ὥσπερ τις οὐρανομήκης στήλη καταστάντες τῷν βίῳ · εἶεν. Εἰ τοίνυν ἀδικοῦντες μὲν, ὦ ἄνδρες, δεῖ γὰρ καὶ πάλιν πρὸς ὑμᾶς τρέψαι τὸν λόγον, τοσούτους καὶ τηλικούτους ἐνέξεσθ', ἃ δὲ προσήκει ποιοῦντες, ὅτι πλείστων ἐπαίνων τεύξεσθε, τοῦ κρείττονος γένεσθε, τοῦ πλεονεκτεῖν ἀποστάντες · ἢ μὴ μόνον ἀδικίας πρὸς τοὺς οἰκείους, ἀλλὰ καὶ προδοσίας αὐτῶν πρὸς τοὺς ἐναντίους ἑτοίμως ἁλώσεσθε · δόξετε γὰρ οἷς τὰ τούτων ἡδέως ἁρπάζετε, μηδ' ἂν αὐτῶν ἐθελῆσαι φείσασθαι, ἀλλὰ καὶ τοῖς ἐχθροῖς ἂν ἑτοίμως χρημάτων εἵνεκα τούτους προέσθαι, Ὁ γὰρ τῶν μικρῶν καὶ σαύλων οὕτως ἡττώμενος πολλῷ μᾶλλον ἂν τοῦτ' ἐν τοῖς ὑπερέχουσι πάθοι · ταῦτ' ἄρ' εἰ καθ' ὑμᾶς αὐτοὺς λογιεῖσθε, καὶ ὅτι τὸ τοὺς ἄλλους ἀδικεῖν ἑαυτὸν ἐν τοῖς μεγίστοις καὶ καιριωτάτοις ἐστὶν ἀδικεῖν, ἀφέξεσθε μὲν εὖ οἶδ' ὅτι ταυτησὶ τῆς μανίας καὶ τοῦ κακῶς ὑμᾶς αὐτοὺς ἐν τῷ τοὺς ἄλλους ποιεῖν · ἀσκήσετε δὲ δικαιοσύνην, καὶ τὸ μετρίως καὶ ἐπιεικῶς ἅπασι χρῆσθαι · ἐν τούτῳ γέρ ἐστι καὶ τὸ τυγχάνειν ἐσάπαν συναιρομένου θεοῦ · οὐ τοίνυν τοὺς μὲν ἐπὶ τῶν ὅπλων οὕτως ἔχειν καὶ ταύτῃ κελεύω τοῖς πράγμασι χρῆσθαι.

ιγ' Ἀγορανόμοις δὲ καὶ ἀστυνόμοις καὶ τοῖς ἄλλως τῶν πόλεων ἁρμοσταῖς πολλοῦ δέω τὰ τοιαῦτ' εἰσηγεῖσθαι · ἀλλὰ καὶ τούτοις οὐδὲν ἧττον φημὶ δεῖν τῶν τοιούτων · καὶ μάλα γ' εἰκότως · ὅταν γὰρ περὶ τοσούτων καὶ τηλικούτων τὴν σπουδὴν καθι-

A nendi sunt ne vim aliis inferant, sed a tristi avaritia et in miseros crudelitate longe remoti hæc vitia ut inferorum portas aversantur et justitiam et æquam mentem conservent, quo nihil præstantius, nihil pulchrius; nam, secundum Sophoclem, vita sine justitia gravis evadit torrens; ipsa autem sine auxiliaribus et Deo grata justos ex igne inflammato et e summis angustiis eripere potest, id quod nos ipsi experientia edocti scimus de Ezechielis discipulis, qui morum integritate Dei amicitiam adepti sunt, quorum unus a leonibus, cæteri e flammis erepti adeo ab Assyriis in admiratione habiti sunt, ut totius regni administrationem iis committerent,
B Danielem vero justum ut patrem regi commendarent. Hac ratione qui Deum omnium creatorem venerari et cæteris prædicare audebant, nunc injuste odio habiti sunt, nunc honore plus quam humano digni habiti et quasi in columna altissima positi. Esto. Si igitur (iterum enim ad vos sermo dirigendus) injuste agendo tot homines offendis, juste autem faciendo summis laudibus exaltaberis, sic avaritiæ renuntiantes meliores fietis; sin minus, non modo injustitiæ erga domesticos, sed traditionis convincemini. Si enim horum res lubenti animo subtrahitis, hostibus quoque, pecunia data, eos immolaturi videmini. Qui enim in parvis infidelis
C est, in magnis magis erit perfidus. Hæc si in mente volvitis et cogitatis quod alios lædere, offendere est seipsum, ab hac dementia certo certius et a mente aliis male faciendi, qua re vobis ipsis nocetis, abstinebitis; e contra justitiam exercebitis et in omnibus rebus moderatione madhibebitis. Hac enim conditione Deum quoque semper cooperatorem habebis. Vides quo modo armis uti et negotia componere te jubeo.

D

13. Ædilibus autem cæterisque urbanis magistratibus præcepta dare a me absit! licet circa hasce res inprimis instructi esse debeant. Quando enim ejusmodi rebus operam navant civitates, fieri non

potest, quin legum ferendarum gratia strenuos magistratus sibi præficiant, quorum vita ac mores cæteris pro exemplo esse possunt, plebis autem adeo cultores, ut nemo plebeiorum injuriam patiatur. Omnes autem iis obtemperabunt ubi viderint, quanta illi diligentia utilitatem publicam curant ac damna a singulis avertunt, ac parum sui commodi memores bene norunt se pro salute civium institutos esse. Longe enim alia est cura rei familiaris et rei publicæ, sicut in vulgus notum est. Minus enim de suis rebus quam de publicis solliciti esse poterunt, quarum ratio aliquando reddenda venit. Igitur non molliter, non indolenter procedent, sed ita ut summo studio aut in agendo aut in loquendo utantur, nec unquam ea negligant quod ad rempublicam spectat; id quod Ctesiphon Demosthenis honori imputavit, dicens : « Populus Demosthenem corona aurea redimit ob virtutem et generosum animum quem cum Græcis omnibus, tum Atheniensibus manifestavit maxime. » Hæc cum ita sint, nos qui natura homines sumus, eorum quæ per forum circumvehuntur, large participes esse meremur, non tabernariorum mercaturam facientes illiberalem, et unde nec venditor nec emptor proficit. Non enim id agitur ut commoda et utilitates accedant, sed omnis injustitia injustitiæ et legum observantiæ cedet. Quæ ut contingant in omnium votis est. Quis enim nescit quod, si populus moderatione et sapientia et modestia utitur, majori æstimatione dignus censetur? et quod e contra si seditiosum sese et justo audaciorem et legibus inobedientem præbuerit, pœnitentia pravum qui fuerat, in frugi hominem transformabit, sicut equus pullus per domitoris manum ex recalcitrante et effreni perquam docilis evasit et currum trahere, jugi patiens esse didicit? Quocirca illos probos et moribus egregios fieri expedit et propter seipsos et cæterorum gratia quibus præsunt, et quorum interest ut prætores integri sint. Sed certo non ea tantum re civitates subsistant atque prosperant, quarum securitas in mœnium robore consistit non minus quam in magistratuum prudentia, me quidem judice; cui equidem officio singulos satisfacere arbitror, cum unusquisque ædificando, construendo machinas, omnis generis exercitiis id efficiunt ut obsidionem sine magno labore subire valeat, dum civium agmen bene armatum animi vigorem armorum usui nunquam non adjicit. Quandiu enim Sparta sine mu-

A στῶνται, καὶ παρ' αὐτοῖς τούτοις εὖ τε καὶ ὡς ἑτέρως κινδυνεύωσιν ἴσχειν αἱ πόλεις καὶ τὰ τῶν πόλεων πράγματα, χρὴ τούτους πρῶτον μὲν τοιούτους δή τινας καθ' αὑτοὺς εἶναι καὶ νόμων εἵνεκα λέγω καὶ πολιτείας, καὶ πράσσειν ἃ δεῖ, ὡς πολλῷ τινι προὔχειν τῶν ἄλλων, καὶ βίου σώφρονος εἶναι παράδειγμα· ἔπειθ' οὕνω σφόδρα δημοτικοὺς, καὶ ὅπως ἀδικήσεται μὲν δηδεὶς τῶν τοῦ δήμου. Εὖ δὲ πείσονται πάντες διὰ πάντων σκοποῦντας, καὶ τῶν εἰς τοῦτο φερόντων μηδενὸς φειδομένους, μηδ' ἂν αὐτοῖς ἐντεῦθεν συμβαίνῃ βλάπτεσθαι, ὡς κοινὸν ὄφελος πᾶσιν καὶ ἀκούειν καὶ εἶναι· τῶν μὲν ἰδίᾳ καὶ κατὰ σφᾶς βραχὺν τινα λόγον· ὃ δὲ κοινῇ μέλλει συνοίσειν, πᾶσαν τούτου πέρι σπουδὴν ποιουμένους, εἰδότας ὧν εἵνεκα προὔστησαν. Οὐ γὰρ ἔστιν, οὐκ ἔστι τὸν αὐτὸν τρόπον ὑπέρ τε τῶν κοινῶν καὶ ὧν B αὐτός τις ἕκαστος ἔχει, φροντίζειν, οὐδ' ἐγγύς· ἀλλ' ὑπὲρ μὲν τούτων ὅπως ἂν αὐτοῖς δόξῃ φροντίζειν, ἴσασιν ἅπαντες· ὑπὲρ δὲ τῶν δημοσίων οὐχ οὕτως· ἀλλὰ φροντίζουσι μὲν αὐτῶν ἐξ ἀνάγκης ὅταν λάχωσι, φροντίξουσι δὲ ὡς ὑφέξοντες λόγον· ὡς ἀνάγκην ἐντεῦθεν ἔχειν μὴ παρέργως μηδ' ἐῤῥᾳστωνευμένως, μηδ' ὡς ἔτυχε τοῖς πράγμασιν ἐγχειρεῖν· ἀλλὰ μεθ' ὅσης ἂν τις φῇ τῆς σπουδῆς, τὰ βέλτιστα τῷ δήμῳ καὶ λέγειν καὶ πράττειν καὶ μηδὲν προθυμίας ἐλλείπειν ὑπὲρ τοῦ κοινῇ γιγνομένου· ὅ καὶ τῷ Παιανιεῖ Δημοσθένει Κτησιφῶν ὁ Λεωσθένους ἐν τῷ περὶ τοῦ στεφάνου προσεμαρτύρει ψηφίσματι λέγων ὅτι « Στεφανοῖ δῆμος Δημοσθένην Δημοσθένους Παιανιέα χρυσῷ στοφάνῳ ἀρετῆς εἵνεκα καὶ εὐνοίας, ἧς ἔχων διατελεῖ εἴς τε τοὺς C Ἕλληνας ἅπαντας καὶ τὸν δῆμον τῶν Ἀθηναίων. » Τοιούτων δὲ τούτων ὄντων καὶ οὕτω διακειμένων, ὅσα μὲν εἰς ἀγορὰν ἥκει καὶ τὸ πάντων οἷς ἐῤ' ᾧ περιεῖναι καὶ ζῆν, χρῆσθαι πεφύκαμεν ἄνθρωποι, μετέχειν ἔχειν ἀφθόνως, καὶ παντοδαποῖς τουτοισὶ περιῤῥεῖσθαι· καὶ μήτε καπηλείας ἀτόπους, καὶ ἃς οὐκ ἔξεστ' ἐπινοεῖν, μήθ' ὅθεν τοῖς ταλαιπώροις ἔσται πολίταις ζημία καὶ βλάβος, τοῖς δ' οὐχ ὅσον καπήλοις οὐδὲ παλιγκαπήλοις· ἀλλὰ τοῦτο πολλάκις δι' ὧν πράττουσιν οὖσιν, εὐπορία καὶ κέρδος, καὶ ξυλλήβδην εἰπεῖν, πᾶσαν μὲν ἀδικίαν τούτων ἀπεῖναι, εὐνομίαν δὲ καὶ δικαιοσύνην μετὰ πολλοῦ τοῦ περιόντος διὰ πάντων προσεῖναι· πάντα οὖν ταῦτα ὡς κάλλιστα ἔξειν καὶ πάνυ τοι κατ' εὐχήν. Ἀλλὰ τίς νὺξ οἶδεν, ὡς ἐάν το ὁ δῆμος μέτριος ᾖ καὶ D ἐπιεικὴς καὶ σωφρονεῖν ἐπιστάμενος, πολλῷ βελτίων ἐντεῦθεν ἔσται καὶ δοκιμώτερος χρῆσθαι; ἐάν τε τούναντίον, στασιώδης τις καὶ τολμηρὸς καὶ θρασύς κσὶ νόμοις οὐκ εἴκων, παλινῳδίαν ᾄσεται καὶ μεταβαλεῖ καὶ θᾶττον ἔσται χρηστὸς ἀντὶ πονηροῦ; καθάπερ τις πῶλος ὑβριστὴς καὶ δυσκάθεκτος, θαυμαστοῦ τινος πωλοδάμνου τυχὼν, εὖ μάλ' εἰδότος ἅρμα ἐλαύνειν, καὶ δεινοῦ τὰ τοιαῦτα· ὥστε καὶ κατ' αὐτὸ τοῦτο χρηστοὺς αὐτοὺς εἶναι δεῖ καὶ τοῖς ὅλοις βελτίστους καὶ σφῶν εἵνεκ' αὐτῶν, καὶ ὧν δήπου προίστανται· τὰ γὰρ ἐκείνων ὁποῖά πατ' ἄν ᾖ, εἰς τοότους μάλιστ' ἀνήκει. Ἔτι τοίνυν ἐπειδήπερ οὐκ ἐντεῦθεν μόνον εὖ συνίστανται πόλεις, οὐδ' αὐτὰ

ταῦτα πρὸς εὐπραγίαν ἀπόχρη, ἀλλ' εἴπερ του τῶν πάντων καὶ τοῦ γε τειχῶν εὖ ἔχειν καὶ σφόδρα ἀσφαλῶς ἔχειν πόλεσι μάλιστα δεῖ· μετὰ δὲ παντὸς μᾶλλον τῆς τοιαύτης προνοίας τουτοισὶν ὡς προστάταις, καὶ τοῦτ' ἂν αὐτοῖς ἄριστα καὶ μετὰ παντὸς τοῦ γιγνομένου νομίζω πεπρᾶχθαι, ἐὰν, ἑκάστοτε ταῦθ' ὅπως ἔχει περιιόντες σκοπῶσι, καὶ μηδὲν ὑπὲρ τούτων ἀνιῶσι σπουδῆς, οἰκοδομοῦντες, ἐπισκευάζοντες, πάντ' ἀσκούμενοι τρόπον, ἐφ' ᾧ ταῦθ' ὡς ἐῤῥωμενέστατα καὶ στεγανώτατα καὶ ἀσφαλέστατα καὶ πᾶσαν ἂν εὐχερῶς ἐνεγκόντα πολιορκίαν εἰργάσθαι, καὶ ὅλως ἄμαχα τοῖς πολεμίοις, τῷ τε ταύτῃ παρασκευάσθαι, καὶ προσέθ' ὅπλοις ὡς πλείστοις πεφράχθαι, τῷ τε πολίτας ἴσχειν φρονήματος γέμοντας καὶ μελετῶντας τὰ τακτικά· ταύτης μὲν τῆς βοηθείας ἀπούσης, μικρὰν οὖσαν ἐκείνην, παρούσης μέντοι καὶ πάνυ μεγίστην· ὅπου γὰρ ἀτειχίστου τῆς Σπάρτης οὔσης, τὸ φρόνημα τῶν ἐνοικούντων καὶ μόνον ἴσχυσι, καὶ φοβεροὶ τοῖς ἅπασιν ἦσαν· ὡς πρὸς τοὺς ἐρομένους ὅτου χάριν εἶεν ἀτείχιστοι, ταῦτ' εὖ μάλ' ἀποκρίνασθαι, τί χρὴ νομίζειν ἀμφοῖν συνόντοιν;

A ris erat, incolarum fortitudo omnibus eos formidandos reddidit. Bene igitur iis qui interrogabant. cur sic sine muris essent, responsum fuit, si muris fortitudo adderetur, eo magis invictos fore Lacedæmonios.

B

ιδ'. Καὶ μάλισθ' ὅταν οἱ φυλάττειν λαχόντες μὴ τριωβολιμαῖοι καὶ πένητες καὶ τοῦ μηδενὸς ἄξιοι τυγχάνωσιν ὄντες, ἀλλ' οἷοι καὶ οἰκίας σφῶν καὶ ἀγροὺς ἐν πόλει καὶ τάφους πατρῴους τε καὶ παππῴους, καὶ τὸ μέγιστον γνώμης εὐθύτητα καὶ τρόπους χρηστούς τε καὶ σώφρονας, καὶ πάντα τὰ τοιαῦτα δεικνῦναι· τὸν γὰρ τοὺς ἄλλους καὶ αὐτοὺς καὶ τὰ αὑτῶν πάνυ φυλάξοντα αὐτὸν πρότερον ταῦτ' ἔχειν δεῖ, ὡς ἂν δι' ἅπερ αὐτὸς ἔχει, καὶ ἅπερ ἕτεροι κέκτηνται ἐξ ἀναγκης δήπου φυλάξῃ· ἔχει γὰρ οὕτως· εἰ μὲν τὰ τῶν ἄλλων φυλάξεται, καὶ τὰ αὐτοῦ πάντως φυλάξεται· εἰ δ' ἐκείνους προήσεται, καὶ αὐτὸν συνπροήσεται· καὶ τί μᾶλκον τοῖς ἄλλοις ἐντεῦθεν ἢ αὐτῷ λυμανεῖται; ὥστ' εἰ μὲν τὰ οἰκεῖα σώζειν αἱρεῖται, καὶ τὰ τῶν ἄλλων σώζειν τὸν αὐτὸν αἱρήσεται τρόπον· εἰ δὲ τὰ μὲν παρὰ φαῦλον ποιεῖται, μόνα δὲ τὰ οἰκεῖα σώζειν εἶσται δεῖν, οὐδὲ τοῦθ' ὅλως ἕξει, ἐπειδὴ μὴ καὶ τὰ τῶν ἄλλων ᾠήθη· τίς οὖν ἕλοιτ' ἂν εὖ φρονῶν, καὶ αὐτὸν καὶ τοὺς ἄλλους προέσθαι, ἢ τούς τε ἄλλους σῶσαι, καὶ αὐτὸν μετὰ τῶν ἄλλων σεσῶσθαι; Εἰ δὲ τοὺς διὰ πάντων ὧν ἔφην οὕτωσὶ συγκεκροτημένους ἀσφαλεστάτους νόστωρ καὶ μεθημέραν τῶν πόλεων φύλακας χρὴ νομίζειν, καὶ μόνοις τούτοις οὐχ ὅσον τὰ τοιαῦτα πιστεύειν, ἀλλὰ καὶ θαῤῥεῖν πολὺ πλέον, ἢ μεγίστοις καὶ θαυμαστοῖς τείχεσι καὶ προβόλοις καὶ οἷα τὰ Σεμιράμιδος, ἧπου τούς γε τἀναντία τούτων ὄντας, καὶ τοῖς ὅλοις ἀπόρους, οὐκ ἂν φθάνοιμεν οὕτωσὶ διαγράφοντες πρὸς τὸ ταῦθ' ὑπηρετεῖν οἵους τ' εἶναι, ὡς μηδὲ χρῆναι τούτων τοπαράπαν ἐν τούτοις μεμνῆσθαι. Πόθεν καὶ γὰρ ἕξουσι τὸ πιστεύεσθαι; πότερον ἀφ' ὧν κέκτηνται; Ἀλλ' οὐδὲν τοπαράπαν κέκτηνται· πλὴν εἰ τὸ μηδὲν κεκτῆσθαι, φήσουσιν, ὑπέρου γυμνότεροι κατὰ τὴν ἀγορὰν διϊόντες, καὶ πρὸς ἀνδραποδώδεις καὶ φαύλας διακονίας, τριῶν ἢ τεττάρων ὀβολῶν χάριν, τοῖς βουλομένοις ἐκκείμενοι. Τοιοῦτοι γάρ τινες νῦν οἱ τῶν

C

D

14. Quod quidem tum præcipue fiet, ubi qui urbem custodiunt non ex misera egenorum classe trium obolorum pretio eliguntur, sed domicilia, agros et sepulcra patrum et avorum religiose venerantes integros sese et probos exhibent. Qui enim cæteros et quæ ipsorum sunt custodiendo servat, prius ipse ista omnia possidere debet; en quomodo res se habet. Simulac aliorum res curat, suas ipsius pariter curabit; si autem ista negligit, suarum quoque rerum curam habebit nullam; unde sibi non minus quam illis noxam affert. Inde sane vere est quod qui suas, aliorum quoque res tuebitur. Si autem ista negligendo sua tantum observat, quam inde utilitatem percipiet? Quis autem dum sanæ mentis est, se et alios perdere volet? Nonne suæ et aliorum saluti prospiciet? Si autem viri ita ut dixi compositi optimi diu noctuque urbium custodes habendi sunt, major utique in iis fides ponenda erit quam in fortissimis mœnibus ac vallis, qualia Semiramidis celebrantur, dum qui tales non sunt a limine salutandi erunt. Unde enim fide digni sunt? num quia locupletes sunt? At nihil prorsus possident, et ob ipsum trium obolorum pretio humillimam ac turpissimam servitutem obeunt. Tales nunc quidem sunt urbium custodes. Sed nonne ut proditores et omnium egeni comprehendentur? nonne pecunia data castra nostra deserent? Ubi enim inter ipsos divites reperiuntur quos rem familiarem augendi ergo, turpia agere non pudet, quanto magis iis qui sine ulla spe me-

liorum temporum in paupertate jacent, ut famem compescant, talia facere parati erunt. Mihi quidem vel inimicos nolentes ad ea propellere videntur; probe enim norunt quod nulla alia ratione ex egestate ad prosperitatem transire possunt. Hunc in modum urbium administratores viveret decet; licet non quemlibet electuri simus, fortuito augurando, sed optimos quosque cives, nec ob id tantum quod virtus apud ipsos hæreditaria est, sed quia absurdum esset velle ut is qui civitatem felicem et de hostibus victricem reddere potest ac vult, magistratus instar ob divitias quibus potens est eligatur. Sic enim urbis non sospitator, sed proditor fieret. Si enim non domi, non in agris aut pascuis id permittere fas est, multo minus his quidem colonis, illis vero inspectores præficere in urbe conducibile erit. Exiguos autem et minus probos, et unde parum damni aut utilitatis sperandum est, minus conducit assumere quam præclaros et populo acceptos, et quorum facta et verba magni sunt momenti, id quod sole clarius est.

15. Hæc eadem porro etiam de nocturnis urbium custodibus dictum volo, qui in eadem utique conditione positi esse debebunt, quod in prytaneo nutriuntur, quare summo id studio agent ut spem suffragantium transgrediantur et meliores quam se fore polliciti erant, se exhibeant. Et revera tales qui sunt, urbem noctu et in armis percurrent, se invicem exhortantes et mœnium custodes ad vigilantiam et continentiam nunquam non exstimulantes. Sic qui intus sunt plena securitate fruentur, tranquilli et læti somno cedent bene scientes, alteros ipsorum loco vigilare et quod hostibus formidolosi metum quibusvis injiciant. Ejusmodi viri civibus suis fortissimi propugnatores erunt; et ubi itinere ad multam noctem producto domum se recipere volent, metuo ne hostibus plus quam suis propugnaculo sint. Quod enim illi ante omnia desiderant et hostibus invident victores s

A πόλεων φύλακες. Ἀλλ' οὐχ ἁλώσονται προδοσίας καὶ μηδὲν ἔχοντες, οὐδὲ τὴν ὑπὲρ ἡμῶν λείψουσι τάξιν κέρδους εἵνεκα; Καὶ τίς ἂν ταῦτ' οἶμαι τῶν πάντων δέξαιτο; ὅπου γὰρ καὶ τῶν εὐπορούντων ἔσνιν οὓς ὑπὲρ τοῦ τὰ ὄντα πλείω ποιῆσαι, τοῖς τοιούτοις ἐγχειροῦντας ὁρῶμεν· οἳ οὕτως ἀπόρως ἔχοντες, καὶ μηδ' ὅθεν ἂν πέσωσιν ἔχοντες, ὑπὲρ δὲ τοῦ τὴν γαστέρα μόνον ἐμπλῆσαι, πάντ' ἂν δρᾶσαι καὶ παθεῖν ἔχοντες, τίν' οὐκ ἂν τούτους εἰκὸς τοιαύτην τόλμαν τολμῆσαι; ἐμοὶ γὰρ δοκοῦσι καὶ μὴ βουλομένους ἂν τοὺς ἐχθροὺς ἐπὶ ταῦτα παρακαλέσαι· ἴσασι γὰρ καὶ μάλα σαφῶς ἴσασιν, οὐκ ἂν ἄλλως ἐξ ἀπόρων γεγονότες εὔποροι. Τοῦτο μὲν δὴ τοῦτον ἔστω τὸν τρόπον καὶ φυλασσόντων τὰς πόλεις, ἵνα καὶ αὖθις ταῦτ' εἴπω οὐχ οὓς ἄν τις εὐθὺς ἰδὼν οἰωνίσαιτο· οὐδ' οἱσιν οὐδὲ φαρμακοῖσιν ἂν εἴη, τὸ
B τοῦ ἔπους, χρηστέον, ἀλλ' οἱ βέλτιστοι τῶν πολιτῶν ἐκ διαδοχῆς· οὐ μόνον ὅτιπερ οὗτοι τὸ περὶ ταῦτα συγκεχωρηκὸς ἀφ' ἑστίας ὡς εἰπεῖν κέκτηνται, ἀλλ' ὅτι καὶ τῶν ἀτοπωτάτων ἄν εἴη, τὸν μὲν κρατοῦντα τοσαύτην ὅπως εὖ πράττοιεν αἱ πόλεις καὶ κρείττους εἶεν τῶν πολεμίων ποιεῖσθαι σπουδήν, ὡς τά γε ἄλλα καὶ τοὺς σφῶν ἄρχοντας ἀριστίνδην πλουτίνδην αἱρεῖσθαι· τοὺς δ' ἐν αὐταῖς ὅπως ὡς τάχιστ' ἀλοῖεν παρασκευάζειν πειρᾶσθαι, τῷ τοιούτους, ὡς μὲν αὐτοὶ φαῖεν ἄν, φύλακας τουτωνὶ καθιστάναι, ὡς δὲ τὸ εἰκὸς ἔχει, προδότας. Ὅταν γὰρ οὐκ ἐν ἀγροῖς οὐδ' ἐν οἴκοις, οὐδ' ἔτι πολὺ μᾶλλον ἐν θρέμμασι ταυτὶ ξυγχωρεῖν οἰώμεθα δεῖν, οὐδ' οὓς ἄν ποτε τύχοι, ἀλλὰ τοὺς ἐξητασμένους καὶ δόξαν ἀγαθὴν ἐσχηκότας, τοῖς μὲν νομέας, τοῖς δὲ μελε-
C δωνοὺς ἐφιστάναι, κομιδῇ ταῦτ' ἐν πόλεσι ξυγχωρεῖν οὐδ' ἄν εἷς ἀξιώσαι· εἰ τὸ μικρῶν τε καὶ φαύλων, καὶ ὧν εὖ ἢ κακῶς ἐχόντων ἐν ἐλαχίστῳ τὰ τῆς ὠφελείας καὶ βλάβης συμβαίνοι, τοσοῦτον ποιούμεθα λόγον, ἧπου τῶν μεγίστων καὶ κοινοτάτων καὶ ὧν ταῦτ' ἐστὶ μέρη, καὶ προσέθ' ὑπὲρ ὧν μόνων πάντα καὶ ποιεῖν καὶ λέγειν ἐχρῆν ὡς ἐξ ἀνάγκης διαφερόντων, οὐδ' ἔστιν εἰπεῖν ὅσον εἰκός.

ιε'. Ταῦτα δὲ ταῦτα λέγω καὶ περὶ τῶν ἐν ταῖς νυξὶ περιπόλων· καὶ γὰρ οὖν καὶ τούτους τοιούτους εἶναι μάλεστα δεῖ· τά τε ἄλλα καὶ σίτησιν ἐν πρυτανείῳ λαμβάνοντας· οὐ μὴν ἀλλὰ καὶ ἰδίᾳ τοσούτου δή τινος αὐτοὺς ὑπόχρεως εἶναι νομίζειν, ὡς καὶ τὰς τῶν ἑλομένων, τῷ τῆς σπουδῆς περιόντι, παρελαύνειν ἐλπίδας, καὶ κρείττους ἢ 'καῖνοι προσεδόκησαν φαίνεσθαι· θέοντας μὲν μεθ' ὅπλων διὰ
D πάσης νυκτὸς ἄνω καὶ κάτω τῆς πόλεως, ὀτρύνοντας καὶ διακελευομένους ἀλλήλοις τε καὶ τοῖς ἐπὶ τοῦ τείχους ἐγρηγορέναι καὶ νήφειν καὶ μηδὲν τῶν δεόντων ἐλλείπειν· ἐξιὼν τοῖς μὲν οἰκείοις ἀσφάλεια παντάπασιν ἔσται, καὶ τὸ τεθαρρηκότως τε καὶ ἡδέως καθεύδειν, εἰδότας ὡς ἄλλοι πρὸ αὐτῶν ἐγρηγόρασι· κατάπληξις δὲ τοῖς ἐναντίοις καὶ φόβος, καὶ τὸ μηδὲν ἃ μὴ δεῖ κατ' αὐτῶν ἐπιχειρεῖν ἐννοεῖν, ἢ διακινῆς ἐννοεῖν. Τοιοῦτοι μὲν ὄντες καὶ οὕτως ἔχοντες, ὑπὲρ πάντα τοῖς χρωμένοις ἔσονται πρόβολον· ἐὰν δὲ ἄχρι βαθείας ἑσπέρας τὸν δόλιχον ποιούμενοι τοῦ τον, ἔπειτ' οἴκαδ' ἀναχωρεῖν οἴωνται δεῖν, δέδοικα

δήπου δίδοικα, μὴ τοῖς πολεμίοις περίπολοί τινες ὧσι μᾶλλον ἢ τοῖς οἰκείοις· ἃ γὰρ μάλιστ' ἐκεῖνοι συνεύξαιτο σφίσιν αὐτοῖς, καὶ τούτων κατεύξαιντο, ὡς ὅταν βούλωνται ῥᾳδίως σφᾶς ἐξελεῖν δεδυνῆσθαι καὶ κατασχεῖν, ταῦθ' οὗτοι δι' ὧν οὑτωσὶ ῥᾳστωνεύσονται, κατεργάσονται· καὶ ὧν κατέστησαν φύλακες, τούτους ἐκόντες ὄντες προήσανται τοῖς ἐχθροῖς· εἴπερ ἐξὸν ἃ χρὴ πράττοντας καὶ νυκτοφυλακοῦντας, ὥσπερ ἔφην, εἰς τέλος, ἔπειτα τούτων καθάπαξ ὑπερφρονεῖν καὶ χαίρειν τοῖς ὅλοις ἐᾷν· οἱ δ' ὑπὸ τοῦ μὴ πονεῖν ἐθέλειν καὶ τρίβεσθαι, ἀλλ' ὕπνῳ καὶ νωθείᾳ δουλεύειν, καὶ τὴν αὐτῶν ἡδονὴν προτέραν τοῦ κοινῇ ξυμφέροντος κρίνειν, τὰ τοιαῦτα λειποτακτοῦσιν· ἄνευ δὲ τούτων οὐκ ἄν ἔχοι λόγον, τῆς μὲν φυλακῆς τοὺς μισθοὺς ἐντελεῖς λαμβάνειν ἐθέλειν, αὐτὴν δὲ ταύτην ἀτελῆ καταλείπειν. Εἰ μὲν γὰρ οὐ μέλλουσι διὰ τέλους φυλάττειν, τί περὶ τοὺς μισθοὺς ἀκριβολογοῦνται; εἰ δ' ἐν λόγῳ τοῦτο ποιεῖν οἴονται δεῖν, οἷς ἐν ἐκείνῳ τοῦ προσήκοντος ἀλογοῦσιν, οὐδὲ τοῦτον ἐν λόγῳ ποιεῖν μαρτυροῦσιν· ἀλλὰ καὶ τὴν πόλιν ἐν οὐ μικροῖς ἀδικεῖν, ὑπὲρ ἧς μισθοφοροῦσιν οὐκ ἐνδεῶς, ταύτην φυλάττοντές ἐνδεῶς, κἀντεῦθεν ὃν ἔφην τρόπον τοῖς ἐχθροῖς προδιδόντες· ὡς οὖν ἐν τούτοις τῶν ὅλων πραγμάτων ὑπάρχόντων τῇ πόλει, καὶ τῆς κοινῆς ἀσφαλείας, εἴ δεῖ συντόμως εἰπεῖν, ἐντεῦθεν εἶναι κινδονευούσης καὶ μὴ, κελεύω καὶ τούτους καὶ οὓς ἀρτίως ἐμνήσθην, παντάπασιν ἐγρηγορέναι καὶ νήφειν εἰς ἅπαν· καὶ οὕτω περὶ τὴν φυλακὴν διανίστασθαι, ὡς μηδὲν ἧττον κύβερνητῶν ἴσχειν τά γε τοιαῦτα· καὶ γὰρ ἐκεῖνοι καὶ παρὰ πάντα μὲν δήπου τὸν πλοῦν, οὐχ ἥκιστα δὲ κλύδωνος ἐπιόντος, οὐδ' ἐπὶ μικρὸν ἀφίστανται τῶν οἰάκων, οὐδ' ὧν ἡ τέχνη καὶ τὸ τῆς χρείας ἀναγκάζον παρέχει· ἀλλὰ καὶ νύκτωρ, ἔστι δ' ὅτε καὶ τῆς ἐπιγιγνομένης ἡμέρας, πάνθ' ὑπὲρ τῆς τῶν ἐμπλεόντων σωτηρίας ποιεῖν οἴονται χρῆναι, ὁμοῦ τε πρὸς κῦμα παραβαλλόμενοι, καὶ πρὸς ἀστέρας συνεχῶς ἀφορῶντες, κἀκεῖθεν λαμβάνοντες τοῦ ποιητέου τὸ σύνθημα. Εἶτα κυβερνήταις μὲν οὑτωσὶ μέλει νεῶν καὶ τοῦ κατ' αὐτὰς σωτηρίου· τοὺς δὲ τῶν πόλεων φύλακας οὐ πολλῷ μᾶλλον ταυτὶ πράττειν φήσομεν χρῆναι; ὅσον γὰρ μειζόνων ἢ 'κεῖνοι προίστανται, τοσοῦτο μείζω καὶ τὴν περὶ ταῦτα φυλακὴν ὀφείλουσιν ἴσχειν, πτηνῶν δίκην διὰ πάσης νυκτὸς περισκοποῦντες τὰ τείχη καὶ περιθέοντες σύναμα τῷ ἀστυνόμῳ τῷ τε τῆς πόλεως ἁρμοστῇ διεγείρουσι σφᾶς καὶ προθυμοτέρους τῷ συνεῖναι καὶ συνθεῖν καθιστᾶσιν.

ις'. Ἐπεὶ δ' ἐξ ἁπάντων τούτων συνίστασθαι μὲν καὶ πράττειν εὖ πόλεσιν ἔνι, καὶ προσέτ' ἀσφαλέστατα ἴσχειν, ἐπιδιδόναι δὲ τουλοιποῦ καὶ αὔξεσθαι τούτοις οὐκέτι· δεῖ δὲ ναὶ τούτου τοῦ μέρους οὐχ ἥκιστ' αὐταῖς. Οὐ γὰρ εὖ πράττειν μόνον ἀπόχρη, ἀλλὰ καὶ πρὸς τὰ κρείττω καὶ μείζω χωρεῖν ἑκάστοτε δεῖ καὶ πρόσω βαίνειν· καὶ ὅλως μετὰ παντὸς ἀεὶ τοῦ βελτίονος τὸν αἰῶνα διάγειν· δεῖν εἶναι καὶ πάνυ φημὶ τοὺς τῶν πολιτευομένων ἀρίστους τά τ' ἄλλα καὶ ὁτιοῦν χρηστὸν εἰργασμένους διαφερόντως ἐπαινεῖν καὶ θαυμάζειν καὶ περὶ πλείονος ποι-

recedere, id hi vel molliter agendo obtinebunt, et quorum prius custodes fuerant, eos libenter hostibus tradent, tum cum permissum est officiis satisfacere, excubias agere usque ad fastidium, de in iis valedicere. Ii deinde qui corpus laborando fatigare nolunt, somnum autem et indolentiam magis amant et qui voluptatem privatam utilitati publicæ anteponunt, ordine excedent; nefas enim esset mercedem integram postulare pro labore pene inchoato. Si enim custodiæ usque ad finem operam dare recusant, quomodo mercedem integram efflagitabunt? Quod si autem nunc officio vacant quod paulo post tergiversantur, nullo jure alterutrum faciunt, imo urbem magna injuria afficiunt, pretium integrum pro custodia imperfecta exposcentes. Quia igitur tota civitatis cura in iis reposita est, qui prodesse et obesse possunt, et tota rerum salus penes eos est, jubeo equidem ut summopere vigilent ac sobrii sint, nec minus ac gubernatores navigii curam agant qui per totam navigationem quando tempestas irruit, ne minimum quidem a gubernaculo recedit, nihil quod ars suadet, intentatum relinquit, imo noctu diuque facit quod in navigantium salutem adjuvare potest, undas mensurans, ad astra suspiciens, et inde ejus quod faciendum est, consilium capiens. Quod si gubernatoribus talia curæ sunt, quo pacto urbis ædilibus minus sollicitos esse licere dicemus? Quo majorum enim rerum curæ præpositi sunt, majorem etiam in iis sollicitudinem ponere debebunt et, volucrum instar, mœnia circumvolantes, una cum urbis præfecto ad vigilandum et cooperandum, quos par est, admonere.

16. Quamvis per hæc omnia civitas aliqua prosperitate ac securitate frui possit, id porro agendum restat ut ista prosperitas maneat. Felices enim cives esse non sufficit, imo meliores in diem fieri oportet, et inde in honore atque admiratione esse apud vulgum, si virtute excellunt. Et re vera civitas isto modo procedens, nec gloria nec vitæ commodis carebit, quando boni mores vigent et pravi perdomantur. Ita enim virtus ad altissimum fasti-

gium evehetur et numerosa sectatorum cohorte stipabitur. Si enim in eo, ut ait Euripides, plurimæ civitates peccant quod hominem probum, strenuum non patiuntur meliori quam malum ac perversum frui, fieri non potest quin idem, si propter res bene gestas a civibus honoratur, patriæ commodis studeat; quin quivis bonus citato gradu ad bene faciendum, inde coronam pretii loco reportaturus, accingatur. Nec mirum. Spartæ quidem tot et taneis bonis frui datum fuit a Lycurgo legislatore qui omnem terram gloria sua replevit sempiterna. Hinc ad nostra usque tempora nemo Lacedæmoniorum sine laude et admiratione mentionem facit. Alioquin Epaminondas Thebanos eo perduxit ut post pugnam Leuctricam ab universis metuerentur, non quin altos sibi spiritus sumerent. Altera ex parte Amphipolitæ Brasidæ ut heroi et consiliario sacra facere dignati sunt. quod eos a societate Athediensium abduxerat. Sic igitur Spartani Lycurgum, Thebani Epaminondam, ob præclare ab ipsis acta ut viros suprahumanos diis accensuere, extremis eos honoribus gratificantes. Sic porro Smyrnæi Homerum, Hippocratem Coi, Demetrium Abderitæ, Samii Pythagoram, Ajantem Salaminii, Trojani Hectorem, alii alios mirum in modum coluerunt. Inter quos tamen Athenienses in summo loco ponendi sunt. Soli enim mortalium maximum numerum virorum excellentium virtute et factis non in Græcorum, sed omnium prorsus hominum utilitatem progenuit. Ii potissimum ad patriæ necessitates impleudas contribuerunt; exteros hospitio exceperunt, præmiis dignos decorantes; sive sacrificiis, sive sacerdotiis, sive carmine aut statuis decoravere; quosdam corona aurea dignos habuerunt, tali modo viros laureatos ornantes et ad rerum bonarum certamen provocantes, et eodem actu civitatis fortunam augentes et virtutibus exercendis locum facientes, ipsorum ad gloriam utcunque non parum contribuerunt. Quod si honores merces sunt debita virtuti, nos si ingrati sumus, summa dignos viros injuria afficimus, eo quod eis debetur, spoliantes. Nec sane novi ac inauditi facimus si quod debemus solvimus; factis enim suis se iis istis muneribus dignos præstiterunt, quæ sibi ipsis magis quam nobis dantibus attribuere possunt.

A εἶσθαι τῶν ἄλλων, καὶ πᾶσιν οἷς εἰκὸς τουτουσὶ θεραπεύειν· πρὸς γὰρ τῷ τὴν ταῦτα πράσσουσαν πόλιν μάλιστα νοῦν ἔχειν δοκεῖν, καὶ δόξαν εὐγνωμοσύνης φέρεσθαι, καὶ πόλλ' αὐτῇ τὰ κάλλιστα περιγίγνεται, τῆς τε προσούσης ἀρετῆς τιμωμένης, τῆς τε κακίας καθάπαξ ἀνειργομένης, ὡς τὴν μὲν μεταβάλλειν εὖ μάλα, τὴν δ' εἰς ὅσον ἔξεστι πλεῖστον ἐπιδιδόναι, καὶ πλείστους ζηλωτὰς καθιστάναι. Εἰ γὰρ ἐν τῷδε κατ' Εὐριπίδην αἱ πολλαὶ κάμνουσι πόλεις, ὅταν τις ἐσθλὸς καὶ πρόθυμος ὢν ἀνὴρ, μηδὲν φέρηται τῶν κακιόνων πλέον, εὔδηλον ὡς ὅταν οὗτος αὐτὸς καὶ ὑπὲρ τὰ γιγνόμενα στέργηται καὶ φιλῆται, τοσοῦτον ἔσται τῇ λαχούσῃ πόλει τὸ κέρδος, ὡς μὴ μόνον τοὺς αὑτῆς πάντας λόγον ἀρετῆς ὡς μάλιστα ἴσχειν, καὶ τὰ μεγάλα τῇ πατρίδι φιλοτιμεῖσθαι βούλεσθαι, ἀλλὰ καὶ τοὺς ὁπηδήποτε καλοὺς
B κἀγαθοὺς ἐκ δυοῖν ποδοῖν ἐνταῦθα χωρεῖν, ἐπιδείξεως εἵνεκα καὶ στεφάνων. Δῆλον δέ. Τῇ τε γὰρ Σπάρτῃ τοσούτων καὶ τηλικούτων ἀγαθῶν ἀπολαῦσαι καὶ οὕτω θαυμαστοῖς τισιν ἄγαν κεκοσμῆσθαι τροπαίοις διὰ Λυκοῦργον καὶ τὰς Λυκούργου νομοθεσίας ὑπῆρξεν, ὡς καὶ τῆς οἰκουμένης ἑκασταχόσε ταυτησὶ τὸ κλέος ἐλάσαι, καὶ προσέτι ἀκίνητον κατὰ παντὸς ἐστάναι τοῦ χρόνου· οὔκουν ἔστι γε οὐδεὶς ἄχρι τοῦ δεῦρο, ὃς Λακεδαιμονίων μνησθείς, ἄνευ ἐγκωμίων ἐμνήσθη, ἀλλ' ἅμα τῷ μεμνῆσθαι, καὶ τὸ θαυμάζεσθαι συνεισέρχεται· τούς τε Θηβαίους ἐνταῦθα δόξης Ἐπαμεινώνδας προήγαγεν, ὡς καὶ φοβεροὺς τοῖς πᾶσι μετὰ τὴν ἐν Λεύκτροις μάχην γενέσθαι, καὶ μεῖζον ἢ καθ' αὑτοὺς φρόνημα σχεῖν·
C ἀνθ' ὧν ὥσπερ Ἀμφιπολῖται Βρασίδᾳ καθάπερ ἥρωΐ καὶ οἰκίστῃ θύειν ἠξίουν, ὅτι αὐτοὺς Ἀθηναίων ἀπέστησεν· οὕτω Λυκοῦργον μὲν Σπαρτιᾶται, Θηβαῖοι δὲ Ἐπαμεινώνδαν, δι' ἅπερ εἰς αὐτοὺς ἔδρασαν, ἰσοθέους νομίσαντες εἶναι καὶ τῆς ἀνθρωπείας φύσεως κρείττους, τὰ μέγιστα πάντων καὶ τιμᾶν αὐτοὺς ἤροντο χρῆναι· οὕτως Ὅμηρον μὲν Σμυρναῖοι, Κῶοι δὲ Ἱπποκράτην, καὶ Δημόκριτον Ἀβδηρῖται, καὶ Σάμιοι Πυθάγοραν, Αἴαντα δὲ Σαλαμὶς, καὶ Τρῶες Ἕκτορα, καὶ ἑτέρους ἕτεροι· Ἀθηναίους δὲ ἐξαιρῶν τοῦ λόγου· μόνοι γὰρ τῷ ὑφ' ἡλίῳ πάντων, εἰ δεῖ συντόμως εἰπεῖν, πλείστους τε καὶ βελτίστους καὶ τοῖς ὅλοις κρατίστους καὶ γεγονότας οὐχ Ἕλλησι μόνον ἀλλὰ καὶ πᾶσιν εἰπεῖν ἀνθρώποις ὡς ἀληθῶς ἐν καιρῷ· καὶ αὐτοὶ παρὰ σφῶν αὐτῶν εἰς τὰς κοινὰς παρείχοντο χρείας, καὶ τοὺς ἑτέρωθεν ὡς αὐτοὺς
D ἥκοντας, τοιούτους δή τινας ἀποφαίνοντες, καὶ τούτους κἀκείνους τῶν γιγνομένων γερῶν ὡς μάλιστ' ἠξίουν, τοὺς μὲν ἐν ἱεροῖς τε καὶ τελεταῖς καὶ θυσίαις, τοὺς δ' ἐν ἐπιγράμμασι καὶ εἰκόσι καὶ οἷς ἔξεστιν· ἔστι δ' οὓς καὶ τοῖς μετὰ χρυσοῦ στεφάνοις ἐκόσμουν· ὁμοῦ μὲν τούτους οἷς ἔφην δωρούμενοι, ὁμοῦ δὲ καὶ τοὺς ἄλλους ἐπὶ τὰ ἴσα παρακαλοῦντες, οὐ μᾶλλον τὴν τῆς πόλεως εὐδαιμονίαν, ἢ τὸ καλὸν καὶ τὴν ἀρετὴν ἐκ πάντων τουτωνὶ συγκροτοῦντες· τοσοῦτον ἦν τοῖς τοιούτοις τὸ παρὰ μάλιστ' αὐτῶν συγκεχωρηκός· δίκαιά τε ποιούντων καὶ τῆς σφετέρας αὐτῶν ἀξιόχρεω δόξης, καὶ τοῦ περὶ τὰ καλὰ συγκεκληρωμένου. Καίτοι εἰ τὸ τοὺς ἀγαθοὺς τι-

μᾶν, ἧς ἴσχουσιν ἀρετῆς, μισθός ἐστιν, ὡς ἅπαντες ἴσασιν, εὔδηλον ὡς ἐὰν μὴ τοῦτο ποιῶμεν, τὰ μέγιστ' αὐτοὺς ἀδικοῦμεν, τῶν προσηκόντων ἀποστεροῦντες. Νῦν δ' οὐδὲν καινόν, οἶμαι, δρῶμεν, τὸ εἰκὸς ἐκτινυύντες· καὶ ὃ σφίσιν αὐτοῖς δι' ὧν τοιοῦτοι δή τινες ἔγνωσαν ὄντες, παρεσκευάκασιν· ὥστε οἷς ἀκριβεῖ λόγῳ παρ' ἑαυτῶν οὐ παρ' ἡμῶν ταυτηνὶ κομίζονται τὴν συντέλειαν, εἰκότως ἂν τούτοὺ σφίσιν αὐτοῖς, οὐχ ἡμῖν ἔχοιεν χάριν. A

ιζ'. Οὐ μὴν ἀλλὰ καὶ τοὺς ἀγαθοὺς μὲν, οὐκ ἐξ ἀγαθῶν δὲ γεγονότας, οὐκ ἀποδοκιμαστέον διὰ τὸ γένος ἐστὶν, ἀλλὰ δι' αὐτοὺς αὐτοὺς σπουδαστέον· τοσοῦτο καλλίους ὄντας εἰς παράδοξον φάναι τῶν κατ' ἄμφω σεμνυνομένων, ὅσον οἱ μὲν οὐδὲν καινὸν οἶμαι δρῶσι, ποιοῦντες ἃ δεῖ, καὶ ἃ τοὺς ἐκ τοιούτων εἰκός· ἐπεὶ καὶ τοῖς πονηροῖς κἀκ πονηρῶν πεφυκόσιν οὐδὲν ἕτερον πρὸς τοὺς ἐγκαλοῦντας ἔνεστι λέγειν, ὅτι μὴ τὸ γένος καὶ τὸ παρὰ τοῦ γένους οὕτωσὶ διακεῖσθαι, ὡς μόνην ναύτην αὐτοῖς οὖσαν παραίτησιν καὶ καταφυγήν. Οἱ δ' ἐκ φαύλων ὁρμώμενοι τῶν παραδειγμάτων, οὐ τὴν αὐτὴν τοῖς πατράσιν, ἀλλὰ περιουσίᾳ φύσεως ἑτέραν ἐτράποντο, καλοὶ κἀγαθοὶ γεγονότες, καὶ τοσούτου ζήλου καὶ θαύματος ἄξιοι, ὅσον ψόγου καὶ κατηγορίας οἱ τὴν ὑπόθεσιν διαφθείραντες, καὶ τους γεγεννηκότας αἰσχύναντες τοῖς παρ' ἑαυτῶν. Τούτους οὖν δέον μᾶλλον ἐκείνων τιμᾶσθαι, ἡμεῖς δὲ καὶ τῶν προσηκόντων ἀποστερεῖν αὐτοὺς οἰησόμεθα δεῖν διὰ τὴν τῶν πατέρων φαυλότητα; καὶ πῶς οὐκ ἄνω ποταμῶν ταῦτα δράσομεν; Περικλέα γοῦν τὸν Ξανθίππου, καὶ Πομπήϊον Μάγνον, οἷς ὅτι διὰ πάντων τῶν καλλίστων πάντων ἐκράτουν, καὶ τὰ κοινὰ μάλιστα πάντων αὔξειν ἐπίσταντο, τὸν μὲν μεγίστης καὶ θαυμαστῆς ἠξίωσαν δόξης Ῥωμαῖοι, καὶ σφῶν αὐτῶν εὖ μάλα προὐστήσαντο· τοσοῦτον πρὸς τὸν αὐτοῦ πατέρα τρέφοντες μῖσος, δι' ἣν εἶχεν ὠμότητα, ὡς μηδὲ μετὰ τελευτὴν φείσασθαι τούτου, ἀλλὰ καὶ νεκρὸν ἐκβαλόντες, τὰ πάντων αὐτῷ δεινότατα χρήσασθαι· ἐξ ἐναγοῦς δὲ τῆς οἰκίας ὢν Περικλῆς οὐδέν τι μᾶλλον Ἀθηναίοις ἀπηξίωτο διὰ ταῦτα, ἀλλ' ἅπαντ' αὐτοῖς ἦν, καὶ δημαγωγὸς καὶ ἐνδημῶν καὶ προστάτης, καὶ ξυλλήβδην εἰπεῖν, ἁπάσης ἀσφαλείας καὶ σωτηρίας πρόβολος. Καὶ μὴν ὥσπερ τοῖς φαυλοτάτοις τῶν παίδων οὐκ ἀξιοῦμεν εἶναι πρὸς δόξαν τὴν πατρῴαν ἀρετὴν, οὐδ' ἐπαινεῖσθαι διὰ ταῦτα σφίσιν ἐξέσται, ἀλλὰ καὶ μείζω ταῦτ' αὐτοῖς φέρει τὴν μέμψιν, τό τε πονηροὺς εἶναι, τό τε μὴ τῷ γένει ξυμβαίνειν, οὕτως οἱ σώφρονες καὶ ἐπιεικεῖς, ἐὰν οὖν ἐπαινουμένους σχῶσι πατέρας, οὐδὲν ἧττον ἕξουθιν ἃ τοὺς τοιούτους εἰκὸς, τιμᾶσθαι λέγω καὶ τυγχάνειν ἐπαίνων· εἰκότως· οὔτ' ἀρετὴ γὰρ οὔτε κακία φύσει δήπουθεν τοῖς ἀνθρώποις, ἀλλὰ τῷ προαιρεῖσθαι καὶ πονεῖν προσγίγνεσθαι πέφυκε. Καὶ δῆλον ἐκ τοῦ τοῖς μὲν γέρα, τοῖς δὲ κολάσεις ὡρίσθαι. Εἰ δέ γε φύσει πρὸς ταῦτ' ἐχωροῦμεν, καὶ κατὰ γένος ἀγαθοὶ καὶ κακοί τινες ἦμεν, οὐδὲν ἂν τούτων ἀπήνυτα· τὰ γὰρ παρὰ τῆς φύσεως ὁποτέρως ἂν ἔχοι, καὶ οἷά ποτ' ἂν ᾖ, οὔτ' ἐπαίνων οὔτ' αὖ ψόγων τυγχάνει· νῦν δὲ οἷς ἂν πράττωμεν, τὰ μὲν στεφανούμεθα, τὰ δ' ὑπέχομεν δίκην. B C D

17. Boni cives porro vilibus forte parentibus orti non ex origine judicandi sunt, sed secundum quod sunt aut fecerunt, eo magis scilicet honorandi quo magis a majoribus differunt. Nam qui e pravis pravi geniti sunt, quid aliud reprehensoribus respondebunt nisi quod ignobili genere nati aliter facere non possunt? Sunt porro et fuerunt qui malum majorum exemplum minime secuti, bona indole moti, frugi homines facti, admiratione sese dignos reddiderunt et iniquos detractores et parentes ipsos pudore replerunt. Quare eos omni laude cumulare, nedum ob parentum scelera proseindere debemus. Periclem quidem, Xanthippi filium, et magnum Pompeium qui circa omnia inter omnes excelluerunt et reipublicæ salutem summopere auxerunt, Romani maximi facientes, sibi ipsis læto animo anteposuerunt; patrem autem, hominem rudem adeo in odio habuerunt, ut nec mortuo perceperint, sed e sepulchro projectum pessime tractarint. Pericles e contra ex infortunato patre oriundus nunquam Atheniensibus despicatui erat, imo omnia eis erat, publicola, præfectus, omnis denique securitatis et salutis sospitator. Quemadmodum porro nolumus pravos pueros e gloria paterna fructum usurpare, imo magis vituperamus cum parentibus comparantes; sic adolescentes bene morati, si patribus illustribus nati sunt, id unum agent ut non minus quam genitores honorentur, et recte quidem. Nam nec virtus nec vitia hominibus a natura ingenita sunt, sed studium et labor genuinus, quod videre inde est quod alit muneribus honorificis, pœnis alii afficiuntur; quod fieri non posset si virtus et vitia natura nobis indita forent. Hinc naturæ dona nec laudibus nec vituperatione digna sunt; pro iis autem quæ proprio Marte agimus, aut coronamur aut etiam castigamur.

18. Nos quidem iis, de quibus bene opinamur, nihil refutamus; eos omnibus terræ commodis dignos censemus, nec tamen eos quorum membra mutilata sunt, ludibrio habere eosque ob infortunium subsannare debemus, imo consolatione eorum animos mulcere decet, idque eo magis, quod nos ipsis malam sortem experiri poterimus. Nunquam igitur desperemus; semper verbis ac factis ejusmodi miserorum animum elevemus, Timonem Echecratidæ filium ob oculos ponentes, ne in isto rerum discrimine semimortui vivendi causas perdant. Qui enim mortuus male audit, jam non mœret ob eam rem. Si autem oculis, aut auribus aut quolibet sensu privatus est aliquis acerrimum in eum telum intorqueremus, malum illud conviciando obtrudentes. Sic enim infelicitatis pondere etiam magis premerentur; idque eo magis quanto minus amici, inimici jam facti, consolabundi nescio num per invidiam ad eos accedunt. Si enim nefas est malo aliquo vexatos ludibrio habere (quo quid aliud quam nos ipsos incriminaretur?) sane necesse est ut ejusmodi nugis valedicentes, humane eos tractemus qui a fortuna male habentur; et contra enim agendo illis quidem mali nihil faciunt, se ipsos autem imprudentiæ et inhumanitatis reos ostenderent, quo nihil stultius. Si deinceps leges divinæ præcipiunt ut iis qui læsunt bene faciamus, quam vindictam eædem sument de eo qui pro inhumanitate sua homines misericordia dignos ludibrio habent? Quia si ipsi in eamdem calamitatem incidunt? Si mimus dura est, tolerabunt; si gravis, quo pacto non iis qui vexati sunt sublevandis operam dabunt, memores quantum ipsos ærumna, si accideret, opprimeret? Humane igitur qui merentur, tergiversando improbos tractemus. Illis consolationis ac fraternæ charitatis signa offeramus, verborum consolatorium medulla malam eorum sortem alleviaturi.

ιη'. Ὥσπερ δὲ οἷς τὰ κάλλιστα σύνισμεν, τούτοις ἀξιοῦμεν ἃ προσήκει κεχρῆσθαι, καὶ τὴν νομιζομένην τοῖς τοιούτοις ἀποδιδόναι φορὰν, οὕτως ὅταν οὐστινασοῦν τῶν τι τοῦ σώματος πεπηρωμένους ὁρῶμεν οὐκ ὀνειδίζειν οὐδ' ἐπιχαίρειν αὐτοῖς τὴν συμφορὰν ἐπιτρίβοντας, ἀλλὰ καὶ συνάχθεσθαι δεῖ, καὶ διὰ πάντων ἀξιοῦν προμηθείας, οὐχ ἥκιστ' ἡμῶν αὐτῶν τούτων φροντίζοντας· μάλιστα μὲν ὅτι δέος ὂν μὴ τοῖς αὐτοῖς ποτε καὶ αὐτοὶ περιπέσωμεν, τῶν ἀναγκαιοτάτων ἐστὶ χρησταῖς ἐντεῦθεν ταῖς ἐλπίσι συζῆν· ἔπειτ' οὐ μόνον τὸ συγγενὲς καὶ κατὰ φύσιν οἰκεῖον ταῦτ' εἰς αὐτοὺς καὶ διανοεῖσθαι καὶ πράττειν ὡς μάλιστ' ἐπαίρει· ἀλλὰ καὶ τούτου χωρὶς, καὶ Τίμωνα τὸν Ἐχεκρατίδου πρὸς τὸν αὐτῶν οἰκτον ἐπισπάσασθαι ἄν μοο δοκοῦσιν, οὕτως ἀθλίως καὶ τὸν αὐτῶν ἠκρωτηριασμένοι βίον, καὶ ὄντες ὡς εἰπεῖν ἡμιθνῆτες· ὁτιπερ εἰς ζῶντας ἄλλως τελοῦντες τεθνᾶσι τούτῳ τῷ μέρει· ᾧ καὶ μάλιστ' ἄν τις εἰκότως ἀλγήσῃ· εἴπερ ὁ μὲν τεθνεὼς κἂν μυριάκις ἀκούῃ κακῶς, οὐδὲν ἔστ' αὐτῷ πλέον ἀναισθήτως καθάπαξ ἔχοντι· ὅταν δέ τις περὶ ὀφθαλμοὺς ἢ ὦτα ἤ τιν' ἄλλην αἴσθησιν ᾖ βεβλαμμένος, προσθήκην τῆς συμφορᾶς τοὔνειδος δέχεται, καὶ διπλοῦς ὑφίσταται βέλος, τό θ' οὕτως καὶ μὴ τοῖς ἄλλοις ἔχειν κατὰ ταυτὰ, τό θ' οὕτως ἔχων, οὐ παραμυθουμένους ἀλλ' ἐπιχαίροντας ἔχειν· ὧν ἔγωγ' ἂν ἡδέως πυθοίμην, πότερ' αὐτοῖς τούτοις τοῖς ταῦτ' ἔχουσι νεμεσῶσιν. Εἰ μὲν γὰρ τοῖς ἔχουσιν, οὐκ ἔδει δήπου ταῦτ' αὐτοῖς προτείνειν εἰς ὄνειδος, ἐξὸν σφᾶς ἄλλως κακίζειν· ἀλλὰ μὴν εἴ γε τοῖς πάθεσι φήσουσιν, ἀνάγκη πᾶσα τὰ μὲν ἀποστρέφεσθαι καὶ φαῦλα νομίζειν, τοῖς δὲ συναλγεῖν εἰς ταῦτ' ἐμπεσοῦσιν· οὐκοῦν οἷς μὲν θάτερον ἀναιροῦσιν, οὐδέτερον κατὰ λόγον ποιοῦσιν· οἷς δὲ τοὺς οὕτως ἔχοντας κωμῳδεῖν ἀντὶ τοῦ συναλγεῖν ἀξιοῦσι, τοὺς μὲν οὐδὲν ὁτιοῦν ἐντεῦθεν ἐργάζονται· σφίσι δ' αὐτοῖς ἀλογίαν καὶ μισανθρωπίαν τὰ πάντων ἴσχιστα μαρτυροῦσι. Καίτοι εἰ τοὺς ἀδικοῦντας εὖ ποιεῖν θεῖοι παρακελεύονται νόμοι, τὸ τοὺς οὐχ ὅπως οὐδὲν ἀδικοῦντας, ἀλλὰ καὶ διὰ τὴν συμφορὰν ἐλέους ἀξίους μυκτηρίζειν καὶ διαβάλλειν αἱρεῖσθαι, ἡλίκον θεόθεν οἷσει τὸν ὄλεθρον; Φέρ' ἐὰν δ' εἰς ταῦτ' αὐτοῖς ἐμπεσοῦσι; ταὐτονὶ προσενεχθῇ τις τὸν τρόπον, πῶς ἔξουσιν· εἰ μὲν ἐπιεικῶς καὶ μετρίως, οὐδὲ τούτους εἰκὸς οἷς ἀμέλει πάσχουσι δυσχεραίνειν· εἰ δὲ πολλοῦ γε καὶ τοῦ πάντὸς σφίσι δεήσει τὰ τοιαῦτ' ἀνασχέσθαι, πῶς οὐκ ἀτόπως ἔχουσι ταῦτ' εἰς τοὺς ἄλλους ποιεῖν ἀξιοῦντες, ὧν ἐάν ποτ' αὐτοὶ πειραθῶσι, συμφορὰν νομιοῦσι; Διὰ δὴ ταῦτα κελεύω, τὸ μὲν τουτοισὶν ἐπιχαίρειν, οἷς οὐχ ὅπως ἥκιστα πάντων ἐπιχαίρειν, ἀλλὰ καὶ μάλιστα πάντων, οἷς οὕτως ἔχουσι, συνάχθεσθαι χρὴ, χαίρειν καθάπαξ ἐᾷν· τὸ δὲ τῆς τούτων παραμυθίας ἀντιποιεῖσθαι, καὶ διὰ πάντων ὧν ἔξεστι ταυτησὶ λόγον ποιεῖσθαι, περὶ πάνυ τοι πλείστου ποιεῖσθαι, πρῶτον μὲν ἵλεω καὶ οἰκτου μεστὴν αὐτοῖς εἰσφέροντας γνώμην, ἔπειτα ταῖς τῶν λόγων ἐπῳδαῖς, καὶ ῥᾴους ἐντεῦθεν τουτουσὶ καθιστάντας.

ιθ'. Ἐχόμενον δ' ἂν εἴη καὶ περὶ τῶν δουλεύειν εἰληχότων ἃ δεῖ διελθεῖν· καὶ γὰρ δὴ τῶν αὐτῶν καὶ οὗτοι τυῖς πρὸ αὐτῶν ἀμέλει πειρῶνται, καὶ πως παραπλησίᾳ χρῶνται τῇ τύχῃ, ὥσπερ ἐκεῖνοι τὸ σῶμα, ὡς δὲ καὶ οὗτοι τὴν σφετέραν αὐτῶν ἐλευθερίαν ὡς ἂν τις εἰπῃ πεπηρωμένοι, καὶ παρὰ τὰς τῆς φύσεως δουλεύοντες ψήφους· ἡ μὲν γὰρ ἐλευθέρους πάντας ἀνθρώπους εἴργαστο τὴν ἀρχὴν, τῷ μὴ τὸν μὲν μᾶλλον, τὸν δ' ἧττον, ἀλλὰ πάντας ἐξ ἴσου τῶν παρ' αὐτῆς ἀξιῶσαι καὶ κατὰ ταυτὸν ἑκάστῳ δὴ διανεῖμαι· τῇ τύχῃ δὲ καὶ ταῖς τῆς τύχης στροφαῖς καὶ τῷ μηδέποτ' ἐν ταυτῷ τὰ πράγματα μένειν, ἀλλ' ἄνω καὶ κάτω φέρεσθαι καὶ χωρεῖν, ὁ μὲν δεσπότης ὁ δὲ δοῦλος κατέστη· ἐπίδοξοί τινες ὄντες, καὶ αὐτοὶ σφίσιν αὐτοῖς τῶν ἐναντίων ποτ' ἂν πεπειρᾶσθαι, καὶ τὴν ἀλλήλων ἀλλάξασθαι τύχην κατὰ τὸ τῶν πραγμάτων ξυμβαῖνον· μᾶλλον δὲ δεσπότην μὲν ἂν αὐτὸ ταῦτο μόνον οὐδοντινοῦν τῶν ἀπάντων οὐδ' ἂν εἷς δύναιτο δεῖξαι· δούλους δ' ἅπαντας, πάντες. Κἂν γὰρ τὴν ἁπασῶν μεγίστην ἄρχῃς λαχὼν, καὶ οὕτως οὐδὲν μᾶλλον ἐλεύθερος ἂν εἴης, ἀλλ' εἰς δούλους τελεῖς· ἀρχῇ δουλεύων, καὶ τῷ κοινῇ πάντων ἐθέλειν προϊστασθαι· καὶ σιωπῶ τρυφήν τε καὶ τὰς οὐκ ἐπαινουμένας ἡδονὰς, καὶ πάνθ' ἕτερα οἷς ἀναδκη δουλεύειν τοὺς οὕτως ἔχοντας. Φησὶ γοῦν Εὐριπίδης καλῶς γε λέγων καὶ τῆς κοινῆς δόξης ἀξίως· « Φεῦ! οὐκ ἔστι θνητῶν ὃς ἔστ' ἐλεύθερος· » ἢ χρημάτων γὰρ ἐστι δοῦλος ἢ τύχης ἢ ὅτων ἂν τις καὶ φήσαι· εἰ δὲ τρόπον ἕτερον ἄρχοντες, ἕτερον τρόπον ἀρχόμεθα, καὶ τοῦθ' ὡν ἀληθῶς μᾶλλον ἢ' κεῖνο, δίκαιοι πάντως ἐσμὲν ὡς παρὰ φύσιν κατέστημεν ἄρχοντες. τῷ πάντας ἐλευθέρους, ὡς ἔφην, ἐξ ἀρχῆς γεγενῆσθαι· τούτων καὶ δὴ κατὰ φύσιν λόγου ποιεῖσθαι, καὶ τὰ γιγνόμενα χρῆσθαι, καὶ μὴ παντάπασιν αὐτοῖς ἐπικεῖσθαι, μηδ' ἐπιτρίβειν ἐθέλειν διὰ τὴν ἡμῶν τε κἀκείνων ἀντίπαλον τύχην, ἀλλ' ὅσ' αὐτοῖς ἔξεστι καὶ δίδωσι τὸ εἰκὸς ἐπιτάττοντες, μηδὲν ἔπειτα προσπεριεργάζεσθαι, μηδ' ἀγνοεῖν ὑπὸ τῆς δεσποτείας τὴν φύσιν, ὥσπερ οἱ μεθύοντες τούς αὐτῶν· ἀλλὰ τὸ μὲν ἀφιλανθρώπους αὐτοὺς ἴσχειν καὶ παρὰ τὸ δέον ἐπιτιμᾶν, καὶ ὕβρεσι πλύνειν, καὶ τὰ δεινότατα ἀπειλεῖν, καὶ μαστιγοῦν καὶ δεῖν καὶ στρεβλοῦν καὶ ξαίνειν κατὰ τοῦ νώτου πολλὰς, καὶ μὴν καὶ τοῖς ὑπὲρ δύναμιν ἐγχειρεῖν τούτους καταναγκάζειν, εἰ καὶ τῶν πάνυ τοι ταῦτα δεινῶν, ἀλλ' οὖν φορητά πώς ἐστι διὰ τὴν τύχην. « Αἳ αἳ γὰρ, φησὶ, τὸ δοῦλον ὡς κακῶς πεφυκέναι· τολμᾶθ' ἃ μὴ χρὴ τῇ βίᾳ νικώμενον. »

κ'. Ὅταν δὲ καὶ τῶν δεσποτῶν ἔστιν οἳ τοὺς γιγνομέγους τῶν πόνων μισθοὺς, τοὺς μὲν ἐξ ἡμισείας, τοὺς δὲ καὶ καθάπαξ ἀποστερεῖν οἴωνται δεῖν, καὶ δούλους λέγω καὶ ἄλλως ἐλευθέρους μεν, ὑπὸ δὲ πενίας καὶ τὸ μηδὲν ἔχειν ἀναγκαζομένους μισθοφορεῖν ἑκάστοτε καὶ πονεῖν, καὶ πάνθ' ὑπὲρ τοῦ καθ' ἡμέραν βίου καὶ βούλεσθαι καὶ ποιεῖν, ὅταν οὖν παρανομεῖν τὰ τοιαῦτα προάγωνται, τοῦτ' ἔστι τὸ μάλιστα πάντων ἀπηχθημένον Θεῷ, καὶ ὃ μηδ' ἂν εἷς μοι δοκεῖ μὴ ὅτι παθεῖν ἀνασχέσθαι,

A 19. E re utique est hoc loco de servis loqui, qui eadem sorte qua majores utuntur, et qui, si isti corpore, libertate sua mutilati videri possunt, utpote contra naturæ leges in servitutem redacti· Hæc omnes homines a principio liberos creavit, nec ulli privilegium, sed æqualitatem conditionis cunctis impertivit; sed fortunæ viciesitudinibus quæ res nunquam eodem loco consistere sinunt, alius dominus, alius servus evasit. Sunt sane qui mala ipsi passi sunt et alios ut minus paterentur impedierunt; domini certe privilegium nemo, servitutis conditionem omnes demonstrabunt. Etiamsi enim summæ rerum potitus sis, nihilominus liber
B non esses, imo servires et ipse, quia imperio servis et quia omnibus præesse vis. Luxuriem enim et voluptatem et cætera omnia silentio prætereo, quibus virum in tali conditione constitutum servire necesse est. Egregie igitur Euripides: Proh dolor, inquit, nemo est liber. Aut enim divitiarum aut suæ sortis aut cujuslibet rei servus est. Si autem uno modo gubernamus, altero gubernamur (hoc autem potius quam illud), et sic vel contra naturam gubernatores constituimus quia, ut diximus, a principio omnes liberi nati sumus. Absit a nobis sortis superioritatem usurpantes, regimen in eos
C exercere eosque opprimere, sed obsequium rationabile iis imponamus, nec gubernii limites transgrediamur, non jam nostri compotes, ut ebrii. Interea vero servos inhumane tractant, plus justo verbis castigant, insultant, minantur, flagellant, tormentis vexant, dorso plagas plurimas impingunt, ab iis quod vires transcendit exigunt. Quid enim? tolerandum est, sorte ita volente. Quantum malum, proh dolor, ad servitutem nasci! ferendum est quod vi averti nequit.

D

20. Quando despotæ aliqui mercedis pro laboribus præstitis debitæ aut partem aut totum rescindunt, sive servos sive liberos eo quod ipsis debetur privantes, qui tamen ob egestatem rerumque penuriam laborare vi coacti debent; qui, inquam, his in rebus injuste agunt, rem Numini divino odiosissimam faciunt, et quam nec oculis, nec auribus perferre volet. Quomodo enim cum

ratione vel ipsa humanitate congruit miseros istos laboribus modestare et supra quam fas est torquere, imo pugnis cædere ? Siccine homines qui pro improbo labore meritam mercedem exspectant, quasi re male gesta vacuos dimittere ? Siccine eos qui nulli ejusmodi operi tempus ac vires dederunt prospera in fortuna ponere, et vitæ ærumnis eximere et otio vitam inertem transigere ; modestos vero istos mercenarios contra jus fasque ad imam miseriam crudelissime detrusos, mercede debita privare ? Horum quidem hominum si adversam fortunam nobis commiserari licet, tortores eorum certe odio habere, malorum dæmonum loco ponere permissum est, qui subditos male tractare haud erubescunt, nullam sibi rationem reddendam autumant ; versa enim vice humaniores se ac misericordiores præstarent. Parva enim et parum duratura sunt quæ fraudulenter servis suis eripere audent ; maxima autem sunt bona quibus ipsi excidunt, et mala quæ in istorum locum succedent, et quæ non per tempus aliquod fixum durabunt, sed æternam vitam reddent, quod certe extremæ felicitatis signum est, quæ summis in Deo bonis frui dabit, et doloribus atque ærumnis liberat, in quas homines perversi et crudeles incidunt. Si enim Deus ei qui de suo dare aliquid proximo non vult, irascitur, quomodo illum habebit qui alios, ut fur, spoliat et operariis mercedem recusat, quo nihil injustius reperiri potest ?

21. Equidem censeo unicuique vestrum ad opus aliquod se accincturo duo inesse debere, primum bona et honesta capere consilia suo ipsius nomine et cæteros ad idem cohortari, et sic mentem et animum ad honestas operationes provocare ; deinde iis quæ post maturam deliberationem decreta sunt, manus industriosas injicere, seseque laude dignum reddere expedit. Legibus obtemperare et opera perficere gratitudine compensanda e re erit ; nullumque injustitiæ locum concedere malarum actionum matri et fautrici. Ejus rei testimonium perhibent Athenienses qui bello Medico

Beatus Rhenanus Basil. 1535, fol. Rufini *Hist. ecclesiasticæ* et *Historiæ tripartiæ* Epiphanii scholastici, pag. 590—615 subjunxit *Historiam ecclesiasticam a Nicephoro Græco monacho conscriptam et incerto interprete jam olim Latine versam*, quæ velut continuatura Tripartitam incipit a temporibus Theodosii Junioris, desinitque in morte Anastasii, quem impium vocat et a quibusdam fulmine divino percussum tradi scribit. Non modo brevius longe singula persequitur, quam Nicephorus Callistus libris XIV, XV, XVI, sed et aliter nonnulla refert, ut alium illum fuisse Nicephorum sit necesse, licet Callistus etiam monachus fuisse viris doctis videatur. Vide, quæ de his Collectaneis Jacobus Billius, lib. I *Obs. sacr.* cap. 16.

De excerptis e Theodori lecloris libris duobus *Historiæ ecclesiasticæ*, quæ titulus profitetur accepta ἀπὸ φωνῆς Νικηφόρου Καλλίστου τοῦ Ξανθοπούλου, dictum in Theodoro.

ΝΙΚΗΦΟΡΟΥ ΚΑΛΛΙΣΤΟΥ

ΤΟΥ ΞΑΝΘΟΠΟΥΛΟΥ

ΕΚΚΛΗΣΙΑΣΤΙΚΗΣ ΙΣΤΟΡΙΑΣ

ΒΙΒΛΙΑ ΙΗ'.

—

NICEPHORI CALLISTI

XANTHOPULI

ECCLESIASTICÆ HISTORIÆ

LIBRI XVIII,

In duos tomos distincti, de Græce nunc primum editi. Adjecta est latina interpretatio Joannis Langi, a R. P. Frontone Ducæo, societatis Jesu theologo cum Græcis collata et recognita.

(Lutetiæ Parisiorum, Sumptibus Sebastiani et Gabrielis Cramoisy, via Jacobæa, sub Ciconiis, 1630, cum privilegio Regis Christianissimi.

—

ARMANDO JOANNI
ILLUSTRISSIMO S. R. E. CARDINALI DE RICHELIEU.

Nicephori Callisti aliquando tenemus historiam. Illustrissime Cardinalis, qui nunc, post longam periculosamque jactationem, in sinu tuæ purpuræ, tanquam in portu placidissimo, si pateris, conquiescet. Heu quibus ille jactatus fatis! Apud Matthiam Corvinum quondam in pretio habitus, in potestatem venit postea Barbarorum : et Turcis Pannoniam invadentibus. vix unius militis fuit præda. Servatus est autem, non historiæ, nec rerum quas continebat merito, sed quadam elegantia characteris, cujus etiam beneficio Constantinopoli væniit inter delicatorum supellectilem, quasi cultius aliquod mancipium. Emptorem autem invenit eum

qui publicis invidens commodis, suum fecisse videbatur, ne esset aliorum. Sed tandem ab injusto domino in familiam imperatoris transiit, ac postliminio restitutus eos est unde fuerat ablatus : auctor siquidem ipse Nicephorus suum imperatore dignum munus judicaverat, et Palæologo, uti suspicio est, historiam consecrarat. Joannes Langus, vir de republica litteraria optime meritus, eum primus e Bibliothecæ vinculis exsolvit, ac Latio donavit, quo sibi nomine etsi obstrinxit universos, non tamen effecit ut ipsum e vultu Nicephorum nosse non cuperent ii quibus antiquitatis studium et Græcæ facundiæ dignitas esset in pretio. Præter cæteros autem Jacobi Thuani in senatu Parisiensi præsidis, et inter egregie doctos facile principis, in hanc curam animus exarsit, pugnavitque omni qua valebat gratiâ, et perfecit, ut e bibliotheca imperatoris exemplar ipsum Græcum nobis liceret exscribere, quod accurate præstitimus. Hujus autem ad transcripti fidem Latina versio explorata commissaque est a R. P. Frontone Ducæo e societate Jesu, qui eam interpolavit omnem et recensuit. Non dubitamus autem isto sponsore, Nicephorum hunc nostrum germanum asserere, et vel Callisto patri (si redeat in vivis) recognoscendum dare. Nunc illum, Illustrissime Cardinalis, orbis Christianus Galliæ debiturus est, qui per te jam illi multa debet. Atque hic quam sit tuus ipsa nominis indicatio demonstrat. Quem enim appellet alium Νικηφορος, *quam eum qui quacunque iter fecit victoriam circumtulisse visus est. Qui rebellantes provincias non tam parsibus, quam victoriis peragravit : qui felicitate, vigilantia, virtute quidquid hactenus Galliæ beatitati obstiterat, evertit disjecitque. Pergis autem etiam nunc, Illustrissime Cardinalis, alias in oras vim eamdem beneficam invictamque deducere. Exstabit, ne dubita, alter aliquando Nicephorus, qui tuarum victoriarum cursum posteris explicabit, quanquam ut facta tua nemo scriptis celebret, fama tamen loquetur ipsa, neque ventura de te ætas ulla postea conticescet. Nos certe quod vita suppetet, tuis obstricti ornatique beneficiis, quiqui sumus, fidam semper obsequendi voluntatem profiteri non desinemus,*

Illustriss. et Reverendiss. Cardinalis,

Deditissimi humillimique Clientes,

SEBASTIANUS ET GABRIEL CRAMOISY FRATRES.

ΠΡΟΣΦΩΝΗΜΑ

ΕΝ ΕΙΔΕΙ ΕΓΚΩΜΙΟΥ

ΕΙΣ ΤΟΝ ΕΥΣΕΒΕΣΤΑΤΟΝ ΚΑΙ ΑΓΙΟΝ ΗΜΩΝ ΑΥΤΟΚΡΑΤΟΡΑ ΥΠΕΡ ΤΗΣ ΒΙΒΛΟΥ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣΤΙΚΗΣ ΙΣΤΟΡΙΑΣ.

ALLOCUTIO ENCOMIASTICA

AD PIISSIMUM ET SANCTUM IMPERATOREM NOSTRUM

SUPER LIBRO HISTORIÆ ECCLESIASTICÆ.

1 Ecclesiastica Historia composita, multorumque et admirandorum virorum rebus gestis a me scriptis, nemini profecto opus id, quam tibi, rectius consecrarim, imperator, principum omnium Christi amantissimo atque humanissimo, qui omnes prorsus virtutes complexus, nihil rerum pulcherrimarum et excellentissimarum prætermisisti. Et cum permulta atque adeo innumerabilia tua sint præclare facta, orationem nostram longe superantia, manu divina consilium omne tuum et fa-

A Ἐμοὶ δὲ ἄρα ἐκκλησιαστικὴν ἱστορίαν ἠρημένῳ συντάττειν, καὶ πολλῶν καὶ θεσπεσίων πράξεις ἀνδρῶν πειρωμένῳ δὴ ξυγγράφειν, τίνι γε ἄλλῳ ταύτην ἀναθεῖναι προσῆκεν, ἢ σοί, βασιλέων πάντων φιλοχριστότατε καὶ φιλανθρωπότατε, πάσας ἄρδην ἅτε συλλαβόντι τὰς ἀρετὰς, καὶ μηδεμίαν ὑπερβολὴν τῶν χρηστῶν ἐν οὐδενὶ καταλελοιπότι ; οὗ πολλὰ μὲν καὶ ἄλλα τὰ κατορθώματα, καὶ ὡς οἷον εἰπεῖν ἄπειρα, καὶ λόγον ἐκβαίνοντα τὸν ἡμέτερον, θεοῦ χειρὶ πρὸς πᾶσαν καὶ βουλὴν καὶ πρᾶξιν ὁδηγου-

μένου, πάντων δ' ἔμοιγε μέγιστον, καὶ ὡς ἂν τις εὐστόχως φαίη ἐπίσημον, ἡ τε περὶ τὴν Χριστοῦ Ἐκκλησίαν σπουδὴ, καὶ ὁ περὶ αὐτὴν ἔνθερμος οἷον καὶ ἄφραστος ἔρως, καὶ τὰ σὰ διὰ ταύτην τρόπαιά τε καὶ νικητήρια. Ἦν δῆτα πολλῷ καὶ μυρίῳ σάλῳ τῶν τῆς δυσσεβείας ῥευμάτων, σκληρῶν τε πνευμάτων ἀντιπνοίαις ἀμηχέπη φερομένην εὐρὼν, πάντα θέμενος ἐν δευτέρῳ, πρὸς τοὺς σοὺς γαληνοὺς λιμένας ἀσφαλῶς διανύξασθαι καὶ κατᾶραι παρεσκευάσω. Καὶ νῦν ἄκλαστος διαμένουσα, οἷα δὴ τὸν πρόσφατον ῥύπον ἀποθεμένη, καὶ πρὸς τὴν ἀρχαίαν ἐπαναχθεῖσα εὐπρέπειαν, μᾶλλον δὲ τὴν ἐκ τῆς ζάλης ἅλμην τοῖς τῶν σῶν λόγων ποτιμωτάτοις ῥοθίοις ἀποκλυσαμένη καὶ ἀποπτύσασα, σοὶ τῷ ἐκ Θεοῦ κοσμαγωγῷ τε καὶ κυβερνήτῃ, εἴπω δ' ὅτι καὶ ἱερῷ νομφοστόλῳ, ἀξιόχρεων τὴν χάριν ἀποπληροῖ, διάτορον οἷον καὶ μεγάλην ῥηγνῦσα φωνὴν, ὡς διὰ σοῦ πάντες ἄσυλον τὸ χρῆμα τῆς εὐσεβείας τηροῦντες, ἐν τῷ βεβαίῳ ἑστάναι τῆς ἀκιδδήλου στερρῶς οἰόμεθα πίστεως, τὴν ἀμφὶ τῷ Θεῷ πλανωμένην δόξαν πόρρω πη, ὡς γε ἦν εἰκὸς, διαῤῥίψαντες. Οὐ μὴν ἀλλ' εἰ μὲν ἦν ἐμοὶ σκοπουμένῳ ἀρχῆς ἀπ' ἄκρας τοῖς σοῖς κατὰ μέρος ἅπασιν ἐπιστῆναι, οἵαις τε ῥίζαις τῶν περὶ σὲ πραγμάτων τὰς ἀφορμὰς ἡ πάντα σοφῶς διεξάγουσα Πρόνοια κατεδάλετο, διελθεῖν, ἐπὶ μέγα ἂν τὰ τῆς γραφῆς ἐξετάθη μοι, καὶ συγγραφὴν ἔδοξα μᾶλλον ἢ προσφώνημα διεξέρχεσθαι. Νυνὶ δ' ἐπ' ἄλλα μοι τοῦ σκοποῦ βλέποντος, σμικρῶν δή τινων ὅσον ἅψασθαι τῶν σῶν, καὶ ἐπιδραμεῖν ἔσται τῷ λόγῳ· ἐκείνων δὴ τῷ καθήκοντι προσηκόντως μάλα ταμιευομένων καιρῷ ἐπεί τοί γε καὶ ἄλλως, τό γε νῦν ῥηθὲν λέγειν, ἡ περιουσία τῶν σῶν χρηστῶν εἰς καινὴν ἐμοί τινα περίστασιν ἔνδειαν, ἥκιστ' ἐῶσ' ἀνύτειν τὸ πρὸς βουλῆς, πάντων ὡς ἐν λειμῶνι ποικίλῳ σχεδὸν καὶ μυρίοις βρίθοντι χάρισι, πρὸς ἑαυτὰ ἕκαστον μεθελκόντων καὶ κατέχειν δὴ σφοδρῶς πειρωμένων. Ἀλλ' ἐγὼ μὲν ἤδη λύω τὸν λόγον· τόσος δ' ἔσται ὅσος δῆτ' ἀρκέσαι, ἀμυδρὸν οἷον τὸν περὶ σέ μοι πόθον ἐνδείξασθαι, καὶ τὸ εὔνουν μετὰ παῤῥησίας ἀφοσιώσασθαι, ἄχρι δὴ τοῦ δεῦρο ὑποχωροῦν καὶ κρυπτόμενον. Σὸν δ' ἂν εἴη τῆς ἡμέρου καὶ φιλαθρώπου ψυχῆς ἵλεων ἐμοὶ ἐνορᾶν, θάρσος τ' ἄῤῥητον ἐνιέναι· καὶ πρό γε τῶν ἄλλων, εἴ τι μὴ κατὰ λόγον τῷ παρόντι μοι συντάγματι λέλεκται, συγγνώμην βραβεύειν, καὶ ταῖς τῆς σῆς ἀκριβείας προσθήκαις καὶ ἀφαιρέσεσιν ἐκκαθαίρειν τὴν συγγραφήν. Πάντως γὰρ ὅ τί ἂν ἡ σὴ ψῆφος ἀκριβοῦν ἕλοιτο, ἐκεῖνο δὴ κἀμοὶ καὶ πᾶσι σχεδὸν φίλον ἔσται καὶ ἀσφαλέστατον, πάντων ὅσοι γεγόνασι μάλιστα τοῖς τοιούτοις εἰς βάθος ἐξικέσθαι καὶ διορᾶν, τάχει τε καὶ μεγέθει φύσεως γέρας πρὸς Θεοῦ εἰληχότι· πρὸς δὲ λέγειν τε καὶ φιλοσοφεῖν τὰ θεῖα σωφρόνως ἅμα καὶ ἀκριβῶς δέει μάλα πολλῷ διειδότι, νῷ τε αὖ καὶ γλώττῃ διατρανούσῃ τὸ παριστάμενον τά γε τοιαῦτα διευκρινεῖν ἰσχυρῶς ἔχοντι· ὡς θάτερον ὑπὸ θατέρου γνωρίζεσθαι· ὅτι γε κἀπὶ βασάνῳ δῆτα τῇ σῇ οὐδεὶς οὕτω θρασὺς καὶ αὐθάδης, ὥστ' ἔπειτα δὴ καὶ δάκτυ-

A ctum dirigente : tum, ut mihi quidem videtur, et recte quispiam dixerit, omnium maxima et illustrissima est pietas, egregiumque in Ecclesiam Christi studium, et flagrans atque incredibilis in eamdem amor, et quas ejus nomine reportasti, victoriæ et tropæa. Quæ sane pietas, immensis sævientis impietatis fluctibus, immanibusque conflictantium ventorum procellis huc atque illuc quodammodo gravi jactatione agitata, beneficio tandem tuo, qui rebus omnibus aliis posthabitis, hoc unum curaris maxime, tuto ad tranquillum portum tuum annavit atque applicuit. Et nunc integra, veluti recenti situ abjecto et pristina veterique venustate recepta, seu potius salsugine, quam ex tempestate conceperat, orationis tuæ suavissimo sonitu repurB gata atque rejecta, tibi divino orbis rectori atque gubernatori, sacroque (sic enim dicendum) auspici et curatori, condignas refert gratias, claram veluti et ingentem emittens vocem, omnes nos per te salvam atque inviolatam retinentes pietatem, constanter firmiterque in sinceræ fidei sententia, opinione de Numine divino erronea, ita ut conveniebat, longissime repudiata, consistere. Verum enimvero, si deliberatione habita res tuas a primo initio singillatim prosIqui, quasve radices actionum tuarum, quæ omnia sapienter constituit divina Providentia, egerit, exponere vellem, in immensum oratio excresceret, et historiam potius, quam operis dedicationem instituere viderer. Sed cum aliud scribendi consilium mihi sit propositum, paucas quasdam res tuas in præsentia attingere atque oraC tione prestringere est visum : reliquis suo loco et tempori, pro eo atque decet, recte reservatis : præsertim cum id quod nunc quoque dicere instituI, propter abundantem atque exuberantem rerum copiam, me ad novam quandoque redigat inopiam : ita ut etiam ea quæ cupio, perficere atque stylo exsequi nequeam : eo quod perinde atque in prato vario, innumerisque amœnitatibus scatenti, ad se quæque res me pertrahant, eisque tractandis retinere conentur. Cæterum orationi meæ modum imponam : quæ non longior futura est, quam ut qualemcunque saltem mei erga te amoris et desiderii significationem exhibeat, et ego egregiam in te voluntatem meam, quæ ad hoc usque tempus tecta occultaque fuit, cum libertate D palam declarem. Tuæ vero mansuetudinis atque humanitatis fuerit, ut me placide aspiciat, atque fiduciam animo meo addat, in primis vero, si quid minus recte in hoc opere a me dictum fuerit, ut mihi ignoscat, historiamque meam, pro judicii sui acrimonia, addendo atque adimendo repurget. Quidquid enim valculus tuus accuratius emendaverit, id et mihi et omnibus aliis gratum certumque habebitur ; propterea quod et omnibus, quicumque fuere, tibi maxime perspicere talia et deprehendere, promptitudine et acrimonia naturæ, Dei dono contigerit : et quod disserere atque disputare, moderatione justa, et timore multo

adhibito, de rebus divinis explicate noris : præterea quod mente concipere, et ore diserto eloqui id quod visum est, insuperque idipsum probe dijudicare, ita ut alterum ab altero pernoscatur, optime possis. Neque quisdam reperitur esse tam audax et temerarius, qui, post limam judiciumque tuum, digitum adhibere scriptis susteneat. Itaque rebus multis omissis, inde tandem orationem de rebus tuis ordiar.

A λον τολμᾷν ταῖς γραφαῖς ἐπιβάλλειν. Καὶ τοίνυν παρεὶς τὰ πολλὰ, ἐντεῦθέν ποθεν τῶν περὶ σοῦ λόγων ἀπάρχομαι.

3 Cum enim veluti quispiam eorum qui singulari Dei dono dati sunt, optimorum et nobilissimorum illorum virorum, nasci, et imperium in homines universos suscipere deberes, magni consilii angelus, ac potius rerum universarum Pater atque rector, consilium agitavit, et ad eos qui cum illo ejusdem sunt naturæ et honoris : Faciamus (inquit) rursum hominem ad imaginem nostram, et similitudinem primi illius qui dudum diffluxit. Et editus es, divina quadam vi et natura, spiritu vitæ tibi afflato, qui vitalis aliis virtus, primitiæque, et quasi quidam alius generis princeps in orbe nostro futurus eras. Qua in re, illa, perinde atque instrumento et auctore usa est patre tuo, qui majorum suorum splendore, nobilitate, amplitudine gloriæ, arte imperatoria, opibus, adhæc prudentia, fortitudine, et naturæ vi, antiquissimos quosque suique et nostri temporis principes obscuravit. Nec illi, cum antea res multas pro Romanis egisset, aliam ob causam Deus imperiale tradidit sceptrum, quam ut tu facile et incruentum obtineres imperium, pietate et facinoribus omnibus bonis futurus longe clarissimus : eis quippe rebus verissime imperator declaratur. Quandoquidem vero tibi quoque, qui imperium in universos e manu Dei fueras susceptura, seu potius ante nativitatem receperas, imperialem domum et aulam instrui oportuit, quæ sane tam ingens et amplum deceret imperium : ea quoque quemadmodum primo illi Adam orbis universus, et quicunque tandem fuit paradisus ille, condigna præparata est. Ea vero erat nova Edem, terrestre cœlum, paradisi veluti primarium exemplar, patria quidem tua, commune autem Christianorum omnium domicilium, urbium videlicet omnium regina. Simul atque enim ipse ex materno prodiisti thalamo, prædonum examen, quod eam longo tempore afflixerat, inde est expulsum, terrore quodammodo perculsum atque accisum, germanumque plane hæredem, imperatorem et conditorem ejus, veritum : qui sane prædones, exitum atque fugam accelerantes, tanquam coruscanti ense tuo ejecti, alius alio profugit. Ad eum modum illa per te nobis omnibus repurgata, et tibi nutricia atque educatrix facta est, duabus his rebus in te atque illa divinitus benigne præstitis. Neque enim illa, quæ nuper admodum liberam lucem videre cœperat, in alio quopiam, quam in te uno, debitam gloriam consequi potuit : qui maxime quidem ad gloriam Dei propagandam processeris, **4** et summa omnium dignitate honoris auctus sis : neque etiam tibi præ illa condignius contingere potuit domicilium et habitatio.

Ἐπεὶ γὰρ ἔμελλες τίκτεσθαι, οἷά τις τῶν πάλαι παρὰ Θεοῦ δεδομένων ἡμῖν ἀρίστων καὶ γενναίων ἐκείνων ἀνδρῶν, καὶ τὴν κατὰ πάντων ἡγεμονίαν κληρώσασθαι, ὁ τῆς μεγάλης βουλῆς ἄγγελος, μᾶλλον δ' ὁ τῶν πάντων Πατήρ τε καὶ ἡγεμὼν, πάλιν ἐν βουλαῖς ἦν, καὶ πρὸς τὰ συμφυῆ καί ὁμότιμα, Ποιήσωμεν, αὖθις ἄνθρωπον, ἔλεγε, κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν τοῦ πρώτου ἐκείνου πάλαι διαῤῥυέντος. Καὶ ἀθρόον ἐπλάττου τῇ θείᾳ φύσει, πνοῇ ζωῆς ἐμφυσώμενος ζωτικὴ τοῖς ἀλλοις μέλλων δύναμις χρηματίζειν, καὶ ἀπαρχὴ καὶ γενάρχης οἷά τις ἄλλος κόσμου τοῦ καθ' ἡμᾶς, ἀφορμῇ τινι χρώμενος καὶ αἰτίῳ πατρί γε τῷ σῷ· ἐκ προγόνων δή τινων εὐγενείᾳ καὶ μεγέθει δόξης, στρατηγίᾳ τέ καὶ πλούτῳ, πρὸς δὲ καὶ φρονήσει, ἀνδρείᾳ τε καὶ ὥρᾳ φύσεως, τοὺς ἔκπαλαι καὶ τότε καὶ νῦν ἀποκρύπτοντι· ᾧ διὰ σὲ Θεὸς καὶ τὸ βασίλειον ἐγχειρίζει σκῆπτρον, πολλὰ πρότερον ὑπὲρ Ῥωμαίων μογήσαντι, ἵνα σοὶ ῥᾴδιον εἴη τὸ ταύτην κτήσασθαι, καὶ ἀναίμακτον εὐσεβείᾳ καὶ πᾶσι χρηστοῖς σεμνύνεσθαι μέλλήντι, οἷς ὁ ταῖς ἀληθείαις βασιλεὺς διαδείκνυται. Ἐπεὶ δ' ἐχρῆν σοι καὶ τὸ βασίλειον ηὐτρεπίσθαι, Θεοῦ χειρὶ τὴν κατὰ πάντων ἀρχὴν δέχεσθαι μέλλοντι, μᾶλλον δ' ἐγχειρισθέντι καὶ πρὸ γενέσεως, προσῆκον δὲ ἄρα τῷ τοσούτῳ τῆς ἀρχῆς καὶ μεγέθει καὶ ὄγκῳ, καὶ τοῦτο δή σοι, καθὰ καὶ τῷ πρώτῳ ἐκείνῳ Ἀδάμ, κόσμος ἅπας, καὶ ὅστις ποτὲ ἦν ἐκεῖνος παράδεισος, ἀξιόχρεων προητοίμαστο. Τὸ δὲ ἦν ἡ νέα Ἐδέμ, ὁ ἐπὶ γῆς οὐρανὸς, τὸ τοῦ παραδείσου οἷον ἀρχέτυπον· ἡ σὴ μὲν πατρὶς, κοινὴ δ' ἡμῶν ἑστία πάντων Χριστιανῶν· ἡ τῶν πόλεων ἁπασῶν ὁηλαδὴ βασιλίς. Ὁμοῦ τε γὰρ αὐτὸς τῶν μητρικῶν θαλάμων προέθορες, καὶ τὸ βιασάμενον ταύτην ἐκ πολλοῦ λῃστρικὸν ἐκεῖθεν ἠλαύνετο, ῥιζαν ὥσπερ καὶ συντριβὲν καὶ τὸν γνήσιον ὄντως κληρονόμον καὶ βασιλέα καὶ οἰκιστὴν αὐτῆς αἰδεσθέν· καὶ τὴν ἐξοδον κατασπεύδοντες, ἅτε δὲ τῇ στιλβουμένῃ κατ' αὐτῶν τῇ ῥομφαίᾳ ἐκδιαζόμενοι, ἄλλος ἀλλαχοῦ διεδίδρασκον. Καὶ τοίνυν αὕτη διὰ σοῦ πᾶσιν ἡμῖν ἀνεῖται, καὶ σοὶ τροφὸς ἀρίστη καὶ τιθηνὸς γίνεται, δύο τούτων ἐπὶ σοὶ ταύτῃ θεόθεν φιλοτίμως ἐξεργασθέντων. Οὔτε γὰρ αὕτη ἐφ' ὅτῳ ἄλλῳ, ἄρτι φῶς ἰδοῦσα ἐλεύθερον, τὸ τῆς ἀνηκούστης δόξης εἶχε κληρώσασθαι, ἢ ἐπὶ σοὶ δὴ καὶ μόνῳ, τῷ διαφερόντως μὲν εἰς δόξαν Θεοῦ προελθόντι, τιμῆς δ' ἁπάσης ὑπέρτερον περιβαλομένῳ ἀξίωμα· Ἀλλ' οὐδὲ σοί γ' αὖθις ἄλλο τι πρὸ ταύτης ἄξιον προσῆκεν εἶναι τὸ ἐνδιαίτημά τε καὶ οἰκητήριον. Ὅπερ οὖν εἰωθὸς ὂν Θεῷ, πόῤῥωθεν τὰς ὑποθέσεις τῶν μεγάλων πραγμάτων προκαταβάλλεσθαι, καλῶς ποιοῦν, καὶ συνέδραμεν. Ἀλλ' ὅπως ἔτι μὲν σπαργάνοις ἐνειλημένος καὶ τιθηνούμενος, τὰς ἐν

σοὶ μελλούσας τῶν πραγμάτων ὑπέφαινες χάριτας, προσκιρτῶν, ὡς ἄν τις φαίη, καὶ διαλλόμενος, σεμνῷ καὶ βασιλικῷ τῷ προσχήματι, καὶ τὴν ἡμερινὴν πλάσιν πλαττόμενος · οἷά τις γηραλέον αὐχῶν φρόνημα, τὸ περιόν σοι τῆς εὐσεβείας ἐδείκνυς, ὡς Ἰωάννης καθαλλόμενος, καὶ προσκυνῶν τὸν ἐν ὕδασι τὴν χάριν σοι χαριζόμενον · καὶ τἄλλα ὅσα μέχρι δή σε παραγγεῖλαι τὸν μείρακα, τί χρὴ καὶ λέγειν ; Πλὴν, ὅ φασιν, ἐκ πρώτης γραμμῆς καὶ πρό γε τῶν ἄλλων, ἡ εὐσέβεια, καὶ τὸ θεοφιλὲς καὶ τὸ φιλάνθρωπόν σοι ἐσπουδάζετο, ἁπάντων δὴ καὶ τῶν ἄλλων, ὅσα περισπούδαστα καὶ ὑμνούμενα, συμπαραθεόντων, σοῦ γε προκόπτοντος ἐν ἡλικίᾳ καὶ σοσίᾳ καὶ χάριτι, οὐ τῷ λαμβάνειν ἐπίδοσιν. τῷ δέ γε ταῦτα συμπαρασκαίρειν τε καὶ συναναδείκνυσθαι, καὶ πῆξιν λαμβάνειν τῷ τῆς ἡλικίας προσήκοντι, καὶ τῷ τοῦ ἤθους εὐσταθεῖ καὶ ἀπεξεσμένῳ. Καὶ δῆτ' ἐπ' ἀγαθῇ καὶ καλῇ κρηπῖδι τῇ εὐσεβείᾳ ἀνδρία μέν σοι πρῶτα ἐπέτρεχεν · ἐπὶ δὲ ταύτῃ καὶ φρόνησις εἵπετο · πρὸς δὲ καὶ τὸ σωφρονεῖν ἐπῆνθει, καὶ ἡ δικαιοσύνη παραθέδυσα ταύταις ἐπῆει · ἡ χρυσῆ τῷ ὄντι σειρὰ καὶ τοῖς πολλοῖς ἄπλοκος · ἣν σὺ πάντων ἄριστα διαπλέξας, καινήν τινα καὶ ξένην ἁρμονίαν ὄντως ἐναπειργάσω. Τὰς γὰρ, ἐν ταύταις ὑπερβολὰς παρωτάμενος καὶ ἐλλείψεις, τὰ μέσα τούτων ἔσχες, μίαν ἀρετὴν, καθάπαξ τὴν καθόλου, ἐκ τούτων ἐφαρμοσάμενος.

A Quapropter, sicuti Deus solitus est longius etiam antea magnarum rerum jacere fundamenta, itidem merito quoque tum id est ab eo factum. Sedenim, ut cum etiamnum fasciis puerilibus involvereris, et a nutrice curareris, futuram rerum gratiam exsultans, atque (ut sic quispiam dicat) subsiliens, gravi atque imperiali corporis habitu exhibueris : atque inter quotidianam membrorum fingendorum compositionem, senilem quodammodo præ te ferens prudentiam, excellentem in te pietatem; sicuti Joannes, exsultans, et eum qui tibi in undis lustralibus gratiam concessit adorans, ostenderis. Atque alias res tuas, donec ex infantia ad puerilem pervenisti ætatem, quid dicere attinet? præterquam quod (ut in proverbio est) a prima linea, B in primis pietas, amor Dei, et humanitas tibi studio fuit: cum quidem et alia omnia, quæ cura et laude digna sunt, concurrerent, et tu ætate simul, sapientia et gratia procederes : non quidem quod incrementa hæc in te caperent, sed quod simul sese proferrent, atque exhiberent, firmitatemque cum ætate, morum gravitate et cultura augescente, assumerent, Atque equidem ad pulchrum bonumque fundamentum, pietatem ipsam, fortitudo primum accessit : hanc consecuta est prudentia, deinde temperantia etiam effloruit. Advenit ad has justitia quoque, aurea hæc prorsus, quam multi complicare et connectere nequeunt, catena. Eam vero tu omnium pulcherrime concinnans, novam quamdam et admirandam plane perfecisti virtutum harmoniam et concentum. Nam quæ in iis vel abundant, vel deficiunt, vitiis scilicet ipsis rejectis, media es complexus, et unam prorsus ex eis tanquam universalem virtutem confecisti.

Καὶ ἵνα ἐν μέσῳ συντέμω, ἐπεὶ τῇ θείᾳ ψήφῳ δοκοῦν ἦν, σὲ μόνον τῶν τῆς ἀρχῆς οἰάκων ὑπερκαθῆσθαι, ἐξ ἀνθρώπων μὲν τὸ χρεὼν λειτουργήσας ὁ κοινὸς ἡμῶν πρόβολός τε καὶ βασιλεὺς, σὸς δὲ πατήρ τε καὶ παιδευτὴς γίνεται, ἐπὶ μέγα πρότερον τὴν Ῥωμαίων ἡγεμονίαν ὡς ἀπὸ κέντρου κύκλον ἐπιδοῦναι παρασκευάσας, στρατηγικαῖς τισιν ἐμπειρίαις, καὶ ταῖς κατ' ἐχθρῶν νίκαις, καὶ μεγάλων πραγμάτων διοικήσεσιν ἄλλαις, πολύ τι καὶ μέγα κλέος τοῖς ὑφ' ἥλιον ἅπασι καταλελοιπώς. Σὺ δ', ὦ κράτιστε, τὸ κράτος μόνος ἀμφιασάμενος, εὐθὺς ὑπὲρ αὐτοῦ πρῶτον παρατάττῃ Θεοῦ, τῇ ἐνθέῳ συναστείᾳ ἐκ πρώτης, ὅ φασι, τῆς ἀφιτηρίας ὑπὲρ τοῦ χρίσαντος χρώμενος. Καὶ τοίνυν, ὥς μοι φθάνει προειρημένον, τὴν ἀληθῆ θρησκείαν ὑπὸ νόθων καὶ ἀλλοκότων δογμάτων νεωτερίζεσθαι κινδυνεύουσαν, ταύτης σπουδῇ τῇ πάσῃ καὶ σοφώτατα προΐστης. Ἄριστα καὶ γὰρ συνιδὼν ἀρκεῖν δή σοι καὶ μόνην εὐσέβειαν πρὸς φυλακὴν τοῦ κράτους, καὶ τὸ θεῖον ἐπιμελῶς θεράπευειν, τἄλλα δὲ μηδὲν εἶναι ταύτῃ παραβαλλόμενα, θεῖον ὄντως καὶ σοφώτατον ἀνέλαβες νοῦν, θεῷ κεχαρισμένος διὰ τὴν

C Atque, ut quas medio tempore gessisti, res tuas in compendium redigam, postquam divinæ sententiæ placitum est, unum te imperii gubernaculis præsidere, fatali decreto, e vita communis omnium nostrum propugnator atque imperator, tuus autem pater simul et institutor, emigravit : cum quidem prius Romanorum imperium, sicut a centro circulum, propagasset imperatoriis artibus, reportatis ab hostibus victoriis, nec non aliis magnarum rerum administrationibus, ingentem apud omnes qui sub sole sunt homines, gloriam consecutus. Tu autem, 5 Princeps præstantissime, ubi solus imperium es adeptus, confestim copias tuas, pro ipso Deo. primum in aciem produxisti : opibus tuis omnibus, quas a Deo acceperas, a primis (quod dicitur) carceribus, pro eo qui te D imperatorem unxit, usus. Itaque, sicuti dicere cœpi, cum veram religionem nostram, novis inductis rebus, per adulterinas et absurdas doctrinas, in discrimen adductam esse cerneres, studiosissime eam et sapientissime tutatus es (1). Quod namque perspe-

(1) Quod hic per Nicephorum obscurius indicatur, id a Baptista Egnatio apertissime paucis declaratur. « Michael Palæologus, inquit, Lugdunum ad concilium venit, quod Gregorius X Pontifex indixerat, facileque illi cum Romano pontifice convenit. Ex quo tantam invidiam Græcanicæ gentis contraxit, ut nec mortuo justa persolverint, et locum sepulturæ negaverint. »

otum tibi optime esset, ad imperii præsidium solam pietatem et rei divinæ sedulum cultum sufficere, reliqua autem cum his comparata nihil esse, divinam plane et sapientissimam concepisti sententiam. Proinde per ejusmodi rerum administrationem, magnam a Deo iniisti gratiam : et a teipso illi satis præbuisti causæ, ut perfacile precanti tibi aurem suam inclinaret, actionibus omnibus tuis præiret, imperiumque tibi firmaret atque constitueret : videlicet ut rectissime, atque ordine optimo administratio ejus procederet, in rebus omnibus te aptissime dirigens, atque, ut aliquis dicat, vivam imaginem, et statuam imperii pulchram omnino et imperialem, ad incredibilem et excellentissimam venustatem expoliens. Sic enim puto, Dei benignitatem hominibus non contingere, nisi seipsos factis suis ea dignos exhibuerint : quæ tu, quod optima præstitisti, in primis ut gratiosus apud Deum sis, consecutus es. Quapropter cernere erat, quidquid esset mali, id e medio tolli : bona autem universa ad manus esse, utilitatem publicam non morari, et tempora ipsa sub te novo atque commodo imperatore renovari et repubescere. Atque equidem rerum bonarum pleræque sua sponte aderant, pleræque mox affuturæ erant. Accessit spes rebus præsentibus longe melior. Nam sicuti jubar quoddam e sublimi relucens, ubique terrarum, affluentem tibi divinitus gratiam abunde demisisti, eamque propter cœlestium donorum varietatem perinde atque flumen copiosum profudisti. Et quum gloria abundares, nequaquam ad desidiam et vitam molliorem te demisisti, sed rebus honestis dedidisti. Neque purpura sumpta, imperium in teipsum exercere omisisti : et ratione tanquam freno usus, imperii administrationem philosophicis institutis temperasti, timore Dei illi tanquam custode et opitulatore imposito. Porro cum probe tibi cognitum esset, principes viros non facile admoneri se pati, neque doctrinam atque institutionem admittere; eam tu in primis tibi in consilium adhibuisti, et imperii tui, perinde atque domus custodem, et magistrum optimum, constituisti. Quin potius tibi hac minime opus fuit. Quid enim apud te est, quod aliunde didiceris, aut importatum acceperis? qui ingenii naturæque tuæ bonitate omnia producas, et quidquid boni est, veluti fructum quempiam uencrosum et maturum, in lucem proferas? Sed nec illud imperio suscepto egisti ut te cives et subditi tui metuerent tantum : verum timorem eum charitate temperatum esse voluisti. Proinde cum te homines tui cum admiratione dilexere, quod minus esse terribilis, neque arbitrio tuo vivere, et pleraque omnia statuere viderere, tum ipse eos magis etiam dilexisti : quibus revera exstitisti *veluti pater optimus;* quemadmodum ille dixit : aut, quod magis in te competit.

A πολιτείαν γενόμενος, ἀτ' οἴκοθεν ἀποχρώσας παρασχὼν ἐκείνῳ τὰς ἀφορμάς · ὥστ' εὐχομένῳ σοι προχείρως ὑποκλίνειν ἔχειν τὸ οὖς, τοῖς τε σοὶ πρακτέοις ἅπασι προηγεῖσθαι, καὶ τὰ τῆς ἡγεμονίας ἐγκαθιστᾷν · ὡς ἂν ἄριστά γε καὶ ἐν κόσμῳ τὰ τῆς ἀρχῆς διεξάγοιτο ῥυθμίσας ἐφ' ἅπασι, καὶ ὡς ἄν τις εἴποι, ζῶν ἄγαλμα, ταὶ βασιλείας ἀνδριάντα, κόσμιον τῷ ὄντι καὶ βασιλικὸν εἰς κάλλος ἄφραστον καὶ ἀμήχανον ἀποξέσας. Οἶομαι γὰρ, μὴ ἄν ποτ' ἀνθρώποις τὸ θεοφιλὲς παραγίνεσθαι, ἢν μὴ σφᾶς ἀξίους ταύτης ἐκεῖνοι διὰ τῶν ἔργων παρέχωσιν. Ὧν σὺ τὰ κράτιστα παρασχὼν, τὸ Θεῷ κεχαρισμένος εἶναι πρὸ παντὸς ἐκλῃρώσω. Ἐντεῦθεν ἦν ἰδεῖν σύμπαν φαῦλον μὲν ἐκπεδὼν, χρηστὸν δ' ἅπαν ἐν χεροῖν κείμενον. Τὸ δ' αὖ συμφέρον, οὐκ
B ἐν ἀναβολαῖς δή τισι, νεάζοντα δ' ὥσπερ καὶ ἀνηβῶντα τὸν χρόνον ὑπὸ σοὶ τῷ νέῳ καὶ χρηστῷ Βασιλεῖ. Καὶ τὰ μὲν τῶν καλῶν ἐκόντα παρῆν, τὰ δ' ἔμελλεν · ἡ δ' ἐλπὶς καὶ μείζων ἢπερ τὰ πράγματα. Ὡσανεὶ καὶ γάρ τις πυρσὸς ἀναλάμψας, ἀπανταχοῦ τῆς γῆς, τὰς ἄνωθεν ἐπεισρυείσας τοι τῶν χαρίτων ἀφθόνως κατέπεμπες, οἷά τινας δαψιλεῖς ῥύακας προχέων τῷ ποικίλῳ τῶν δωρεῶν. Μεστὸς γὰρ ὢν δόξης, οὐ πρὸς τὸ ῥᾷστον ἀναπίπτων καὶ τὸ τοῦ βίου μαλακώτερον, περί τι τῶν σπουδαίων διέκεισο, οὐδ' ἄρχειν ἑαυτοῦ ἐπελάθου τὴν ἀλουργίδα περιβαλλόμενος. Χαλινῷ δ' ὥσπερ τῷ λόγῳ χρώμενος. τὴν ἀρχὴν φιλοσόφῳ διαίτῃ ἀνέκρουες, φρουρὸν δή τινα καὶ παραστάτην τὸν τοῦ Θεοῦ φόβον πρὸ παντὸς αὐτῇ ἐπιστήσας. Οὐ μὴν ἀλλ' εἰδὼς
C ἀκριβῶς, ὡς δυσνουθέτητον σύμπαν ἄρχον, καὶ παιδείας ῥᾳδίως οὐκ ἀνεχόμενον, συμβουλῇ σοι πρὸ τῶν ἄλλων ἦν, οἷά τις οἰκουρὸς προβεβλημένη, καὶ διδάσκαλος ἄριστος. Μᾶλλον δ' ἥκιστά σοι τούτων ἔδει · τί γὰρ παρὰ σοὶ διδακτὸν καὶ ἐπείσακτον, ἐκ φύσεως πάντ' ὠδίνοντι, καὶ τἀγαθὸν ἅπαν εἰς φῶς καθάπαξ προάγοντι καθά τινα τόκον εὐγενῆ τε καὶ ὥριμον; Ἀλλ' οὐδ' ἄκρατος ἐγχειρισθέντι τὸ κράτος φόβος ἐκ τῶν ὑπὸ χεῖρά σοί γ' ἐσπουδάζετο. Συμμιγὴς δὲ μάλα καὶ πόθος ἦν · καὶ ἠγάπας μᾶλλον σὺν θαύματι ἀγαπώμενος, οὐκ ἐκ μόνου τοῦ φοβερὸς δοκεῖν καὶ αὐθέκαστος. Καὶ ἧς ταῖς ἀληθείαις πατὴρ ὡς ἥπιος, κατὰ τὸν εἰπόντα · ἢ τό γε πρόσφορον,

Rex bonus, atque idem fortis bellator in armis (1).

Nam quod sceptrum imperiale splendidi cujusdam servitii signum esse, et coronam pretiosissimam, nihil a lapillis, quæ in littore maris sunt, differre putares : quamvis hæc, divinæ quædam res, et immensorum arcanorumque mysteriorum ima-

D Ἀμφότερον, βασιλεύς τ' ἀγαθὸς, κρατερός τ' [αἰχμητής.

Δουλείαν καὶ γὰρ ἔνδοξον τὸ σκῆπτρον ἡγούμενος, καὶ τὸν περιμάχητον στέφανον τῶν παρ' αἰγιαλοῖς ψηφίδων διαφέρειν μηδὲν, κἂν ἄλλως θεῖα ταῦτα, καὶ τινων μυστηρίων ἀποῤῥήτων εἰκάσματα, ὅμως εὐτελές τι ῥάκος τὴν πορφύραν εἶχες, καὶ τὸ ταύτης

(1) Hunc versum Alexander Magnus omnium Homericorum carminum judicavit esse optimum.

ἄνθος στυγνὸν κρίνων, ἕτερον τρόπον μετριοπαθῶν ταῖς εὐπραγίαις μᾶλλον ἢ, οὐχ ὡς οἱ πολλοὶ, τούτοις περιγαννύμενός τε καὶ φρυαττόμενος, δι' ὧν ἔῤῥει μὲν πολὺ θεῷ τὸ εὐχάριστον· φαιδρότης δ' ἦν ὁμοῦ καὶ πανήγυρις, πολὺ τὸ γάνος ταῖς ἁπάντων ἐνιεῖσα ψυχαῖς. Τῶν γὰρ ἀρίστων καὶ γενναίων εἴπερ τις μάλιστα ὤν, οὐδαμῇ τ' ἐκκλίνων τοῖς μὴ καθήκουσιν, ἀλλ' ἑδραίως μάλα πρὸς ἅπαν ἔχων τὸ ἐπαινούμενον, λόγοις φρονήσεώς τε ἅμα καὶ κρίσεως, πρὸς δὲ καὶ τῷ φιλοτίμῳ περὶ τὰ κάλλιστα πάντα ἦσθα διαπρατ-τόμενος, εἶδος μὲν εὐθὺς προβεβλημένος ἄξιον τυραν-νίδος, ψυχὴν δὲ μάλα ἥπιός τις ὢν καὶ φιλάνθρωπος, εὐθὺς ἀπὸ βλέμματος πάντας ὡς εἰπεῖν δεξιούμενος· ἦθει δή τινι ξένῳ καὶ ταῖς ἐκ τῶν λόγων χάρισί τε καὶ ἴυγξιν, ἴσα καὶ ποταμοῖς ῥέουσι, πάντας ἑξαρ-τῶν, καθάπερ τις λίθος μάγνησσα τὰ σιδήρια. Κάλ-λιστον δέ σοι καὶ τὸ σῶμα προσέπλασεν ἡ τῶν ὅλων φύσις, καὶ ἐς ὑπεροχὴν διαπρέπον, ὡς ἄν τις εἰκά-σειεν, οὐ βασιλέων μόνον, ἀλλὰ καὶ πάντων ἀνθρώ-πων σχεδόν. Κάλλους ἰδέαν εἶπεν ἄν σέ τις, κατὰ Πλάτωνα, πάσης ἀρχέτυπον ὡραιότητος. Ἰσχὺς γὰρ καὶ ῥώμη, καὶ συμμετρία μερῶν, καὶ ῥυθμὸς μελῶν, καὶ ἄνθος ὥρας ἁπανταχοῦ συνδραμόντα, ὑπερφυῶς ἀρίστην κρᾶσιν καὶ ἁρμονίαν σοι διασώζουσιν, ὥσ-περ ἐν ἑκάστῳ σοι παρακαθημένης τῆς φύσεως, καὶ λόγους μέτρων καὶ μεγεθῶν, εὐτέχνως ἅπαν καὶ κατὰ λύραν δῆθεν τὴν συνθήκην ἁρμοζομένης, ὥστ ἐπί σοὶ δὴ καὶ μόνῳ καὶ τὴν κοινὴν φύσιν κομπάζειν ἔχειν, οἷς τοσούτοις βρύων τοῖς ἀγαθοῖς προῆλθες, τοῦ γένους ὡς εἰπεῖν φιλοτίμημα. Καὶ τοίνυν ἐπί-μονον ἀσκήσιν σὺν οὐκ ἀγενεῖ προθυμίᾳ τῶν κα-λῶν τε καὶ ἀγαθῶν προθεὶς ἑαυτῷ, πῦρ ἢ ἄντικρυς ἔλεγον, ἢ πέλεκυς κόπτων, ἢ τις σφαῖρα κατὰ πρανοῦς· ἅπασι μὲν προσέχων, πάντα δ' εὐχερῶς τῇ διανοίᾳ παραδιδούς. Ἃ δ' εἰσάπαξ διελθεῖν γέ-νοιτο, οὕτω τῇ μνήμῃ διακατεῖχες, ὡς ἐν χαλκαῖς δοκεῖν πίναξι ταῦτ' ἐγγεγράφθαι ταῖς τῆς σῆς καρ-δίας πλαξίν· οὕτω σοι τὸ τῆς μνήμης ἔῤῥωται. Τῇ δ' αὖ προσοχῇ τε καὶ ἀγχινοίᾳ ἐπιστήμης ἁπάσης κρειττων ἐν βραχεῖ διεδέδυσο, μεγέθει φύσεως πάσας ἐν ἑαυτῷ καὶ ταύτας ἔργοις παραδεικνὺς, καὶ κρεῖττον ἢ πρὸ σοῦ πλεῖστον χρόνον ταύταις ἐκδαπα-νήσαντες. Ἐντεῦθέν σοι τὸ περιεσκεμμένον καὶ σύννουν ὡς τὰ πολλὰ, καὶ τὸ σὺν ἤθει χάριεν καὶ εὐπρόσιτον. Ἐντεῦθεν ἡ κατὰ τῶν τῆς φύσεως θεσ-μῶν καὶ τῆς σωματικῆς ἀνάγκης τῶν βιαίων πόνων ἡ τυραννίς τε καὶ ἐπικράτεια, καὶ ἡ τῆς βασιλικῆς θεραπείας ὑπεροψία, καὶ τἄλλα σοι τῶν προτερημά-των, ὑπὲρ ἀνθρωπίνην φύσιν καὶ ἔννοιαν θεόθεν ἐπι-σπαρέντα· στάσεις πάννυχοί τε καὶ πανημέριοι· τὰ μὲν ἱλασκομένῳ θεὸν, τὰ δὲ τοῦ κοινοῦ προασπίζοντί τε καὶ θεμιστεύοντι. Ὥστε σε τοὺς ὁρῶντας οὐκ ἀν-δρὶ παραβάλλειν ἔχειν, ἀλλ' ἀνδριάντι μᾶλλον, τῷ πρὸς ῥῖγος καὶ φλόγα διαμαχόμενον, ἵνα καὶ τὸν αὐ-τὸν ἐν πᾶσιν εἶναι ἀκάματον, ὥσπερ καὶ πρὸς τὰς τῆς φύσεως, ῥοπὰς ἀπαρέγκλιτον, πᾶσι μὲν ὁμιλοῦντα, τοῖς πᾶσι δὲ τὰ πάντα καὶ παντοῖον γινόμενον. ἡδὺν μάλα καὶ ἥπιον, πολλήν τε καὶ ἄκρατον, κατὰ Πλά-τωνα, τὴν ἐλευθερίαν τοῖς ὑπηκόοις οἰνοοοῦντα,

A gines sint, purpuram ipsam pro vilibus pannis habens, floremque ejus molestum et tristem judicans, moderatum novo quodam modo in rebus secundis animum obtinuisti : nequaquam eis, sicuti plerique, exsultans atque superbiens. Quæ tua moderatio maxime Deo grata fuit: eadem quoque publicæ lætitiæ et solemnibus conventibus causam præbuit, multam animis omnium voluptatem immittens. Cum namque optimus et supra alios maxime generosus esses, haudquaquam ad res minus decentes declinasti : verum constanter in factis laudatis perstitisti, prudentiæ scilicet et judicii rationibus adductus. Insuper vero circa pulcherrimas quasque res ambitiosus, rite omnia atque ordine peregisti. Formam siquidem atque habitum præ te ferens tyrannide
B dignum, animo mitis admodum atque humanus es, conspectu ipso statim omnes, ut ita dicam, benigne excipiens, et novo quodam more, orationisque tuæ gratia atque illecebris, fluminis instar profluentibus, universos, perinde atque magnes lapis ferrum, suspensos tenens. Decentissimum vero quoque tibi corpus et excellentissimum rerum universarum architectrix natura conformavit, ut sane quispiam 7 existimet, non principum solum, sed etiam hominum fere omnium te absolutæ formæ ideam atque specimen, juxta Platonem, et venustatis omnis archetypum atque primarium exemplar esse. Robur insuper et fortitudo corporis, partiumque omnium et membrorum proportio, aptaque et temperata constitutio, ætatis quoque flos et vigor, omnia simul concurrentia, supra quam dici potest, optimam in te conficiunt tem-
C peraturam et harmoniam : haud aliter quam si in parte qualibet natura tibi præsens insideat, mensurarumque et magnitudinum rationibus artificiosissime omnia, et perinde atque lyram coagmentatione compositioneque convenientissime conformet : adeo ut in te uno, propter tot et tanta, quæ in te scantentia protulisti bona, communis natura jactare se et gloriari possit, tanquam excellentissimo generis nostri, ut ita dicam, donario, in quo illa munificentiam suam ostentarit. Itaque constanti exercitio rerum honestarum et pulcherrimarum, cum generosa animi alacritate tibi proposito, ignis plane ardens, aut securis dissecans, aut sphæra, quod dicitur, seu globus quidam per præcipitium fuisti : omnibus cognoscendis incumbens, omnia
D etiam facile mente concipiens. Et quæ semel audita vel lecta discis, tam tenaci memoria complecteris, ut in ferreis pugillaribus, quæ in cordis tui tabulis conscripsisti, incisa esse videantur ; tam solida firmaque tibi est memoria. Porro attentione et mentis sagacitate, scientiam et eruditionem omnem brevi superasti, naturæ magnitudine eas virtutes cunctas re ipsa exhibens : idque melius multo, quam qui longissimo etiam tempore operam illis navarunt. Unde illa tua est providentia et usitata mentis consideratio, necnon singularis morum gratia et affabilitas. Unde etiam violentorum laborum contra naturæ leges et corporis

necessitates, tyrannis quædam et dominatio imperialisque quæ tibi præstatur observantiæ contemptus, atque aliæ insuper primariæ virtutes, supra naturæ humanæ captum divinitus tibi insitæ. Quales sunt et nocturnæ et diurnæ stationes, cum vel Deum orationibus placas, vel pro republica defendenda excubas, vel etiam jura civibus reddis: ita ut qui te conspiciunt, non viro te, sed potius viri statuæ conferant, frigus ex æquo et æstum toleranti. Usque adeo te unum atque eumdem in eis omnibus præbes, tanquam invictum, et ad naturæ momenta immobilem: cum omnibus quidem familiarus viventem, omnibus autem te omnia, et omnigenum 8 suavemque admodum et placidum exhibentem, multamque atque eam meram atque sinceram, ut apud Platonem est, libertatem subditis, perinde atque vinum temperantem. Ac veluti inter curas et labores natus, tanquam habitus eorum in naturam abierit, magis etiam illis delectaris, quam alii socordia, deliciis atque aliis ejusmodi, quibus assueverunt, minime laudatis studiis. Quod si hæc quoque dicenda sunt, persæpe ego te vidi non quotidie cibum sumentum, verum et binos et ternos transmittere dies, ita ut nonnunquam quidem solo pane et oleribus incoctis, aliquando vero pomis quibusdam vescereris. Et tempore plurimo sola aqua tibi potus fuit. Quibus omnibus non ad sufficientiom aut satietatem es usus, sed celeriter omnino ea degustata mox removeri jussisti, ut scilicet mens tibi absque sordibus maxime pura permaneret, intellectualibus spiritualibusque et divinis redundans cogitationibus, simulque ut facilius vigilantia constaret, rectiusque negotia pleraque, ex præscripto divino, matutino simul et meridiano, nec minus nocturno etiam tempore perageres. In multam namque noctem, ac potius, ut plurimum, ad illucescentem usque diem vigilans, et demum cubitum vadens, statim rursus excitus surrexisti, haud aliter quam si tibi nocturna vestimenta gravia atque molesta essent. Sed enim ne tum quidem a laboribus tibi remissio fuit, per somnum nimirum et insomnia te exercenti, et nominis gloriæque nostræ augmenta atque incrementa infatigabilibus momentis et imaginationibus animi, visionibusque nocturnis meditanti, et quoad ejus fieri potuit, complenti atque perficienti: adeo ut admirationis causam hominibus præberes, diviniorem quamdam naturam te, somni atque fatigationis expertem esse, suspicantibus. Et cum quam longissime, et, ut aliquis dicat, juxta diametrum, a voluptatibus et ignavia abfuisti; tum quotidianæ vitæ disciplinam et severitatem maxime es consectatus. Unde tibi bona corporis hab tudo et valetudo secunda maxime fuit. Et qui hac in re elaborant, nugatores meri visi sunt, Asclepiadæ quidam de Hippocrate præceptore gloriantes, nec minus qui Galeni lucubrationes evolvunt. Qui sane cum valetudinis tuæ curatores essent, a suis ipsi morbis et ægritudinibus magis, ad te

Ὡσανεὶ γάρ πως ταῖς φροντίσι καὶ κόποις ἐμπεφυκὼς, εἰς φύσιν ὥσπερ ἐπὶ ταῦτά σοι μεταπεσούσης τῆς ἕξεως, ἔχαιρες τούτοις μᾶλλον ἢπερ ἄλλοι ῥᾳστώνῃ καὶ τρυφῇ καὶ τοῖς τοιούτοις κατατριβόμενοι. Εἰ δὲ δεῖ καὶ ταῦτα λέγειν, εἶδον ἐγώ σε πολλάκις μηδ' ἐφ' ἑκάστης ἡμέρας τροφὴν προσιέμενον, ἀλλὰ καὶ σύνδυο καὶ σύντρεις προῆγες· ὥς ποτε μὲν ἄρτῳ μόνῳ λαχάνοις τ' ἀπύροις, ἐνίοτε δὲ καὶ ὀπώραις δή τισι διαιτᾶσθαι· καὶ ποτόν σοι μόνον ὕδωρ ἐπὶ πλεῖστον χρόνον γινόμενον· καὶ τούτων οὐκ εἰς κόρον οὐδ' αὐτάρκως μετέχοντι, ἀλλὰ βραχέως πάμπαν ἀπογευομένῳ· εἶτα μεθιέντι τάχος ὅσον· ἵν' ᾖ σοι μὲν καὶ ὁ νοῦς διειδέστατος καὶ ἀθόλωτος, βρύων νοερὰ καὶ θεῖα νοήματα· ῥᾷστον δ' ἔχοι καὶ τὸ ἐγρηγορός. Ὥστε δὴ θεοφιλῶς διαχειρίζειν τὰ πράγματα, ὀρθριός τε καὶ μεσημβρινὸς, καὶ οὐδέν τι ἧττον ἐπινυκτίδιος. Ἐπὶ πόρρω γὰρ νυκτὸς, μᾶλλον δὲ τό γε πλεῖστον ἄρτι διαυγαζούσης ἡμέρας εἰς κοίτην ἰὼν, θᾶττον αὖθις ἀνίστασο, ὥσπερ χαλεπῶς τοῖς στρώμασιν ἔχων, κἂν οὐδὲ τότε σοι τοῦ πονεῖν ἄνεσις, ἦν, ὕπνοις δῆτ' ἐν αὐτοῖς καὶ ὀνείρασι κάμνοντι, καὶ τὴν ἐπὶ μέγα δόξης αὔξησιν ἡμῶν καὶ ἐπίδοσιν ἀκαμάτοις ῥοπαῖς καὶ φαντασίαις τοῦ νοῦ ὀνειροπολοῦντι, καὶ ὡς καὶ θαῦμα παρέχειν μὴ ἄρα τις αὐτουργοῦντι· ὡς καὶ θαῦμα παρέχειν μὴ ἄρα τις εἴης θειοτέρα φύσει ἄϋπνος καὶ ἀκάματος. Πολὺ γὰρ ἀπέχων, καὶ ὡς ἄν τις εἴποι, κατὰ διάμετρον καὶ τρυφῆς καὶ ῥᾳστώνης διεστηκὼς, τὸ περὶ δίαιταν ἐγκρατὲς καὶ κεκολασμένον μᾶλλον ἐθαύμαζες. Ἐντεῦθεν σοὶ καὶ εὐεξία καὶ ὑγίεια μάλα προσῆν. Καὶ λῆρος ἄντικρυς ἦσαν οἱ περὶ ταῦτα διαπονούμενοι, Ἀσκληπιάδαι τινὲς, Ἱπποκράτεις αὐχοῦντες προστάτας· οὐκ ἐλάχιστα δ' ἐκμελετήσαντες καὶ Γαληνεια· οἳ δῆθεν τῆς ὑγείας σοι προμηθεῖς καθεστῶτες, ἐξάντεις τῶν σφετέρων μᾶλλον ἦσαν νόσων σοι προσιόντες, ἅτε δῆτ' εἰς ἄκρον τἀκριβοῦς ἐφικομένῳ· ὡς μή τοί γε σφᾶς, ἀλλὰ μηδ' αὐτοὺς ἐκείνους τοὺς τῆς τέχνης ἡγεμόνας αὐτοῖς, εἴπερ ἦσαν, ἀντιτείνειν ὅλως ἔχειν πρὸς τὸ σοὶ παριστάμενόν τε καὶ διαιτώμενον. Τῷ μὲν οὖν Χαιρωνεῖ Πλουτάρχῳ τὰ τῆς Ῥώμης ἐξαίροντι, καλῶς ἐπῆλθεν εἰπεῖν, ἀρετὴν καὶ τύχην πρός ἀλλήλας ἔκπλαι διαφερομένας, δεινούς τ' ἀγῶνας ἐχούσας καὶ διαταραχὰς, μόλις ποτὲ διὰ ταύτην μόνην σπείσασθαι καὶ εἰς ὁμοδραμεῖν· καί γ' ἐς ταυτὸ συνελθούσας, ἐπιτελειῶσαι καὶ συναπεργάσασθαι τῶν ἀνθρωπίνων ἔργων τὸ κάλλιστον. Ἐγὼ δ' ὑπονοεῖν ὀρθῶς οἶομαι, ὡς καὶ ἐπὶ σοὶ δὴ μόνῳ, κράτιστε, θεοσέβειά τε καὶ εὐδαιμονία συνηλθέτην ἀλλήλαις ἐφάπαξ, ἀεί τι διαμαχόμεναι, τῆς θεοσεβείας ὡσανεὶ βιασαμένης τὸ εὐδαιμον, καὶ περιτρέπεσθαι παντάπασιν οὐκ ἐνδούσης· μᾶλλον δὲ Θεοῦ οἶμαί που ταύταις ἀνάγκην ἐπιβαλόντος, συζεύξαντός τε ἅμα ταύτας καὶ συγκεράσαντος, ὡς ἂν ἑκατέρωθεν τὸ οἰκεῖον λαβὼν, πᾶσι δῆτ' ἀνθρώποις ξένην ἐργάσηται ὄνησιν, καὶ ὡς ἀληθῶς θαυμαστήν· πεῖσμά τι μόνιμον, καὶ στοιχεῖον ἕκτον, ἵν' οὕτως εἴποιμι, καὶ ἀΐδιον, ναυαγοῦσι καὶ ὑποφερομένοις τοῖς θείοις πράγμασι καὶ διολισθαίνουσι τοῦ τοσούτου σάλου καὶ πλάνης, μεγάλην καὶ

τελευταίαν ἄγκυραν ἱερὰν τῷ ὄντι κἀν τοῖς ἱεροῖς καὶ ἄλλως ἔχουσι, σὲ παρασχών· ἵν' ἐν σοί τινα ἵδρυσιν καὶ τοῖς ἄλλοις περὶ σὲ μάλιστα δοίη. Καὶ δῆτ' ἔσχε μεγίστην ἕδραν τε καὶ ἀσφάλειαν, εἰς κόσμον εἰρήνης ἕνα, καὶ κύκλον ὀρθοδοξίας, εἴτουν ἡγεμονίας ἅπταιστόν σε περιαγόμενα καὶ περιφερόμενα. Καί γ' ἐπούδασας ἐντεῦθεν, οὐκ ἐν σώματι μόνῳ, ἀλλά γε δὴ καὶ ἐν τῇ ψυχῇ περιβαλέσθαι τὴν ἀλουργίδα. Σὺ γάρ τοι καὶ μόνος τῶν πρώην βασιλέων σχεδὸν ἁπάντων ἑαυτοῦ βεβασίλευκας· καὶ αὐτοκράτωρ τῷ ὄντι γενόμενος, τὴν μὲν τῶν παθῶν ὀχλοκράτειαν τῆς οἰκείας ἀπεώσω ξενηλατήσας ψυχῆς· τοῖς δὲ σαυτοῦ λογισμοῖς ἀριστοκρατίαν καταστησάμενος, ζῶν ἀρετῆς ἄγαλμα σεαυτὸν παρέσχες, εἰς ἀκριβῆ μίμησιν τὸ ὑπήκοον ἐκπαιδεύων. Τὸν γὰρ ἐγκρατῆ λογισμὸν ἀντιτάξας τῇ ῥᾳστώνῃ, εἰκότως οὐ μόνον ἀνθρώπων αὐτοκράτωρ νομίζῃ, ἀλλά γε δὴ καὶ παθῶν ἁπάντων, ὅσα ψυχῆς τε καὶ σώματος. Καὶ δὴ γοῦν ἰδεῖν ἔστιν ἐς ὑπερβολὴν τὸ τῆς φιλανθρωπίας σοι περιόν. Ἀντικους γὰρ καὶ τὸ πολεμικόν σου φιλάνθρωπον, καὶ τὸ πρᾶον ἀνδρῶδες· τὸ δὲ τῆς εὐεργεσίας ὡς μάλιστα οἰκονομικόν· τὸ δέ γε θυμικὸν εὐδιάλλακτον. Στείρα γὰρ, ὡς ἄν τις εἴποι, πρὸς ὀργὴν ἡ σὴ κατέστη ψυχή· καὶ πρὸς τὴν ἐκ θυμοῦ ῥολόγα, σχεδὸν ἀσυνδύαστος, καίπερ πρὸς ἅπαν τῶν ἀγαθῶν γόνιμος οὖσα καὶ ἔγκαρπος. Τὸ δὲ τῆς εὐνομίας, ὅσον τὰς τῶν ἀδίκων ὁρμὰς ταῖς τῶν δικαίων ὑφηγήσεσιν ἀναστέλλοντι, καὶ τῆς γῆς ἁπανταχοῦ τἀγαθὸν κατασπείροντι, οὐχ ἧττον ἥπερ ὁ θρυλλούμενος ἐκεῖνος Τριπτόλεμος, τῇ γῇ καταβάλλων τὰ σπέρματα. Τίς οὖν ἀδικοῦσι μᾶλλον σοῦ λυπηρότερος; ἢ δυστυχῶς ἔχουσιν ἡμερώτερός τε καὶ προσηνέστερος; ἢ δεομένοις εὐγνώμων, καὶ πρὸς οἶκτον ἐπιῤῥεπέστερος; ὥστε δὴ καὶ μή τινος ἀνάγκης ἐμποδὼν καθεστώσης, καὶ προφθάνειν σε τῷ τάχει τὴν δέησιν.

A accedentes, liberi atque integri discessere : quippe qui ad summam accuratissimamque valetudinis tuendæ rationem perveneris. Et neque medici tui, neque illi ipsi qui eis artis suæ præcepta tanquam magistri et duces 9 tradiderunt, prorsus quidquam habuerunt, quod adversus præscriptum degendæ ad salubritatem vitæ tuum opponerent. Plutarchus quidem Chæroneus Romanum imperium laudibus vehens, pulchre dixit, eas quæ antehac dudum per graves motus et certamina inter se dissensissent, virtutem et fortunam, vix aliquando tandem, propter urbem Romanam solam, pactis conventis per fœdus initum in gratiam rediisse, ut omnium humanarum rerum longe pulcherrimum opus absolverint atque perfecerint. Mihi vero recte B quoque existimare in mentem venit, in te etiam uno, imperator optime, veram pietatem cultumque Dei, atque opes felicitatemque humanam, quæ inter se semper depugnarunt, semel ad concordiam redactas esse : eo quod pietas felicitatem veluti vi quadam ad se pertraxerit, eamque omnino pessum ire non siverit : sive potius, ut equidem puto, quod Deus tandem necessitatem eis imposuerit, ut simul conjungerentur atque contemperarentur : et ut ille ab utraque, eo quod utriusque esset proprium recepto, hominibus omnibus novum et vere admirandum perficeret emolumentum et auxilium, firmamentum nimirum quoddam stabile, et elementum, ut ita dicam, sextum et sempiternum, in divinis rebus labascentibus, et per naufragium pessumeuntibus, tam horrendæ fluctuationis et erroris ingentem, C supremam, vereque sacram anchoram te, sacris simul et profanis exhibens, ut in te aliis quoque qui tecum sunt, solidam stabilitatem repræsentaret. Et profecto ea quæ huc atque illuc circumagebantur et circumferebantur, maximam te tutissimamque perfugii sedem, in mundum pacis unum et rectioris fidei professionis, seu rerum administrationis, minime hallucinantem aut labantem orbem habuere. Quin illud etiam studuisti, ut non corpori modo, verum etiam animo purpuram circumdares. Siquidem tu omnium prope qui te præcesserunt, imperatorum unus, ipsi tibi imperasti : et revera summæ potestatis imperator, cum vitiosas tumultuantium atque imperium sibi vindicantium affectuum perturbationes e domicilio animi tui ejecisti : tum rationi imperio eo quod penes paucos optimates est tradito, vivam teipsum virtutis imaginem, ad certam cives tuos imitationem instituens, proposuisti. Nam animi moderatione in acie contra ignaviam opposita, 10 non solum hominum, verum etiam perturbationum animi simul et corporis omnium imperator merito censeris. Quamobrem conspicere licet, humanitatem tuam ad summum pervenisse. Nam bella quoque quæ geris, perhumana sunt : et placabilitas virilem præ se fert fortitudinem. Porro benignitas et munificentia quam maxime ad utilitatem publicam spectant. Ira autem admodum est placabilis. Animus namque tuus ad iracundiam, ut ita dicam, sterilis, et ad ardorem eum qui ex flagranti vehementia provenit, cælebs et immobilis est, quamvis bonorum omnis generis ferax et fecundus. Legibus vero ferendis, moribusque corrigendis quam recta apud te instituta est ratio, qui improborum impetum legitimis justitiæ præceptis cohibes : et ubique terrarum honestum bonumque, haud aliter quam decantatus ille Triptolemus in terram semina conjecit, seris? Quis igitur hominibus improbis te est formidabilior, aut ærumnosis placabilior atque clementior? Quis supplicantibus benignior, et ad misericordiam propensior? qui etiam, nisi quæpiam obstet necessitas, precantiam optata prævenire solitus es.

Ἀλλ' οὐ πρὸς θωπείαν μοι ταῦτα καὶ πρὸς χάριν εἰρημένα πάντως ἐστί. Πῶς γὰρ, ᾧ μηδὲ τἀληθῆ λέγειν ἔξεστι, καταγωνιζομένῳ ταῖς ὑπερβολαῖς τῶν

D Neque vero a me ista ad gratiam, aut per adulationem prorsus dicta sunt. Quomodo enim id faciam, cum neque res ipsas, ut sunt, vere expo-

nere queam, excellenti pulchritudinis earum præ- A stantia victus ? Verum hæc ita se habere, tum divina quæ tibi obtigere dona, tum actiones, quas in imperium tuum contulisti, omnes comprobant. Nec minus id quoque illa satis declarant. Quis etenim, quam tu, religione pura et simulationis nescia, vel Deum magis glorificavit, vel flagrantiorem pro eo ardorem ostendit ? Quis sinceriorem fidem in discrimen conjectam, tanta æmulatione et zelotypia assectatus est, aut sacram mensam repurgavit ? Quis etiam, ut eruditio omnis summa caperet incrementa, effecit ? Quis ita virtutem extulit, aut optimos quosque honoribus auxit ? Quis Dei ministris, aliisque item qui ei chari sunt, et omnibus prope, pro cujusque dignitate, debitum honorem tribuit ? Quis porro tanta attentione, insigni- B que religione, et decenti moderatione, ut imperialis aula nihil ab asceterio, pietatisque exercendæ schola differret, procuravit ? quis sic æqua stateræ lance rempublicam gubernavit ? Quis ita vel juri dicendo institit, vel maleficia coercuit ? usque adeo, ut multam se tibi debere gratiam illi etiam profiterentur, qui e judicio victi, et calculo tuo damnati abiere. Cujus tanta fuit cum peritia simplicitas, et cum clementia prudentia ? quibus virtutibus una cum humanitate maxime enites, ingentem quamdam serenitatem in animo simul et vultu præferens, sensim quandoque ceu fluctibus quibusdam horrescentem, nec tamen ullam tempestatis significationem præbentem. Cæterum orationis opportunitatem, silentii commoditatem, C linguæ leporem, familiarium colloquiorum instar olei prorsus et mellis profluentem suavitatem, aut verborum tuorum musicum plane concentum, quis rogo eloquatur ? Sententiarum autem densitate, præterea verborum perspicuitate et copia (*Hiberni voces fluvii de more ruentes*, Homerus dixisset), quis te divinitus locupletior fuit ? Quapropter evenit, ut te verba faciente, omnes prorsus quasi numine aliquo afflentur, moderataque insania percellantur, et bacchari incipiant, simulque vel inviti exsiliant, et vocibus tuis rapti, ita ducantur, ut retrocedere nolint, sed veluti affixi tibi videantur, perinde prorsus atque a Sirenibus demulsi. Recte sane quispiam te mare dixerit, quod alios super alios verborum fluctus dense D excitet, aut certe ingentem aliquam aquarum vim : quæ, si in eam alicunde lapillus incidat, ex obscuro centro, seu potius circino, eoque, si ita vis, liquido, alium super alium circulum, sensim admodum intumescentem, ac deinde propter alium influentem, paulatim, donec ad summum perveniat, deficientem atque evanescentem, mirabiliter circumscribat : potissimum vero, cum tibi de rebus divinis est sermo. Quis namque alius habet vel mentem et sententiam oratione atque lingua meliorem vel orationem quæ illis ratione meliore subserviat, vel linguam etiam quæ bene admodum et acute (rotunde et suaviter poeta dixisset) ver-

καλῶν ; Ἀλλὰ γὰρ οὕτως ἔχειν ταῦτα παρίστησι, τά τ' ἐκ Θεοῦ σοι δεδωρημένα, τά τ' ἐν πάσῃ ξυνενεχθέντα σοι τῇ ἀρχῇ. Οὐχ ἧττόν γε μὴν καὶ ταῦτα σαφῶς παρεδείξειε· τίς γὰρ σοῦ πλέον μετ' εὐλαβείας ἀνυποκρίτου ἢ Θεὸν ἐδόξασεν, ἢ ζῆλον ἔμπυρον ὑπὲρ αὐτοῦ ἐνεδείξατο ; Τίς τὴν ἀκραιφνῆ πίστιν οὕτως ἐζηλοτύπησε κινδυνεύουσαν, ἢ τὴν ἱερὰν ἐκάθηρε τράπεζαν ; Τίς δ' αὖ λόγοις οὕτως ἐπιδοῦναι παρέσχεν εἰς μέγιστον, καὶ τὴν ἀρετὴν διαφερόντως ἐτίμησεν, ἢ τοὺς ἀρίστους προὐτίμησε ; Τίς Θεοῦ λειτουργοῖς, καὶ ἄλλως δὴ κεχαρισμένοις αὐτῷ, καὶ σχεδὸν ἅπασι, τὸ προσῆκον γέρας κατ' ἀξίαν ἀπεχαρίσατο ; Τίς δὲ πάλιν τὰ βασίλεια κατ' οὐδὲν διαφέρειν ἀσκητηρίου παρεσκευάσατο τῇ τε μακρᾷ προσοχῇ καὶ τῇ ἐσάγαν εὐλαβείᾳ καὶ κοσμιότητι ; Ποῖος δ' οὕτως ἀῤῥεπεῖ ζυγοῦ στάθμῃ τὰ κοινὰ διῳκήσατο ; ἢ δίκαις ἐπέστησεν, ἢ κακίαν ἐκόλασεν ; ὡς πλείῳ χάριν ἔχειν μᾶλλον εἰδέναι σοι τὸν τὴν ἧττω ψῆφον ἀπενεγκάμενον. Τίνος ἡ μετὰ συνέσεως ἁπλότης καὶ μετὰ πραότητος φρόνησις ; αἷς μετὰ φιλανθρωπίας μάλιστ' ἐμπρέπεις, μέγα τι βάθος γαλήνης ἐν ψυχῇ καὶ ὄψεσι προδεικνὺς, ἡμέρα φρίσσον, καὶ ζάλην οὐ παρεχόμενον. Ἀλλὰ τὸ τοῦ λόγου καίριον, ἀλλὰ τὸ τῆς σιωπῆς εὔλογον, τὴν δ' ἀφροδίτην τῆς γλώττης, καὶ τὸ τῆς ὁμιλίας δίκην ἐλαίου καὶ μέλιτος ἄντικρυς ῥέον, ἢ τὴν ἁρμονίαν καὶ μουσικὴν τῶν λόγων πῶς ἄν τις φράσοι ; Τὸ δὲ τῶν νοημάτων πυκνὸν, πρὸς δὲ τὸ διειδές τε καὶ ἄφθονον, ἔπεα νιφάδεσσιν ἐοικότα χειμερίῃσιν, εἶπεν ἂν Ὅμηρος, τίς σοῦ πλέον θεόθεν ἐπλούτησεν ; ὡς πάντας, λέγονσός σου, ἐνθουσιᾷν ἄντικρυς, καὶ μανίαν πάσχειν τὴν σώφρονα, καὶ βακχεύειν ἐθέλειν, καὶ ἄκοντας ἄλλεσθαι, ταῖς τε φωναῖς συνεξαίρεσθαι, καὶ μηδ' ἀναχωρεῖν αἱρεῖσθαι· ἀλλ' οἱονεὶ προσηλῶσθαι δοκεῖν, τὸ τῶν Σειρήνων ἀτεχνῶς πάσχοντας. Θάλασσαν προσηκόντως εἴποι τις εἶναί σε, ἄλλα ἐπ' ἄλλοις πυκνῶς ἐγείρουσαν λόγων τὰ κύματα· ἤ τινα μεγάλην ὑδάτων σύστασιν, ψηφῖδος πόθεν ἐμπεσούσης, ἀδήλῳ κέντρῳ, μᾶλλον δὲ διαβήτῃ· εἰ δὲ βούλει καὶ ὑδατίνῳ, ἄλλον ἐπ' ἄλλῳ κύκλον, πράως μάλ' ἀνοιδούμενον, καινῶς περιγράφουσαν· εἶθ' ὑπεξιστάμενον ἡσυχῇ τῷ ἐπεισρέοντι καὶ διαλυόμενον, μέχρις ἂν ἔλθοι πρὸς τὸ ἀκρότατον. Καὶ μᾶλλον ὅταν περὶ θείων πραγμάτων ᾖ σοι τὸ διαλέγεσθαι. Καὶ ποῖος γὰρ ἕτερος ἢ νοῦν ἔχῃ λόγου καὶ γλώσσης ἀμείνονα, ἢ λύγον ἀναλόγως τούτοις ὑπηρετούμενον, ἢ γλῶσσαν αὖθις εὖ μάλα καὶ στρογγύλως, ἐπιτροχάδην δὲ καὶ λιγέως εἶπεν ἂν ποιητὴς, ἀποτορνεύουσαν τὸ νοούμενον, καὶ ἄμφω τούτοις, ὡς γ' ἐχρῆν, διακονοῦσάν τε καὶ διαπορθμεύουσαν τὸ κρυπτόμενον ; Ἐγὼ τοῦτο μόνον σου διηγήσομαι· ὅταν δημηγοροῦντος ἀκούω, ἄλλος ἐξ ἄλλου γίνομαι, καὶ ὅλος ἔνθους ταῖς τῶν λόγων καθίσταμαι ἴυγξιν, οὐκ ἀνθρώπου δῆθεν ὁμιλοῦντος διακούειν δοκῶν, ἀλλ' ὑπερφυοῦς δή τινος οὐρανόθεν προκύπτοντος, καί τινα ξένα καὶ θεῖα, ἐκβαίνοντα μὲν τὰ κοινὰ, μυστήρια δέ τινα καὶ βάθος ἀπόῤῥητον ἔχοντα διαγγέλλοντος· ὥστε με καὶ δεῖσθαι Θεοῦ προσθεῖναι καὶ οὗς ἕτερον, ὡς δὴ τῷ

προφήτῃ δόκεῖ, ἵν' εἰσρέωσι χύδην αἱ σὺν ἀστειότητι χάριτες. Οἶμαι δὲ καὶ πάντας τοῦτο πάσχειν. ἅσοι δὴ στερρόι καὶ βεβηκότες τὸ φρόνημα, ἀλλὰ μὴ πάμπαν ὥσι τοῖς τοιούτοις ἀκήλητοι καὶ ἀμείλικτοι· οὓς οὐδ' ἂν Ὀρφεὺς ἐκεῖνος μετὰ τῆς πολυθρυλλήτου λύρας, οἶμαι, συχνῶς ἐπιτρέχων ταύτην τῷ πλήκτρῳ, ποσῶς καταθέλξειεν· ἣν δὴ λύραν αὐτῷ προσπλάττουσιν Ἕλληνες, καὶ τὰς ἀψύχους φύσεις τοῖς κρούσμασιν ἕλκουσαν. Ἀλλ' οἷον δὲ ἄρα σοι πρὸς τοῖς ἄλλοις κἀκεῖνο, τὸ μηδενὸς τῶν ὑποδίκων τῇ βασιλείᾳ αἷμά ποτ' ἐλχέαι θελῆσαι; καὶ ταῦτα μήθ' ὅρκοις κατεμπεδώσαντα, ἀλλ' οὐρανίῳ συνέσει· τοῦτ' ἄριστον καὶ ὡς προσῆκον βασιλεῖ μάλιστα κρίνοντα· ἅτε δὴ καὶ ζωῆς καὶ θανάτου ταμίαν μόνον εἰδότα Θεόν. Ἀναίμακτον γὰρ τῷ ὄντι καὶ καθαρὰν φόνου τὴν σὴν καὶ μόνην ἡγεμονίαν ἅπας αἰῶν αὐχεῖ, εὐδαίμονα βίον πηγάυουσαν, καὶ φυρὰν ἁπάντων καλῶν. Καὶ τοῦθ' ὁρᾷν ἔξεστιν, οἷς καὶ ἄλλα μὲν τῶν ἀγαθῶν πλημμυρεῖ· οἷς δὲ καὶ μεγάλας φύσεις καὶ τῶν τεχνῶν οὐκ ἐλαχίστας αὖθις ἀναζῆσαι παρέσχεν ὁ κατὰ σὲ χρόνος, καί γ' ἐνεγκεῖν εἰς ἄκρον εὐτύχησεν· οὐ σοῦ γε δῆθεν, ἀλλ' ἐκείνων πάντως χάριν, ὡς ἂν εἷης μάρτυς ὁμοῦ τε καὶ θεατής, καὶ δυνάμενος κρῖναι τὸ κατορθούμενον, καὶ πρὸς ἰσχύος ἔχων μάλιστ' ἀμείψασθαι. Ἑλοίμην δ' ἂν εἰπεῖν ὡς καὶ διὰ σὲ τοὺς πρώτους τῶν παρ' ἡμῖν ἐπὶ σοῦ ξυμβῆναι γενέσθαι. Εἰ γὰρ εὐφορίαν μὲν καρπῶν, ὥς φασιν, εὐκαρπία ποιεῖ καὶ λεπτότης τοῦ περιέχοντος· τεχνῶν δὲ καὶ φύσεων αὔξησιν ἀγαθῶν εὐμένεια καὶ τιμὴ, καὶ φιλανθρωπία βασιλέως ἐκκαλεῖται. Ὅση νῦν ἡ τούτων φορά· ἣν προήκουσαν ὁρῶμεν, σοῦ κρίνοντος, καὶ τιμαῖς καὶ φιλοτιμίαις εἰς αὔξην οὕτως ἐπιδιδόντος, καὶ εἰς μέγα ἐντεῦθεν αἴροντος καὶ ἀθέριον· καὶ μᾶλλον ἐπὶ λόγοις τοῦτ' ἔστιν ἰδεῖν· ὡς μικροῦ δεῖν, τοὺς καθ' ἡμᾶς Ἕλληνας πρὸς τοὺς τῆς τέχνης εὑρετὰς ἀμιλλᾶσθαι κἀντεῦθεν, καὶ τὸ πρωτεῖν ἐκ τῶν δευτερείων λαμβάνειν, ἁπάσαις ψήφοις δοκεῖν· κἂν οὗτοι, περὶ σὲ καὶ τὰς σὰς πράξεις ἀεὶ πονοῦντες, ἐλάττους ὤφθησαν· καταγωνίζῃ γὰρ καὶ λόγων πᾶσαν ἰσχὺν, εἰς τόσον σπουδάσας ἐπιδοῦναι ταῖς ἀρεταῖς.

A bis in orbem reductis conceptam animo sententiam proferat, atque utrumque iis, ita ut decet, expediat, et id quod in animo lateat in apertum transmittat? Equidem unum illud de te dicam, cum concionantem audio, alius ex alio, et orationis tuæ illecebris Deo plenus efficior, nec hominem me loquentem, sed mirifice aliquem e cœlo prospectantem, et nova quædam atque divina, quæ communia hæc quidem longe excedant, sublimia autem et arcana mysteria contineant, renuntiantem audire puto. **12** Adeo ut Deum orandum duxerim, qui mihi aurem aliam addat, sicuti quidem prophetæ videtur, ut mihi cum lepore urbano verborum tuorum gratia abunde influat. Quod quidem omnibus etiam contingere arbitror, B qui firma et consistenti sunt mente, neque omnino tales, qui demulceri et flecti verbis hujusmodi nequaquam possint. Quos sane neque Orpheus ille, decantata sua lyra, frequenter eam plectro percurrens, ut puto, aliqua ex parte permulserit: quam quidem lyram irrationales etiam naturas sono suo trahentem ei affingunt Græci. Jam præter alia illud quale est, quod nullius sanguinem, qui imperio ob majestatem læsam obnoxius fuerit, effundere volueris? Quod tu quidem te ita facturum esse non jurejurando confirmasti, verum cœlesti prudentia optimum esse maximeque imperio convenire judicasti, qui nimirum et vitæ et necis potestatem penes solum Deum esse scias. Incruentam enim prorsus cædisque puram solam imperii tui administrationem, universum jactat C ævum, quæ vitam felicem et bonorum omnium proventum producit. Quod quidem cernere licet cum in aliis exundantibus commoditatibus tum in eo quod ætate tua magna rursus ingenia et artes nobilissimæ revixerunt, et per prosperum successum ad summum pervenerunt; non tua quidem, sed illarum, plane gratia, ut simul et testis earum esses, et spectator: qui cum judicare de recte factis, tum reponere ea atque remunerari maxime possis. Neque sane affirmare dubitarim, tua gratia primarios qui apud nos sunt viros, sub imperio tuo editos esse. Si namque uberem fructuum proventum, sicuti dicitur, temperata constitutio atque tenuitas circumfusi aeris efficit: præclararum profecto artium et præstantium ingeniorum incrementum benignitas, honorificentia et humanitas principis elicit. Qualis nunc eorum est copia: quam judicio, liberalitate et munificentia tua tantopere proficere, adaugeri, et ad cœlum usque tolli conspicimus. Quod quidem in eloquentia maxime videre est, ut prope nostrorum temporum Græci cum ipsis artis ejus inventoribus certent, proindeque primas ex secundis ferant, ita ut sententiis omnium videtur: quamvis omnes isti te atque actionibus tuis laudandis occupati, inferiores hac in parte reperiantur. Longe enim orationis et eloquentiæ vim omnem superas: in tantum virtutibus excellere studuisti.

Ὁ μὲν οὖν Κορίνθιος ἐκεῖνος Δημάρατος, Ἀλέξανδρον ἐν Σούσοις ἰδὼν, ἐξ ἡδονῆς ἐπιδακρύσας, μεγάλης ἔφη χαρᾶς ἐστερῆσθαι τοὺς ἔμπροσθεν τεθνηκότας, ὅτι Ἀλέξανδρον οὐκ εἶδον ἐν τῷ Δαρείου θρόνῳ καθήμενον· πρὸς δ' ὅτι καὶ γῆς ἀνήλιον μέρος ἔμεινεν, ὅπερ οὐκ εἶδεν Ἀλέξανδρον. Ἐγὼ δ' ἂν φαίην, ὅτιπερ ὂν ἄλλος ἔπαινον τῷ χρόνῳ προὔλαβεν, ἐπὶ σοί γε κεῖσθαι μᾶλλον προσήκει. Ἐνὶ D **13**. Demaratus ille Corinthius, cum Alexandrum Susis vidisset, præ lætitia illacrymans, ingenti dixit voluptate et gaudio, qui ante id tempus obiissent, orbatos, quod Alexandrum in Darii throno sedentem non viderint: præterea, quod pars aliqua adhuc terræ obscura et sole carens reliqua esset, quæ eumdem Alexandrum non conspexerit. Ego vero dixerim, laudem istam, quam alius tempore

occupavit, in te multo magis competere. Atque ille dicto eodem Alexandrum quidem ornavit, ad tuam autem prætantissimam imperii administrationem respiciens, laudem tantam retulit. Quod si et hoc dicere oportet, quam insigni animi lætitia caruisse putas, septenarium divinorum religionis nostræ virorum conventum, quod te simul cum eis coruscantem, veluti ingentem, opum accessionem, non viderint? Potissimum vero primum illum, qui Trinitatis mysterio est cohonestatus, quod te assessorem, seu potius throni simul et imperii post se statim successorem germanum non habuerit, professionis fidei nostræ ducem, et revera patrem tuum Constantinum, magnum apud Christianos nomen? Non tanta siquidem inimicorum multitudo irruisset, verborum perversa versutia sinceritatem fidei miscens atque concutiens. Enimvero singulari quadam providentia Deus te, nulla se illis inferiorem, quemadmodum quoddam pondus æqualis momenti in lance opponens, convenientemque magnitudini imperii mentem simul et morum dignitatem tribuens, eoque experientiæ et bonitatis progressum, rerum administrationi temporibus nostris præfecit, ut eas quam optime gubernares, nec nos prorsus pessum iremus. Quis enim suffecisset alius, qui tot et tantis malis undequaque circumfluentibus obviam iret, quam tu ipse, qui fortitudine et prudentia et Dei cultu justus es judicatus, temporibusque nostris alter quidam Noe aut Moses existimatus, scapha et ligno crucem adumbrantibus, et ærumnarum fluctibus subducens, et populum tuum a persecutoribus eripiens, et percutiens iis atque submergens persequentes, atque per manum Dei tropæa ubique excitans, magnificamque mundi navem magnifice crucis velo novi orbis semina conservantam gubernans: 14 aut ignis quoque columna prorsus habitus, veluti novum Israelem, nos cœleste videlicet semen, ad veram pietatem producens; aut sane liquor seu succus sacer, aut sal quidam divinus, ut Evangelice dicam, suo plane tempore nobis jam faticentibus atque diffluentibus injectus?

Sed quid ago? Si enim quamplurima dicendo vel minimam partem recte factorum tuorum attingere possem, nihil prorsus difficultatis aut molestiæ orationi adesset. Quandoquidem vero verba, etiamsi omnium longe optima in medium proferantur, cedere tamen plurimum rebus ipsis necessario oporteat, ne ea accumulando ultra modum progredi videar, ubi pauca quædam addidero, ad argumentum historiæ propositum descendam. Quæ enim tibi Deus exuberanti manu bona concessit, et quam munificentiæ gratiam prolixe præstitit, quisnam satis vel oratione prosequi, vel mente concipere queat? quamvis una cum Gratiis et Musis omnibus et pluribus quam quas Homerus dixit, capillosque nostros numero æquantibus linguis, insistens, res tuas exsequendas sibi proponat? Adeo enim nihil sibi dixisse videbitur, ut pœnitentia postea, qui semel dicendum sibi quidquam sumpserit, ducatur. Mihi vero satis fuerit, ubi ea

A γὰρ λόγῳ, κοσμεῖ μὲν ἐκεῖνον· πρὸς σὲ δὲ καὶ τὴν σὴν ἀρίστην βλέπων ἀρχὴν, τὸν ἔπαινον ἐμνηστεύετο. Εἰ δὲ χρὴ καὶ τοῦτο φάναι, πόσης οἴει θυμηδίας ἐνδεᾶ καθεστάναι καὶ τὸν ἑπτάριθμον σύλλογον τῶν καθ' ἡμᾶς θεοφόρων ἀνδρῶν, οἷς μή σε συναστράπτοντα τούτοις ἐπλούτησαν; καὶ μάλισθ' ὁ πρῶτος ἐκεῖνος καὶ τῷ τῆς Τριάδος μυστηρίῳ τιμώμενος, ὅτι μὴ συνέδρον ἢ γοῦν καὶ τοῦ θρόνου καὶ τοῦ κράτους εὐθὺς μετ' ἐκεῖνον διάδοχον, ὁ τῆς πίστεως ἡμῶν ἀρχηγός καὶ ταῖς ἀληθείαις σὸς πατὴρ Κωνσταντῖνος, τὸ μέγα Χριστιανοῖς ὄνομα, γνησίως ἐχρήσατο; ἢ γὰρ ἂν οὐκ ἂν τοσοῦτον εἰσέρρει στῖφος ἐχθρῶν, τὴν ἀκραιφνῆ πίστιν συγχέον καὶ συγκλονοῦν, ταῖς τῶν λόγων στρεβλότησι. Κάν σοφῇ τινι προνοίᾳ Θεός τε κατ' οὐδὲν ἐκείνων λειπόμενον, ὥσπερ τι βάρος ἀντιταλαντεύσας τούτοις πᾶσιν
B ἰσόῤῥοπον, ἐχέγγυόν τε τῷ μεγέθει τῆς ἀρχῆς, καὶ φρόνημα καὶ τὸ τοῦ ἤθους ἀξίωμα παρασχὼν, ἐμπειρίας τε καὶ χρηστότητος κατὰ τοῦτο γεγενημένον, τοῖς καθ' ἡμᾶς ἐπέστησε πράγμασιν, ὡς ἂν γε εἴης ταῦτ' ἄριστα διιθύνων, ἵνα μὴ παραῤῥνῶμεν παντάπασι. Τίς γὰρ ἂν ἤρκεσεν ἕτερος τόσοις ἀντιβαίνειν δεινοῖς; ὅτι πλείστων μάλα κύκλῳ περιῤῥεόντων, εἰ μὴ οὐ γ' αὐτὸς ἀνδρίᾳ καὶ συνέσει καὶ θεοσεβείᾳ κριθεὶς δίκαιος, χρόνῳ δῆτα τῷ καθ' ἡμᾶς Νῶέ τις ἄλλος ἢ Μωϋσῆς ὤφθης, σκάφει καὶ ξύλῳ σταυρὸν εἰκονίζουσι τοῦ κλύδωνος τῶν δεινῶν ὑπεξάγων, κἀὶ τὸν σὸν λαὸν τῶν διωκτῶν ὑφαρπάζων, καὶ τούτοις πλήττων καὶ καταποντίζων ἐπιδιώκοντας, καὶ χειρὶ Θεοῦ τρόπαια ἐγείρων ἀπαντα-
C χοῦ, καὶ τὴν κοσμικὴν λαμπρὰν λαμπρῶς ὁλκάδα τῷ σταυρικῷ διακυβερνῶν ἱστίῳ, κόσμου νέου διασώζουσαν σπέρματα, ἢ καὶ στῦλος πυρὸς ἄντικρυς χρηματίζων, ἅτε δὴ τὸν νέον Ἰσραὴλ, ἡμᾶς ὁδηγῶν πρὸς εὐσέβειαν οὐράνιον δῆθεν σπέρμα· ἢ γοῦν ὁπὸς ἱερὸς, ἤ τι θεῖον ἄλας, εὐαγγελικῶς εἰπεῖν, κατὰ καιρὸν ἡμῖν ἐμβλυθεῖς, ὑποχαυνομένοις καὶ διαῤῥέουσιν;

Ἀλλὰ τί μοι ταῦτα; Εἰ μὲν ἦν εἰπόντα πλεῖστα, κἂν βραχύ τι τοῦ σοῦ καθήκοντος προσεφάψασθαι, οὐδέν τι πρᾶγμα πάντως τῷ λόγῳ προσῆν· νῦν ἐπειδὴ ἀνάγκη τοὺς λόγους κατόπιν τῶν ἔργων ἴρχεσθαι, κἂν τὰ κράτιστα πάντων εἰσφέρωσιν, ἵνα μὴ
D καὶ πλείω λέγων τοῦ μέτρου πέρα δόξω περιένα, βραχέ' ἄττα προσθεὶς, ἐπὶ τὴν ὑπόσχεσιν τῶν λόγων ἀφίξομαι. Ὅσα μὲν γάρ σοι Θεὸς ἀφθόνῳ χειρὶ παρέσχε τῶν ἀγαθῶν, καὶ ἐπιεικῶς σοί γε τὸ τῆς χάριτος φιλότιμον ἐπεδείξατο, τίς ἱκανὸς καὶ λόγῳ φράσαι λαὶ νῷ περιλήψεσθαι; κἂν εἰ μετὰ χαρίτων καὶ μουσῶν ἁπασῶν καὶ γλωσσῶν πλειόντων ἢπερ ὅσας Ὅμηρος εἴρηκε, καὶ σχεδὸν ταῖς ἡμετέραις ἰσάριθμον θριξὶν ἐπέστη τις, ἔργον τὰ σὰ ποιούμενος, τόσον ὤφθη μηδὲν οἰπὼν, ὥστ' ἔπειτα δὴ καὶ μετάμελος ἐκεῖνον εἶλε, καθάπαξ λέγειν ἐπιβαλόμενον. Ἐμοὶ δ' ἀρκέσει μόνον τὸ τῆς σῆς εὐσεβείας εἰπόντι, θᾶττον συγκεφαλαιῶσαι τὸν λόγον. Τὴν μὲν οὖν καθόλου Ἐκκλησίαν οὕτω νεωτεριζομένην εἰς

τὸ ἀρχαῖον ἐγκαθιστᾷς· ἀπελαύνεις ταύτης ἅπαν νόθον δόγμα καὶ βέβηλον· ἐκκαθαίρεις τῶν θειοκαπήλων τὸ ἱερὸν, οὐ τριπλόκῳ δή τινι φραγγελίῳ, ἀλλ' ἀληθείας λόγῳ, εἴτουν συμφυΐας τριττῷ· ὑπὲρ τῆς ἱερᾶς καὶ θείας τραπέζης ζηλοτυπεῖς· σφοδρόν τι πνέεις ὑπὲρ τοῦ Πνεύματος· ἐμπνεῖ σοι κἀκεῖνο τῆς ἀκριβοῦς θεολογίας τὴν δήλωσιν, ἀξίῳ μάλα γενομένῳ τῷ πολλῷ ζήλῳ, γνησίως τά γε τοιαῦτα ἐμπνεῖσθαι, ἀσφαλίζῃ· νομοθετεῖς ἐπὶ τούτοις· θριγγοῖς μεγάλοις τὸ τῆς εὐσεβείας χρῆμα κατοχυροῖς· τὸ διερρωγὸς ἐπανάγεις τῇ ὁλομολείᾳ συνάπτεις. Οὐκέτι παρ' ἡμῖν τοῦ λοιποῦ τὰ καινὰ δὴ ταῦτα τῶν ὀνομάτων, Παῦλος καὶ Κηφᾶς τε καὶ Ἀπολλώς· ἀλλ' εἷς ἁπανταχοῦ καὶ ἐν πᾶσι Χριστός. Ἐπὶ δὴ τούτοις ὑπόχαλκον οἷον ἠχοῦσαν τὴν τῆς ἱερωσύνης χρῖσιν, ἀκίβδηλον καὶ χρυσίου λαμπροτέραν τῷ διαπύρῳ ζήλῳ ἐμφαίνεις, νόμῳ δὴ καὶ γράμμασι τὸ τοῦ τρόπου ἀφιλάργυρον ἐκδιδάσκων. Καὶ νῦν ἱερόν τι τῷ ὄντι τὸ ἱερᾶσθαι, τῷ πρώτην χρόνῳ ταῖς καταμικρὸν παραλόγοις κιβδηλευθὲν ἐκτροπαῖς. Σεμνύνεις τὸ σχῆμα τῆς Ἐκκλησίας, ἀεί τι πλέον ἐπινοῶν, καὶ λεπτύνων ἄριστα τὴν πρὸς τὸ ἀρχέτυπον ἀφομοίωσιν. Φαιδροτέρας ἐξεργάζῃ τὰς πανηγύρεις, οὐ μόνον πολυτελείᾳ φώτων κύκλῳ διὰ τῶν ἀλύσεων ἀνερπόντων καὶ διαττόντων, νοερῶν τε ταγμάτων εἰκονιζόντων καὶ ἀριθμὸν καὶ λαμπρότητα, καὶ ὡσανεὶ κατάστερον ἐν ἀπορρήτῳ νυκτὶ τὸ μέγα τοῦτο καὶ αἰθέριον χύμα τοῦ δευτέρου, ὡς εἰπεῖν, καὶ νοητοῦ στερεώματος προδεικνύντων, ὧν αὐτὸς ἐν μέσῳ οἷά τις, τὸ ξένον εἰς ἀκοὴν, πανσέληνος ἥλιος φρυκτωρεῖς· ἀλλὰ καὶ τοῖς ἄλλοις οἷς τὸ Θεῖον ἐπιγάννυσθαι εἴωθε, σκευῶν δή τινων ξένην καὶ ὄψιν καὶ σχῆμα προϊσχομένων, φρίκης ἀτεχνῶς γέμουσαν. Πῶς δ' ἄν τις φράσειεν, ὅσαις τὴν καθ' ἡμᾶς ἱεραρχίαν ἐξάλλοις καὶ ποικίλαις στολαῖς κατηγλάϊσας, μηδὲν τῶν εἰς πολυτέλειαν αὐτῇ παραλειπόμενος, χρυσῷ τ' ἀκιβδήλῳ τιμαλφῶν τε λίθων καὶ μαρδάρων τισὶ διαυγείαις καὶ καθαρότησι; δι' ὧν ἁπάντων ὁ σὸς περὶ τὴν Χριστοῦ Ἐκκλησίαν ἄῤῥαστος καὶ ζέων διαφερόντως μάλα δείκνυται πόθος. Τί οὖν; ἀλλ' οὕτω μὲν περὶ τὴν ἄϋλον καὶ νοερὰν Ἐκκλησίαν, τὴν εὐσέβειαν λέγω, διαγωνίζῃ· τῇ δὲ ἐξ ὕλης ταύτῃ δὴ συγκειμένῃ, οὐ τὸν ἴσον γίνῃ τρόπον; Πολλοῦ γε καὶ δεῖ. Ὡς γὰρ ἐκείνην, οἷα τὴν δυνατὴν ῥοπὴν ἀνατιθεὶς, ῥέουσαν ἤδη καὶ καταπίπτουσαν, οὐ λίθοις τισὶ καὶ πλίνθοις ἐκράτυνας· ἀλλὰ τοῖς πνευματικοῖς ἀντερείσας στύλοις· τοῖς τῶν Πατέρων ὅροις καὶ δόγμασιν ὤρθωσαν οὕτω καὶ ταύτην. Τὸ ἀπερινόητον καὶ ἀμήχανον ἔργον, τὸ ἄῤῥητον κάλλος, τὴν εἰκόνα τῆς ἀϊδίου αὐλῆς, τὸ κοινὸν ἀνθρώπων, εἴπω δ' ὅτι καὶ ἀγγέλων ἐντρύφημα καὶ ὡράϊσμα, τὸ τῆς τοῦ Θεοῦ Λόγου Σοφίας θεῖον ὄντως, λέγω, ἀνάκτορον· καὶ ταύτην τῷ θράσει τοῦ χρόνου κάμνουσαν, καὶ ταῖς τῶν ὑπερκειμένων ὑπερβολαῖς ἐς γόνυ κλίνουσαν καὶ ὀκλάζουσαν· ἀντιστήσας ταύτῃ τὴν χουσῆν δεξιὰν, ἐν τῷ βεβαίῳ

quæ pietatis erga Deum tuæ sunt, dixero, quamprimum orationem in summam redigere. Itaque (1) Ecclesiam catholicam et universalem rebus novis turbatam in veterem statum restituisti, doctrinam illegitimam atque impuram omnem ab ea repulisti: templum a divinæ doctrinæ cauponibus et depravatoribus hæreticis, non quidem triplicato flagello, sed veritatis verbo, sive cognatæ divinitatis triplicitate repurgasti, pia æmulatione pro divina mensa flagrasti, vehementius pro Spiritu spirasti: quare ille quoque tibi accuratam certamque divinitatis cognitionem inspiravit; doctrinam stabilivisti, constitutiones de ea tulisti, ingentibus septis veram pietatem vallasti, quod dirutum fuerat restituisti, atque id apta membrorum partiumque omnium coagmentatione redintegrasti. Neque deinceps apud nos nova illa nomina audiuntur, Paulus et Cephas et Apollos, sed unus est ubique et in omnibus Christus. Adhæc unctionem sacerdotalem adulterinum quiddam resonantem, flagranti ardore sinceriorem 15 et puriorem auro reddidisti, atque lege et litteris propositis; continentiam morum et pecuniæ contemptum docuisti. Quapropter nunc reipublicæ sacrum est sacerdotale ministerium, quod superioribus temporibus paulatim disciplinæ et morum corruptela adulteratum depravatumque fuerat. Ecclesiæ formam et habitum, semper amplius quiddam excogitans, et imaginem pulcherrime ad primarium exemplar expoliens, ornasti. Conventus ecclesiasticos spiendidiores effecisti, non solum ingenti lucernarum, copia, quæ in orbem per catenas serpunt et emicant, intellectualiumque ordinum et numerum et splendorem referunt, et velui astriferum in multa nocte atque cœlestem tractum secundi, ut ita dicam, atque intelligibilis firmamenti exhibent: in quorum medio ipse perinde atque, quod auditu novum atque mirum est, plenilunius sol reluces: verum etiam rebus aliis, quibus numen divinum lætari solet, et vasis quibusdam novam speciem atque formam horrore prorsus plenam præ se ferentibus. Quis porro eloquatur, quam præstantibus et variis sacris vestibus puro auro, pretiosisque et resplendentibus lapillis et margaritis ornatis, nihil plane ad magnificentiam reliqui faciens, hierarchiam seu episcopatum nostrum illustraveris? Per quæ omnia incredibilis, plurimumque flagrans tuus in Ecclesiam Christi amor et desiderium magnopere declaratur. Quid igitur est? Talis tu quidem in ornanda atque defendenda ea quæ materiæ expers et intellectualis est Ecclesia, veram pietatem dico, appares: erga eam vero quæ ex materia ista constructa est, non eodem es affectus modo? Id vero longe abest. Quemadmodum enim illam jam collabentem et pessum euntem, quantum potuisti opum conferens, non lapidibus et lateribus, sed spiri-

(1) Laus pietatis institutæ, et doctrinæ Christianæ ab hæreticis opinionibus repurgatæ. Nam Andronicus patris sui Michaelis de religione acta rescidit.

tualibus suffultam columnis, Patrum scilicet doctrinis et sanctionibus confirmasti : sic et hanc erexisti. Hoc, inquam, cogitationem mentis excellens et immensum opus, hanc incredibilem formam, sempiternæ aulæ imaginem, commune hominum, dicam etiam angelorum, delectamentum et spectaculum, hoc divinum Dei Verbi Sapientiæ, inquam, palatium : hanc quoque basilicam temporum vi **16** affectam, et imminentium cacuminum mole veluti in genua inclinatam et labefactatam, adhibita ei aurea dextra, ad stabilem et certum restituisti statum : ad eum modum ædificio omni firmato, ut in posterum nulla temporum injuria detrimenti quidquam ei afferre possit. Nam saxis injectitiis et pulchre politis ex parte utraque eam restaurasti, structura solida et fere adamantina ita longissime in altum excurrente, ut totum opus propter summam convenientiam et coagmentationem saxum unum esse videatur. Et totum tu quidem hoc templum solida stabilitate confirmasti : maxime tamen eam ædificii partem, quæ ad orientem solem spectans, sensim quodammodo a reliquis partibus abrupta est et disjuncta. Nec manum tantum operi isti adhibuisti, sed ad reliqua etiam, divinam et immortalem tuam curam et sollicitudinem rebus his impendens, adjecisti. Siquidem ad has etiam artes sapientis animi intelligentia et magnitudine, admodum es appositus. Et opus hoc omnino, quod diximus, non ea solum quæ a sæculo condito exstitere, verum etiam decantatissimum illum Semiramidis bitumine compactum murum longe superavit. Verum enimvero priscum quoque divini hujus delubri conditorem (1), ex ære in statuam pulcherrimam arte fictorum diffusum, atque in columna aurigationem sive gubernationem exsequentem, una cum galea superba et habitu magnifico, dextraque grave quiddam et terribile minanti, equo etiam ingenti naribus et fremitu vim plane spirante, juba quoque per auram ludente, et juxta Homericum equum, in sublimi campo lasciviente ; aut etiam, juxta Pegasum illum, volandi opinionem præbente, a temporum inordinata circumvolutione et motu ratione parum nitenti, longa et continua aeris injuria ita perculsum, ut quæ continere visus fuerat, crucem videlicet et orbem, quibus statuarius terram omnem et mare ipsum per crucem ei subjectum esse indicaverat, ea cessatione ignava e manu ejus exciderint : et hunc, inquam, artificio quodam incredibili, perinde atque quodam stimulo et flagello, aureo sceptro excitans, ut fortiter cursum suum ageret, et una cum sole, immobili motu, in sempiternum perequitaret, procurasti.

17 Sed si exacte oratione persequi pergam, quibusnam templis temporum injuria ruinam minantibus aliisque publicis operibus, atque in primis urbis ipsius mœnibus, quæ circumcirca eam, investigantium modo, cingunt, et ex senili situ ad pubescentem juventam revocant, muris adamantinis robur firmum adjeceris, tempus me id memorantem destituet. Cæterum veritatem verbis meis astruere possunt utraque sacra apostolorum templa,

A μένειν παρέσχες, τοσοῦτον ἐδράσας, ὡς μηδέν τι τῶν δεινῶν τοῦ λοιποῦ ἐξεῖναι τῆς ἐκ τῶν χρόνων ὕβρεως αὐτῇ προσβαλεῖν. Ἐμβολίμοις γὰρ λίθοις καὶ εἰς κάλλος ἀπεξεσμένοις, ἑκατέρωθεν ἐπιῤῥώσας οἰκοδομίᾳ στερρᾷ καὶ ἀδαμαντίνῃ σχεδὸν, ἐπὶ μήκιστον εἰς ὕψος ἀνατρεχούσῃ · ὡς δοκεῖν ἕνα λίθον εἶναι τὸ σύμπαν ἔργον, τῇ ἐς ἄκρον δηλαδὴ ἁρμονίᾳ καὶ συμφυΐᾳ. Καὶ πάντα μὲν τὸν νεὼν στερρῶς ἐδραιοῖς · μάλιστα δ' ὅσα τῶν οἰκοδομημάτων ἦσαν πρὸς ἀνίσχοντα ἥλιον, ἠρέμα ὡσανεὶ τῶν ἄλλων ἀποσαλεύοντα, οὐ τὴν χεῖρα μόνον τῷ ἔργῳ ἐπιβαλὼν, ἀλλὰ καὶ τὸν σὸν θεῖον νοῦν καὶ ἀκήρατον τοῖς λοιποῖς προστιθεὶς, καὶ ταῖς περὶ τούτων φροντίσιν ἐκδαπανῶν. Καὶ γάρ πως καὶ πρὸς ταῦτα ἐπιτηδείως μάλιστα διαγέγονας ἔχων, τῷ τῆς σοφῆς
B διανοίας μεγαλοφυεῖ τε καὶ συνετῷ · ὡς ἠττᾶσθαι κατακράτος τούτῳ δὴ τῷ ἔργῳ μὴ μόνον ὅσ' ἐξ αἰῶνος γεγόνασιν, ἀλλὰ καὶ τὸ θρυλλούμενος ἐξ ἀσφάλτου τεῖχος ἐκεῖνο τὸ Σεμιράμιδος. Οὐ μὴν δ' ἀλλὰ καὶ τὸν ἔκπαλαι τοῦ θείου τούτου τεμένους δομήτορα, χαλκῷ ἐς πάγκαλόν τι χρῆμα πλαστικῇ τέχνῃ διαχυθέντα, κἀπὶ κίονος τὴν ἡνιόχησιν ἐξελαύνοντα, σύναμα γαύρῳ καὶ κράνει καὶ σχήματι, καὶ δεξιᾷ δεινὸν ἀπειλούσῃ καὶ βλοσυρὸν, ἵππῳ τε σὺν μεγαλῳ μυκτῆρί τε καὶ φρυάγματι ὕβριν ἀτεχνῶς πνέοντι, καὶ χαίτῃ αὔραις δῆθεν παιζούσῃ, καὶ κατὰ τὸν Ὁμηρικὸν ἵππον κατὰ πεδίου μετεώρου κροαίνοντι, ἢ καὶ κατὰ Πήγασον ἐκεῖνον ἵπτασθαι δόξαν παρεχομένῳ · καὶ τοῦτον δὲ ἄρα τῆς ἐκ τοῦ χρόνου ἀτάκτου περιφορᾶς καὶ ἀνωμάλου κινήσεως ἱκανῶς ἀπολαύσαντα τῇ μακρᾷ καὶ συνεχεῖ τῶν ἀέρων φιλονεικίᾳ,
C ὡς καὶ ἃ κατέχων ἐωρᾶτο, σταυρὸν δή τινα καὶ σφαῖραν, δι' ὧν ὁ πλάστης ἐδήλου γῆν τε αὐτῷ πᾶσαν καὶ θάλασσαν τῷ σταυρῷ δεδουλῶσθαι, καταῤῥαθυμήσαντ' ἐᾶσαι τὴν ἐκείνου χεῖρα διαφυγεῖν, καὶ τοῦτον μηχαναῖς τισιν ἀμηχάνοις καθά τινι κέντρῳ καὶ μάστιγι, τῷ χρυσέῳ μυωπίσας σκήπτρῳ, ἐῤῥωμένως ἐξελαύνειν τὸν οἰκεῖον δρόμον, καὶ συνιππάζεσθαι τῷ ἡλίῳ, ἀκινήτῳ κινήσει, εἰς αἰῶνας παρεσκευάσω.

D Ἀλλά μοι πρὸς λεπτὸν τῷ λόγῳ ἐπέρχεσθαι, ὅσοις μὲν τῶν νεῶν χρόνῳ πονήσασι, καὶ ἄλλοις δημοσίοις ἔργοις, καὶ πρὸ πάντων τῷ περιβόλῳ τῆς πόλεως, τὸ κράτος ἐκ τειχῶν ἀδαμαντίνων περιεβάλου, ἄριστα καὶ ὡς χρεών γε ἦν ἐξασφαλισάμενος, ὃ καὶ δίεισι κύκλῳ τὴν πόλιν ἰχνηλατοῦν ναάζουσαν δῆθεν καὶ ἠῶῶσαν ἐκ γεγηρακυίας ἀποδεικνύον, ἐπιλείψει με καὶ χρόνος ἐκδιηγούμενον. Ἀψευδῆ μοι τὸν λόγον παριστᾷν ἔχουσιν οἵ τε θεῖοι καὶ ἄμφω τῶν

(1) Instauratio statuæ equestris Constantini Magni, altera manu globum cum infixo crucis signo continentis. Quod symbolum est orbis terrarum per crucem devicti.

ἀποστόλων νεφ, καὶ ὁ τῷ οὐρανίῳ κάλλει ἀνθαμιλλώ- A
μενος οἶκος τῆς Θεομήτορος, Βλαχέρνας καλοῦσιν
αὐτὸν οἱ Βυζάντιοι, καὶ σχεδὸν οἱ τῆς πόλεως ἅπαν-
τες, ἐπὶ σοῦ καὶ διὰ σοῦ εἰς μέγεθός τε καὶ κάλλος
ἀῤῥητον ἐγερθέντες, καὶ μονονουχὶ φωνὴν ἀφιέντες,
καὶ τὸ σὸν θεοφιλὲς τῆς τε πίστεως καὶ πόθου τὸ
ἀκραιφνὲς διαῤῥήδην κηρύττοντες, καὶ ἔτι κηρύξον-
τες. Ἐν οἷς ἅπασι θαυμάσοι μέν τις τὸ ἐσαγαν σοι
μεγαλόψυχον, καὶ τὸ τῆς δαπάνης ἄφθονον, μάλιστα
δ' ἐν τοσαύτῃ φιλοτιμίᾳ τὸ ἀφιλότιμον καὶ ἀκόμπα-
στον. Ἐνὸν γὰρ ἰδίᾳ πράττειν, ὡς καὶ ὑπερφυὲς
δοκεῖν ἕκαστον, σὺ δὲ τὸ καλὸν τῷ πάντ' εἰδότι καὶ
εἰς βάθος καρδίας ὁρῶντι ἀνατιθεὶς, ἐπ' ἄλλων ἔρ-
γοις μᾶλλον τὸ φιλότιμον ἐκκενοῖς, τὸν ὑποτυφόμε-
νον ἐντεῦθεν ἠρέμα τυφον, οἶμαί που, σοφώτατα διω-
θούμενος. Καὶ γὰρ εἴ τίς σου τὰ κατὰ μέρος εἰργα · B
σμένα τοῖς τοιούτοις εἰς ἓν ἀθροίσειε, πάντας ἐν
δευτέρῳ θήσοι, ὅσοι δὴ τούτοις τὸ φιλότιμον ἐπεδεί-
ξαντο. Εἰ δὲ χρὴ καί τι δεῖγμα τῆς σῆς μεγαλοψυ-
χίας εἰπεῖν, ἀνεῖσθω πᾶσιν εἰς ὄψιν (λόγῳ γὰρ τὸ
τῆς πολυτελείας καὶ δαπάνης φράσαι ἀμήχανον) ὃ ἐκ
τοῦ παρήκοντος ἀνάκτορον ἤγειρας, ὅπως μὲν θέ-
σεως, ὅπως δὲ καὶ στερρότητος, κάλλους τ' ἐσάγαν
ἐπιμελοῦς, ὡς εἰκὸς ἔχει, ἄξιον ἀληθῶς τῆς σῆς καὶ
φρενὸς καὶ γλώττης, εἶπω δ' ὅτι καὶ χειρὸς καὶ συν-
έσεως ἔργον · πρὸς δὲ καὶ ὃν τέσσαρσιν ἀνίδρυσας
κίοσιν ὕπαιθρον ὄροφον, θέαμα λόγου πολλοῦ ἄξιον,
ὡς ἂν οἷά τις φύσεως ὑπερτέρας προκύπτων ἄνω-
θεν, ἡμᾶς διορᾷς, θεὸν κἀν τούτῳ μιμούμενος,
οἴκτῳ χρηστότητος ἀνθρώποις ἐπιμιγνύμενον. Καὶ
τί γὰρ μᾶλλον ἔδει βασιλέα σε βασιλέων μέγαν καθ- C
εστηκότα, ἢ τὸν βασίλειον οἶκον τόνδ' ἀναστῆσαι, ὃν
οὐ σοὶ πάντως ἢ πᾶσιν ἡμῖν ἤγειρας ἔργον οὐ σιω-
πῆς ἄξιον · μᾶλλον δὲ καὶ σιγᾷν ἐπιτρέπον τῷ τοῦ
θαύματος ὑπερβάλλοντι, καὶ ταῖς τοῦ κάλλους ἀστρα-
παῖς ἁπανταχοῦ πρὸς τάχος ὅσον διεκπηδῶσαν ; Με-
γέθει μὲν γὰρ ὑπὲρ τοὺς πολλούς ἐστι, κάλλει δὲ καὶ
στερρότητι σχεδὸν ὑπὲρ ἅπαντας, ὑπὸ μεγάλῳ καὶ
πολλῷ τῳ φωτὶ, ἔτι δὲ περιουσίᾳ αἴγλης καταστρα-
πτόμενον, πυλῶν τε χάριτι καὶ προπυλαίων τοὺς
ἑκάστοτε προσιόντας ὡσανεὶ προσυπαντῶν τε ἅμα
φιλοφρόνως καὶ δεξιούμενον · τοῖς δ' ἔνδον δρόμοις
καὶ περιδρόμοις, οὓς πιστοί τινες γίγασιν ἐοικότες,
ἐν κόσμῳ δὲ καὶ σωφρόνων ἐφεξῆς ἠρέμα διεσηκό-
τες, ἀπ' ἀλλήλων διατειχίζουσιν, ἁπανταχοῦ χωρεῖν,
καὶ τὰς ὄψεις ἑστιᾷν προορεπόμενον. Τὸ δ' ἐπίχαρι
τῶν μαρμάρων καὶ στίλβον, ἃ καὶ ἐς τρίχα, τὸ δὴ D
λεγόμενον, ἥρμοσται τάς τε ζώνας, αἳ τοῦ παντὸς
ἔργου προβέβληνταί τε ὁμοῦ καὶ συνεξυφαίνονται,
πῶς ἄν τις εἴποι ; Ἃ τε τῷ ἐδάφει ὑπέστρωται, καὶ
ἅπερ ὁ σύμπας τῶν τοίχων χῶρος, οἷά τι πέπλον
ποικίλως ἐστιγμένον ἀμπίσχεται ; Φαίης ἂν εὐθὺς
ἰδών, θάλασσαν εἶναι πραοτάτοις ἀπανταχοῦ ὑποκυ-
μαινομένην τοῖς κύμασι, καὶ ἠρέμα πως ῥρίσσουσαν ·
ὥσπερ δὴ καὶ πέπλον ὑπανέχειν θᾶττον, μή τι τῶν
ὑγρῶν τὰ κράσπεδα ἐπισπάσειαν. Τὰ δ' ὑπὲρ κεφα-
λῆς τούτῳ οὐρανῷ ἂν εἰκάσαις τῷ πολλῷ καὶ κατακε-
χυμένῳ χρυσῷ, οἷά τινι αἰθερίῳ χώματι, περιλαμ-
πομένῳ καὶ ἀνθοῦντι πυρί. Ἀλλὰ πῶς ἂν λόγος τοσοῦ-

et Dei Gentricis ædes cum cœlesti pulchritudine certansi, quam Byzantii Blachernas vocant, et prope urbis ipsius fana omnia, sub te et per te ad immensam magnitudinem et formam excitata, et tantum non clara voce sincerum desiderium, fidem et amorem erga Deum tuum, præconum more, deprædicantia, temporibusque futuris deprædicatura. In quibus omnibus merito admirationi sit animi tui magnitudo, tantæque pecuniæ impensa : præsertim cum in tanta munificentia tua liberalitas ipsa se non proferat et venditet. Cum namque tua ipse opera, ita ut quodlibet illorum excellentissimum esset, extruere posses maluisti tamen honestum factum tum, ei qui omnia cernit intimosque cordium recessus perspicit, consecrans, in aliorum operibus restaurandis magnificam liberalitatem declarare ; subnascentem inde paulatim fastum et tumorem, ut equidem puto, sapientissime supprimens. Etenim si quis per partes suas sigillatim quæ in ejusmodi structuris perfecisti opera in unum cumulum congerat, omnes longe post te relinquas, qui munificentiam suam in eis ostenderunt. Quod si specimen aliquod magnanimitatis tuæ sit indicandum, in conspectum omnium proferatur (oratione enim præstantiam et impensam immensam explicare non est) regia ea, quam pro eo atque fieri maxime potuit ædificasti, ut scilicet illa et loci ipsius situ et solida firmitate nec non exacta pulchritudine, ita ut convenit, conspicua sit ; dignum, nec hercule, mente et lingua, dicam quoque manu et prudentia tua, opus. Ad hæc et quod quatuor columnis fundasti et tanquam fulcris firmasti solarium, insigne prorsus spectaculum, ut ex superiore eo loco, tanquam sublimioris cujusdam naturæ qui spiam prospiciens, nos respicias: Deum quoque hac in parte imitatus, pro misericordia et bonitate sua hominibus se immiscentem. 18 Nam quid magis conveniebat, te, qui magnus principum aliorum princeps es, quam regiam hanc domum exstruere, quam tu quidem non tibi magis quam nobis omnibus prorsus excitasti, opus minime silentio dignum : imo quod silentium potius propter admirationis excellentiam mandaverit, et pulchritudinis fulgore quam celerrime loca omnia pervaserit ? Magnitudine quidem illud supra multa, forma autem et firmitate fere supra omnia est, ingenti et multa luce abundantiaque splendoris coruscans, portarumque et propylæorum seu vestibulorum amœnitate et gratia, quandocunque accedentibus, obvians simul, et eos benigne excipiens, et ambulationibus intus atque xystis, quos columnæ quædam gigantibus similes decenter et pulchre inter se ordine distantes, distinguunt, longe lateque spatiari, atque oculos pascere permittens. Porro marmoris gratiam et fulgorem, quod etiam in villos, ut ita dicam, conformatum est, et zonas seu cincturas, quas totum opus præ se fert, ei simul intextas, quomodo quispiam dicat ? Præterea vero, quod solo instra-

tum est, et quod pars murorum omnis quasi quoddam peplum varie distinctum complectitur. Quod derepente videns, mare quoddam esse dicas, lenibus ubique intumescens fluctibus et sensim quodammodo horrescens : usque adeo, ut confestim vestem subducas, ne fimbria ejus humore inficiatur. Eam porro structuræ partem quæ supra caput est, cœlo ipsi propter late et copiose diffusum aurum, nec non æthereo alicui tractui, igne multo relucenti atque coruscanti compares. Verum quomodo tantum et tam longi temporis et multi laboris opus verbis tam breviter explicetur, quod neque oratio ulla, neque oculus, imo neque mens aliqua, quæ quidem in ejusmodi rebus sit exercitata, satis complectatur? Mihi certe unum illud dicere suffecerit : quamvis multæ et fere innumerabiles regiæ aulæ superioribus temporibus sane quam ambitiose et magnifice sint constructæ, hanc tamen ipsam inter omnes temporum omnium, calculis, ut ita dicam, omnibus primas ferre magnitudine, pulchritudine, firmitateque ædificationis, et convenienti rationique respondenti modo; magnifica vero atque superba coagmentatione, lapillorumque incrustatione, 19 atque eorumdem variis formis, et rebus fere omnibus quibus ædificium tantum exornari æquum est, naturam quoque ipsam superare.

A τον ἔργον χρόνου τε καὶ πόνου πολλοῦ οὕτως ἐν βραχεῖ παραστήσειεν, ὃ μήτοι γε λόγος, ἀλλ' οὐδ' ὄψις, μᾶλλον δὲ οὐδὲ νοῦς καὶ ταῦτα τοῖς τοιούτοις ἐγγυμνασάμενός ἱκανῶς παραλήψαιτο ; Ἐμοὶ δ' ἀρκέσει τοῦτο μόνον εἰπεῖν, ὡς πολλῶν καὶ ἀπείρων σχεδὸν βασιλείων οἴκων ἐν τοῖς ἄνω χρόνοις φιλοτίμως ἐξεργασθέντων, οὗτος ἐφ' ἅπασι ψήφοις ἁπάσαις, τὸ δὴ λεγόμενον, κατὰ παντὸς τοῦ χρόνου τὸ πρωτεῖον κεκλήρωται μεγέθει, κάλλει, στερρότητι, τῷ λελογισμένῳ ῥυθμῷ, καὶ τῇ κεκομψευμένῃ συνθήκῃ τῇ τε ψηφίδι, καὶ τοῖς ὑπὲρ αὐτῆς πλάσμασι καὶ φύσιν αὐτὴν ἐν δευτέρῳ τιθεῖσι, καὶ σχεδὸν ἅπασιν, οἷς τοιοῦτον εἰκὸς ἀγλαΐζεσθαι τέμενος.

Sed de operibus tui hactenus. Et cum tantus princeps sis, imperator optime, atque eo gloriæ perveneris, cuinam recte conferri possis? Ego quidem Plutarchum quoque illum, qui virorum clarorum collationibus magnus fuit, arbitror, si adhuc superstes esset, operæ pretium se facturum esse existimaturum fuisse, si studio suo, in quod per vitam omnem libenter incubuit, supersedisset, eo quod idoneum, quem tecum componeret atque conferret, non inveniret. Verum Adamo illi et Noæ et Abrahamo, præterea Josepho et Job, Mosæ, Josuæ, Samsoni, Samueli, Davidi et Salomoni, et qui ejus generis fuere aliis, insuper Cyro illi, Dario, Alexandro, aut aliis quibusdam, Juliis etiam fortasse et Augustis et Cæsaribus comparari posses. Sed satis constat, te hujus quidem imperium in omnes aliorum autem bonam spem, atque in Deum amorem, cæterorum vero moderationem, et in rebus duris constantiam; alicujus porro fortitudinem, æquanimitatem, mansuetudinem et modestiam ; alicujus item sapientiæ vim; prorsus vero omnium, eam quam imperatori, principi populique et reipublicæ administratori competit, virtutem habere : ita ut veluti quædam nova, atque, ut ita dicam, inimitabilis mistura imperium tuum sit constitutum: quod videlicet hos quidem longe præterieris, cum his autem certes : a quibus autem non multam absis, dicere non habeo. Atque, ut breviter dicam, quidquid in quodlibet istorum præcipiuum atque præclarum, vel Dei munere datum, vel præstantis naturæ beneficio comparatum fuit, id tu quasi quædam bona atque sedula apis magno studio collectum atque comportatum, admirando quodam modo miscusti atque temperasti: et propterea imperatio cubito omnes es supergressus, imperio tuo perinde atque non imitabili archetypo primarioque quodam exemplari omnibus exhibito. Quapropter et illud facile dicere ausim, te quidquid est rerum bonarum atque hone-

B Ἀλλὰ τὰ μὲν περὶ τῶν σῶν ἔργων ταύτᾳ. Τοιοῦτος δὲ ὢν καὶ οὕτω, κράτιστε, δόξης ἔχων, πρὸς τίνα δὴ καὶ προσηκόντως παραβληθείης ; Οἶμαι γὰρ ἂν καὶ Πλούταρχον ἐκεῖνον τὸν περὶ τὰ τοιαῦτα μάλα δεινόν, εἴπερ ἔτι καὶ νῦν περιῆν, προὔργου ἂν θέσθαι ἐφ' ᾧ διὰ βίου κατέτεινε τὴν φίλην σπουδὴν ἐν δευτέρῳ τάττειν, μὴ τόν σοι παράλληλον κατάλληλον ἔχων εὑρεῖν. Ἀλλ' Ἀδὰμ καὶ Νῶε καὶ Ἀβραὰμ, ἔτι δὲ καὶ Ἰωσὴφ καὶ Ἰὼβ, Μωσεῖ τε καὶ Ἰησοῦ, πρὸς δὲ Σαμψών τε καὶ Σαμουὴλ, Δαβίδ τε καὶ Σολομῶντι, καὶ ὅσοι δὴ κατ' ἐκείνους, πρὸς δὲ τούτοις Κύρῳ γ' ἐκείνῳ καὶ Δαρείῳ καὶ Ἀλεξάνδρῳ, ἤ τισιν ἄλλοις, Ἰουλίοις τάχα καὶ Αὐγούστοις καὶ Καίσαρσιν. Ἀλλ' εὔδηλον ὡς τοῦ μὲν τὴν κατὰ πάντων ἀρχὴν, ἄλλων δὲ τὸ εὔελπι καὶ φιλόθεον · ἑτέρων τὸ σῶφρον καὶ τὴν ἐν δεινοῖς καρτερίαν · ἄλλου τὸ ἀνδρεῖον καὶ C ἐπιεικὲς, καὶ πρᾶυν, καὶ μέτριον, χύμα δὲ σοφίας ἑτέρου · ἄρδην δ' ἁπάντων τὸ βασιλικόν τε καὶ ἀρχικὸν καὶ δημαγωγικὸν ἔσχες, μίγμα τι ξένον, ὡς εἰπεῖν, καὶ ἀμίμητον τὴν σὴν βασιλείαν καταστησάμενος, ὡς τοῖς μὲν παρελάσαι, τοῖς δ' ἀμιλληθῆναι · ὧν δὲ βραχύ τι ἀπολειφθῆναι, οὐκ ἂν εἴποιμι. Ἐν συντόμῳ δὲ φάναι, πᾶν ὅσον τούτων ἑκάστῳ ἐξαίσιόν τε καὶ περιβόητον ἢ θεόθεν ἐδόθη, ἢ καὶ φύσις φιλοτίμως διατεθεῖσα ἐπεχορήγησε, φιλοπόνως οἷά τις ἀγαθή τε καὶ φίλεργος ἐρανισάμενος μέλιττα, τῷ τῆς μίξεως ξένῳ καὶ τῆς συγκράσεως βασιλικῷ τῷ πήχει πάντας παρήνεγκας, ἀρχέτυπον οἷον ἀμίμητον τὴν σὴν ἀρχὴν ἅπασι παρασχών · ὥστε με ῥᾳδίως καὶ τοῦτ' εἰπεῖν θαῤῥῆσαι, τῶν καλῶν τε κἀγαθῶν τὰ μὲν ζηλῶσαι, ἂν δὲ καὶ νικῆσαι κατὰ τὸ τῆς D φύσεως περιούσιον · ὅσα δ' ἂν μήπω τισὶν εὕρηται, σὲ δὲ ἄρα καὶ εὑρεῖν καὶ προαγαγεῖν, καὶ ὡς ἐγχωροῦν παραδεῖξαι τῷ βουλομένῳ · κἀντεῦθεν καὶ ἁπάντων περιγενέσθαι, τῷ δι' ἁπάντων ἄχρι δὴ καὶ ἐς τὸ ἀκρότατον ἀνελθεῖν. Καὶ σε οἶομαι διὰ ταῦτα, καὶ ἐς μήκιστόν σοι τὸ βιώσιμον προσγενέσθαι, σύμπαν τἀγαθὸν ὡς χρεὼν ἄρδην συλλεξαμένῳ, ὡς ἄν γε δὴ τῷ μακρῷ χρόνῳ πρὸς ἐπίδοσιν τοῦτό σοι προέλθοι, πῆξιν

ἐν ἡμῖν ἀρίστην λαμβάνον καὶ ἕδραν καὶ μονιμότητα τῷ ἀμιμήτῳ σχεδὸν τῆς μιμήσεως. Μυσταγωγὸν γὰρ οἷόν τινα καὶ διδάσκαλον ἄριστον τῶν καλῶν ἁπάντων, ὥσπερ ἐπὶ τοῦτο τοῦ Θεοῦ σε ὑπὸ χειραγωγῷ τῇ φύσει, λαμπρῶς καὶ αροσηκόντως, οὐ στήλην βασιλείας μόνον, ἀλλὰ καὶ πάντων ἀνθρωπίνων καλῶν θεότευκτον ἄγαλμα, εἴτουν ἀνδριάντα, σοφῶς προχειρισαντος.

A starum, partim quidem imitatum per æmulationem esse, partim vero ingenii et naturæ præstantia superasse : quæ autem hucusque a quopiam inventæ non fuissent, eas et invenisse et in lucem produxisse, et, quoad ejus fieri potuit, cernere volentibus ostendisse : proindeque, quod per virtutes et præclaras res omnes, ad summum quoque pervaseris, omnes longe vicisse. **20** Itaque (1) longiorem etiam tibi vitam, qua bona omnia, pro eo atque decuit, omnino in unum collegeris, obtigisse existimo : ut ex temporis diuturnitate ad incrementum gloriæ hoc tibi accederet : quod, cum apud nos certiorem stabilioremque sedem et stationem optime fixeris, sedula imitatione laudum virtutumque tuarum, quæ inimitabiles fere sunt, assequi eas non potuerimus. Nam veluti quidam arcanorum sacrorum princeps es, et magister virtutum omnium optimus, perinde atque eam ob causam Deus, natura administra et duce, splendide atque magnifice te, ut non solum publica imperii columna, verum etiam omnium humanorum bonorum divinitus exhibita statua et imago esses, proposuerit.

Ἐγὼ δ' ἀλλὰ τούτους πάντας παραιτησάμενος, ἑνί σε μόνῳ παραβαλὼν, τὴν τοῦ λόγου ῥύμην ἐφέξω, ἀεί με λεληθότως τῷ περὶ σὲ πόθῳ παρέλκουσαν, καὶ τοῦ μέτρου ἡρέμα ἐκφέρουσαν· τῷ κρεῖττον ἀεὶ φαντάζεσθαι τοῦ αἱρεθέντος τὸ παρεθὲν, πάντων ἴσοτίμων τῷ μεγέθει καθεστηκότων, τῆς τε νίκης καὶ τῶν πρωτείων οὐδαμῶς αἱρουμένων ἕκαστον ἑτέρῳ παραχωρεῖν τε καὶ ὑπεξίστασθαι. Ὥστε συμβαίνειν ἐξ εὐπορίας μοι μᾶλλον τὸ ἀπορεῖν, καὶ τὴν περιουσίαν εἰς περιφανῆ ζημίαν καθίστασθαι· καί μοι πλέον, τὸ τί παρετέον, ἢ τοῖς ἐπίσης ἐμοὶ δοκιμάζουσιν ἐπαινεῖν τὸ τί λέγειν γίνεσθαι· καὶ γὰρ εἷς μοι, τὸ δὴ λεγόμενον, ἀντὶ πάντων ἀρκέσει· ᾧ καὶ προσφυῶς ἔχων, χαίρεις ἴσως παραλληλίζεσθαι. Τίς δ' ἂν ἕτερος εἴη ἢ Κωνσταντῖνος ἐκεῖνος, τὸ μέγα παρὰ πραγμα καὶ ὄνομα Κωνσταντῖνος; οὗ τὴν μνήμην ὥσπερ τινὰ καὶ πνοὴν ἐνεῖναι πᾶσι χρεὼν, ἐν τοῖς ἀναγκαιοτάτοις λαμπρῶς οὕτω καὶ γενναίως μάλα ξυναραμένου· Κωνσταντῖνος, ὁ πολὺς μὲν τὴν ἀρχικὴν ἐπιστήμην, τὴν δὲ σύνεσιν ἀπαράμιλλος, τὸν δὲ πρὸς Θεὸν ζῆλον καὶ τῇ μεγαλουργίᾳ τῶν πράξεων καὶ τοῖς ὑπὲρ εὐσεβείας ἀγῶσιν ἅπαντας ὑπερλάμψας, καθάπερ ἀστέρας ἥλιος. Ἡ γὰρ οὐκ ἀκριβὴς ἐκείνου εἰκὼν σὺ, κράτιστέ; Καὶ μηδ' ἔσοπτρον οὕτω παριστᾷν ἔχειν εἰκόνος ἀρχέτυπον, ὡς αὐτὸς τῆς ἐκείνου ψυχῆς τὰς θεοειδεῖς ἐμφάσεις ἀπομαξάμενος, ἀντιστίλβεις μάλα τοῦτον φαίνων, καὶ οὐχ ἧττον ἢ γνήσως παῖς τὸν γεννήτορα. Ὥστε εἰ καὶ τόλμης σοί γε κριθείην τὰ τοιαῦτα μάλιστα διευλαβουμένῳ, εἴποιμ' ἂν καὶ τοῦτο θαῤῥοῦντως (ἀλλ' ἀνάγχου καὶ συμφιλοσόφει τῷ λόγῳ), υἱὸν Θεοῦ σε κατὰ χάριν μάλιστ' εἰδὼς, καὶ χριστὸν Κυρίου εἴπερ τινὰ, εἰ κόνα σε ἀπαράλλακτον εἶναι, τὴν ἐκείνου εὐσεβῆ τῷ ὄντι καὶ μορφὴν καὶ δύναμιν περικείμενον, καὶ χαρακτῆρα οἷον τῆς ψυχικῆς, εἴτουν βασιλικῆς αὐτοῦ σαφῶς ὑπόστάσεως Σκοπῶμεν δὲ οὕτως. Ἐγχειρίζεται πρὸς Θεοῦ τὸ βασίλειον ἐκεῖνος σκῆπτρον, τὰ πάτρια προλιπὼν, καὶ θείᾳ δυναστείᾳ τῶν ἀλιτηρίων τυράννων μάλιστα περιγίνεται, κατ' οὐρανὸν τὸ τῆς νίκης θεώμενος τρόπαιον. Καὶ σὺ δὲ τὸν ἴσον τρόπον τὸ κράτος περιβαλόμενος, καὶ τὸ νικοποιὸν ὅπλον οὐχ

B Sed enim omnibus eis, quos diximus, omissis, ubi te uni solummodo comparavero, orationis cursum sistam, qui me semper propter meum erga te amorem et desiderium latenter transversum agit, et sensim extra modum producit, propterea quod animo semper id quod prætermissum est, præstantius esse eo quod dicendum elegimus, videtur : adeo magnitudine sua æqualia sunt omnia, neque pro se quodque aliud alii de victoria partibusque primis cedere constituit. Itaque ex ingenti copia ad dicendi inopiam recido, et mihi abundans exuberantia in insignem indigentiam cedit. Plus etiam negotii mihi, quid omittendum sit, quam eis qui laudes tuas mecum persequendas statuerunt, quid dicendum sit, facessit. Unus sane quidem, ut ita C dicam, mihi pro omnibus sufficiet, cum quo etiam fortasse, pro ea quæ tibi cum illo intercedit cognatione et similitudine, libenter te conferri patiere. An vero is alius sit quam Constantinus ille, magnum apud omnes momentum et nomen? Constantinus, cujus memoriam veluti spiritum quemdam inesse omnibus oportet, qui in necessitate summa tam magnifice et tam fortiter opem nobis tulit; Constantinus, artibus imperatoriis magnus, prudentia incomparabilis, ardore autem erga Deum, magnisque rebus gestis, et certaminibus pro vera pietate susceptis, supra omnes quemadmodum sol super astra alia relucens. An tu vero, princeps optime, non certa illius es imago? Non speculum, mediusfidius, ita primarium imaginis exemplar reddit, sicuti tu divinum animæ illius D specimen exprimens, atque illum admodum referens, refulges, non aliter quam germanus filius patrem suum repræsentaret. **21** Atque equidem, quamvis audaciam meam te improbaturum sciam, qui maxime fugere et cavere talia soles, dicere illud tamen audacter sane non dubitem (quod te rego ut patiare, et rationem mecum consideres, qui te filium Dei per gratiam et Christum Domini præter cæteros maxime esse sciam), imaginem te illius per omnia similem esse, qui vere piam illius

(1) Imperator longævus. Septuagenario enim major mortuus est.

formam et vim characterumque animalis sive imperatoriæ ejus subsistentiæ aperte obtineas. Id vero sic consideremus. Accepit ille, patriis moribus relictis, a Deo imperiale sceptrum : et divina potentia maxime fretus, scelestos et perniciosos tyrannos, in cœlo victoriæ tropæo viso, devicit. Tu quoque ad eumdem modum,summa rerum suscepta, et victrici armatura non semel, sed continue inspecta, atque in manibus gestata, seu potius in corde tuo, ut per quam solam et vivas et spires et moveare, circumlata, itidem, ut ille, fortiter adversarios superasti, quicunque opponere se tibi sunt ausi, invictoque Marte de eis triumphum egisti. Quis namque te aspicere saltem sustinuit, forti manu Dei et excelso brachio suffultum et confirmatum ? Excitavit ille et exstruxit Deo urbem imperialem, eamdemque ad formam et magnitudinem ingentem extulit, non solum necessariis rebus abunde,verum etiam superfluis magnifice exornans, nec non tropæa de prædonibus, qui multo tempore ei incubaverant, ejectis, statuens. Liberasti hanc tu quoque ab eis qui eam occupaverant latronibus, novamque eam et juvenescentem reddidisti, mœnibus solidis circumcirca ea vallata, aliisque ejus ædificiis perpulchre et ambitiose exstructis, quæ læta ubique læte sese oculis omnium ingerunt et consurgunt : effecistique adeo, ut suo, ita ut appellatur, respondeat nomini, qui alter scilicet conditor ejus es et deus tutelaris. Ille fidei dogma confirmavit, et linguas male sentientium confudit, injustitiam in sublime loquentes : et perinde atque alter quidam Abraham, trecentis decem et octo vernaculis contractis, præ se egit Arianos furentes persequens eos atque confringens, germanumque et nativum jus Filio decreto suo et auctoritate stabilivit, non creaturam, sicuti homines desipientes opitani sunt, sed ὁμοούσιον, hoc est, consubstantialem Patri eum esse, nec non imaginem, sed eam illi per omnia similem, et characterem seu figuram subsistentiæ paternæ statuens, et Patrem revera principii expertem Patrem : 22 id ipsum scilicet vere exsistentem faciens, et congruentem, ita ut æquum est, dignitatem ei tribuens. Tu vero quid ? Annon eumdem cum illo cursum de connaturali Spiritu tenuisti ? Namque concilio coacto non equidem vernaculorum quorumdam, sed Ecclesiæ primogenitorum nostratium, veluti quidam novus Abraham, beatam rursus hospitio excepisti Trinitatem ; et phalanges eorum qui e lingua laborarunt, disturbans, processionem unde ea proveniat liquido declarasti : ex solo videlicet Patre(1),unde etiam exsistentiam suam inexcogitabili modo, verumtamen ut genitus, habet Filius. Proinde et illud cum fidu-

ἅπαξ, ἀλλ' ἀεὶ ὁρῶν, καὶ χερσὶ τοῦτο διακατέχων. μᾶλλον δὲ περιφέρων ἐγκάρδιον, ὡς αὐτῷ δὴ μόνῳ καὶ ζῆν καὶ πνεῖν καὶ κινεῖσθαι, ἐπίσης ἐκείνῳ κατακράτος περιγίνῃ τῶν ἐναντίων, ὅσοι δῆτ' ἀνταίρειν σοί γε τόλμης ἐγένοντο, ἀμάχῳ δυναστείᾳ κατατροπούμενοι. Τίς γάρ σε καὶ προσβλέπειν εἶχε, Θεοῦ χειρὶ κραταιᾷ καὶ τῷ ὑψηλῷ βραχίονι τούτου ἐπερειδόμενόν τε καὶ στηριζόμενον ; Ἀνίστησιν οὗτος πόλιν βασίλειον τῷ Θεῷ, καὶ εἰς κάλλος ἐξαίρει καὶ μέγεθος, σεμνύνων οὐ τοῖς ἀναγκαίοις διαρκῶς μόνον, ἀλλά γε δὴ καὶ τοῖς περιττοῖς, τρόπαιά τε κατὰ τὸ ἐκ πολλοῦ ἐμφωλεῦον ἐκεῖ λῃστρικὸν ἀνιστάς. Ἐλευθέραν καὶ σὺ ταύτην τῶν κατασχόντων πάλαι δεικνύεις λῃστῶν, καὶ καινήν τινα καὶ νέαν αὖθις ἐγκαθιστᾷς · στερρὸν περικύκλῳ βάλλων τὸ τεῖχος, καὶ τἄλλα ταύτης εὖ μάλα φιλοτίμως ἐξεργαζόμενος, φαιδρὰ φαιδρῶς ἁπανταχοῦ ταῖς ὄψεσιν ἁπάντων καὶ συνανίσχοννα, καὶ διδοὺς καλεῖσθαι ὃ λέγεται, δεύτερος πολιοῦχος καὶ οἰκιστὴς κυρίως αὐτῆς καθεστώς. Ἀλλ' ἑδράζει μὲν ἐκεῖνος τὸ δόγμα τῆς πίστεως, καὶ συγχέει γλώσσας ἀλλοφρόνων, ἀδικίαν εἰς τὸ ὕψος λαλούσας · καὶ ὡς Ἀβραάμ τις ἄλλος τοὺς τριακοσίους ἀθροίσας οἰκογενεῖς, κατόπιν ἐλαύνει, τοὺς περὶ τὸν μαινόμενον Ἄρειον ἐπιδιώκων καὶ καταῤῥάσσων · καὶ τὸ γνήσιον τῷ Υἱῷ προσκυροῖ, οὐ κτίσμα κατὰ τοὺς ἄφρονας, ἀλλ' ὁμοούσιον τῷ Γεννήτορι δογματίζων, εἰκόνα τε αὖθις, ἀλλ' ἀπαράλλακτον, καὶ χαρακτῆρα τῆς πατρικῆς ὑποστάσεως, καὶ πατέρα ταῖς ἀληθείαις τὸν ἄναρχον Πατέρα, τοῦτ' αὐτό γε ὄντα ποιεῖ, τὸ προσῆκον ὡς προσῆκεν ἀξίωμα χαριζόμενος. Τί δὲ καὶ σοί ; Οὐκ ἴσος ἐκείνῳ δρόμος περὶ τοῦ συμφυοῦς Πνεύματος ; Συλλόγους καὶ γὰρ ἠθροικὼς οὐκ οἰκογενῶν δή τινων, ἀλλ' Ἐκκλησίαν πρωτοτόκων τῶν καθ' ἡμᾶς, ὥσπερ τις νέος καθεστὼς Ἀβραάμ, τὴν μακαρίαν καὶ αὖθις ξενίζεις Τριάδα, καὶ γλωσσαλγῶν φάλαγγας διατέμνεις · κἀκεῖνο τρανῶς τὴν ἐκπόρευσιν ὅθεν ἔχει διασαφεῖς, ὅτιπερ ἐκ μόνου δηλαδὴ τοῦ Πατρὸς, ὅθεν τὸ εἶναι ἀπερινοήτως, πλὴν γεννητῶς, καὶ τῷ Υἱῷ πρόσεστιν. Ὥστε δὴ κἀκεῖνο ἂν θαῤῥούντως ἐρῶ, ὡς ὅπερ ἐκείνῳ περὶ τοῦ Υἱοῦ πρότερον ἐχαρίσθη, τοῦτό σοί γ' ἐν ὑστέροις ἐνεπνεύσθη περὶ τοῦ Πνεύματος, ἵνα κἂν τούτοις ὡς ἐγχωροῦν τὸ ἴσον ἔχοιτε, ἐπ' ἴσοις πράγμασιν ὑπερφυῶς ταυτιζόμενοι, τῇ τε σπουδῇ καὶ πόθῳ, καὶ τῷ ὑπερμεγέθει τῶν πράξεων. Τοίνυν καὶ οὐκ ἄν τι τοῦ σκοποῦ διεκπεσεῖν δόξαιμι, εἴ γ' ἐκείνῳ μὲν δώσω τὸ θεμέλιον οἷον τῶν ὀρθῶν τῆς Ἐκκλησίας δογμάτων καὶ εἶναι καὶ ὀνομάζεσθαι, σὲ δὲ οἷά τινα ὄροφον πάγκαλον κλεῖδά τε αὐτῆς καὶ σφραγῖδα ἄσυλόν, καὶ ἄμφω τὸ μέγα τοῦτο χρῆμα τῆς εὐσεβείας τοῖς τῶν Πατέρων ὅροις ἐπίσης διατηροῦντας, καὶ οὐκ ἐπὶ πολὺ τῆς γῆς, ἀλλ' ἀπανταχοῦ καὶ φθάνοντας καὶ σαλπίζοντας · εἴ γ' ἐκεῖνος μὲν καὶ ἄμφω τὰς γεννήσεις Χριστοῦ, σὺ δὲ τὰς

(1) Imperatoris istius ductu, in concilio episcopi Orientales Spiritum sanctum ex solo Patre, contra Occidentales, procedere statuerunt. Sed non longe post, a nepote ejus Joanne Palæologo imperatore auctore, in Florentina synodo, anno Domini 1439, Græci in Latinorum sententiam pedibus discessere, ita ut Spiritum sanctum ex Patre et Filio procedere profiterentur, cum persuasum eis esset, Latinos Deum Patrem unicam Filii et Spiritus sancti causam credere, duo vero principia, duasve causas in consubstantiali Trinitate exsecrari.

ὑστάτας διαθήκας ἐπισφραγίζεις· Τί δὲ ἄρ' ἐν τούτοις μὲν πρὸς τὸ ἴσον ἐκείνῳ διαμιλλᾷ, ἦθει δὲ καὶ τρόποις, τῷ τε πράῳ καὶ μεγαλοψύχῳ, οἴκτῳ τε καὶ φιλανθρωπίᾳ πρὸς δὲ τῷ ἀνυποκρίτῳ τῆς περὶ τὰ θεῖα εὐλαβείας καὶ τοὺς Θεοῦ λειτουργούς· ἔτι δὲ τῷ τῶν πράξεων μεγαλοπρεπεῖ καὶ τῷ φιλοτίμῳ τῶν ἔργων, καὶ τὸ μέγιστον, τῷ διαπύρῳ πρὸς Θεὸν ἔρωτι· ὥστε δὴ καὶ πάντα κάλων, τὸ τοῦ λόγου, κινεῖν εἰς αὔξησιν τὸ σέβας ἐπιδιδόναι, καὶ ῥυθμίζεσθαι πρὸς ἀκριβειαν τὰ ἡμέτερα, καὶ λόγοις, καὶ νόμοις, καὶ ὑποδείγμασιν· ἧττων ἐκείνου κατὰ τί γένῃ καὶ φέρῃ τὰ δεύτερα; Οὐμενοῦν οὐδαμῶς· ὥστ' εἰ μὴ καὶ χρόνος μεσολαβῶν τὸ διεστὼς ἐνεποίει, οὐδεν ἦν ἄρα τὸ προσιστάμενον ἐν ἀλλήλοις ὑμᾶς κεῖσθαι καὶ παρ' ἀλλήλοις, καὶ δι' ἀλλήλων περιχωροῦντας, τῷ ἀπαραλλάκτῳ γνωρίζεσθαι, ὡς τῇ ταυτότητι λανθάνειν ὁπότερος, ἄλλος αὐτὸς ἑκάτερος ἀντικρυς παρ' ἑκάστῳ κρινόμενος, καθάπερ μέρη καὶ ἀέρος καὶ ὕδατος ἐν ἀλλήλοις μιγνύμενα. Καί γε δὴ καὶ τοῦτ' εἰπεῖν μετὰ θάῤῥους οὐκ ἀπὸ τρόπου εἰρήσεται· ὡς καὶ τῶν ἴσων δὴ γερῶν ἐκείνῳ, δόξης τ' αὖ καὶ στεφάνων, στάσεώς τε ἅμα καὶ τάξεως, καὶ τῆς ἰσαποστόλου κλήσεως, μετὰ τῆς μακρᾶς ἐκείνης καὶ ἀδιαδόχου βασιλείας τε καὶ ἀρχῆς, πρὸς Θεοῦ λαμπρῶς ἐπίσης ἐκείνῳ καὶ σὲ καταξιωθῆναι.

A cia dicere ausim, quod illi antea de Filio per gratiam datum est, id tibi postea de Spiritu inspiratum esse: ita ut in hac quoque parte, quantum permissum est, æquam laudem habeatis, in æqualibus et eisdem rebus mirifice æqualem atque eumdem consecuti honorem, insigni nimirum erga divinum Numen studio et desiderio, nec non rerum actarum magnitudine. Itaque nihil me ab instituta veritatis ratione discessurum puto, si ill[i] quidem hoc tribuero, fundamentum quodammodo eum rectorum Ecclesiæ dogmatum et esse et perhiberi: te vero cuidam pulcherrimo fastigio et clavi atque sigillo integro comparem: et utrumque ingens istud veræ pietatis monumentum ex Patrum præscripto conservare, atque id non in plerasque B terræ partes, sed loca ubique omnia propagare, et tanquam buccina promulgare dicam. Quandoquidem ille utramque Christi generationem, tu vero postremum testamentum sigillo consignas tuo. Enimvero an tu quidem in rebus quas diximus ex æquo cum illo certas, morum autem consuetudine, clementia, magnanimitate, misericordia, humanitate præterea sincera et simulationit ignara in Deum religione, atque in Dei ministros pietate: insuper actionum magnificentia, operumque ambitioso splendore: denique, quod maximum est, flagranti erga Deum amore; adeo sane, ut omnem, sicuti in proverbio est, propterea moverit funem, orationibus, legibus et exemplis propositis, ut religionis cultus incrementa sua caperet, et res nostræ quam rectissime ordinarentur, aliqua ex parte illo inferior secundas fers? Id vero tantum abest, ut nisi quod medium intercessit tempus, intervallum quoddam fecisset, nihil prorsus impedimenti obstaret, quominus alter in altero situs esset: et alter ab altero, atque adeo per alterum, in publico obambulans, 23 propter indiscretam similitudinem ita cognosceretur, ut per eam similitudinem, dum uterque alter ipse vestrum prorsus esse a quolibet judicaretur, uternam esset, non satis constaret, quemadmodum aeris et aquæ inter se commistæ partes. Quin et illud, atque audacter quidem, non tamen præter modum dicetur, eisdem te cum illo gloriæ et ornamentorum, item status simul et ordinis, apostolicæque plane vocationis, una cum diutino illo, et quod successionem nesciat, regno et imperio, præmiis et honoribus sane quam splendide Deum dignatum esse.

Ἆρ' οὖν ἱκανῶς ὁ λόγος τὸν ἐμὸν αὐτοκράτορα καὶ ἀρίστως ὑπεζωγράφησεν; Ἢ δεῖ, καθάπερ τοὺς τῶν ζωγράφων ἐπιμενεῖς καὶ μὴ φαύλους, προσεπιβάλλειν καὶ ἕτερα χρώματα; Ἀλλὰ τίς ἂν λόγος κάλλος τοσοῦτον καὶ ψυχῆς καὶ σώματος διαγράψειεν; Ἐγὼ μὲν οὐκ οἶμαι, κἂν πάντες εἰς ἓν ἀθρόον καὶ ταυτὰ γένωνται· Πλάτων ἐκεῖνος τῆς μεγαληγόρου καὶ φρενὸς καὶ γλώττης, ἢ γοῦν Δημοσθένης μετὰ τῆς ὑποκαθημένης τοῖν λόγοιν δεινότητος, ἢ Θουκυδίδης καὶ Ἀριστείδης· ὁ μὲν εἰς ὄγκον ἐξαίρειν λόγους εἰδὼς, ὁ δ' ἀμιμήτῳ φράσει λέγειν μαθών· καί γ' εἰδότες ἄκρως ἄμφω δὴ καὶ μόνοι λόγους ἐξισοῦν πράγμασιν· ἀλλ' οὐδ' Ἀπελλῆς ἐκεῖνος καὶ Λύσιππος, οἳ χρωμάτων ἀρίστῃ κράσει τὴν γραφικὴν ἦραν εἰς μέγα, ἐμψύχους ἀλίγου δεῖν ἐργασάμενοι πίνακας· ἢ γοῦν Φειδίας ἢ Μύρων, δεινῶς μάλα γράφειν ἐξεπιστάμενοι, καὶ χαλκῷ καὶ λίθοις καταμηνύειν ἦθος ἀνδρῶν, κἂν ταῖς γλυφαῖς ὑποκαθημένας τοῖς τύποις συνεκφέρειν πως καὶ τὰς τῶν μορφουμένων ἀρετὰς ἱκανῶς ἔχοντες. Ἀλλ' οὐδ' οὗτοι πάντες εἴπερ ἦσαν· εἶτ' οὖν εἰκόσι καὶ στή-

C Sed enim num recte et digne satis oratio imperatorem meum depinxit? An etiam, id quod diligentes et laudati pictores faciunt, colores insuper alios adjicere opus est? At quænam verba tantam et animi et corporis pulchritudinem describent? Ego quidem fieri id posse non puto, etiamsi simul omnes in locum eumdem conveniant, Plato ille cum magnifica et mente et lingua, et Demosthenes cum ea quæ orationi ejus subsidet vi et gravitate: et Thucydides et Aristides, quorum alter cum pondere verba proferre, alter ea elocutione, quam imitari non sit, dicere novit: utrique sane, et prope soli, ad summum facta verbis exæquare periti. Sed neque Apelles et Lysippus, qui optima D colorum temperatura artem pingendi magnopere extulerunt, et prope animatas proposuerunt tabulas: nec sane Phidias aut Myron, et ipsi artifices egregii, qui ære et saxis mores et ingenia virorum indicare, et in sculpturis operibusque suis, subsidentes ipsis imaginibus eorum quorum formas adumbrarunt, virtutes simul satis

bene exprimere potuerunt. Verum et isti omnes, siquidem adessent, orationibus atque imaginibus et statuis suis pulchritudinem et magnificentiam eam rerum omnium, quæ extra saltem in imperatore meo coruscant, describere aut adumbrare omnino, quamvis novos verborum atque artis et flores et colores adhiberent, non possent. Nisi quis in materiam immortalem et vivam, radicesque sempiternas et pondus stabile atque immotum habentem, pulchre effigiem corporis tui imprimere norit : et Thracium forte Atho, aut aliud quiddam, quod a cœlesti sublimitate secundum in terris sit, Olympum videlicet, aut Caucasum, aut Parnassum qui convenientem ac congruam latitudinem et sublimitatem, 24 accommodata quoque membra et articulos artifici præbere possit, in evidentem speciem tuam conformams, ita simulacrum vere tuum, quod tam pulchrum et magnificum est, exhibeat. Id quod hactenus fieri nullo modo potuit. Aurum porro et argentum, adhæc æs et ebur, ligna præterea, tincturæ et lapilli, ut exiguæ quædam et venales effigies, quæ furtis sunt obnoxiæ, et tempore intereunt et corrumpuntur, quonam modo tibi, quod debetur et convenit, præstent? Itaque hoc ipsum, quod a nemine divinum et animæ et formæ specimen tuum digne, et pro eo atque debet, depingi aut delineari queat, in summam tibi laudem et gloriam cedat : et sit perinde atque in tabula inscriptio, effigies, columna, atque adeo imperii tui statua inimitabiliis. Ad omnia hæc unum illud breviter addam, quod si tibi nihil rerum aliarum adesset, quas quidem benignitate et dono Dei habes innumerabiles, ipsum sane veræ pietatis ærarium atque domicilium, quod quæcunque aliquis mente concipere possit, bona prorsus continet omnia, novum hoc tabernaculum, alteram Sion, novum sanctuarium Dei, alteram et eam duplicem arcam, pulcherrimum totius orbis oculum, seu potius cor ejus, rerum omnium opportunissimam, atque (ut simpliciter dicam) quidquid est in terris optimum omne, magnam hanc et imperialem urbem Constantinopolim dico : quod eam per te habemus, et quod eo perveneris, ut certo Ecclesiæ decorem suum nitoremque restitueres, viis omnibus quæ ad errorem ferunt concisis : sola ea satis tibi esse possent ad præclarum decus, et ingentem gloriam una cum ævo ipso, et quam quisquam vel excogitare vel eloqui possit longius duraturam, atque ad immensam quamdam, quæ non pudeliat, spei erga Deum simul et liberatis fiduciam.

Hæc ego de rebus hisce quæ philosopher et dicam, habeo : qui sub te tanto principe et præside et curatore dego, beatam et felicem imperatorio modo meditante atque exercente philosophiam, et res Christianas in prospero statu et successu administrante, quemadmodum inquit Aristonus (1). Cæterum, imperatorum omnium humanissime, suscipe orationem hanc nostram, unum quiddam ex eis quæ apud te sunt rebus præclaris, atque id quidem breviter admodum et tenuiter, veram scilicet pietatem prosequentem. Non enim instituti

A λαις τὴν ἐξωθεν ἀπαστράπτουσαν τῷ μῷ βασιλεῖ ἐφ' ἅπασιν ὡραιότητα καὶ μεγαλοπρέπειαν γράψαι, ἢ γοῦν μορφῶσαι ὅλως ἰσχύσειαν, κἂν καινότερα μορφώσωσι καὶ λόγων ἄνθη καὶ χρώματα· οὐκ οἶδ' εἰ μή τις εἰς ἄφθαρτον καὶ ζῶσαν ὑλην, ῥίζας τ' ἀϊδίου ἔχουσαν, καὶ βάρος ἀνίνητον καὶ ἀσάλευτον, καλῶς ἔγνωκέ σου καταθέσθαι τὴν τοῦ σώματος ὁμοιότητα· τὸν Θρᾴκιον Ἄθω τυχὸν, ἢ τι ἄλλο μετὰ τὸ οὐράνιον ὕψωμα δεύτερον ἐπὶ γῆς, Ὄλυμπον ἴσως ἢ Καύκασον ἢ Παρνασσὸν, σχηματίσας εἰς μορφοειδῆ σὰ ἐκτυπώματα· κἂν τῷ σύμμετρα πλάτη καὶ ὕψη, ἄρθρα τε καὶ μέλη ἀποχρῶντα παρασχεῖν αὐτῷ, εἰκόνα σὴν ἀληθῶς εἶναι δείξειεν, οὕτω κοσμίως μάλα καὶ μεγαλοπρεπῶς ἔχουσαν, ὅπερ τέως ἀμήχανον. Χρυσὸς δὲ καὶ ἄργυρος, πρὸς δὲ χαλκος καὶ ἐλέφας, ἔτι δὲ ξύλα καὶ βαφαὶ, καὶ ψηφῖδες, σμικρὰ B δή τινα καὶ ὠνητὰ ἐκμαγεῖα κλεπτόμενα, καὶ χρόνῳ εἴκοντά τε καὶ συγχεόμενα, πῶς ἂν τό γε προσῆκον ἐπὶ σοὶ δράσαιεν ; Καί γ' ἔστω τὸ μὴ κατ' ἀξίαν ἐφικέσθαι δυνηθῆναί τινα προσηκόντως γράψαι, ἢ γοῦν εἰκονίσαι τὸ σὸν θεοειδὲς καὶ ψυχῆς καὶ μορφῆς, εἰς ὑπερβάλλουσάν σοι δόξαν καὶ καύχημα· καὶ τοῦθ' ὡς ἐν πίνακι πρόγραμμα, εἰκὼν καὶ στήλη, εἴτουν ἀνδριὰς βασιλείας ἀμίμητος. Ἐπὶ δὴ πᾶσι τούτοις ἓν ἐρῶ καὶ σύντομον. Εἰ μή τί σοι τέως τῶν ἄλλων ἐνῆν, ὧν ἀπείρων ἔσχες πρὸς Θεοῦ χρηστῶν τε καὶ δωρεῶν, αὐτό γε μὴν το τῆς εὐσεβείας ταμιεῖον ἄρδην ἅπαντ' ἔχον τῶν ἀγαθῶν, ὅσα οὐδ' ἐν νῷ τις ἂν ἰσχύσοι περιλαβεῖν, τὴν νέαν σκηνὴν, τὴν ἄλλην Σιὼν, τὸ νέον ἁγιαστήριον τοῦ Θεοῦ, τὴν δευτέραν καὶ διπλῆν κιβωτὸν, τὸν τῆς οἰκουμένης κάλ- C λιττον ὀφθαλμὸν, ἢ μᾶλλον τὴν καρδίαν ταύτης, τὸ καιριώτατον, ἁπλῶς εἰπεῖν, τὸ πᾶν ὅ τι κράτιστον τῶν ἐν γῇ, τὸ μέγα καὶ βασίλειον ἄστυ, τὴν Κωνσταντίνου φημὶ, διὰ σοῦ ἡμῖν προσγενέσθαι· καὶ τὸ γ' ἐπ' ἀσφαλοῦς σε βαίνειν παρασκευάσαι τὴν τῆς Ἐκκλησίας εὐπρέπειαν· συντρίψαντα πάσας τὰς ἐπὶ τὴν πλάνην φερούσας ὁδοὺς, ἀρκεῖν σοι ταῦτα δὴ καὶ μόνα πρὸς εὐδοξίαν καὶ μέγα κλέος, τῷ αἰῶνι παρεκτεινόμενον, καὶ ὑπὲρ ὃ ἄν τις καὶ νοήσοι καὶ φράσοι, καὶ τῆς πρὸς Θεὸν ἐλπίδος τε ἅμα καὶ παῤῥησίας, ὑπερφυές τι θάῤῥος καὶ ἀνεπαίσχυντον.

D Οὕτως ἐγὼ περὶ τούτων ἔχω φιλοσοφεῖν, ὑπὸ τοιούτῳ σοι καθηγεμόνι καὶ προστάτῃ καὶ κηδεμόνι τεττόμενος, τήν τ' εὐγαίμονα καὶ μακαρίαν βασιλικῶς ἀσκοῦντι φιλοσοφίαν, καὶ τὰ καθ' ἡμᾶς εὖ πράττοντι, καθά φησιν ὁ Ἀρίστωνος. Ἀλλ', ὦ βασιλέων πάντων φιλανθρωπότατε, δέχου δὴ τὸν λόγον, ἔν τι τῶν περὶ σὲ καλων, τὴν εὐσέβειαν, καὶ τοῦτο βραχέως πάντη καὶ ἀμυδρῶς διιόντα. Οὐ γάρ θ' ἡμῖν πρόθεσις τοῖς σοῦ κατὰ μέρος ἅπασιν ἐπελθεῖν· πάλαι γὰρ καὶ πολλοῖς ἐξύμνηται ταῦτα, καὶ ἔτι τῷ μεγάλῳ αἰῶνι ἐξυμνηθήσεται· καὶ τοίνυν ἃ τοῖς ἅλ-

(1) Imo *Aristonis filius*, nempe Plato. EDIT.

λοις παρεῖται, ἄλλος μάλ' ἐφεῦρε · πάντα δὲ καὶ παραλέλειπται τοῖς πᾶσι καὶ λέλεκται. Πολλῶν γὰρ ἐμβυθισθέντων τοῖς σοῖς, τῷ μὲν πολλὰ, ἄλλῳ δὲ πλεῖστα, τῷ δ' ἕτερα, καὶ ἄλλῳ ἄλλα διαφόρως εἰπεῖν ἐξεγένετο · οὐδενί γε μὴν ἁπάντων εἰς ἅπαντα χωρῆσαι τόσον τόλμης ἐπῆλθεν, εἰκότως ἀμήχανον ἅπασι τοῦτο κριθέν · ὡς δὴ καὶ ἡμεῖς μέρον τι τῆς σῆς φιλανθρώπου ἀρχῆς, τὸ περὶ τὴν Ἐκκλησίαν Χριστοῦ κατεσπουδασμένον καὶ εὐσεβὲς, λέγειν προύθέμεθα, ἅτε δή σοι τὴν ἡμῖν προσφάτως σπουδασθεῖσαν βίβλον τῆς ἐκκλησιαστικῆς ἱστορίας προσφωνεῖν ἠρημένοι. Τίνι γὰρ ἂν ἄλλῳ τ' ἐχρῆν ; Καὶ γὰρ δόξαν οὕτω πᾶσαν ταύτην εἰς ἓν ἀθροίσαντες καὶ διοργανώσαντες, τήν τε προτέραν, καὶ ὅση δή παραλέλειπται, ἐν πολλοῖς καὶ διαφόροις ξυγγραφεῦσι καὶ πραγματείαις ἀμωσμέπως διεσπαρμένην, τῇ σῇ γ' ἀρίστῃ ψήφῳ ταύτην προσανατίθεμεν · κἂν μὲν σοὶ κριθείη τοῦ καλοῦ μὴ διαμαρτεῖν, εὖ ἂν ἔχοι · εἰ δ' οὖν, ὡς εἰ μηδ' ἐγένετο παρ' ἐμοὶ κριτῇ, καὶ πᾶσι σχεδὸν, λογισθήσεται. Δίεισι δέ μπι τὸ σύγγραμμα, ὡς ἐγχωροῦν, προϊὸν ἀπὸ τῆς ἐξ οὐρανοῦ καθόδου, καὶ τῶν πατρικῶν κόλπων ἀμεταβάτου κινήσεως τοῦ προαιωνίου καὶ Υἱοῦ καὶ λόγου τοῦ ἀνάρχου Θεοῦ καὶ Πατρὸς, τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ἱκανοῖς ἐν τμήμασι διαιρούμενον, Κάτεισι δ' ἐς ὅσον ἐξικέσθαι ἐχρῆν, ἀρκούντως πόῤῥω πη τῶν καθ' ἡμᾶς χρόνων ὑποχωροῦν σε καὶ αἰωρούμενον, λείως καὶ ὁμαλῶς μάλιστα προηγμένεν, καὶ ὡς χρεών τέ γε τοιαῦτα φράσεώς τε καὶ λέξεως καὶ συνθήκης μάλιστα ἔχειν. Τοιγαροῦν καὶ πρόσου δή μοι τὴν συγγραφὴν εὐμενῶς · ἣν, ὡς εἴρηται, τῇ σῇ ψήφῳ προσάγομεν, μᾶλλον δὲ τῇ σεμνῇ καὶ βασιλικῇ κορυφῇ μετὰ δέους οἷά τινα στέφανον περιτίθμεν, οὐκ ἔκ τινων λειμώνων ῥεόντων καὶ ἀπανθούντων ὡς τάχιστα, οὐδ' ἐξ ἀνθέων μαραινομένων τοῦτο δρεψάμενοι καὶ συλλέξαντες, ναὶ μὴν οὐδ' ἐκ λίθων περιφανῶν τινων, διαυγείαις τισὶ καὶ χρυσοῦ περιλάμψεσιν ἡδύ τι στελβόντων καὶ χάρειν, τοῦτον σμμπήξαντες, θᾶττον μετακυλιομένων καὶ στρεφομένων, καὶ νῦν μὲν τοῦτον, νῦν δ' ἐκεῖνον, καθάπερ ἐν ὀνείρῳ, πρόσκαιρα θελγόντων τε καὶ περισαινόντων · ἀλλ' ἔκ τινων ἀκηράτων παραδείσων, καὶ ἀθανάτων ἀνθέων ἐρανισάμενοι, οὔτε χρόνῳ, οὔτε μὴν γήρᾳ σθινόντων τε καὶ ἀμαυρουμένωτ, ἀλλ' ὡσανεὶ μετὰ τῆς θείας καὶ πνευματικῆς γεγραμμένων ὁδμῆς, καί τι καὶ δρόσου τῆς ἐξ Ἑρμὼν λειβομένων. Καί γε δὴ τοῦνον συμπλέξαντες, ὡς ἐνῆν, τῇ σῇ κορυφαίᾳ ἀκρότητι ἐφαρμόζομεν · ὃν οἶμαι καὶ ὁ μέγαρ αἰὼν, αἰδεσθεὶς τοὺς σοὺς ὑπερμεγέθεις ἄθλους, συντηρήσει ῥμάραντον · κἂν τις καὶ γλῶσσα τέως ἀκόλαστος, καὶ παίδευσις ὑβρίστρια καὶ διάνοια, τὸ τῆς Γραφῆς εἰπεῖν, οὐρανῷ τῆς σῆς δόψθς ἔλοιτο βλασφημεῖν, καὶ βέλη πρὸς ἀέρα πέμπειν, λόγους τ' ἀνασπᾶν τκιᾷ τινι, τὸ τῆς τραγῳδίας, ὅπερ τινὰ τολμῆσαι τέως οὐκ οἶομαι · ἀλλ' ὁρῶν σε τούτῳ δὴ στεφανούμενον καὶ κατακροτούμενον, ἐμφραγήσεται, καὶ ἀδικίαν εἰς τὸ ὕψος λαλεῖν τάχος ἀπελεγχθήσεται · τηρός τε τὰς ὄψεις προέλθοι, μηδ' ἀτενίσαι τῷ

A nostri est, sigillatim res omnes tuas commemorare, 25 quæ dudum a multis vel jam celebratæ sunt, vel adhuc celebrabuntur, et futuris sæculis commemorabuntur. Et quidem quæ ab aliis prætermissa sunt, alii invenere : et omnia ab omnibus et prætorita et dicta sunt. Posteaquam enim permulti se ad res tuas commemorandas, perinde atque in altum mare demiserunt, hic quidem multa, ille autem plurima, quidam nonnulla, atque alius alia varie recensuerunt : nemini quidem omnium tanta incessit audacia, ut ad omnia describenda se conferret, quod id fieri omnino non posse, recte ab omnibus judicatum sit. Quemadmodum et nos partem quamdam perhumani imperii tui, egregium in Ecclesiam Christi studium et
B pietatem tuam, nobis dicendam proposuimus, quippe qui ecclesiasticæ Historiæ librum, recens a nobis conscriptum, dedicandum tibi statuerimus. Cui enim alii eum consecraremus ? Cum namque visum nobis esset, historiam eam omnem in unum conferre codicem, prioremque et eam simul quæ omissa est, in ordinem unum disponere, a multis et variis scriptoribus in operibus pluribus sparsim quodammodo tractatam, calculo et judicio tuo optimo eam exhibendam duximus ; ac si quidem sententia tua comprobata fuerit, recte se res habebit. Sin minus, perinde atque nunquam exstiterit, meo ipsius et omnium fere judicio consebitur. Progreditur autem mihi opus hoc, pro eo atque fieri potuit, initio sumpto a descensu e cœlis atque
C intransitivo e paterno sinu, motu et transitu antesæcularis et Filii et Verbi æterni principioque carentis Dei et Patris Domini et Dei et Servatoris nostri Jesu Christi, in plures divisum tomos. Procedit vero ad eum qui conveniebat locum, satis longe ante nostra tempora resistens atque suspensum facili atque æquali maxime ductu, quali scilicet elocutione, dictione et compositione scripta ejusmodi potissimum componi decet. Quapropter admitte, quæso, benigne ad te historiam hanc : quam, sicuti dictum est, ad calculum tuum producimus, ac potius venerando et imperiali vertici
D tuo cum timore, veluti quamdam coronam imponimus ; non equidem in pratis aliquibus fluxis et quam celerrime defloreseentibus, neque ex floribus marcescentibus decerptam, neque etiam ex pellucidis lapidibus fulgore quodam et auri splendore 26 suave quiddam et gratum relucentibus, consertam atque compositam : quæ res celeriter hinc et inde volutæ transferuntur, et nunc quidem hunc, nunc vero illum perinde atque in somnis ad breve tempus deliniunt atque demulcent : sed ex æterno paradiso quodam et floribus immortalibus collectam, qui neque tempore, neque sane senio ullo intereant et evanescant, verum divino quodam modo et spirituali odore picti atque imbuti sint, et aliquid de stillante rore montis Hermon delibaverint. Hanc coronam, pro eo atque fieri potuit, contextam, summæ sublimitati tuæ ada-

ptamus : quam, ut puto, ingens etiam ævum, maxima tua certamina et labores veritum, conservabit immarcescibilem. Etiamsi aliquando lingua quæpiam impotens, atque castigatio et mens contumeliosa, ut Scriptura inquit, in cœlum gloriæ tuæ blasphemare, atque tela in aerem mittere, et verba umbra quædam, quod in tragœdia est, tollere atque erigere cœperit, quod quidem minus aliquem unquam ausurum esse puto : sed ubi viderit te ea esse coronatum et exornatum, os ejus obturabitur, et injustitiam in sublime loqui ipse statim redargutus supersedebit, captusque oculis prodibit, ut qui intendere eos in ejusmodi ornamentum tuum, et quæ inde cum gratia prominet et lucem et vim, nequeat. Varios illa sane et omnigenos florum coruscantes et aureos habet colores, quam aliquis aptissime agri hortum herbarum omnium feracem dixerit. Potissimum vero illis mirifice abundat, qui pullulantes candescunt, et qui purpurea specie florent, quique nitore ad nigredinem magis vergentes, quam maxime relucent. Sunt vero ii ex quibus corona tibi quam pulcherrime contexta atque conserta est, hierarcharum stola, vitæ sanctitate supra solem ipsum coruscans : et martyrum vera et veneranda purpura, sanguine eorum prolixe tincta atque rigata : insuper lucis conciliatrix nigrescens et divinitus contexta vestis, illis admodum congruens, qui ad vitam angelicam contendunt atque aspirant. Ex quibus Christi Ecclesia, aureum prorsus virtutibus circumamicta ornatum, veluti quædam sponsa, rem omnium pulcherrimam universitatis hujus exhibet atque repræsentat regi iste commemorat : 27 per quem tibi ut illis honore coronam imponimus, qui rebus omnibus optimus exornatus : quam hic etiamnum quasi quemdam procœmium, hanc inquam, pretiosissimam imperii coronam, laborum tuorum, perinde atque bravium, tropæa, et splendidam, tuo ipsius respondens nomini (8), statuisti, donavit.

Ergo age tu, qui solus natura, sicut ille dixit, omnia, quæque divinæ, quæque æternæ sunt doctrinæ, præcipue vero propter eximium et sedulum in res quasque pulcherrimas studium tuum, quæ in disciplinis sunt arcana magis et sublimiora, nosti, utere ingenio tuo, et materiam adhibe igni incomparabilis tuæ eruditionis et judicii : seu potius ad amussim tuam accommoda et explora lucubrationem istam. Quamvis sperem (nam quod antea recte dixi, id nunc quoque a me dicetur) nullum fore tam præfractum et audacem, ut scilicet post censuram tuam, vel digitum scripto huic adhibere audeat. Improbas vero et invidas linguas veneno parricidæ serpentis consumi et interire permitte. Quis namque, rogo, in te rebus omnibus incomparabilem, quod malediceret, habuit? o divina vindicta, et tonitrua et fulmina cœlitus

(1) Andronici videlicet.

A τῷ δὴ τούτῳ κόσμῳ, καὶ τῇ ἐντεῦθεν ἐκπηδώσῃ μετὰ χάριτος αἴγλῃ δυνάμενος· ποικίλα μὲν γὰρ αὐτῷ καὶ παντοῖα τὰ ἐξ ἀνθέων στίλβοντα καὶ διάχρυσα χρώματα, εἴποι τις ἂν προσφόρως ἀγροῦ τὸ παμβότατον. Μάλιστα δὲ τούτων ὑπερφυῶς βρίθει, ὅσα τε τῷ λευκῷ τέθηλεν, οἷς τε τὸ φοινικοῦν ἐξανθεῖ, καὶ ὧν τὸ μέλαν τοῦ ἄνθους ἐς βάθος μάλιστα στίλβει. Εἴν δ' ἂν ταῦτα, ἐξ ὧν σοι καὶ ὁ στέφανος ὡς ἄριστα ὑφανθεὶς συνεπλάκη, ἥ τ' ἐξ ἱεραρχίας στολὴ τῷ βίῳ ὑπὲρ ἥλιον λάμπουσα, καὶ τῶν μαρτύρων ἡ ἀληθὴς καὶ σεμνὴ πορφυρὶς, ἱκανῶς τοῖς σφετέροις αἵμασι βεβαμμένη, καί γε δὴ καταβεβρεγμένη· πρός δὲ καὶ τὸ φωτὸς πρόξενον μέλαν καὶ θεοὐφάντον ἔνδυμα, προσῆκον μάλα τοῖς πρὸς τὸν ἀγγελικὸν βίον κατασπεύδουσι καὶ ἐπειγομένοις· ἐξ
B ὧν ἡ Χριστοῦ Ἐκκλησία τὸν διάχρυσον καθάπαξ ταῖς ἀρεταῖς περιβαλομένη κόσμον, οἷά τις νύμφη, πάγκαλόν τι χρῆμα τῷ τῶν ὅλων παρίσταται βασιλεῖ· ὧν δὴ τοὺς ἀθλους καὶ τοὺς ἀγῶνας ἡ βίβλος διέξεισι· δι' ἧς ὡς ὁμοτίμῳ τούτοις, καὶ τὸν ἐκ τούτων στέφανον περιτίθεμέν σοι, τῷ πάντ' ἀρίστῳ καὶ βασιλικῷ τὴν φύσιν τε ἅμα καὶ τὴν ψυχὴν, ταύτην προσφωνοῦντες δὴ καὶ ἀνατιθέντες, καὶ ταῦτα τῷ τῆς δόξης στεφάνῳ μάλα διακεκοσμημένῳ· ὃν κἀνταῦθα, οἷόν τιν' ἀῤῥαβῶνα τοῦ μέλλοντος ἐκείνου καὶ αἰωνίζοντος, καὶ προοίμιον ὥσπερ, καὶ τὸν νῦν ὑπέρτιμον τῆς ἀρχῆς φημι στέφανον, τῶν σῶν ἀρετῶν, ὑπερφυῶν τ' ἀγώνων καὶ ἄθλων οἶμαι ἔπαθλον, ὁ στεφοδότης Χριστὸς ἐδωρήσατο, τρόπαια κράτιστα καὶ λαμπρὰ βραβεῖα νίκης φερωνύμως
C ἀραμένῳ καὶ στήσαντι. et imperatori. Eorum labores et certamina liber iste commemorat : 27 per quem tibi ut illis honore et dignitate æquali, et hanc ex eis consertam coronam imponimus, qui rebus omnibus optimus es, et natura simul atque anima regius et imperialis. Hunc tibi nuncupamus atque dedicamus, cum quidem antea corona gloriæ magnopere sis exornatus : quam hic etiamnum quasi quemdam futuræ illius et sempiternæ arrhabonem, et veluti procœmium, hanc inquam, pretiosissimam imperii coronam, mirificarum virtutum, certaminum atque laborum tuorum, perinde atque bravium, coronarum largitor Christus tibi, qui pulcherrima tropæa, et splendidam, tuo ipsius respondens nomini (8), victoriæ mercedem tulisti atque statuisti, donavit.

Ἄγε τοίνυν, ὦ σὺ μόνος φυᾷ τὰ πάντα εἰδὼς, κατὰ τὸν εἰπόντα, ὅσα τε θεῖα, καὶ ὅσα παιδείας μάλα τῆς θύραθεν, καὶ τούτων ὅσα μαλιστ' ἀπόῤῥητα τῶν μαθημάτων καὶ ὑψηλότερα, τῇ πολλῇ
D σπουδῇ καὶ τῷ φιλοπόνῳ περὶ τὰ κάλλιστα, χρῶ τῇ σῇ φύσει, καὶ τὴν ὕλην πρόσαγε τῷ πυρὶ τῆς σῆς ἀπαραμίλλου γνώσεώς τε καὶ κρίσεως· μᾶλλον δὲ τῇ σῇ βασάνῳ παράτριβε τὴν γραφὴν καὶ ἐξέταζε· καὶ ὅμοι πρότερον ἐπιβαλομένῳ λέγειν καλῶς ἐῤῥέθη, καὶ νῦν εἰῤῥήσεται· οὐδεὶς οὕτως αὐθάδης καὶ θρίσους γέμων, ὥστε μετὰ βάσανον δῆτα τὴν σὴν τολμᾷν δάκτυλον αὖθις ταῖς γραφαῖς ἐπιθεῖναι· τὰς δὲ πονηρὰς καὶ βασκάνους γλώσας ἔα τῷ ἰῷ τοῦ πατροκτόνου συνδαπανᾶσθαι καὶ διαφθείρεσθαι ὄφεως· τίς γὰρ σὲ τὸν ἐφ' ἅπασιν ἀπαράμιλλον λέλειν εἶχε κακῶς; ὦ θεία δίκη, καὶ κεραυνοὶ, καὶ πρηστῆρες ἄνωθεν ῥέοντες· οὔ τῷ θεοειδεῖ καὶ μεγαλοπρεπῖ

τῆς ψυχῆς, καὶ τῷ τῶν πράξεων καὶ μεγέθει καὶ ὄγκῳ, οὐδ' ἐγκώμιον ἄξιον καὶ προσῆκον μάλα ἔστιν εὑρεῖν, πλείστων δὴ καὶ ταῦτα πλεῖστ' εἰπόντων, πολλήν τε καὶ μακρὰν περὶ σὲ κατατεινάντων σπουδήν· κἂν παντες ἀνακράτος ἥττους ἐλέγχωνται, οὐρανοῦ τολμῶντες ἐφάπτεσθαι, ἢ τὴν σφετέραν σκιὰν καταλαβεῖν ἐπειγόμενοι, ἀεὶ προχωροῦσαν καὶ διαφεύγουσαν καθόσον ἐπείγονται. Τί λέγεις; Μέμψιν κατ' ἐκείνου, τοῦ ἄντικρυς αὐτοδόξης τε καὶ αὐτοτιμῆς, ὃν τιμὴ καὶ δόξα μάλιστα δορυφαροῦσαι δοξάζονται καὶ σεμνύνονται; ᾧ μηδ' ἂν ὁ παρ' Ἕλλησι τιμώμενος ἐκεῖνος Μῶμος θεὸς, καὶ τῶν ὕβρεων εὑρετής τε καὶ ἡγεμών, μήτοι γ' ἐγγὺς ἐλθεῖν, ἀλλ' οὐδὲ προσβλέψαι ὅλως ἐτόλμησε; μᾶλλον δ' οὐδὲ Μῶμος ἐπὶ τοῦ λοιποῦ, φθαρεὶς καὶ διαῤῥυεὶς, ἅτε μήτι δυνηθεὶς αὐτοῦ καὶ μόνου δηλαδὴ κἂν οὐδ' ὀπωσοῦν προσεφάψασθαι. Ἀλλ' ἐγὼ μὲν ταῦτα· σὸν δ' ἂν εἴη, κράτιστε, παραμετρεῖν ἕκαστα, καὶ τὴν σὴν ψῆφον ἀῤῥεπῆ μοι βραβεύειν· Θεοῦ γὰρ ἄντικρυς ψῆφος ἡ σή. Τῷ γὰρ μεγίστῳ τῶν ἄθλων ἐμαυτὸν ἐπιῤῥίψας, νῦν ἔγνων ὄντως διώκων τὰ φεύγοντα, καὶ κατόπιν ποταμίων ῥευμάτων ἐρχόμενος· καὶ συγγνώμη τῷ πάθει· ὃ καὶ πᾶς ἂν, οἶμαι, πάθοι, ἐπὶ τόσον ἀγῶνα καθεῖναι πειρώμενος ἑαυτόν· μὴ δυνηθεὶς δ' ὅμως ἐξικέσθαι τῷ ἀνεῳγτῳ σχεδὸν καὶ ἀπαραμίλλῳ τῶν πράξεων. Ὁ δὲ Βασιλεὺς τῶν βασιλευόντων, καὶ Κύριος τῶν κυριευόντων, ὁ τῷ ἰδίῳ αἵματι τὴν αὐτοῦ Ἐκκλησίαν οἰκοδομήσας στερρῶς, σὲ δὲ τὸν κατὰ τὴν ἐκείνου καρδίαν προστάτην καὶ ὑπέρμαχον γνήσιον ταύτης ἐν ἐρυθραῖς καταστήσας βαφαῖς, εἴη τὴν σὴν εὐσεβῆ βασιλείαν εἰς ἄπειρα κύκλα αἰώνων διαφρουρῶν, ἐν ἀκλονήτοις εὐθυμίαις τῶν περικύκλῳ πάντων κατευμεγεθοῦσαν ἐχθρῶν, καὶ ὑπὸ πόδας πάντας ἕως οὐ παντάπασιν ἐκτριβεῖεν, τιθεὶς, ἔτι τε κρατύνων, καὶ δόξαν ἐπὶ δόξῃ μείζονα χορηγῶν, καὶ δι' αἰῶνός σέ τε καὶ παῖδας, καὶ γένος ἅπαν, καὶ τήνδε πόλιν, ἧς αὐτὸς καὶ πολιοῦχος καὶ οἰκιστὴς, θάλλειν διδούς· ὡς ἂν γε τῷ ἀφθόνῳ τῶν ἀγαθῶν ἐπὶ τὰς θρυλλουμένας χρυσᾶς ἐκείνας Ἔννας Ῥωμαῖοι ἀνέλθωμεν· μετὰ γὲ χρόνον μακρὸν, βαθύ τε γῆρας καὶ λιπαρὸν, ἀπειρίᾳ σχεδὸν συνεξεταζόμενον, καὶ τῆς ἀδιαδόχου καὶ ἀρχῆς καὶ βασιλείας καταξιώσειε· κἀν τῇ τῶν πρωτοτόκων Ἐκκλησίᾳ ἐκείνῃ τῷ τῆς πίστεως ἀρχηγῷ βασιλεῖ σύνθρονον καὶ ἰσάριθμον ἀναδείξειε, τὰ γέρα τῶν μακρῶν πόνων, ὑπὲρ τῆς Χριστοῦ Ἐκκλησίας καὶ ποίμνης, ὡς χρεών γε, κατ' ἀξίαν καρπούμενον.

A cadentia! De quo, propter divinam et magnificam mentem, actionumque magnitudinem et pondus, neque encomium laudemque condignam et decentem invenire licet, cum quidem plurimi plurima dixerint, multumque diu operæ et studii in rebus tuis posuerint: qui sane omnes inferiores eis esse sunt deprehensi, cœlum attingere conantes, aut suam ipsorum umbram comprehendere contendentes: quæ quo magis ei impendeant, eo cedat magis et diffugiat. Quid ais? Reprehenderene et carpere constituisti eum qui ex ipso prorsus nativam obtinet gloriam et dignitatem, et quem honor et amplitudo maxime satellitio quodam stipantes illustrant atque exornant: 28 ad quem neque ille qui apud Græcos pro deo cultus est convicio- B rum inventor atque auctor Momus, non modo non propius accedere, sed ne respicere quidem prorsus audeat? Quin potius. Momus deinceps nullus exastat, ut qui interierit atque diffluxerit, in hoc solo ne tantillum quidem quod perstringeret habens. Cæterum ego quidem ista. Tuum autem fuerit, princeps optime, ut consideres atque perpendas seorsim omnia, et æquum constantemque judicii tui calculum mihi adhibeas. Dei enim plane tua fuerit sententia. Qui vero me ipsum in certamen maximum conjecerim, nunc demum fugientia me persequi, et a tergo fluentium aquarum ire comperio. Quæ res veniam perfecto meretur. In qua nimirum, ut equidem puto, quilibet fallatur, qui scilicet se in certamen tantum demittere conetur: unde tamen, propter res prope incomprehen- C sibiles atque inexpugnabiles, evadere non possit. Ipse vero Rex regum et Dominus dominantium Christus, qui sanguine suo Ecclesiam suam sacravit et firmiter construxit, et te illi virum juxta cor suum auxiliatorem et defensorem germanum purpura decoratum constituit, pium imperium tuum in infinitos ævi annos custodiat: atque id in stabili et immota lætitia, inter omnes qui circumcirca sunt, donec prorsus cuncti sub pedibus positi conterantur inimicos, in majus excrescens servet, majoremque aliam super aliam gloriam subministrans confirmet: atque adeo te, liberos et genus omne, ipsamque hanc urbem, cujus es tutor et D conditor, in perpetuum florere faciat, ut tandem bonis omnibus abunde accumulati, in decantatas illas aureas Ennas Romani (1) conscendamus. Post longum vero tempus, provectumque demum et molle, quod ad infinitum prope pertingat, senium, illo quoque, quod successionem nescit, sempiterno regno et imperio te dignetur: atque in illa primogenitorum Ecclesia in eumdem thronum et numerum cum fidei principe imperatore referat, diutinorum pro Christi Ecclesia et grege susceptorum laborum, ita ut decet, honores et fructus condignos percepturum.

(1) Novam et cœlestem Jerusalem. Est apud Cicer. in actione Verrina 6: « Enna oppidum in umbilico Siciliæ situm, soli fertilissimi et ob id Cereri sacrum. » Christiani porro ad aureas Ennas, cœlestem patriam, aspiramus.

ΝΙΚΗΦΟΡΟΥ ΚΑΛΛΙΣΤΟΥ

ΤΟΥ ΞΑΝΘΟΠΟΥΛΟΥ

ΕΚΚΛΗΣΙΑΣΤΙΚΗΣ ΙΣΤΟΡΙΑΣ

ΤΟΜΟΣ ΠΡΩΤΟΣ

—

NICEPHORI CALLISTI

XANTHOPULI

ECCLESIASTICÆ HISTORIÆ

TOMUS I.

—

CAPUT I.

33 *Proœmium auctoris, consilium quo ad opus præsens conscribendum animum adjecerit, præterea breviter totius voluminis argumentum perstringit.*

Nicephorus Callisti filius ecclesiasticam historiam composuit, initio ab ipsa statim Servatoris nostri Jesu Christi apparitione in carne sumpto : opus id præclarum et lectoribus gratum fore ratus. Quod si enim non in parvis humilibusque rebus habetur, quin potius summa laude et veneratione dignum ducitur, si quis historiam profanam pulchro ordine colligens proponat fructumque et utilitatem ejus studii in medium proferat, eam cognoscere volentibus : multo profecto laudabilius censeri debet, res gestas sacras in publica monumenta, quæ omnibus cognoscere liceat, referre, doctrinamque facilem et salubrem publicitus profuturam constituere. Equidem maximam deberi gratiam eis existimo, qui historias et res communes privato suo labore sibi conscribendas sumunt. Illi siquidem, quod in eis est utile admirandum, non apud se tanquam privatas opes retinent, sed publicæ utilitati, edendis eis, inservire malunt, administros prorsus se divinæ providentiæ exhibentes, qui in uno scilicet opere varii generis res gestas, perinde atque in publico ærario reponentes, perscribant **34** Facile quippe cuivis est, ex hujusmodi publico monumento exempla capere, atque ex aliorum erratis actiones suas probe constituere, et ad variam rerum mutationem non variare opinionibus ; sed potius, quoad ejus fieri queat, eorum qui rebus recte sunt usi, facta imitari et virtutem. Porro si in consultationibus seniorum consilia excellunt, et experientiæ usum propter

A

ΚΕΦΑΛ. Α'.

Προοίμιον τοῦ συγγραφέως· ὅπως ἐπὶ τῷ συγγράφειν τὴν παροῦσαν πραγματείαν ἐλήλυθεν· ἔστι δὲ καὶ σύντομος τῆς ὅλης βίβλου τῶν τόμων ἐπιδρομή.

Νικηφόρος ὁ Καλλίστου τὴν ἐκκλησιαστικὴν ἱστορίαν συνέταξεν, ἀρξάμενος εὐθὺς ἀπὸ τῆς κατὰ σάρκα τοῦ Σωτῆρος ἐπιφανείας Χριστοῦ, λογισάμενος γενναίαν μάλα καὶ ἀξίαν λόγου ἔσεσθαι τὴν σπουδήν. Εἴπερ γάρ τι τῶν οὐ πάντη σμικρῶν τε καὶ ἀγεννῶν, κομιδῇ μὲν οὖν καὶ τῶν λίαν σεμνῶν, κοσμικήν τινα ἱστορίαν ἀναλεξάμενον ἐφεξῆς προθεῖναι καὶ τὸ λυσιτελὲς τῆς σπουδῆς ἐν κοινῷ προκεῖσθαι παρασκευάσαι τῷ βουλομένῳ· ἡ που μέγα πάντως ἱεράν τινα προθέμενον ἱστορίαν, ἅπασι κατὰ μέρος διεξελθεῖν, πρόχειρον διδασκαλίαν τοῦ κοινῇ συνοίσοντος προστησάμενον. Ἔγωγ' οὖν μεγίστην χάριν ὁμολογεῖν οἶομαι δεῖν τοῖς τὰς προϊούσας ἱστορίας ἰδίαν πραγματείαν πεποιημένοις· ἐπεί γε τὸ φιλότιμον οὐ καθ' ἑαυτοὺς ἔχειν, ἀλλὰ κοινῇ τὸν βίον ὠφελεῖν ᾑρεθίσαντο, ὑπουργοί τινες τῷ ὄντι θείας προνοίας ἀναδεικνύμενοι, ὡς ὑπὸ μίαν πραγματείαν τὰς διαφόρους πράξεις καθάπερ εἴς τι κοινὸν ταμεῖον ἀπογραψάμενοι. Καί γε ῥᾴδιον ἐντεῦθεν ἥρημένῳ παντὶ, τοῖς τῶν ἄλλων ἀγνοήμασι τὰ οἰκεῖα εὖ τίθεσθαι, καὶ πρὸς τὴν ποικίλην τῶν πραγμάτων ἐξαλλαγὴν μὴ ζητεῖν αἱρεῖσθαι· μεμεῖσθαι δ' ὡς οἷόν τε τῶν καλῶς χρησαμένων τὴν ἐργασίαν. Εἰ δὲ καὶ πηοῦχειν ἐν βουλαῖς τὰ τῶν πρισβυτέρων, καὶ τὸ τῆς πείρας καλὸν κρατεῖν ἀνάγκη διὰ τὴν ἐκ τοῦ χρόνου περιουσίαν, καὶ ὡς λόγος, σύμπαν τὸ ἀρχαιότητι διαφέρον αἰδέσιμόν· πάντως που τὴν ἱστορίαν, ὡς προβεβηκυῖαν τῷ χρόνῳ, καὶ τῷ τῶν πραγμάτων πλήθει προτερουῦσαν, ἀξίαν τοῦ παντὸς εἶναι κρίνω· καὶ μᾶλλον τὴν ἱερὰν, ὡς τὸ χρήσιμον καὶ λυσιτε-

B

C

λὲς ἅπασι καὶ ἐκκλησίαις καὶ πράξεσι χορηγοῦσαν. Τὴν μὲν γὰρ κακίαν ὡς χρεὼν πορρώτερω πάντως αὕτη ποιεῖ· λοιδοροῦσα ταύτην, οἷα δὴ τῶν φαύλων καὶ δυσσεβῶν τοὺς ψόγους διεξιοῦσα· τοὺς δ' αὖ γενναίους καὶ ἀγαθοὺς ἄνδρας, καὶ περὶ τὰ πρῶτα τῶν καθ' ἡμᾶς μάλιστα τὴν εὐσέβειάν γε καὶ ἀρετὴν πλείστην καταβεβλημένους σπουδὴν, λόγοις εὖ ἤκουσι καὶ ἐγκωμίων στεφάνοις καταξιοῦσα, ἀξιολόγους ἐργάζεται· οἷς δῆτα καὶ τοὺς ἐπιγενομένους εὖ μάλα προτρέπεται, τῶν καλλίστων ἔργων καὶ ᾗ δοξάζειν περὶ τὸ θεῖον χρεὼν ἐπίσης ἐκείνοις ἀνθάπτεσθαι.

A temporis diuturnitatem præstare necesse est, quodque dicitur, quidquid vetustate commendetur, venerabile id esse oportet : historiam omnino, ut quæ et diuturnitate temporis et plurimarum rerum usu valet, plurimi faciendam esse constat, in primis vero sacram, ingentem nimirum fructum atque utilitatem omnibus simul et ecclesiis et negotiis suppeditantem. Namque, ita ut æquum est, omne genus vitiorum ea ipsa traducens et damnans, quam longissime rejicit, malosque et impios justis conviciis exsecratur, et magnos laudatosque viros, qui in rebus religionis nostræ maximis excellenti virtute et pietate plurimum studii posuerunt, verbis amplissimis laudumque præconiis quasi quibusdam coronis exornans, admirandos imitandosque aliis efficit. Quibus quoque rebus posteritatem ipsam pulcherrime excitat, et sanctissimis operibus et factis, decentique et recta de diuno Numine opinione, eorum virorum laudem æmulando consectari cohortatur.

Ὅθεν καὶ ἡμεῖς δικαίας κρίνοντες ἀποδοχῆς τοὺς τοιαύτην περὶ τὰ κοινὰ πραγματευσαμένους σπουδὴν, ἐπὶ τὸν ὅμοιον τῆς ὑποθέσεως προήχθημεν ζῆλον· οὔτε τὴν περὶ τὰς πράξεις ἀρετὴν ἐπιδεδειγμένοι, οὔτε μὴν τῇ εὐγλωττίᾳ τεθαρρηκότες, καὶ τῇ ῥώμῃ τῶν λόγων· ἐπιστήσαντες δ' ὡς οἷόν τε τὸν νοῦν τοῖς πρὸ ἡμῶν τὰ κατὰ τὴν Ἐκκλησίαν συγγεγραφόσι, τὴν μὲν προαίρεσιν τούτων μάλιστα πάντων ἀποδοχῆς ἠξιώσαμεν· οὐ μὴν καὶ πρὸς τὸ κοινῇ συμφέρον παντάπασιν ἐξειργάσθαι τὰς αὐτῶν πραγματείας ἐδοκιμάσαμεν. Οἱ μὲν γὰρ αὐτῶν, μὴ τῷ ὑγιαίνοντι λόγῳ ξυμβαίνοντες, ἐν πολλοῖς οὐδὲ ἄξιοι δοκοῦσι τῶν σφίσι λεγομένων μάρτυρες εἶναι· ἔνθεν τοι καὶ τοῖς ὡς ἀληθῶς παρ' αὐτῶν εἰρημένοις ἀμφισβητοῦσιν οἱ πλεῖστοι διὰ τὸ τῶν δογμάτων μὴ ἐῤῥωμένον, οἱ δὲ τῷ καθάπαξ διεντυνέχθαι τῷ τῆς πίστεως λόγῳ, καὶ πρὸς ἀντίπαλον ἐκείνῳ καταστῆναι μοῖραν· κἂν ἐς ὕστερον τὰ εἰκότα φρονῆσαι ξυνέδῃ, τῇ πρὸς οὓς διεφέροντο ἕρισι τὰ πολλὰ παραλελοιπότες· οὐδὲ οὗτοι ἔμπεδον ἀκραιφνῶς τὸ ἀξιόπιστον ἔχουσιν, καίτοι γε ἄλλως, λόγου δυνάμει κρατοῦντες, καὶ τῷ τῆς γραφῆς βάθει, ἔτι δὲ καὶ τῷ περὶ Χριστὸν πόθῳ καὶ ζήλῳ, τῶν καθ' ἡμᾶς τὸ πρωτεῖον φέρειν διενιστάμενοι· αὐτίκα καὶ γὰρ ὁ μὲν Παμφίλου εὐσεβὴς ἀπὸ τῶν κατὰ Χριστὸν ἀρξάμενος χρόνων, μέχρι τῶν τοῦ μεγάλου Κωνσταντίνου καιρῶν τὰ συμβάντα ταῖς ἐκκλησίαις διέρχεται· ἐκ τῶν Φίλωνός τε καὶ Ἰωσήπου, Κλήμεντός τε τοῦ στρωματέως καὶ Ἡγησίππου, Ἱππολύτου τε καὶ Παπία, καὶ τῶν καθεξῆς ἱερῶν διδασκάλων, τὴν ἱστορίαν ἐρανισάμενος· ἐν ᾗ τό τε κακόηθες τῆς αὐτοῦ σ[illegible]ρέσεως ὑποφαίνει, κἂν τισιν ὀρθῶς δοξάζειν δοκῇ διατεινομένοις, τῇ τε πρώτῃ καὶ αὐτὸν συνόδῳ παρεῖναι, καὶ τῷ ὁμοουσίῳ στοιχεῖν, καὶ σκώμμασι δῆθεν βάλλειν τοὺς κτίσμα τὸν Υἱὸν τοῦ Θεοῦ δογματίζοντας. Ἑρμείας μέν τοι Σωζόμενος, ὁ καὶ Σαλαμίνιος, καὶ ὁ τὴν Κυριστῶν προελόμενος σοφὸς Θεοδώρητος, τῇ τρίτῃ συνόδῳ πρὸς μάχην ἰών· ἔτι δὲ καὶ ὁ θεομισὴς Φιλοστόργιος· πρὸς δὲ καὶ ὁ τὴν προσηγορίαν, οὐ μὴν δέ γε καὶ τὴν προαίρεσιν καθαρὸς Σωκράτης, τὸ πέρας ἐκείνου ἀρχὴν τῶν ἰδίων πεποιημένοι πραγματειῶν, ἄχρι δὴ καὶ τῶν χρόνων Θεοδοσίου τοῦ νέου τὴν ἱστορίαν καθείλκυσαν, ὑπόθεσιν μίαν οὐκ οἶδ' ὅπως

B Quapropter et nos judicio nostro eos qui sacra historia scribenda ad publicam utilitatem tantum contulerunt studii, comprobantes, æmulatione ad eamdem materiam tractandam provecti sumus, non nos quidem egregia virtutis nostræ facta ostentantes, neque eloquentiam orationis vi et ubertate freti jactitantes : sed animum, quantum quidem fieri potuit, ad eos qui ante nos res ecclesiasticas scripserunt convertentes, institutum quidem et propositum eorum in primis complectendum duximus : sed non itidem scripta eorumdem omnia ad publicam utilitatem facere judicavimus. Quidam enim ex eis sanæ doctrinæ non adhærentes, multis in rebus non satis idonei dictorum suorum testes esse videntur : unde factum, quod C quam plurimi etiam ea quæ ab illis vere sunt dicta, propter minime sanas eorum opiniones, in dubium vocant. Nonnulli autem, cum semel a verbo fidei discessissent, et ad adversas ei partes defecissent, etiamsi postea eos æqua et decentia sapere contigerit, adversandi tamen eis, a quibus aliquando dissenserant, studio, permulta in scriptis suis prætermittentes, 35 non prorsus constantem et solidam obtinuere apud lectores fidem, quantumvis viribus eloquentiæ et scribendi acumine excellentes, atque egregio erga Christum amore et ardore, inter nostri nominis homines, primas ferre contendentes. Etenim Eusebius Pamphili statim a Christi temporibus usque ad Constantini Magni tempora, quæ in Ecclesiis acta sunt, prosequitur, ex Philone, Josepho, Clemente στρωματεῖ D (hoc est, *contextore*), Hegesippo, Hippolyto, Papia, et aliis ordine ecclesiasticis scriptoribus, historiam mutuatus. In qua historia cacoethes hæreseos suæ prodit, quamvis quibusdam recte sentire videatur, ex eo id asseverantibus, quod et ipse primæ synodo interfuerit, et τῷ ὁμοουσίῳ (hoc est, *consubstantiali*) consenserit : quodque conviciis reprehendens incesserit eos, qui Filium Dei creaturam esse opinantur. Hermias porro Sozomenus, qui et Salaminius dicitur : item qui Cypri episcopus fuit sapiens Theodoritus, quique idem tertiam impugnavit synodum : item Deo invisus Philostorgius : præterea

cognomine quidem, sed animo minus καθαρὸς, (id est, purus) Socrates, finem illius initium suorum facientes operum, usque ad tempora Theodosii junioris historiam produxerunt : materia eadem, nescio quo consilio, omnes sibi proposita. Qui quidem in rebus quibusdam varie inter se dissentiunt, et episcoporum inter ipsos contentiones. pro eo atque cuique visum est, commemorant, Omnes etiam isti varias quasdam et novas res, ab aliis minime dictas, historiis suis inseruerunt. Deinceps vero Theodorus, lector Byzantius, et Basilius Cilix, et expræfectus Evagrius, superiorum ante ipsos temporum res prætergressi, et tempora sua stylo prosecuti, eorum quos modo diximus historiis, suas conjunxerunt, operis difficultatem reformidantes : nonnulli etiam e vita inter scribendum excedentes, institutum opus minime compleverunt. Ipse quidem Evagrius illustri dignitate præditus, historiam usque ad Justini ætatem deducit, maxima ex parte res profanas tractans : quarum argumenta et materiam ex Eusthatio Syro, Zosimo, Prisco, Joanne, Procopio Cæsariensi, Agathia, qui illis temporibus ordine insignes fuere oratores, 36 et præterea ex aliis non pœnitendis historicis decerpsit. Cæterum omnes isti multa non satis idonea et commoda importune recensent: non pauca vero, quæ necessario scribenda erant, prætermittunt : sive id consulto affectibus ducti fecerunt, seu quod non omnia attingere potuerunt, timore quodam et indignitate rerum perculsi : quodque forlasse eis non perinde stylo indulgere de rebus recte constitutis licuit, atque nunc, cum Ecclesia amplissime dicendi et scribendi libertate utitur : quam sane libertatem in nostro hoc opere in primis usurpabimus. Enimvero Eusebius trecentos et aliquot præterea annos est complexus, Socrates autem et Theodoritus, nec minus Sozomenus, centum fere et quadraginta, a primo scilicet Constantini Magni anno, cum is Cæsar est renuntiatus, usque ad decimum septimum Theodosii Junioris annum. Deinceps porro et ipse Evagrius tempus prosequitur annorum circiter centum et quadraginta : ut historia a Christo nato omnis, quam ii quos nominavimus historici conscripserunt, simul et seorsim non minus temporis quam sexingentorum annorum complectatur. Eorum autem quæ postea subsecuta sunt temporum res ecclesiasticas, ad hanc usque ætatem, cum nec pauciores, nec minores quam illæ essent, nemini uni eorum qui historiam scribere potuerunt, in mentem venit, unius operis volumine his cum illis conjunctis, complecti atque comprehendere : nescio socordiane et imbecillitate ingenii rem tantam omittenti, an a magnitudine et difficultate argumenti abhorrenti. Quippe temporum simul rerumque historiis carptim et obiter in multos variosque scriptores et volumina conjectis, ardua et difficilis earum est cognitio et memoria, aliis scilicet alio loco rebus multifariam et sparsim

ἅπαντες προστησάμενοι. Οἳ καὶ πρὸς ἀλλήλους ἔν τισιν ἔστιν ὅπου διαφωνοῦσι, τὰς πρὸς ἀλλήλους διενέξεις τῶν ἐπισκόπων πρὸς τὸ ἑκάστῳ δοκοῦν διιόντες, καὶ ἕκαστοι ταῖς σφῶν ἱστορίαις διάφορά τινα καὶ ξένα μὴ τοῖς ἄλλοις εἰρημένα προσεπιγράφοντες. Ἐντεῦθεν πάλιν ὁ Βυζάντιος ἀναγνώστης Θεόδωρος, καὶ ὁ Κιλίξ Βασίλειος, καὶ ὁ ἀπὸ ἐπάρχων Εὐάγριος, τὰ τῶν ἀνωτέρω χρόνων καὶ πρὸ αὐτῶν ὑπερβάντες, οἱ μὲν τοὺς οἰκείους χρόνους τοῖς ἐκείνων παρέζευξαν, τὸ τῆς πραγματείας δυσχερὲς ὑπολογισάμενοι· ἄλλοι δὲ καὶ τὸν βίον τῷ συγγράφειν ἀπολιπόντες, τὴν τῆς ἐπιβολῆς ὑπόστασιν ἡμιστα συνετέλεσαν· ὅ γε μὴν Εὐάγριος ὁ ἐπιφανὴς καὶ μέχρι τῶν Ἰουστίνου δὴ χρόνων τὴν ἱστορίαν καταβιβάζει, τῷ πλείστῳ μέρει πράξεσι διατρίβων ταῖς κοσμικαῖς, ἐκ τῶν Εὐσταθίου τοῦ Σύρου, Ζωσίμου τε καὶ Πρίσκου καὶ Ἰωάννου, Προκοπίου τε τοῦ Καισαρέως, ἔτι δὲ καὶ Ἀγαθίου, τῶν κατὰ τὴν τῶν χρόνων ἐκείνων διαδοχὴν ῥητόρων, καὶ ἑτέρων ἄλλων οὐκ ἀγεννῶν συγγραφέων, τὰς ὕλας τῆς ὑποθέσεως πoριζόμενος. Οἳ δὴ πάντες οὗτοι πολλά τε τῶν μὴ καιρίων ἀναγράφουσι, καὶ τῶν ἀναγκαίων δὲ οὐκ ὀλίγα παραλιμπάνουσιν, εἴθ' ἑκόντες τοῦτο παθόντες τῷ προσπαθεῖν, εἴτε τῷ μὴ πᾶσιν ἐφικέσθαι δυνηθῆναι, δέει δή τινι καὶ ἀνελευθερίᾳ πραγμάτων περισχεθέντες· καὶ τῷ μὴ θαῤῥεῖν ἴσως τοῖς καλῶς δεδογμένοις ἐνδιατρίβειν, ὥσπερ νῦν εἰς πλάτος οὕτω τῆς Ἐκκλησίας παῤῥησιαζομένης, ὅπερ τῇ παρούσῃ μάλα πραγματείᾳ σπουδάζεται. Εὐσέβιος μὲν γὰρ τριακοσίων καὶ μικρόν τι πρὸς ἐτῶν ἀριθμὸν ἀναγράφεται· οἱ δὲ περὶ Σωκράτην καὶ Θεοδώρητον ἑκατόν που καὶ τεσσαράκοντα ἀπὸ τοῦ πρώτου ἔτους τῆς τοῦ μεγάλου Κωνσταντίνου ἀναγορεύσεως, δηλαδὴ ἕως ἑπτακαιδεκάτου ἔτους τοῦ νέου Θεοδοσίου. Τοῖς δ' ἑφεξῆς Εὐάγριος δίεισιν ὡσεὶ χρόνον καὶ αὐτὸς ἐτῶν ἑκατὸν τεσσαράκοντα· ὡς εἶναι τὴν ἀπὸ Χριστοῦ ἱστορίαν πᾶσαν ἣν οἱ προειρημένοι συγγραφεῖς ἀνεγράψαντο ἰδίᾳ τε καὶ κοινῶς, χρόνον οὐχ ἧττον ἢ ἑξακοσίων ἐτῶν. Τῶν δὲ καθεξῆς χρόνων τὰς ἱερὰς πράξεις ἄχρι δὴ καὶ ἐς δεῦρο, καίπερ πολλὰς καὶ μεγάλας οὔσας καὶ οὐχ ἧττον ἢ ἑκείνας, οὐδενί πω τῶν εὖ ἱστορεῖν εἰδότων εἰς νοῦν ἐλήλυθε μιᾷ περιγραφῇ συντάξεως ἐκείνας τε καὶ ταύτας ὑφ' ἓν πραγματεύσασθαι· οὐκ οἶδα εἴτε ῥᾳστώνῃ δή τινι παραλιπόντες τῆς φύσεως, εἴτε καὶ πρὸς τὸ μέγεθος τῆς ὑποθέσεως ἀποκνήσαντες. Καί γε δὴ τῶν χρόνων καὶ τῶν πράξεων ἐκ τοῦ παρήκοντος ἐῤῥιμμένων ἐν πολλοῖς καὶ διαφόροις συγγραφεῦσι καὶ πραγματείαις, δυσχερὴς ἐσάγαν καὶ δύσληπτος ἡ μνήμη τῶν γεγενημένων καθίστατο, ἄλλης ἀλλαχοῦ διεσπαρμένης ἀμωσγέπως τῶν πράξεων. Ἡμεῖς τοίνυν πόνῳ πολλῷ καὶ χρόνῳ τὴν ἐφ' ἑκάστῳ διάθεσιν ἐξετάσαντες, δεῖν ᾠήθημεν ὑπόθεσιν μίαν ἱστορικὴν τῆς καθόλου Ἐκκλησίας ὑφ' ὁδηγοῦντι θεῷ πραγματεύασθαι· καὶ πρῶτα μὲν τὰ τῶν πρὸ ἡμῶν ἰδίᾳ, ὥς γ' ἐνὸν, φράσει καὶ συντετμημένῃ πειράσομαι διελθεῖν, τό τε περιττὸν καὶ τῷ χρόνῳ εἰκαῖον τῇ ὑποθέσει δόξαν παραλιπεῖν· τὸ δ' ἀναγκαῖον τῆς ἐννοίας κατὰ χώραν μένειν ἐάσαι· καὶ τὰ ἐνδέοντα

προσεπιθεῖναι τοῖς ἐκείνων συγγράμμασιν· ὅσα θ' ἕκαστος ἀναγκαῖα τῶν ἄλλων παραλιπόντων ἱστόρησε, τῷ συγγράμματι ἐξυφῆναι· τάς τ' ἐκείνων διαφωνίας πρὸς τὸ χρόνῳ κρατῆσαν ἔθος τῇ Ἐκκλησίᾳ διευθετῆσαί τε καὶ ῥυθμίσαι, ὅσον νόθον καὶ κίβδηλον διωθούμενον, γλώττῃ δὲ περιτράνῳ τὸ ὀρθὸν τε καὶ ὑγιὲς τῆς πίστεως παῤῥησιαζόμενον· εἶτα καὶ ὅσα τῷ μετὰ ταῦτα παραλέλειπται χρόνῳ, προστεθεῖναι μάλα βιάσομαι, μικρὸν ἄνωθεν τοῦ καθ' ἡμᾶς βίου τὴν ἱστορίαν διαπεραίνων· ἢ δὴ, ὡς γε οἶμαι, καὶ μάλα πλεῖστα μὲν ὠφελῆσαι ξυνηθείᾳ τοὺς ἐντυγχάνοντας, ἐλάχιστα δ' ἐνοχλήσει τοῖς περὶ αὐτὴν ἐλομένοις ἔχειν διατριβήν. Ἐξέσται γὰρ ἑκάστῳ ταύτης ὡς ἐκ μεγάλης πηγῆς τὸ χρήσιμον ἅπαν ἀρύεσθαι. Συνοίδαμεν γάρ πως μὴ ῥᾴδιον εἶναι σποράδας οὔσας τῶν τοσούτων ξυγγραφέων τὰς βίβλους εὐπορῆσαί τινα, τὴν ἱερὰν ἱστορίαν πᾶσαν πειρώμενον διεξέρχεσθαι. Ἔπειτα καὶ τὸ διάφορον τῆς φράσεως, πρὸς δὲ καὶ τὸ πλῆθος τῶν συγγραμμάτων, δυσέφικτον πάνυ καὶ δυσκαταλῆπτον τὴν ἀνάληψιν ἐποίει τῶν πράξεων. Ἥ γε μὴν ἐν μιᾷ συντάξεως περιγραφῇ πραγματεία, τὸ ἐῤῥωμένον ἐφ' ἅπασι προβαλλομένη τῶν διηγήσεων, ἐκ τοῦ ῥᾴστου τοῖς βουλομένοις ἑτοίμην μὲν παρέχεται τὴν ἀνάγνωσιν· τὴν δὲ κατάληψιν, εὖ μάλα ἑφεπομένην τῆς φράσεως τῷ ταυτῷ, οἷόν τινα σειρὰν πᾶσιν ἐφεξῆς ἁρμοζομένην, θαυμασίως τε ἐπιπλεκομένην καὶ διανρέχουσαν. Τοσοῦτον δ' ὑπερέχειν ἔγωγε οἶμαι ταύτην τῶν ἄλλων, ὅσῳ χρησιμώτερον τὸ πᾶν τοῦ μέρους, καὶ τοῦ διηρημένου τὸ συνεχές. Οὕτω δὲ χρησιμωτάτης οὔσης τῆς ὑποθέσεως, ἡμεῖς οὐχ ἁπλῶς, ἀλλὰ καὶ πόνῳ δῆτα πολλῷ ταύτην συνελεξάμεθα, τῷ μεγάλῳ νεῷ τῆς τοῦ Θεοῦ Λόγου Σοφίας ἐξέτι νέου ἱκανῶς παρεδρεύοντες, καὶ ἐκ τῶν παρὰ ταύτης ὑπομνημάτων τὰ πλείω ἐρανιζόμενοι. Τί γὰρ ἂν αὐτῇ χαρισαίμεθα, πολλῶν καὶ μεγίστων ἡμῖν δαψιλῶς μεταδούσῃ χρηστῶν, καὶ τοῦ γε κάλλους αὐτῆς ἐντρυφᾷν ἀνείσῃ, καὶ δίαιταν δὲ καὶ καταγωγὴν ἐν αὐτῇ πολλῷ τῷ μέσῳ χρόνῳ δωρησαμένῃ, ὡσανεὶ καὶ μαιευσαμένῃ, καὶ ἐς τόδε ἡλικίας ἡμᾶς καὶ λόγου προαγαγούσῃ, ἢ τὸ τὰ αὐτῆς ἅπαντα, ἴσον δ' εἰπεῖν καὶ τὰ τῆς καθόλου Ἐκκλησίας, ὡς ἐνόν γε, ἄρδην διαλαβεῖν, καὶ τοῖς βουλομένοις ἐς κοινὴν προθεῖναι ἀκρόασιν; οὐ φράσεως ὄγκον, οὐδὲ λόγων κομψότητα περὶ πλείστου δὴ ποιουμένους, ἀλλ' ἁπλῶς οὕτω γυμνὰ τοῖς πᾶσι προθεῖναι τὰ κατὰ τὰς ἐκκλησίας ἐξαρχῆς γεγενημένα διελθεῖν πειρωμένους, τὰ παρ' ἑκάστοις ἱστορούμενα κατὰ τοὺς ἀρχαίους χρόνους, ἐφ' ὅσον ἡμῖν ἡ περὶ λόγους δύναμις εὐπορεῖ, καλῶς καὶ ὡς προσῆκον ἦν, ἐξετάσαντας. Ἐπεὶ δ' ἡμῖν ὑπόθεσις αὕτη, δεῖ δὲ σαρκνείας χάριν καί τινα περὶ τῆς ὅλης πραγματείας προδιορίσαι· ἰστέον, ὡς ἡ μὲν βίβλος πᾶσα εἰς τόμους ἡμῖν διῄρηται ιη'.

descriptis. Ego vero labore et tempore multo, affectione et sententia cujusque inquisita, faciendum mihi putavi, ut argumentum et materiam omnem, unam historiam catholicæ Ecclesiæ mihi proponerem, et, Deo bene juvante, eam in unum opus redigerem. Et primum ea quæ ab iis scriptoribus, qui ante nos fuerunt, tradita sunt, stylo, quantum fieri poterit, nostro persequi conabimur: at si quid superfluum et vetustate jam præsentibus temporibus et ipsi materiæ inutile visum fuerit, id prætermittemus: quæ vero sententiæ et doctrinæ necessariæ sunt, eas suo loco collocabimus. **37** Præterea quæ deesse judicabimus, scriptis illorum addemus: et quæcunque cognitione digna eorum quisquam, aliis omittentibus, adnotavit, operi nostro intexemus. Dabimus etiam operam, ut dissentientes illorum opiniones ad consuetudinem Ecclesiæ, quæ temporum præscriptione invaluit, dirigamus atque accommodemus. Quidquid insincerum adulterinumque fuerit, repudiabimus, et sermone simplici et aperto rectam sanamque fidei doctrinam cum legitima libertate profitebimur. Deinceps et ea quæ consequentibus præterita omissaque sunt temporibus, adjicere studebimus, non ita longe ante ætatis nostræ tempus historiæ finem imposituri. Ea vero, ut equidem puto, plurimum lectoribus prodesse poterit: minimum certe molestiæ versare eam volentibus afferet. Cuivis enim ex ea, tanquam ex fonte uberiore, ingentem utilitatem haurire licebit. Satis enim constat, cum plures sint ecclesiasticorum historicorum sparsim scripti libri, non facile esse eos comparare et consequi, ei qui sacram historiam omnem perlegere et cognoscere velit. Præterea varietas styli et elocutionis, tum etiam librorum multitudo, efficiunt ut ardua admodum et difficilis legentibus eveniat rerum cognitio. Opus vero perpetuum, unoque Scripturæ contextu compositum, res certas undequaque narrationibus dilucidis commemorans, facilem omnibus et promptam exhibet lectionem: et propter eumdem elocutionis tenorem, consequentem quoque rerum ipsarum cognitionem, tanquam quamdam catenam omni ex parte ordine suo coaptatam, mirabiliterque inter se contextam, et veluti procurrentem. Denique tantum nostram hanc historiam aliis præstare puto, quantum parti totum præstat, et interpolato continuum opus. Quidquid autem est tam utilis libri, id non ita facile, sed multo sane cum labore, cum adhuc a (1) pueris ad augustum ipsius Dei Verbi Sapientiæ templum essemus, et plurima ex eis quæ ibi sunt, voluminibus et commentariis peteremus collegimus. Quam vero aliam ipsi æternæ Sapientiæ referremus gratiam, quæ maxima in nos prolixe contulit beneficia, et nos amœnitate deliciisque suis perfrui est passa, domicilium ibi et mansionem multo tempore nobis præbens, **38** et pietatem quasi cujusdam obstetricis et nutricis

(1) Volumen istud Nicephorus Constantinopoli ad templum Sophiæ, ubi bibliotheca insignis et monachorum cæterum fuit, composuit.

præstans, atque ad id nos ætatis et profectus deducens, quam ut res ejus, fortasse autem dicendum catholicæ Ecclesiæ, omnes, quantum fieri possit, uno volumine comprehenderemus, et id publice omnibus in communem usum utendum collocaremus ? elocutionis pondus, verborumque ornamenta minus consectantes : sed oratione pura, res apertas, ut ab initio in ecclesiis sunt gestæ, cuivis exponere conantes. Quod ut facere possemus, quantum eruditionis nostræ tenuitas permisit, cum cura et fide, quæ de rebus veterum temporum in monumenta sunt relata, perquisivimus. Verum enimvero cum ea nobis sit proposita scribendi materia, ut dilucidior res omnis fiat, de toto opere præmittendum aliquid duximus. Sciendum itaque, totum hoc volumen nobis in decem et octo tomos esse divisum.

Horum primus res gestas Servatoris nostri Christi Jesu complectetur, ut scilicet ille a proprio throno intransitive excitus, propter incomparabilis bonitatis affectionem et misericordiam, assumpta ex Maria virgine carne, et terreno vitæ cursu quam optime confecto, per salutarem passionem atque naturam omnem superantem resurrectionem, ad Paternum rursus ascenderit solium, reconcilatione nostra suo ipsius Patri perfecta atque absoluta.

A Τούτων ὁ μὲν πρῶτος τὰ κατὰ τὸν **Σωτῆρα** καὶ Κύριον ἡμῶν περιέξει Χριστὸν, ὡς τῶν οἰκείων θρόνων ἀμεταβάτως ἀφορμηθεὶς οἴκτῳ ἀνεικάστου χρηστότητος, καὶ σάρκα ἐκ Παρθένου ἀνειληφὼς, καὶ τὴν περίγειον αὐτοῦ πολιτείαν ἀρίστως διηνυκὼς διὰ τοῦ σωτηρίου πάθους καὶ τῆς ὑπερφοῦς ἀναστάσεως, πρὸς τὸν Πατρῷον αὖθις ἀνῆει θρόνων, τὴν καταλλαγὴν ἡμῶν τῷ ἑαυτοῦ Πατρὶ ποιησάμενος.

Secundus ea quæ ad Spiritum sanctum pertinent comprehendet. Quas ille scilicet res per sacros apostolos peregerit : quibusque illi rebus gestis, qualem finem vitæ quisque eorum ceperit, sacrosancta nobis scripta relinquentes. Quæ ea sint scripta, et quæ in eis vera, sincera et testamentaria.

Ὁ δεύτερος τὰ τοῦ παναγίου μοι διαλήψεται Πνεύματος, ὅσα δῆτα διὰ τῶν ἱερῶν ἀποστόλων ἐνήργησε · τίνα τε αὖθις οὗτοι διαπραξάμενοι, τέλει τοῦ βίου ἐχρήσαντο ἕκαστος, τὰ ἱερὰ τούτων συγγράμματα καταλελοιπότες ἡμῖν · καὶ τίνα ταῦτα, καὶ ὅσα γνήσιά τε καὶ ἐνδιάθηκα. B

Tertius primos apostolorum successores exponet, ubi et quomodo salutaris doctrina per orbem universum peragravit : quas calamitates et clades Hierosolyma propter eœdem Servatoris Christi Jesu pertulerint : quos rursus tanquam hæredes ministerii sui, quæ item litterarum monumenta apostolorum successores post se relinquentes, martyrio pro Christi nomine sint coronati. Et quæ jam tum primum emerserint adversus salutarem doctrinam hæreses.

Ὁ τρίτος τὰς πρώτας περιέξει μοι τῶν ἀποστόλων διαδοχὰς, ὅπη τε καὶ ὅπως ὁ σωτήριος λόγος τὴν οἰκουμένην διέδραμε · τίνα τε τῇ Ἱεροσολύμων τῆς Χριστοκτονίας χάριν ἐπῆλθε δεινά · καὶ τίνας αὖθις κληρονόμους τῆς σφῶν διακονίας καταλιπόντες οἱ τῶν ἀποστόλων διάδοχοι · καὶ πόσα καὶ τίνα τῶν συγγραμμάτων τῷ ὑπὲρ Χριστοῦ μαρτυρίῳ κατεκοσμήθησαν · καὶ περὶ τῶν ἄρτι πρώτως ἀναφυεισῶν τῷ σωτηρίῳ λόγῳ αἱρέσεων.

Quarti tomi argumentum erit, quinam falsæ et adulterinæ doctrinæ exstiterint duces, quosque contra eos **39** ecclesiasticos scriptores et doctores, quæ omnia bene disponit et dirigit divina Providentia, excitarit, apostolicis donis excellentes viros, simulque et vita et doctrina illorum evertentes insanas opiniones. Qui isti fuerint, et quæ tum de quæstione celebrandi Paschatis sint dissidia exorta.

Τοῦ γε μὴν τετάρτου ἡ περιοχὴ ἔσται, ὅσοι τῆς ψευδωνόμου γνώσεως ἐγένοντο ἀρχηγοὶ, ὅπως τε ἡ πάντα καλῶς διεξάγουσα Πρόνοια ἐκκλησιαστικοὺς ἄνδρας συγγραφεῖς καὶ διδασκάλους ἐκείνοις ἀνθίστησιν, ἀποστολικοῖς χαρίσμασι διαπρέποντας, καὶ βίῳ καὶ λόγῳ τὰ ἐκείνων **ἀνατρέποντας** δόγματα · καὶ τίνες οὗτοι · καὶ ὅσα τηνικαῦτα **περὶ** τῆς τοῦ Πάσχα ζητήσεως ἐπεγένοντο. C

Quinti materia erit sub Severo et Decio imperatoribus Ecclesiarum persecutio. Præterea qui multum sapientia valuit ipse Origenes, quæ ejus vita fuerit, quæ scripta. Tum qui in Oriente et in Occidente sanctissimi martyres sacrosanctum pro Christo certamen fortiter pertulerint. Item de Cypriano Africæ episcopo. Item de Dionysio, qui Alexandrinæ præfuit Ecclesiæ. Item de Christianis, qui in persecutione sub Decio pietatem abjurarunt, historiam texet.

Τῷ δὲ πέμπτῳ ὁ κατὰ Σεύηρον καὶ Δέκιον διωγμὸς ὑπόθεσις ἔσται · ἔτι δὲ ὁ τὴν **σοφίαν** πολὺς Ὠριγένης, καὶ ἡ κατ' αὐτὸν **πολιτεία** καὶ συγγραφή · ὅσοι τε ἐν ἑσπέρᾳ καὶ ἕῳ τῶν θεοφιλῶν μαρτύρων τὸν ὑπὲρ Χριστοῦ ἀγῶνα γενναίως διήνεγκαν · περί τε Κυπριανοῦ τοῦ Ἀφρων ἐπισκόπου, καὶ τοῦ τῆς Ἀλεξάνδρου Διονυσίου · καὶ περὶ τῶν τὸ σέβας ἐξομοσαμένων Χριστιανῶν ἐν τοῖς κατὰ Δέκιον διωγμοῖς.

Sextus commemorabit hæreses varias, quarum auctores fuere impius Manes, impurus Novatus, Apollinaris et Samosatenus Paulus. Describet etiam

D Ὁ ἕκτος τὰ κατὰ τὸν δυσσεβῆ **Μάνεντα**, καὶ τὸν ἀκάθαρτον Ναυᾶτον, ἔτι δὲ **Ἀπολλινάριον**, καὶ τὸν Σαμοσατέα διεξέλθοι μοι **Παῦλον** · καὶ περὶ

τοῦ Ἀλεξανδρείας αὖθις Διονυσίου · καὶ ὅσοι τῶν μεγάλων πρόεδροι πόλεων ἄχρι καὶ τῆς τῶν ἐκκλησιῶν πολιορκίας διέμειναν · καὶ περὶ τῶν τηνικάδε ἀκμασάντων ἐκκλησιαστικῶν συγγραφέων, καὶ ἄλλως ἐπὶ σοφίᾳ θείᾳ περιβοήτων ἀνδρῶν.

A res Dionysii Alexandriæ episcopi. Et qui magnarum urbium usque ad Ecclesiarum oppugnationem permanserint episcopi. Ostendet quoque, qui tum temporis ecclesiastici scriptores, et aliter in divina sapientia clari viri floruerint.

Ὁ ἕβδομος τὰ περὶ τῆς ἔριδος τῶν καθ' ἡμᾶς διαλήψεται ἐπισκόπων . ὅθεν καὶ τῆς θείας ἀμοιρήσαντες χάριτος πρὸς καιρὸν, δεινοῖς περιέπεσον · ἔτι δὲ καὶ περὶ τῶν ἁλιτηρίων τυράννων Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ, Μαξεντίου τε καὶ Μαξιμίνου, καὶ Λικινίου, ὅσα κατὰ τῆς Χριστοῦ ποίμνης δράσαντες, διεφθάρησαν · καὶ ὡς ὁ μέγας καὶ ἰσαπόστολος Κωνσταντῖνος, τούτων θείᾳ δυναστείᾳ περιγενόμενος, εἰρήνην ταῖς ἐκκληφίαις παρέσχε, καὶ πρῶτος Χριστιανῶν βασιλεὺς ἀναγορευθεὶς, τὴν ἐπώνυμον ἑαυτῷ πόλιν περιφανῶς ἀνιστᾷ.

Septimus contentionem et rixas nostrorum expediet episcoporum, unde illi a divina ad tempus excidentes gratia, in magna inciderunt pericula. Deinde de exitialibus tyrannis, Diocletiano et Maximiano, Maxentio et Maximino, et Licinio, quam crudeliter illi in gregem Christi sævierint, tractabit. Postremo, quomodo magnus et apostolis ipsis par Constantinus, divina ope ab iis victoriam reportans, pacem Ecclesiis conciliarit, et primus B Christianorum imperator creatus, magnifice cognominem sibi urbem construxerit.

Τὸν δ' ὄγδοον καὶ αὐτὸν ὁ ἰσαπόστολος περιέξει μοι Κωνσταντῖνος, καὶ τὰ ἐπ' αὐτοῦ ταῖς ἐκκλησίαις συμβάντα, τά τε κατὰ τὸν δυσσεβῆ Ἄρειον, καὶ τὴν πρώτην ἐν Νικαίᾳ σύνοδον · καὶ ὡς τὰ Χριστιανῶν εἰς ἐπίδοσιν ἦχθη · καὶ περὶ τῆς τῶν μοναχῶν ἀγγελικῆς πολιτείας, ὅθεν ἤρξατο, καὶ τίνας ἔσχεν ἀρχηγούς · ὅσα τε ὑπὸ τῶν Ἀρειανῶν τοῖς εὐσεβεῖν ἠρημένοις ἐπράχθη, καὶ μᾶλλον Ἀθανασίῳ τῷ μεγάλῳ, καὶ περὶ τῆς μακαρίας Ἑλένης, καὶ τῶν ταύτης θεοφιλῶν ἔργων · καὶ ὡς τέλει χρησαμένη τοῦ βίου, σὺν τῷ υἱῷ Κωνσταντίνῳ τῇ ἐπωνύμῳ αὐτοῦ κατετέθησαν πόλει.

Octavum tomum sibi vindicabit idem ipse apostolis non inferior et Constantinus : et res quæ eo imperante ecclesiis acciderunt. Res item impii Arii : et primam quæ Nicææ est celebrata synodum. Et quemadmodum res Christianæ incrementum ceperint. Item de angelica monachorum vita, unde initium sumpserit, et quos habuerit auctores. Item quæ Ariani contra veræ pietatis sectatores, et maxime adversus magnum Athanasium 40 moliti sint et fecerint. Præterea de beata Helena, et piis ejusdem Deoque gratis operibus : et ut finita vita, una cum filio Constantino, in cognomine ei urbe sit sepulta, idem narrabit.

Ὁ δ' ἔννατος τὰ ἐπὶ τῶν παίδων ὀφηγήσεται τοῦ ἱεροῦ Κωνσταντίνου, καὶ μᾶλλον τὰ ἐπὶ Κωνσταντίου ταῖς ἐκκλησίαις γεγενημένα, καὶ τῶν τότε ἀκμασάντων ἐπὶ τε τῇ ὀρθῇ καὶ διεστραμμένῃ δόξῃ · τίνες τε οἱ τῇ μοναχικῇ τηνικαῦτα διαπρεπεῖς πολιτείᾳ ἀνά τε Παλαιστίνην καὶ Αἴγυπτον · καὶ περὶ διαφόρων συνόδων καὶ ἐκθέσεων πίστεως.

Nonus res filiorum sacrosancti Constantini, et C in primis ea quæ ecclesiis sub Constantio evenerunt, persequetur. Item qui viri tum et in recta et in perversa doctrina florentes fuerint. Item qui eo tempore monastica vita per Palæstinam et Ægyptum excelluerint. Item de diversis synodis et variis professionis fidei expositionibus et formulis tractabit.

Ἐπὶ τούτοις ὁ δέκατος τὰ κατὰ τὸν θεομισῆ διαλήψεται Ἰουλιανὸν, ὡς εἰς τὸν Ἑλληνισμὸν ἀποκλίνας ἐκ τῆς ἀρθῆς πίστεως, ποικίλως τὸν καθ' ἡμῶν ἀνερρίπισε διωγμόν · καὶ ὡς εἰσβαλὼν τῇ Περσίδι, κακῶς διεφθάρη. Ἐν μέρει δὲ καὶ τὰ κατὰ τὸν εὐσεβέστατον Ἰοβιανὸν περιέξει, ὅπως τῆς ὀρθῆς δόξης γενναίως μάλα ὑπεριστάμενος, ἀπεβίω.

Decimus porro complectetur res Deo invisi Juliani, ut ille a recta pietate desciscens, et ad Græcorum idololatriam deficiens, variis subinde modis persecutionem contra nos concitarit, et ut bello Persis illato, malus male perierit. Aliqua etiam is tomus ex parte res piissimi imperatoris Joviani comprehendet, quomodo scilicet magno animo rectam doctrinam propagans, vitam finierit.

Ὁ δὲ μετὰ τοῦτον ἑνδέκατος διεξέλθοι ἀρίστως, ὅσα ἐπὶ Οὐαλεντινιανοῦ καὶ τοῦ δυσσεβοῦς Οὐάλεντος ταῖς ἐκκλησίαις ἐπισυνέβη · περί τε τῶν καθ' ἡμᾶς μεγάλων τῆς Ἐκκλησίας φωστήρων, καὶ τῶν εἰς ἀντίπαλον ἐκείνοις καταστάντων μοῖραν · καὶ ὡς τὰ τοῦ μοναχικοῦ εἰς μέγα ἐπιδέδωκε σχήματος · πόσα τε τῶν ἐθνῶν τὸν Χριστιανισμὸν παρεδέξαντο · καὶ ὡς διεφθάρη Οὐάλης, πυρὸς γενόμενος παρανάλωμα.

Porro qui hunc consequetur undecimus tomus, D copiose testabitur, quæ Ecclesiæ sub Valentiniano et impio valente pertulerint. Item de magnis Ecclesiæ orthodoxæ luminaribus, et qui ex adverso eisdem exstiterint oppugnatores, ostendet. Præterea ut ordo monasticus in immensum creverit. Item quæ gentes Christianismum susceperint; postremo, ut Valens incendio perierit.

Τῷ δωδεκάτῳ ἑσεῖται διηγουμένῳ τὰ κατὰ Γρατιανὸν καὶ Οὐαλεντιανὸν τὸν νέον, καὶ τὸν ἐξ Ἰσπανίας μέγιστον Θετδόσιον, τήν τε οἰκουμενικὴν καὶ δευτέραν ἁγίαν σύνοδον · καὶ ὡς ἐπὶ τὸ μεῖ-

Duodecimo tomo describentur Gratiani et Valentiniani junioris, et ex Hispania oriundi Maximi Theodosii res. Item secundum universale sanctum concilium : et ut pietas Christiana in majus sit

provecta, templis ubique quæ idolis consecrata fuerant eversis. Insuper de ejus temporis gravibus hæresiarchis, et sanctis etiam piisque in Ecclesia nostris hominibus.

Tredecimus tempora Arcadii et Honorii prolixe exponet. Prætereaque res aurea lingua præstantis viri Chrysostomi scilicet, et quæ insuper ea ætate Ecclesiæ contigerint, accurate prosequetur.

In quarto decimo tomo argumentum nobis Theodosius junior, et omnium admiratione digna femina Pulcheria suppeditrbit; et acta concili tertii Ephesi coacti commemorabit, et præterea episcoporum successionem, qui maximis quibusque ecclesiis præfuerunt. Commemorabuntur etiam Eutyches et Dioscorus, hæretici. Item Eudocia et Pulcheria, reginæ seu imperatrices. Denique qui ea tempestate in Palæstina et alibi Deo placentem vitam, monasticam scilicet, optime sunt professi et secuti.

Hunc qui sequetur decimus quintus, hæc complectetur : celeberrimi imperatoris Marciani et Leonis Magni res, et quartæ synodi acta, omnia ea abunde exponens : et insuper, quæ Antiochiæ et Alexandriæ in seditione evenere. Item quæ circa adjectionem ter sancti hymni sunt facta.

In decimo sexto erunt res Zenonis et Basilisci, hujusque circulares litteræ ; et quæ tempore Anastasii Dicori Ecclesiæ evenerunt. Deinde res quoque Severi, Petri Gnaphei, Petri Mongi, Timothei Æluri, et aliorum insuper hæreticorum. Et item quæ denuo per seditionem de quarta sancta synodo sunt acta, accurate proponet.

Decimas septimus ex rebus Justini primi, et successoris ejus maximi Justiniani, et actis quintæ sanctæ synodi constabit. His adjicientur Bellisarii res gestæ : item Justini junioris res, et qui eodem tempore vita angelis æquali clari fuere monachi.

Decimus et octavus tomus clare explicabit, quæ sub Tiberio et Mauricio imperatoribus in ecclesiis sunt acta ; item res Hormisdæ, Chosroæ et Chagani Persarum ; et ut Mauricius pœnas Deo persolvens, gladio perierit. Deinde quædam commemorabuntur de singularibus quibusdam dissidiis et hæresibus, scilicet Monophysitis, Tritheitis, Agnoetis et Theopaschitis ; item de Jacobitis et Armeniis, et præterea quæ in iis ipsis hæresibus fuere dissidia. Postremo quam turpiter Phocas, qui Mauricio succedens crudeliter tyrannidem gessit, sit jugulatus.

A ζον τὰ τῆς καθ' ἡμᾶς προελήλυθεν εὐσεβείας, παντάπασι τῶν εἰδωλικῶν κατασραφέντων νεῶν. Ἔτι δὲ καὶ περὶ τῶν τότε δεινῶν αἱρεσιαρχῶν, καὶ τῶν καθ' ἡμᾶς ἁγίων καὶ φιλοσόφων ἀνδρῶν.

Ὁ τρισκαιδέκατος τὰ περὶ Ἀρκάδιον καὶ Ὀνώριον λαμπρῶς διηγήσεται · ἔτι δὲ καὶ τὰ κατὰ τὸν Χρυσοῦν τὴν γλῶτταν, εἰς λεπτὸν ἐπεξέλθοι μοι · ὅσα τε καὶ οἷα τηνικαῦτα τῇ Ἐκκλησίᾳ ἐπισυνέβη.

Τῷ γε μὴν τεσσαρεσκαιδεκάτῳ τῶν τόμων ὁ νεώτερος Θεοδόσεος, καὶ ἡ θαυμαστὴ γυναικῶν Πουλχερία χορηγήσει τὰς ὕλας · καὶ τὰ κατὰ τὴν τρίτην ἐν Ἐφέσῳ σύνοδον εὖ μάλα διέλθοι · τήν τε διαδοχὴν τῶν τότε τῶν μεγάλων ἡγησαμένων παροικιῶν · B ἔτι δὲ καὶ τὰ κατὰ τὸν Εὐτυχῆ καὶ Διόσκορον, καὶ Εὐδοκίαν καὶ Παλαιστίνῃ καὶ ἀλλαχοῦ τὴν κατὰ Θεὸν τηνικαῦτα ἐν Παλαιστίνῃ καὶ ἀλλαχοῦ τὴν κατὰ Θεὸν πολιτείαν ῥρίστως μετῆεσαν.

Πρὸς τούτοις ὁ μετ' ἐκεῖνον πεντεκαιδέκατος τὰ κατὰ τὸν ἀοίδιμον Μαρκιανὸν, καὶ τὸν μέγαν Λέοντα, καὶ τὴν τετάρτην ἐκδιηγήσεται σύνοδον, ἄρδην τὰ ταύτης πάντα διαλαμβάνων, ὅσα τε ἐν Ἀντιοχείᾳ καὶ κατὰ τὴν Ἀλεξάνδρου ἐπὶ συστάσει ταύτης προέβη · ἔτι δὲ καὶ τὰ περὶ τῆς ἐν τῷ τρισαγίῳ ὕμνῳ προσθήκης γεγενημένα.

Ὁ μέντοι ἑξκαιδέκατος τὰ περὶ Ζήνωνος καὶ Βασιλίσκου, καὶ τῶν ἐγκυκλίων τούτου γραμμάτων, ἔτι δὲ καὶ τὰ κατὰ τὸν Δίκορον Ἀναστάσιον τῇ ἱερωσύνῃ ἐπισυμβάντα συνδιαλήψεται · ἔπειτα C καὶ τὰ περὶ Σευήρου καὶ Πέτρου τοῦ Κναφέως, Πέτρου τε τοῦ Μόγγου καὶ Τιμοθέου τοῦ Αἰλούρου, καὶ τῶν ἄλλων ἐπὶ τούτοις αἱρεσιωτῶν, ἐρεῖ πρὸς ἀκρίβειαν · καὶ ὅσα δὴ αὖθις ἐπὶ συστάσει τῆς ἁγίας τετάρτης συνόδου ἐπράχθη.

Τὸν ἑπτακαιδέκατον Ἰουστῖνος ὁ πρῶτος καὶ ὁ μετ' ἐκεῖνον μέγιστος Ἰουστινιανὸς σὺν τῇ ἁγίᾳ πέμπτῃ συνόδῳ καὶ τοῖς ἐν αὐτῇ πεπραγμένοις, πρὸς δὲ τοῖς κατὰ Βελλισάριον ἔργοις ἀναπληρώσει μοι · ἔτι δὲ καὶ ὁ νεώτερος Ἰουστῖνος, καὶ ὅσοι βίῳ τηνικαῦτα ἰσαγγέλῳ διαπρέποντες ἦσαν.

Ὁ δέ γε δέκατός τε καὶ ὄγδοος λαμπρῶς περιέξει μοι, ὅσα ἐπὶ Τιβερίου καὶ Μαυρικίου τῶν αὐτοκρατόρων ταῖς ἐκκλησίαις ἐγένετο · ἔτι δὲ καὶ τὰ περὶ D τῶν Περσῶν Ὁρμίσδα, Χοσρόου τε καὶ Χαγάνου γεγενημένα · καὶ ὡς Μαυρίκιος ποινὰς Θεῷ εἰσπρατόμενος, ξίφει τὸν βίον μετήλλαξεν · εἶτα περί τινων σχισμάτων καὶ αἱρέσεων μερικῶν διαλήψεται · Μονοφυσιτῶν, Τριθειτῶν, Ἀγνοητῶν καὶ Θεοπασχιτῶν · ἔτι δὲ περὶ τῶν Ἰακωβιτῶν καὶ Ἀρμενίων, καὶ τῶν ἐν αὐτοῖς διαιρέσεων · καὶ ὅπως ὁ μετὰ Μαυρίκιον κακῶς τυραννήσας Φωκᾶς αἰσχρῶς ἐπηλλάγη τοῦ ζῆν.

42 *Posteriorum quinque tomorum argumenta alius auctoris esse videntur. Qui tomi in hoc opere non exstant.*

Ὁ δ' ἐννεακαιδέκατος αὐτόν τε Ἡράκλειον, τούς τε παῖδας καὶ ἐγγόνους αὐτοῦ καὶ τὰ ἐπ' αὐτοῖς γενόμενα περιέξει· τά τε τῆς Περσῶν κινήσεως καθ' ἡμῶν, τοῦ τε ἀκαθίστου Ὕμνου, καὶ τῆς Ἱεροσολύμων ἁλώσεως· καὶ ὡς ὁ μυσαρὸς τηνικαῦτα ἀνεφάνη Μωάμεθ· ἔτι δὲ καὶ τὰ περὶ τῆς αἱρέσεως τῶν Μονοθελητῶν, καὶ τῶν ἐπ' αὐτῇ γενομένων, Σεργίου τε καὶ Πύρρου, Παύλου τε καὶ Πέτρου, Μαξίμου τε τοῦ θείου καὶ ὁμολογητοῦ· περί τε τῆς εὐσεβοῦς βασιλείας Κωνσταντίνου τοῦ Πωγωνάτου· καὶ τὰ κατὰ τὴν ἁγίαν ἕκτην καὶ οἰκουμενικὴν σύνοδον, καὶ τὰ ἐν αὐτῇ πραχθέντα, καὶ μετ' αὐτὴν, ἐπὶ Ἰουστινιανοῦ τοῦ Ῥινοτμήτου, καὶ τῶν καθεξῆς βασιλέων, ἄχρι δὴ καὶ αὐτῆς ὅλης ἀρχῆς Ἀναστασίου τοῦ Δικόρου καὶ Θεοδοσίου τοῦ Ἀτραμυτηνοῦ τῶν αὐτοκρατόρων. A

Ἡ μέντοι περιοχὴ τοῦ εἰκοστοῦ τόμου ἔσται Λέων Κόνων ὁ Ἴσαυρος καὶ Εἰκονομάχος· ὅθεν τε ἡ τῶν Εἰκονομάχων αἵρεσις ἀνεφύη· πρὸς δὲ καὶ ὁ Κοπρώνυμος Κωνσταντῖνος, καὶ τὰ δι' αὐτοῦ γεγενημένα ἀθέως· ἐν ταυτῷ δὲ καὶ Γερμανοῦ, καὶ τοῦ Δαμασκόθεν Ἰωάννου, Στεφάνου τε τοῦ νέου, καὶ τῶν λοιπῶν θεομισῶν αὐτοῦ ἔργων, μεμνήσεται· καὶ ὡς διεφθάρη αὐτός τε καὶ ὁ παῖς Λέων ὁ ἐκ τῆς Χαζάρας τὴν ἐπωνυμίαν κεκληρωμένος. Ἔτι συνδιαλήψεται καὶ τὰ περὶ τῆς εὐσεβοῦς βασιλείας Κωνσταντίνου καὶ Εἰρήνης· καὶ τὰ κατὰ τὴν ἁγίαν ἑβδόμην καὶ οἰκουμενικὴν σύνοδον· καὶ τῆς τῶν ἁγίων εἰκόνων τιμῆς· πρὸς δὲ Ταρασίου καὶ Νικηφόρου· ἔτι δὲ Πλάτωνος καὶ Θεοδώρου τοῦ Στουδίτου· καὶ τῶν γεγονότων ἐν τούτοις σχισμάτων· καὶ ὡς ὁ ἀπὸ γενικῶν Νικηφόρος, Σταυράκιός τε καὶ ὁ Ῥαγκαβὲ Μιχαὴλ, τὸν βίον μετήλλαξαν. B C

Ὁ εἰκοστόπρωτος τὰ κατὰ τὸν δυσσεβῆ Λέοντα τὸν Ἀρμένιον διηγήσεται· ὅπως τε ἡ δευτέρα γέγονεν εἰκονομαχία· καὶ τίς ὁ ταύτης πατήρ· καὶ ὡς ὑπερόριος διὰ ταύτην ὁ πατριάρχης Νικηφόρος ἐγένετο, καὶ ὁ Στουδίτης Θεόδωρος, καὶ ἄλλα πλεῖστοι· περί τε τῆς βασιλείας τοῦ Ἀμορέου Μιχαὴλ, καὶ περὶ Μεθοδίου τοῦ πατριάρχου· καὶ τὰ ἐν τῇ βασιλείᾳ Θεοφίλου πραχθέντα· καὶ τῆς παῤῥησίας τῶν τηνικαῦτα ἁγίων ἀνδρῶν, τῶν γραπτῶν μάλιστα, καὶ Μεθοδίου τοῦ ἱεροῦ, καὶ Ἰωσὴφ τοῦ ὑμνογράφου· καὶ ὡς ἐν τέλει δενόμενος ὁ Θεόφιλος, ταῖς ἱεραῖς εἰκόσι προσέθετο.

Τῷ δὲ εἰκοστῷ δευτέρῳ ἔσται διηγουμένῳ, ὅσα ἐπὶ Μιχαὴλ καὶ Θεοδώρας τῆς ἁγίας αὐτοῦ μητρὸς τῇ Ἐκκλησίᾳ ἐπράχθη· καὶ ἡ ἀναστήλωσις τῶν ἁγίων εἰκόνων ἐγένετο· περί τε Ἰωαννικίου τοῦ μεγάλου, καὶ τῆς διακρίσεως Μεθοδίου, καὶ τῆς τῶν ἀνιέρων καθαιρέσεως ἱερέων, καὶ τῶν τότε σχισμάτων· περί τε Λιζικιανῶν καὶ Μανιχαίων· καὶ ὡς τὸ τῶν Βουλγάρων ἔθνος τὸν Χριστιανισμὸν προσεδέξατο· ἔτι δὲ καὶ περὶ Ἰγνατίου καὶ Φωτίου τῶν πατριαρχῶν· καὶ τὰ μεταξὺ τῶν δύο τούτων συμβάντα· καὶ τὰ μέσον Φωτίου καὶ Νι- D

In decimo nono tomo agetur de ipsa Heraclio, liberisque et nepotibus ejus, et rebus sub eis gestis. Agetur præterea de Persarum adversus Christianos motu. Item de sacrosancto hymno, et Hierosolymorum captivitate. Et ut exsecrabilis et abominandus ea ætate Mahomethus coortus sit. Item de hæresi Monothelitarum, et qui eam sectati sunt, Sergio, Pyrrho, Paulo et Petro; item de Maximo, divino confessore; item de pio imperio Constantini Pogonati sive Barbati; item de sancto sexto universali concilio, rebusque in eo et post id gestis, tempore Justiniani Rhinotmeti, et succedentium imperatorum, usque ad integrum imperium Anastasii Dicori, et Theodosii Atramyteni imperatoris.

Vicesimi tomi materia erit Leo Conon Isaurus, imaginum debellator: unde etiam hæresis et secta imagines debellantium est exorta. Præterea Constantinus Copronymus, et quæ ab eo impie sint facta. In eodem tomo mentio quoque fiet Germani, Joannis Damasceni, et Stephani junioris, et item reliquorum Deo invisorum factorum ejusdem Constantini: et ut ipse, filiusque ejus Leo, cognomen a Chazara, sive secessu, adeptus, interierint. Complectetur idem tomus res gestas pii imperii Constantini et Irenæ, et sanctæ septimæ universalis synodi acta, et restitutos sacris imaginibus honores. Agetur quoque de Tarasio et Nicephoro, item de Platone, et Theodoro Studita, et quæ horum temporum fuerint schismata et dissidia; et quomodo Nicephorus nobilis, Stauracius, et Michael Rancabæ vitam finierint.

Vicesimus primus tomus impii Leonis Armenii gesta: et quomodo secundum imaginibus bellum sit illatum, quis ejus belli auctor; et ut ea de causa Nicephorus patriarcha, Theodorus Studites, et complures alii in exsilium sint acti, recensebit. Complectetur quoque imperium Michaelis Amorœi, et res Methodii patriarchæ. Item res sub imperio Theophili gestas. Item dicendi libertatem sanctorum eo tempore virorum, præcipue in pictis imaginibus defendendis. Agetur item de sancto Methodio, et Josepho hymnorum scriptore; et ut in fine prope vitæ Theophilus sacras imagines approbarit.

In vicesimo secundo recensebuntur, quæ sub imperio Michaelis, et Theodoræ matris ejus, sanctæ feminæ, Ecclesiæ acciderint, et restitutio sacrarum imaginum. Dicetur quoque de Joannicio Magno, de meditationibus Methodii, de impiorum abrogatione sacerdotum: de ejus temporis dissidiis et schismatibus, præcipue vero de Lizicianis et Manichæis, ut gens Bulgarorum Christianismum susceperit: de Ignatio et Photio patriarchis, et quæ medio inter istos tempore acciderint. Item quæ inter Photium et Nicolaum papam sint acta.

Et ut Bardas Cæsar, et imperator Michel sit occisus.

Vicesimi tertii comi argumentum erit Basilius Macedo, et filii ejus, Leo Sapiens et Alexander, et quæ sub his Ecclesiæ evenerint. Et rursum res Photii et Ignatii. Item acta ejus quæ dicta est actava universalis synodus. Præterea scandala et offendicula, quæ tum per Photium exstiterunt. Item ut gens Rhutenorum sit Christiana facta. Item de patriarcha Stephano, qui Photio successit, et schismate propter ipsum Stephanum exorto. Insuper de quatuor conjugiis imperatoris Leonis Sapientis, et schismatibus synodisque ea de causa habitis. Item de Nicolao et Euthymio patriarchis Constantinopolitanis, rebusque sub eis actis. Postremo, ut Leo sapientissimus imperator sit mortuus.

Et hæc quidem accuratius clariusque toti operi præmittere voluimus, eo consilio, ut animis lectorum propositum argumentum eo perspectius esset. Ne cui autem historiam nostram depravere **43** facile esset (consueverunt enim multi aliena scripta ex arbitrio suo, prout eis est visum, digerere atque disponere) primas sive capitales litteras tomorum, qui quidem tomi annorum suorum numerum quisque expressum continent, ita posuimus, ut certioris fidei gratia nomen et cognomen nostrum referant atque complectantur. Quamobrem peto, si quæ a nobis per totum hoc opus recte sunt exposita, ut ea extra invidiam sint collocata, quæ optimis quibusque rebus præcipue imminere consuevit. Sin vero in aliquibus ignorantia lapsi sumus, ea ut ab aliis qui et doctrinæ et eloquentiæ, atque etiam experientiæ virtute pollent, corrigantur. In juvenili enim ætate opus hoc conscribere aggressi sumus, idemque nondum sextum et tricesimum annum egressi perfecimus. Quandoquidem autem abunde omnia ea quæ opus esse putavimus, hucusque præfati sumus, agedum divini Numinis ductu rem ipsam, unde maxime convenit, ordiamur : in primis historiæ nobis firmamentum, ipsam scilicet veritatem, consectandam proponentes.

κολάου τοῦ πάπα γεγενημένα· καὶ ὡς ἐσφάγη Βάρδας ὁ Καῖσαρ, καὶ ὁ αὐτοκράτωρ ἀνῄρηται Μιχαήλ.

Τοῦ δὲ εἰκοστοῦ τρίτου ἡ περίληψις ἔσται Βασίλειος ὁ Μακεδὼν καὶ οἱ παῖδες αὐτοῦ, Λέων ὁ Σοφὸς καὶ Ἀλέξανδρος· καὶ τὰ ἐπὶ τούτων τῇ Ἐκκλησίᾳ συμβάντα· καὶ αὖθις κατὰ Φώτιον καὶ Ἰγνάτιον· καὶ τὰ περὶ τῆς λεγομένης ὀγδόης οἰκουμενικῆς συνόδου, καὶ τῶν τηνικαῦτα σκανδάλων διὰ τὸν Φώτιον· καὶ ὅπως τὸ ἔθνος τῶν Ῥὼς τὸν Χριστιανισμὸν παρεδέξατο· καὶ περὶ τοῦ μετὰ τὸν Φώτιον πατριάρχου Στεφάνου, καὶ τοῦ δι' αὐτοῦ σχίσματος· ἔτι δὲ καὶ τῆς τετραγαμίας τοῦ βασιλέως Λέοντος τοῦ Σοφοῦ, καὶ τῶν δι' αὐτὴν γενομένων σχισμάτων τε καὶ συνόδων· περί τε Νικολάου καὶ Εὐθυμίου τῶν τῆς Κωνσταντίνου πατριαρχῶν· καὶ τὰ ἐπὶ τούτοις· καὶ ὡς ἀπέβιω Λέων ὁ σοφώτατος βασιλεύς.

Ταῦτα μὲν ἐς τὸ ἀκριβὲς προδιωρισάμεθα, ἠρημένοι τὴν τῶν ἀναγινωσκόντων διάνοιαν ἐκ τοῦ σχεδὸν τὴν τῆς ὑποθέσεως πρόθεσιν εὐσύνοπτον ἔχειν· ἵνα δὲ μή τινι ἐξῇ λυμαίνεσθαι τῷ συγγράμματι· εἰώθασι γὰρ οἱ πλεῖστοι τὰς ἀλλοτρίας πραγματείας διασκευάζειν πρὸς τὸ δοκοῦν· τὰς μὲν τῶν τόμων ἀκροστιχίδας τῷ ἐμῷ προησφαλισάμην ὀνόματί τε καὶ ἐπωνύμῳ (1), διὰ πάντων χρόνων ἐτῶν συγκλειόντων. Καὶ τοίνυν αἰτῶ, ἃ μὲν καλῶς ὑπηγόρευται παρ' ὅλην τὴν συγγραφὴν, μὴ μετεχέτω φθόνου, ὃς τοῖς καλοῖς πρὸ τῶν ἄλλων ἐπιφύεσθαι εἴωθεν· ἃ δὲ ἀγνοῆσαι συνέπεσε, παρὰ τῶν οἷς λόγου δύναμις καὶ πεῖρα, διορθωτέον· νέοι γὰρ ὄντες ἡμεῖς καὶ μήπω ἕκτου καὶ τριακοστοῦ τῆς ἡλικίας ἐπιβάντες ἐνιαυτοῦ, ἡνίκα τῇ πραγματείᾳ ἑαυτοὺς ἐκδεδώκαμεν, τὸ προκείμενον διηνύσαμεν. Ἐπεὶ δ' ἀποχρώντως ὅσα γε προσῆκον εἶναι λελόγισται προεθέμεθα, τῆς θείας ἡγουμένης ῥοπῆς, κατάρξομαί γε τῆς ὑποθέσεως ὅθεν ἄρχεσθαι ἄμεινον, πρὸ πάντων τὸ τῆς ἱστορίας τιμῶν ἀσφαλὲς, τὴν ἀλήθειαν.

CAPUT II.

De vetustate nostræ Christianæ religionis, et de divinitate atque æternitate Filii; et ut ante legem, et post legem latam, sanctis et piis viris mysterium de divinitate Christi perspectum fuerit.

Res Christianorum a prima sua origine repetere, qui sint, unde, et quomodo tanta ceperint incrementa, eoque magnitudinis et gloriæ pervenerint, intempestivum, atque adeo supervacuum esse puto, ut in præsentia de eis perquiratur : cum sacra oracula et acta, innumerabilesque aliæ ex ordine res, aperte satis et accurate declarent, longissime ante, et ab initio, cumque ipsis conditi mundi principiis, dogma nostrum una esse jactum et fundatum, seu

ΚΕΦΑΛ. Β'.

Περὶ τῆς ἀρχαιότητος τοῦ καθ' ἡμᾶς τῶν Χριστιανῶν δόγματος, καὶ περὶ θεολογίας καὶ ἀϊδιότητος τοῦ Υἱοῦ· καὶ ὡς τοῖς πρὸ τοῦ νόμου καὶ ἐν τῷ νόμῳ θεοφιλέσι τὸ κατὰ Χριστὸν προέγνωστο μυστήριον.

Τὸ μὲν οὖν τὰ Χριστιανῶν ἀρχαιολογεῖν, τίνες ὄντες, καὶ ὅθεν, καὶ ὅπως ἐπὶ τόσον τὸ κατ' αὐτοὺς ἐπιδέδωκε, καὶ εἰς τόδε προελήλυθε δόξης, ἄκαιρόν τε καὶ ἄλλως περιττὸν οἶμαι τῷ παρόντι διερευνᾶσθαι, τῶν ἱερῶν λογίων καὶ πράξεων, καὶ μυρίων ἄλλων τῶν καθεξῆς, διαῤῥήδην ταῦτα μετ' ἀκριβείας διεξιόντων, ὡς ἄνωθέν τε καὶ ἐξαρχῆς, καὶ ὁμοῦ ταῖς τοῦ κύσμου κρηπῖσι, τὸ ἡμέτερον δόγμα συγκατεβλήθη· μᾶλλον δὲ καὶ χρόνου ἐπέκεινα καὶ

(1) Primæ decem et octo tomorum istorum litteræ, ακροστιχίδες compositæ, nomen auctoris in Græco exemplari exprimunt, Νικηφόρου Καλλίστου.

αἰῶνος ἦν · εἴ γε χρὴ πρὸς τὸν ἀρχηγὸν τῆς πί- A
στεως ἡμῶν ἀφορᾷν Θεὸν Λόγον, τὸν Κύριον ἡμῶν
Ἰησοῦν Χριστόν. Διττοῦ γὰρ ὄντος τοῦ κατ' αὐτὸν
μυστηρίου, καὶ τοῦ μὲν οἱονεί τινος κεφαλῆς
ἐγνωσμένου, ὅσα γε περὶ τὴν ἄναρχον αὐτοῦ καὶ
προαιώνιον γέννησιν ἀνατρέχει · τοῦ δὲ, ὡς ἄν τις
εἴποι, ὑστέρου καὶ τελευταίου, ὅσα περὶ τὴν κάτω
καὶ ἐν ὑστέρῳ τῶν χρόνων ἐκ παρθένου σάρκωσιν,
περίγειόν τε πολιτείαν καὶ ἀγωγήν · τὰ μὲν πρῶτα
λέγειν τε καὶ διακριβολογεῖσθαι ἥκιστά γε προσῆ-
κον παρέστη · περὶ γὰρ ἐκείνων εἴ τις ἐπεξίοι, ὁ
λόγος πάρεργον ὤν, πλέον ἂν ἔργον ἢ ὧν ἕνεκα
λέγειν προὔθετο παράσχοι. Ἐπεὶ γὰρ οὐ χρόνῳ,
ἀλλ' οὐδ' αἰῶνι μεσίτῃ ἐκείνοις γενέσθαι ξυνέπε-
σεν, οὐδέ τινι παρεῖναι καὶ θεᾶσθαι καὶ διηγεῖσθαι
ἐξεχωρήθη τὰ ὑπὲρ ἔννοιαν δρώμενα, ταῦτα μὲν τῷ
ἀκινδύνῳ τῆς σιωπῆς τιμᾶν ἐπαφήσομεν · μᾶλλον B
δὲ μηδὲ πολυπραγμονεῖν ταῖς ἐννοίαις ἡμῶν τὰ
τοιαῦτα σφοδρῶς ἐπιτάξομεν, ἅτε νοῦ καὶ λόγου καὶ
διανοίας ὑπέρτερα · ἡμῖν δ' ἀπόχρη μόνα τὰ ἐκ
τῶν θείων παράγειν Γραφῶν · ὡς, Ἐν ἀρχῇ ἦν ὁ
Λόγος· καὶ Λόγος ἦν πρὸς τὸν Θεόν· καὶ Θεὸς
ἦν ὁ Λόγος. Πάντα δι' αὐτοῦ ἐγένετο · καὶ
χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν, ὃ γέγονε · καὶ
ὡς ὢν ἀεὶ Θεὸς, ὁ ἄναρχός τε καὶ προαιώνιος, ὡς
ἐκείνῳ μόνῳ γνωστὸν, πρὸ τῶν αἰώνων γεννᾷ τὸν ἑαυ-
τοῦ Γιὸν τὸν ἀληθῆ Θεὸν Λόγον ἀνεννοήτως, ἀκατα-
λήπτως, ὑπὲρ πάντα νοῦν καὶ διάνοιαν · σύναμα δὲ
καὶ τὸ πανάγιον αὐτοῦ Πνεῦμα προβάλλεδ' οὐ γεννη-
τως, ἀλλ' ἐκπορευτῶς · Θεὸν καὶ αὐτὸ τέλειον ὁμοού-
σιόν τε τούτοις καὶ ταυτοδύναμον · τὰ τρία ἓν · μία
φύσις καὶ οὐσία καὶ δύναμις · μεθ' ὧν καὶ δι' ὧν τάς C
τε ἀγγελικὰς δυνάμεις καὶ τὸν κόσμον τοῦτον πα-
ράγει τε καὶ δημιουργεῖ μὴ πρότερον ὄντα · καὶ
τὸ ὁριώμενον σύμπαν · τό τε ψυχῇ καὶ μὴ χρώ-
μενον.

potius ultra tempora et sæcula omnia id exstitisse, si quidem ad auctorem et ducem professionis et fidei nostræ Deum Verbum Dominum nostrum Jesum Christum respicere oporteat. Quandoquidem enim duplex considerandum venit mysterium, et alterum quidem tanquam quoddam caput contemplamur, quod scilicet ad æternam, principio carentem, sæculaque omnia præcedentem generationem refertur; alterum autem quasi posterius quiddam, ut ita dicam, et ultimum spectamus, quod nimirum ad inferiorem hanc et postremis temporibus 44 ex Virgine incarnationem factam, terrenamque conversationem et vitam pertinet : prius illud exponere, et accurotius oratione persequi minime omnium convenit. De eo enim si quis disserere instituat, cum oratio talis extra propositum opus sit, tum plus operæ et negotii quam opus ipsum, et ea de quibus tractare decreverimus, exhibeat. Siquidem, cum neque tempus, neque sæculum ei mysterio intercesserit, et proinde neque adesse illi, neque contemplari et eloqui id quod supra intelligentiam nostram est, concessum sit, quidquid id est, tuto silentii præmio permittemus : ac potius ingeniis nostris, ne in talibus rebus curiositatem nimium exerceant, imperabimus, utpote sensu, ratione, et acumine mentis nostræ longe superioribus. Nobis vero satis fuerit sola e divinis Scripturis adducere testimonia ; ut : *In principio erat Verbum, et Verbum erat apud Deum, et Deus erat Verbum. Omnia per ipsum facta sunt, et sine ipso factum est nihil, quod factum est* [1]; et insuper scire, quod Deus semper exsistens, principioque carens, et sæcula præcedens, ita ut ipsi soli cognitum est, ante ipsa sæcula gignit suum ipsius Filium, verum Deum Verbum, supra omnis intelligentiæ et deprehensionis captum, et supra mentis sensum et cogitationem, cognitionemque omnem : simulque sanctissimum suum profert Spiritum, non ut genitum illum, sed ut procedentem : Deum et ipsum perfectum atque consubstantialem illiis, et ejusdem plane virtutis et potestatis. Et quod tres isti unum sunt, una natura et essentia et potestas, cum quibus et per quos simul et angelicas potestates et mundum hunc universum produxit et condidit, cum is antea non, exstiterit ; et præterea id quod in visum cadit conspiciturque omne, quodque anima agitatur, et quod anima caret (1).

Περὶ μὲν δὴ τοῦ ἄνω γένους Χριστοῦ τοῦ τῆς D
πίστεως ἡμῶν ἀρχηγοῦ, καὶ τῆς ἀξίας τούτου καὶ
φύσεως, τοσαῦτά μοι λελέχθω. Τίς γὰρ ἂν αὐτάρ-
κης ἐκείνοις γένοιτο λόγος, καθὰ δή που καὶ ὁ θεῖος
ὑποφαίνει χρησμὸς, Τὴν δὲ γενεὰν αὐτοῦ, λέγων,
τίς διηγήσεται; Οὐδὲ γάρ τις τὸν Πατέρα κατ'

Atque hæc quidem de superno Christi, persuasionis et fidei nostræ principis, genere, ipsiusque sublimi dignitate et natura, nobis dicta sufficiant. Quæ enim rebus tantis explicandis idonea suppeditet oratio? pro eo atque divinum id quoque ostendit oraculum : *Generationem vero ejus*, inquiens,

[1] Joan. I, 1, 3.

(1) Totus et lingua et mente et cogitatione horreo, quando de Deo verba facio. De Deo autem cum dico, unum vos circumfulgeat lumen, et tria. Tria quidem, juxta proprietates sive subsistentias seu personas : unum vero, secundum rationem essentiæ sive deitatis. Distinguitur enim inseparabiliter, et coagmentatur separabiliter. Unum namque in tribus Deitas ipsa, et ipsa tria unum, in quibus Deitas, seu quæ Deitas sunt. (Greg Theologus.) Unus Deus, tres personæ, una essentia, potentia, sapientia, bonitas, una et indivisa Trinitas. Deus, Dominus, Paracletus, Genitor, genitus, regenerans. Ab uno omnia. A quo, per quem, in quo omnia. Unus a se, unus ad uno, unus ab ambobus, ὃν a se, ὃν ab altero, ab utroque. Pater, Filius, Spiritus Sanctus. Una pater, Λόγος, Παράκλητοςque, essentia, una virtus, una beatitudo : a quo, per quem, et in quo beata sunt omnia, quæcunque beata sunt (Augustinus).

quis enarrabit[2] ? Neque enim quispiam Patrem, pro eo atque decet, satis cognoverit, præterquam Filius neque rursum Filium, præterquam qui illum genuit Pater. Ad quem, ut est apud veterem Mosen, loquens Pater in creatione universi hujus : *Faciamus*, inquit, *hominem ad imaginem nostram et similitudinem*[3]. Hunc ipsum sane, quicunque virtute et in Deum pietate aliis præstare primis temporibus dicti sunt, ut Abraham et Moses, **45** et insuper quicunque ante et post eos justi morum mutatione fuerunt prophetæ, et alii Deo placiti et grati homines, mentis oculis sincere et clare contemplati, prolixe cognoverunt, et tanquam germano Dei Filio præstantissimum pietatis honorem tribuerunt. Ille porro persuasionem fidemque ejusmodi remunerans, et Patris et sui cognitionem perfectiorem absolutioremque illis adauxit. Est quippe vetus oraculare verbum, neminem eorum qui antiquitus Deo placuerunt, sine fide in Christum finem vitæ consecutum esse. Siquidem per conjecturam id colligere licet, ex multifariam visionibus quam alias aliis accumulavit, pro eo atque eas quisque ferre potuit. Atque equidem in hominis specie ipsi Abrahæ frequentius, progenitisque ex eo apparuisse creditur, quandoque per se ipsum, quandoque per administros suos angelos, oraculis eos admonens, et docens de rebus optimis. Quod quidem cuivis vel inde facile est existimare et credere. Angelum enim Dominum, vel etiam Deum appellare, consuetudo Scripturæ non est : sed ita simpliciter, nudo scilicet nomine, angelum : illum vero semper insignibus et excellentibus extollit et celebrat nominibus, Deumque et Dominum aperte et clare vocat. Itaque Verbum, quod colimus (1), æternum, et sæculis temporibusque universis antiquius fuisse, et veteribus olim, etsi non omnibus, quibusdam tamen, in mysterio apparuisse, paucis hisce dictum esse satis sit.

ἀξίαν γνοίη εἰ μὴ ὁ Υἱός · ἀλλ' οὐδὲ τὸν Υἱὸν ἄνθις, εἰ μὴ ὁ γεννήσας Πατήρ · πρὸς ὃν κατὰ τὸν πάλαι Μωσέα κοινολογούμενος ὁ Πατὴρ τῇ παραγωγῇ τοῦ παντὸς τοῦδε, Ποιήσωμεν, φησὶν, ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν. Τοῦτον μὲν οὖν καὶ ὅσοι ἀρετῇ καὶ θεοσεβείᾳ τῶν ἄλλων διενεγκεῖν λέγονται ἄνωθεν, οἵ τε περὶ τὸν Ἀβραὰμ φημι καὶ Μωσέα, καὶ ὅσοι γε πρὸ ἐκείνων καὶ μετ' ἐκείνους δίκαιοι τῷ ἐξηλλαγμένῳ τῶν τρόπων γεγένηνται, προφῆται καὶ ἄλλως εὐάρεστοι, ὅμμασι διανοίας ἀκραιφνῶς φαντασθέντες, λαμπρῶς ἔγνωσαν · καὶ οἷα Θεοῦ παιδὶ γνησίῳ, γέρας ἐξαίσιον εὐσεβείας ἀπένειμαν. Ὁ δ' αὖ τῆς πίστεως ἀμειβόμενος τὴν Πατρικήν τε καὶ αὐτοῦ γνῶσιν, ὡσανεὶ ἐντελεστέραν, προστιθεὶς ἦν · καί γε λόγος ἀρχαῖος αἱρεῖ μηδένα τῶν ἄνωθεν εὑρεστηκότων Θεῷ δίχα τῆς εἰς Χριστὸν πίστεως τὸ τοῦ βίου πέρας κληρώσασθαι · εἴ γε τοῦτο τεκμηριώσασθαι ἔξεστιν, οἷσ διαφόρους πληθύνων ὁράσεις, πρὸς ὅπερ φέρειν ἕκαστος οἷός τε ἦν, καὶ ἐν ἀνθρώπου σχήματι ὤφθαι τῷ τε Ἀβραὰμ διαφόρως καὶ τοῖς ἐξ ἐκείνου πιστεύεται, καὶ ποτὲ μὲν δι' ἑαυτοῦ, ποτὲ δὲ διὰ τῶν λειτολργῶν αὐτοῦ ἀγγέλων χρηματίζων τὰ κρείττονα. Ὡς ῥᾴδιον εἶναι παντί τῳ καὶ τοῦτο ἐντεῦθεν πιστώσασθαι. Τὸν μὲν γὰρ ἄγγελον οὐ Κύριον, οὐδὲ μὴν Θεὸν προσαγορεύειν ἔθος ἐστὶ τῆς Γραφῆς · ἀλλ' ἁπλῶς οὕτως ἄγγελον ψιλῷ καλεῖ τῷ ὀνόματι · ἐκεῖνον δ' ἀεὶ σεμνοῖς καὶ ὑπερδεβηκόσιν ἐξαίρει ὀνόμασι, καὶ Θεὸν καὶ Κύριον ἀριδήλως κατονομάκουσα. Ὡς μὲν οὖν προαιώνιος ὁ καθ' ἡμᾶς Λόγος, καὶ τῶν αἰώνων πάντων καὶ χρόνων ἀρχαιότερος, καὶ ὡς τισὶ τῶν παλαιτέρων μυστικώτερον ὤφθη, εἰ καὶ μὴ σύμπασιν, αὐτάρκως εἰρήσθω.

CAPUT III.

Quam ob causam non olim Salvator Christus, sed in postrema temporum ætate, hominem assumpserit : et de perpetuo et sempiterno ejus regno.

Minime vero mirari oportet, non dudum antea, ita ut nunc, omnibus hominibus et gentibus Christum innotuisse. Doctrina enim Christi omnium consummatissima atque perfectissima, omnique sapientiæ et virtutis genere absolutissima, non **46** apta, opportuna et congruens omnino veterum hominum vitæ et moribus fuit. Quandoquidem a primis statim initiis, qui incorruptibilem seniique expertem et beatam vitam acceperat, primus videlicet homo, et generis nostri auctor, minimum dati præcepti memor, immortalem fatali commutavit vita. Qui vero ex eo sunt progeniti, longe deteriores, uno atque altero excepto, agrestem quamdam, feram et prope belluinam omnes, appetitionum suarum impetu ducti, egerunt vitam. Non itaque illi urbes incoluere, non artibus aut

ΚΕΦΑΛ. Γ'.

Δι' ἣν αἰτίαν μὴ ἄνωθεν ὁ Χριστὸς ἐνηνθρώπησεν, ἀλλ' ἐν ὑστέρῳ τῶν χρόνων καιρῷ · καὶ περὶ τῆς ἀϊδίου καὶ αἰωνίου βασιλείας αὐτοῦ.

Ἥκιστα δὲ θαυμάζειν χρὴ, ὅτι μὴ ὥσπερ νῦν, ἐκ πολλοῦ ἀνθρώποις πᾶσι καὶ ἔθνεσιν ἐγνωρίζετο · ἡ γὰρ πάσης ἀκριβείας καὶ τελειότητος πάνσοφος καὶ πανάρετος τοῦ Χριστοῦ διδασκαλία οὐχ οἵα τ ἦν τῷ πάλαι τῶν ἀνθρώπων βίῳ, καὶ μάλιστά γε προσήκουσα · καὶ γὰρ ἐκ προοιμίων εὐθὺς, ὁ τὴν ἀγήρω καὶ μακαρίαν ζωὴν εἰληφὼς, ὁ πρῶτος ὀηλαδὴ ἄνθρωπος, καὶ τοῦ γένους ἡμῶν ἀρχηγὸς, ἐλάχιστα τῆς δεδομένης ἐντολῆς φροντίσας, ἀντὶ τῆς ἀθανάτου τὴν ἐπίκηρον ἠλλάξατο βιοτήν. Καί γε οἱ ἐξ ἐκείνου πολὺ χείρους γενόμενοι, πλὴν ἑνός που καὶ δύο, ἀγριόν τινα καὶ θηριώδη σχεδὸν πάντες ἐπανῄρηντο βίον, οἵστρῳ τῶν ἰδίων ὀρέξεων ἐκφερόμενοι. Οὐ τοίνυν πόλεις ᾤκουν, οὐ τέχνην, οὐκ ἐπιστήμας μετῄεσαν · πολλοῦ γε μὴν ἐκείνοις ἔδει νόμων τε καὶ θείων δικαιωμάτων. Ἀρετή τε καὶ

[2] Isa. LIII, 8. [3] Gen. I, 26.

(1) Hoc exquisite et luculenter in *Tryphones* suo tractat S. Justinus.

φιλοσοφία παρ' αὐτοῖς οὐδὲ μέχρις ὀνόματος ἐγνωρίζετο. Νομάδες δὲ τινες ἐπ' ἐρημίας διῆγον, τὰ μὲν ἐνσπαρέντα τῇ φύσει λογικὰ σπέρματα διαφθείροντες, κακίαν δὲ πᾶσαν ἐξ αὐτοπροαιρέτου γνώμης ἀναπλαττόμενοι, σύμπαν, ὅπερ χείριστον αὐτοῖς, ἀδεῶς διεπράττοντο· ὡς ποτὲ μὲν φθοραῖς τε καὶ φόνοις τοῖς κατ' ἀλλήλων ὁπλίζεσθαι, ὁτὲ δὲ θεομαχεῖν αἱρεῖσθαι, καὶ τολμᾷν ἐπιτειχίζειν γῇ οὐρανῷ, κἀκείνῳ προσαράσσειν τὴν κεφαλήν· καὶ ἐπὶ τόσον κατ' αὐτῶν ἐγείρειν τὴν ἄμαχον δύναμιν μετιοῦσαν τὸ αὔθαδές τε καὶ ἄκαρπον, καθά τινα ὕλην ἀγρίαν κατὰ πάσης κεχυμένην τῆς γῆς· ὡς ποτὲ μὲν Θεὸν ὑπερβολαῖς ὑδάτων τούτους ἀμύνεσθαι, ἄλλοτε δὲ πυρὸς ὀχετοῖς καὶ κεραυνῶν ἀνημέροις βολαῖς ἀναστέλλειν πειρᾶσθαι τὴν ἐκείνων τῆς κακίας ἄσχετον ῥύμην, λιμοῖς τε ὁμοῦ καὶ λοιμοῖς, εἴδεσί τε διαφόρων πολέμων, πρὸς τὴν τῶν κακῶν ἀνάλογον κίνησιν χρώμενον, καὶ ὡς οἷον αἰπεῖν, τὴν οὕτως ἀπηνῶς ἐπινεμομένην τῶν ψυχῶν νόσον, καὶ δεινῶς ἕρπουσαν, δραστικωτέροις κολαστηρίοις ἀνακαθαίροντα.

A doctrinis scientiisque ingenia excoluere, longe etiam a legibus devinisque cultibus et justificationibus abfuere. Virtus porro et philosophia ne de nomine quidem apud eos notæ fuere : sed perinde atque quidam nomades, palantes in solis locis vixere, et insita sibi a natura rationis semina corrumpentes, ac vitiositatem malitiamque omnem ex liberi arbitrii sententia refingentes, quidquid esset pessimum, timore deposito peregere : usque adeo, ut quandoque quidem ad mutuas cædes et homicidia inter se armati consurgerent, aliquando vero Deo bellum inferre inciperent, superque terram munitiones et muros construere adversus cœlum et caput ad id illidere, ac in tantum denique inexpugnabilem vim et potentiam in se provocare B atque excitare auderent, ut ad coercendam eorum simul et præfractam temeritatem, et inane inutileque cœptum, tanquam perniciosam nocentis herbæ sylvam per universam terram effusam, Deus nunc immensis aquarum diluviis vindicare, nunc horrendis ignis imbribus compescere, et violentum malignitatis eorum impetum reprimere aggrederetur : et præterea fame simul et peste, et variis bellorum generibus ad indecentem et importunam malorum molitionem tollendam uteretur : tantamque animorum (ut ita dicam) luem impune omnia depascentem, graviterque invalescentem, efficacioribus repurgaret remediis et pœnis.

Ὀπηνίκα τοίνυν ὁ τοσοῦτος τῆς κακίας κάρος κατὰ πάντων σχεδὸν ἐπεχεῖτο οἷά τις μέθη δεινὴ, τὰς σφῶν ἐπισκοτοῦσα ψυχὰς, αὐτὸς ὁ πανάγαθος τοῦ Θεοῦ Λόγος ὑπερβολαῖς τῆς οἰκείας ἠττημένος χρηστότητος, τῷ τε φυσικῷ νόμῳ, ἄλλοτε δ' ἀγγέλων ἐπιστασίαις, ὁτὲ δὲ καὶ δι' ἑαυτοῦ μυστικαῖς τισιν ἐπιφανείαις τῶν πάλαι περιβοήτων ἐν θεοφιλίᾳ ἀνδρῶν ὀλίγοις που ἐπεφαίνετο, ἀνθρώπου μορφὴν C ὑπιών· ὅτι γε μὴτ' ἄλλως ἦν ὁρᾷν αὐτοῖς ἐφικτόν. Ὡς δ' ἀρκούντως οὕτω διὰ τῶν θείων ἐκείνων ἀνδρῶν τὰ τῆς θεοσεβείας εἰς πολλοὺς κατεβάλετο σπέρματα· ἔθνος τε θεοσεβείᾳ προσανέχον, ἐκ τοῦ κατὰ βραχὺ ὁλόκληρον ὑπέστη καὶ ἐγνωρίζετο· ὡς εἰς ῥίζαν ἀναφέρον βλάστης τὸν Ἀβραὰμ, τοῦτο μὲν ὡσανεὶ ταῖς πάλαι καὶ πρὸ βραχέος διαίταις καλῶς ἐντεθραμμένον, νόμῳ τῷ διὰ Μωσέως οἷά τινι χειραγωγῷ πρὸς μεῖζονα θεοσέβειαν ἐγχειρίζει· σύμβολά τε καὶ εἰκόνας Σαββάτου καὶ περιτομῆς, καί τινας ἑτέρας εἰσαγωγὰς θειοτέρων νοημάτων καὶ μυσταγωγίας παραδεικνύει, οὐκ ἐναργεῖς μέντοι, ἀλλ' ἀμυδράς τε καὶ σκιώδεις καὶ ταύτας παραδιδούς. Ὡς δ' ἐντεῦθεν πανταχόθεν τούτου διαδοθέντος, ἐκ τοῦ ἀπηνοῦς ἐκείνου καὶ ἀγρίου βίου ἠρέμα D μετερρυθμίζοντο, φιλοσοφεῖν τε ἐπέβαλον, καὶ πρὸς ἀλλήλους φιλίας τε καὶ ἐπιμιξίας ἔχειν κατήρχοντο· τῷ παιδαγωγῷ νόμῳ οἷά τινι κανόνι χρώμενοι καὶ ἐκπαιδευόμενοι· καὶ πρό γε πάντων ἔμπεδος ἡ τοῦ Θεοῦ Πατρὸς γνῶσις ἐκείνοις κατερρίζοῦτο . δεξιοί τε καὶ ἐπιτήδειοι καὶ πρὸς παραδοχὴν μειξόνων σπερμάτων θεογνωσίας ὡσανεὶ ἦσαν· τηνικαῦτα ὁ αὐτὸς πάλιν τῶν πρώτων τῆς ἀρετῆς σπερμάτων καταβολεὺς, ὁ τοῦ Θεοῦ Λόγος ὁ ἄναρχός τε καὶ προαιώνιος· ἐπεὶ μηδ' ἄλλως ἦν ἐγχωροῦν τὸ ἡμέτερον τῆς ἐπικεχυμένης καθάπαξ ἀπαλλαγῆναι ἀρᾶς· καὶ πρὸς

Posteaquam igitur tanta malignitas, vitiorumque omnium gravedo, perinde atque damnosa quædam ebrietas, per omnes fere est grassata, caliginemque eorum animis offudit, ipsum omnium optimum Deo Verbum, magnitudine bonitatis propriæ coactum, nunc per naturæ legem, nunc per angelorum adventum et præsentiam, quandoque etiam per se ipsum mysticis quibusdam et arcanis apparitionibus, paucis quibusdam qui antiquibus pietate et amore Dei clari exstiterunt viris, alicubi se exhibuit, hominis forma assumpta : quod 47 aliter id ipsis aspicere concessum non esset. Cum porro satis ad eum modum per divinos illos viros in multos homines pietatis cultusque Dei conjecisset semina, et gens tali cultui dedita paulatim in dies magis magisque in unum coalesceret corpus, et quasi germen quoddam radice sua, Abrahamo niti cognosceretur : ei genti quæ et antiquitus, et non ita pridem vita et moribus rite exculta esset, legem per Mosen, perinde atque quemdam ducem et manuductorem, ad præsentiorem pietatem, Deique cultum tradidit : symbola et signa, figurasque et imagines Sabbati et circumcisionis, et alia quædam elementa seu principia divinorum consiliorum et contemplationum, mysticasque præterea cæremonias, non apertas illas et claras, sed obscuras, tenues et umbratiles illis ostendens, et præbens. At ubi deinceps lege ubique divulgata, ex dura illa et agresti vita homines paulatim ad humanitatem sunt exculti et ad philosophandum animum adjecerunt, invicemque amicitias colere, et consuetudinem inter se habere cœperunt (pædagogo et doctore lege quasi regula utentes, seque erudientes) atque in primis firmior stabilior-

que Dei Patris notitia apud eos radices egit, aptique jam et idonei tanquam ad semina majora Dei cognitionis suscipienda fuerunt : tum idem illud rursum, quod antea virtutis semina severat, Dei Verbum principii expers, sæculaque præcedens, quandoquidem aliter fieri non potuit, ut hominum genus tandem prorsus ab infusa ei liberaretur exsecratione et pernicie, et ad immortalem illam atque beatam reduceretur vitam, postremis temporibus, Romanorum imperio orbem obtinente, natura et conditione nostra accepta, nulla re a nostra (fatalibus duntaxat peccati inquinamentis exceptis) differente, ea et fecit et perpessum est, quæ æquum erat Deum facere corpore, in hac vita, peregre versantem. In qua ille nativitatem mirificam, opinionemque omnem excellentem, conversationemque insolitam, et doctrinam novam omnique naturæ miraculo superiorem mortem et sepulturam et resurrectionem redivivam exhibuit. Quæ omnia sigillatim vaticiniis prophetarum prædicta fuerant et promulgata. Quemadmodum et regnum ejus in fine sæculi divinus Daniel spiritu liberiore et puriore perspexit, et hisce verbis humano more visionem eam descripsit : *Spectabam* inquiens, *donec throni ponerentur, et Antiquus dierum consedit* [4]. Et commemorans res ipse suas, **48** infert rursus : *Judicium consedit, et libri aperti sunt.* Et deinceps : *Spectabam*, inquit, *et ecce cum nubibus cœli tanquam filius hominis veniens, et usque ad Antiquum dierum pervenit, et in conspectum ejus adductus est, et ipsi traditus est principatus et robur et regnum, et omnes populi tribus et linguæ servient ipsi. Potestas ejus potestas sempiterna, quæ non præteribit, et regnum ejus non corrumpetur* [5]. In quem vera alium hæc quadrent, quam prorsus in Servatorem nostrum Christum, hominis filium, propter postremam ipsius per assumptam carnem humanitatem, per oraculum propheticum nominatum?

A τὴν ἀγήρω καὶ μακαρίαν ἐκείνην ἐπανελθεῖν βιοτήν· ἐπ' ἐσχάτων τῶν ἡμερῶν, τῆς Ῥωμαίων βασιλείας ἀρχομένης, τὴν ἡμετέραν φύσιν ἀναλαβών, κατὰ μηδὲν διαλλάττουσαν τῶν ἐπικήρων κηλίδων, τοιαῦτα ἔδρασέ τε καὶ ἔπαθεν, ὅσα ἦν εἰκὸς Θεὸν δρᾶν μετὰ σώματος τῷ βίῳ ἐπιδημήσαντα· γέννησίν τε παράδοξον προβαλλόμενον, ἀήθη τε βιοτὴν καὶ ξένην διδασκαλίαν, ὑπερφυᾶ τε αὖθις νέκρωσιν καὶ ταφὴν καὶ ἀνάστασιν· ἃ δὴ πάντα κατὰ μέρος πάλαι ταῖς προφητείαις ἀνεκηρύττετο· ὡς δὴ καὶ τὴν ἐπὶ τέλει βασιλείαν οὐτοῦ ὁ θειότατος Δανιὴλ τῷ νοερῷ πνεύματι κατιδών, οὑτωσί πως τὴν θεωρίαν ἀνθρωπικώτερον ὑπογράφει, Ἐθεώρουν, λέγων, ἕως οὗ θρόνοι ἐτέθησαν· καὶ Παλαιὸς ἡμερῶν ἐκάθισε. Καὶ διεξιὼν τὰ περὶ αὐτοῦ, ἐπιφέρει αὖθις, Κριτήριον
B ἐκάθισε, καὶ βίβλοι ἠνεῴχθησαν. Καὶ ἐξῆς, Ἐθεώρουν, φησὶ, καὶ ἰδοὺ μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ, ὡς υἱὸς ἀνθρώπου ἐρχόμενος· καὶ ἕως τοῦ Παλαιοῦ τῶν ἡμερῶν ἔφθασε· καὶ ἐνώπιον αὐτοῦ προσηνέχθη· καὶ αὐτῷ ἐδόθη ἡ ἀρχὴ καὶ ἡ τιμὴ καὶ ἡ βασιλεία· καὶ πάντες οἱ λαοὶ, φυλαὶ, γλῶσσαι, αὐτῷ δουλεύσουσιν· ἡ ἐξουσία αὐτοῦ ἐξουσία αἰώνιος, ἥτις οὐ παρελεύσεται· καὶ ἡ βασιλεία αὐτοῦ οὐ διαφθαρήσεται. Τίνι δ' ἂν ἄλλῳ ταῦτ' ἐφαρμόσειεν ἢ πάντως τῷ ἡμετέρῳ Σωτῆρι Χριστῷ, ἀνθρώπου υἱῷ διὰ τὴν ὑστάτην αὐτοῦ ἐνανθρώπησιν χρηματίσαντι;

CAPUT IV.

Quod nomina Dei, ejusdemque hominis Verbi, Christus scilicet et Jesus, longe antea ab ipso usque Mose symbolice, et sub certis indiciis in honore et pretio fuerint : propterea et sacerdotes ipsi, et reges, et prophetæ, Christi, per adumbrationem quamdam sunt dicti.

Reliquum est ut demonstremus, ipsum æternum principioque carentem Deum Verbum non solum antiquitus piis, Deoque charis hominibus cognitum, suoque tempore apud nos corporaliter, tanquam peregrinum versatum fuisse : verum etiam divinas ejus appellationes, Jesu scilicet, et Christi, non nobis solis, sed et veteribus prophetis in maximo habitas esse honore. Primum siquidem magnus ille Dei spectator Moses, cum imagines et symbola signaque quædam arcana et nova, juxta
D typum et figuras quæ ei in monte divinum ostenderat oraculum, instituerat, pontificem Dei fratrem suum Aaronem renuntiavit : excellentemque ei honorem, præeminentiam, et gloriam tribuens, Christum et unctum Domini pronuntiavit : et nomen id illi accommodavit, arcane per mysterium celebrans et cohonestans appellationem eam, illud-

C

ΚΕΦΑΛ. Δ'.

Ὅτι καὶ αἱ κλήσεις τοῦ θεανθρώπου Λόγου, ἡ Χριστὸς δηλονότι καὶ Ἰησοῦς, ἄνωθεν ἀπὸ τοῦ Μωσέως συμβολικῶς ἐσεμνύνοντο καὶ ἐν τιμῇ ἦσαν· διὸ καὶ οἱ ἱερεῖς, καὶ οἱ βασιλεῖς, καὶ οἱ προφῆται, Χριστοὶ σκιωδῶς ὠνομάζοντο.

Ἐξῆς δ' ἂν εἴη δεικνύναι, ὡς οὐ μόνον αὐτὸς ὁ προάναρχος Θεὸς Λόγος τοῖς πάλαι θεοφιλέσιν ἔγνωστο, καὶ ὅτε προσήκων καιρὸς καὶ τοῖς καθ' ἡμᾶς σωματικῶς ἐπεδήμησεν· ἀλλ' ὅτιπερ καὶ αἱ θειότεραι κλήσεις αὐτοῦ, ἥ τε Ἰησοῦς δηλαδὴ, καὶ Χριστὸς, οὐχ ἡμῖν μόνοις, ἀλλὰ καὶ τοῖς ἐκ παλαιοῦ προφήταις διὰ πλείστης ἦγοντο τῆς τιμῆς. Πρῶτος τοίνυν αὐτὸς ὁ θεοπτικώτατος Μωϋσῆς, εἰκόνας καὶ τινα σύμβολα καινότρρα καὶ ἀπόκρυφα παραδιδοὺς,
D κατὰ τοὺς τύπους, οὓς ἐν τῷ ὄρει ὁ χρησμῳδήσας ὑπέθετο, ἀρχιερέα Θεοῦ νὸν ἀδελφὸν Ἀαρὼν ἀναδείκνυσιν, ὑπερβάλλουσάν τε τιμὴν ἐκείνῳ καὶ προεδρίαν καὶ δόξαν διαταξάμενος, Χριστὸν Κυρίου ἀναγορεύει· καὶ τοῦτο ὄνομα αὐτῷ περιτίθησι, μυστικῶς σεμνύνων τὴν κλῆσιν, καὶ προδιαγράφων ἐκεῖνο, ὥς τι εἰῶν καὶ ἔξοχον χρῆμα ἡγούμενος. Οὐ μὴν δὲ ἀλλὰ καὶ τὴν Ἰησοῦ προσηγορίαν, αὐτὸς

[4] Dan. VII, 9. [5] Ibid. 13, 14.

αὖθις πρῶτος θείῳ Πνεύματι ἐμπνευσθείς, μήπω πρότερον τοῦτ' ἀκουσθὲν ὄνομα, τῷ τοῦ Ναυῆ μόνῳ σοφῶς περιτίθησι, γέρας ὡσανεί τι ἐξαίρετον, καὶ βασιλικοῦ διαδήματος ἐντελέστερον, τούτῳ δωρούμενος ὃν συμβολικῶς ἔγνω μετὰ τὴν ἐκείνου τελευτὴν, τὴν κατὰ πάντων ἀρχὴν ἐκδεϊόμενον. Εἰκόνα καὶ γὰρ φέρων ἦν ὁ τοῦ Ναυῆ Ἰησοῦς τοῦ Σωτῆρος ἡμῶν· ὃς μόνος μετὰ Μωσέα καὶ τὸ συμπέρασμα τῆς δι' ἐκείνου συμβολικῆς λατρείας τὴν ἀρχὴν τῆς ἀληθοῦς καὶ διαυγοῦς εὐσεβείας σαφῶς διεδέξατο. Ὁ μὲν οὖν Μωσῆς, ᾗπέρ μοι εἴρηται, διχῇ διελὼν τὰς τοῦ Σωτῆρος ἡμῶν κλήσεις, τοῖς ἐξόχως τιμῇ καὶ δόξῃ παρ' αὐτῷ δοξασθεῖσι, τῷ μὲν ἀρχιερεῖ τὴν Χριστὸς, τῷ δὲ μετ' αὐτὸν ἡγησομενῳ τὴν Ἰησοῦς ὑπερφυῶς σεμνύνων, συμβολικῶς αὐτοῖς περιέθηκε. Καὶ ἄλλοι δὲ μετ' αὐτὸν ἀριδήλως τῶν προφητῶν Χριστὸν τὸν Σωτῆρα ὠνόμασαν. Πνεῦμα γὰρ, φησὶν Ἱερεμίας, πρὸ προσώπου ἡμῶν· Χριστὸς Κύριος συνελήφθη ἐν ταῖς διαφθοραῖς αὐτῶν. Καὶ Δαβὶδ δέ φησι, Παρέστησαν οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπιτραυτὸ, κατὰ τοῦ Κυρίου καὶ κατὰ Χριστοῦ αὐτοῦ. Οἷς ἑξῆς ἐπιφέρει λέγων, Κύριος εἶπε πρός με, Υἱός μου εἶ σύ· ἐγὼ σήμερον γεγέννηκά σε. Ταῦτ' ἄρα τὸ τοῦ Χριστοῦ σεβάσμιον ὄνομα οὐ τοὺς ἱερωσύνῃ μόνον τετιμημένους τῷ σκευαστῷ κατεκόσμει ἐλαίῳ συμβολικῶς, ἀλλὰ καὶ τοὺς βασιλεῖς αὐτούς. Θείῳ γὰρ τούτους χρίοντες Πνεύματι οἷς τοῦτ' ἐπιτέτραπτο, Χριστοὺς κατ' εἰκόνα εἰργάζοντο καὶ ὠνόμαζον. Ἐπεί τοί γε καὶ αὐτοῖς πάντως ποο τύποι τινὲς ἐνῆσαν τῆς κατὰ πάντων ἀληθοῦς ἀρχῆς καὶ ἐξουσίας τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Ναὶ μὴν καὶ τῶν προφητῶν τινὰς Χριστούς γε εἶναι τῷ θείῳ Πνεύματι κατειλήφαμεν. Καὶ γάρ πως οὗτοι πάντες πρὸς τὸν μόνον ἀρχιερέα τῶν ὅλων καὶ πάσης κτίσεως βασιλέα, καὶ μόνον προφήτην ὑντα τῶν προφητῶν, τὸν Σωτῆρα Χριστὸν, τὴν ἀναφορὰν εἶχον. Ἀπόδειξις δ' ἐναργὴς τὸ μὴ τινι τῶν ἀρχιερέων καὶ βασιλέων καὶ προφητῶν, τῶν συμβολικῶς κεχρισμένων τῷ τούτου ὀνόματι, τοσαύτην προσγενέσθαι δύναμιν θεοειδοῦς ἀρετῆς, ὅσην δῆτα ὁ Κύριος ἡμῶν Ἰησοῦς καὶ ταῖς ἀληθείαις ὄντως Χριστὸς ἐπεδείξατο, οἴκοθεν ἔχων. Ἀλλ' οὐδέ τινι τῶν ἁπάντων ἐγένετο τοὺς ἐξ ἐκείνου εἰς ὑπήκοον καταστάντας ἐκ τῆς εἰκονικῆς ὀνομασίας προσαγορεῦσαι Χριστιανοὺς, καὶ ταῦτ' ἐπιπολὺ δόξης τε καὶ τιμῆς προελθόντων. Οὐδὲ τοσαύτη ἄλλῳ γε περιήφθη τιμὴ τοῦ σεβάσματος καὶ μετὰ τὴν τελευτὴν, ὡς καὶ ὑπὲρ αὐτοῦ τινὰς τὸ ζῆν ἐκ τοῦ ῥάστου ἔχειν προίεσθαι. Ἀλλ' οὐδὲ σεισμός τις οἰκουμένης καὶ κίνησις περί κατα τῶν ἐξ αἰῶνος τοσαύνη ἐγένετο, ὅση περὶ αὐτόν· ὅτι γε μηδὲ ἱκανὴν εἶναι τοῦ τύπου τὴν δύναμιν τοσαῦτ' ἐνεργεῖν, ὅσα δῆτα καὶ τὴν τῆς ἀληθείας παράστασιν, ἣ διὰ τοῦ Σωτῆρος ἡμῶν ἀριδήλως ἐδείκνυτο· ὅς γε οὐδέ τι τῶν ὅσα σεμνά τε καὶ τίμια παρά του λαβὼν, ἀλλ' οὐδὲ τὸ γένος ἐξ ἱερέων τάχα κατάγων· οὐδέ τισι δυναστείαις ἐπὶ τὴν βασιλείαν

A que divinando adumbrans, divinum quiddam et excellens esse ducem et principem. Porro Jesu quoque cognominationem ipse primus divino afflatus Spiritus, cum nunquam antea hoc nomen auditum fuisset, filio Nave soli sapienter indidit: veluti præcipuum, et regio diademate præstantiorem perfectioremque honorem illi habens, 49 quem per symbola cognoverat, post obitum suum imperium in omnes susceplurum esse. Imaginem enim Jesus Nave filius Servatoris nostri ferebat: qui unus post Mosen atque consumationem symbolici umbratilisque cultus illius regnum veræ et illustris pietatis manifesto suscepit. Moses itaque, ut dixi, distinctis Servatoris nostri appellationibus quas summo honore et gloria extulit et condecoravit, pontifici quidem, Christi; successori vero B suo duci, Jesu nomen magnificentissime, non sine arcano et ingenti mysterio, tribuit. Quin et alii post illum prophetæ, aperte et significanter admodum, Servatorem Christum nominarunt. *Spiritus enim*, inquit Jeremias, *ante faciem nostram: Christus Dominus comprehensus est in corruptionibus eorum* [6]. Et David: *Astiterunt*, ait, *reges terræ, et principes convenerunt in unum, adversus Dominum, et adversus Christum ejus* [7]. Quibus verbis deinceps illa infert: *Dominus dixit ad me, Filius meus es tu, ego hodie genui te* [8]. Hoc ipsum porro Christi veneratione dignum nomen, non solum eos qui sacerdotio cohonestati essent, factitio exornavit oleo, idque per symbolum, sed et reges ipsos. Divino enim hosce inungentes Spiritu, quibus id fuerat C commissum, Christos per imaginem et faciebant, et ungebant. Quandoquidem et regibus omnino typi quidam et figuræ inerant, veri regni et potestatis Servatoris nostri Jesu Christi in omnes. Cæterum et prophetas quosdam Christos esse, divini Spiritus instinctu percepimus. Etenim ii omnes, ad unicum Pontificem omnium, et creaturæ omnis regem, solumque prophetarum Prophetam, Servatorem Christum, respectum suum habuerunt. Id illud clarissime ostendit, quod nulli omnium pontificum, regum, et prophetarum, qui symbolice hujus nomine uncti honoratique sunt, tanta divinæ virtutis vis fuit et potestas, quantam scilicet Dominus noster Jesus, et reipsa vere Christus, nativam et propriam eam habens, ostendit atque exhibuit. Sed nulli etiam ex omnibus hoc contigit, D ut eos qui se illis ut subditos subjecerunt, imaginario et umbratili nomine Christianos cognominarent: 50 cum illi tamen ad ingentem gloriam et honorem processissent. Jam nec alii cuipiam tantus etiam post obitum attributus est cultus, et venerationis honor, ut pro ejus nomine ipsam quoque vitam aliqui non gravate vilem habuerint, amiserintque. Insuper neque circa quemquam a mundo condito, tantus motus et concussio habitabilis terræ, quantus circa eum, fuit. Enimvero

[6] Thren. iv, 20. [7] Psal. ii, 2, [8] ibid. 20.

fieri neutiquam posse, ut vis et virtus typi atque imaginis tantum perficiat, quantum nimirum veritatis ipsius repræsentatio et exhibitio, ea quæ in Servatore nostro est perspecta potestas, manifestisime comprobat et declarat. Qui quidem cum nihil eorum quæ magnifica et præstabilia habentur a quopiam accepisset : sed neque genus fortasse ex sacerdotum ordine duxisset, neque opibus aliquibus ad regnum evectus esset : neque pro propheta ut veteres illi, se gessisset, neque dignitate aliqua a Judæis auctus esset ; quamvis per se ipsum revera omnia a Patre, et non per symbola aut figuras haberet : Christus tamen præ omnibus illis maxime est renuntiatus, atque declaratus : et cum orbe habitabili universo cognonem simul suum, simul et veneranda et sancta instituta moresque suos communicavit : non umbras, typos et imagines, ut antea factum fuerat, rerum pulcherrimarum, sed manifestas ipsas et veras virtutes exhibens, vitamque quamdam sublimem et cœlestem, una cum veritatis dogmatibus, eis ipsis qui sacris ejus initiati essent, relinquens, ipsissimus scilicet et verissimus Christus, perfectissimum Dei Verbum, qui non factitio perinde atque reliqui, sed divino naturaliter unctus esset Spiritu. Cujus rei certissimam fidem facit illud Isaiæ verbum : *Spiritus Domini super me, propterea quod unxit me*, et quæ sequuntur [9]. Rursus illud divini Davidis : *Propterea unxit te Deus, Deus tuus, oleo exsultationis, præ consortibus tuis* [10]. Ubi id etiam quod longissime eis præstet, qui quondam imaginarie uncti fuerant, satis subindicat et describit. Idem David alibi quoque : *Tu es sacerdos in æternum secundum ordinem Melchisedech* [11]. Qui introducitur, non facticio oleo ad sacrorum ministerium unctus, neque quidquam ad Hebræorum sacerdotium pertinens : qui in catalogum et generis concatenatam continuationem solemniter perscribebantur. Quapropter secundum ipsius ordinem, non autem juxta aliorum qui symbola, typos et figuras acceperant, ritum, Christus et Pontifex recepto jurejurando, Servator noster est promulgatus. **51** Unde illum neque corporaliter unctum, neque ex sacerdotali tribu natum, qui attente et diligenter historias legendo observarit, inveniet : quippe qui ab ipso Deo et Patre, ante sæcula condita, sempiternum ab æterno et in æternum sacerdotium, tanquam munus quoddam et honorem præcipuum obtineat. Illud quoque non minus est incorporeæ divinitusque advenientis unctionis signum et indicium, quod hunc ex omnibus unum, per omnem terram, Barbari simul et Græci Christum nominant. Et jam inde a temporibus ejus ad hunc usque diem in eum credunt, ut verum Deum et Regem unicumque Pontificem Dei et Prophetam eum colunt et venerantur : quique (quod orationem et rationem omnem excellit) nomine ejus consentur, persuasum illud habent, ut non labiis tantum et verborum strepitu illum, sed omni prorsus animi affectione et virtute colant : usque eo, ut de facili consilium capiant et statuant, et ipsum propter eum ponere animam et vitam.

A ἀχθεὶς, οὔτε μὴν προφήτης ὡς οἱ πάλαι γενόμενος, ἀλλ' οὐδέ τινος ἀξίας παρὰ Ἰουδαίοις ἐνευπορήσας· κἀν ταῖς ἀληθείαις πάντα εἶχε πατρόθεν, εἰ καὶ μὴ συμβολικῶς, Χριστὸς μᾶλλον ἐκείνων πάντων ἀνηγορεύθη· καὶ πάσῃ τῇ οἰκουμένῃ τῆς σφετέρας προσηγορίας καὶ τῆς σεμνῆς πολιτείας μετέδωκεν· οὐ σκιὰς καὶ τύπους καὶ εἰκόνας, ὡς τοπρὶν, τῶν καλῶν, ἀλλ' αὐτὰς γυμνὰς τὰς ἀρετὰς παράσχων· βίον τέ τινα διηρμένον καὶ οὐράνιον μετὰ τῶν τῆς ἀληθείας δογμάτων τοῖς θιασώταις καταλιπών, ἅτε ὢν αὐτὸς ταῖς ἀληθείαις Χριστὸς, ὁ τοῦ Θεοῦ παντέλειος Λόγος, ὁ μὴ τῷ σκευαστῷ, ὥσπερ δῆτα καὶ οἱ λοιποὶ, ἀλλὰ τῷ θείῳ φυσικῷ χρισθεὶς Πνεύματι· εἴπερ ἐκεῖνο τοῦ Ἡσαΐου τὴν μαρτυρίαν παρέχεται ἀξιόπιστον· Πνεῦμα Κυρίου ἐπ' ἐμὲ, οὗ εἵνεκεν
B ἔχρισέ με, καὶ τὰ ἑξῆς· καὶ τὸ τοῦ θείου πάλιν ἐκεῖνο Δαβὶδ, Διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς, ὁ Θεός σου, ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου. Ἐν ᾧ καὶ τὸ καθ' ὑπερβολὴν κρεῖττον τῶν πάλαι εἰκονικῶς κεχρισμένων καθυπογράφει. Ὅ δ' αὐτὸς καὶ ἀλλαχοῦ· Σὺ εἶ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ. Ὃς εἰσάγεται, μὴ τῷ σκευαστῷ ἐλαίῳ εἰς τὴν ἱερατείαν χρισθεὶς, ἀλλ' οὐδὲ τῇ καθ' Ἑβραίους ἱερωσύνῃ προσήκων, ὅσα γε τῇ τοῦ γένους σειρᾷ ἀναγέγραπται· διόπερ κατὰ τὴν αὐτοῦ τάξιν, ἀλλ' οὐ κατὰ τὴν τῶν ἄλλων τῶν σύμβολα καὶ τύπους εἰληφότων Χριστὸς καὶ ἀρχιερεὺς μετὰ παραλήψεως, ὅρκων ὁ Σωτὴρ ἡμῶν ἀνηγόρευται. Ἔνθεν τοι οὐδὲ χρισθέντα σωματικῶς,
C οὐδ' ἐκ φυλῆς ἱερατικῆς γενόμενον, προσεχῶς τις εὕροι που τὰς ἱστορίας ἀναλεγόμενος· ἐξ αὐτοῦ μέντοι τοῦ Θεοῦ καὶ Πατρὸς πρὸ τῶν αἰώνων ἀγήρω προαιωνίως καὶ ἰσαεὶ τὴν ἱερωσύνην ὥσπερ τι γέρας διακατέχοντα· οὐχ ἧττον δὲ καὶ τὴν ἀσωμάτου καὶ ἐνθέου χρίσεως μέγα τεκμήριον, τὸ καὶ μόνον ἁπάντων ἐφ' ὅλῃ τῇ γῇ, ἔν τε βαρβάροις καὶ Ἕλλησι, Χριστὸν αὐτὸν ἀνομάζεσθαι· καὶ ἐξ ἐκείνου ἐς δεῦρο παρὰ τοῖς εἰς ἐκεῖνον πεπιστευκόσι, καὶ ὡς ἀληθῆ Θεὸν καὶ Βασιλέα καὶ μόνον ἀρχιερέα Θεοῦ καὶ προφήτην τιμᾶσθαί τε καὶ σεβάζεσθαι· καὶ τό γε λόγου ἐπέκεινα, ὡς μὴ χείλεσι μόνον, μηδὲ ψόφοις ῥημάτων τοὺς τὴν αὐτοῦ κλῆσιν ἐνδεδυμένους τιμᾷν πεῖθεσθαι, ἀλλὰ πάσῃ διαθέσει ψυχῆς· ὡς ἐκ τοῦ
D ῥᾴστου ἐκεῖναι τούτοις δι' αὐτὸν καὶ αὐτὴν προδιδόναι ψυχὴν αἱρεῖσθαι.

[9] Isa. LXI, 1 ; Luc. IV, 18. [10] Psal. XLIV, 8. [11] Psal. CIX, 4.

ΚΕΦΑΛ. Ε'.

Ὡς καὶ ἡ τοῦ Χριστοῦ διδασκαλία καὶ ἡ κατὰ τὸ Εὐαγγέλιον πολιτεῖα τῶν Χριστιανῶν σύγχρονος τῷ τῶν ἀνθρώπων ἦν γένει, καὶ παρὰ τῶν πάλαι θεοφιλῶν καὶ ἁγίων ἐνηργεῖτο ἀνδρῶν· ὡς καὶ Ἀβραὰμ ἔδειξε πίστει δικαιωθεὶς πρὸ τῆς περιτομῆς.

De sanctis Joachimo et Anna, et de nativitate atque educatione sanctissimæ Dei Genatricis in templo, et ut desponsata Josepho fuerit.

63 Posteaquam enim perfici atque exhiberi debuit ingens illud, naturamque omnem longe superans mysterium, opus fuit prorsus instruere et præparare vas, quod eum qui incomprehensibilis est comprehenderet. (2) Inventa itaque est beata Virgo Maria, dignum Deumque decens Verbi domicilium, etium ante nativitatem (3) Deo consecrata, atque ex membris senilibus, et longe a naturæ fervore alienis, tanquam quidam divinitus datus fructus producta. Joachim et Anna parentum erant nomina. Ambo accuratione, juxta præscriptum legis, vita præstantes et clari, nec non primis quibusque et splendidissimis nobilissimisque genere connumerati. Vitam autem ad senectutem sine prole edita, produxerant. Erat enim ad liberorum procreationem Anna alvo infecunda. Et cum ob sterilitatis causam non haberet communes cum matronis et matribus a lege tributos honores, exemplo matris Samuelis ipsa quoque fit supplex Deo, et in templo sedulo versatur, ne scilicet a benedictionibus legis excluderetur, sed ut ei matrem esse liceret, orans, ac quod paritura esset, ipsi Deo dicaturam se esse vovens. Sed enim divino nutu, ad eam quam petierat gratiam, Anna confirmata atque roborata, postquam puella e maternis prodiit locis, Mariam eam statim nominavit, ænigmate latenter a Deo acceptam gratiam declarans. Ut vero infans a lacte materno jam abhorruit, et mammam attingere noluit, promissionem mater adimplet : et in templum ascendens, juxta votum, eam Deo consecrat, tertium jam tum ætatis agentem annum. Et sacerdotes quidem tum eam tanquam sanctius quoddam donarium suscepere, et puellam in sacrario fovendam esse duxere, ad antiqui illius Samuelis similitudinem. Itaque illa, ut

A

B

C

ΚΕΦΑΛ. Ζ'.

Περὶ τῶν ἁγίων Ἰωακεὶμ καὶ Ἄννης· καὶ περὶ τῆς γεννήσεως καὶ ἀνατροφῆς τῆς ὑπεραγίας Θεοτόκου ἐν τῷ ναῷ. καὶ ὡς ἐμνηστεύθη τῷ Ἰωσήφ.

Ἐπεὶ γὰρ ἔμελλε τελεῖσθαι τὸ μέγα καὶ ὑπὲρ φύσιν μυστήριον, χρεών που πάντως προηυτρεπίσθαι σκεῦος τὸ χωρῆσον δὴ τὸν ἀχώρητον. Εὑρέθη τοίνυν ἡ μακαρία παρθένος Μαρία, ὅξιόν τι καὶ θεοπρεπὲς τοῦ Λόγου κατοικητήριον, καὶ πρὸ γενέσεως μὲν ἀνατεθειμένη Θεῷ, ἐκ μελῶν δὲ γηραλέων καὶ πόρρω τῶν τῆς φύσεως κραμάτων οἷά τις καρπὸς θεόσδοτος προηγμένη. Ἰωακεὶμ καὶ Ἄννα ἦσαν τοῖς γεννήτορσι τὰ ὀνόματα, ἐπίσημοι μὲν καὶ ἄμφω ἐν τῇ κατὰ νόμον ἀκριβεῖ πολιτείᾳ, οὐ μὴν δ' ἀλλὰ καὶ ἐν τοῖς πρώτοις καὶ καλλίστοις καὶ τῶν εὖ γεγονότων συναριθμούμενοι. Κατεγήρων δὲ τὸν βίον γονῆς ἄμοιροι. Πρὸς γὰρ παίδων γονὰς λιθώδη τὴν μήτραν ἡ Ἄννα προύβέβλητο· καὶ ἐπεὶ ὡς ἄγονος οὐ τῶν ἴσων μετεῖχεν ἐκ νόμου ταῖς μητράσι τιμῶν, κατὰ τὴν τοῦ Σαμουὴλ μητέρα καὶ αὕτη ἱκέτις ἐγένετο τοῦ Θεοῦ τῷ νεῷ παρεδρεύουσα μὴ πόρρω εἶναι τῶν τοῦ νόμου εὐλογιῶν· γενέσθαι δὲ μήτηρ, καὶ τὸ τικτόμενον ἀφιερῶσαι αὐτῷ. Καὶ δὴ νεύματι Θείῳ ἐυναμωθεῖσα πρὸς τὴν χάριν ἣ ᾔτησεν, ἐπεὶ τὸ παιδίον τῶν μητρικῶν θαλάμων προέθορεν, εὐθὺς μὲν αὐτὴν Μαριὰμ κατωνόμασε, τὸ θεόσδοτον αἰνιττομένη τῆς χάριτος· ὡς δὲ πορρὼ γάλακτος ἦν, καὶ ἤκιστά γε θηλῇ προσανέχειν ἠβούλετο, πλήρει μὲν ἡ γειναμένη τὴν ἐπαγγελίαν· καὶ πρὸς τὸν νεὼν ἀνιοῦσα, ταύτην ἀφιέρου Θεῷ κατὰ τὴν ὑπόσχεσιν, τρίτον ἤδη τῆς ἡλικίας ἔτος ἀνύουσαν. Οἱ δὲ ἱερεῖς τέως μὲν προσίεντο τὸ ἀνάθημα· καὶ ἐν τοῖς ἁγίοις ἀνατρέφειν τὴν παῖδα δεῖν ἔκρινον, καθ' ὁμοιότητα τοῦ παλαιοῦ Σαμουήλ. Ἦν οὖν τῷ νεῷ θεῖόν τι χρῆμα καὶ ἄσυλον τοῖς ἀδύτοις ἐνδιαιτώμενον. Ἐπεὶ δ' ἠξίητο, συνιόντες οἱ ἱερεῖς ἐν βουλαῖς ἦσαν, τί ποιήσαντες εἰς τὸ ἱερὸν ἐκεῖνο σῶμα μὴ ἂν δόξωσιν ἁμαρτεῖν· ἱεροσυλεῖν γὰρ ἀντικρὺς ἐνομίζετο, εἴ γε καὶ ταύτην ἀνδρὶ παραδοῖεν, καὶ νόμῳ γάμου κατα-

[15] Gen. XLIX, 10.

(1) Herodes Mariammen uxorem et amicos necessarios suos occidit. (Joseph. lib. XV, cap. 9.)

(2) Mariam Virginem matrem ante Christum Jesum filium ejus natum anno quindecimo genitam esse. Chronici scriptores memorant.

(3) De sanctificatione Virginis Dei Genitricis sententia est Gregorii Theologi, in homilia Paschali : « Christus secundum omnia, præter peccatum, fit homo, e virgine prognatus, carne simul et anima prius per Scriptum purgata. Oportuit enim et nativitatem honorari, et virginitatem præhonorari. »

δουλώσωσι, καθάπαξ ἀφιερωθεῖσαν Θεῷ. Αὕθις δὲ γυναῖκα ὥραν ἤδη φύσεως ἔχουσαν, ἐντὸς τῶν ἱερῶν ἀνακτόρων περιπολεῖν, οὔτ' ἐφειμένον τῷ νόμῳ δεῖν ᾤοντο· καὶ ἅμα τῷ πράγματι τὸ σεμνὸν οὐ προσῆν. Πολλὰ τοιγαροῦν καὶ πολλάκις περὶ τούτου διασκοπουμένοις, γίνεταί τις θεόθεν ἐπισκοπή, ἑνί τινι τῶν περὶ τὸ ἱερὸν μνηστείας ὀνόματι δοῦναι τὴν παῖδα· ἐκεῖνον δ' εἶναι τοιοῦτον, οἷον πρὸς φυλακὴν τῆς παρθενίας δεξιῶς ἔχειν. Οὐκ ἄλλος τοίνυν τοῦ Ἰωσὴφ ἐδόκει ἁρμόδιος πρὸς τῆς μνηστείας μόνης συνάφειαν, προσήκων τε κατὰ γένος αὐτῇ· τῆς γὰρ αὐτῆς φυλῆς ἦν, καὶ ἄλλως γήρᾳ καὶ σεμνῇ πολιτείᾳ ἐκ πολλοῦ τὸ ἀξιόπιστον εἰληφώς.

A res divina, intacta, et sacrosancta, in templi sanctiore loco et adytis ipsis vivebat. Postquam autem adolevit, censilium sacerdotes agitarunt, quid de ea statuerent, ne in sacrum ejus corpus admittere quidquam viderentur. Sacrilegium namque prorsus se commissuros putabant, si viro eam conjugerent, **64** atque in servitutem conjugalis legis redigerent, quæ semel Deo dicata esset. E diverso autem puellam eo ætatis flore, in sacratiore templo versari, nec permissum lege putabant nec rensatis honestam et decoram esse videbant. Sæpe itaque et multum re deliberata, divinitus eis per inspirationem ostenditur, ut eam alicui ex iis qui ad templum sedulo essent, sponsæ nomine committerent. Eum vero talem esse debere, cui recte virginitatis custodia demandaretur. Porro non alius ipso Josepho visus est esse magis idoneus, ad solorum sponsalium conjunctionem contrahendam : quippe qui propinquitate generis eam contingeret (ejusdem enim tribus erant), insuper vero (1) et senio et honestate morum jampridem bonæ fidei existimationem consecutus esset.

ΚΕΦΑΛ. Η'.

Περὶ τοῦ εὐαγγελισμοῦ τῆς ὑπεραγίας Θεοτόκου· καὶ περὶ τῆς ἁγίας Ἐλισάβετ, καὶ τῆς κυοφορίας αὐτῆς· καὶ περὶ τῆς ταραχῆς τοῦ μνήστορος Ἰωσὴφ διὰ τὴν ὑπερφυᾶ τοῦ Ἰησοῦ σύλληψιν.

Καὶ δὴ ἐν Ναζαρὲτ σύνοικος γενομένη τῷ Ἰωσὴφ, παρὰ τοῦ ἀρχαγγέλου εὐαγγελίζεται Γαβριήλ, Χαῖρε, λέγοντος, κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ· καὶ ἅμα τῷ λόγῳ, ἀμεταβάτως κάτεισιν ὁ προαιώνιος τοῦ Θεοῦ Λόγος, καὶ τὴν ἡμετέραν φύσιν ἀῤῥήτως καὶ ὑπερφυῶς ὑποδύεται, κραθεὶς καὶ μιγεὶς ἀνεννοήτως τῷ ἀνθρωπίνῳ φυράματι. Ἀλλ' ὁ μὲν ἄγγελος τὸν ἀσπασμὸν δοὺς αὐτῇ, ἀπηλλάττετο· ἐκείνη δὲ σπουδῇ τῇ ὀρεινῇ πρόσεισιν, ὁμοῦ μὲν καὶ τὸν κατ' αὐτὴν διὰ τοῦ ἀγγέλου παράδοξον τοκετὸν διαγνοῦσα· ἅμα δὲ καὶ μαθεῖν σπεύδουσα τὸ C κατ' αὐτὴν γεγονὸς προσήκουσάν τε τῷ γένει οὖσαν τὴν Ἐλισάβετ ἀσπάσασθαι, ἔξω χρόνου καὶ αὐτὴν τὸν Ἰωάννην εἰς ἕκτον μῆνα ἤδη κυοφοροῦσαν· ἄλλως τε δὲ καὶ τῷ πολλῷ χρόνῳ οἰομένη ἔχειν τι καινότερον ἐκείνην ἐπὶ τῷ καινῷ τῆς συλλήψεως ἀπαγγέλλειν πρόσεισι τοιγαροῦν καὶ ἀσπάζεται. Ὁ δὲ παῖς αὐτῇ ἕκτον ἤδη μῆνα πληρῶν ἠδύ τι ἐσκίρτα· καὶ ὁ ἐγγάστριος δοῦλος τῷ ἐν γαστρὶ Δεσπότῃ τὴν προσκύνησιν ἀφωσίου, καὶ τὸ στόμα τῇ μητρὶ ᾄνειζόμενος, ὑπερφυῶς προεφήτευε, μητέρα τε τοῦ Κυρίου ταύτην καλῶν, καὶ ἐν γυναιξὶν εὐλογη μένην, καὶ καρπὸν κοιλίας τὸ ἐν ταύτῃ κυοφορούμενον, μηδὲν δηλαδὴ συμβαλλομένης τῆς ἀνδρὸς γονῆς. Ἐντεῦθεν κἀκείνη τοῖς κατὰ σκοπὸν ἐντυχοῦσα, θείῳ τε καθυπηρετοῦσα Πνεύματι τύφου ὡς D πορρώτατα κενοῦ, ἑαυτήν τε μακαρίζει, καὶ τὸ ἐσόμενον ἀριδηλότατα διαγγέλλει. Ἐπεὶ δ' ἔθιμον ἦν

CAPUT VIII.

De Annuntiatione sanctissimæ Dei Genitricis ; de sancta Elisabeth, ejusque uteri gestatione; et de conturbatione sponsi Joseph. propter divinam et supernaturalem Jesu conceptionem.

Itaque in Nazareth cum Josepho domicilium illa habens, ab archangelo Gabriele lætum accipit nuntium : *Ave*, dicente, *gratia plena, Dominus tecum*, et simul cum ea ipsa voce intransibiliter æternum et antesæculare Verbum Dei descendit, et conditionem naturamque nostram, inenarrabili naturamque superante modo subit, supra mentis intelligentiæque nostræ captum, massæ et fermento humano mistum atque temperatum. Et angelus quidem salutatione legatione que functus, ab ea discessit. Ipsa vero festinabunda ab oram montanam concessit, simul et partum præter opinionem sibi ab angelo denuntiatum considerans, et id quod de se accidesset cognoscere festinans : præterea, ut cognatam suam Elisabeth salutaret et alloqueretur, quæ et ipsa, præter ætatem, in sextum jammensem, Joannem in utero gravida gestabat. Putabat denique illam, quod provectioris esset ætatis, novi quidquam sibi dicturam annuntiaturamque esse de nova fœtus sui conceptione. Adit itaque eam et salutat. Infans autem illius sextum jam implens mensem, suaviter subsilit et exsultat : **65** famulusque in utero conclusus Domina, qui et ipse in utero gestabatur, debitum adorationis honorem sanctius dicat : et ore materno quasi mutuo sumpto, supra naturæ captum vaticinatur, matrem eam Domini vocans, simulque inter mulieres benedictam : nec minus ventris fructum,

(1) Homo justus, et ad testimonium conjugalis semper mansuræ virginitatis electus. » (Augustin.) « Non conjugii, sed custodiæ gratia, ad testimonium rei futuræ, non nolham, sive illegitimam videlicet accidisse Christi in carne provinciam obeundam, sed veritatis attestatione sine viri semine in Spiritu sancto certo dispensatam fuisse. » (Epiphan. *Contra Antidicomarianitas* « Hoc autem exemplo magnifice fidelibus insinuatur conjugibus, etiam servata pari consensus continentia, posse permanere vocarique conjugium, non permisto corporis sexu, sed custoditio mentis affectu. » (August. *De consensu. evang.* lib. II cap. 1.) » Josephus senex admodum fuit. octuagicta plus minus natus annos, et sex ex priore conjuge habuit liberos. » (Epiphan.)

qui ab ea gestabatur, ad quem scilicet nihil virilis seminis esset collatum, benedictum. Inde porro et ipsa, id quod proposuerat quæsiveratque consecuta, divino subserviens Spiritui, inani gloria et arrogantia quam longissime semota, cum se ipsam beatam prædicat, tum id quod futurum esset, apertissime prænuntiat. Cum autem in moribus esset, ut virgines, cum partus gravidæ mulieri et jam parturienti immineret, secederent : tertium cum ea versata mensem, quod jam ex immensa illa consternationis atque admirationis addubitatione magis magisque aliquid remitteret, domum suam revertitur. Interim ei venter tumescere, et Joseph de ea, quod minus deceret, agere in animo habebat, mysterium ignorans : quin etiam occultam ab ea discessionem meditari quod vir justus esset, et rem actam eliminare atque vulgare nollet. Sed confestim talia cogitanti, cum læto nuntio assistens angelus, dubitationem eam seni solvit. Oportebat enim clariesimo gratiæ receptaculo et vasi nihil reprehensionis, indignitatis et injuriæ inferri : quod nimirum vel ipsius solis radiis sit splendidius et illustrius. Porro et filium David illum angelus vocat, per insinuationem declarans, unde exoptatus exspectatusque ille proditurus esset. Ipsam

A τὰς παρθένους ὑποχωρεῖν, τῆς δ' ἐν γαστρὶ ἐχούσης τίκτειν ἤδη ἐπειγομένης, τρίτον μῆνα ταύτῃ διαγαγοῦσα, καὶ τῷ τῆς ἐκπλήξεως ἀπόρῳ λύσιν τινὰ ἴσως λαβοῦσα, εἰς τὸν οἶκον ταύτης ἀνέστρεφεν. Ὡς δὲ καὶ αὐτῇ εἰς ἄγκον ἡ γαστὴρ ἐπῆρτο, οὐκ εὐπρεπῆ διενοεῖτο πράττειν ὁ Ἰωσὴφ, ἀγνοῶν τὸ μυστήριον · ἀμέλει τοι καὶ λαθραίαν τὴν ἀπόλυσιν αὐτῇ φκονόμει, δίκαιος, φησὶν, ὢν, καὶ οὐδαμῶς ἐκπομπεῦσαι ἐθέλων τὸ γεγονός. Ἀλλ' εὐθὺς τῷ διανοήματι ἐπιστὰς ὁ εὐαγγελισάμενος ἄγγελος, λύει τὸ ἄπορον τῷ πρεσβύτῃ · ἐχρῆν καὶ γὰρ τῷ διαφανεῖ δοχείῳ τῆς χάριτος μηδέν τι μώμου καὶ ὕβρεως προστριβῆναι, καὶ τῶν τοῦ ἡλίου ἀκτίνων ὄντι διαυγεστέρῳ. Ἀμέλει τοι καὶ υἱὸν Δαυὶδ ἐκεῖνον κάλεῖ, αἰνιττόμενος, ὅθεν πριελθεῖν ὁ προσδοκώμενος ἔμελλε · καὶ αὖθις γυναῖκα αὐτὴν εἴτουν μνηστὴν αὐτὴν ὀνομάζει · Μή τίς σε, λέγων, λογισμὸς ταραττέτω, δεδοικὼς μὴ προσκρούσῃς Θεῷ, μοιχαλίδα δῆθεν σύνοικον ἔχων. Τοσοῦτον γὰρ τοῦ ἄγους ἀπήλλακται, ὥστε καὶ κρείττων φύσεως ἡ κυοφορία. Μὴ τοίνυν φοβοῦ αὖθις παραλαβεῖν αὐτὴν, ὅσον τὸ κατὰ σὲ ἀπολελυμένην καὶ θύραζε οὖσαν · σκιρτᾷν δὲ μᾶλλον προσηκον, καὶ ὑπερφυοῦς τῆς ἡδονῆς ἀναπίμπλασθαι. Τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν ἐκ Πνεύματός ἐστιν ἁγίου, φησίν.

B

C

ᵘoque uxorum sive sponsam nominat, quasi diceret : Cave, te cogitatio deliberatione ulla conturbet, ut vereare, ne Deum offendas, tanquam adulteram uxorem domi cohabitantem habens. Tantum enim a piaculo et macula omni abest, ut etiam longe supra naturam sit ista in utero fœtus gestatio. Ne igitur aut timeas ipsam rursus recipere, quam tu (quantum in te est) repudiasti et extrusisti. Quin gaudio exsilire te magis decet, et animum lætitia et voluptate, quæ naturam excellit, adimplere. *Quod enim*, inquit, *in ea editum est, ex Spiritu sancto est* [16].

CAPUT IX.

De genere Antipatri et Herodis, et de Hyrcano et Aristobulo pontificibus; et ut a Cæsare Augusto Horodes Judæorum rex creatus propterea quod advena esset, tribus Judæorum ab Esdra conscriptas igni combusserit, atque Pontificatum venalem emere volentibus proposuerit.

ΚΕΦΑΛ. Θ'.

Περὶ τοῦ γένους Ἀντιπάτρου καὶ Ἡρώδου · καὶ περὶ Ὑρκανοῦ καὶ Ἀριστοβούλου τῶν ἀρχιερέων · καὶ ὡς ὑπὸ Καίσαρος Αὐγούστου βασιλεὺς Ἡρώδης τῶν Ἰουδαίων γενόμενος, διὰ τὸ ἀλλόφυλον τὰς ἀπὸ τοῦ Ἔσδρα ἀναγραφὰς τῶν φυλῶν πυρὶ δίδωσι καὶ τὴν ἀρχιερωσύνην ἐπὶ ὠνῇ τῷ βουλομένῳ ἐτίθει.

66 Nunc sane necessarium mihi esse videtur, ita ut pollicitus sum, ut ostendam ad finem exitumque suum prophetiam illam pervenisse : *Non deficiet princeps ex Juda, nec dux ex femore ejus, donec veniat cui repositum est, et ipsum esse exspectationem gentium* [17]. Quæ prophetia de Salvatore nostro hoc liquidissime profert. Tunc enim ille advenit, quum Judæorum duces in Romanorum potestatem redacti defecerunt, et sceptro imperoique eorum paruerunt. Sub jugum enim servitutis ab allis missi, tributum illis solvere coacti sunt, et una cum adventu Christi prima illa descriptio et census est actus. Oportebat enim in descensus Regis cœlorum in terram, etiam terræ principes suum ministerium et munus ei præstare. Verum enimvero nihil obstat, quominus denuo per compendium historiam percurramus : ut et ea quæ præmissa sunt, certius clariusque intelligantur. A temporibus enim Mosis, et quæ illum præcessere,

D

Τοῦ λοιποῦ δ' ἔμοιγε ἀναγκαῖον εἶναι δοκεῖ δεῖξαί τε εἰς πέρας τὴν προφητείαν ἐλθοῦσαν, ὡς ἡ ὑπόσχεσις, Οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, οὐδὲ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἔλθοι ᾧ ἀπόκειται, καὶ αὐτὸν εἶναι προσδοκίαν ἐθνῶν, σαφῶς περὶ τοῦ Σωτῆρος ἡμῶν τοῦτο διατρανοῦσαν. Τηνικάδε γὰρ ἐκεῖνος ἐπιφοιτᾷ, ὁπηνίκα οἱ τῶν Ἰουδαίων ἄρχοντες, ὑπὸ χεῖρα Ῥωμαίοις γενόμενοι, ἐκλελοίπασι, τῷ Ῥωμαϊκῷ σκήπτρῳ καθυποκλίναντες. Ζεύγλῃ γὰρ τῆς ἐκείνων ὑπαχθέντες δουλείας, φόρους τελεῖν ἠναγκάζοντο · ὁμοῦ τε τῇ τοῦ Χριστοῦ παρουσίᾳ καὶ ἡ πρώτη ἐκείνη ἀπογραφὴ γίνεται. Ἐχρῆν καὶ γὰρ τῇ πρὸς γῆν καθόδῳ τοῦ τῶν οὐρανῶν βασιλεύοντος καὶ τοὺς ἐπὶ γῆς ἄρχοντας λειτουργίαν εἰσενεγκεῖν. Οὐδὲν δὲ οἷον καὶ αὖθις ἐν ἐπιτόμῳ τὴν ἱστορίαν διαδραμεῖν σαφηνείας χάριν τῶν προκειμένων. Ἐκ γάρ τοι Μωσέως καὶ πρὸ ἐκείνου, ὥς μοι προείρηται, ὑπὸ τοῖς οἰκείοις τοῦ ἔθνους ἄρχουσι, τοῖς ἐκ φυλῆς Ἰούδα κατάγουσι τὴν

[16] Matth. I, 20. [17] Gen. XLIX,10.

σειρὰν, τὸ Ἰουδαίων ἔθνος πάλαι βασιλευόμενοι ἦγοντο, ἄχρις οὗ Αὔγουστος μόναρχος ἀνηγόρευτο· ἐφ' οὗ πρῶτος Ἡρώδης ἀλλόφυλος ὢν, τὴν τῶν Ἰουδαίων πρὸς Ῥωμαίων ἐπιτρέπεται βασιλείαν, Ἰδουμαῖος ὢν τὸ γένος, ὡς Ἰωσήπῳ δοκεῖ, ἐκ πατρὸς, Ἀράβιος δὲ κατὰ τὴν μητέρα, Ἀντίπατρος γὰρ ὁ τούτου πατὴρ, ἐξ Ἀραβίας ἄγεται γυναῖκα Κύπριν ὄνομα, ἣ πατέρα τεττάρων παίδων ποιεῖ· ὧν εἷς οὗτος Ἡρώδης ἦν. Ὡς δ' Ἀφρικανῷ δόξαν καὶ τούτῳ πλείστην ἐκ τῆς συγγραφῆς περιβαλλομένῳ, « Ἀντίπατρος, φησὶν, ὁ Ἡρώδου τινὸς Ἀσκαλωνίτου, δοῦλος ἱερέως τινὸς τῶν περὶ τὸν νεὼν τοῦ Ἀπόλλωνος ὀισπονουμένων. Οὗ τὸν παῖδα Ἀντίπατρον ἔτι νήπιον ὄντα, Ἰδουμαῖοι λῃσταὶ διαρπάσαντες, παρ' ἑαυτοῖς εἶχον· ῥύεσθαι γὰρ αὐτὸν ὁ πατὴρ ἄπορος ἦν χρήματα καταθέμενος. » Καὶ τοίνυν ὑπ' ἐκείνοις τραφεὶς, ἔδοξεν Ἰδουμαῖος εἶναι. Ἐσύστερον δὲ Ὑρκανῷ τῷ Ἰουδαίας ἀρχιερεῖ, ὃς Ἰουδαίων πρῶτος διάδημα περιέθετο, φίλος γενόμετος, καὶ ἐν ταῖς πρὸς τὸν ἀδελφὸν Ἀριστόβουλον ἐκείνου διαφοραῖς χρήσιμος ἀναφανεὶς, καὶ τὴν βασιλείαν ἐλευθερώσας αὐτῷ περικοπτομένην ὑπὸ τοῦ ἀδελφοῦ, ἔπειτα δὲ καὶ Ἀωμαίοις ἐσ ἅπασι δεξιὸς γεγονὼς, πρὸς Αἴγυπτόν τε καὶ Ἄραβας διαπονουμένοις, ἐπείπερ Ἀριστόβουλος μὲν ὑπὸ Πομπηίου δέσμιος αἰσχρῶς ἐπὶ Ῥώμην ἐπέμφθη, καὶ τὸ Ἰουδαίων ἔθνος δεδούλωτο, ηὐτύχησεν οὗτος ἐπιμελητὴς τῆς Παλαιστίνης γενέσθαι. Ἐπεὶ δ' ἐσύστερον αἰχμάλωτος καὶ Ὑρκανὸς ὑπὸ Πάρθων ἑάλω, εἰς ὃν ὕστατον τὰ τῆς τῶν ἀρχιερέων περιέστη διαδοχῆς, καὶ Ἀντίπατρος ἐντεῦθεν μέγας γενόμενος Μαλίχῳ τινὶ δολίως ἀνῄρηται, ὁς Ἡρώδου πατὴρ ἦν· οὗτος πάμπολλά τινα τοῖς Ῥωμαίων στρατηγοῖς καταθέμενος χρήματα, καὶ ὅλος εἶκειν ταῖς ἐκείνων προσταγαῖς ὑποσχόμενος, τὴν ἀρχὴν ἐγχειρίζεται· τοῦ γὰρ Καίσαρος Αὐγούστου μετὰ βαρείας δυνάμεως τοῖς κατ' Αἴγυπτον σκηπτοῦ δίκην ἐπελθόντος· σκοπὸς δὲ αὐτῷ Κλεοπάτραν χειρώσασθαι, εἰς ἣν ὑστάτην ἡ τῶν ἐξ Ἀλεξάνδρου Πτολεμαίου Μακεδονικὴ δυναστεία κατέληξε· πρὸς δὲ καὶ Ἀντώνιον, τοῖς ἐκείνης ἱμέροις ἑαλωκότα, πρόσεισιν Ἡρώδης οὗτος, σύμπαντ' ἕτοιμος χορηγεῖν ὅσα γ' ἐκείνῳ θυμήρη, σῖτα καὶ ὅπλα καὶ χρυσίον οὐκ εὐαρίθμητον, καὶ συμμαχίαν τὴν ἐφικτήν. Ὡς δὲ καὶ Αἴγυπτος καὶ Κλεοπάτρα ὑπὸ χεῖρα Καίσαρι καὶ Ῥωμαίοις γεγένηται, δυσὶ πρὸς τοῖς δέκα ἔτεσι τῷ Αὐγούστῳ διανύοντι τῇ ἀρχῇ, εἰς Ῥώμην τε ἦκεν Ἡρώδης οὗτος, ὃν καὶ τῆς θεραπείας ἀμειβόμενος Αὔγουστος, βουλῇ τῆς Ῥωμαίων συγκλήτου διάδημα περιθέμενος τούτῳ, βασιλέα τῆς Ἰουδαίας ἀνεῖπεν· ὃς ἐπεὶ τῶν Ἱεροσολύμων ἐκράτησε, τοὺς Ἰουδαίους γνοὺς τὸ ἀλλόφυλον, καὶ ἄλλως τῆς αὐτοῦ φύσεως τὸ ἀπηνὲς καὶ θηριῶδες ἐκτρεπομένους ὡς μάλιστα, τοὺς μὲν ἀπήλασεν· ἄλλους δὲ καὶ κακῶς διέθετο· τοὺς δὲ καὶ ξίφει διεχειρίσατο· σκυλεύει τε τὸ ἱερὸν, καὶ τὴν πόλιν ἀναστατεῖ, μοχθηρῶς τῇ ἐξουσίᾳ χρώμενος. Πρὸς δὲ δὴ τοῖς ἄλλοις καὶ τοῦτο κακῶς διαπράττεται. Τὰς γὰρ τῶν φυλῶν ἁπάσας δημοσίας ἀναγραφὰς, αἳ ἀπὸ τοῦ Ἔσδρα ἐτύγχανον, μανικῶς διακείμενος, ἔργον ποιεῖται φλογός. Τὸ δὲ βούλευμα,

A ut antea dixi, a suis principibus, qui ex tribu Judæ genus ducerent, gens Judæorum olim regio more regebatur, donec Augustus unus solusque imperator est renuntiatus : sub quo primus Herodes, advena et alienigena, a Romanis demandatum sibi Judæorum regnum accepit. Fuit is paterno genere, ut Josephus opinatur, Idumæus, materno autem, Arabs. Antipater enim, hujus pater, ex Arabia uxorem Cyprim duxit : quæ eum quatuor filiorum patrem fecit, quorum unus Herodes hic fuit. Ut autem Africano videtur, qui et ipse magnam est in scribendis historiis laudem consecutus : « Antipater (sic ipse scribit) Herodis pater, filius Herodis cujusdam Ascalonitæ fuit, sacerdotis cujuspiam servi, cui in templo B Apollinis sacrorum cura demandata fuerat. Hujus filium Antipatrum adhuc tenerum prædones Idumæi captum apud se retinuerunt. Redimere enim pater eum, propter pecuniæ inopiam, non potuit. » Itaque quod apud eos est educatus, pro Idumæo habitus est. Postea vero in Hyrcani Judææ Pontificis amicitiam pervenit, et in certaminibus illius adversus fratrem Aristobulum commodus compertus est : 67 regnumque ejus admodum a fratre accisum, in libertatem asseruit. Deinde autem Romanis in rebus omnibus se utilem et industrium, cum adversus Ægyptios et Arabes bello occupati essent, præbuit. Et postquam Aristobulus quidem a Pompeio turpiter vinctus, Romam missus, et Judæorum natio servitute oppressa est; beneficio fortunæ huic contigit, ut procurator Pa- C læstinæ fieret. Et cum deinceps Hyrcanus quoque a Parthis captus, in quo ultima dignitatis pontificiæ constitit successio, et Antipater Herodis pater, qui inde magis magisque creverat, Malichi cujusdam dolo necatus esset : is ipse Herodes, magnam vim pecuniæ Romanis ducibus largitus, eorumque se imperata facturum pollicitus, regnum ab eis traditum accepit. Cum enim Cæsar Augustus, cum ingenti exercitu, procellæ et fulminis instar, impetum in Ægyptum faceret, eo consilio, ut Cleopatram, ad quam postremam Macedonic Ptolemæorum ab Alexandro potestas et ditio pertigit, et ipsum Antonium illecebris ejus detentum debellaret et caperet : Herodes iste se ei conjunxit, paratus quæcunque illi placerent, præbere et sup- D peditare : frumentum, arma, et pecuniæ numerum ingentem, et quæcunque præterea posset præstare auxilia. Ibi Ægyptus et Cleopatra in potestatem Cæsaris et Romanorum venit, duodecimo anno postquam Augustus imperium suscepit. Huic sane Herodi, cum Romam venisset, et Augustus referre ei aliquam pro præstitis sibi officiis gratiam vellet, de Romani senatus consilio et voluntate, diadema imposuit, et regem Judææ creavit : qui Hierosolymis potitus, quod sciret Judæos generis obscuritatem, quod scilicet advena esset, et præterea crudelitatem naturæ ejus ingeniumque ferox quam maxime aversari et odisse : quosdam ex civibus

urbe exegit, quosdam per injuriam male tractavit, monnullos etiam ferro necavit : templum denique spoliavit, et urbem vastavit ac diripuit (1). Ad hæc tanta facinora illud quoque flagitiosissime addidit. Publicas enim tribuum descriptiones omnes, quæ ab ipso usque Esdra duraverant, furore percitus flammis consumpsit, illud pessimum omnino secutus consilium, ut qui eo nomine arroganter superbirent, de cætero ignorarent, unde quisque genus traheret, qui **68** indigenæ, quive inquilini (quos γειώρας, hoc est, advenas etiam et alienigenas vocant) essent. Qui cum stulte admodum et sordide de rebus hujusmodi judicavit, tum pontificis quoque magnificentiorem vestem ipse primus arcæ inclusit, signoque annuli munivit : quibuscunque etiam vilissimis nundinari volentibus, hoc pacto (2) pontificatum venalem, annuis reditibus et pensionibus, præteritis spretisque qui generis vetustate celebres essent, proponens. Idemque et de pontificia veste, et de sacerdotiis ipsis, filium quoque ejus Archelaum, quique post illum a Romanis Judæorum obtinuerunt imperium, fecisse, Josephus tradit. Hæc porro, ne quisquam putet tanquam per digressionem, obiter et extra propositum a me dicta esse. Sunt enim etiam propter alterius prophetiæ, quæ apparitione et adventu Salvatoris impleta est, declarationem, et propter veram temporum observationem adducta (3). Hebdomades enim, quæ apud Danielem sunt, eo tempore Christo imperium obtinente, numerum suum compleverunt : in quibus, simul atque finitæ essent, clarissime Judæorum unctionem sublatum iri, spectator Dei prædicit propheta : id quod adventu Christi in terram est factum atque completum.

A

B

ὡς κομιδῇ πονηρὸν, ὡς ἂν ἀγνῶτες τοῦ λοιποῦ εἶεν οἱ περὶ ταῦτα φυσώμενοι, ὅθεν δὴ τὸ γένος ἕλκουσι · καὶ τινὲς μὲν οἱ ἐγχώριοι, τινὲς δ' αὖ οἱ ἀλλότριοι, οὓς καὶ γειώρας καλοῦσι. Ἀνοήτως δ' ἔχων περὶ ταῦτα καὶ ἀγεννῶς, καὶ τὴν τοῦ ἀρχιερέως στολὴν πρῶτος οὗτος κιβωτίῳ περιορίσας, καὶ τῷ σφραγιστῆρι δακτυλίῳ ἀσφαλιζόμενος, τοῖς τυχοῦσι καὶ βουλομένοις ὠνίοις τὴν ἀρχιερωσύνην προὔτίθει ἐπετείοις ταῖς εἰσφοραῖς, τοὺς ἐξ ἀρχαίου γένους ὑπερορῶν. Ταῦτα δὲ πρᾶξαι περί τε τὴν στολὴν καὶ τοὺς ἱερεῖς, τόν τε υἱὸν τούτου Ἀρχέλαον, Ἰώσηπος ἱστορεῖ, καὶ τοὺς μετ' ἐκεῖνον ἐκ Ῥωμαίων τὴν τῶν Ἰουδαίων ἐπιτραπέντας ἀρχήν. Ταῦτα δ' ἡμῖν μὴ παρέργως εἰρῆσθαι δοκείτω τισίν, ἀλλὰ καὶ κατ' ἄλλης προφητείας ἐπίδειξιν, πέρας λαβούσης τῇ τοῦ Σωτῆρος ἐπιφανείᾳ, καὶ κατὰ τὴν ἀληθῆ τῶν χρόνων δὴ παρατήρησιν. Αἱ γὰρ παρὰ τῷ Δανιὴλ ἑβδομάδες ἐνταῦθα Χριστοῦ ἡγουμένου τὸν ἀριθμὸν συμπεραίνουσιν · ἐν αἷς μετὰ τὸ τούτων συμπέρασμα, σαφέστατα τὸ παρὰ Ἰουδαίοις χρίσμα πάμπαν ἐξολοθρευθήσεσθαι ὁ θεόπτης προαγγέλλει προφήτης · ὃ δὴ καὶ πεπλήρωται τῇ ἐπὶ γῆς παρουσίᾳ Χριστοῦ.

CAPUT X.

De ea quæ ab Augusto Cæsare, Cyrenio præside, facta est descriptione : et quæ de Cyrenio Josephus scribat, item de Juda Galilæo.

ΚΕΦΑΛ. Ι'.

Περὶ τῆς ὑπὸ Αὐγούστου Καίσαρος γενομένης κατὰ Κυρήνιον ἀπογραφῆς · καὶ ὅση περὶ αὐτοῦ Ἰώσηπος ἱστορεῖ · καὶ περὶ Ἰούδα τοῦ Γαλιλαίου.

C

Agebatur (4) tum annus a mundo condito quinquies millesimus quingentesimus quintus, ab Augusti imperio quadragesimus secundus, et a Macedonicæ ditionis solutione vicesimus octavus : cum Salvator noster, sub eo qui tum agebatur censu, Cyrenio (5) Syriæ præsidente, in Bethleem natus est : ita ut etiam per prophetiam est prædictum. Exiit itaque edictum census et descriptionis ; invitosque etiam, in serena illa tranquillitate pacis, quæ ex unius imperio obvenerat, patriam quemque suam petere, ibique censeri atque describi coegit. Cum aliis porro et **69** Joseph, una cum Maria, ad-

Κόσμου μὲν οὖν ἔτος τηνικαῦτα ἐνίστατο πέμπτον καὶ πεντακοσιοστὸν πρὸς τῷ πεντάκις χιλιοστῷ · Αὐγούστου δὲ Καίσαρος δεύτερον καὶ τεσσαρακοστὸν ἦν · μετὰ δὲ τὴν τῆς Μακεδονικῆς δυναστείας κατάλυσιν ὄγδοον πρὸς τῷ εἰκοστῷ · ἡνίκα καὶ ὁ Σωτὴρ ἡμῶν ἐπὶ τῆς τότε ἀπογραφῆς, Κυρηνίου τῆς Συρίας ἡγεμονεύοντος, ἐν Βηθλεὲμ γεννᾶται · ὡς δὴ καὶ τῇ προφητείᾳ δοκεῖ. Ἐξῆλθε τοίνυν τὸ δόγμα τῆς ἀπογραφῆς · συνώθει δὲ καὶ ἄκοντας **πάντας** ἐν γαλήνῃ ἧ ἐκ τῆς μοναρχίας δῆθεν πρὸς τὴν **σφετέραν** πατρίδα, κἀκεῖ ἀπογράφεσθαι · σὺν ἄλλοις δὲ καὶ Ἰωσὴφ σύναμα τῇ θαυμαστῇ γυναικῶν Μαριὰμ πρὸς

D

(1) Herodes templum, post captivitatem Babylonicam a Zorobabel et Esra ædificatum, funditus diruit, et maximis sumptibus, summaque magnificentia, aliud secundum formam primi illius, quod Solomon exstruxerat, denuo condidit. (Joseph. lib. xv, cap. 11, *De bell. Judaic.* lib. I, cap. 27.)

(2) Idem Simonem socerum suum sacerdotio privavit, et Matthiam Theophili filium pontificem designavit. (Idem, lib. xvii, cap. 5.)

(3) Si hebdomades Danielis computentur a secundo anno Artaxerxis Longimani, aut circiter, usque ad mortem et resurrectionem, et quod eam consecutum est regnum Christi et justitiam sempiternam, et perpaucos insuper annos, completæ illæ certa ratione inveniantur. Resultant enim ex 70 hebdomadibus anni 490 ; aut certe de duobus saltem aut tribus annis ambiguitas reliqua est. Cæterum certior adhuc computatio fuerit, si 70 istæ septimanæ exordium sumant a 32 anno Darii Hystaspis filii, quo anno muri Jerusalem sunt absoluti. (*II Esdr.* v et vi.) Reperiuntur namque usque ad Christum natum anni 490.

(4) Variant in annotatione anni hujus nativitatis Christi chronographi et temporum observatores. Nam aquidam etiam Christum natum esse asserunt anno mundo condito 3944, nonnulli 3962, quidam etiam 3979.

(5) Cyrenium alii *Cyrinum* nominant. Fortasse autem Censorinus fuit. C. enim Martius Censorinus cum C. Asinio Gallo consulatum gessit, an. ab Urb. condit. 746. Paulo ante vero, anno 742. coss. fuere M. Valer. Messala et P. Sulpitius Quirinus, quem multi Cyrenium hunc fuisse putant.

τὴν ἰδίαν μετεχώρει πόλιν τὴν Βηθλεὲμ, τῷ περιχώρῳ τῆς Ἰουδαίας ἠριθμημένην, ὡς ἐκ Δαυὶδ ἕλκων τὸ γένος, λιπὼν ἣν παρῴκει πόλιν τὴν Ναζαρὲτ ἀλλοτρίαν οὖσαν· ἣν οἰκεῖν τηνικάδε εἵλετο, τῆς χώρας τοῖς πρότερον συνεχέσι πολέμοις ἔνθεν κἀκεῖθεν μεταχωρούσης. Συνήλαυνέ γε μὲν τὸ δόγμα τοῦ Καίσαρος πρὸς τὴν ἰδίαν πόλιν τὸν Ἰωσὴφ, ἵνα καὶ ἡ προφητεία μὴ διαπέσῃ· Καὶ σὺ, Βηθλεὲμ, γῆ Ἰούδα, οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς ἡγεμόσιν Ἰούδα, θεσπίζουσα. Τῆς δ' ἀπογραφῆς ταύτης βαρείας τῷ Ἰουδαίων ἔθνει γεγενημένης, καὶ ὁ φιλαλήθης Ἰώσηπος ἐν τῇ ὀκτωκαιδεκάτῃ τῶν ἱστοριῶν ἐμνημόνευσεν, οὕτω διεξιών· « Κυρήνιος δὲ τῶν εἰς τὴν βουλὴν συναγομένων, ἀνὴρ τάς τε ἄλλας ἀρχὰς ἐπιτετελεκὼς, καὶ διὰ πασῶν ὁδεύσας ὕπατος γενέσθαι, τά τε ἄλλα ἀξιώματι μέγας, σὺν ὀλίγοις ἐπὶ Συρίας παρῆν, ὑπὸ Καίσαρος δικαιοδότης τοῦ ἔθνους ἀπεσταλμένος, καὶ τιμητὴς τῶν οὐσιῶν γενησόμενος. » Καὶ μετ' ἀλίγα· « Ἰούδας δὲ Γαλαυνίτης, ἀνὴρ ἐκ πόλεως ὄνομα Γαμάλας, Σάδδοκον Φαρισαῖον προσλαβόμενος, ἠπείγετο ἐπὶ ἀποστάσει, τήν τε ἀποτίμησιν οὐδὲν ἄλλο ἢ ἄντικρις δουλείαν ἐπιφέρειν λέγοντες, καὶ τῆς ἐλευθερίας ἐπ' ἀντιλήψει παρακαλοῦντες τὸ ἔθνος. » Καὶ ἐν τῇ δευτέρᾳ δὲ τῶν Ἰουδαϊκῶν πολέμων· « Ἐπὶ τούτους, λέγων, ἀνήρ τις Γαλιλαῖος Ἰούδας ὄνομα, εἰς ἀποστασίαν ἐνῆγε τοὺς ἐπιχωρίους· κακίζων, εἰ φόρον τε Ῥωμαίοις τελεῖν ὑπομένουσι, καὶ μετὰ τὸν Θεὸν οἵσουσι θνητοὺς δεσπότας. » Ὃ συνῳδὰ καὶ Λουκᾶς ἐν ταις ἱεραῖς Πράξεσι φθέγγεται, Μετὰ τοῦτον, λέγων, ἀνέστη Ἰούδας ὁ Γαλιλαῖος ἐν ταῖς ἡμέραις τῆς ἀπογραφῆς, καὶ ἀπέστησεν ἱκανὸν λαὸν ὀπίσω αὐτοῦ· κἀκεῖνος ἀπώλετο· καὶ πάντες ὅσοι ἐπείσθησαν αὐτῷ, διεσκορπίσθησαν. »

A miratione inter mulieres omnes dignissimæ, ad civitatem suam Bethleem, intra Judææ fines sitam, (quippe qui ex Davide genus traheret) est profectus; eam quam tum incolebat, Nazareth scilicet, relinquens. Erat ea illi aliena, sed ibi tum domicilium habebat: quod Judææ regio, proximis continuis bellis, nunc] in hujus, nunc in illius potestatem transisset. Edictum autem Cæsaris in suam civitatem ipsum Josephum coegerat, ne quid de vaticinante prophetia illa intercideret: *Et tu, Bethleem, terra Juda, nequaquam minima es in principibus Juda* [17]. Census et descriptionis hujus, quæ gravis admodum Judæorum genti fuit, et ipse veritatis consectator Josephus in decimo octavo Historiarum suarum libro meminit, hisce verbis: « Cyrenius, vir senatorii ordinis, gestis ordine aliis B magistratibus, cum alia omnis generis dignitate clarus fuit, tum ad consulatum etiam pervenit. Is cum paucis in Syria erat, a Cæsare eo missus, ut jus diceret, justitiamque populo administraret, et præterea censum ibi ageret.» Et post pauca deinceps: « Judas Gaulanites, ex oppido Gamala oriundus, Saddoco Pharisæo partibus suis adjuncto, ad seditionem et defectionem plebem sollicitabat, censumque nihil aliud quam meram prorsus servitutem afferre prædicabat, populumque ad libertatem asserendam cohortabatur. » In secundo quoquo *belli Judaici* libro, ita inquit: « Vir quidam Galilæus, Judas nomine, populares ad defectionem sollicitavit, maledictis probrose illos insectans, si Romanis tributum pendere perseverarent, et C secundum Deum mortales ferrent dominos. » Cui Lucas in sacris Actis consona quoque scribit, *Post hunc*, inquiens, *exstitit Judas Galilæus, in diebus descriptionis, et per defectionem avertit populum multum. Periit autem ipse, et omnes quicunque ab eo persuasi fuerant, dispersi sunt* [18].

ΚΕΦΑΛ. ΙΑ'.

Ἐπιστολὴ Ἰουλίου Ἀφρικανοῦ τοῦ ἱστορικοῦ πρὸς Ἀριστείδην περὶ τῆς ἐν τῇ γενεαλογίᾳ Χριστοῦ δοκούσης διαφωνίας τῶν θείων εὐαγγελιστῶν Ματθαίου τε καὶ Λουκᾶ.

Ἐπεὶ δὲ Ματθαῖός τε καὶ Λουκᾶς οἱ θεσπέσιοι τὴν περὶ Χριστοῦ γενεαλογίαν διαφόρως ἐξέδωκαν, καὶ περὶ τὴν δοκοῦσαν διαφωνίαν τῶν περὶ τὰ τοιαῦτα δεινῶν οὐκ ὀλίγοι βίβλους ὅλας ἐνέταζαν, ἐγὼ D τἄλλα παρεὶς, Ἀφρικανῷ χρήσομαι ἱστορικῷ, ἀπελέγχοντι μὲν τὰς τῶν ἄλλων δόξας, ὡς μὴ τἀληθοῦς ἐφικομένας, ἣν δ' αὐτὸς ἐκ τῶν ἀρχαίων παρείληφεν ἐν οἷς περὶ τῆς τῶν Εὐάγγελίων διαφωνίας πρὸς Ἀριστείδην ἐπιστέλλει γράφων, ἐκθήσομαι τῷ συντάγματι. Λέγει δὲ αὐταῖς λέξεσιν οὕτως· « Ἐπειδὴ γὰρ ὀνόματα τῶν γενῶν ἐν Ἰσραὴλ ἠρίθμητο ἢ φύσει ἢ νόμῳ· φύσει μὲν γνησίου σπέρματος διαδοχῇ, νόμῳ δὲ ἑτέρῳ παιδοποιουμένῳ εἰς ὄνομα τελευτήσαντος ἀδελφοῦ ἀτέκνου· ὅτι γὰρ οὐδέπω δέδοτο ἐλπὶς σαφὴς ἀναστάσεως, τὴν μέλλουσαν ἐπαγγελίαν ἐμιμοῦντο ἀναστάσει θνητῇ· ἵνα ἀνέκλει-

CAPUT XI.

Epistola Julii Africani historici ad Aristidem, de ea quæ videtur esse in genealogia Christi dissonantia apud Matthæum et Lucam evangelistas.

70 Quandoquidem autem divi evangelistæ Matthæus et Lucas, genealogiam Christi varie prodiderunt, et non pauci, qui talibus rebus persequendis magni clarique habiti sunt, de ea dissonantia integros libros composuerunt; ego prætermissis aliis, Africano historico utar auctore, qui aliorum opiniones, utpote quæ ad veritatem non pertingant, reprehendens atque refellens, quam ipse a vetustioribus acceptam, in Epistolis et Evangeliorum dissonantia ad Aristidem exposuit, inde translatam verbis ipsius in opus hoc inseram sententiam. « Nomina ejusdem gentis et familiæ in Israel numerabantur, censebanturque vel natura, vel lege. Et natura quidem, legitimis et naturalibus liberis patribus suis succedentibus; lege autem, alio sobolem, sub nomine fratris sine liberis defuncti, creante. Quoniam

[17] Mich. v, 2. [18] Act. v, 37.

enim nondum satis manifesta data fuerat spes resurrectionis, futuram promissionem mortali quadam imitabantur resuscitatione, ne nomen mortui prorsus intercideret. Et cum ex eis qui in genealogiam eam relati sunt, quidam ut legitimi et naturales germanique filii patribus successerint, quidam vero ex aliis quidem procreati, aliorum autem nomine quasi per adoptionem scilicet censi sint, utrorumque facta est mentio : et eorum videlicet qui genuissent, et eorum qui quasi genuissent. Sic neque hoc, neque illud Evangelium, vel a naturæ, vel a legis necessitudine atque conjuctione genus deducens et numerans, falsi quidem habet. Implicata enim inter se sunt genera, et quod a Salomone, et quod a Nathan descendit, repræsentatione eorum qui liberos non creassent, secundisque nuptiis ac resuscitatione seminum : ut recte iidem quandoque hujus et illius filii fuisse existimati sint, cum quidem ii viderentur esse, illi autem essent patres : et utraque generis commemoratio veritate nixa, ad ipsum Josephum, multipliciter quidem illa et varie, sed tamen certo deducatur. Porro ut clarius manifestiusque sit, quod modo dictum est, mutationem ipsam generis exponam. A Davide per Solomonem progeniem dinumerando, tertius a fine, juxta Matthæum, reperitur Matthan, qui Jacob genuit, patrem Josephi. A Nathan autem Davidis filio, juxta Lucam, itidem tertius a fine est Melchi : cujus filius Eli, ipsius Josephi pater est. Cum itaque quasi scopus nobis sit propositus Joseph, ostendendum venit, quomodo uterque ipsius pater dicatur : 71 ipse videlicet Jacob a Solomone, et Eli a Nathan genus ducentes. Simulque quomodo primum duo isti Jacob et Eli fratres, et ante hos, eorum patres, Matthan et Melchi, seorsim alter post alterum, eamdem ducendo uxorem, uterinos procreaverint fratres : leges videlicet non prohibente, mulierem, vel per repudium, vel per prioris mariti obitum vidum, alii nubere. Itaque ex Estha (hoc enim nomen mulieris fuisse traditur) primus Matthan a Solomone originem trahens, Jacob generat : Matthan autem mortuo, Melchi ad ipsum Nathan genus referens, viduam relictam, ipse quidem ejusdem tribus, sed non ejusdem generis, sicuti antea dixi, uxorem duxit, et ex ea filium Heli suscepit. Hoc modo, diversorum duorum generum Jacobet Heli exstitisse, eosdemque uterinos reperiemus fuisse fratres. Quorum fratrum alter Jacob, alterius, Heli scilicet, qui nulla creata prole decesserat, uxores ducta, tertium ex ea suscepit Josephum filium, juxta naturam quidem et rationem sibi ipsi (propterea quo scriptum est, Jacob autem genuit Joseph), juxta legem autem, ipsi Heli, ei enim frater Jacob semen suscitavit. Quapropter ea quæ de eo texitur genealogia, irrita non est. Quam genealogiam Matthæus evangelista dinumerans, Jacob autem (inquit) genuit Joseph : Lucas vero, qui erat, ut putabatur (nam et hoc addit), Joseph, qui fuit Heli, qui Melchi. De generatione enim ea quæ ex consuetudine et præscripto legis est, significantius quidquam dicere non potuit. Et verbum, Genuit, in hac parandorum quasi per adoptionem liberorum ratione, per omnia ad finem usque subticuit, relatione generis usque ad ipsum Adam, qui fuit Dei per recensionem facta. »

πτον τὸ ὄνομα μένῃ τοῦ μετηλλαχότος ἐπεὶ οὖν οἱ τῇ γενεαλογίᾳ ταύτῃ ἐμφερόμενοι, οἱ μὲν διεδέξαντο παῖς πατέρα γνησίως· οἱ δὲ ἑτέροις μὲν ἐγεννήθησαν, ἑτέροις δὲ προσετέθησαν τῇ κλήσει, ἀμφοτέρων γέγονεν ἡ μνήμη, καὶ τῶν γεγεννηκότων, καὶ τῶν ὡς γεγεννηκότων. Οὕτως οὐδετερον τῶν Εὐαγγελίων ψεύδεται, καὶ φύσιν ἀριθμοῦν καὶ νόμον· ἐπεπλάκη γὰρ ἀλλήλοις τὰ γένη, τό τε ἀπὸ τοῦ Σολομῶνος καὶ τὸ ἀπὸ τοῦ Νάθαν, ἀναστάσεσιν ἀτέκνων καὶ δευτερογαμίαις καὶ ἀναστάσει σπερμάτων· ὡς δικαίως τοὺς αὐτοὺς ἄλλοτε ἄλλων νομίζεσθαι, τῶν μὲν δοκούντων πατέρων, τῶν δὲ ὑπαρχόντων ὡς ἀμφοτέρας τὰς διηγήσεις ἀληθεῖς οὔσας, ἐπὶ τὸν Ἰωσὴφ πολυπλόκως μὲν, ἀλλ' ἀκριβῶς, κατελθεῖν. Ἵνα δὲ σαφὲς ᾖ τὸ λεγόμενον, τὴν ἐναλλαγὴν τῶν γενῶν διηγήσομαι, ἀπὸ τοῦ Δαυὶδ διὰ Σολομῶντος τὰς γενεὰς καταριθμούμενος. Τρίτος ἀπὸ τέλους κατὰ τὸν Ματθαῖον εὑρίσκεται Ματθάν· ὃς καὶ ἐγέννησε τὸν Ἰακὼβ τοῦ Ἰωσὴφ τὸν πατέρα. Ἀπὸ δὲ Νάθαν τοῦ Δαυὶδ κατὰ τὸν Λουκᾶν, ὁμοίως τρίτος ἀπὸ τέλους Μελχί, οὗ υἱὸς ὁ Ἥλει ὁ τοῦ Ἰωσὴφ πατήρ. Σκοποῦ τοίνυν ἡμῖν κειμένου τοῦ Ἰωσὴφ, ἀποδεικτέον πῶς ἑκάτερος αὐτοῦ πατὴρ ἱστορεῖται· ὅ τε Ἰακὼβ, ὁ ἀπὸ Σολομῶνος, καὶ Ἥλει ὁ ἀπὸ τοῦ Νάθαν ἑκάτερος κατάγοντες γένος· ὅπως τε πρότερον οὗτοι δὴ ὅ τε Ἰακὼβ καὶ ὁ Ἥλει δύο ἀδελφοί· καὶ πρό γε τούτων πῶς οἱ τούτων πατέρες Ματθὰν καὶ Μελχὶ ἐν μέρει τὴν αὐτὴν ἀγαγόμενοι γυναῖκα, ὁμομητρίους ἀδελφοὺς ἐπαιδοποιήσαντο, τοῦ νόμου μὴ κωλύοντος χηρεύουσαν ἤτοι ἀπολελυμένην, ἢ καὶ τελευτήσαντος τοῦ ἀνδρὸς, ἄλλῳ γαμεῖσθαι· ἐκ δὴ τῆς Ἐσθὰ, τοῦτο γὰρ καλεῖσθαι τὴν γυναῖκα παραδέδοται, πρῶτος Ματθὰν ὁ ἀπὸ τοῦ Σολομῶνος τὸ γένος κατάγων, τὸν Ἰακὼβ γεννᾷ. Καὶ τελευτήσαντος τοῦ Ματθὰν, Μελχὶ ὁ ἀπὸ τοῦ Νάθαν κατὰ γένος ἀναφερόμενος, χηρεύουσαν, ἐκ μὲν τῆς αὐτοῦ φυλῆς, ἐξ ἄλλου δὲ γένους ὤν, ὡς προεῖπον, ἀγόμενος αὐτὴν, ἔσχεν υἱὸν τὸν Ἥλει. Οὕτω διαφόρων δύο γενῶν εὑρήσομεν τόν τε Ἰακὼβ καὶ τὸν Ἥλει, ὁμομητρίους ἀδελφούς· ὧν ὁ ἕτερος ἀδελφὸς, ἀτέκνου τοῦ ἀδελφοῦ τελευτήσαντος Ἥλει τὴν γυναῖκα παραλαβὼν, ἐγέννησεν ἐξ αὐτῆς τρίτον τὸν Ἰωσὴφ, κατὰ φύσιν μὲν ἑαυτῷ καὶ κατὰ λόγον. Διὸ γέγραπται· Ἰακὼβ δὲ ἐγέννησε τὸν Ἰωσήφ· κατὰ νόμον δὲ τοῦ Ἥλει υἱὸς ἦν· ἐκείνῳ γὰρ ὁ Ἰακὼβ ἀδελφὸς ὢν, ἀνέστησε σπέρματα· διόπερ οὐκ ἀκυρωθήσεται καὶ ἡ κατ' αὐτὸν γενεαλογία· ἦν Ματθαῖος μὲν ὁ εὐαγγελιστὴς ἐξαριθμούμενος, Ἰακὼβ δὲ, φησὶν, ἐγέννησε τὸν Ἰωσήφ. Ὁ δὲ Λουκᾶς ἀνάπαλιν, ὃς ἐνομίζετο· (καὶ γὰρ τοῦτο προστίθησι·) τοῦ Ἰωσὴφ, τοῦ Ἥλει, τοῦ Μελχί. Τὰ γὰρ κατὰ νόμου γένεσιν ἐπισημότε, α οὐκ ἦν ἐξειπεῖν. Καὶ τὸ, Ἐγέννησεν, ἐπὶ τῆς τοιᾶσδε παιδοποιίας ἄχρι τέλους ἀνεσιώπησε· τὴν ἀναφορὰν ποιησάμενος ἕως τοῦ Ἀδὰμ, τοῦ Θεοῦ, κατ' ἀνάλυσιν. »

Ἐπὶ τούτοις τὰ κατὰ τὴν γενεὰν Ἡρώδου ἐφεξῆς ὁ Ἀφρικανὸς καταλέγων, ἐκ τῶν συγγενῶν Χριστοῦ παρειλημμένα οὕτωσί πως διέξεισι· « Τῶν Ἑβραϊκῶν γενῶν ἀναγράπτων ἐν τοῖς ἀρχείοις ὄντων, καὶ τῶν ἀχρι προσηλύτων ἀναφερομένων, ἕως Ἀχιὼρ τοῦ Ἀμανίτου, καὶ Ῥούθ τῆς Μωαβίτιδος, τῶν τε ἀπ' Αἰγύπτου συνεκπεσόντων ἐπιμίκτων, ὁ Ἡρώδης οὐδέν τι συμβαλλομένου τοῦ τῶν Ἰσραηλιτῶν γένους αὐτῷ, καὶ τῷ συνειδότι τῆς δυσγενείας κρυόμενος, ἐνεπρησεν αὐτῶν τὰς ἀναγραφὰς τῶν γενῶν· οἰόμενος [εὐγενὴς ἀναφανεῖσθαι, τῷ μηδ' ἄλλον ἔχειν ἐκ δημοσίου συγγραφῆς τὸ γένος ἀνάγειν ἐπὶ τοὺς πατριάρχας ἢ προσηλύτους, τούς τε καλουμένους γειώρας τοὺς ἐπιμίκτους· [ὀλίγοι δὲ τῶν ἐπιμελῶν, ἰδιωτικὰς ἑαυτοῖς ἀπογραφὰς, ἢ μνημονεύσαντες τῶν ὀνομάτων, ἢ ἄλλως ἔχοντες· ἐξ ἀντιγράφων, ἐναβρύνονται, σωζομένης τῇ μνήμῃ τῆς εὐγενείας· ὧν ἐτύγχανον οἱ προειρημένοι δεσπόσυνοι καλούμενοι διὰ τὴν πρὸς τὸ σωτήριον γένος συνάφειαν, ἀπό τε Ναζαρῶν καὶ Χωχαβᾶ κωμῶν Ἰουδαϊκῶν τῇ λοιπῇ γῇ ἐπιφοιτήσαντες . καὶ τὴν προκειμένην γενεαλογίαν ἔκ τε τῆς βίβλου τῶν ἡμερῶν ἐς ἴσον ἐξικνοῦντο ἐξηγησάμενοι. Εἴτ' οὖν οὕτως, εἴτ' ἄλλως ἔχει, σαφεστέραν ἐξήγησιν οὐκ ἂν ἔχοι τις ἄλλως ἐξευρεῖν, ὡς ἔγωγε νομίζω, πᾶς γε ὃς εὐγνώμων τυγχάνει. Καὶ ὑμῖν αὕτη μελέτω, εἰ καὶ ἁμάρτυρός ἐστι, τῷ μὴ κρείττονα ἢ ἀληθέστερον ἔχειν εἰπεῖν. Τό γέ τοι θεῖον καὶ ἱερὸν Εὐαγγέλιον πάντως ἀληθεύει. Καὶ ταῦτα δ' ἐν τῷ τέλει τῆς εἰρημένης ἐπιστολῆς ἐπιτίθησι. Ματθὰν ὁ ἀπὸ Σαλομῶνος, ἐγέννησε τὸν Ἰακώβ. Μετθὰν ἀποθανόντος, Μελχὶ ὁ ἀπὸ Νάθαν ἐκ τῆς αὐτοῦ γυναικὸς ἐγέννησε τὸν Ἡλεί. Ὁμομήτριοι ἄρα ἀδελφοὶ Ἡλεὶ καὶ Ἰακώβ. Ἡλεὶ ἀτέκνου ἀποθανόντος, ὁ Ἰακὼβ ἀνέστησεν αὐτῷ σπέρμα, γεννήσας τὸν Ἰωσὴφ κατὰ φύσιν ἑαυτῷ, κατὰ νόμον δὲ τῷ Ἡλεί· οὕτως ἀμφοτέρων ἦν υἱὸς ὁ Ἰωσήφ. »

A Posthæc Herodis genus ordine Africanus prosecutus, a propinquis et cognatis Christi ea quæ sequuntur accepta, ad hunc modum exponit. Cum Hebraicarum familiarum genealogiæ in scripta relatæ, in archivis et publico tabulario, atque in his etiam eorum qui ad proselytos et advenas, usque ad Achior Amanitem, et ipsam Ruth Moabitidem, quique ad eos qui ex Ægypto promiscue prognati prodierunt, referebantur, asservarentur : Herodes, quod nihil ad eum Israelitarum genus pertineret, et quod obscuritatis suæ sibi conscius esset, ea ipsa genealogiarum monimenta combussit, **72** tum demum se nobilem genere et illustrem vulgo fore putans, si neque alius quisquam ex publico scripto genus suum ad ipsos patriarchas aut proselytos, B ipsosque etiam alienigenas promiscuos, qui γειῶραι vacabantur, referre posset. Pauci sane diligentes homines, privatos sibi ipsis genealogiarum commeniarios, aut nomina ipsa memoria tenentes, aut ea ab exemplaribus petentes, studio eo delectati, condiderunt : per quos nobilitatis memoria est conservata. In eos commentarios inciderunt, de quibus diximus δεσπόσυνοι, seu δεσποτικοί, hoc est, Dominici seu Domicelli et heriles cognominati, propter eam quæ illis cum Servatore intercessit generis conjunctionem : qui ex Nazaris et Chocaba Judææ vicis, frequentius reliquam terram visentes, ejusmodi genealogiam etiam ex diurnarum rerum libris, quoad poterant, vulgarunt. Cæterum, sive ita, seu aliter se res habeat, dilucidiorem expositionem alius quisquam non invenerit : ut mihi C quidem, et unicuique qui æquo candidoque ingenio præditus sit, videtur. Eam vero ipsi quoque probate, quamvis nullo certo testimonio sit confirmata : quod scilicet certius aut verius quidquam afferri nequeat. Ipsum sane quidem divinum sacrumque Evangelium omni ex parte verum est. Sed illa quoque in fine ejus, quam diximus, epistolæ addit : Matthan a Salomone proveniens, genuit Jacob Matthan mortuo, Melchi a Nathan ortum ducens, ex conjuge ejus procreavit Heli. Uterini itaque sunt fratres Heli et Jacob. Heli, absque sobole suscepta, defuncto, Jacob ei semen resuscitavit : et ipsum Josephum sibi ipsi quidem juxta naturam, ipsi autem Heli juxta legem, genuit. Sic amborum Joseph filius fuit. »

Ταῦτα μὲν ὁ Ἀφρικανός. Συνάγεται τοίνυν δυνάμει καὶ τὴν Μαρίαν ἐκ τῆς αὐτῷ ἐκείνης εἶναι φυλῆς· ἐπεί τοί γε κατὰ τὸν Μωσέως νόμον, τὴν φυλὴν μὴ ἄλλαις φυλαῖς ἐπιμίγνυσθαι ὥρισται· ἵνα γὰρ μὴ ὁ κλῆρος ἀπὸ φυλῆς εἰς φυλὴν περιστρέφοιτο, ἀπὸ τοῦ αὐτοῦ δήμου καὶ τῆς αὐτῆς πατριᾶς τὰς τῶν γάμων ἐπιμιξίας ἐνομοθέτησε γίνεσθαι.

Hæc quidem sic Africanus. Certo autem colligere quoque licet, Mariam ipsam ex eadem, quæ Josephi D fuit, fuisse tribu, quandoquidem ex præscripto legis Mosaicæ, tribum alia tribu commiscere prohibitum est. Ut namque hæreditates et successiones bonorum a tribu in tribum non transferrentur, ex eadem gente et familia nuptiarum conjunctiones contrahi debere, legislator decrevit.

ΚΕΦΑΛ. ΙΒ'.

Περὶ τῆς θείας γεννήσεως τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ἔτι δὲ περὶ τῆς περιτομῆς καὶ τῆς ὑπαπαντῆς· καὶ διήγησις περὶ Συμεών τοῦ θεοδόχου.

73 CAPUT XII.

De admiranda et divina nativitate Domini nostri Jesu Christi : item de ejusdem circumcisione, et obviatione, quæ ei honoris causa in templo facta est. Item commemoratio de Symeone, qui eum ulnis suis excepit.

Καὶ δὴ τοῦ δόγματος κατεπείγοντος, καὶ Ἰωσὴφ σύναμα τῇ μνηστῇ Μαριὰμ τῷ ὑπερφυεῖ κούφως βαρουμένῃ φόρτῳ, ἀπῄει τῇ πατρίδι ἀπογραψόμενος.

Verum enimvero, edicto cogente, cum Joseph simul cum sponsa Maria, pondus ventris naturam ipsam supergressum leviter admodum ferente, in

patriam suam, ut ibi censeretur, iret, neque dum ad domum pervenissent, in agrum quemdam diverterunt, qui ager Salomæ erat. Vicesimus autem et quintus tum mensis Decembris erat dies, cum ibi ineffabile pietatis et amoris erga genus humanum tuæ, Verbum Dei, maximumque inenarrabilis partus perficitur mysterium. Tugurium humile, et præsepe ad jumenta excipienda constructum, cœli et terræ Regi genito hospitium præparatum fuerat. Hunc ibi fasciæ circumvolvunt : et quod honoratior in diversorio locus non esset, in præsepi omnium altor reponiturr. Necesse enim erat, quamplurimis ad censum et descriptionem confluentibus, multam posterius advenientibus locorum relinqui penuriam. Itaque hospitii inopia ad eum modum laborantem opificem rerum omnium Deum Verbum animantium præsepe excepit. Ibi pastores, greges suos noctu custodientes, præsentia angelica circumfulsit : et cum in timorem eos spectaculum id conjecisset, timorem eum rursum illico posuerunt, angelo propius ad eos accedente, et futuram orbi lætitiam, per eum qui genitus esset, indicante. Cujus sermonem fides statim vera atque divina est consecuta. Namque una cum illo innumerabilis cœlestium virtutum ac potestatum multitudo, circum tuguriolum volitans, laudem omnium summam Domino concinebant : *Gloria*, dicentes, *in excelsis Deo, et in terra pax, in hominibus bona voluntas*. Hoc modo, cum Duplex esset Deus (1) idemque homo Verbum, humillime simul et magnificentissime primordia primi ipsius in terram per nativitatem descensus exhibuit : atque ut certo suam cum Judæis cognationem confirmaret, hominis more Mosaicæ legi, ita ut decebat, debitum suum tribuit ritum. Et die octavo, Dominico scilicet, circumciditur in Bethlehem, in domo Josephi, et ibi nomen Jesu accipit (*salutem* porro id significat), pro eo atque, antequam conceptus esset, id nomen divinus 74 per oraculum præscripserat Gabriel. Deinde et purificationis exspectat tempus. Postquam vero status, decennario numero quater revoluto, aderat dies, ut masculus, et qui primus omnino et solus vulvam adaperuisset, in Hierosolymitanum a parentibus deportatur templum, ut ibi, juxta receptum morem sacrificium oferret, par turturum, aut pullos duos columbarum, sobrietatem scilicet, temperantiam, et simplicitatem in omnibus subindicans. Ibi sane aderat, qui Spiritu ferebatur Simeon, et grandæva Anna : eumque, qui in curru Cherubin vehitur, senilibus Simeon excipit manibus. Ambo vero cum infantem parvulum viderent in materno sinu subsilientem, magnum Israelis in eo perspiciebant Deum. Et postquam de eo quæ debebant prædicassent, et id quod futurum erat, quamvis sub

A Μήπω δὲ τὴν οἰκίαν πεφθακότες, ἐν ἀγρῷ τινι κατα-
λύοντες ἦσαν · Σαλώμης δ' ἦν ὁ ἀγρός. Πέμπτην
καὶ εἰκοστὴν εἶχε μὴν ὁ Δεκέμβριος · καὶ τηνικάδε
τῆς ἀφάτου σοῦ, Λόγε, φιλανθρωπίας τὸ μέγα τοῦ
ἀῤῥάστου τόκου τελεῖται μυστήριον. Σπήλαιον γὰρ
ταπεινὸν, καὶ φάτνη πρὸς ὑποδοχὴν βοσκημάτων
ἑτοίμη, τῷ τοῦ οὐρανοῦ καὶ γῆς βασιλεῖ γεννωμένῳ
ηὐτρέπιστο. Καὶ σπάργανα τοῦτον διαλαμβάνει · καὶ
ἐν τῷ μὴ εἶναι σεμνότερον τόπον τῷ καταλύματι,
φάτνῃ ὁ τοῦ παντὸς τροφεὺς ἀνακλίνεται. Εἰκὸς γὰρ
ἦν, πλείστων πρὸς τὴν ἀπογραφὴν συῤῥεόντων
πολλὴν τοῖς ὕστερον ἐπιγινομένοις τῶν τόπων τὴν
ἀπορίαν εἶναι. Ἀλλὰ τόπου μὲν οὕτω διαπορούμενον
τὸν πάντων δημιουργὸν Λόγον ἡ τῶν ἀλόγων φάτνη
ἐδέχετο. Ἐκεῖ δὴ καὶ ποιμέσι φυλακὴν περὶ τῆς
B σφετέρας ποίμνης νυκτὸς ποιουμένοις, ἐπιστασία
τις ἀγγελικὴ περιήστραψε · καὶ κατάφοβοι τῷ θεά-
ματι γεγονότες, ἔξω φόβου πάλιν ἦσαν εὐθὺς ἀγγέλου
ἐπιδημήσαντος, καὶ τὴν ἐσομένην τῷ κόσμῳ χαρὰν
διὰ τοῦ γεννωμένου μηνύσαντος. Καὶ τῷ λόγῳ
πίστις ὡς ἀληθὴς εὐθὺς καὶ θεία παρείπετο · ἅμα
γὰρ ἐκείνῳ, καὶ στῖφος ἄπειρον δυνάμεων οὐρανίων
τὸ σπήλαιον περιθέον, αἶνον ὑπερφυᾶ τῷ Δεσπότῃ
ἀνέπεμπον, Δόξα, λεγόντων, ἐν ὑψίστοις Θεῷ, καὶ
ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. Οὕτω
διπλοῦς ὢν ὁ θεάνθρωπος Λόγος, ταπεινῶς τε καὶ
θεοπρεπῶς τὰ τῆς πρώτης αὐτοῦ εἰς γῆν καθόδου
ῥιὰ γεννήσεως καθυπέδειξε · βεβαίαν δὲ καὶ τὴν
πρὸς Ἰουδαίους συγγένειαν παριστῶν, καὶ ὡς ἄν-
θρωπος τῷ Μωσέως νόμῳ ἀφοσιοῖ τὸ εἰκός · καὶ
κατὰ τὴν ὀγδόην, εἴτουν κατὰ τὴν Κυριακὴν περι-
C λέμνετας ἐν τῇ κατὰ τὴν Βηθλεὲμ οἰκίᾳ τοῦ Ἰωσὴφ ·
καὶ τὴν Ἰησοῦς καταδέχεται προσηγορίαν · σωτη-
ρίαν δὲ τοῦτο σημαίνει, καθὰ καὶ πρὸ τοῦ συλλη-
φθῆναι ὁ θεῖος ταύτην ἔχρησε Γαβριήλ. Εἶτα καὶ
τὸν τοῦ καθαρισμοῦ ἀναμένει καιρόν. Ὡς δὲ ἡ κυρία
παρῆν τῆς δεκάδος κυκλουμένης τετράκις, ὡς ἄρσην
καὶ πρῶτος ὄντως καὶ μόνος διανοίξας μήτραν, εἰς
τὸ ἐν Ἱεροσολύμοις ἄγεται ἱερὸν ὑπὸ τῶν τεκόν-
των · ὥστε δοῦναι θυσίαν κατὰ τὸ εἰθισμένον, ζεῦγος
τρυγόνων, καὶ δύο νεοσσοὺς περιστερῶν, τὸ σῶφρον
καὶ ἀκέραιον ἐφ' ἅπασιν ὑπογράφων. Ἐκεῖ δήπου
παρῆν καὶ ὁ πνευματοφόρος Συμεὼν καὶ ἡ πρεσβύ-
τις Ἄννα · καὶ τὸν ἐν ἅρματι Χερουβὶμ ἐποχούμε-
νον γηραλέαις χερσὶν ὑποδέχυται, ἐν βραχεῖ βρέφα-
κόλποις μητρικοῖς ἐπισκαίροντι, τὸν τοῦ Ἰσραὴλ
D μέγαν ἐνορῶντες Θεὸν, καὶ τὰ εἰκότα αὐτῷ προσλα-
λήσαντες, τὸ τ' ἐσόμενον ἀριδηλότατα αἰνιξάμενοι,
ὡς εἰς πτῶσιν κεῖται πολλῶν καὶ ἀνάστασιν, καὶ
εἰς σημεῖον ἔσται ἀντιλεγόμενον · καὶ ὡς τὴν παρθε-
νικὴν ψυχὴν ῥομφαία λύπης διέλθοι ὀψέ ποτε δ'
αὐτὸν, τῶν σαρκίνων ἐξ αὐτῆς δεσμῶν ἀπελύοντο.
Ἕνα δὲ λόγος ἔχει τῶν ἐπ' ἀρετῇ καὶ σεμνότητι
ἀκριβείᾳ τε βίου διαβιούντων τοῦτον εἶναι τὸν Συ-
μεών · ᾧ δή ποτε τῷ κατὰ τὸν προφήτην Ἡσαΐαν

(1) Θεάνθρωπος. Cujus hic perstringitur primus, isque humilis in terram adventus : *In similitudine enim hominum factus, et habitu inventus ut homo.* (*Philipp.* II, 7.) » Et sic, quia forma Dei accepit formam servi, utrumque Deus, utrumque homo. Atque hoc totum et Deus dicitur propter Deum, et homo propter hominem. » (Ambr. *Demyster. incarn.* lib. IV, cap. 21.)

χρησμῷ ἐπιστήσαντι· ὃς φησιν, Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ λήψεται υἱόν, διαπιστεῖν ἐπήει τῷ θείῳ θεσπίσματι· οὕτω δ' ἔχοντι ἄγγελον ἐπιστῆναί φασι χρῶντα, μὴ ἂν ἀπολυθῆναι τῶν του βίου δεσμῶν, εἰ μὴ τὸ παρ' αὐτοῦ διαπιστούμενον ἐπὶ θύραις ὅσον ἤδη ἐγγίζον καὶ ὄψεσιν οἰκείαις πιστώσαιτο, οὗ δὴ χάριν καὶ ἐς βαθὺ γῆρας ἐλήλακώς, καὶ τὸν Χριστὸν Κυρίου ἰδὼν ἀφθαλμοῖς, καὶ τοῖς οἰκείοις κόλποις διαβαστάσας, τῆς σαρκὸς εὐθὺς ἀπολέλυται.

A involucro, apertissime tamen, ostendissent, ut scilicet in multorum positus esset ruinam simul et resurrectionem, et in signum cui contradiceretur : denique ut virginalem animam, propter eum, doloris gladius olim pertransiturus esset : carnis vinculis deinde sunt soliti. Hunc Symeonem fama est ex eis fuisse unum, qui virtute, dignitate, vitæque sanctitate excelluerunt : qui cum aliquando illi prophetæ Isaiæ oraculo legens incumberet, quod ait : *Ecce virgo uterum gestabit, et concipiet filium* [19], et de divini ejus responsi fide ambigeret, angelum ita fluctuanti ei astitisse ferunt, cum oraculo ejusmodi : non illum prius vitæ hujus vinculis solutum iri, quam id, de quo credendo addubitasset, pro foribus primo quoque tempore appropinquans, et oculis ipse suis conspectum, testimonio suo confirmaret. Quam ob causam ad tantum senium provectus, cum Christum Domini oculis suis conspexisset, eumdemque in ulnis gestasset, carnis mole protinus solutus atque liberatus est.

ΚΕΦΑΛ. ΙΓ'.

Περὶ τοῦ ἐξ Ἀνατολῆς παραδόξου ἀστέρος τῇ γεννήσει ἀναφανέντος Χριστοῦ· καὶ περὶ τῶν δωροφόρων Μάγων· καὶ τῆς Ἡρώδου ἀπάτης.

C τῆς αὐτοαληθείας μαρτυρηθεὶς, καὶ τὴν τοῦ βαπτίσματος διακονίαν ἀριστα καὶ ὡς ἐχρῆν ἐκείνῳ ἐξηνυκὼς, καὶ τῷ νομφίῳ Χριστῷ τὴν νύμφην Ἐκκλησίαν θεοπρεπῶς κατεγγυησάμενος, καὶ ἀμνὸν θεοῦ τὸν Χριστὸν τοῖς πᾶσι διατρανώσας, τὴν κοσμικὴν ἁμαρτίαν τῷ ἰδίῳ καὶ ἀπαθεῖ αἴροντα σώματι, οὐ τῷ Ἀνδρέᾳ καὶ Πέτρῳ μόνον, καὶ πᾶσι τοῖς τηνικάδε ὁμιλοῦσιν αὐτῷ, ἀλλὰ κἀὶ παντὶ τῷ κόσμῳ, καὶ ταῖς ἑφεξῆς ἁπάσαις δηλαδὴ γενεαῖς τῶν ἀνθρώπων, Υἱὸν Θεοῦ καὶ Θεὸν Λόγον ἄνωθεν ἐπὶ σωτηρίᾳ πάντων ἐρχόμενον, δοτῆρά τε τοῦ Πνεύματος, καὶ τῆς υἱοθεσίας ἀρχὴν καὶ πηγὴν ὄντα τοῖς αὐτῷ πιστεύουσιν ὁ θεοπτικώτατος ἀνεγγέλλων, καὶ φίλον μὲν ἑαυτὸν τῷ τῆς φιλανθρωπίας ὑπερβάλλοντι εἶναι ἐκείνου, μὴ οἷόν δὲ ὄντα τῶν τῆς οἰκονομίας λόγων μηδὲ τὴν ἐσχάτην καὶ
D βραχυτάτην λύσιν εὑρεῖν, διὰ τὴν φυσικὴν ταπεινότητα, τρανῇ πᾶσι γλώσσῃ ἐκήρυξέ τε καὶ ἐπιστώσατο.

affectionibus deterioribus omnibus carere, tollentem : non tantum Andrææ et Petro, omnibusque qui tum cum eo conversabantur, sed et toti mundo et omnibus deinde generationibus hominum designavit : Filium illum Dei, et Deum Verbum, cœlitus propter salutem omnium demissum, datoremque Spiritus, et adoptionis filiorum Dei principium et fontem, omnibus illi credentibus, spectator ipse Dei annuntians. Et amicum quidem se ejus, pro excellenti illius in genus humanum charitate est professus : sed ita tamen, ut œconomiæ et administrationis ejus rationum ne infimam quidem et minimam, propter naturalem tenuitatem, disquisitionem invenire possest. Id ille ore claro et diserto omnibus deprædicavit, et persuadere est conatus.

(1) Paleæ sunt apostasia. Frumentum ii qui ad Deum fide fructificant. (Iren.)

(2) Peccata quæ non detulit, nos abluendo sustulit.

ΚΕΦΑΛ. ΙΘ.

Ὡς εἰς ἔλεγχον ὁ Ἰωάννης τῷ Ἡρῴδῃ κατέστη διὰ τὴν Ἡρωδιάδα· καὶ ὡς ἐτμήθη ἐν τῷ συμποσίῳ τὴν κεφαλὴν, καὶ τοῖς ἐν ᾅδου κηρύξων προῆλθε.

Ἐπεὶ δ' ἐχρῆν, ὥσπερ τοῖς ἐν σώματι ζῶσι, τὴν ἔνσωμον Χριστοῦ παρουσίαν ἐκήρυξεν, ἵν' ἐντελὲς ᾖ τὸ ἔργον αὐτῷ, κἂν τῷ ᾅδῃ γενέσθαι, κἀκεῖσε δὴ προαναγγεῖλαι ταῖς ἐκεῖ καθειργμέναις ψυχαῖς τὴν διὰ πίστεως ὅσον ἤδη ἐσομένην σωτηρίαν καὶ ἀπολύτρωσιν· διά τοι τοῦτο εἰς ἔλλεγχον μὲν τῷ Ἡρῴδῃ καθίσταται, ὃς τῆς ἰδίας ὑπεριδὼν γυναικὸς (θυγάτηρ δὲ ἦν αὕτη τοῦ Ἀράβων βασιλέως, Ἀρέτα), καὶ τὸ πρὸς αὐτὴν ἀτιμάσας φίλτρον, τοὺς πρὸς Ἡρωδιάδα διακένους ἔρωτας τοῦ καντὸς ἠξίου. Ταύτην καὶ γὰρ γυναῖκα οὖσαν τοῦ ἀδελφοῦ Φιλίππου ἠγάγετο, μὴ τῷ νόμῳ δοκοῦν· σπέρμα γὰρ εἶχεν ἐκ τάδελφοῦ, καὶ ταῦτα ἔτι τῷ βίῳ περιόντος, ὡς Ἰωσήπῳ δοκεῖ· ἐκείνοις γὰρ ἐφεῖται μόνοις τοῦτο ποιεῖν, τοῖς παίδων ἄνευ ἀπολιποῦσι τὸν βίον· κατὰ πρόνοιαν πάντως, ὥστ' ἀναστῆσαι σπέρμα τοῖς ἀδελφοῖς. Ἰωάννης δ' ἐλέγχων τὸ παράνομον οὐκ ἀνίει. Ὁ δὲ, καίτοι πρότερον ἡδέως ἀκούων αὐτοῦ, καί γε εἰδὼς πολὺ τὸν μέγαν τὸ αἰδέσιμον ἔχοντα, ὅμως ἰσχυρότερος ὁ τῆς Ἡρωδιάδος ἔρως αὐτῷ ἐμπεσὼν, κατημέλει τῶν ἐκείνου λόγων. Καὶ τὸν μὲν ἐδίδου φρουρᾷ· εἰδὼς δὲ ὁ Ἰωάννης ὅσον οὔτω ἔσται τὸν βίον ἀπολιπὼν, δύο πάμπει τῶν μαθητῶν Ἰησοῦ, τὴν περὶ αὐτοῦ ὑπόνοιαν ἀναιρῶν· πολλῷ γὰρ μείζω τὸν Ἰωάννην ᾤοντο τοῦ Χριστοῦ. Ὁ δὲ μηδὲν πρὸς τὴν ἐρώτησιν ἐπειπὼν, τὰ σημεῖα ἔλεγεν ἀναγγέλλειν τῷ Ἰωαννῃ ὧν αὐτουργὸς ἦν. Ὡς δ' ἐκεῖνοι ἐν τῷ βεβαίῳ ἦσαν, βουλόμενος ὁ Χριστὸς καὶ τοῖς παρεστῶσι τἀληθὲς ὑποδεῖξαι, δι' ἐπαίνου τὸν Ἰωάννην ποιεῖται, ὑπεροχὴν αὐτῷ μεγίστην προσμαρτυρῶν· καὶ μείζονα τῶν ἐν γεννητοῖς καὶ περισσότερον προφήτου ἀνακηρύττει. Ἔπειτα τὴν τῆς κολακείας ὑπόνοιαν ἀναιρῶν, μικρότερον μὲν ἑαυτὸν κατὰ τὴν ἐκείνων δόξαν καλεῖ, μείζονα δὲ αὖθις ἐκείνου ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. Μετὰ τοῦτο δεῖπνον Ἡρῴδης ἐποίει τοῖς γενεσίοις αὐτοῦ. Καὶ προῆει μὲν ὁ πότος, καὶ ψυχαγωγίαι ἦσαν ὡς πλεῖσται. Ἐπὶ δὲ τούτοις καὶ ἡ τῆς μοιχαλίδος κόρη παρῆκτο, ἀσέμνοις περικλωμένη λυγίσμασι· καὶ ταῦτα παρθένος μὲν τῷ δοκεῖν, καὶ βασιλέως θυγάτηρ, καὶ ὑπὸ τόσοις ἀῤῥένων ὄμμασι· πρᾶγμα σώφροσιν ἀφθαλμοῖς οὐχ ἁπλῶς ἄφιλον μόνον, ἀλλὰ καὶ φυγῆς ἄξιον· Γνώριμον δὲ ἄρα καὶ τὸ δένδρον ἐκ τοῦ καρποῦ. Τόσον δ' ἦν τῷ ἀκολάστῳ τὸ ἀρεστὸν, καίπερ μηδ' ἐκείνης αἰτησαμένης, (ὦ βασιλικῆς ἐκείνης μεγαλοδωρεᾶς!) ὡς καὶ τὴν βασιλείαν συνδιελέσθαι ταύτῃ θελῆσαι, καὶ διερεθίσαι ζητῆσαι· ἡ δὲ τὸ γέννημα τῆς ἐχίδνης ὑπὸ τῆς μητρὸς ἀχθεῖσα, καὶ πλῷ μεῖζον αἰτεῖ, πρᾶγμα βασιλειῶν ἁπασῶν ὑπερκεῖμενον, τὴν παντὸς ἀξίαν Ἰωάννου κεφαλήν. Καὶ ὁ μὲν τῶν ὄχων ὀῆθεν

(1) Herodes hic, Antipas cognominatus, regnavit annis 24.

A

CAPUT XIX.

Ut Joannes Herodem in faciem arguerit propter Herodiadem; et ut is in convivio capite truncatus, ad inferos, prædicaturus ibi, processerit.

Quandoquidem vero decebat, quemadmodum iis qui in corporibus versantes vivunt, corporalem Christi præsentiam prædicaverat, quo eis opus munusque tale omni ex parte perfectum constaret, ud ad inferos quoque mearet, et ibi etiam animabus conclusis, jamjam per fidem advenientem salutem et liberationem annuntiaret: ea ipsa de causa Herodem (1) manifeste in faciem reprehendit, qui propria rejecta conjuge (filia hæc erat Arabum regis Aretæ), amoribusque ejus nuntio remisso, vanam et effœtam erga Herodiadem effectionem rebus omnibus anteponebat. Hanc ille, cum uxorem esse sciret fratris Philippi (2), contra legis constitutionem (semen enim habebat ex fratre) et quidem eo adhuc superstite, ut Josepho videtur, duxerat. De illis enim hoc solis facere permittitur, qui non procreatis liberis exce dunte vita: idque providentia consilioque eo factum, ut fratribus semen resuscitaretur. Itaque Joannes delictum id arguere non cessabat. Ille vero quamvis antea eum libenter audivisset, quod admiratione simul et veneratione dignum virum esse compertum haberet: tamen vehementioribus Herodiadis amoribus, quibus erat captus, sermones cohortationesque ejus posthabens, in custodiam hominem demisit. 88 Is porro, cum se brevi vita excessurum videter, duos ex discipulis suis ad Jesum mittit, opinionem eorum quam de se habebant aboliturus. Majorem enim multo Christo Joannem esse putabant. Christus vero nihil ad interrogata respondens, miracula eos, quæ virtute ipse sua ederet, Joanni renuntiare jubet. Et cum jam illi in veriore opinione confirmati essent, volens Christus et aliis circumstantibus veritatem indicare. Joannem laudibus vehit maximam illi tribuens dignitatem, et majorem omnibus qui ex muliere geniti essent, præstantioremque propheta esse declarat. Deinde assentationis suspicionem auferens, minorem quidem se, juxta eorum opinionem, majorem vero rursus illo in regno cœlorum vocat. Posthæc convivium Herodes natali suo die parat. In hoc, cum largior compotatio, tum omnis generis deliciæ affuere: quibus et adulteræ illius puella est superinducta, infractos et indecentes corporis motus et saltationes, cum quidem et virgo esse existimaretur, et regis filia, in tot virorum conspectu exhibens: rem modestis et pudicis oculis non tantum ingratam prorsus, sed effugio etiam dignam. Sed arbor ex fructu cognoscitur. Tantæ autem impudicæ saltationis fuere illecebræ, ut quamvis illa non posceret, Herodes tamen (proh regiam illam munificentiam!) cum ea

(2) « Defuncti, » Tertull. » Habentis filiam ex illa, non alia. » (Idem.)

regnum divisum communicare voluerit, irritandamque eam ad id duxerit. At illa, viperæ soboles, a matre edocta, rem longe majorem, regnisque omnibus præstantiorem, Joannis caput, pretium omne superans, petit. Ille autem, quasi jurisjurandi religione obstrictus, re autem ipsa acri Herodiadis, cui satisfactum volebat, amore distentus, evestigio ferro caput Joannis amputat (1) : et id etiamnum cruore tabido et pulvere respersum, et lanci impositum, in convivium omni luxuriæ genere diffluens, inferri jubet : spectaculum convivis quidem ipsis inamœnum et triste, matri vero puellæ gratum et jucundum. Admodum enim optaverat quæsiveratque caput id, quod ei, quas concupiverat, rebus ex sententia et libidine sua uti inhibebat, ita resectum spectare, et linguam zelo et æmulatione sancta veluti cote acutionem redditam, postremo mutam despicere. Atque sic ille quidem est occisus : caputque ejus longe præstantissimum, mollioris saltationis præmium, mænadi illi et furibundæ, tanquam munus honorificentius datum. **89** At ipsa Joannis reprehensionem quodammodo etiam post capitis resectionem verita. conjungereque id rursus reliquo corpori timens, apud se, remotis arbitris, in abstrusiore regiæ loco sepeliendum duxit : truncum autem ipsum abjicere quopiam jussit. Eum porro solum discipuli ejus furtim sublatum, cum solemni veneratione in celebri quodam sepeliere loco. Enimvero Jesus cum ea quæ Joanni accidissent, audivisset, magnum de eo concepit mœrorem : et navigio conscenso, in locis desertis versatus est, solitariæ vitæ tranquillitate eum dolorem solans. Joannes igitur præter res alias, quibus pulcherrimis pollebat, martyrio quoque pro Christi nomine cohonestatus, cœlorum, quibus dignus erat, consecutus est domicilium : tringinta et duobus annis, et mensibus insuper sex, munere in terris suo explendo peractis.

A γενόμενος, τὸ δ' ἀληθὲς τοὺς ὁριμεῖς τῆς Ἡρωδιάδος ἔρωτας θεραπεύειν ἐθέλων, ἐξαυτῆς ξίφει τὴν κεφαλὴν ἀναιρεῖ · καὶ ἔτι τῷ λύθρῳ περιῤῥαινομένην, ἐπὶ πίνακος εἰσῆγε τῇ πανδαισίᾳ · θέαμα σκυθρωπὸν μὲν τοῖς δαιτυμόσι, τῇ μητρὶ δὲ τῆς κόρης ἡδονῆς ἄξιον. Καὶ γὰρ οὐχ ἧττον ἐζήτει ταύτην εἴργουσαν τοῖς κατὰ γνώμην χρῆσθαι, οὕτως ὁρᾷν, καὶ γλῶτταν ζήλῳ τεθηγμένην, ἐσχάτως ἄφωνον κατιδεῖν. Ἐπεὶ δὲ οὕτως ἀνῄρητο, καὶ ἄθλον ὀρχήσεως ἡ περιμάχητος τῇ μαινάδι πεφιλοτίμητο κεφαλή, ἐκείνη τοὺς ἐλέγχους ὡσανεὶ καὶ μετὰ τὴν ἐκτομὴν ὑπιδομένη τοῦ Ἰωάννου, συνάπτειν μὲν ταύτην καὶ αὖθις τῷ λοιπῷ σώματι ἐδεδίει · παρ' ἑαυτῇ δὲ κατορύττειν ἀσύλως ἔν τινι παραβύστῳ τύπῳ τῶν βασιλείων ἔκρινε δεῖν · τὸ δὲ λοιπὸν σῶμα ἔξω που

B ῥίπτειν διεκελεύετο. Ὅ δῆτα οἱ μαθηταὶ μόνον, κλοπῇ περιστείλαντες, σεμνῶς ὑπό τινι ἐπισήμῳ τόπῳ κατέθεντο. Ἰησοῦς μέντοι τὰ τῷ Ἰωάννῃ συμβάντα ἠνωτισμένος, καὶ τῇ περὶ αὐτὸν λύπῃ κατάσχετος γεγονὼς, ἐπιβὰς πλοίῳ περὶ τὴν Θηβαΐδα διέτριβεν, ἐν ἡσύχῳ τῇ βιοτῇ τὸ πολὺ τῆς λύπης παραμυθούμενος. Ὁ μὲν οὖν Ἰωάννης πρὸς τοῖς ἄλλοις οἷς ἠῦχει καλοῖς καὶ τῷ ὑπὲρ Χριστοῦ μαρτυρίῳ τιμηθεὶς, τοὺς οὐρανοὺς ὧν ἦν ἄξιος εἴληχε κατοικίαν, δύο καὶ λ' πρὸς μησὶν ἓξ τὰ πρὸς τὴν γῆν ἅπαντα διανύσας ἔτη.

CAPUT XX.

De turpissima filiæ Herodiadis morte, et Herodis obitu, et quæ de eo Josephus commemoret, et ut idem Baptistam magis ornet laudibus.

Furibunda sedenim, et adultera, incestaque adeo illa, quæ quidem Herodis habebatur, revera autem Philippi erat conjux, vita longius acta, cum prius filiam et saltatricem acerbo fato sublatam vidisset, deinde ipsa quoque decessit : futuri sæculi judicio et supplicio reservata, meras ibi quam citissime divinæ iræ fæces, intolerabilisque indignationis Domini calicem haustura. Filiæ autem ejus (dignus enim est qui memoriæ commedetur) talis fuit obitus. Eundum ei quopiam brumali tempore erat, et fluvius trajiciendus : qui cum glacie constrictus coagmentatusque esset, pedes eum transibat. Glacie autem rupta (idque non sine Dei numine) demergitur illa statim capite tenus (2) : et inferioribus corporis partibus lasciviens molliusque se movens saltat, non in terra sed in undis : caput vero sceleste frigore et glacie concretum, deinde etiam convulneratum, et a reliquo corpore, non ferro, sed glaciei crustis resectum, in glacie

C

ΚΕΦΑΛ. Κ'.

Περὶ τοῦ αἰσχίστου μόρου τῆς Ἡρωδιάδος, καὶ τοῦ θανάτου Ἡρώδου · καὶ οἷα περὶ τούτου ἱστόρησεν ὁ Ἰώσηπος · καὶ ὡς δι' ἐπαίνου τὸν Βαπτιστὴν ἄγει.

Ἡ μαινὰς μέντοι καὶ μοιχαλὶς ἐκείνη, καὶ τὸ δοκοῦν μὲν Ἡρώδου, Φιλίππου δὲ ταῖς ἀληθείαις γυνὴ, μήκιστον μὲν βίου διηνηκυῖα, πικρῷ δὲ μόρῳ τὴν θυγατέρα καὶ ὀρχηστρίδα τὸν βίον καταλύσασαν πρότερον κατιδοῦσα, εἶτα καὶ αὐτὴ κατέῤῥηξε τὴν ζωὴν, τοῖς ἐκεῖσε δικαιωτηρίοις ταμιευομένη, ἄκρατον ὅσον οὔπω πιομένη τὸν τῆς ὀργῆς Κυρίου τρυγίαν καὶ τὸ κόνδυ τοῦ ἀστέκτου ἐκείνου θυμοῦ. Ὁ δέ γε τῆς θυγατρὸς αὐτῆς θάνατος (ἄξιον γὰρ αὐτὸν διηγήσασθαι (τοιόσδε τις ἦν · Ἐπί τινα τόπον ταυτῇ

D δεῆσαν ὥρᾳ χειμῶνος πορεύεσθαι, καὶ ποταμὸν διαβαίνειν, ἐπείπερ ἐκεῖνος κεκρυστάλλωτο καὶ πεπηγὼς ἦν, ὑπὲρ νώτου αὐτὴ διῄει πεζεύουσα. Περιῤῥαγέντος δὲ τοῦ κρυστάλλου, οὐκ ἀθεεὶ δὲ πάντως τὸ συμβὰν ἦν, κατερῥύη μὲτ εὐθὺς καὶ αὐτὴ ἄχρι ὀφρύου καὶ κεφαλῆς · καὶ ὑπωρχεῖτο σπαργῶσα καὶ ὑγρῶς λιγυζομένη, οὐκ ἐν γῇ, ἀλλ' ἐν ὕδατι · Ἡ δὲ κεφαλὴ τῷ κρύτι παγεῖσα, εἶτα καὶ διαθραυσθεῖσα, καὶ τοῦ λοιποῦ διαιρεθεῖσα σώματος, οὐ ξίφει, ἀλλὰ

(1) En quomodo periit instus, quasi non esset Deo dilectus.

(2) Quibus rebus peccamus, eisdem pluramque pœnas damus.

κρυστάλλῳ, ὑπὲρ τῶν πάγων ὠρχεῖτο καὶ αὕτη τὴν ἐπιθανάτιον ὄρχησιν· καὶ ὑπ' ὄψιν ἔκειτο πᾶσιν ἡ μιαρὰ κεφαλὴ εἰς ὑπόμνησιν ὧν ἔδρασε τοὺς θεωμένους ἀνάγουσα. Ναὶ μὴν καὶ Ἡρώδην αὐτὸν οὐκ εἰς μακρὰν ἡ θεία δίκη, καίπερ βραδύνειν ὡς τὰ πολλὰ εἰωθυῖα, μέτεισι, τὴν ὑπερβολὴν, οἶμαι, τοῦ μιάσματος ἐκτόπως μισήσασα. Ὡς γὰρ ἀποστόργως εἶχε πρὸς τὴν γυναῖκα διὰ τοὺς πρὸς τὴν μοιχαλίδα ὁριμεῖς ἔρωτας, καὶ ταύτην τῶν οἴκων ἐξήλασεν, ἐκείνη τὴν ὕβριν οὐκ ἐνεγκοῦσα, τῷ ἰδίῳ πατρὶ πρόσεισιν· Ἀράβων δὲ βασιλέα εἶναι τοῦτον Ἀρέταν φθάσαντες ἄνωθεν διελάβομεν· καὶ τήν τε τοσαύτην ὑπεροψίαν καὶ τἄλλα πρὸς λεπτὸν ἀναγγέλλει· καὶ τὴν ἔκτισιν ᾔτει τοῦ ἀφορήτου γυναικὶ πράγματος. Ὁ δ' οὐχ ἧττον ἰδίαν ἢ τῆς θυγατρὸς ἔκρινεν εἶναι τὴν ὕβριν· καὶ τὰς περὶ αὐτὸν ἀθροίσας δυνάμεις, ἐπιτίθεται τῷ Ἡρώδῃ· καὶ τὴν αὐτοῦ στρατιὰν εἰς τέλος διαφθείρας, καὶ τὴν χώραν πᾶσαν αὐτοῦ πυρὶ παραδοὺς τε καὶ ἀνδραποδισάμενος, σύμπαν τε τὸ κατὰ νοῦν αὐτῷ κραταιῶς ἐργασάμενος, ἐπὶ τὰ οἰκεῖα ἤθη ἀνέστρεφεν. Ταῦτα δὲ οὐ μόνον ἡ τῶν ἱερῶν Εὐαγγελίων βίβλος, ἀλλὰ καὶ ὁ φιλαλήθης Ἰώσηπος μαρτυρεῖ, τῆς τε Ἡρωδιάδος μνήμην ποιούμενος· ὡς Ἡρώδης ζῶντος μὲν τἀδελφοῦ διαστήσειε τὴν γυναῖκα ἐκείνου καὶ οἰκειώσαιτο· ἀθετήσειε δὲ τὴν πρότερον ἐκ νόμων γεγενημένην αὐτῷ, Ἀρέτα τοῦ Πετραίων βασιλέως θυγατέρα, κἀκείνην πρὸς γάμον ἀγαγέσθαι καὶ συνοικίαν· δι' ἣν καὶ τὸν Ἰωάννην ἀνελὼν, πόλεμον πρὸς Ἀρέταν ἤρατο, ὡς ἂν ἠτιμωμένης τούτῳ τῆς θυγατρός· ἐν ᾧ πολέμῳ πάντα τὸν Ἡρώδου διαφθαρῆναι στρατὸν ἱστορεῖ, παθεῖν δὲ ταῦτα διὰ τὴν τοῦ Ἰωάννου παραλογωτάτην ἀναίρεσιν. Δικαιότατον δὲ τὸν Ἰωάννην προσμαρτυρεῖ, καὶ τοῦ βαπτίσματος μέμνηται, τῷ Εὐαγγελίῳ κατὰ πᾶν ἐν τοῖς περὶ αὐτοῦ συμφωνῶν. Ἱστορεῖ δὲ διὰ τὴν Ἡρωδιάδα καὶ τῆς βασιλείας τὸν Ἡρώδην ἀποπεπτωκέναι· μεθ' ἧς καὶ εἰς ὑπερορίαν κατακριθῆναι· Βιέννα δὲ ἦν αὐτῷ τὸ φυγαδευτήριον· ὅμορος αὕτη πόλις τῶν Γαλλιῶν, πρὸς τὸ βάθος τῆς ἑσπέρας κειμένη. Ἐν μέντοι τῷ τῆς Ἀρχαιολογίας ὀκτωκαιδεκάτῳ αὐταῖς που λέξεσι καὶ τάδε περὶ Ἰωάννου φησί· « Τισὶ δὲ τῶν Ἰουδαίων ἐδόκει ἀλωλέναι τὸν Ἡρώδου στρατὸν ὑπὸ τοῦ Θεοῦ καὶ μάλα δικαίως τιννυμένου, κατὰ ποινὴν τοῦ Ἰωάννου τοῦ ἐπικαλουμένου Βαπτιστοῦ· κτείνει γὰρ τοῦτον Ἡρώδης ἀγαθὸν ἄνδρα, καὶ τοῖς Ἰουδαίοις κελεύοντα ἀρετὴν ἐπασκοῦσι, καὶ τὰ πρὸς ἀλλήλους δικαιοσύνῃ καὶ πρὸς τὸν Θεὸν εὐσεβείᾳ χρωμένοις. βαπτισμῷ συνιέναι. Οὕτω γὰρ καὶ τὴν βάπτισιν ἀποδεκτὴν αὐτῶν φανεῖσθαι, μὴ ἐπί τινων ἁμαρτάδων παραιτήσει χρωμένων, ἀλλ' ἐφ' ἁγνείᾳ τοῦ σώματος, ἅτε δὴ καὶ τῆς ψυχῆς δικαιοσύνῃ προεκκεκαθαρμένης· καὶ τῶν ἄλλων συστρεφομένων, καὶ γὰρ ἥρθησαν ἐπὶ πλεῖστον τῇ ἀκροάσει τῶν λόγων, δείσας Ἡρώδης τὸ ἐπὶ τοσόνδε πιθανὸν αὐτοῦ τοῖς ἀνθρώποις, μὴ ἐπ' ἀποστάσει τινὶ φέροι,

A ipsa saltationem lethalem exhibet : 90 spectaculoque eo omnibus præbito, in memoriam ea quæ fecerat, spectantibus revocat. Herodem porro ipsum non multo post, vindicta divina, quamvis tardior lentiorque in plurimum esse solita, itidem prosequitur, tam immanem, ut equidem puto, nefarii sceleris impuritatem præcipue ægre ferens. Quod enim Herodes alieno prorsus, propter vehementem acremque adulteræ amorem, ab uxore erat animo, domo eam exegit. Hæc vero tantam contumeliam non ferens, ad patrem suum se contulit (Aretam autem (1) Arabum regem hunc fuisse, supra meminimus) et illi tam protervum despectum, aliaque omnia ad minimum usque recensens, vindictam tam indignæ mulierique non ferendæ rei petiit. Ille vero non minus suam quam filiæ contume-
B liam eam esse judicans, contractis copiis suis omnibus, bellum Herodi infert : exercitum ejus prorsus concidit, regionem omnem igni vastat, hominum vim magnam capit et abducit : omnibusque rebus ex sententia confectis, in regnum suum redit. Atque hæc quidem non solum sacrorum Evangeliorum liber, verum etiam veritatis amans Josephus testimonio suo confirmat, Herodiadis mentionem faciens : ut scilicet Herodes vivo adhuc fratre, conjugem illius, opera sua ab eo abalienatam, sibi ipsi conjunxerit, in matrimoniumque et domum duxerit : eam autem quæ ei legibus nupta fuerat, Aretæ regis Arabiæ Petrææ filiam repudiaverit. Et ut propter adulteram Joanne cæso, bellum Aretæ, tan-
C quam filia ejus ignominiose tractata armorum causam præbuisset, intulerit : in quo bello universas Herodis copias contrucidatas esse commemorat. Atque id ita accidisse addit, propter Joannis temerariam et nefandam cædem. Joannem porro justissimum fuisse testatur, et baptismi mentionem facit : de rebus ejus per omnia Evangelio consona scribens, Refert quoque, propter Herodiadem regno Herodem excidisse, cum qua exsilio quoque sit mulctatus (2). Exsulasse autem eos Viennæ : quæ urbs Galliis finitima, occidentem versus est sita. In decimo octavo *Antiquitatum* sane libro hisce verbis de Joanne memorat : Quibusdam Judæis Herodis exercitus per justam vindictam a Deo concisus esse, visus est, ut pœnas is penderet Joanni, qui Baptista cognominatus est. 91 Occi-
D dit enim hunc Herodes ut virum bonum, qui Judæos virtute exercenda, justitia colenda, pietateque in Deum præstanda, ad baptismum convenire jubebat. Tum demum enim gratum acceptumque Deo docebat eorum fore baptismum, si non tantum peccata quædam per confessionem deprecarentur, verum etiam munditiei et puritati corporis, anima simul justitiæ cultu repurgata, aliisque virtutibus omnibus studerent. Valde enim oratione ejus permovebantur. Herodes sedenim elo-

(1) Aretas Arabum rex contumeliam filiæ suæ ab Herode per repudium illatam, bello vindicat. (Joseph. lib XVIII.)

(2) Herodes exsilio mulctatus. (Joseph. lib. XIX cap. 7.)

quentiam viri, quod hominibus persuadendis efficax esset, suspectam habens, et rem in defectionem evasuram timens (omnia enim de consilio Joannis Judæi facturi esse videbantur), multo melius esse duxit, antequam quidquam ab eo novatum esset, hominem occupare et e modio tollere, quam ut rerum mutatione facta, tum primum in ipso tumultu et periculo pœnitentia duceretur. Itaque ille, propter hujusmodi Herodis suspicionem, in custodiam Machæruntem conjicitur, atque ibi cæditur. Hæc Josephus.

A πάντα γὰρ ἐῴκεσαν συμβουλῇ τῇ ἐκείνου πράξοντες, πολὺ κρεῖττον ἡγεῖται, πρίν τι νεώτερον ὑπ' αὐτοῦ γενέσθαι, προλαβὼν ἀναιρεῖν, ἢ μεταβολῆς γενομένης, εἰς πράγματα ἐμπεσὼν μετανοεῖν. Καὶ ὁ μὲν ὑποψίᾳ τῇ Ἡρώδου δέσμιος εἰς τὸν Μαχαιροῦντα πεμφθεὶς τὸ φρούριον, ταύτῃ κτίννυται. Ταῦτα καὶ ὁ Ἰώσηπος.

CAPUT XXI.

De tentatione Servatoris, et de electione duodecim et item septuaginta discipulorum, et de Evangelii prædicatione.

Itaque Joannes etiam iis qui apud inferos erant, præcursor advenit, præsentiam ibi quoque Christi annuntians. Jesus autem divino Spiritu solus in solitudinem agitur : atque ibi otio pietatis vacans, jejunus prorsus dies noctesque quadraginta continuas persistit, oratione mentisque agitatione atque contemplatione refocillatus atque confirmatus. Cum autem naturæ congruenti affectione afficeretur, fameque percelleretur, sua sponte oppugnandum se tentatori permisit. Qui divinam aggressus mentem et intelligentiam, mentis quoque et intelligentiæ prætextum, experiri tentareque eam volens, attulit. Atque cum tribus, eisque potentissimis congressus affectibus, primum quidem : *Si filius* (inquit) *Dei es, ita ut suspicor, jube in panes verti lapides istos.* Deinde vero in pinnaculum templi ductum, ut se dejiciat præcipit, nihilque periculi ei rei subesse subjicit : confestim congruentem quoque prophetiam adducens. Adhæc, inanis quoque gloriæ cupiditate eum capere 92 studet, et cuncta ei regna ostendit, daturumque se illi ea pollicetur, si procidens se adoraret : periculum scilicet faciens exhibendæ declarandæque divinitatis. Posteaquam autem in rebus omnibus tentatori oracula Scripturæ objiciens restitit, Satanam a se repulit, et non modo, quas modo diximus, concertationum, sed etiam omnium aliarum incursionum oppugnationumque illius victor descendit, humana conditione superior, omnibusque facultatibus ac virtutibus divini Spiritus instructus, atque angelici satellitii, pro eo atque decebat, ministerio cohonestatus, solitudinem relinquit, et ad Judææ atque Galilææ civitates accedit, omnemque Israelis gentem visitans, ad pœnitentiam et resipiscentiam omnes cohortatur : appropinquare jam, atque adeo præsto esse regnum cœlorum, læto prædicans nuntio. Atque inde initio Evangelii facto, et quasi quibusdam communis naturæ sacris primitiis primordiisque jactis. Deus Verbum, non longe ab ejus prædicationis tempore duodecim sacros deligit discipulos : quos apostolos etiam, præcipuo quodam honore prosequens, nominat. Horum Andreas primus, utpote a Præcursore in disciplinam cooptatus, a quo etiam de rebus Christi accurate edoctus fuerat; et cum hoc

ΚΕΦΑΛ. ΚΑ'.

Περὶ τοῦ πειρασμοῦ τοῦ Σωτῆρος, καὶ περὶ τῆς ἐκλογῆς τῶν ιβ' καὶ ο' μαθητῶν· καὶ περὶ τοῦ εὐαγγελικοῦ κηρύγματος.

Ὁ μὲν οὖν Ἰωάννης οὕτω καὶ τοῖς ἐν ᾅδου πρόδρομος ἦετο, καὶ τοῖς ἐκεῖσε τὴν παρουσίαν κηρύξων B Χριστοῦ. Ἰησοῦς δὲ τῷ θείῳ Πνεύματι μονώτατος εἰς τὴν ἔρημον ἦγετο· καὶ δὴ ἐκεῖσε σχολάζων ἄσιτος κἀθάπαξ νύκτας καὶ ἡμέρας ἐτέλεσε μ', τῇ προσευχῇ καὶ τῇ κατὰ νοῦν θεωρίᾳ τρεφόμενός τε καὶ στηριζόμενος. Τὰ προσήκοντα δὲ τῇ φύσει παθὼν, ἅτε δὴ πείνῃ σχεθείς, ἐκὼν ἀνίετο τῷ πειράζοντι, ὃς καὶ νοητῶς τῷ θείῳ προσβάλλων νοΐ, τὴν πεῖραν προσῆγε· καὶ τοῖς τρισὶ καὶ ἐπικρατεστέροις τῶν παθῶν προσγυμνάζων, πρώτῳ μὲν, Εἴπερ, φησὶν, ὡς ὑπέλαβον, υἱὸς εἶ τοῦ Θεοῦ, μεταποιηθῆναι τοὺς λίθους εἰς ἄρτους κέλευε· αὖθις δ' ἐπὶ τὸ πτερύγιον ἀνῆγε τοῦ ἱεροῦ, καὶ βάλλειν ἑαυτὸν κάτω ἐνεκελεύετο· καὶ τὸν κίνδυνον ἧκιστα ὑφορᾶσθαι προσυπετίθει. Εἶτ' εὐθὺς καὶ τὴν προφητείαν προῆC γε κατάλληλον. Ἐπὶ τούτοις καὶ τῇ κενοδοξίᾳ ἐλεῖν σπουδάζων, πάσας ὑπεδείκνυ τὰς βασιλείας· καὶ δοῦναι τούτῳ ταύτας καθυπισχνεῖτο, εἰ πεσὼν αὐτὸν προσκυνήσειε, πειράζων τὴν ἐπίδειξιν τῆς θεότητος. Ὡς δ' ἐπὶ πᾶσιν ἀνθίστατο τῷ πειράζοντι, τὰς γραφικὰς μαρτυρίας παραδεικνὺς, ὀπίσω τε τὸν Σατανᾶν ἔπεμπε, καὶ νικηφόρος ἐκεῖθεν κατῄει, οὐ κατὰ τῶν εἰρημένων μόνον, ἀλλὰ καὶ κατὰ πάσης τῆς προσβολῆς ἐκείνου τῷ ἀνθρωπίνῳ μέρει κρείττων γενόμενος· ὅλαις δ' οὖν καὶ ταῖς ἐνεργείαις καὶ δυνάμεσι τοῦ θείου Πνεύματος συγκροτούμενος, ἀγγέλων τε δορυφορίαις ὡς προσῆκον διακονούμενος, τὴν μὲν ἔρημον ἀταλείπει, ταῖς δὲ πόλεσι τῆς Ἰουδαίᾳ, καὶ Γαλιλαίας ἔπεισι· καὶ τῷ ἔθνει παντὶ τοῦ Ἰσραὴλ ἐπιδημῶν, μετανοεῖν παρηγγύα· παρεῖναι D γὰρ, καὶ ἤδη ἐπὶ θύραις εἶναί τὴν τῶν οὐρανῶν εὐηγγελίζετο βασιλείας. Ἀρχὴν δ' ἐντεῦθεν τοῦ Εὐαγγελίου ὑποβαλόμενος ὁ θεαρχικὸς Λόγος, οἷόν τινα τῆς κοινῆς φύσεως ἀκροθίνια καὶ ἱερὰς ἀπαρχὰς, οὐ μετὰ πλεῖστον τοῦ κηρύγματος χρόνον τὴν δωδεκάδα τῶν θείων ἐπιλέγεται μαθητῶν, οὓς καὶ ἀποστόλους κατά τι γέρας ἐξαίρετον κατωνόμασε. Καὶ δῆτ' Ἀνδρέας μὲν πρώτιστος, ἅτε δὴ τῷ Προδρόμῳ τελέσας εἰς μαθητὴν, καὶ τὰ περὶ Ἰησοῦ παρ' ἐκείνου πρὸς ἀκρίβειαν ἠνωτισμένος, σύναμα Πέτρῳ τῷ ἀδελφῷ τὸν πατέρα καὶ τὸ πλοῖον, καὶ ἄλλο εἴ τι προσῆν αὐτοῖς διαῤῥίψαντες, πρόσεισιν. Εἶτα Ἰάκωβος καὶ Ἰωάννης, οἱ τῷ Ζεβεδαίῳ γεννηθέντες, οὓς καὶ υἱοὺς βροντῆς ἐπωνόμασιν, ἔπεισης καὶ

οὗτοι διαπραξάμενοι, πατέρα τε καὶ πλοῖον ἀφέντες, κατόπιν εἵποντο. Φίλιππος ἐπὶ τούτοις ἀπὸ Βηθσαϊδὰ ἐγγειτόνων τὴν οἴκησιν ἔχων Ἀνδρέᾳ καὶ Πέτρῳ, μαθητὴς ἐχρημάτιζεν. Ἔπειτα Θωμᾶς ὁ καὶ Δίδυμες κεκλημένος παρείπετο. Ἕβδομος ὁ Βαρθολομαῖος συνῆν αὐτῷ· καὶ Ματθαῖος ὁ ἐκ τελωνίου πρὸς τούτοις. Σίμων ἐπὶ τούτοις ὁ Κανανίτης, καὶ ὁ τοῦ Ἀλφαίου υἱὸς Ἰάκωνος· ἐν οἷς καὶ Ἰούδας, ἀδελφὸς μὲν Ἰακώβου, ὃς ἐπεκλήθη καὶ Ἀδελφόθεος· τοῦ μνήστορος δὲ καὶ ἄμφω παῖδες ἦστην. Ὕστατος δὲ καὶ δωδέκατος Ἰούδας ὁ καὶ Ἰσκαριώτης καλούμενος. Καὶ αὖθις ἑτέρους ἐπιλέγεται ἑβδομήκοντα· οὓς καὶ αὐτοὺς ἀνὰ δύο ἐπὶ πᾶσαν πόλιν καὶ χώραν πρὸ προσώπου αὐτοῦ ἔπεμπεν, ὅπου δὴ καὶ αὐτὸς ἐν ὕστερον ἀπέρχεσθαι ἔμελλε. Τούτους δὴ τοὺς δώδεκά τε καὶ ο' ὁ Κύριος προσεταιρισάμενος, καὶ ἑαυτῷ προσήκειν κατ' ἐκλογὴν, ὑπηρέταις πιστοῖς ἐχρῆτο, καὶ συνεργοῖς τοῦ Εὐαγγελίου· ἐκοινώνει τε τούτοις ἠρέμα τῶν ἀπορρήτων καὶ θεουργῶν τελετῶν, προβιβάζων εἰς τελειότητα· καί γε τούτοις ὡς οἰκείοις παισὶ χρώμενος, οὕτω διῄει πᾶσαν πόλιν καὶ χώραν. Καὶ πρῶτον μὲν τὸ δοκοῦν οἰκεῖον ἔθνος τὸν Ἰσραὴλ περιήρχετο· καὶ γὰρ ἐχρῆν τὸν εὖ πράττειν ἀρχόμενον τοῖς οἰκείοις πρῶτα τας κρηπῖδας τούτου καταβαλέσθαι· εἶθ' οὕτω καὶ τοὺς πόρρωθεν ἐπιφθάνειν τὴν χάριν ὑπερχεομένην καὶ ἐπιβλύζουσαν.

A Petrus frater, patrem, navigium, et quidquid præterea habuerant reliquum, abjicientes, se ei conjungunt. Deinde Jacobus et Joannes Zebedæo progeniti, quos etiam filios tonitrus cognominavit; itidem ut illi facientes, patremque et navigium relinquentes, eum sequuntur. Philippus quoque a Bethzaida, vicinam Andreæ et Petro domum habens, hosces consecutus, discipulus esse jubetur. Deinceps Tomas, qui et Didymus dictus est, septimusque Bartholomæus eum comitantur: item Matthæus, ex publicanis: et Simon Chananæus His accedit Alphæi filius Jacobus (1), et Judas Jacobi germanus, qui frater Domini cognominatus est: uterque autem sponsi, Josephi scilicet, filii fuere. Ultimus porro et duodecimus Judas fuit, B qui et Iscariotes dictus est. Insuper vero alios quoque allegit septuaginta, quos et ipsos in civitatem et regionem omnem binos ante faciem suam, 93 quo postea ipse iturus fuerat, dimittit. Hisce duodecim et septuaginta Dominus in societatem arctiorem accitis atque delectis, fidelibus utebatur ministris, Evangeliique cooperariis: sensimque cum eis arcana, ineffabilia deificaque prorsus communicabat sacra, magis magisque eos ad perfectionem producens, ac non aliter atque propriis filiis eis utens, omnem civitatem atque regionem perambulabat. Et primum quidem ad eam quæ peculiaris ei esse videbatur, Israelis accessit gentem. Æquum quippe erat, bene atque benigne facere incipientem, primum apud familiares suos benignitatis jacere fundamenta, ac sic deinceps eos quoque qui remotiores essent, in exuberantem ac redundantem recipere gratiam.

ΚΕΦΑΛ. ΚΒ'.

Τίς ὁ σκοπὸς τῆς εὐαγγελικῆς διδασκαλίας τῶν ἐντολῶν· καὶ τίς ἡ τῶν παραβολῶν δύναμις· ὅτι διὰ πράξεως καὶ θεωρίας εἰς τὴν θείαν καὶ τελείαν ἀγάπην ἀγόμεθα, θεοειδεῖς γινόμενοι καὶ συγκληρονόμοι Χριστοῦ.

C

CAPUT XXII.

Quis finis sit præceptorum evangelicæ doctrinæ, quæ parabolarum vis, quod scilicet per opera et contemplationem ad divinam et perfectam ducamur charitatem, Deo similes facti, et cohæredes Christi.

Λόγοις τοιγαροῦν καὶ ἔργοις ἐφ' ἅπασι τῆς εὐεργεσίας θεωρουμένης, λόγοις μὲν σοφίας ὑπερτελοῦς ὁ ὑπέρσοφες Λόγος τοῦ Θεοῦ καὶ συνέσεως ὑγιοῦς, καὶ νόμοις ὑπερφυέσι τοῦ Πνεύματος τῆς ζωῆς, τοὺς μαθητιῶντας ἀκριβῶς ἤσκει, πρὸς θεωρίαν Θεοῦ ἐνάγων καὶ κατανόησιν· ἔτι δὲ καὶ πρὸς πρᾶξιν θεοριδῆ, καὶ πρὸς μίμησιν θείαν, κατ' ὀλίγον ἐπιβάλλων τούτοις τὰ τῆς ἀρετῆς χρώματα· ἔργοις δὲ τεράτων καὶ σημείων ἐξαισίων τὸ τῆς θεοσόφου γνώσεως ὕψος πιστούμενος, εἰς συγκατάθεσιν καὶ πίστιν ἦγε τῆς πρεσβευομένης ἀληθείας· καὶ διὰ πίστεως, τῇ τῆς τελειότητος ἐλπίδι συμβιβάζων καὶ συγκρατῶν δι' ἀμφοῖν, τῇ κορυφαίᾳ καὶ ἀκροτάτῃ προσανῆγε τῶν ἀρετῶν· τῇ ἀγάπῃ δηλαδὴ τοῦ Θεοῦ. Καὶ τοίνυν οὕτω τοὺς οἰκείους ἀκροατὰς τε καὶ θεατὰς ἐκπαιδεύσας, ἔργοις τε καὶ λόγοις, ὥς γε ἦν εἰκὸς, διὰ πίστεως καταρτισάμενος· καὶ παντὶ τῷ κόσμῳ αὐτοὺς παρασχὼν, πᾶσαν εὐθεῖαν ψυχὴν διὰ τῆς αὐτῶν διδασκαλίας ἐκπαιδεύει καὶ προσοικειοῖ ἑαυσῷ, καὶ ὡς ἑνόν γε, θεοῖ καὶ τῆς δικαιο-

Beneficentia porro ejus in sermonibus et factis omnibus egregie est spectata. Siquidem sapientissimum Verbum Dei sermonibus perfectæ sapientiæ et sanæ intelligentiæ, necnon naturam superantibus Spiritus vitæ legibus discipulos suos certo et accurate exercebat, ut eos ad contemplationem et cognitionem Dei, præterea ad actiones Deo placitas, imitationemque divinam adduceret, paulatim eis virtutis colores adumbrans: factis vero prodigiorum et miraculorum immensorum magnitudinem cognitionis divinæ confirmans, ut crederent, fideque certa assentirentur a se prædicatæ D veritati, persuadebat. Atque per fidem et spem perfectionis conceptam eos producens, ac per utramque conservans atque protegens, ad præcipuam et summam virtutem, amorem scilicet Dei, provehebat. Enimvero ad eum modum familiaribus auditoribus spectatoribusque suis edotis, factisque et doctrinis per fidem, ut par erat, confirmatis corroboratisque, in orbem eos universum mit-

(1) Jacobus iste alter est a Jacobo Alphæi, primus ab apostolis Hierosolymorum episcopus creatus, cujus exstat epistola canonica.

tit, animamque rectam omnem per doctrinam eorum erudit, sibi ipsi familiariter adjungit, et, quoad ejus fieri potest, deificat, justitiaque dignatur. Accurationem sane exactioremque evangelicæ doctrinæ **94** orationem, et magnificam miraculorum Christi, et sigillatim quæque exponentem commemorationem, quaternio discipulorum eorumdemque evangelistarum Christi repræsentat. Æquum vero mihi videtur, hæc denuo persequi, et non illa quidem, quasi præsentis sint instituti aut propositi, ut fusius, sed summatim tantum perstringantur, peropus esse duco : itidem ut in arte et disciplina omni necesse est, finem et utilitatem ejus cognoscere, siquidem non otiose et quasi aliud agens quispiam doctrinæ et incumbere velit. Sicuti igitur in aliis, ita in hoc quoque studio, eos qui ex præscripto Evangelii vitam sibi agendam constituerunt, finem ejus in primis, videlicet quænam utilitas eos qui per id ad perfectionem consequendam aspirant, consequatur, scire convenit. Itaque quemadmodum doctori omni ille finis propositus est, ut discipulum, quoad ejus fieri potest, disciplinæ communicatione sibi reddat persimilem : itidem præceptori Christo Jesu, qui revera summe bonus est, constitutum scilicet est, quantum humana permittit conditio et fragilitas, unumquemque per Evangelium ad se accedentem sibi ipsi conformare, atque ita conformatos filios suo exhibere Patri, et hæredes quidem Dei, cohæredes vero per eam adoptionem quæ gratia obtigit, ipsius unigeniti et primogeniti Jesu Christi constituere. Quapropter ad hunc tam magnum et mirificum Evangelii finem, et tam insigni adoptionis honorem spectantes, unumquodque seorsim præceptum ejus ad animum adducere, et penitius perspicere debemus. Horum siquidem aliqua rationalem animæ partem repurgnant,longeque ignorantiam inscitiamque omnem exigentia, quidquid est in rationis nostræ cogitationibus vanitatis, abjiciunt atque repellunt, et pro eis cognitionem Dei amantem Deoque gratam, prudentiamque cum ratione recta inducunt. Quædam vero ferociores animi affectus ordinant atque constituunt ; incompositos enim, inobedientes et rebelles, quasi catenis constringunt, iramque et vociferationem vehementiorem atque deformiorem omnem, præterea blasphemiam et maledictionem vel diminuentia, vel prorsus eximentia tollunt : morem vero mitem et mansuetum, animumque æquum et fortem, rite atque ordine omnia exsequentem, substituunt. Nonnulla autem, cum cura et diligentia servata, partem animæ cupibitati obnoxiam erudentia, componunt : stuprum, omnemque alim impuritatem et immunditiem, et (ut uno verbo simpliciter dicam) omnem cordis malam affectionem atque perturbationem abolent et exstinguunt : **95** puritatem vero, sobrietatem, temperantiam, pudorem, omnique appetitu malo carenA σύνης καταξιοῖ. Τὴν μὲν οὖν ἀκριβῆ καὶ πρὸς λεπτὸν τῆς εὐαγγελικῆς φωνῆς ἐξήγησιν, καὶ τὴν ἐν μέρει τῶν Χριστοῦ θαυμάτων μεγαλοπρέπειαν, ἡ τετρακτὺς τῶν Χριστοῦ μαθητῶν παρίστησιν εὐαγγελιστῶν. Εἰκαῖον δ' ἔμοιγε φαίνεται καὶ αὖθις αὐτὰ διεξέρχεσθαι, μὴ τῷ παρόντι σκοπῷ προσήκοντα· ἐν κεφαλαίῳ μέντοι ταῦτα διαλαβεῖν χρεὼν μάλιστά γε καὶ ἀναγκαῖόν ἐστιν. Ὥσπερ τοίνυν ἐφ' ἑκάστου πράγματος καὶ ἐπιστήμης ἀνάγκη τὸν σκοπὸν εἰδέναι, καὶ τὸ ὠφέλιμον τὸ ἐκ τοῦ μαθήματος· εἴ τῳ μὲν παρέργως μέλοι ταῖς μελέταις συντείνεσθαι· ὥσπερ οὖν ἐν τοῖς ἄλλοις, οὕτω καὶ τὸν κατὰ τὸ Εὐαγγέλιον ἠρημένον ζῆν τὸν τούτου σκοπὸν εἰδέναι πρῶτον χρεών, καὶ τίς ἡ ἐντεῦθεν ὄνησις τοῖς κατ' αὐτό γε τὴν τελείωσιν λαβοῦσιν ἐφέπεται· καὶ τοίνυν
B ὥσπερ σκοπὸς παντὶ διδασκάλῳ, ὥς γ' ἐφικτὸν ἐκείνῳ τῇ τῶν μαθημάτων κοινωνίᾳ τὸν μαθητὴν ὁμοιῶσαι· οὕτω τῷ ὄντες ὄντι ὑπεραγάθῳ διδασκάλῳ Ἰησοῦ Χριστοῦ, ὅσον ἀνθρωπίνῃ ἐφεῖται φύσει, ἑαυτῷ τὸν διὰ τοῦ Εὐαγγελίου προσιόντα πάντα σκοπὸς ὁμοιοῦν· οὕτω δ' ἐξομοιωθέντας, τέκνα τῷ ἐκείνου ἀναδεῖξαι Πατρί· κληρονόμους μὲν Θεοῦ, συγκληρονόμους δὲ διὰ τῆς κατὰ χάριν υἱοθεσίας καταστῆσαι αὐτοῦ τοῦ μονογενοῦς καὶ πρωτοτόκου Ἰησοῦ Χριστοῦ. Ἔνθεν τοι καὶ πρὸς τὸν οὕτω μέγαν καὶ ὑπερφυᾶ τοῦ Εὐαγγελίου σκοπὸν, καὶ πρὸς τὸ τῆς τηλικαύτης υἱοθεσίας ἀποσκοποῦντας γέρας,
C καὶ τὰς καθ' ἕκαστον ἐντολὰς ἐνάγειν καὶ θεωρεῖν δεῖ· ὡς αἱ μὲν αὐτῶν τὸ λογιστικὸν ῥυθμίζουσαι καὶ ἀνακαθαίρουσαι, μακράν που διωθοῦσι πᾶσαν ἄγνοιαν καὶ ἀφροσύνην· καὶ ὅσον τῆς ματαιότητος ἐν λογισμοῖς ἀποσοβοῦσι καὶ ἀπελαύνουσι· θεοφιλῆ δὲ γνῶσιν καὶ φρόνησιν εὔλογον ἀντεισάγουσιν· αἱ δὲ τῶν ἐντολῶν τὸ θυμοειδὲς τάττουσι, καὶ ἀτακτοῦν ἀνασειράζουσι θυμόν τε πᾶσαν κραυγήν τε καὶ βλασφημίαν ἐξαίρουσι, μειοῦσαι ἢ ἀναιροῦσαι· πραότητα δὲ πᾶσαν καὶ ἐπιείκειαν ἐν ἀνδρίᾳ ψυχῆς κατορθοῦσιν. Ἄλλαι δὲ ἀκριβῶς τηρούμεναι, τὸ ἐπιθυμητικὸν καθιστῶσι, πορνείαν καὶ πᾶσαν ἄλλην ἀκαθαρσίαν, καὶ σύμπαν ἁπλῶς εἰπεῖν πάθος καρδίας μαραίνουσαι καὶ ἐξαφανίζουσαι· ἁγνείαν δὲ καὶ σωφροσύνην καὶ ἀπάθειαν, καὶ οἱονεὶ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος καθαρότητα καὶ
D ἀμνότητα εἰσοικίζουσιν· αἱ δὲ ἄλλην αἴσθησιν παιδαγωγοῦσι, καὶ τὴν γλῶσσαν ῥυθμίζουσι. Πᾶσαι δ' οὖν καλῶς τῷ πνεύματι ἐνεργούμεναι εἴτουν κατορθούμεναι μετὰ διακρίσεις, πρακτικοὺς τοὺς αὐτῶν ποιητὰς ἐνεργοῦσιν· ἀγαθούς τε καὶ δικαίους, χρηστούς τε ἅμα καὶ ἐπιεικεῖς, ἐλεήμονάς τε καὶ φιλοθέους· καὶ συνόλως εἰπεῖν, πᾶσαν ἀδικίαν καὶ παρανομίαν εἰς τέλος ἐκ καρδίας ἀποστρέφεσθαι παρασκευάζουσι· δικαιοσύνην δὲ πᾶσαν καὶ ἀρετὴν κατὰ τὸ ἀναλογοῦν τῆς πρὸς τὸν διδάσκαλον ὁμοιώσεως ἐφέσκειν· ὡς ἐντεῦθεν καὶ εἰς διάθεσιν καρδίας εἴτουν ἕξιν τἀγαθοῦ πεφθακότας, καὶ ὡς ἑνόν γε διατηροῦντας, μηκέθ' ἁμαρτάνειν δύνασθαι κατηρτισμένους εἰς τελειότητα, ὡς ἀνθρώπῳ δύναμις πάρεστιν· ὥσπερ ὁ τῶν καλλίστων αὐτοῖς ἡγεμὼν καὶ διδάσκαλος. Οὕτω δὲ τελειωθεῖσι διὰ τῆς τῶν ἐντολῶν

πρακτικῆς γνώσεως, ἐξ ἑτοίμου εἶναι αὐτοῖς διὰ τῆς πρακτικῆς καὶ τὴν τῆς θεωρίας ἐπιβασιν. Καὶ γοῦν τις φόβῳ Κυρίου τὰς ἐντολάς ἐστι κατορθῶν, καὶ ἅμα τῆς θείας γλυκύτητος καὶ ἀγάπης καταξιοῦται· καὶ ὥσπερ τι ἔπαθλον ταύτης κατ' ἀναλογίαν τῆς προκοπῆς, τῶν θείων μυστηρίων καρποῦται τὴν ἀποκάλυψιν· καὶ ὧν οὐδὲ ἀκούειν οἷός τέ ἐστιν, ἄπρακτος ὤν, διὰ τῆς πράξεως ἥκων, σαφῶς καταθρεῖ· ὧν τε οὐ συνίησιν ἑρμηνευομένων, πόῤῥω πράξεως ὤν, αὐτὸς ἑρμηνεὺς καθίσταται ἄριστος, τὴν πρακτικὴν μετιών. Καί γ' ἐπήβολος τῶν ἀῤῥήτων τὴν πρακτικὴν μετιών. Καὶ γ' ἐπήβολος τῶν ἀῤῥήτων τῇ θεωρίᾳ κομιδῇ γίνεται· καὶ τὸ τῶν θείων βάθος παραβαλὼν, ἐρεύνᾳ, καὶ ἀκλύστως τοῖς τῆς σοφίας βυθοῖς ἀνανήχεται. Παραβολὰς οὖν ὁ τοιοῦτος καὶ αἰνίγματα πρὸς οἰκοδομὴν τῶν μαθητευομένων τῷ ἴσῳ πνεύματι προτίθησι· καὶ ἀναβάσεις ἐν καρδίᾳ νοερῶς ἐποικοδομεῖ, τὸ τῆς Θεοῦ σοφίας ἄδηλά τε καὶ κρύφια ἱερῶς τε ἅμα καὶ μυστικῶς θεωρῶν. Ἀλλ' ἡ μὲν τῶν εὐαγγελικῶν ἐντολῶν καὶ παραβολῶν, ὡς ἐν βραχεῖ φάναι δύναμις, ἐν τούτοις· πρακτικούς τε γὰρ καὶ θεωρητικοὺς καὶ φιλοσόφους τῷ ὄντι, καὶ ἀποστολικὸν ἐπανῃρημένους βίον, ἀδελφοὺς τε καὶ συμμεριστὰς τοῦ Χριστοῦ τοὺς κατ' ἐκείνας ἐντελεῖς, ἀποφαίνουσιν. Ἐπεὶ δ' οὖν τῶν ἀμηκάνων ἐστὶ καὶ τῶν μὴ δυνατῶν τὴν ἀνθρωπίνην φύσιν οἴκοθεν κινουμένην τῇ φυσικῇ ῥώμῃ εἰς τὸ τέλειον τῆς πράξεως ἐπιβῆναι. ἢ τῷ ὕψει τῆς θεωρίας ἐπιβαλεῖν, εἰ μή τις τοῖς τῆς καρδίας μυχοῖς τὸν Σωτῆρα Κύριον ὡς Θεὸν τέλειον καὶ ὁμοσθενῆ τῷ Πατρὶ καὶ ἄνθρωπον τέλειον οἷά τινα θεμέλιον ἀῤῥαγῆ προβάλλοιτο, καὶ αὐτῷ ἀρωγῷ κεχρημένος προσεύχοιτο, πρός τε πᾶξιν καὶ θεωρίαν εὐθυνθείη· ὃ δὴ τότε μὲν αὐτὸς δι' ἑαυτοῦ τοῖς ἰδίοις ὁ Κύριος Ἰησοῦς ὑπέφηνε θιασώταις, ἐξῆς δὲ καὶ πάσαις ταῖς τῶν ἀνθρώπων γενεαῖς διὰ τῶν ἱερῶν Εὐαγγελίων καὶ διδάσκει καὶ καταγγέλλει, Θεὸν καὶ ἄνθρωπον εἶναι τέλειον ἑαυτὸν ἐμφανῶς παριστῶν. Τοῦτο χρὴ καὶ ἡμᾶς πρὸ παντὸς ἐννοοῦν τας, Θεόν τε καὶ ὑπὸ τῶν τούτου ἐντολῶν καταρτιζομένους, ἀνατρέχειν πρὸς τὴν ἔνθεον ἐκείνην τελείωσιν.

A tem constantiam, denique innocentiam et munditiem, atque omni carnis simul et spiritus contaminatione et inquinamento vacuam castitatem introducunt. Omnia denique, aliud alium sensum, pædagogorum more, erudiunt atque instruunt, et linguam recte formant atque frenant. Omnia etiam ea præcepta, per spiritum efficaciam suam consecuta, riteque et cum judicio in animo concepta, alacres et vividos exsecutores eorum efficiunt, bonos scilicet et justos, placidos simul et æquos, item misericordes et Dei amantes : et, ut summatim dicam, injustitiam et iniquitatem quamque nos omnino ex corde ejicere, atque eas aversari, justitiam vero omnem et virtutem, juxta proportionem conformationis et similitudinis ad B doctorem ipsum, exercere et meditari docent : ut deinde, cum jam ad dispositionem affectionemque cordis, atque adeo ad boni habitum pertigerint, et ea quantum fieri potest observarint, non amplius peccare possint : quippe ad perfectionem, quam vis humana capit, compositi atque deducti, perinde scilicet atque ipse qui eis præiit rerum optimarum magister et præceptor. Cæterum ad eum modum per effectricem cognitionem præceptorum ad perfectionem perductis, proclivis facilisque fit, per effectricem eam vim, ad contemplatricem sublimitatem transitus. Si quis enim præcepta recte exsequendo, per timorem Domini, implet, eum ille simul divina dulcedine et charitate dignatur. Ita is demum effectricis operum virtutis, tanquam præ- C mium, juxta profectus proportionem, revelationis divinorum mysteriorum percipit fructus. Et quas res ne audire quidem potest, cum ab effectrice virtute otiosus abest, eas, per opera aditum sibi faciens, clare et evidenter contemplatur. Et quæ intelligendo non assequitur per interpretationem exposita, ab operum effectrice remotus, ea effectricem persequens ipse quam optime interpretatur, composque fit rerum arcanarum et ineffabilium omnino per contemplationem : ac divinarum scientiarum altitudinem aggressus, eas inquirit, sapientiæque profundo libere atque sine periculo innata. Itaque is parabolas et ænigmata ad ædificationem discentium eodem proponit spiritu, e quasi gradus et ascensus in corde sibi per mentis acumen construit : res obscuras, abstrusas et abditas sapientiæ Dei, sancte simul et mystice contemplans. Sedenim præcepta et parabolæ Evangeliorum, quatenus eæ breviter dici possunt, in his quæ perstrinximus sunt sitæ. 96 Effectores namque operum atque contemplatores, verosque philosophos, qui apostolicam plane vitam degen dam eligant, imo fratres etiam et participes Christi, eos qui juxta ea præcepta ad perfectionem pertingunt, efficiunt. Porro fieri efficique non potest, ut hominis natura et tenuitas, proprio concita motu et vi nativa, vel ad perfectionem effectricis virtutis pertingat, vel ad altitudinem contemplationum aspiret, nisi quis intimo corde suo Salvatorem Dominum, ut Deum perfectum, atque eadem cum Patre potentia et virtute, eumdemque hominem perfectum, tanquam quoddam firmissimum fundamentum jecerit : atque eo adjutore utens, sedulo oret, ut ei simul et operum effectio, et arcanorum contemplatio recte succedet. Quod sana tum quidem ipse per seipsum Dominus Jesus suis ostendit sectatoribus : deinceps vero et omnes omnium hominum nationes, per sacra Evangelia docuit, videlicet, Deum se et simul hominem perfectum esse clare et diserte astruens. Id nos quoque in primis considerantes, Deum ipsum et Dominum, eumdemque hominem perfectum profiteri oportet, et per præcepta ejus probe instructos, ad divinam illam contendere et anhelare perfectionem.

CAPUT XXIII.

Quænam opera in Evangelio descripta, Christum perfectum hominem, quæ item perfectum Deum esse declarent.

Verum enimvero, quod perfectus natura homo Dominus sit, citra tamen naturæ inquinationem et sordes, aperte astruit novem illa mensium, qua in utero gestatus est, fœtura nativitas ejus, educatio, baptismus, tentationes, fames, sitis, labores, fatigationes, lacrymæ, angores, somnus, tædium, et quæcunque sunt hominum naturales et irreprehensibiles affectiones : adhæc alapæ, colaphi, flagra, contumeliæ, irrisiones ; sputus (1), sannæ ludibria, et reliqua ejusmodi : præterea crux, clavi, acetum, fel, lancea : postrema denique, mors, funus, et sepultura. Atque hæc quidem a discipulis tum, ad confirmandam carnis ejus fidem, sunt spectata, posteris autem ex ordine omnibus, ea sacrorum Evangeliorum scripta exhibent atque repræsentant. Itaque hæc omnia, Servatorem verum esse hominem, satis indicant. **97** Quod vero idem perfectus sit Deus, extra confusionem et contaminationem omnem (ut qui ad subsistentiam suam divinam, humanam inseparabili modo naturam susceperit, peculiaresque ejus naturæ conditiones sibi proprias reddiderit, neque dedecere se quicunque illi sunt naturales et irreprehensibiles affectus putaverit) manifesto declarat: primum expers seminis e virgine nativitas, et qui circa eam auditi sunt, cœlestis et angelicæ militiæ, gloriam canentis, magnifici hymni : stella itineris Magorum dux, horumque secreto res magnas insinuans muneratio et adoratio : præterea circa baptismum eximia Joannis testificatio : eaque longe sublimior, quæ cœlis apertis prorupit, paterna vox : et qui inde in columbæ specie super ipsum descendit Spiritus, vocem eam in eum qui baptizabatur peculiariter trahens, Filium dilectum cœlitus intonans : et alia multa, quæ sigillatim recensere præsentis operæ non est. Satis porro ea quæ dicta sunt, divinitatis ejus fidem fecerint illis, qui perspicere eam et intelligere solide possint. Cæterum, ut crassus quoque iste et tenebris obsitus mundus illustraretur, et homines in caligine versantes immensam incredibilis et plusquam infiniti divini in genus humanum amoris lucem conspicerent, divitiasque bonitatis ejus cognoscerent, prodigiis et miraculis longe maximis edendis, fidem hominum luculentius adaugens et confirmans, magis atque magis per ea Deus idemque homo Verbum divinitatem suam comprobavit.

CAPUT XXIV.

Brevis commemoratio admirandorum et supernaturalium miraculorum Domini nostri Jesu Christi, in quatuor Evangeliis expressorum, quæ quidem miracula certissimum divinitati ejus perhibent testimonium.

Et singula quidem seorsim miracula, quibus divinitas ejus est declarata, in præsentia oratione complecti et explicare, tantum abest ut nostræ,

(1) « Imputato ore exspuent venenatos sputus. » (Lactant.)

ΚΕΦΑΛ. ΚΓ'.

Τίνα τῶν ἐν τῷ Εὐαγγελίῳ ἔργων ἄνθρωποι τέλειον ἐμφαίνουσι τὸν Χριστόν · τίνα δὲ πάλιν θεὸν τέλειον.

Ἀλλ' ὅτι μὲν ἄνθρωπος τέλειος τὴν φύσιν ὁ Κύριος, ἐκτὸς δηλαδὴ τῶν τῆς φύσεως μολυσμάτων, παρίστησι σαφῶς ἡ ἐννεάμηνος κύησις, ἡ γέννησις, ἡ ἀνατροφή, τὸ βάπτισμα, οἱ πειρασμοί, ἡ πεῖνα, ἡ δίψα, ὁ κόπος, τὸ δάκρυον, ἡ ἀγωνία, ὁ ὕπνος, ἡ ἀκηδία, καὶ ὅσα φυσικὰ τοῖς ἀνθρώποις πάθη καὶ ἀδιάβλητα · πρὸς τούτοις τὰ ῥαπίσματα, τὰ κολαφίσματα, αἱ μάστιγες, οἱ ἀνειδισμοί, οἱ γέλωτες, τὰ ἐμπτύσματα, ὁ μυκτηρισμός, ἡ χλεύη, καὶ τὰ λοιπά · πρὸς δὲ ὁ σταυμός, οἱ ἧλοι, ὄξος, χολή, λόγχη, καὶ τὸ τελευταῖον, θάνατος, κηδεία τε καὶ ταφή. Καὶ ταῦτα μὲν τοῖς μαθηταῖς τηνικάδε ἐωρᾶτο εἰς πίσιωσιν τῆς σαρκός · πᾶσι δὲ τοῖς ἐσεξῆς ἡ τῶν θείων Εὐτγγελίων παριστάνει γραφή · καὶ ταῦτα μὲν, ὅτι τέλειος ἄνθρωπος ὁ Σωτήρ · ὅτι δὲ ὁ αὐτὸς καὶ θεὸς τέλειος, σογχύσεως δίχα καὶ φυρμοῦ, ἀδιαιρέτως τῇ ἑαυτοῦ ὑποστάσει τὴν ἀνθρωπίνην προσελάβετο φύσιν, καὶ τὰ ἰδιώματα ταύτης προσῳκειώσατο, μηδ' ὅλως ἐν αἰσχύνης λόγῳ πτιούμενος. Καὶ ὅσα ταύτη πρόσεστι πάθη φυσικά τε καὶ ἀδιάβλητα, σαφέστατα παρίστητι πρῶτον ἡ ἄσπορος ἐκ παρθένου γέννησις, καὶ ἡ ἐπ' αὐτῇ δοξολογία τῆς οὐρανίου καὶ ἀγγελικῆς στρατιᾶς, ἀστὴρ ποδηγῶν Μάγους, καὶ ἡ ἐκείνων μετὰ συμβολικῶν δώρων προσκύνησιν, καὶ ἡ ἐπὶ τὸ βάπτισμα μαρτυρία τοῦ Ἰωάννου, καὶ ἡ μείζων αὐθις αὐτῆς, ἡ τῶν οὐρανῶν ἀνεῳγότων καταῤῥαγεῖσα φωνὴ Πατρική, καὶ τὸ περιστερᾶς ἐν εἴδει ἐκεῖθεν ἐριπτάμενον Πνεῦμα, τὴν φωνὴν ὥσπερ ἕλκον ἐπὶ τὸν βαπτιζόμενον. Υἱὸν ἀγαπητὸν εἶναι τοῦτον βροντήσασα ἄνωθεν · καὶ τἄλλα ἃ κατὰ μέρος διεξιέναι οὐ τῆς παρούσης πραγματείας ἐστίν. Ἱκανὰ μὲν οὖν καὶ ταῦτα τοῖς ἐντελῶς ὁρᾷν δυναμένοις εἰς πίστωσιν τῆς θεότητος · ἵνα δὲ καὶ ὁ παχὺς καὶ ὡσανεὶ ἐν σκότῳ κείμενος κόσμος διαυγασθῇ, καὶ τὸ μέγα τῆς ὑπεραπείρου φιλανθρωπίας φῶς οἱ ἐν ζόφῳ κείμενοι καταθεωρήσωσι, καὶ ὁ πλοῦτος γνωρισθῇ τῆς χρηστότητος, καὶ σημείοις τε καὶ τέρασιν ἐξαισίοις, φωτίζων τε ὁμοῦ καὶ στηρίζων τῇ πίστει, ἐκφανῇ καὶ διὰ τούτων ὁ θεάνθρωπος Λόγος τὴν αὐτοῦ θεότητα ἐπιστώσατο.

ΚΕΦΑΛ. ΚΔ'.

Ἐπιτομὴ τῶν ἐν τοῖς τέσσαρσιν Εὐαγγελιοις ὑπερφυῶν θαυμάτων τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τὴν τούτου πληροφορούντων, θεότητα.

Τὰς μὲν οὖν καθ' ἕκαστα τῶν αὐτοῦ θεοσημιῶν τό γε νῦν τῷ λόγῳ διατρανοῦν μήτοι γε ἡμῖν τοῖς πολλῷ τῷ χρόνῳ καὶ τρόπῳ τῆς ἐκείνων ἀφεστῶσι

θεωρίας δυσέφικτα· ἀλλ' οὐδ' αὐτοῖς τοῖς θείοις εὐαγγελισταῖς ἕκαστα τῶν ὁραθέντων ὑπῆρξε διεξελθεῖν· ὥσπερ ἡλιακὰς ἀκτῖνας καὶ κυμάτων ἐπεμβολὰς, δυσχερὲς παντάπασι θεωρεῖν καὶ ἀναμετρεῖν. Ἐκείνοις καὶ γὰρ τὰ ἐπισημότατα καὶ εἰς πειθὼ εὐπαράδεκτα τοῖς ἀκούουσιν εἰπεῖν ἐξεγένετο, τὰ πλείω παραλιποῦσιν, ἅτ' εἰδόσι μὴ ῥᾴδιά γε εἶναι τῷ κόσμῳ πιστεύεσθαι, καὶ τοῖς τὰ τούτου φρονοῦσι, καὶ παχυτέροις τὸν νοῦν. Εἰς τοῦτο γὰρ οἶμαι συντείνει καὶ τὸ, Ἐὰν γράφηται καθ' ἕν, μηδ' αὐτὸν οἷόν τε τὸν κόσμον χωρήσειν τὰ γραφόμενα βιβλία. Διὸ καὶ ἡμεῖς, ὅσα πρὸς τὴν ἀφήγησιν ἐπιτόμως διελθεῖν συντείνοντα ἠρημένοι, πρὸς τὰ ἐφεξῆς τοῦ λόγου χωρήσομεν. Τίνα τοίνυν εἰσὶν ἃ τὴν Ἰησοῦ πληροφοροῦσι θεότητα; Ὕδωρ εἰς οἶνον ἐν Κανᾷ γάμῳ λόγῳ μόνῳ μεταβληθέν· ἴασις τε πυρετοῦ δραπετεύοντος λόγῳ, τῆς τε πενθερᾶς Πέτρου, καὶ τοῦ παιδὸς τοῦ βασιλικοῦ· λεπρῶν κάθαρσις μόνῳ θελήματι· ῥῶσις χωλῶν ἐν μόνῳ προστάγματι· τυφλῶν πολλῶν καὶ ἐκ γενετῆς ἀνάβλεψις· κωφῶν, ἀλάλων καὶ μογιλάλων γλώσσης τε καὶ ἀκοῆς διάρθρωσις τε καὶ τράνωσις· συνδρομὴ μελῶν ἐς ταυτότητα χρόνῳ διαλυθεῖσα· ἔδειξεν ὁ ἐκ κεράμων τέσσαρσι χαλασθεὶς σχοινίοις, καὶ ὁ ἐπὶ τῇ τοῦ Σολομῶντος προβατικῇ λή' ἔτη ταλαιπωρήσας· ξηρῶν χειρῶν τὰ δεσμὰ ἀνιέμενα· χαμαὶ νευόντων ἀνόρθωσις· πλείστων παρεμβολὴ δαιμόνων ἀθρόα εἰς φυγὴν τρεπομένη· τῶν ἐν σελήνης παθόντων καθαρσις· ἀφῇ κρασπέδου ῥύσις ἱσταμένη λαθραίᾳ τοῦ αἵματος· ὁ τοῦ ἑκατοντάρχου παῖς τοῦ προσδοκωμένου κινδύνου ῥυόμενος· Ἰαείρου θυγάτριον θανάτου λυτρούμενον· παντοίων καὶ ποικίλων πονηρῶν πνευμάτων δίωξις καὶ ἀπέλασις, καὶ σὺν ἀγέλῃ χοίρων, ἀποπνιγομένῃ τοῖς ὕδασιν. Ἐπὶ τούτοις πέντε ἄρτοι καὶ ἰχθύες δύο, πεντακισχιλίους εἰς κόρον τρέφοντες, καὶ ἡ τούτων περισσεία δώδεκα κόφινοι· ἐν ἑπτὰ δὲ πάλιν τετρακισχίλιοι τρεφόμενοι ἕτεροι, καὶ ἑπτὰ σπυρίδες θαυμαστῶς περιττεύουσαι· θαλάττης ὡς ἐπὶ στερρότητι ἐδάφους περίπατος, οὐκ αὐτοῦ μόνου, ἀλλὰ καὶ Πέτρου τοῦ κορυφαίου τῶν μαθητῶν, κατὰ προτροπὴν Ἰησοῦ· σφοδρᾶς ἐπιτίμησις καταιγίδος, φιμουμένης θαλάσσης, καὶ πρὸς ἀθρόαν μεταβαλλομένης γαλήνην ἐκ κλύδωνος· ὑδρωπικοῦ τε γαστὴρ συσταλεῖσα τῷ νεύματι· καὶ Ναὶν δὲ ἡ πόλις τόν τε χήρας υἱὸν ἐκφερούμενον ἔμπνουν αὖθις ὁρᾷ. Καὶ συνόλως εἰπεῖν, πάσης καὶ παντοίας σωμάτων μαλακίας καὶ ἀσθενείας θεραπεία καὶ ἴασις.

A qui et temporibus et moribus longissime ab eorum absumus contemplatione, sit facultatis, ut ne ipsi quidem divini evangelistæ quæque sigillatim, quæ viderunt, referre potuerint : perinde atque radiorum solis, et fluctum sibi ipsis confertim ingruentium, rationem et numerum inire omnino non est. Illis siquidem celeberrima quæque, ut quæ fidem maxime apud auditores habitura essent, commemorare satis fuit : maximam eorum partem quæ non facile in vulgus probabilia essent, mundove, et qui hujus studiis tenentur, crassiorique mente sunt, ut crederentur, persuaderi possent, persequi supersedentibus. Huc enim referri illud arbitror : Si omnia sigillatim perscribantur, **98** ne ipsum quidem mundum recepturum esse, qui scribendi
B essent, libros. Proinde et nos eorum quæ ad præsentem narrationem sunt accommodata, compendiose exponendorum delectu habito, ad reliqua instituti nostri ordine persequenda progrediemur. Quænam igitur sunt, quæ certam plenamque divinitatis Jesu faciunt fidem? Aqua in vinum solo verbo versa in nuptiis in Cana, febris verbo itidem propulsatæ, qua apud Petri socrum, qua apud regii hominis puerum, curatio ; leprosorum voluntate sola purgatio ; claudorum item mandato solo sanatio ; multorum etiam a nativitate cæcorum illuminatio, surdorum, eorumdemque vel difficulter vel omnino non loquentium, linguæ simul et auditus articulata et clara expeditio ; membra quæ longiore temporis spatio soluta fuerant, ad officium suum reducta, cum in eo qui a quatuor bajulis ex
C tecto per tegulas funibus demissus fuerat, tum in eo quoque qui ad Probaticam Solomonis triginta et octo annos æger decubuerat ; aridarum manuum laxata vincula ; eorum qui in terram corporis inclinatione vergerent, directa restitutio ; plurimorum dæmonum præsidia et castra uno impetu in fugam versa ; lunatici morbi expiatio ; fluxus sanguinis occulto fimbriæ vestis contactu consistens ; centurionis puer exspectato et jam imminente periculo liberatus ; Jairi filia a morte reducta ; multifariam variorumque malorum spirituum propulsatio et ejectio, atque una cum grege porcorum in undis submersio. Jam quinque panibus, duobusque piscibus quinquies mille viri ad satictatem usque refecti, horumque reliquiæ duodecim cophini : ac
D septem rursum panibus quater mille pasti alii, et sportæ septem, quæ insigni superfuerunt miraculo : in mari non alia quam in solido pavimento deambulatio, nec ipsius ea tantum, verum etiam Petri discipulorum principis, ipsius Jesu cohortatione suscepta ; vehementis increpatio procellæ, quæ mare pacavit, atque ex tempestate sæva ad malaciam et tranquillitatem summam reduxit ; hydropici venter, nutu contractus, atque ad statum suum reductus ; civitas quoque Naim, quæ elatum viduæ filium redivivum conspexit ; atque, ut semel dicam, varii et omnis generis corporum languoris et imbecillitatis auxilium præsens et curatio.

99 CAPUT XXV.

De divina transfiguratione Servatoris. et de mirifico miraculo in amico Lazaro exhibito.

Sedenim divinorum miraculorum omnium ad fidem divinitatis ejus faciendam potissimum, maximum et evidentissimum est, in montem cum discipulis ascensus ille, et corporis ad divinæ similem formam mutatio; cujus spectatores ut tenuibus admodum vestigiis fierent, præcipui ex discipulis, honore tanto digni reputati, obtinuerunt, Petrus et Zebedæi filli. Orante enim eo, instar solis, multoque etiam clarius, facies ejus reluxit, ac vestes perinde atque lux resplenduerunt. Ex imo autem inferorum recessu legis administer Moses apparens, et simul Helias ex occultis latebris exsistens, præsto fuere. Uterque porro cum eo collocuti sunt de migratione ejus per crucem, quam brevi peracturus fuerat in Jerusalem. Cæterum, qui per tam sublimis miraculi conspectum arcanis illius sacris initiati essent, magnitudine ejus consternati, tum id quidem silentio texere, supra naturæ captum id arbitrantes esse. Cum autem postea eo majus vidissent prodigium, ipsam scilicet ex mortuis resurrectionem ejus; tum demum et hoc una cum aliis, manifestioris certiorisque fidei faciendæ et confirmandæ gratia, omnibus promulgarunt. Præcellit porro et illud, quod in amico Lazaro, ex vico Bethania orto, Marthæ et Mariæ, quæ ei inserviebant, fratre præstitit. Eo jamjam morituro, ad Jesum germanæ nuntium mittunt, qui ei id significet, opemque ejus imploret. At ille, gloriæ id sibi fore sciens, cum discipulis familiarius colloquitur, ac paulo post Lazarum obdormivisse, lætarique se eis dixit eorum causa, quod ibi tum non affuerit. Ut vero defunctus ille quartum jam diem in sepulcro clausus jacuit, præsto adest Servator: et cum sorores multa miserabiliter cum lacrymis prolocutæ essent, ad monumentum tandem accedit et lapidem auferre jubet. Ille autem, nervis in compage et connexione corporis diffluentibus, jam putrescebat, graviterque olebat. Servator porro, cum orationi incubuisset, atque acrius infremuisset, invocato cœlitus paterno auxilio, « Lazare, veni foras, » inclamat. Itaque defunctus, perinde atque vivens, et amico semper assistens, consequitur; 100 et sepulcralibus fasciis ligatus, celeberrimum omnibus spectaculum prodit, vinculisque eis solutus domum vadit. Multitudine autem tumultuante, ac pontificibus et ipsius et Lazari occidendi consilium rationemque quærentibus, Hierosolymis relictis, inde secedit: et finitimum, qui Ephrem dicitur, incolit locum. Ac nova quidem et supra naturam omnem posita miracula sic se habent.

A

B

C

D

ΚΕΦΑΛ. ΚΕ'.

Περὶ τῆς θείας μεταμορφώσεως τοῦ Σωτῆρος, καὶ τοῦ κατὰ τὸν φίλον αὐτοῦ Λάζαρον ὑπερφυοῦς θαύματος.

Καὶ τὸ πάντων κράτιστόν τε καὶ ἄριστον πρὸς τὴν τῆς θεότητος πίστωσιν ἐναργέστατον τῶν θεοσημιῶν ἡ πρὸς τὸ ὄρος μετὰ τῶν μαθητῶν ἄνοδος, καὶ πρὸς τὸ θεοειδὲς τῆς μορφῆς τοῦ σώματος ἀλλαγή· ἧς αὐτόπται ἀμυδροῖς ἴχνεσιν οἱ τῶν μαθητῶν πρῶτοι κατηξιώθησαν, Πέτρος καὶ οἱ τοῦ Ζεβεδαίου υἱοί. Προσευχομένου μὲν γὰρ αὐτοῦ, εἰς εἶδος ἡλίου καὶ πολλῷ μεῖζον τὸ πρόσωπον αὐτοῦ ἀνέλαμψε· τὰ δὲ ἱμάτια αὐτοῦ οἱάπερ φῶς περιηύγαζον. Ἐκ τῶν τοῦ ᾅδου δὲ πυθμένων καὶ ὁ τοῦ νόμου χορηγὸς ἀνέτρεχε Μωϋσῆς, καὶ Ἠλίας τῆς ἀποκρυβῆς ἀποστὰς, ἐμφανὴς ἀνεδείκνυτο· καὶ ἄμφω δὲ συμπαρῆσαν διομιλούμενοι περὶ τῆς κατ' αὐτὸν πορείας διὰ σταυροῦ, ἣν ἔμελλε μετ' ἀλίγον περαίνειν Ἱερουσαλήμ. Ὁ δὴ τότε μὲν οἱ μῦσται καταπλαγέντες, τέως εἶχον σιγῇ, ὑπερφυὲς λογιζόμενοι· ὅτε γε μὴν τὸ μεῖζον τὴν ἐκ νεκρῶν ἀνάστασιν ἐθεάσαννο, τηνικάδε καὶ τοῦτο πρὸς τοῖς ἄλλοις εἰς πίστιν τρανότερον ἅπασι διεκήρυξαν. Καὶ πρό γε τούτου, ὃ δὴ πρὸς τὸν φίλον αὐτῷ ἐνήργησε Λάζαρον, ἀπὸ Βηθανίας τῆς κώμης ὁρμώμενον, κασίγνητόν γε μὴν ὄντα Μάρθας καὶ Μαρίας αἳ διηκόνουν αὐτῷ. Τούτου θανεῖν ἐγγίζοντος, αἱ σύγγονοι πέμψασαι ὑπεσήμαινον, καὶ ἀμύνειν ἐκείνῳ ἱκέτευον. Ὁ δὲ, πρὸς δόξαν εἶναί οἱ αὐτῷ, διωμιλεῖτο τοῖς μαθηταῖς· μετ' ὀλίγον δὲ φάναι κεκοιμῆσθαι τὸν Λάζαρον, καὶ χαίρειν ἐκείνων χάριν τῷ μὴ παρεῖναι. Ὡς δ' ἐκεῖνος θανὼν τῷ τάφῳ τεταρταῖος περιεκλείετο, ἐφίσταται μὲν ὁ Σωτὴρ, καὶ πολλὰ τῶν συγγόνων ἐλεεινὰ σὺν δάκρυσιν ἐπιλεγουσῶν, τέλος ἐπὶ τὸν τάφον ἐφίστατο, καὶ τὸν λίθον αἴρειν διεκελεύετο. Ὁ δὲ μυδῶν ἦν καὶ ὄζων δεινὸν, ἤδη τῶν τόνων τῆς σωματικῆς ἀποῤῥυέντων συμπήξεως. Εὐχῇ δὲ δοὺς ἑαυτὸν, ἐμβριμησάμενός τε καὶ ἄνωθεν τὴν πατρικὴν βοήθειαν ἐπικαλεσάμενος, Λάζαρε, δεῦρο ἔξω, βοᾷ· καὶ ὁ τεθνηκὼς, ὥσπερ ζῶν τῷ φίλῳ καὶ ἀεὶ συμπαρὼν εἵπετο· χειρίαις τε ἐσφιγμένος προῆει, πᾶσιν ἐξάκουστου γινόμενος θέαμα· καὶ λυθεὶς τῶν σπαργάνων, οἴκ. δέ ἵετο· τῶν γε μὴν ὄχλων ταραττομένων, καὶ τῶν ἀρχιερέων αὐτόν τε καὶ τὸν Λάζαρον κτεῖναι ποιουμένων μελέτην, αὖθις τὴν Ἱερουσαλὴμ ἀφεὶς, ἐκεῖθεν ἐχώρει· καὶ περὶ χῶρον ὃς Ἐσφραὶμ καλεῖται, ηὐλίζετο. Καὶ τὰ μὲν τῶν ξένων καὶ ὑπερφυῶν τεραστίων ἐν τούτοις ἦσαν.

CAPUT XXVI.

Parabolarum omnium Servatoris commemoratio.

Fortasse autem non intempestivum fuerit, oratione brevi et ea quæ ille per parabolas locutus est, quoad ejus fieri potest, clarioris intelligentiæ

ΚΕΦΑΛ. ΚϚ'.

Περὶ πασῶν τῶν παραβολῶν τοῦ Σωτῆρος ἐπιδρομή.

Οὐκ ἄκαιρον δὲ ἴσως συντόμῳ λόγῳ καὶ περὶ τῶν παραβολικῶς αὐτῷ εἰρημένων, ὥς γ' ἐνὸν, σαφηνείας χάριν διεξελθεῖν. Παρὰ μὲν οὖν τῷ Ματθαίῳ πρώτῃ

ὁ πεσὼν ἐκ τοῦ παρήκοντος σπόρος εἰς γῆν· ὁ ἑκ- λ' βλαστήσας, ξ' τε καὶ ἑκατόν. Δεύτερος ὁ ζιζανίοις ἀναφυεὶς, καὶ διὰ τοῦτο φειδοῦς ἀξιούμενος. Καὶ ὁ τοῦ νάπυος κόκκος εἰς δένδρον μέγα ὑψούμενος· ἥ τε ἀλεύρου ζύμη παραβυομένη τρισίν· ἀγρός τε πολλῷ χρυσίῳ ἐωνημένος τοῦ ἐκεῖσέ πη χάριν κατορωρυγμένου χρυσοῦ· καὶ ὁ πολύτιμος μαργαρίτης, ὃν ἐπὶ κέρδει ὠνήσατο ἔμπορος· πάναγρόν τε ἀσπαλιέως σαγήνη περικλειόμενον· εἶτα ἡ τῶν ἑκατὸν προβάτων ἀγέλη, καὶ τὸ ἐκεῖθεν πόρρω γεγονὸς ἓν καὶ τῷ καλῷ ποιμένι ἀνασωθέν· ὁ τῶν μυρίων χρεωφειλέτης ταλάντων· ἥ γε τῶν ἐργατῶν μισθαρνία, ἐν ἀνίσῳ ἰσότητι δικαιοῦσα τὸ δοκοῦν ἄδικον. Οἱ διττοί τε παῖδες ἐνηλλαγμένως διαπραξάμενοι, τοῦ πατρὸς κεκληκότος ἐπὶ τὸν ἴδιον ἀμπελῶνα. Ἐπὶ τούτοις οἱ κάκιστοι γεωργοὶ, φόνον τῷ υἱῷ τοῦ δεσπότου ἐγκερασάμενοι· καὶ βασιλεὺς γα ους τῷ υἱῷ πολυτελεῖς ἐνεργῶν, καὶ δαιτυμόσιν ἐκ τοῦ σχεδὸν παρευρεθεῖσι συνεστιώμενος· αἵ τε πενταδικαὶ τῶν φρονίμων καὶ μωρῶν παρθένων λαμπάδες, ἠμμέναι τε καὶ ἀποσβεννύμεναι· δεσπότης τέχνῃ νέμων τοῖς σφετέροις δούλοις τὰ τάλαντα, καὶ ποιμὴν διαιρῶν ἐπιστήμῃ τὰ πρόβατα ἐκ δεξιῶν τε καὶ ἐξ εὐωνύμων. Ταύτας μὲν ὁ Ματθαῖος· Μάρκῳ δὲ δ' μόνα ἐκ τούτων ἐπῆλθεν εἰπεῖν· διττῶν σπόρων τὴν ἄνισον δόσιν τῆς εἰσφορᾶς· καὶ τῶν ἑκαπᾶν τὰ ζιζάνια τὸν δεσπότην ἐκδυσωπούντων· τό τε τοῦ νάπυος δένδρον· καὶ ᾧ ἦν ἀμπελὼν κληρονόμος κακῶς παρὰ τῶν δούλων θανών. Ὁ δ' αὖ θεῖος Λουκᾶς πλείστας μὲν συγγράφει· σὺν ἄλλαις δὲ καὶ ταῦτας ἐκτίθησι. Πρῶτον, ὃς οἶκον ἐπὶ πέτρας ἐρείδει, καὶ οὐκ ἐπὶ ψάμμου πήγνυσι τὰ θεμέλια· ὁ ποιλά τε παθὼν εὖ, καὶ ἀφεθεὶς μείζονα τῷ δεσπότῃ· ἔνθεν καὶ ὀφείλων πλείω φιλεῖν· ὅ τε περιπεσὼν τοῖς ληισταῖς ὁδίτης, καὶ τῷ Σαμαρείτῃ τὰ τῆς ἐπιμελείας κτησάμενος. Πρὸς δὲ ὁ ἀκαιρίᾳ μὲν νυκτὸς προσιὼν, καὶ τῇ βίᾳ λαμβάνων· πατήρ τε βιαζομένῳ παιδὶ μὴ πονηρὰ νέμων, λίθον δηλαδὴ καὶ σκορπίον· πονηρόν τε πνεῦμα τὸ σεσαρωμένην τὴν οἰκίαν εὑρὸν, καὶ μεθ' ἑτέρων ζ' ἐπεισοικιζόμενον, καὶ χείρονα τῶν προτέρων διαπραττόμενον. Σκόπει δὲ καὶ τὸν δοῦλον ἐκ γάμου τὸν δεσπότην ἐπανήκοντα προσδεχόμενον. καὶ συκῆν κόπρον προσιεμένην ἐς τρίτον ἔτος, καρποῦ δὲ στρήσει ἐκκοπτομένην τῷ γεωργῷ. Ἄλλην αὖθις συκῆν ἀκαρπίᾳ ξηραινομένην. Σαροῦσά τε τὴν οἰκίαν γυνὴ, καὶ τῇ τῆς δραχμῆς εὑρέσει, τὰς ἐγγειτόνων καλοῦσα, καὶ ὑπερφυῶς χαίρουσα. Ἀσωτός τε πατρὶ συμπαθεῖ προσιὼν, καὶ τῆς πατρικῆς υἱοθεσίας παρὰ δόξαν καταξιούμενος· οἰκονόμος, τε τῆς καλῆς ἀδικίας ἐκ προμηθείας ἄλλην χάριν ἐκ τῶν χρεῶν ὑφαιρούμενος· καὶ πένης Λάζαρος ἕλκεσι βρύων, καὶ ἀσυμπαθὴς πλούσιος ἐν μέσῃ φλογὶ τῆς καμίνου δρόσον αἰτῶν. Ἐπὶ τούτοις καὶ τελώνης, τύπτων μὲν τὸ στῆθος τεταπεινωμένῳ φρονήματι, καὶ οὐρανοὺς ἀνοίγων· Φαρισαῖος δὲ τὸ τύφῳ κενῷ τῷ ὑψοῦσθαι πίπτων χαμαί· καὶ ὁ τῶν μνῶν μερισμὸς, τοῖς δέκα δούλοις διανεμόμενος. Ἀλλ' ἐν τούτοις μὲν καὶ αἱ παραβολαί· μεθ' ὧν καὶ τινα ἕτερα αἰνιγματωδῶς παρέπλεξε, τήν τε παλαιὰν καὶ

A causa referre. Itaque prima apud Matthæum parabola est, semen, pro eo atque decebat, in terram cadens, partim trigecuplum, partim sexagecuplum, atque etiam centuplum germinans. Secunda, ager zizania superinsita habens : cui ob id ut parceretur, dignum visum est. Sequitur sinapis granum, in altam arborem excrescens. Et farinæ fermentum; tribus satis exceptum. Item multo auro comparatus ager, propter defossum ibi auri thesaurum. Pretiosa item illa margarita, quam lucri causa mercator emit. Præterea omne genus piscium, sagena piscatoris conclusum. Postea centum ille ovium grex : et ovis una, quæ longius inde aberrans, bono pastori servata est. Decem millium debitor talentorum. Operarum mercede conductio, in inæquali æqualitate ad æquitatem deducens quod B videbatur iniquum. Duo filii, qui a patre vocati, et in vineam suam missi, ordine inverso opus faciunt. Hic succedunt pessimi agricolæ, qui herili filio necem crearunt. Insuper rex magnificas filio nuptias struens, et cum convivis ex tempore conquisitis convivium celebrans. Item quinæ et prudentium et fatuarum virginum lampades, vel ardentes, vel exstinctæ. Paterfamilias prudenter servis suis talenta dividens. Et pastor prudenter oves ad dextram et sinistram segregans. Et has quidem Matthæus habet. Marco vero quatuor tantum ex his referre in mentem venit. Inæqualem scilicet reditum duplicis seminis : et eos qui patremfamilias suadendo orant, ut zizania evellere permittat; sinapis arborem, et vineæ hæredem pessime a servis C cæsum. **101** Lucas porro divinus plurimas congerit : et inter reliquas has quoque exponit. Primum, de eo qui domum super petram firmiter construit, et non in arena fundamenta jacit. De eo qui a domino per grandioris debiti remissionem magno affectus est beneficio, unde eo plus atque vehementius eum amare debuerit. Deinde viator, qui in prædones incidit, et a Samaritano curaturam obtinuit. Ad hæc is qui intempesta nocte accedit, importunitate, quod petit, impetrat. Item pater puero cogenti, non res malas, ut lapidem aut scorpionem, tribuens. Præterea spiritus malignus domum scopis purgatam inveniens, et in eam cum aliis septem immigrans, prioribusque deteriora faciens. Observa mihi et servum, qui ex nu- D ptiis dominum redeuntem exspectat. Nec minus et ficum, quæ tertium jam annum stercorationem admiserat : quod autem fructum non tulerit, ab agricola excisa sit. Alteram item ficum quæ propter sterilitatem arefacta est. Insuper mulierem scopis domum purgantem, et ob drachmæ inventionem vicinas vocantem, majoremque in modum gaudentem. Est præterea luxu perditus filius, commiserantem patrem complexus, adoptionemque paternam præter spem ut opinionem consecutus. Dispensator item bonæ laudatæque iniquitatis, qui singulari providaque solertia aliam gratiam sibi ex debitis pecuniis paravit. Pauper quoque Laza-

rus, ulceribus scatens; immisericorsque rursus dives, in media camini flamma aquæ rorem petens. Insuper publicanus, pectus submisso atque humili animo percutiens, et cœlum aperiens; Pharisæus ediverso, vano tumore sublatus, humi decidens. Minarum distributio in decem servos facta. Atque in his quidem parabolæ consistunt. Cum quibus ille et alia quædam per obscuram insinuationem implicuit, vetus et novum Testamentum significans, et simul futuri regni absolutam perfectionem, simul incrementum doctrinæ et prædicationis optime per ea adumbrans : tantisper dum imperfecti etiamnum, nec dum absolutioribus sacris satis initiati essent discipuli.

A τὴν νέαν Διαθήκην ἐμφαίνων, καὶ τῆς ἐσομένης βασιλείας τὸ ἐντελὲς, καὶ τὸ τῆς ἐπιδόσεως τοῦ κηρύγματος, ἀρίστως διὰ τούτων ὑπαινιξάμενος · ἕως οὗ ἀτελεῖς ἦσαν οἱ μῦσται μήπω μυηθέντες τὰ τελεώτερα.

102 CAPUT XXVII.

Ut triginta tribus annis expletis. Servator Bethaniam venerit ; et de muliere meretrice, et de palmarum ramis, item de arefacta ficu.

Deinceps, cum triennalis temporis Filii Dei in terris, doctrina sua promulganda, conversatio finem suum haberet, oporteretque ipsum pro eo atque a mundi constitutione præfinitum constitutumque, atque oraculis sanctarum Scripturarum prædictum fuerat, vitam suam pro mundi vita et salute ponere, nec non per mortem ad inferos descendere, ut dignos idoneosque, qui videlicet constanter in fide perseverassent, in vitam, ipsumque adeo paradisum, tanquam princeps et auctor vitæ æternæ reduceret : cumque ejus rei gratia summum Dei Verbum jam perfecisset omnia, ac discipulis suis læto significasset nuntio, appropinquare regnum cœlorum; a Satana quoque captis libertatem, eisque quorum animi tenebris obfuscati atque incredulitate excæcati essent, ingens lumen affuturum annuntiasset, ad prædicandum annum Domini acceptum, et diem retributionis, consolationem vero lugentibus in Sion : receptis secum, quos sacris mysteriisque suis inbuerat, accedit ad Bethaniam vicum, qui Hierosolymis ad stadia maxime quindecim abest. Ibi eum Simon leprosus hospitio excipit (1), quem apocryphi libri patrem Lazari fuisse aperte tradunt. Apud hunc, cum cibum caperet, convivam simul, quem non ita pridem in vitam restituisset, Lazarum habuit. Ibi quoque **Lazari soror Maria** (2). humaniter excepto Jesu, tanquam Deo, propter redivivam restitutionem fratris, unguento pretioso caput ejus imbuit. Quemadmodem scilicet et alia antehac circiter medium prædicationis tempus ; atque iterum alia mulier quæ vitam meretricio quæstu toleraverat, paulo ante passionem extra Hierosolyma unguento ingentis ponderis et pretii, pedes Jesu lavit, sepulturæ adumbrans et repræsentans mysterium. Quæ sane mulier, quibus multos in perditionis attraxerat lubricitatem, capillis, tanquam spongiis pedes ejus extersit, unguentumque lacrymis miscens,gravi peccatorum est catena liberata.Deinde, ut competentem debitumque finem Scripturæ de eo proditæ haberent, **103** pullo subjugalis ju-

ΚΕΦΑΛ. ΚΖ'.

'Ως τῶν τριάκοντα τριῶν ἐτῶν συμπεπεραιωμένων, εἰς Βηθανίαν ὁ Σωτὴρ ἥκει · καὶ B περὶ τῆς πόρτης καὶ τῶν βαΐων, καὶ τῆς ξηρανθείσης συκῆς.

Μετὰ δὲ τοῦτο, ἐπεὶ ὁ τριετὴς τῷ Υἱῷ τοῦ Θεοῦ χρόνος τῆς ἐπὶ γῆς διατριβῆς ἐν διδασκαλίᾳ πέρας εἶχεν · ἐχρῆν δὲ ἄρα αὐτὸν κατὰ τὰ ἐκ προκαταβολῆς κόσμου διωρισμένα, καὶ Γραφαῖς ἁγίαις τεθεσπισμένα, προεῖναι μὲν τὴν αὐτοῦ ζωὴν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς τε καὶ σωτηρίας · θανάτῳ δὲ πρὸς τοὺς ἐν ᾅδου γενόμενον τοὺς ἀξίους ζωῶσαι, ὅσοι δὴ καὶ πιστεῦσαι ἠνέσχοντο, καὶ πρὸς τὸν παράδεισον ἀνασῶσαι, ἀρχηγὸν καὶ αἴτιον ζωῆς αἰωνίου γενόμενον. Διά τοι τοῦτο μετὰ τὸ ταῦτα πάντα πρᾶξαι τὸν θεαρχικώτατον Λόγον, καὶ τοῖς ἰδίοις εὐαγγελίσασθαι μαθηταῖς, ὅσον ἤδη ἐγγὺς εἶναι τὴν τῶν οὐρανῶν βασιλείαν, καὶ τοῖς αἰχμαλωτισθεῖσι τῷ Σατανᾷ κηρῦξαι τὴν ἄφεσιν, πρὸς δὲ καὶ τοῖς ἐσκοτισμένοις C τὸν νοῦν, καὶ τῇ ἀπιστίᾳ πεπηρωμένοις, φῶς ἀναλάμψαι μέγα · καὶ καλέσαι μὲν ἐνιαυτὸν Κυρίου δεκτὸν, καὶ ἡμέραν ἀνταποδόσεως, παράκλησιν δὲ τοῖς πενθοῦσιν ἐν τῇ Σιών· τοὺς αὐτῷ μυσταγωγηθέντας παραλαβὼν, ἐγγίζει μὲν εἰς Βηθανίαν τὴν κώμην · διέχει δὲ αὕτη τῶν Ἱεροσολύμων ὡσεὶ στάδιά που μάλιστα πέντε καὶ δέκα. Σίμων δὲ ὁ λεπρὸς αὐτὸν εἰς ξενίαν ἐκάλει, ὃν ἀπόκρυφοι βίβλοι καὶ πατέρα εἶναι τοῦτον Λαζάρου σαφῶς ἡμῖν ἐκδεδώκασιν · ἔνθα δὲ καὶ τροφῆς ἁπτόμενος, συνεσθίοντα εἶχε καὶ ὃν πρὸ βραχέος ἀνέστησε Λάζαρον. Ἐκεῖ δὴ καὶ ἡ τοῦ Λαζάρου ἀδελφὴ **Μαρία** δεξιουμένη τὸν Ἰησοῦν, οἷα Θεὸν, τῇ παλιγζωΐᾳ τοῦ ἀδελφοῦ, μύρῳ πολυτίμῳ τὴν ἐκείνου κατεδίαινε κεφαλήν · ὥσπερ δῆτα καὶ ἄλλη πρότερον περὶ τὰ μέσα που τοῦ D κηρύγματος, καὶ αὖθις ἄλλη γυνὴ, πορνείᾳ τὸν πάντα βίον συζήσασα πρὸ τοῦ πάθους βραχὺ, τῆς Ἱεροσολύμων ἐκτὸς, μύρῳ βαρείας ὄντι ὁλκῆς, τῶν ποδῶν κατέῤῥει τοῦ Ἰησοῦ, τὸ τοῦ ἐνταφιασμοῦ προτυποῦσα μυστήριον · καὶ ταῖς θριξὶ δι' ὧν πολλοὺς εἰς τὸν τῆς ἀπωλείας καθείλκυσεν ὅλισθον, οἷα σπόγγοις χρωμένη, καὶ τούτους ἐκμάσσουσα · ἧ δὴ καὶ δάκρυσι τὸ μύρον μιγνῦσα, τῆς τῶν ἁμαρτιῶν βαρείας ἀλύσεως ἀπηλλάττετο. Ἐντεῦθεν ἵν' αἴσιον πέρας αἱ περὶ αὐτοῦ πᾶσαι σχοῖεν Γραφαὶ, πώλῳ μὲν υἱῷ ὑποζυγίου ὁ θρόνοις χερουβικοῖς ἐποχούμενος ἐπιβαίνει, καὶ διὰ τῶν πυλῶν εἰσήλαυνεν Ἱερου-

(1) Simon is Lazari pater.
(2) A tribus mulieribus Christus unctus est. Unde nonnulli doctores tres Marias faciunt.

σκλήμ. Ὁ δὲ ὄχλος εἰσόδιον τιμὴν αὐτῷ σχεδιάζοντες, οἷά τινι ἐξαισίῳ καὶ ὑπὲρ ἄνθρωπον κυρίῳ τῷ ὄντι καὶ βασιλεῖ, ᾠδὰς δημοσίους ἐπέπλεκον. Πρὸς δὲ καὶ πληθὺς νηπίων περὶ αὐτὸν ἤθροιστο, παιᾶνας θείους ἐξᾴδουσα· καὶ οἱ μὲν αὐτῶν τὰ ἱμάτια τῇ γῇ ἐπεστρώννυον· εἰσὶ δὲ οἳ καὶ κλάγους ἐλαιῶν καὶ φοινίκων κατακλῶντες, τοὺς μὲν τοῖς ποσὶν ὑπέῤῥιπτον· ἄλλοι δὲ καὶ χερσὶν ἀνασείοντες, ἐπεκρότουν ἐξαισίαις ᾠδαῖς· οἷά τινι τροπαιούχῳ καὶ νικητῇ, Ὡσαννὰ τῷ υἱῷ Δαυΐδ, λέγοντες· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν. Καὶ ταῦτ' ἐπεβόων μακρὰν ποιούμενοι προπομπήν, ἄχρις οὗ εἰσῄει μετὰ δόξης τῷ ἱερῷ. Ὅθεν καὶ τοὺς θεοκαπήλους ἐξελάσας τῷ φραγγελίῳ μετ' ἐξουσίας ὅτι πλείστης καὶ παῤῥησίας πολλῆς, εἰς τὸν κατ' αὐτοῦ φθόνον, καὶ τὴν λυσσώδη μανίαν ἐκείνην, τοὺς ἐναγεῖς διανέστησε. Τόπον δὲ τῇ ὀργῇ διδοὺς (πρὸς γὰρ φόνον ἦσαν ὁρμῶντες, ἅτε δὴ τὸν κόσμον ὀπίσω αὐτοῦ βλέποντες ἐφεπόμενον), ἔξεισιν αὖθις τῆς Ἱερουσαλὴμ ὁ Σωτὴρ εὐχῆς ἕνεκα. Ἱκανῇ δὲ χρόνου τριβῇ ἐπανήκων αὖθις, πρωΐα δὲ ἦν, καὶ πρόσπεινος ἤδη γενόμενος, ὁ δῆτα οἰκεῖον τῆς ἀνθρωπότητος ἦν, πρός τινα συκῆν ἀποκλίνει. Ἐπεὶ δὲ μὴ καιρὸς ἐκείνῃ παρῆν, ἐπαρᾶται μὲν εὐθὺς ἐκείνῃ τὰ ἔσχατα, οἷα δὴ ἀρχηγῷ τὰ πρῶτα γενομένῃ τῆς παραβάσεως· καὶ ἀθρόον τῆς ὑγρότητος ἁπάσης διατακείσης αὐτῇ, ξηρὰ τοῖς πᾶσι καθεωρᾶτο. Ὁ δὴ τῆς ἐν αὐτῷ θεότητος ἔργον πάντως ἀριδηλότατον· καὶ γὰρ ὥσπερ φυσικὴ θέλησις ἀνθρώπου ἐν αὐτῷ καὶ θέλησις κατὰ φύσιν Θεοῦ, οὕτω καὶ ἀνθρώπου καὶ Θεοῦ ἐνέργεια ἐν τῷ αὐτῷ ἐωρᾶτο. Φύσις γὰρ ἑκατέρα τὰ οἰκεῖα ἑαυτῇ καὶ ἤθελε καὶ ἐνήργει μετὰ τῆς θατέρου κοινωνίας. Οὐ γὰρ ἀκοινωνήτως ἑκατέρα φύσις τὰ ἴδια ἔπραττεν· ἀλλὰ καὶ ἡ θεότης μετὰ τῆς ἀνθρωπότητος, καὶ ἡ ἀνθρωπότης αὖθις σὺν τῇ θεότητι, τὰ προσήκοντά γε ἑκάστῃ ὑπερφυῶς ἔπραττον. Ἔνθεν τοι, ὥσπερ τὰ τῆς θεαρχίας ἴδια τῷ τοῦ ἀνθρώπου Υἱῷ μεταδίδοται, οὕτως αὖθις τὰ τοῦ ἀνθρώπου φυσικὰ ἀσθενήματα τῷ Θεῷ Λόγῳ σαφῶς ἀντιδέδοται διὰ τὴν καθ' ὑπόστασιν ἕνωσιν. Ἠνίττετο δ' ἴσως ἡ συκῆ ξηρανθεῖσα καὶ τὴν τῆς συναγωγῆς ἀκαρπίαν τῶν Ἰουδαίων· καὶ τοίνυν πᾶσα ψυχὴ λογικὴ τῇ πρὸς Χριστὸν ἀπιστίᾳ κεκρατημένη, κἂν τοῖς τοῦ γράμματος νόμοις οἷά τισι φύλλοις μάλα κομῶν ἐκλογίζηται, τοῦ τῆς ἐν Χριστῷ πίστεως νόμου, ᾧ ἐκεῖνος μάλιστα τρέφεται, διαπίπτουσα, τῆς τοῦ Θεοῦ εὐλογίας πόῤῥω γινομένη, ξηραίνεται.

A menti, qui thronis Cherubim vehitur, insidens, patentibus portis Hierosolyma ingreditur. Ibi multitudo honorem eum qui ex itinere advenientibus debetur, deproperans, quasi cuidam præstanti, hominemque superanti, reveraque Domino et Regi, carmina publicitus canit. Puerorum præterea tenerorum catervæ circa eum congregantur, divinos pæanas et victoriæ carmina accinentes : atque ex his alii vestimenta humi sternunt, alii olearum et palmarum ramos frangentes, partim pedibus ejus subjiciunt, partim manibus quatientes, magnificis ei applaudunt apprecationibus, perinde atque triumphatori et victori cuidam : *Hosanna*, dicentes, *filio David : benedictus qui venit in nomine Domini* [20]. *Deus Dominus, et apparuit nobis.* Atque ita vociferabantur longius eum prosequentes, donec cum B laude et gloria in templum est ingressus. Unde ille rerum sacrarum nundinatores, sanctarumque cæremoniarum et mysteriorum depravatores, flagello cum libertate plurima ac potestate maxima, ad invidiam usque, et furibundam illam eorum insaniam expellens, sceleratos et impios evertit. Iræ deinde cedens (jam enim in cædem ejus ruebant, tanquam mundum ipsum post eum euntem conspicati) Hierosolymis Servator precationis ergo egreditur. Postea vero, interposita aliqua temporis mora, eo revertens (mane tum erat) cum fames ei incessisset, quod scilicet proprium humanæ conditionis erat, ad quamdam divertit ficum : cui cum nullus inesset fructus, ultima statim ei per exsecrationem imprecatur, utpote quæ auctor primum et dux C transgressionis fuerit (1). Atque illa, humore protinus omni prorsus exarescente, arida omnibus exhibetur. Quod sane in eo spectatissimum omnibus modis divinitatis opus fuit. Etenim, sicuti naturalis simul et hominis et idem Dei voluntas, ita simul et hominis et Dei efficacia atque actio in ipso eodem conspiciebatur. Utraque namque natura, quæ propria ei essent, simul et volebat et efficiebat, cum alterius naturæ scilicet communicatione, utraque natura nativa et propria munia faciebat : verum et divinitas cum humanitate, et rursum humanitas cum ipsa divinitate, quæ cujusque essent officii, supra naturæ captum efficiebant. Siquidem quemadmodum propria divinæ sublimitatis munera Filio hominis communicata : itidem D rursum naturales hominis imbecillitates **104** Deo Verbo manifeste, per quamdam quasi remunerationem, redditæ sunt, propter eam quæ per subsistentiam est, unionem. Fortasse autem ficus ista exarescens, involucro quodam, synagogæ Judæorum sterilitatem ferendorumque fructuum inopiam expressit. Et profecto omnis anima rationalis incredulitati et diffidentiæ in Christum obnoxia, etiamsi legibus litteræ tanquam foliis admodum florere existimetur, tamen si lege fidei in Christum, qua illa maxima nutritur et fovetur, excidat, longe a benedictione Dei dissita, exarescit.

[20] Matth. xxi, 9.

1) De pomo fici primi parentes nostri gustarunt.

CAPUT XXVIII.

De mystica cœna, de sacra pelvi, et de Christi precatione.

Sub hæc cœna paratur in domo, ut aiunt, Joannis Evangelistæ : quam ille, possessione sua (non exigua autem ea fuit) in Galilæa Annæ, ejus temporis Judææ pontifici vendita (cujus gratia etiam illi notus exstitit, sicuti ipse alicubi sacro suo testimonio astruit), in locis circum Sion montem sitis comparaverat. Ibi igitur discipuli apud hominem certum, priusquam Azymorum instaret dies, ita ut illis mandatum præscriptumque fuerat, legis Pascha instruunt. Verum enimvero, cum per opus esset, Parasceves die ad vesperam, ut lex præcipit, agnum immorali : nihilominus tamen eo verum agnum, qui jam jam pro nobis Pascha immolandus erat in cruce, prævenire, et typum imaginemque legalis Paschatis complere, circiter quintæ diei vesperam oportebat. Opinio sane obtinet, cum multis aliis, tum ei præcipue comprobata, cui os aureum nomen indidit, irrationalem tum agnum primum, ita ut par erat, Christum cum discipulis omnino edisse : deinde cum ad mysticam arcanamque illam cœnam consedisset, parva interposita mora consurrexisse, vestimenta (utpote quæ eum fortasse gravarent, et in ministerio obeundo impedirent) statim deposuisse, linteum sibi circumcinxisse, atque ita prompte et alacriter discipulorum pedes lavisse, ut simul et novam submissionis atque humanitatis ostenderet sublimationem et per symbolum atque signum ipsis proprie competere mentis corporisque expiationem et purgationem declararet. Insuper vero illud eis innuens, pedes eorum ad profectionem in gentes aptos atque idoneos esse. **105** Adhæc, obscure etiam, divinorum pedum, pacem læta prædicatione annuntiantium, pulchritudinem insinuans. Cum vero rursum discubuisset, mysticum tradidisse sacrificium horrendorum simul et vivificorum nostrorum mysteriorum, pane fermentato (1), et vino ex vite expresso. Eaque cum per gratiarum actionem et sanctificationem benedixisset, discipulis dedisse : et cum vere corpus et sanguinem suum esse, quasi fide sua interposita, confirmasset, accipere et participare eos illa, quippe nulla re a divina carne sua discrepantia, jussisse : atque id, ad eumdem modum, in futurum deinceps fidelibus faciendum, ad sinceram evidentemque sui memoriam, per manus tradidisse. Itaque cum quibus oportuit cœlestibus mysticisque sermonibus convivas sodalesque suos instituisset, novasque et arcanas res prolocutus esset, adventumque Spiritus, qui a Patre [Filioque] procedit, secretiore ac sanctiore modo eis spopondisset, novum denique postremo omnium testamentum exposuisset, in Gethsemani agrum oraturus una cum illis egreditur. Atque ibi humanam im-

A

ΚΕΦΑΛ. ΚΗ'.

Περὶ τοῦ μυστικοῦ δείπνου, καὶ τοῦ θείου νιπτῆρος, καὶ τῆς προσευχῆς.

Δεῖπνος ἐπὶ τούτοις ηὐτρέπισται ἔν τῇ οἰκίᾳ, ὥς φασιν, Ἰωάννου τοῦ Εὐαγγελιστοῦ· ἣν ἐκεῖνος τὴν προσοῦσαν κτῆσιν ἀπεμπολήσας ἐν Γαλιλαίᾳ (οὐ σμικρὰ δέ τις ἦν) Ἄννᾳ τῷ τηνικαῦτα τῆς Ἰουδαίας ἀρχιερεῖ, οὗ χάριν καὶ γνωστὸς ἐκείνῳ ἐτύγχανεν ὤν, ὡς αὐτός που τοῖς ἱεροῖς λογίοις παρίστησιν, ἐν τῇ περιοχῇ τῆς Σιὼν ἐκνήσατο. Ἐκεῖ οὖν οἱ μαθηταὶ πρὸς τὸν δεῖνα, πρὶν ἢ τὴν τῶν Ἀζύμων ἐπιστῆναι ἡμέραν, καθὰ σφίσιν ὥριστο, τὸ τοῦ νόμου Πάσχα ἡτοίμασαν· καίτοι γε δέον ὂν, κατὰ τὴν Παρασκευὴν πρὸς ἑσπέραν, ὡς ὁ νόμος διηγόρευε, θύεσθαι τὸν ἀμνόν· ὅμως μέλλοντι τῷ ἀληθινῷ ἀμνῷ B τὸ ὑπὲρ ἡμῶν Πάσχα θύεσθαι ἐπὶ τοῦ σταυροῦ ἐχρῆν προφθάσαι, καὶ τὸν τύπον πληρῶσαι Πάσχα τοῦ νομικοῦ κατὰ τὴν τῆς Πέμπτης ἑσπέραν. Καί γε λόγος ἔχει πολλοῖς μὲν καὶ ἄλλοις, μάλιστα δὲ τῷ χρυσῷ τὴν γλῶτταν πιστούμενος, τὸν ἄλογον καὶ τότε ἀμνὸν [πρῶτον, ὥς γε θέμις ἦν, μετὰ τῶν μαθητῶν πάντως φαγεῖν τὸν Χριστόν· ἔπειτα τῷ μυστικῷ δείπνῳ ἀνακλιθέντα διεγερθῆναι αὖθις βραχύ τι διαλιπόντα, καὶ τὰ ἱμάτια, οἵπερ ἴσως βαρύνοντα καὶ ἐμποδὼν πρὸς τὴν διακονίαν καθεστηκότα, εὐθὺς ἀποθέσθαι, περιζώσασθαί τε τὸ λέντιον, καὶ οὕτω προθύμως τοὺς πόδας ἐκκαθαίρειν τῶν μαθητῶν, ὁμοῦ μὲν τὸ καινὸν ὕψος τῆς ταπεινώσεως παραφαίνοντα, σομβολικῶς τε παραδηλοῦντα τῆς κατὰ C νοῦν καὶ σῶμα τούτοις καθάρσεως τὴν οἰκείωσιν· ἔτι δὲ καὶ τὸ τοὺς σφῶν πόδας εὐθέτους γε εἶναι τῆς εἰς τὰ ἔθνη πορείας· πρὸς δὲ καὶ τὸ ὡραῖον ὑπαινισσόμενον τῶν εὐαγγελιζομένων τὴν εἰρήνην θείων ποδῶν· εἶτ' αὖθις ἀναπεσόντα, τὴν μυστικὴν παραδοῦναι θυσίαν, τῶν καθ' ἡμᾶς φρικτῶν τε καὶ ζωοποιῶν μυστηρίων, ἐνζύμῳ ἄρτῳ καὶ οἴνῳ ἐξ ἀμπέλου γεγενημένῳ, Ἃ καὶ εὐλογήσας μετ' εὐχαριστίας καὶ ἁγιασμοῦ, καὶ χάριτος μεταδοὺς, καὶ ὡς ἀληθῶς σῶμα καὶ αἷμα ἑαυτοῦ ταῦτ' εἶναι μετὰ πίστεως παρεγγυησάμενος, μετασχεῖν ἐκείνους παρασκευάσαι, ἅτε δὴ τὰ κατὰ μηδὲν τῆς αὐτοῦ θείας σαρκὸς διαφέροντα. Οὕτωσὶ δὲ καὶ εἰς τὸ ἑξῆς τοῖς πιστοῖς πράττειν εἰς μνείαν αὐτοῦ ἀκραιφνῆ παρεδέδωκεν. Καὶ τοίνυν ὅσα γ' ἐχρῆν διὰ λόγων οὐρανίων καὶ μυστικῶν τοὺς θιασώτας μυήσας, ξένα τε D καὶ ἀπόῤῥητα ἐπειπών, καὶ τὴν τοῦ Πνεύματος παρουσίαν ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, μυστικώτερον κατεγγυησάμενος, καὶ καινήν τινα διαθήκην αὐτοῖς ὕστατον πάντων διεξελθὼν, εἰς Γεθσημανὴ τὸν χῶρον ἅμ' ἐκείνοις ἐξέρχεται προσευξόμενος· καὶ δὴ τὸ ἀνθρώπινον ἐνδεικνύμενος, τῇ προσευχῇ παρητεῖτο· εἴγε δὴ τῷ Πατρὶ βουλητὸν τὸ τοῦ θανάτου ποτήριον αὐτῷ παρελθεῖν. Οἵ γε μὴν μαθηταὶ τῷ τοῦ ὕπνου κάρῳ βεβαπτισμένοι, ῥᾴθυμοί τε ἦσαν, καὶ ὡς τύχοι ἕκαστος ἀμηγέπη κατέπιπτον. Ὁ δὲ διδάσκαλος εἰς ἔλεγχον τούτοις καθίστατο, καὶ μά-

(1) Ἐνζύμῳ ἄρτῳ. Hoc sicut ut ab homine Græco dictum.

λιστα Πέτρῳ θερμοτέρῳ γε ὄντι τῶν ἄλλων, καὶ ἐπαγγελλομένῳ τοῖς κινδύνοις ἐγκαρτερεῖν. A imbecillitatem declarans, precatione, siquidem Patri ita visum esset, ut ab eo mortis poculum abiret, deprecatur. Discipuli sane gravedine somni pressi, segnes admodum esse, et quomodocunque, ubi sors tulit, concidentes, quisque obdormire; ipse vero magister eos reprehendens objugare, et præcipue Petrum, aliis ferventiorem acrioremque, et qui constanter se in periculis perstiturum esse fuisset pollicitus.

ΚΕΦΑΛ. ΚΘ'.

Περὶ τῶν ἀρχιερέων Ἄννα καὶ Καϊάφα· καὶ περὶ τοῦ χρόνου τῆς τοῦ Σωτῆρος διδασκαλίας.

Εἰδέναι μέντοι χρεών, ὡς ἡ θεία Γραφὴ τὸν πάντα τῆς διδασκαλίας χρόνον τελέσαι τὸν Σωτῆρα λέγει ἐπὶ ἀρχιερέως Ἄννα καὶ Καΐφα, ἐπείπερ ἐν τοῖς μεταξὺ τούτων ἔτεσι τῆς λειτουργίας ὁ τῆς Ἰησοῦ διδασκαλίας σύμπας διεπεραιώθη χρόνος, ἀρξάμενος μὲν κατὰ τὴν τοῦ Ἄννα ἀρχιερωσύνην, συντελεσθεὶς δὲ ἄχρι δὴ καὶ τῆς τοῦ Καΐφα ἀρχῆς. Ὁ δὲ πᾶς χρόνος τῆς τοῦ Σωτῆρος διδασκαλίας οὐδὲ τετραετὴς περιίσταται. Τῶν γὰρ νομικῶν θεσμῶν ἠρέμα πως καναλυομένων, λέλυτο πρὸς τοῖς ἄλλοις καὶ ᾧ διὰ βίου κἀκ τῆς τῶν προγόνων διαδοχῆς διέφερεν ἡ τοῦ Θεοῦ θεραπεία καὶ λειτουργία. Ὑπὸ γὰρ τῶν κατὰ καιροὺς πεμπομένων ἡγεμόνων ἐκ Ῥώμης ἄλλοτε ἄλλοι τὴν λειτουργίαν χρήμασιν ἐξωνούμενοι, οὐ πλεῖον ἔτους ἑνὸς ἐπ' αὐτὴν διετέλουν. Ὅτι δ' ἀληθὲς τὸ λεγόμενον, Ἰωσήπῳ μάρτυρι χρήσομαι, μετὰ τὸν Ἄνναν τέσσαρας κατὰ διαδοχὴν ἐπὶ Καϊάφαν ἀρχιερεῖς διαγενέσθαι, κατὰ τῆς Ἀρχαιολογίας γραφὴν ἱστοροῦντι, καὶ οὑτωσὶ κατὰ λέξιν διεξιόντι· « Οὐαλέριος Γρᾶτος, παύσας ἱερᾶσθαι Ἄνανον, Ἰσμάηλον ἀρχιερέα ἀποφαίνει τὸν τοῦ Φαβί. Καὶ τοῦτον δὲ μετ' οὐ πολὺ μεταστήσας, Ἐλεάζαρον τὸν Ἀνάνου τοῦ ἀρχιερέως υἱὸν ἀποδείκνυσιν ἀρχιερέα. Ἐνιαυτοῦ δὲ διαγενομένου καὶ τόνδε παύσας, Σίμωνι τῷ Καμέθου τὴν ἀρχιερωσύνην παραδίδωσιν. Οὐ πλέον δὲ καὶ τῷδε ἐνιαυτοῦ τὴν τιμὴν ἔχοντι διεγένετο χρόνος, καὶ Ἰώσηπος, ὁ καὶ Καΐφας, διάδοχος ἦν αὐτῷ. » Συνάγεται τοίνυν ἐκ τούτων μηδ' ὅλος τετραετὴς εἶναι τῆς διδασκαλίας τοῦ Σωτῆρός ὁ χρόνος, τεσσάρων ἐπὶ τέσσαρσιν ἔτεσιν ἀρχιερέων ἀπὸ τοῦ Ἄννα καὶ ἐπὶ τοῦ Καϊάφα κατάστασιν ἐνιαύσιον λειτουργίαν διατετελεκότων. Τόν γε μὴν Καϊάφαν, ἀρχιερέα τοῦ ἐνιαυτοῦ καθ' ὃν τὰ τοῦ σωτηρίου ἐτελεῖτο πάθους, ἡ τῶν Εὐαγγελίων γραφὴ παριστᾷ· ἐξ ἧς καὶ αὐτὸς σύμφωνος τῆς προκειμένης ἐπιτηρήσεως ὁ τῆς τοῦ Χριστοῦ διδασκαλίας χρόνος σαφῶς ἀποδείκνυται.

CAPUT XXIX.

De Anna et Caipha pontificibus, et de tempore doctrinæ Servatoris.

Scire autem convenit, divinam Scripturam innuere, Servatorem ipsum omnem doctrinæ suæ cursum sub Anna et Caipha pontificibus absolvisse: quandoquidem intra istorum pontificatus rerumque administrationis annos totum Jesu doctrinæ B tempus ad finem suum pervenit. Initium enim docendi Annæ pontificatu fecit, et munus id usque ad Caiphæ administrationem consummavit. Tempus autem doctrinæ Servatoris omne non totum explevit quadriennium (1). Cum enim constitutiones legis paulatim solutæ interirent, præter alia **106** etiam is qui ex majorum successione per sanctioris vitæ mores excellebat Dei cultus, sacrum. que ministerium collapsum intercidit. A ducibus enim et præsidibus (2), qui temporibus quisque suis Roma mittebantur, alias alii ministerium sacrum pecunia comparantes, non uno longius anno in eo perseverabant. Quod autem id verum sit, teste Josepho utar, qui post Annam quatuor per successionem pontifices usque ad Caipham fuisse C in *Antiquitatibus* suis hisce verbis prodit : «Valarius Gratus Anano pontificatu abrogato, Ismaelum pontificem creat, Phabi filium (3). Sed et huic cum paulo post dignitatem eam ademisset, Eleazarum Anani pontificis filium pontificem designat. Anno porro exacto, et isto quoque a pontificatu rejecto, Simoni Camithi filio summum sacerdotium tradit. Verum et huic honorem eum obtinenti, non annuo longius tempus fuit : cui Josephus, qui et Caiphas dictus est, successit. » Ex his igitur consequitur, non prorsus quadrienuii integri Servatoris nostri doctrinæ fuisse tempus, cum quatuor annis quatuor pontifices, ab Anna usque ad Caiphæ D ordinem et creationem, annuo functi sint ministerio. Caipham vero ipsum pontificem ejus anni, in quem salutifera incidit passio, fuisse, scripta evangelica attestantur. Unde et hæc illi, de tempore Christi doctrinæ, quæ modo proposita est, consona esse observatio, liquido ostenditur.

(1) De quadriennii istius observatione Nicephorus Eusebium lib. I, cap. 10, est imitatus. Verum ea cum 18 cap. hujus libri, et cum Luc. III, non convenit. « Et Valerius Gratus ante annos fere decem, prius quam Pilatus Roma in Judæam præses missus est, provinciæ ejus præfectus fuit. » Quid vero eodem tempore Hierosolymis Gratus faceret, cum ibi eorum obtineret administrationem Pilatus? De alio itaque tempore Josephi verba ista sunt accipienda. Et auctori ipsi in cap. 18, atque præcipue Luc. cap. 3, hac in re fides habenda. Hoc etiam declarat cap. 4, lib. II, infra.

(2) Cæsaris procuratores pro sua libidine et avaritia sacerdotium conferebant. (Eutrop. lib. I, cap. 11.)

(3) Alii legunt, *Jabi fil.* (Joseph. lib. XVIII, c. 7.)

CAPUT XXX.

De proditione Judæ, de divinis crucialibus Christi Jesu, et salutari cruce ejusdem.

Ab hoc ipso Caipha et improbo scribarum consilio corruptus Judas Iscariotes, et quasi morbo avaritiæ correptus, qui dicendorum tacendorumque ac rerum præterea omnium cum reliquis discipulis particeps a Servatore factus fuerat, cum alienum seipsum et expertem divinæ gratiæ, per excellentem malignitatem suam reddidisset, post lotionem ipsam, atque arcanorum sacrorum initiationem (1), **107** vitalemque ipsum panem, vivus etiamdum in potestatem inimici captus pervenit, cui se antea quoque voluntatis animique destinatione dediderat. Itaque ab apostolorum choro sejunctus, quæ cum Scribis et Pharisæis inierat pacta conventa adimplet. Cohorte enim cum tribuno et multitudine ea quæ rapinis et latrociniis gaudet, adducta, quibus quidem laternæ et faces accensæ et fustes in manibus erant, osculo Dominum prodit, et abit. At ille captus, ut ovis innocens ad mortem fertur. Neque enim contentionem ullam subindicans, neque percussorum impetum ægre ferens, placido quietoque animo trahentes sequebatur. Nec id ille tantum præstitit, sed et fervidiorem discipulis ahis Petrum, qui gladium strinxerat, objurgat, ferrum in vaginam suam reponere jubet ; tum autem pontificis servi, cui Malchi nomen erat, resectam aurem restituit : non inopia aut imbecillitate hæc se pati, quippe cui legiones quamplurimæ auxiliares, si vellet, præsto essent, sed arbitrio alterius ea permittere : et superari in præsentia, ut quæ in Scripturis essent constituta, legitimum debitumque caperent finem, testatus. Sic itaque abductus ad Annam primum, deinde et ad Caipham, qui ejus anni pontificatum sortitus fuerat, ducitur. Atque ibi jurejurando obstringitur, ut profiterctur an ipse sit, quem exspectabant, ille Christus. Ut autem quod verum erat, pontifex audivit (non gravate enim Christus se Dei Filium esse profitebatur), confestim vestem discindit, impium atque blasphemum vocat, dingum que morte præjudicat. His a pontifice dictis, in faciem alapæ impinguntur, vultus conspuitur, atque per noctem totam omni ludibrii genere per vinum et temulentiam importunorum hominum, probrisque et contumeliis afficitur. Porro autem cum illuxit, manibus eum vinctis ad Pilatum ducunt. Et jam dies erat, præsesque pro tribunali consederat. Ibi Judæi tanquam rabie agitati, cum circumsistunt, conviciisque proscindunt : ille contra silentio et placabilitate eorum obturat et refellit accusationem. Pilatus vero tam acerbum, ab

(1) Augustinus apostolos reliquos in cœna Dominica panem Dominum, Judam vero panem Domini contra Dominum sumpsisse scribit, in Joan. tract. 59. « Si Dominum hoc (Eucharistiam) quod

ΚΕΦΑΛ. Λ'.

Περὶ τῆς προδοσίας τοῦ Ἰούδα · καὶ περὶ τῶν θείων παθῶν τοῦ Χριστοῦ · καὶ περὶ τοῦ σωτηρίου σταυροῦ.

Ὑπὸ τοίνυν τῷ Καϊάφᾳ τούτῳ καὶ κῷ πονηρῷ συνεδρίῳ τῶν γραμματέων διαφθαρεὶς Ἰούδας ὁ Ἰσκαριώτης, ἅτε νόσῳ τῆς φιλαργυρίας ἁλούς, ῥητῶν τε καὶ ἀῤῥήτων καὶ πάντων τοῖς λοιποῖς κοινωνὸς τῷ Σωτῆρι γενόμενος, ἀλλότριον ἑαυτὸν καὶ γυμνὸν καταστήσας τῆς θείας χάριτος δι' ὑπερβολὴν πονηρίας, μετὰ τὸν νιπτῆρα, μετὰ τὴν μύησιν, καὶ τὸν ζωτικὸν ἄρτον, ὅλος ζωγρηθεὶς τῷ ἐχθρῷ, ᾧ καὶ πάλαι τῇ προαιρέσει ᾠκείωτο, τοῦ χοροῦ τῶν ἀποστόλων διαζυγείς, τὴν μετὰ τῶν γραμματέων καὶ Φαρισαίων συμφωνίαν ἐπλήρου. Τὴν σπεῖραν γὰρ, καὶ τὸν χιλίαρχον, καὶ τὸ ληστείαις χαῖρον καὶ ἁρπαγαῖς πλῆθος προσεπαγόμενος · φανοὶ δ' ἦσαν τούτοις ἀπτόμενοι καὶ λαμπάδες, καὶ τὰ ῥόπαλα ἐν χερσί · φιλήματι καταπροδιδοὺς τὸν Κύριον, ἀπηλλάττετο. Ὁ δὲ σχεθεὶς, ὡς ἀρνίον ἄκακον, τὴν ἐπὶ θάνατον ἦγετο, ἔριδος μὲν οὐδέ τι παρυποφαίνων, οὐδὲ τὴν φονικὴν ἐπισύστασιν δυσχεραίνων · ἀλλ' ἡσύχῳ καὶ ἀταράχῳ φρονήματι τοῖς ἕλκουσιν ἤγετο. Οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ τῷ θερμοτέρῳ τῶν μαθητῶν ἐπιτιμᾷ Πέτρῳ ἑλκύσαντι μάχαιραν · καὶ τὸ οὖς τοῦ ἀρχιερέως δούλου, ᾧ Μάλχος ἦν ὄνομα, πεπληγὸς ἰᾶται · καὶ τὴν μάχαιραν ἀναστρέφειν περὶ τὴν θήκην αὐθις κελεύει. Μὴ γὰρ ἀδυναμίᾳ πάσχειν · λεγεῶνας γάρ οἱ ὡς πλείστας αὐτῷ παρεῖναι, εἴ γε θέλοι, συμμαχεῖν ἡρημένας · ἀναβάλλεσθαι δ' οὖν, ὡς ἄν γε τὰ ἐν Γραφαῖς διωρισμένα πέρας αἴσιον σχοίη. Οὕτω τοίνυν ἡγμένος πρὸς Ἄνναν πρῶτον, εἶτα καὶ πρὸς Καϊάφαν τὸν τοῦ ἐνιαυτοῦ ἱεραρχεῖν λαχόντα ἀπάγεται · εἶτα ὁρκίζεται ὁμολογῆσαι εἰ αὐτός ἐστιν ὃν προσεδόκων Χριστόν. Ὡς δὲ τάληθὲς ἠκηκόει ὁ ἱερεὺς, ῥᾳδίως τοῦ Χριστοῦ ἑαυτὸν Θεὸν καὶ Θεοῦ Υἱὸν ὁμολογήσαντος, ῥήγνυσι τὴν ἀναβολὴν εὐθὺς, βλάσφημον καλέσας, καὶ θανάτου ἄξιον ἀποφήνας. Τούτων τῷ ἀρχιερεῖ εἰρημένων, ἐπὶ κόρρης αὐτῷ βαπίσματα προσετρίβοντο, καὶ κατὰ πρόσωπον ἐμπτυόμενοι, καὶ ἄλλ' ἄττα ἐμπαροινοῦντες διὰ πάσης νυκτὸς, πρωΐας διαγαζούσης πρὸς Πιλᾶτον χεῖρας πεδήσαντες ἄγουσιν. Ἐπεὶ δὲ ἡμέρα παρῆν, καὶ ὁ ἡγεμὼν προύκάθητο ἐπὶ βήματος, Ἰουδαῖοι οἷά τινες λυσσητῆρες περιεκύκλοτν βάλλοντες ὕβρεσιν · ὁ δὲ σιωπῇ καὶ πραΰτητί ἐπεστόμιζε τὴν κατηγορίαν. Πιλᾶτος δὲ τὴν οὕτω πικρὰν καὶ ἀπάνθρωπον ὑλακὴν ὁρῶν, τί ἂν εἴη τὸ αἴτιον ἐπύνθάνετο. Ὁ Σωτὴρ δὲ οὐδὲ ἀποκρίσεως ἐκεῖνον ἠξίου. Κραυγὴ δ' ἐξηκούετο σταυρῶσαι τοῦτον ἐκδυσωπούντων. Ἐκεῖνος δὲ, πῇ μὲν ὑπὸ Πρόκλης τῆς αὐτοῦ γυναικὸς διαπεμπομένης ἐρεθιζόμενος μηδέν τι τῶν ἀποφήμων κατὰ τοῦ δικαίου ψηφίσασθαι, πῇ δὲ καὶ τῷ οἰκείῳ συνειδότι πληττόμενος, λύειν μὲν ἐπεχείρει · μηδὲ γὰρ εἶναι

isti cavendum putant, vellet intelligi, non ipse suo traditori dedisset quod in suam ille perniciem, sine culpa dantis, cum digni indignus accepit. » (Id. lib. I, *De adult. conjug. ad Pollent.* cap. 27.)

τά ἐγκλήματα ὑπὸ θάνατον ἄγοντα · οὐ μὴν δὲ ἀλλὰ καὶ Ἡρῴδῃ τηνικάδε τοῖς Ἱεροσολύμοις ἐπιδημοῦντι τοῦτον ἀπέπεμπεν, ὥστ' ἐλέγχῳ γνωσθῆναι, εἰ θανάτου τι ἄξιον διεπράξατο · ὡς δὲ καὶ οὗτος οὐδὲν εὗρισκε, Πιλάτῳ αὖθις παρίστατο. Καὶ ὃς τὴν ἡμέραν τοῦ Πάσχα προύβαλλετο · οἱ δὲ τῷ τῆς καθοσιώσεως ὑπῆγον αὖθις ἐγκλήματι, ἅτε δὴ βασιλέα ἑαυτὸν καθιστάντα · καὶ ἀπολύειν αἱρουμένῳ, Ἁμαρτεῖν πάντως ἐσεῖται τῇ φιλίᾳ τοῦ Καίσαρος, ἔλεγον. Ταῦτ' ὁ Πιλᾶτος ἠνωτισμένος, καὶ δείσας μή τι καὶ μώμου αὐτῷ προστριβείη διὰ τὸν Καίσαρα, καντεῦθεν καὶ τῶν δίφρων τῆς ἡγεμονίας ἐκκυλισθείη, τῷ φιλαρχεῖν καὶ ἀνθρώποις ἀρεστὸς δοκεῖν ἥττων γενόμενος, φραγγέλλιον τοῦ τραχήλου ἐξάψας, τοῖς μιαιφόνοις ἀνῆκε · καὶ τὸ πραιτώριον πάλιν εἶχεν αὐτὸν, τοῦ πολλοῦ ὄχλου καὶ σύρφακος ἐπ' αὐτὸν, εἴ τι καὶ βούλοιντο δρᾷν, ἄδειαν εἰληφότος. Καὶ δῆτα οἱ μὲν τὰ ἱμάτια αὐτὸν περιδύσαντες, καί τινα χλαμύδα κοκκίνην ὡς πορφυρίδα ἀμφιασάμενοι, ἀκανθίνῳ τε στεφάνῳ τὴν κεφαλὴν ὡς βασιλεῖ περιστέψαντες, κάλαμόν τε ἐχείριζον ὥσπερ σκῆπτρον βασιλικόν · οἱ δὲ γόνυ κλίνοντες, τὴν προσκύνησιν ἀφωσίουν αὐτῷ, Χαῖρε, ὁ βασιλεὺς τῶν Ἰουδαίων, διατωθάζοντες. Ἄλλοι καλάμοις τὴν κεφαλὴν παίοντες ἐπεκρότουν. Εἰσὶ δὲ οἱ καὶ ῥαπίζοντες τὰς σιαγόνας, γέλωτι μυκτῆρα παραζευγνύοντες, ἐπυνθάνοντο, Προφήτευσον ἡμῖν, Χριστὲ, τίς ἐστιν ὁ παίσας σε. Εἶτα τοῖς ἰδίοις αὖθις τοῦτον ἱματίοις ἀμφιασάμενοι, τὸν σταυρὸν ἐπ' ὤμων αἴρειν διεκελεύοντο · καὶ τῆς πύλης ἐξήγετο. Ἐπεὶ δὲ καὶ εἰς τὸν Κρανίου τόπον οἱ μιαιφόνοι κατέλαβον, καὶ ὁ σταυρὸς κατεπήγνυτο, ἀνήρτατο, τοῖς ἥλοις ἐπείρετο, καὶ παρὰ τῶν παριόντων πλεῖστα διετωθάζετο. Ἵνα δὲ καὶ ὡς κακοῦργος λογίζοιτο, δύο λῃστὰς παρ' ἑκάτερα τὸν ἴσον τρόπον ἐκόλαζον . καὶ τίτλος ὑπὲρ κεφαλῆς τὴν αἰτίαν τῆς καταδίκης τριττοῖς ἐσήμαινε γράμμασι. Τῶν λῃστῶν δ' ὁ μὲν ὁμολογήσας Θεὸν τὸν κατάδικον τὸν παράδεισον ἐσύλα, καὶ ἔνδον ἀνὰ κράτος εἰσήλαυνεν · ἕτερος δὲ ὡς βλάσφημος ὑπερώφθη. Ἐπεὶ δὲ ἅπαντα πέρας εἶχε, Διψῶ, ἐπιλέγει. Οἱ δὲ ταχεῖς εἰς κακίαν ὄξος χολῇ συγκραθὲν αὐτίκα προσάγουσιν · οἷς ὕδωρ ἐν ἀνύδρῳ πάλαι διψήσασιν ἔῤῥει πέτρα πηγάζουσα · καὶ οἱ τὸ μέλι θηλάσαντες τὴν χολὴν προσῆγον. Ἔπειτα μέγα ἀνακραγὼν, καὶ εἰς χεῖρας τὸ πνεῦμα τῷ Πατρὶ παραθέμενος, ἀφίει τὸ ζῆν, καὶ νεκρὸς ἐφ' ἱκανοῦ ἀπηώρητο. Ἐντεῦθεν τῶν τις στρατιωτῶν τῷ Ἰουδαίων χαριζόμενος ἔθνει, τὴν πλευρὰν τῇ λόγχῃ διώρυττε · καὶ τῇ ὀίξει αἷμα καὶ ὕδωρ παραδόξως ἐξέβλυζε. Πάντων δ' ἐκποδὼν γενομένων τῷ φόβῳ τῶν φονευτῶν, μόνη παρῆν ἡ μήτηρ καὶ ὁ φιλούμανος μαθητὴς, τὰ πρὸ τῆς νεκρώσεως καὶ μετὰ τὴν νέκρωσιν ὀφθαλμοῖς οἰκείοις ἕκαστα θεωροῦντες. Τό γε μὴν αἷμα καὶ ὕδωρ, τῆς πλευρᾶς ὥσπερ ἔτι ζῶντος καινῶς ἀπορρέοντα, ταῦτ' ἐκεῖνοι λίαν εὐλαβῶς τε ἅμα καὶ φιλοτίμως σκεύει ἀρύονται. Ἔπειτα καὶ μήτηρ ἡ

A omnique humanitate alienum latratum eorum audiens, quænam ejus causa esset, rogat. Servator autem eum responso non dignatur. Interim clamor ad crucem cum condemnandum esse, minaci horribilique voce deposcentium, exaudiebatur. Ille autem, cum a conjuge sua Procle per internuntium, ne quid adversi contra hominem justum decerneret, admonitus, **108** tum sua ipse conscientia perculsus, absolvere eum contendit; nihil enim capitalis afferebatur criminis. Sed enim ad Herodem, qui tum Hierosolymis diversabatur, eum mittit, ut ille anquireret, si quid capitali supplicio dignum commisisset. Ut vero ne ille quidem quidquam invenit, apud Pilatum rursus sistitur. Tum illi crimen ei læsæ majestatis intendunt,

B tanquam regem seipsum constituerit : et Pilatum ad absolvendum propensum, contra Cæsaris amicitiam facturum, si eum dimitteret, dicunt. Quod ubi Pilatus audivit, metuens ne malam a Tiberio iniret gratiam, proindeque præfecturæ dignitate excideret : atque honorem retinendi, hominibusque placendi studio victus, flagellum de collo ejus suspendit, et sànguinariis carnificibus flagellandum permittit. Et jam rursus in prætorio Salvator erat : multitudoque et vilissimi quique ex plebe impunitatem sibi quodcunque vellent adversus eum faciendi sumpserant. Ibi ex impuris illis quidam vestimenta ei detrahunt, atque chamydem coccineam in morem purpuræ circumdant. Præterea corona spinea caput ejus tanquam regis coronant, et arundinem sceptri loco in manibus reponunt :

C nonnulli genibus flexis adorationem gestu ei offerunt, *Ave, rex Judæorum*, cum risu contumelioso ingerentes. Aliqui arundine caput palsantes plausum addunt. Erant qui colaphis maxillas ejus cædentes, irrisionemque naso per sannas suspenso jungentes quærerent : *Vaticinare nobis, Christe. quis est qui te percussit?* Postea suis ipsum vestibus rursum indutum, crucem in humeros tollere jubent, et extra portam producunt. Posteaquam autem ad Calvariæ locum est ventum, ibi crux compingitur, Servator in eam sustollitur (1), clavis affigitur, et a prætereuntibus plurimis conviciis oxagitatur. Ut vero maleficus etiam existimaretur esse, duos latrones ad partem utramque eodem supplicii genere torquent. Titulus porro supra

D caput ejus positus ; condemnationis causam triplici litterarum genere indicabat. Ex prædonibus vero alter, ipsum qui sic condemnatus esset, Deum professus, paradisum rapit, eumque per vim ingreditur : alter autem, ut blasphemus despicitur. Cæterum cum omnia jam consummata essent, *Sitio*, inquit. Illi porro ad malitiam celeres, acetum felle mistum confestim afferunt : **109** quibus olim in locis aridis siti pressis, petra fontem provolvens, aquam subministraverat. Et fel præbent, qui mel

(1) « Jesus verbum Dei incarnatum suspensum est super lignum. » (Iren.) « Periculum vero Deo status sui nullum fuit. » (Tert.)

antiquitus suxerant Postremo, cum voce magna A conclamasset, et in manus Patri spiritum commendans deposuisset, vitam finit. Et corpus mortuum aliquandiu ita pendebat, cum ex militibus quidam, Judæorum genti gratificaturus, latus ejus lancea perforat : ex quo vulnere sanguis et aqua, præter opinionem omnem, profluxit. Cum vero metu homicidarum omnes profugissent, sola ibi aderat Mater, et quem diligebat discipulus, qui omnia quæ vel ante vel post mortem ejus gesta essent, oculis ipsi suis spectarunt : sanguinemque et aquam e latere ejus, quasi adhuc viventis, recens profluentem, religiose simul et honorifice admodum vasculo exceperunt. Deinde et Deipara mater, discipuli mater dicitur : cui a se multum amato Filius eam commendans, ut pietatem quam parentibus debent liberi, ei præstaret, injunxerat.

θεομήτωρ χρηματίζει τῷ μαθητῇ, τοῦ υἱοῦ τὸ φιλοστόργως πρὸς αὐτὴν ἔχειν ἀνατιθέντος τῷ φιλουμένῳ.

CAPUT XXXI.

Ex divinis passionibus quasnam Christo ut Deo eidemque homini, et quasnam ut Deo ascribere convenia ; et de Christi, quoad animam, descensu ad inferos : quando et quomodo eos quoque qui apud inferos vincti fuerant, solutos liberaverit.

ΚΕΦΑΛ. ΛΑ'.

Τίνα τῶν θείων παθῶν ὡς θεανθρώπῳ, καὶ τίνα ὡς θεῷ προσήκει λογίζεσθαι · καὶ περὶ τῆς ἐν ᾅδου μετὰ ψυχῆς καθόδου Χριστοῦ· πότε καὶ πῶς καὶ τοὺς ἐν ᾅδῃ τῶν δεσμῶν ἠλευθέρωσεν.

Enimvero affectiones et perpessiones, quas dixi- B mus, Christo, non ut puro homini, sed ut Deo, eidemque homini carne accidere (1). At quæcunque supra humanæ naturæ conditionem, et ante mortem, et post depositionem de cruce, sepulturamque ipsam magnifice, ut Deum decet, in eo evenere, citra controversiam, certo et evidenter ipsius declarant divinitatem. Quænam vero ea sunt ? Tenebræ densæ, et prope contrectabiles, a sexta usque ad horam nonam. Sol non ordine aut ratione naturæ (2), sed quod Creatori compateretur, per deliquium exstinctus, et rursum relucens : terræmotus immanis, petræ ruptæ, templi velum scissum, monumenta aperta, et mortui e sepulcris exsilientes, multisque sibi notis, qui scilicet digni atque idonei visi fuerant, manifesto C apparentes : nec non resurrectionem ejus, qui eos excitaverat, certissime comprobantes. Ipse enim justitiæ Sol Christus, anima sola per mortem a corpore segregata (3), apud inferos justorum animis præsto fuit : et dux itineris ad paradisum ferentis præiit, lucis princeps viæque ductor eis perinde atque latroni factus. **110** Eadem namque die, ac potius eadem hora ab inferis rediit : ut quidem cum alii nonnulli, tum is cui aurea lingua nomen indidit, in primis hæc accuratius certiusque exposuere. Nec enim rationi consonum erat, animam ejus apud inferos retineri, qui nihil prorsus a primi parentis maledictione et exitio secum

Τὰ μὲν οὖν εἰρημένα πάθη οὐχ ὡς ἀνθρωπῳ ψιλῷ τῷ Χριστῷ προσεγένοντο, ἀλλ' ὡς θεανθρώπῳ κατὰ τὴν σάρκα · τά γε μὴν ὑπὲρ φύσιν ἀνθρωπίνην ὅσα σε πρὸ τοῦ θανεῖν καὶ μετα τὴν ἀπὸ τοῦ ξύλου καθαίρεσιν καὶ ταφὴν θεοπρεπῶς ἐπ' αὐτῷ γεγονότα ὁμολογουμένως τὴν αὐτοῦ ἠκριβωμένως ἐμφαίνει θεότητα. Ταῦτα δὲ τίνα ; Σκότος ψηλαφητὸν ἀπὸ ς' ὥρας ἕως θ' · ἥλιος οὐκ ἀκολουθίᾳ φύσεως ἐκλείπων, τῷ δὲ κτίσαντι συμπάσχων τε καὶ ἀπὸ δεννόμενος, καὶ αὖθις ἀναλαμπόμενος · γῆ σειομένη · πέτραι ῥηγνύμεται · τὸ τοῦ ναοῦ σχιζόμενον καταπέτασμα · μνήματά τε διαῤῥηγνύμενα, καὶ νεκροὶ τῶν τάφων ἁλλόμενοι, καὶ πολλοῖς τῶν ἀξίων γνωστοῖς ἐμφανεῖς καθιστάμενοι, καὶ τὴν τοῦ ἀνιστάντος αὐτοὺς ἀνάστασιν ἀκριβέστατα παριστάνοντες. Ὁ γὰρ ἥλιος τῆς δικαιοσύνης Χριστὸς μετὰ ψυχῆς μόνης διαιρεθείσης τῷ θανάτῳ τοῦ σώματος, ἐπιφανεὶς ταῖς ἐν ᾅδου τῶν δικαίων ψυχαῖς, τῆς πρὸς τὸν παράδεισον ὁδοιπορίας ὁδηγὸς ἐχρημάτιζε, φωτὸς ἀρχηγὸς καὶ ἡγεμὼν αὐτοῖς τῆς ὁδοῦ, ὥσπερ δὴ καὶ τῷ λῃστῇ γεγονώς. Καὶ γὰρ αὐθημερὸν, μᾶλλον δὲ αὐθωρὸν τοῦ ᾅδου ἀνέθορεν, ὥς τισι καὶ τῷ χρυσῷ τὴν γλῶτταν μάλιστα διηκρίβωται · οὐ γὰρ σως ἦν τῶν εὐλόγων, καὶ τὴν ἐκείνου ψυχὴν τῷ ᾅδῃ κατέχεσθαι, μηδέν τι τῆς πατρῴας ἐπαγομένην ἀρᾶς · ἀθρόον δὲ, καὶ οἷον φάναι ἀστραπῆς τάχει, τούς γε ἀξίους διὰ τοῦ φωτὸς τῆς ὑπεραστραπτούσης θεότητος καταυγάσας, καὶ τῶν ζοφερῶν ἐκείνων καὶ ἀηλίων κευθμώνων ἀπείρῳ δυνα-

(1) Tertullianus, in *Apologetico*, cap. 21, de Passione et morte Christi : « Postremo, inquit, oblatum Pontio Pilato, Syriam tunc ex parte Romana procuranti, primores Judæorum violentia suffragiorum in crucem Jesum dedi sibi extorserunt. Prædixerat et ipse ita facturos. Parum hoc, si non et prophetæ retro etiam. Tamen suffixus, multa mortis illius propria ostendit insignia. Nam spiritum cum verbo sponte dimisit, prævento carnificis officio. Eodem momento dies, medium orbem signante sole, subducta est. Deliquium utique putaverunt, qui id quoque super Christo prædicatum non scierunt. Et tamen eum mundi casum relatum in archivis vestris habetis. » etc.

(2) « Defectus iste solis mirabilis erat et prodigiosus. » (August.)

(3) « Quid fecit Christi passio ? quid fecit mors, nisi corpus ab anima separavit, animam vero a D Verbo non separavit ? » (August. *sup. Joan.* tract. 47.) « Christo Domino omnia tradita sunt, et potestas in cœlo et in terra, a Patre videlicet, tum vera tradita et data, cum verbum caro factum est. Ut quemadmodum in cœlis primas (τὰ πρωτεῖα) habuit Verbum Dei, sic et in terris primas obtineret ut homo justus, qui peccatum non fecit, nec inventus est dolus in ore ejus : primas quoque eorum quæ sub terra sunt ferret, primogenitus ipse mortuorum factus, ut viderent omnia regem suum et in carnem Domini incureret paterna lux, et a carne ejus splendida veniret in nos, ac sic demum veniret homo in incorruptibilitatem lumine paterno circumdatus. » (Iren. lib. IV, cap. 37.) Hic videre est causam descensus Christi ad inferos, et fructum primogenituræ ejus ex mortuis.

στείᾳ ἐξαγαγών, ἅτε δὴ συντρίψας τοὺς ἐκεῖ πρωτοστάτας τοῦ σκότους καὶ ἀρχηγοὺς τῶν κακῶν, ταῖς τῆς θεαρχίας αὐγαῖς, καὶ τῇ στρατιᾷ τῶν ἀγγελικῶν παρατάξεων, ἀχρόνως, ἀκόπως, καὶ τὸ ὅλον φάναι θεοπρεπῶς, πρὸς τὰς ἱερὰς καὶ φωτὶ ἁπλέτῳ καταλαμπομένας τοῦ παραδείσου ἀκαριαίᾳ ῥοπῇ μετάγει σκηνάς· καὶ ταύτας οἱονεί τινας ἀῤῥαβῶνας καὶ ἀπαρχὰς τῶν ἐν οὐρανοῖς ἡτοιμασμένων ὀψέ ποτε τοῖς ἀξίοις μονῶν τε καὶ διαιωνιζόντων κλήρων, μετὰ τὴν τῶν πάντων δηλαδὴ κοινὴν ἐξανάστασιν, καὶ προσῆκον ἀποχαρίζεται. Ὥσπερ οὖν γυμνῇ τῇ ψυχῇ, γυμναῖς ταῖς ἐν ᾅδου ψυχαῖς ἐπιφανεὶς ὁ Σωτὴρ, ὃν εἴρηται τρόπον, κατὰ τὴν τῆς Παρασκευῆς ἑσπέρας προϋπέδειξε τὴν ἀνάστασιν· οὕτως αὖθις μετὰ τρίτην ἡμέραν, ὄρθρου βαθέος τῆς τῶν Σαββάτων μιᾶς, ἡλίου μὲν ἄρτι κατὰ τὸν ἐν Ἐδὲμ παράδεισον ἀνατέλλοντος, καὶ τὰ μετέωρα καὶ ἄκρως ὑψηλότατα τῶν ὀρέων καταλαμβάνοντος· περὶ δέ γε τὸν καθ' ἡμᾶς ὁρίζοντα ἑβδόμης, ὡς εἰπεῖν, ἢ καὶ ὀγδόης ἐπεχούσης ὥρας νυκτερινῆς, μετὰ τοῦ ζωαρχικοῦ αὖτοῦ καὶ θεοειδοῦς, ἐμψύχου τε καὶ νοεροῦ σώματος ἐκ τοῦ τάφου ἀνίσταται, ὡς γε δὴ τὰ προεπηγγελλατο.

A attulisset. Subito vero, et, ut ita dicam, fulgetri celeritate, dignos atque idoneos luce summe coruscantis deitatis illustrans, ac immensa potentia ex caliginosis illis soleque carentibus latebris reducens : et principibus ibi tenebrarum, ducibusque malorum, divinæ potestatis splendore, et angelicarum cohortium militia quasi obtritis, nullo tempore, et labore nullo, atque (ut semel dicam) eo qui solum Deum decet modo, in momento uno, ad sacra immensaque luce relucentia paradisi tabernacula traduxit (1) : eaque tabernacula, perinde atque quosdam arrhabones et primitias earum quæ in cœlis aliquando, post communem scilicet illam resurrectionem omnium, condignis atque idoneis paratæ sunt, mansionum, sempiternorumque hærediorum, ita ut par erat, eis donavit. Et B quemadmodum nuda anima nudis apud inferos animabus, eo quo dictum est modo, Salvator vespertina Parasceves diei hora præsens affuit, resurrectionemque quodammodo subindicavit : sic rursum tertia post die, cum profundum etiamnum una Sabbatorum esset diluculum, ac sol quidem tum circa paradisum in Edem oriretur, altioraque et sublimiora montium juga attingeret, circa nostrum autem horizontem septima propemodum, aut etiam octava obtineret hora nocturna, cum vitæ principe, Deo simili, animato et pure intellectuali corpore, ex sepulcro prodiens, ita ut antea prænuntiaverat, resurrexit.

ΚΕΦΑΛ. ΛΒ'.

Ἀπόδειξις ἐναργὴς ἐκ τῶν τότε γεγενημένων ὑπερφυῶν σημείων, ὡς ἀνέστη ὁ Κύριος ἐκ νεκρῶν. C

Καὶ τοίνυν ὁ θάνατος αὐτῷ τῷ Θεανθρώπῳ οὐκ ἐν παραβύστῳ καὶ γωνίᾳ, ἤ τινι ἀποκρύφῳ χρόνῳ καὶ τρόπῳ κατείργασθαι· ἐπὶ ξύλου δὲ μετεωρισθείς, ἐθνῶν τε καὶ Ἰουδαίων ὁρώντων, καὶ ἐν τόπῳ καὶ ἡμέρᾳ ἐπισήμῳ τῆς ἑορτῆς τοῦ Πάσχα τὴν τελευτὴν ἐπεσπάσατο. Οὕτω καὶ ὁ τάφος ἐκείνῳ ἐπίσημος· ἀνθρώπου γὰρ πλουσίου, καὶ καινὸς ἦν ἔτι ἄρτι λατομηθείς. Οἷα δὲ καὶ ἡ κηδεία, καὶ ἡ ταφή! ἀλόη γὰρ καὶ σμύρνα ἄκρως συμφυραθεῖσαι, σινδόνων καὶ ὀθονίων παρειλημμένων, τὸν νεκρὸν περιείλουν, καὶ εἰς τὸ ἀκριβὲς συνεῖχόν τε καὶ συνέσφιγγον, ὡς σῶμα ἓν τὸ ὅλον εἶναι δοκεῖν, κόλλης ἁπάσης δραστικώτερον τῶν εἰρημένων ἀρωμάτων ἐξισχυόντων συνέχειν, ᾧ προσγένοιντο ἀλειφόμενα. D Ὥσπερ τοίνυν ὁ θάνατος τῷ Χριστῷ καὶ ἡ ταφὴ τὸ πιστὸν καὶ ἀναντίῤῥητον ἔχουσιν, ἐν ἐπισήμοις τόποις γενόμενα· οὕτως ἄρ' ἐχρῆν αὐτοῦ ἀνάστασιν ἀκολούθως τὸ ἐντελὲς αὖθις εἰς πίστωσιν σχεῖν, παντὶ τρόπῳ τὸ βέβαιον τοῖς ἀξίοις καὶ ἀναμφίβολον τῆς πίστεως παριστάνουσιν. Τὰ μὲν οὖν ζωοποιὰ πάθη τε καὶ σωτήρια, ὡς τὴν ἡμετέραν οὐσίαν πλὴν ἁμαρτίας ἀναλαβὼν, κατενώπιον πάντων ὑπέσχεν, ὥσπερ δῆτα καὶ διελάβομεν. Τήν γε μὴν

CAPUT XXXII.

Demonstratio clara, ex eis quæ acciderunt supernaturalibus miraculis, quod Dominus ex mortuis resurrexerit.

Atque equidem Deus ipse, idemque homo, non in augulo aut occulto quopiam loco, non etiam obscuro vel tempore vel modo, est defunctus : sed in ligno sublime sublatus, gentibus simul et Judæis spectantibus, et quidem in loco atque die celebri et insigni festi Paschæ, vitam finiit. Nec minus sepulcrum magnificum illi fuit; hominis quippe opulenti, et novum, nuperque adeo in lapide excisum. Quale et funus, ipsaque sepultura fuit. Aloe siquidem et myrrha admodum commistæ corpus mortuum sindone et linteis exceptum conplectebantur, atque arctissime continentes, usque adeo constringebant, ut omnia ea corpus unum esse existimarentur : quod quovis glutine ea quæ diximus aromata, cuicunque jungantur rei, arctius potentiusque eam constringere possint. Et quemadmodum mors et sepultura Christi irrefragabilem in conspicuo peractæ loco fidem sunt consecutæ : itidem sane consequens erat, decebatque resurrectionem ejus, ad fidem faciendam, certum quiddam absolutumque habere, ut omnibus modis firmam indubitatamque dignis et idoneis persuasionem credulitatemque astrueret. Itaque qui substantiam

(1) « Propheticum quoque (προφητεῖον) adest Abrahæ, id est prophetarum domicilium, et dignam habitationem unaquæque gens percipit, etiam ante judicium. » (Iren. lib. II, cap. 64.) « Cur non capiat (ἐνδέγεται) sinum Abrahæ dici temporale aliquod animarum receptaculum, in quo jam delineetur futuri imago, ac candida quædam utriusque, indicii prospiciatur? » (Tertull. *Advers. Marc.* lib. IV.)

nostram, excepto peccato, susceperat, vivificas et salutares perpessiones in conspectu omnium sustinuit, ita ut recensuimus. Cæterum vitalem triduanamque ex mortuis resurrectionem suam, non omnibus profanis simul et sacris eodem modo perspiciendam permisit : quod nec æquum, nec sublimis, divini, et justi judicii Dei esse creditum sit, impuris ingratisque oculis talia committere, et perversitati cordis in periculum et experientiam rursum sanctum Israelis tradere, ut in ancipiti dubiaque consistentes opinione, quemadmodum etiam antea, et in cogitationibus variantibus non rectum adhibentes judicium, eum reprobarent atque repudiarent : illis vero qui mentem rectam et cor quam maxime purum obtinerent, claram et ab omni ancipiti dubitatione alienam resurrectionem suam exhibuit, fideque certa comsrobavit : primum quidem a matre et reliquis conspectus mulieribus; deinde a delectis discipulis, alias aliis, per dies quadraginta visus ; 112 ac verbis novis atque insolitis, simulque signis et prodigiis naturam superantibus, omnem illis (quantum fieri potuit) solvens atque adimens resurrectionis ambiguitatem. Non his autem solis, sed aliis quoque miraculis sepulcrum consecutis, fidem resurrectionis suæ confirmavit. Quæ vero ea sint, agedum dicamus. Primum, sigillum sepulcro impressum, quod intactum permansit : et custodia militaris illa, et genere alienigena, quæ in propinquo sigillum in observabat. Præterea ingens ille lapis ad os sepulcri appositus, qui inde defluens, ac potius manu et robore angeli devolutus (quod sane in his omnibus opinionem omnem excedit), ne ipse quidem vel minimum signum suum corrupit. Traditum enim nobis est ab antiquis, Judæos lapidem eum qui in salutiferum illud sepulcrum pro operculo positus fuerat, ad summum monumenti labrum, petramque inferne illi se conjungentem, ferramentis quibusdam fabrili lapicidarum arte perforasse, ferrumque ingens a fabro ex propinquo acceptum, perutrumque foramen immisisse, et in circi sive annuli formam circumegisse : atque ita firmiter capitibus commissis, omni ex parte quasi vinculum circumduxisse, ut lapis, qualicunque modo, loco suo revelli, aut saltem ratione aliqua moveri (nisi arte quapiam et vi adhibita, necessario aut ferrum confringeretur, aut petra perrumperetur) non potuerit. Atque ad hunc modum cum magna cura, atque etiam signo appresso, cum sepulcrum firmissime communissent, custodia insuper competenti adhibita, eos abiisse. Quapropter, cum nihil prorsus de signis illis motum mutatumve esset, et lapis absque fragore et sonitu inde defluxisset (qui quidem magnus fuisse perhibetur), ita ut unguenta afferentibus mulieribus, et discipulis ipsis accedentibus, locum his, ubi corpus depositum fuerat, magnitudine sua aperte indicarit : quis non evidentem hanc et irrefragabilem resurrectionis probationem atque demonstrationem agnoscat? Et ta-

A ζωοποιὸν καὶ τριήμερον ἐκ νεκρῶν ἐκείνου ἀνάστασιν οὐ πᾶσιν ἀνῆκε βεβήλοις τε καὶ ἁγίοις ἐν ταὐτῷ κατιδεῖν · ὅτιπερ οὐδὲ τῶν δικαίων εἶναι τοῦτο λελόγισται · οὐδέ γε μὴν τῆς ἐνθέου καὶ ὑψηλῆς δικαιοκρισίας Θεοῦ βεβήλοις καὶ βασκάνοις ὀφθαλμοῖς τὰ τοιαῦτα καταπιστεύειν, καὶ στρεβλότητι καρδίας εἰς πεῖραν αὖθις τὸν ἅγιον τοῦ Ἰσραὴλ παραδίδοσθαι, ὥστε καὶ ἐν ἀμφιβόλοις καθεστάναι καθὰ καὶ τὸ πρότερον, λογισμοῖς τε κρίσιν μὴ προβεβλημένοις ὀρθὴν ἀποδοκιμάζεσθαι · τοῖς δέ γε τὸν νοῦν εὐθέσι καὶ τὴν καρδίαν καθαρὰν ὡς καὶ μάλιστα κεκτημένοις σαφῆ τε καὶ ἀμφιβολίας ὡς πορρώτερω τὴν αὐτοῦ ἀνάστασιν ὑπέδειξέ τε καὶ ἐπιστώσατο · πρῶτον μὲν τῇ μητρὶ καὶ ταῖς λοιπαῖς ὀφθεὶς γυναιξίν · εἶτα τοῖς ἐκλεκτοῖς τῶν μαθητῶν, καὶ ἄλλοτε ἄλλοις δι' ἡμερῶν μ' ἀπτανόμενος · λόγοις τε ξενίζουσι καὶ ὑπερφυέσι σημείοις καὶ τέρασιν ἐξαίρων ὡς ἑνόν γε ἦν ἐκείνοις καὶ τὸ ἀμφίβολον διαλύων τῆς ἀναστάσεως. Οὐ τούτοις δὲ μόνον τὴν ἰδίαν ἐπιστοῦτο ἀνάστασιν, ἀλλὰ γε δὴ καὶ τοῖς τῷ τάφῳ παρακολουθήσασι τεραστίοις. Τίνα δὲ ταῦτα; Πρῶτον μὲν ἡ ἐπὶ τῷ τάφῳ σφραγὶς, ἀθιγὴς διαμεμενηκυῖα · ἥ τε κουστωδία ἐγγειτόνων ταύτην παραφυλάττουσα, στρατιωτική τε οὖσα καὶ ὀθνεία τῷ γένει, καὶ ὁ πάμμεγας ἐκεῖνος λίθος, τῷ στόματι ἐπιτεθεὶς τῆς σοροῦ, κἀκεῖθεν ἀπορρύεις, μᾶλλον δὲ χειρὶ καὶ σθένει ἀγγέλου ἐκκυλισθείς · καὶ τὸ ἐπὶ πᾶσι τούτοις ὂν τα παράδοξον, μηδὲ τὴν ἑαυτοῦ σφραγῖδα καὶ αὐτὸς κἂν πρὸς βραχὺ διαλυμηνάμενος · καὶ γὰρ ἐξ ἀρχαίων ἡμῖν παραδέδοται, τὸν τὸν ζωηφόρον τάφον ἐπιπωματίζοντα τουτονὶ λίθον, πρὸς τῷ ἄκρῳ τοῦ χείλους, καὶ τὴν κάτωθεν ἀπὸ τοῦ τάφου ἐγγίζουσαν πέτραν ἐργαλείοις τισὶ λατόμῳ τέχνῃ διατρήσαντες Ἰουδαῖοι, σίδηρόν τε παχὺν χαλκεῖ ἐκ τοῦ σχεδὸν προσγενόμενον δι' ἀμφοῖν τῶν τρημάτων ἐλάσαντες, καὶ εἰς κρίκου σχῆμα τουτονὶ περιαγαγόντες, καὶ οὕτως ἐν τῷ ἀσφαλεῖ ἁπανταχοῦ συγκεφαλαιώσαντές τε καὶ περιδήσαντες, ὡς μὴ οἷόν τε εἶναι τὸν λίθον ὁπωσοῦν τῆς ἕδρας ἐκστῆναι, ἢ γοῦν ὅπως δή ποτε κινηθῆναι, εἰ μή τινι ἄρα τέχνης ἀνάγκῃ καὶ βίᾳ ἢ ὁ σίδηρος διαθραυσθείη, ἢ ἡ πέτρα διαρραγείη · οὕτως οὖν ἀκριβῶς ἐπισφραγισάμενοι, ᾧχοντο, φυλακὴν ἀνήκουσαν ἐπαφέντες αὐτῷ. Καὶ τούνυν τῶν σημείων ἐκείνων οὐδαμῶς μετακινηθέντων, τοῦ λίθου τε ἀψορρητὶ ἐκεῖθεν ἀπορρύεντος, μεγάλου σφόδρα εἶναι μαρτυρουμένου, ὡς καὶ ταῖς μύραις κομιζούσαις, καὶ αὐτοῖς μαθηταῖς, τὸν χῶρον ἔνθα τὸ σῶμα ἔκειτο, δι' ἐκείνου προφανῶς καταδείκνυσθαι προϊοῦσι, πῶς οὐκ ἐναργὴς αὕτη καὶ ἀναντίρρητος τῆς ἀναστάσεως ἡ ἀπόδειξις ; Τοιαῦτα μὲν δὴ καὶ ταῦτα, τῆς ἀναστάσεως τοῦ Σωτῆρος τεκμήρια ἐκδηλότατα · τὸ δὲ τῶν ὀθονίων εἴτουν σινδόνων, εἰ δὲ βούλει, καὶ ἐν τῇ κεφαλῇ σουδαρίου αὖθις ὁποῖον ; Ταῦτα καὶ γὰρ τῇ σμύρνῃ καὶ ἀλόῃ καὶ τῷ ζωαρχικῷ σώματι ἐκείνῳ προσαρηρότα, καὶ οἱονεὶ ἓν σῶμα τῇ τῶν ἀρωμάτων δυναστείᾳ γεγενημένα, οὐδαμῶς ὑπὸ κλοπὴν τὸ σῶμα συγχωρεῖ γενέσθαι κατὰ τὴν Ἰουδαϊκὴν φρενοβλάβειαν. Πῶς

γὰρ ἂν καὶ ἐγύμνουν, καὶ ταῦτα κλέπτοντες, ἀθιγῶν τῶν ἐνταφίων καὶ κατὰ χώραν ἑκάστων παρακειμένων, καὶ εὐσχημόνων, καθὼς ἄρα καὶ περιέκειτο, τοῦ τε σουδαρίου μὴ φύρδην, ἀλλ' ὑφ' ἕνα τόπον σωφρόνως περιειλουμένου πρὸς τὸν τόπον τῆς κεφαλῆς; Παρίσταται τοιγαροῦν τοῖς συνιέναι γνῶσιν ἐθέλουσιν, ὅτιπερ οὐ μόνον τθιήμερος μετὰ σώματος ἀνέστη ὁ Κύριος, ἀλλὰ μετὰ λεπτοῦ τε καὶ κούφου, καὶ οὐκέτι θνητοῦ καὶ φθαρτοῦ καὶ παχέος, ὡς πρότερον, ἀφθάρτου δὲ μᾶλλον καὶ ἀθανάτου, καὶ τὸ ὅλον φάναι, πνευματικωτέρου καὶ θειοτέρου, καὶ ὁμοθέου λέγειν θαῤῥῶ, κατάληψίν τε πάσης αἰσθήσεως ὑπερβαίνοντος, ἐσθῆτός τε καὶ βρώσεις ὑπερτέρου, ὡς καὶ διὰ κεκλεισμένων κατὰ φύσιν θυρῶν εἰσιέναι· εἰ καὶ συγκαταβάσεως λόγοις ὑπερφυέσι τοῖς οἰκείοις ὁρώμενος, τήν τε πλευρὰν καὶ τὰς τῶν ἥλων τρήσεις ἐψηλαφᾶτο, καὶ τροφῆς μετεῖχε, καὶ ἰχθύος καὶ μέλιτος ἀπεγεύετο, οὐ πεινῶν, εἰς πίστωσιν μὲν τῆς καινῆς ἀναστάσεως, τῆς δὲ φαντασίας ἀναίρεσιν, λόγοις ἀῤῥήτοις τῆς τροφῆς τῷ πυρὶ τῆς θεότητος ἀναλισκομένης ὑπερφυῶς.

A lia quidem sunt hæc resurrectionis Servatoris indicia apertissima. Sindonis vero et linteorum, ipsiusque adeo, si placet, in capite sudarii, rursum qualia? Hæc etenim myrrhæ, et aloæ, et item vivifico corpori illi compacta, et quasi unum corpus, unguentorum vi atque efficacia, facta, haudquaquam corpus furtim auferri permisere, juxta Judæorum insanam dementiam. **113** Quomodo enim corpus ipsum nudantes, hæc fures sic detraxissent? eum sepulcralia lintea intacta, et decenter, perinde atque ei circumdata fuerant, suo quæque loco reperta sint? et sudarium non temere, sed in uno, capitis scilicet loco, rite circumvolutum jacuerit? Certum itaque est ac persuasum omnibus, qui intelligere cognitionemque assequi et recte sapere B volunt, Dominum non solum die tertio cum corpore surrexisse, sed etiam cum corpore tenui ac levi; nec amplius mortali et corruptibili et crasso, ut antea, sed prorsus incorruptibili et immortali, atque (ut semel dicam) spirituali magis et diviniore, quodque simul Deus esset (nam sic dicere ausim), captum sensus omnis excellente, vestitumque et alimento, quo non indigeret, superiore, ita ut et clausas fores naturaliter pertransiret, quamvis mirifica ratione submissionis atque conformationis (1), eis quos sibi in arctiorem consuetudinem acciverat, conspectus sit, et latus fissurasque clavorum contrectari siverit, cibumque ceperit, ac pisces et mel gustaverit; non ille quidem quod esuriret, sed ut fidem resurrectionis novæ faceret, et phantasmatis opinionem aboleret, ineffabili quodam modo præter naturam alimento a divinitatis igne consumpto.

ΚΕΦΑΛ. ΚΓ'.

Περὶ τῶν ἁγίων γυναικῶν μυροφόρων, ὁσάκις ἐπὶ τὸν ζωηφόρον ἦκον τάφον Χριστοῦ.

Οὐχ ἧττον δὲ εἰς βεβαίωσιν τῆς ἀληθοῦς ἀναστάσεως καὶ ἡ παρὰ τῶν μυροφόρων γυναικῶν μαρτυρία. Ἱσταὶ γὰρ παρὰ Θεῷ καὶ αὕται. Ἐπεί τοί γε ἐν Χριστῷ Ἰησοῦ οὐκ ἄρσεν, οὐ θῆλυ, οὔτε δοῦλος, οὔτε ἐλεύθερος· ἀλλ' εἷς ἐν τοῖς ἀξίοις καὶ ἐπὶ πᾶσιν ὁ Κύριος, μία τε πίστις, ἕν τε ἅγιον Πνεῦμα, τὸ πάντα ἐνεργοῦν, ὡς γε βουλομένῳ ἐστὶν αὐτῷ. Ὡς γοῦν οἱ εὐθεῖς τῶν ἀνθρώπων παραδεκτέοι μᾶλλον ἔδοξαν καὶ πιστοὶ, δι' ὧν καὶ ὁ κόσμος ὅλος τῇ εὐαγγελικῇ ἐζωγρήθη σαγήνῃ, καὶ μετ' αὐτοὺς ἕτεροι τὰ δευτερεῖα πρός τε πίστιν καὶ τὴν ἀληθῆ γνῶσιν φέροντες· οὕτω καὶ γυναῖκες ὅτι πλεῖσται παρελήφθησαν τῷ Χριστῷ πιστεύσασαι καὶ τὰ πρὸς χρείαν διακονοῦσαι. Πασῶν δ' ἐπισημοτάτη ἐστὶ Μαρία, ἡ ἐκ Μαγδάλων ὥρμητο· ἥτις καὶ πρότερον, ἑπτὰ πνεύμασι κάτοχος οὖσα, καὶ ὑπὸ τοῦ Ἰησοῦ τοῦ ὄχλου ἐκείνων ἀπαλλαγεῖσα, τοῦ λοιποῦ συνεῖναι καὶ σύνδιατρίβειν τῷ θεραπευτῇ ἐεῖν ᾤρετο. Ὅθεν καὶ τῇ τοῦ Θεοῦ Μητρὶ καὶ Σαλώμῃ καὶ τῇ ἄλλῃ Μαρίᾳ, θυγατρὶ μὲν τοῦ μνήστορος Ἰωσὴφ, ἐκ Κλοπᾶ δὲ τῆς τοῦ ἀδελφοῦ γυ-

CAPUT XXXIII.

De sanctis mulieribus unguentum ferentibus, quoties ad vivificum Christi sepulcrum accesserint.

Neque vero minus ad veram certamque resurrectionem confirmandam faciunt mulierum unguenta ferentium testimonia (2). Nam et hæc fidem apud Deum merentur. In Christo namque Jesu neque masculus, neque femina, neque servus, neque liber: sed unus in dignis atque idoneis, atque adeo in omnibus Dominus: una fides, unus sanctus Spiritus, qui efficit atque operatur pro arbitrio et voluntate sua omnia. Itaque quemadmodum recti integrique homines, per quos et mundus universus evangelica sagena captus est, et secundum hos alii, secundas in fide veritatisque cognitione ferentes, qui præ cæteris propter fidem egregiam susciperentur digni visi sunt: sic et mulieres plurimæ credentes, et necessaria ei ministrantes, a Christo sunt admissæ. In quibus omnibus celeberrima est Maria Magdalis orta (3), quæ quidem antea septem spiritibus afflata atque detenta **114** eisque ab Jesu liberata, de cætero conversandum vivendumque sibi cum curatore suo putaverat. Quapropter cum Genitrice Dei, et Salome, et alia

(1) « Ut resurrectio crederetur, talem se exhibuit. » (Chrysost.) « Ex dispensatione non in debita corporis sui gloria, sed in prima figura cernebatur. » (Cypr.) « Sed neque eamdem gloriam, quam antea ostendit apostolis, illico ostendit. Sed quod videre consueverant, hoc viderunt: et dilata est claritatis plenitudo, quæ in se erat perfecta. » (Id.)

(2) « Perfectus Christus est, non propter deitatem modo, qua nihil perfectius, sed etiam propter carnem assumptam, quæ deitate uncta, et idem quod unctio facta est, adeoque condeus (ὁμόθεο.) facta. » (Greg. Theologus.)

(3) Hæc ex Hagiographis decerpta.

Maria sponsi Josephi filia, ex Cleophæ fratris ejus, qui sine liberis procreatis decesserat, conjuge procreata, atque cum aliis familiarem consuetudinem habens, obsequi et ministrare Christo et discipulis ejus non intermiserat. Magdalenam porro istam Chananææ illius filiam esse quidam prodiderunt. Cum eis autem, quas diximus, alia rursum Maria erat, Judæ Josephi filii, unius ex duodecim conjux (1) : quam etiam minoris Jacobi et Josæ matrem nonnulli memorant (2). Item Joanna filiorum Zebedæi, Jacobi et Joannis mater. Has, quod matri Jesu, nec minus ipsimet Servatori omnibus officiis præstandis fideles essent, aliæ plures ex Gallilæa sequebantur, ad vestimentorum usum reliquumque ministerium percommodæ. Hæ igitur desiderio magistri flagrantes, metu autem persecutorum sese cohibentes, in Sabbato quietæ esse, ut decebat, cogebantur. Sero autem Sabbatorum, hoc est, post Sabbata omnia (consuevere autem Judæi ipsos dies septem Sabbata vocare), post totius videlicet hebdomadis peractum circuitum, et post mediæ noctis horas unius Sabbatorum, ipsa nimirum illucescente Dominica, Maria Magdalena, et alia Maria (Dei vero Genitricem hanc esse, sacri nobis prodidere libri), ut reliquis fervidiores, vehementioreque affectæ dolore, unguenta quædam rite præparata habentes adveniebant, de Judæorum consuetudine Jesum uncturæ, atque ex matutino tempore comploraturæ, lacrymisque adeo animorum mœrorem exsatiaturæ. Ecce autem lapidem conspiciunt longe a foribus devolutum, angelumque ei insidentem, lucis fulgore oculos perstringentem, bonoque animo eas esse, atque evestigio redeuntes, mystis discipulisque cum lætitia resurrectionem renuntiare jubentem. Revertentibus itaque illis obvius fit Christus, salvere eos jubens, Petroque et discipulis dicere, ut primo quoque tempore in Galilæam, desideratum ipsum visuri, irent. Atque illæ quidem stupore multo perculsæ, ita abiere. Prima hæc post resurrectionem duabus Mariis apparitio atque exhibitio facta, quam 115 Matthæus et Marcus deprædicant. Illæ igitur, ut dicere cœpi, abiere, timore a se ipsis dissidentes, neque quidquam eorum quæ vidissent nuntiantes. Magdalena certe quidem, sicuti Joannes scribit, desiderio tabescens, ad monumentum rediit, iterumque lapidem sublatum videns (somnium enim seu visionem sibi vidisse visa fuerat) confestim cucurrit, Petro et Joanni qui reliquis acriores calidioresque erant apostolis, sublatum quidem e monumento esse Jesum, se autem ubi locorum esset ignorare, annuntiatura. Illi porro solliciti atque anxii confestim ad sepulcrum accurrere, atque intus rite locoque suo sepulcralia lintea composita cernere, et verborum quæ is qui resurrexerat prolocutus fue-

(1) Malim legere, *mater*. Sedenim et Judas Jacobi, ac proinde et Domini frater, infra lib. III, cap. 10, nepotes ex filio, itaque et conjugem, ex qua illum suscepit, habuisse scribitur. Verum eam conjugem, si Maria nominata fuit, aliam a matre Jacobi et Josæ, etc., fuisse necesse est.

(2) Discrepant ista a cap. 3 libri sequentis.

A ναικὸς, ἄπαιδος τεθνηκότος, αὐτῷ γεννηθείσῃ, συνοῦσα, καὶ ταῖς λοιπαῖς θεραπεύουσα καὶ διακονοῦσα Χριστῷ τε καὶ τοῖς αὐτοῦ μαθηταῖς οὐκ ἀνίει. Τὴν Μαγδαληνὴν δὲ ταύτην καὶ θυγατέρα τῆς Χαναναίας εἶναί τινες ἐκδέδωκασι· μετά γε μὴν τῶν εἰρημένων καὶ Μαρίαν ἄλλην, Ἰούδα μὲν υἱοῦ Ἰωσὴφ ἑνὸς τῶν δώδεκα σύζυγον, ἣν καὶ μητέρα Ἰακώβου τοῦ μικροῦ καὶ Ἰωσῆ ἱστοροῦσι· καὶ Ἰωάνναν μητέρα τῶν υἱῶν Ζεβεδαίου, Ἰακώβου δηλονότι καὶ Ἰωάννου. Ταύταις οὖν ὡς τὰ πιστὰ τῇ μητρὶ τοῦ Ἰησοῦ καὶ αὐτῷ γ' ἐκείνῳ φρονούσαις καὶ ἄλλαι πλείους ἀπὸ τῆς Γαλιλαίας ἐφείποντο, πρὸς τὴν τῶν ἐνδυμάτων χρείαν καὶ ἄλλην διακονίαν δεξιαὶ κριθορώμεναι. Αὗται τοίνυν τῷ πόθῳ τοῦ διδασκάλου φλεγόμεναι, τῷ δὲ φόβῳ τῶν διωκτῶν συστελλόμεναι, τὸ μὲν Σάββατον ἡσυχῇ μένειν ἧ θέμις B κατηναγκάζοντο· ὀψὲ δὲ Σαββάτων, ὃ δηλοῦν ἐστι μετὰ πάντα τὰ Σάββατα· ἔθος δὲ Ἑβραίοις Σάββατα τὰς ἑπτὰ ἡμέρας καλεῖν, οἱονεὶ μετὰ τὴν τῆς ἑβδομάδος ὅλην περίοδον· μετὰ τὰς μεσονυκτίους ὥρας τῆς μιᾶς Σαββάτων, εἴτουν αὐτῆς ἐπιφωσκούσης Κυριακῆς, ἡ Μαγδαληνὴ Μαρία, καὶ ἡ ἄλλη Μαρία· τὴν Θεοτόκον δ' εἶναι ταύτην ἱεραὶ βίβλοι ἡμῖν ἐκδεδώκασιν· ὡς τῶν ἄλλων θερμότεραι καὶ περιπαθέστεραι, μύρα τινὰ εὐτρεπίσασαι, παρεγένοντο, ὥσπερ ἦν Ἰουδαίοις ἔθος, μυρίσαι τὸν Ἰησοῦν, κλαῦσαί τε ἐξ ἐωθινοῦ, καὶ τοῖς δάκρυσι τὸ τῆς ψυχῆς ἄλγος ἀκέσασθαι. Καὶ δὴ τὸν λίθον ὁρῶσι μακρὰν τῆς θύρας διαπεσόντα, καὶ ἄγγελον τούτῳ ὑπερκαθήμενον, φωτὸς ἀστραπῇ τὰς ὄψεις ἐκπλήττοντα, θαρρεῖν τε ἐγκελευόμενον, καὶ θάτ- C τον ἀπιέναι τοῖς μύσταις εὐαγγελίσασθαι τὴν ἀνάστασιν. Ὄπισθεν τοίνυν ἀνατρεχούσαις προσυπήντα ταύταις Χριστὸς, Χαίρετε, προσφθεγγόμενος, Πέτρῳ τε καὶ τοῖς μαθηταῖς ἀπαγγέλλειν, οἳ πρὸ ὧν ἔχειν ἥκειν εἰς Γαλιλαίαν, καὶ θεᾶσθαι δὴ τὸν ποθούμενον. Καὶ αἱ μὲν θάμβει περισχεθεῖσαι πολλῷ ἀπῄεσαν. Πρώτη αὖτη μετὰ τὴν ἀνάστασιν ταῖς δυσὶ Μαρίαις ἐμφάνεια, ἣν Ματθαῖός τε καὶ Μάρκος διαγορεύουσιν. Αἱ μὲν οὖν οὕτως ἀπῆλθον, τῷ φόβῳ διαφωνήσασαι, μηδὲν εἰποῦσαι ὧν ἐωράκεισαν. Ἡ μέντοι Μαγδαληνὴ, κατὰ τὸν Ἰωάνην, τῷ πόθῳ ἐκτηκομένη, πάλιν ἐπὶ τὸ μνῆμα ἦκει· τόν τε λίθον ἀρθέντα ἰδοῦσα αὖθις, ὄναρ γάρ ὥρετο ἃ προεώρακε, δραμεῖν αὐτίκα καὶ Πέτρῳ τε καὶ Ἰωάννῃ τοῖς θερμοτέροις ἀπαγγεῖλαι τῶν μα- D θητῶν, ἦρθαι μὲν τοῦ μνημείου τὸν Ἰησοῦν, ἀγνοεῖν μέντοι ὅπῃ γῆς εἴη. Ἐν ἀγῶνι δ' ἐκείνους γεγονότας, ἐπὶ τὸν τάφον εὐθὺς ἀφικέσθαι. Ἔνδον δὲ γενομένους καὶ ἐν κόσμῳ κείμενα τὰ ὀθόνια κατιδόντας, τῇ μὲν ἀναστάσει πιστεῦσαι, τῶν τοῦ ἀναστάντος ἐν μνήμῃ γεγονότας φωνῶν· διά γε μὴν τὸν φόβον αὖθις πρὸς ἑαυτοὺς συσταλῆναι· Μαρίαν δ' ἑστῶσαν πρὸ τοῦ μνήματος κλαίειν, καὶ ἐν ἀπόρῳ ποιεῖσθαι, πῶς ποτε ἄρα ὁ νεκρὸς ἀπό-

δῆμος ἦν. Δύο δὲ ἄρα φωτοφανεῖς παρακαθήμενοι ἄγγελοι, ὧν ὁ μὲν πρὸς τῷ τόπῳ τῆς κεφαλῆς, ἕτερος δὲ πρὸς τὸ κάτωθεν ηὐλίξετο μέρος, ὅτου χάριν ἐκείνη ὁ θρῆνος διεπυνθάνοντο· τὴν δὲ τὸ μὴ παρεῖναι τὸν Κύριον ταύτῃ, καὶ τὸ μὴ εἰδέναι ὅπου δὴ τέθειται, προβαλέσθαι. Τούτων λεγομένων, ἐκ τῶν ὄπισθεν ταύτῃ ἐφίσταται ὁ Σωτήρ. Οἱ δὲ ἄγγελοι εὐθὺς ἐκεῖνον ἰδόντες, ἀνίσταντο. Ἐκείνη δὲ καταπλαγεῖσα τῶν ἀγγέλων τὴν στάσιν, εἰς τοὐπίσω ἐστρέφετο· καὶ θεωρεῖ τὸν Ἰησοῦν ἑστῶτα. Κηπουρὸν δὲ αὐτὸν οἰομένη, ὅτι γε τὸ μνῆμα ἐν κήπῳ ἦν, ἐρομένῳ τούτῳ τὰς τῆς ὀλιγοπιστίας ἀφῆκε φωνάς, Εἰ σὺ, λέγουσα, τοῦτον ἐντεῦθεν μεταθεὶς ἐβάστασας, λέγε μοι ὅπου δή τῆς γῆς εἶη, κἀγὼ αὐτὸν ἀρῶ. Ἀλλ' ὁ Κύριος τὴν ἄνοιαν καὶ ἀπιστίαν ταύτης προσηγορίᾳ διωρθοῦτο μιᾷ. Τὴν δ' αὐτίκα τῆς συνήθους καὶ γλυκείας ἐν αἰσθήσει γεγενημένην φωνῆς, διδάσκαλόν τε ἐκ περιχαρείας εἰπεῖν, καὶ πιστεύσασαν τῷ μυστηρίῳ, αὐτίκα τῶν ζωαρχικῶν ποδῶν ζητεῖν ἅπτεσθαι· αὐτὸν δὲ μὴ ἅπτεσθαί γε οὕτω παχέως ἔχουσαν παρεγγυᾷν, ἕως ἂν πρὸς τὸν Πατέρα παλινδρομήσειε. Τότε γὰρ, ὁ δυνάμενος ἐν πνεύματι προσκολλᾶσθαι τῆς ἐξουσίας ἀπολαυέτω, φησίν. Ἡ μὲν οὖν Μαγδαληνὴ πρὶς τῷ τάφῳ παραγενομένη, δὶς ἑώρακε τὸν Χριστόν· μετὰ τῆς Θεοτόκου τὴν πρώτην, ὡς ὁ μακάριος ἱστορεῖ Ματθαῖος· τὴν δευτέραν δὲ καὶ τρίτην, κατὰ μόνας, κατὰ τὸν θεσπέσιον Ἰωάννην. Ἤδη δὲ καὶ τέταρτον πρόσεισι. Συμπαρῆσαν δὲ ταύτῃ ἥ τε Ἰακώβου Μαρία, καὶ Ἰωάννα, καὶ Σαλώμη, καὶ ἄλλαι πλεῖσται αἱ ἀπὸ τῆς Γαλιλαίας συναναβᾶσαι, ἡλίου ἄρτι τὸ πρωϊνὸν ὑπαυγάζοντος. Αἷς κατὰ τὸν θεῖον Λουκᾶν οἱ ἐξαλλοι ταῖς στολαῖς ἐκεῖνοι καὶ φωτοειδεῖς ἤροντο ἄγγελοι, μὴ τὸν ζῶντα μετὰ τῶν τεθνεώτων πολυπραγμονεῖν· ἐγηγέρθαι γὰρ καὶ μὴ παρεῖναι τῷ τάφῳ διεμαρτύροντο· καὶ τῶν ἐκείνου ῥημάτων ἐν μνείᾳ γενέσθαι παρηγγύων, καὶ τοῖς μαθηταῖς πορευθείσας τὰ ἴσα διαμηνύεσθαι. Καὶ δὴ θ' ὑποστρέψασαι σύναμα τῇ θερμοτάτῃ Μαγδαληνῇ, τὰ ὁραθέντα τοῖς ἕνδεκα καὶ πᾶσι τοῖς λοιποῖς ἀνήγγελλον. Λῆρον δὲ γυναικῶν τοὺς λόγους ἡγούμενοι, πιστεύειν ἥκιστα εἶχον. Τῆς δὲ φήμης πτερὰ λαβούσης, καὶ ἀπανταχοῦ γε διατρεχούσης ἅμα ἡμέρᾳ ὡς ἐκ τῶν νεκρῶν ἀνέστη ὁ Ἰησοῦς, οἱ ἀρχιερεῖς καὶ οἱ τοῦ συνεδρίου ἐν λόγοις ἦσαν, βουλὴν ὑφάναντες, ἀργυρίῳ τε τὰς τῶν στρατιωτῶν δεξιὰς διαφθείραντες, πείθειν ἐπεχείρουν ὡς οἱ μαθηταὶ συλήσειαν τὸν τοῦ διδασκάλου νεκρὸν, βαθεῖ τῷ ὕπνῳ κατεχομένων αὐτῶν. Ὁ δὴ καὶ ἐς δεῦρο, φησὶ, παρ' ἐκείνοις διαφημίζεται.

rat, meminisse, resurrectionique fidem habere, cæterum propter metum rursum se ipsos cohibere. Maria autem stans ad monumentum fiere, et dubitans ambigere ubinam corpus esset. Tum ibi humana specie angeli duo, alter quidem ad capitis locum, alter autem inferiore parte, sedentes, quænam luctus fletusque ejus causa esset eam rogant. Quibus illa respondet : non adesse eo loco Dominum, neque ubinam positus esset nescire. His dictis, a tergo ei præsto adest Servator. Angeli autem, eo viso, illico consurgunt. Illa porro angelorum assurgentium statu exterrita, convertitur, Jesumque astantem videt. Cæterum hortulanum eum esse existimans (in horto enim monumentum erat), ad interrogationem ejus modicæ fidei profert vocem : *Si tu*, inquiens, *illum inde sublatum quopiam deportasti, dic sodes ubi locorum sit, et ego illum tollam*. Sed enim Dominus amentiam incredulitatemque ejus una appellatione corrigit et emendat. Ibi illa statim consuetam dulcemque agnoscens vocem, ex lætitiæ abundantia, magistrum eum vocat, et mysterio fidem adhibens, vitales pedes subito contingere parat. Eamque ille, quod tam crassa etiamnum mente esset, ne se tangeret, donec ad Patrem reverteretur, inhibet. Tum enim eos qui spiritu adhærere adjungique ei possent, potestate ea frui debere dixit. Itaque Madgdalena ter ad sepulcrum venit, et bis Christum vidit : primum, cum ipsa Dei Genitrice, ut beatus commemorat Matthæus ; secundo autem et tertio, sola, ut quidem divinus scribit Joannes. **116** Jam vero et quarto advenit. Erant autem cum ipsa Maria Jacobi, Joanna, Salome, et aliæ plures, quæ a Galilæa simul ascenderant, sole recens admodum orto. Quibus, juxta divum Lucam, coruscantibus stolis præstantes humana specie angeli dicunt, viventem cum mortuis quærendum non esse. Resurrexisse enim, et non adesse eum in monumento, testificantur : verbaque ejus in memoriam revocare, atque discipulis abeuntes eadem indicare jubent. Ita demum illæ cum fervidissima Magdalena reversæ, undecim illis, prætereaque aliis omnibus, quæ viderant, renuntiant. At illi muliercularum verba pro nugis habentes, animum ad credendum inducere non potuerunt. Et jam fama, viribus magis magisque sumptis, passim una cum die Jesum ex mortuis resurrexisse increbrescebat : cum pontifices, et qui in concilio alicujus essent nominis et existimationis, consilium texunt, et argento dato milites corrumpunt, ut persuadere omnibus conarentur, cum ipsi somno profundiore consopiti essent, discipulos corpus defuncti magistri rapuisse : quod ad hunc usque diem apud eos evangelista falso jactari dicit.

CAPUT XXXIV.

Quoties et quibus ex discipulis apparuerit : ut primum scilicet Lucæ et Cleopæ, deinde vesperi undecim apostolis clausis januis videndum se præbuerit : et ut post dies octo ab apostolo Thoma sit contrectatus.

Deinceps, quoties discipulis apparuerit, quibusque signis et miraculis, eis perculsis cognitus sit, ne ipsis quidem, qui suis ipsorum oculis ea spectarunt, in publico monumenta referri oportere visum est, sublimi Deumque decente terrore simul et admiratione facilis compendiariæque orationis occasionem illis præbente : quippe quibus illud studio fuerit, ut ea tantum exponerent, quæ ad fidem non satis idoneis parumque credulis hominibus faciendam sufficerent, plurima autem securitati silentii committerent. *Diebus enim*, divinus inquit Lucas, *quadraginta ex iutervallis se illis exhibens, et qaidem non sine miraculis et prodigiis, quæ regni Dei essent, læto recensuit nuntio.* Primum itaque, sicuti antea dictum est, mulieribus, utpote fide ferventioribus ac desiderio cordis magis flagrantibus, conspectus est. **117** Deinde Simoni Petro, et ipsi singularem ardorem erga magistrum obtinenti, in primisque linguæ lubrico lapso, atque majorem in modum supra alios rerum suarum satagenti. Ac eadem ipsa, tertia quidem illa, sed prima resurrectionis die, a Luca (1) et Cleopa, iter carpentibus, cum vespere ad cœnam cum eis consedisset, per panis nimirum fractionem, cognitus est : qui, cum e conspectu eorum evanuisset, ipsi cœna relicta, nullaque mora interposita, eo ipso tempore cum festinatione Hierosolyma reversi sunt, atque in cœnaculum, ubi et cœna peracta fuerat, et tum discipuli metu percussorum confertim convenerant, quam primum ascenderunt. Ibi eis apparitio Christi, Simoni Petro exhibita, aliaque de ipsa Magdalena, de lapide, et de angelis, præstantissimis vestimentis coruscantibus, magna cum voluptate renuntiata sunt. Et ipsi vicissim, quod illis in itinere evenisset, et ut eum panem frangentem cognovissent, commemorarunt. Sed enim non exigua quoque tum ibi excitata est turba ab eis, qui inter se ancipites adhuc erant. Cæterum illis ita ambigentibus, propter earum rerum quæ dicebantur novitatem, circa ejus ipsius diei serum, vespera increbrescente, cum fores firmiter clausæ manerent (metuebant enim, ne quis clam ingrederetur), derepente in ipsorum addubitantium medio consistens Dominus, serenam tranquillitatem animis eorum immittit, ac turba sedata, pacem eis more suo apprecatur, manus quoque et pedes, præterea et divinum latus contrectandum permittens, fluctuantem eorum de resurrectione opinionem dissolvit, et plenam illis certamque facit fidem, ut firmiter constanterque crederent, se eum ipsum, qui clavis nuper admodum transfixus fuerat, non spiritum esse. Quomodo

ΚΕΦΑΛ ΚΔ'.

Ὁσάκις καὶ τίσι τῶν μαθητῶν ἀνεφάνη· καὶ ὡς πρῶτον τοῖς περὶ Λουκᾶν καὶ Κλεόπαν, εἶτα ὀψίας τοῖς ἑνδεκα τῶν θυρῶν κεκλεισμένων ὤφθη· καὶ μεθ' ἡμέρας ὀκτὼ ὑπὸ τοῦ ἀποστόλου ἐψηλαφήθη Θωμᾶ.

Ἐντεῦθεν ὁσάκις ἐμφανὴς τοῖς μύσταις ἐγένετο, ὅσοις τε σημείοις καὶ τέρασι καταπλήττων αὐτοὺς ἔγνωστο, οὔτε τοῖς αὐτόπταις ἀναγράψασθαι δεῖν ἐδόκει, τῆς θεοπρεποῦς γοργότητος τοῦ συντεταμμένου λόγου διδόντος τὸ πρόχειρον· μελέτην τε ποιούμενοι, ὅσα πρὸς πίστιν ἐξαρκεῖν τοῖς ἀναξίοις καὶ ὀλιγοπίστοις ἔμελλε, ταῦτα δὴ παραθεῖναι· τὰ δὲ πλεῖστα τῷ τῆς σιωπῆς ἀκινδύνῳ κατέκρυψαν· Ἐν ἡμέραις γὰρ, φησὶν ὁ θεηγόρος Λουκᾶς, μ', ἐκ διαλειμμάτων αὐτοῖς ἐμφανὴς γινόμενος, καὶ οὐκ ἄνευ τεράτων καὶ σημείων καινῶν τὰ περὶ τῆς τοῦ βασιλείας τούτοις εὐηγγελίζετο. Πρῶτον μὲν οὖν, ὥς γε εἴρηται, ταῖς γυναιξὶν οἵπερ θερμοτέραις τὴν πίστιν καὶ τῷ πόθῳ τῆς καρδίας ἐκκαιομέναις ὀπτάνεται· εἶτα τῷ Σίμωνι Πέτρῳ, ἅτε δὴ καὶ αὐτῷ ζέοντα περὶ τὸν διδάσκαλον, ἄλλως τε καὶ ὀλίσθῳ γλώττης περιπεσόντι, καὶ ὑπερβαλλόντως τῶν ἄλλων μάλιστα διαπονουμένῳ. Καὶ κατ' αὐτήν γε δὴ τὴν τρίτην μὲν, πρώτην δὲ ἡμέραν τῆς ἀναστάσεως, τοῖς περὶ Λουκᾶν καὶ Κλεόπαν τὴν ὁδὸν παριοῦσι γνωρίζεται, πρὸς ἑσπέραν εἰς δεῖπνον αὐτοῖς συγκατακλιθείς, κἀν τῇ κλάσει τοῦ ἄρτου τούτοις ἐπιγνωσθείς, καὶ ἀφανὴς ἐκ μέσου τούτων πάλιν γενόμενος. Αὐτοὶ δὲ τὸ δεῖπνον λιπόντες, μηδέν τε μελλήσαντες κατ' ἐκεῖνο δὴ τοῦ καιροῦ σπουδῇ ἀνέστρεφον εἰς Ἱεροσόλυμα· καὶ τὸ ὑπερῷον τάχος ὅσον ἀναβάντες, ὅπου δὴ καὶ ὁ δεῖπνος τετέλεστο, ἔνθα καὶ οἱ μαθηταὶ ἀθρόοι τῷ φόβῳ τῶν φονευτῶν κατεδύοντο, τὴν πρὸς Σίμωνα Πέτρον ἐμφάνειαν τοῦ Χριστοῦ ἡδέως τούτοις κατήγγελλον· καὶ τἄλλα τὰ περὶ τὴν Μαγδαληνὴν καὶ τὸν λίθον, καὶ τοὺς ταῖς ἐξάλλοις ἀστράπτοντας ἀγγέλους στολαῖς. Ἐκεῖνοι δ' αὖ τὰ κατὰ τὴν ὁδὸν διεξῆσαν, καὶ ὡς ἐκλῶν τὸν ἄρτον διεγνώσθη αὐτοῖς· ἔνθεν τοι καὶ τάραχος οὐκ ἐλάχιστος ἐπηγείρετο τοῖς παρ' ἀλλήλων ἐν ἀμφιβόλῳ δὴ γενομένων. Τούτων δ' οὕτως ἀμφισβητούντων τῷ τῶν διηγημάτων ξενίζοντι, ἐν τῇ τῆς αὐτῆς ἡμέρας ἑσπέρᾳ, τῆς ὀψίας ἔτι ἐπιπολαζούσης, τῶν τε θυρῶν ἐν τῷ ἀσφαλεῖ μενουσῶν, ἐδεδίεσαν γὰρ μή τις λάθῃ παρεισδὺς, ἀθρόον ὁ Κύριος διαφερομένοις ἐπὶ μέσοις στὰς, γαλήνην τε εὐθὺς ἐνίησι ταῖς ψυχαῖς· καὶ τὸν τάραχον καταστείλας, εἰρήνην αὐτοῖς, τὸ σύνηθες, ἐπεφθέγγετο· τάς τε χεῖρας, καὶ τοὺς πόδας, πρὸς δὲ καὶ τὴν θείαν πλευρὰν ἀνεὶς ψηλαφᾶν, τὸ τῆς ἀναστάσεως ἀμφίβολον διελύετο· ἐν βεβαίῳ καθεστάναι πληροφορῶν, αὐτὸν εἶναι τὸν χθὲς καὶ πρότριτα τοῖς ἥλοις ἐμπαγέντα, μὴ πνεῦμά τε ὄντα. Ἦ πῶς ἂν τὸ πνεῦμα σαρκὶ καὶ ὀστέοις προσχρήσηται, ὡς ἐκεῖνος περικείμενος τυθῆ' ἑωρᾶτο; Πῶς δ' ἂν καὶ ἁφῇ χρήσηται, ἀναφὲς παντάπασιν ὄν; Ἐγὼ τοίνυν, εἰμὶ, φησὶ, μηδ' ὅλως ἀλλοιωθείς.

(1) Non Lucam hunc, sed Nathanaelem fuisse, arbitratur Ephiphanius.

Καί γε ὑμῖν ἄρτι πρῶτος τὰς ἀπαρχὰς τοῦ Παρακλήτου ἐπιπνέων ταῖς ὄψεσι, λάβετε, λέγω, Πνεῦμα ἅγιον· δι' οὗ καὶ κράτος ἔτι χαρίζομαι, λύειν τε καὶ δεσμεῖν ᾧτινι ἀνθρώπων ἁμπλακεῖν γένοιτο. Γνῶναι δὲ δεῖ προσῆκον, ὡς γέ μοι καὶ πολλάκις ὑμῖν εἰρημένον, ὡς οὕτω ἔδει γενέσθαι, παθεῖν τὸν Χριστὸν τῇ ἀκολουθίᾳ τοῦ γράμματος, καὶ εἶσω τῆς σφετέρας δόξης αὖθις χωρῆσαι. Ὡς ἂν δὲ μὴ τῇ ὄψει μόνον, πρὸς δὲ τῇ ἀκοῇ τε καὶ τῇ ἁφῇ, ἀλλὰ καὶ αὐτῇ γεύσει τὰ πιστὰ σχοίητε, ὡς οὐ φάσμα, ἀλλ' ἐγώ εἰμι, ὁ ξύλῳ μὲν θανών, τάφῳ δὲ καθειρχθείς, ἐκεῖθεν δὲ τῇ θείᾳ δυναστείᾳ ἀναβράβευτος, καὶ εἴ τι ὑμῖν πρὸς τροφὴν σχέδιον, παρίτω. Καὶ οἱ μὲν μέρος προὐτίθεσαν ἰχθύος ὀπτοῦ, πρὸς δὲ καὶ μέλι κηρίῳ σύμμικτον· καὶ ὑπὸ ταῖς ἁπάντων ὄψεσι ταῖς χερσὶ τῶν προκειμένων ἀψάμενος ἤσθιε, καὶ πόματος ἅπεγεύετο, τὴν ἐκ νεκρῶν τοῦ σώματος ἀνάστασιν ἐν βεβαίῳ τιθείς. Τὴν μὲν οὖν τοιαύτην τοῦ Σωτῆρος ἐμφάνειαν πρὸς τοὺς μαθητὰς ὅ τε θεῖος Λουκᾶς καὶ ὁ θεστέσιος Ἰωάννης ἀρίστως εὐηγγελίσαντο. Τὰ δ' ἑξῆς τούτων ὁ τῆς βροντῆς υἱὸς ἐπεβρόντησεν. Θωμᾶς γὰρ, ᾧ Δίδυμος ἦν τὸ ἐπώνυμον, τῇ ὀψιαιτέρᾳ οὐ παρῆν θεωρίᾳ τοῦ Ἰησοῦ· ὅθεν καὶ τῶν λοιπῶν ἐπανήκοντι διηγουμένων σὺν χαρᾷ τὴν ὄψιν, ἐδάκνετό τε καὶ ἠδικῆσθαι ᾤετο· καὶ τὴν ψυχὴν ἐμερίζετο, ἐν ἀμφιβόλῳ καθεστὼς, οὐ τοῖς λέγουσιν, ἀλλ' ὅτι οὐδὲ ἀνέστη· πῶς γὰρ ἄνθρωπος ὤν; καί γε τοῖς λέγουσι διετείνετο πόρρω πίστεως εἶναι, εἰ μή γε καὶ αὐτὸς ἰδίαις χερσὶ τὰς τῶν ἥλων ἐπαφώμενος τρήσεις, καὶ κατὰ τῆς πλευρᾶς εἴσω θήσας τὴν χεῖρα, τάσφαλὲς σχοίη τῷ ψηλαφᾷν. Ἐπεὶ δ' ὀγδόη ἐξ ἐκείνης ἡμέρα διέδραμε, τῶν θυρῶν ἐν σχήματι ἐπιζυγουμένων, πάντων τε τῶν Χριστοῦ ὀπαδῶν ἐπίσης τῷ δέει συνηθροισμένων, παρῆν δὲ ἄρα τούτοις καὶ ὁ Θωμᾶς, αὖθις ὁ Ἰησοῦς ἀψοφητὶ παραγίνεται· ἡσυχῇ τε τῷ πνευματικῷ, καὶ τὸ ὅλον φάναι, θεοειδεῖ ἐκείνῳ σώματι, μή τινος ἐμποδὼν γεγονότος, ἐν μυσοις τούτοις γενόμενος, τὴν ἐξ ἔθους προσφώνησιν ἐπεφώνει. Εἶτα καὶ τῷ Διδύμῳ, τὸ ἀμφίβολον διαλύων, καὶ δι' ἐκείνου πᾶσιν ἐνιεὶς ἀσφαλεῖς τὰς κρηπῖδας τῆς ἀναστάσεως, χεῖράς τε καὶ πόδας καὶ τὴν πλευρὰν παρεδείκνυ· ἀκριβῶς τε ψηλαφᾷν παρηγγύα τοὺς τύπους τῶν ἥλων, καὶ τὴν ἐς πολύ τι βάθους ἰοῦσαν τῆς πλευρᾶς ῥῆξιν. Τὸν δ' ἐς τοσοῦτον τῇ ἁφῇ πιστωθῆναι, ὡς καὶ Κύριον καὶ Θεὸν μεγάλῃ ἀνειπεῖν αὐτὸν τῇ φωνῇ.

A enim spiritus carne et ossibus uteretur? sicuti illi illum habere viderent; aut quomodo attactum admitteret, qui prorsus incontrectabilis esset? Itaque ego, inquit, sum, non prorsus omnique ex parte mutalus. Atque equidem primus nunc primitias Paracleti vobis in faciem spirans. Accipite, dico, Spiritum sanctum, per quem potestatem etiam tribuo solvendi ligandique quicunque peccaverint homines. Convenit autem vos scire, id quod sæpenumero vobis a me est dictum, sic omnia oportuisse fieri, Christumque ex præscripto litteræ pati, et ad gloriam **118** suam reverti. Ut autem non oculis modo ipsis, audituque et tactu, verum etiam gustatu, fidei confirmationem habeatis, quod scilicet non spectrum, sed ego ipse sim, B qui in ligno quidem mortuus, et in sepulcro clausus fuerim, inde autem divina vi et potentia evaserim; si quid vobis in promptu est cibi, proferatur. Atque illi partem piscis assi, et mel favo suo mistum, ei apponunt. Itaque in conspectu omnium, manibus, quæ proposita erant, carpens, edit: et præterea potum degustat, ex mortuis corporis resurrectionem confirmans. Et talem quidem Servatoris apparitionem et exhibitionem apud discipulos divi Lucas et Joannes optime in Evangeliis suis promulgarunt. Ea autem quæ porro sequuntur, tonitrus filius intonuit. Thomas namque, cui et Didymi cognomen erat, vespertino spectaculo Christi non aderat. Q apropter cum reliqui discipuli cum gaudio advenienti ei apparitionem annuntiarent, moleste cum sermonem C ferebat, atque injuria se affici putans, animo propter fluctuantem opinionis ambiguitatem in partes varias dividebatur, non modo ut annuntiantibus non crederet, verum etiam illum resurrexisse negaret. Qui enim id, homo cum esset, faceret? Quin et obnixe contra asseverantes contendebat, se non crediturum, nisi manibus ipse suis clavorum fissuras attingens, manumque intra latus immittens, rem ipsam per contrectationem certo deprehenderet. Postquam autem deinceps octava advenit dies, foribus modo suo rite occlusis, sectatoribus Christi omnibus simul ibi metu congregatis (aderat autem cum eis et Thomas), rursum Jesus sine strepitu omni adest, taciteque spiri- D tuali, et ut uno verbo dicam, divino corpore illo, nullo obstante impedimento, in medio eorum astans, consuetam sibi vocem profert. Deinde et Didymo dubiam ambiguitatem adimens, et per illum apud alios omnes certa firmaque jaciens resurrectionis fundamenta, manus simul et pedes ipsumque latus ostentat, accurateque et diligenter pertractare jubet clavorum vestigia, et quæ satis alta erat, lateris fissuram. Itaque in tantum illius fides ea contrectatione est confirmata, ut voce magna et Dominum et Deum ipsum profiteretur.

ΚΕΦΑΛ. ΛΕ'.

Ὡς μετὰ τοῦτο ἐπὶ τῆς Τιβεριάδος θαλάσσης ἐφάνη Πέτρῳ, Θωμᾷ, καὶ Ναθαναὴλ ἐν τῇ ἁγρᾳ τῶν ἰχθύων, ἔνθα δὴ καὶ τροφῆς μετέσχεν.

Μετὰ τὲ τοῦτο Πέτρῳ πάλιν, Θωμᾷ τε καὶ Ναθαναὴλ, τοῖς τε Ζεβεδαίου παισὶ, δυσὶ τε ἄλλοις ἐπὶ

119 CAPUT XXXV.

Ut posthac ad mare Tiberiadis Petro. Thomæ et Nathanæli apparuerit, in captura piscium: ubi etiam cibum cum eis cepit.

Postea rursum Petro, Thomæ et Nathanaeli, Zebedæi liberis, et duobus præterea aliis, in Ti-

beriadis mari capiendis piscibus occupatis, cernitur. Nox vero tota illis abierat, cum admodum laborassent, nihil autem prorsus ejus quod sperassent consecuti essent. Cæterum una cum diluculo Jesu appetente, et verriculum ad dextram immittere laxareque jubente, tanta vis piscium extrahitur, ut sagenam pertrahere non possent. Piscum igitur immensa opinionemque excedente captura, quisnam esset, qui in littore astabat, cognoscitur. Et Petrus continuo natat (circiter enim ducentos cubitos a terra aberant). Ardenti namque desiderio concitus ille, cum linteolo quod ei tum subito tempus suppeditaverat, lumbos circumcirca cinxisset, undis innatans, suavissimeque subinde aquam spiritu attrahens atque remittens, ad Christum contendit. Reliqui vero navi piscatoria remigantes, ad littus appellunt. E navi itaque digressi, desideratum illum suaviter salutant et amplectuntur. Et ecce, in solo prunas et piscem cum pane positum cernunt, sanctorum scilicet angelorum, ut puto manibus jentaculum præparatum. Jubentur præterea et ex recens captis piscibus aliquid afferre ad epulas. At illi conscenso navigio, rete pertrahunt piscibus confertum, et numero et magnitudine præstantibus : ad centum enim quinquaginta et tres erant. Mirandum autem erat, cum tot et tanti illi essent, verriculum ruptum prorsus non esse : adeo ut eo ipso prodigio certo illis Dominum eum esse constaret. Quapropter magna inter se affecti sunt voluptate atque lætitia : et ille cum eis ex eo quod propositum fuerat, communicavit cibum. Enimvero, cum admirandum illud jentaculum finem suum haberet, non semel, sed iterum ac tertio Dominus Simonem interrogavit, an se plus aliis diligeret? non ille quidem rescire hoc volens (quomodo enim id ei opus esset, qui manifesta compertaque, etiam quæ nondum facta essent, haberet?), sed ut per triplicem expressam prosessionem triplici mederetur negationi. **120** Ut autem ille celerrime amorem est professus, hactenus audivit se verum amoris indicium exhibiturum, quatenus re ipsa et opere rationales oves pasceret. Id vero tum demum fore, si animam quoque, sicuti ipse, pro illis ponere vellet : futurum enim, ut ipse ovibus præfectus, itidem per crucem Deum glorificaret. Id namque innuit verbum illud, juniorem ipsum quidem, quocunque voluisset, ivisse, senem autem alii manus ad vinciendum præbiturum, viamque ad mortem ferentem, quam natura, vitam quam longissime producere cupiens, abhorreret, iturum. Intellexit ille quæ dicta fuerant, et discipulum eum qui super pectus Domini recubuerat pone sequentem vidit. Itaque et de fine obituque ejus quæsivit. Cæterum Dominus, eo, quod temere et frustra arcana inscrutabilis judicii Dei inquirere et investigare vellet, acrius objurgato : Si eum, inquit, volo in præsenti vita cum corpore manere, donec veniam (casum Hierosoly

τῆς Τιβεριάδος θαλάσσης περὶ τὴν τῶν ἰχθύων διαπονουμένοις ἄγραν, ὀπτάνεται. Νὺξ μὲν γὰρ ὅλη αὐτοῖς ἀνηλίσκετο, πλεῖστα πεπονηκότι, μηδὲν δ' ὅλως τῶν ἠλπισμένων ἔχουσιν. Ἅμα δ' ἕῳ τοῦ Ἰησοῦ ἐπιστάντος, καὶ χαλᾷν τὸ δίκτυον τοῖς δεξιοῖς ἐγκελευομένου, πλῆθος τοσοῦτον ἰχθύων εἵλκετο, ὡς μηδ' ἕλκειν αὐτοὺς τὴν σαγήνην ἱκανῶς ἔχειν. Τῷ τοίνυν παραδόξῳ τῆς ἄγρας ὅστις εἴης γνωσθεὶς ὁ ἐπὶ τοῦ αἰγιαλοῦ, Πέτρον μὲν αὐτίκα εἶχεν ὁ πλοῦς· πήχεσι γὰρ διακοσίοις τῆς γῆς ἀφειστήκεισαν· καὶ τῷ θερμῷ τοῦ πόθου διαπλοϊζόμενος, ὀθονίῳ ἐκ τοῦ σχεδὸν εὑρεθέντι, τὰ περὶ τοὺς μηροὺς κύκλῳ διαζωσάμενος, ἀναφυσῶν ὡς ἥδιστα καὶ ἀναπεμπόμενος, πρὸς Χριστὸν ἧετο. Οἱ λοιποὶ δὲ τῷ ἀκατίῳ πρὸς τὸ ξηρὸν διελαύνοντες ἦκον. Ὡς οὖν ἀπέβησαν, καὶ τὸν ποθούμενον ἡδέως ἠσπάζοντο, ἰδοὺ ἐπ' ἐὐάφους ὁρῶσιν ἀνθρακιὰν καὶ ὀψάριον καὶ ἄρτον προκείμενα, χερσὶν ἁγίων, οἶμαι, ἀγγέλων τὸ ἄριστον ἐκεῖνο ἐξειργασμένων. Ἐνεγκεῖν μέντοι καὶ ἀπὸ τῶν ἄρτι νεαλῶν ἰχθύων διεκελεύοντο πρὸς ἑστίασιν· καὶ δὴτ' ἀναβάντες, εἵλκον τὸ δίκτυον. Ἔμπλεων δ' ἄρα ἦν ἰχθύων μεγέθει τε μεγίστων καὶ ἀριθμῷ πλείστων· εἰς τρεῖς γὰρ καὶ ν' καὶ ρ' τὸν ἀριθμὸν διεπέρασινον. Καὶ τὸ δὴ θαυμάσιον, ὅτι γε καὶ πολλῶν καὶ τηλικούτων ὄντων τὸ μέγεθος, τὸ δίκτυον διερρωγὸς οὐδαμῶς ἦν. Ὡς ἐντεῦθεν τἀσφαλὲς ἐσχηκότων αὐτὸν εἶναι τῷ τεραστίῳ τὸν Κύριον, παρ' ἀλλήλων ἐν ἡδοναῖς καθεστάναι, καὶ ἄμφω αὐτοῖς ἐκείνου τῶν παρακειμένων εἰς βρῶσιν μεταδιδόντος. Ἐπεὶ δὲ τὸ θαυμαστὸν ἐκεῖνο ἄριστον πέρας εἶχεν, οὐχ ἅπαξ, ἀλλὰ καὶ δὶς καὶ τρὶς ὁ Κύριος ἀπεπειρᾶτο τοῦ Σίμωνος, εἰ πλείω τῶν ἄλλων ἐρῴη αὐτοῦ, οὐ γνῶναι τοῦτο βουλόμενος (πῶς γὰρ ᾧ δῆλα καὶ τὰ μήπω γενόμενα;), ἀλλ' ἵν' ὁμολογίᾳ τρισσῇ τὸ τριττὸν ἰάσαιτο τῆς ἀρνήσεως. Ὡς δ' ἐκεῖνος θᾶττον ὡμολόγει, ἐν τούτῳ ἦκουεν ἱκανῶς ἔχειν τὸ γνήσιον παριστᾷν, εἴ γε ποιμάνοι ἔργῳ τὰ λογικὰ πρόβατα. Τὸ δ' ἔσται, εἰ καὶ τὴν ψυχὴν ὡς ἐκεῖνος βούλοιτο τιθέναι ὑπὲρ αὐτῶν· ἐπίσης γὰρ καὶ αὐτῷ ἐσεῖται τῶν προβάτων ὑπερισταμένῳ, διὰ σταυροῦ δοξάσαι τὸν Θεόν· τοῦτο γὰρ ἠνίξατο τὸ νέον μὲν ὄντα ὅπου γ' ἐθέλειν εἶναι, γηρῶντα δὲ ἄλλῳ ζωννυσθαι χεῖρας ἐκτείνοντα, καὶ τὴν πρὸς θάνατον ἄγεσθαι, ὅπου τῇ φύσει μὴ θελητόν, τὸ ζῆν ἐφιέμενον διηνεκῶς. Ὡς δὲ τῶν εἰρημένων συνῆκε, τὸν κατόπιν ἐπόμενον Ἰησοῦ θεασάμενος τὸν ἐπιστήθιον μαθητήν, καὶ περὶ τῆς τελευτῆς ἐκείνου διεπυνθάνετο. Ὁ δ' ὡς μάτην καὶ εἰκῇ τοῖς ἀνεφίκτοις τῶν θεοῦ κριμάτων τὸ βάθος ἀναδιῤῥᾷν καὶ ἐξιχνιάζειν ἐθέλοντα ἐπισκώπτων, Ἐὰν αὐτόν, φησί, θέλω τῇ παρουσῃ ἐμμένειν ζωῇ μετὰ σώματος ἕως ἔρχομαι, ἐπεξιὼν τὰ κατὰ τὴν Ἱερουσαλήμ, ἢ καὶ ἐν τῇ δευτέρᾳ δηλαδὴ παρουσίᾳ, τί τοῦτο πρὸς σέ; Σὺ, καθὼς ὡρίσθης, ἀκολούθως ἐμοὶ πρὸς τὸν διὰ σταυροῦ θανατον εὐτρεπίζου. Περὶ δὲ Ἰωάννου ἤ τινος τῶν ἄλλων οὐ σοὶ, ἀλλ' ἐμοὶ μελήσει. Κἀντεῦθεν καὶ φήμη διέπτη, μὴ τὸν μαθητὴν ἐκεῖνον θάνατον κατιδεῖν. Τήν γε μὴν τῶν πολλῶν ὑπόνοιαν διορθούμενος ὡς οὐκ ἐγκαίρως ἐπαληθεύουσαν, Οὐκ εἶπεν

αὐτῷ, φησὶν, ὁ Ἰησοῦς, ὅτι οὐκ ἀποθνήσκει· καὶ γὰρ θανεῖται· μὲν ἐπίσης τῇ Θεομήτορι· αὐτίκα δὲ ζήσεταί τε καὶ ἀναστήσεται ἐν ἀφθάρτῳ οἱονεὶ σώματι, τὴν δευτέραν τοῦ διδασκάλου ἐκδεχόμενος παρουσίαν.

morum, aut secundum adventum suum scilicet innuens), quid id ad te ? Tu, quemadmodum tibi constitutum est, itidem ut ego, ad crucis mortem te para. De Joanne vero, aut aliquo aliorum, non tibi, sed mihi curæ erit. Atque inde fama inerebuit, discipulum illum mortem non visurum. Quam quidem multorum opinionem tanquam importunam minusque veram ipse corrigens, Non dixit ei, inquit, Jesus, quod moriturus non sit ; moriturus est enim eo, quo Dei Genitrix, modo : confestim vero reviviscet ac resurget, incorruptibili scilicet corpore alterum magistri exspectaturus adventum.

ΚΕΦΑΛ. ΛϚ.

Ὡς τελευταῖον εἰς τὴν Γαλιλαίαν ὤφθη, καὶ ἐν τῷ ὄρει τῶν Ἐλαιῶν γενόμενος, ἀνελήφθη εἰς οὐρανοὺς, καὶ ἐκάθισεν ἐκ δεξιῶν τοῦ Θεοῦ.

CAPUT XXXVI.

Ut postremo in Galilæa sit visus : et cum in montem Olivarum conscendisset, receptus in cœlum ad dextram Dei consederit.

Ἔπειτα, κατὰ τὸν ὑψηλὸν Ματθαῖον, ἐν τῷ τῆς Γαλιλαίας ὄρει τούτοις ὀπτάνεται· τό τε τῆς ἐξουσίας κράτος οὐρανοῦ καὶ γῆς δεδόσθαι πρὸς τοῦ Πατρὸς, κατὰ τὸ ἀνθρώπινον δηλαδὴ, τούτοις ἐβεβαιοῦτο· εἴς τε τὰ ἔθνη φοιτᾷν προὐτρέπετο· μυοῦν τε καὶ βαπτίζειν εἰς ὄνομα Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος τοὺς πιστεύοντας, τὰς ἐντολάς τε φυλάττειν ἁπάσας, καὶ μετ' αὐτῶν διατρίβειν πάσας τὰς ἡμέρας ἕως τῆς τοῦ νῦν αἰῶνος συντελείας. Μετὰ δὲ τοῦτο διὰ τῆς Βηθανίας ἐξάγει μὲν αὐτοὺς ἐπὶ τὸ ὄρος τῶν Ἐλαιῶν· καὶ τὴν ἐπαγγελίαν ὑπισχνεῖται τοῦ Πνεύματος, ἐν Ἱερουσαλὴμ δηλαδὴ καθημένοις, ἕως οὗ τὴν ἄνωθεν πανοπλίαν ἐνδύσωνται. Τάς γε μὴν ἐξαισίας ὑπαγορεύσας τῆς ἀποστολῆς ἐντολὰς εὐλογίας τε, ὡς ἐχρῆν, αὐτοῖς μεταδοὺς, βλεπόντων αὐτῶν, εἰς οὐρανοὺς ἀναφέρεται, φωτοειδοῦς νεφέλης περισχούσης αὐτόν· καὶ ἀνελθὼν μετὰ τοῦ προσλήμματος θεωθέντος, ἐκάθισεν ἐκ δεξιῶν τοῦ Πατρός· Ἵνα δὲ μὴ διὰ λύπης αὐτοῖς τὸ πρᾶγμα γένηται· ὀδύνην γὰρ ἦν εἰκὸς ἐμβαλεῖν αὐτοῖς ἄπειρον, τὴν τοῦ διδασκάλου στέρησιν· καὶ τούτου ἐμέλησε τῷ καλῷ ποιμένι· ἀγγέλους γὰρ διττοὺς ἐπιπέμπει, τήν τε πρὸς οὐρανοὺς ἄνοδον ὑπεμφαίνοντας, καὶ θαυμαστῆς τινος καὶ ἀῤῥήτου ἐμπιπλῶντας τῆς χαρμονῆς, τῷ αὖθις ἐπαγγείλασθαι ἥξειν οὕτω τοῦτον μετὰ περιφανοῦς τῆς λαμπρότητος. Ταύτῃ τοι καὶ προσκυνήσαντες, ἄσμενοι πάλιν οἴκαδε ἐπανῆσαν, ἐν τῷ ὑπερῴῳ τὴν τοῦ Παρακλήτου ἐκδεχόμενοι παρουσίαν. Εὐχὴ δὲ ἦν αὐτοῖς ἡ διατριβὴ, ὡς καὶ Λουκᾶ τῷ θείῳ δοκεῖ· τὸν γὰρ κατάλογον τῶν ἑνδεκα ἀπαριθμησάμενος, εἶτα ἐπάγει· Καὶ οὗτοι πάντες ἦσαν προσκαρτεροῦντες ὁμοθυμαδὸν τῇ προσευχῇ καὶ τῇ δεήσει σὺν γυναιξὶ καὶ Μαρίᾳ τῇ μητρὶ τοῦ Ἰησοῦ, καὶ σὺν τοῖς

Deinde, juxta sublimem Matthæum, ab eis conspicitur in Galilææ monte, et ibi a Patre potestatem summam cœli et terræ sibi, juxta humanitatem scilicet (1), traditam esse confirmat : eosque cohortatus, proficisci ad gentes omnes jubet, arcanis sacris initiaturos : baptizaturosque in nomen Patris et Filii et Spiritus sancti, credentes, præceptaque servaturos omnia : se quoque futurum cum eis per dies omnes, ad consummationem usque sæculi præsentis, pollicetur. Postea per Bethaniam eos in montem Olearum ducit, et promissionem Spiritus promittit, in Jerusalem videlicet sedentibus, exspectantibusque, 121 donec cœlitus divinorum omnis generis armorum spirituali apparatu instruerentur. Et cum præcipua mandata et munera functionis apostolicæ concionans exposuisset, benedictionemque eis, pro eo atque decebat, largitus esset, spectantibus eis, lucidissima nube circumdatus, in cœlos sublatus est (2), et cum ea, quam receperat, accessione deificata, reversus ad dextram Patris consedit. Ne autem ea res mœrorem eis crearet (quod non iniquum esset, eos magistro orbatos immenso corripi dolore), et hoc ipsum pastori bono curæ fuit. Angelos enim duos demisit, qui reditum ejus in cœlos indicarent, admirandaque et ineffabili eos implerent lætitia, sic illum cum illustri magnificentia rediturum annuntiantes. Itaque adoratione peracta, libentes domum redeunt (3), et in cœnaculo illo Paracleti exspectant adventum. Precatio autem eorum erat exercitium, ut divus Lucas testatur. Catalogo namque undecim discipulorum recensito, deinceps addit : *Et omnes isti unanimes constanter orationi et precationi incumbebant, una cum multecum versans, excessum patior, et majora de genere humano imaginor. Majora quippe video et clara exordia, multam Deo satagente pro natura nostra.»* (Chrysostomus, *Hebr.* II.)

(1) Et exinanitionis formam.

(2) « Ut corpus non tam in terrenis, sed in cœlestibus, et in Patris dextera collocaret. » Rufinus. «Hæc evangelici sacramenti et humanæ spei veritas est, humanam naturam corruptibilemque carnem, per hujus gloriæ demutationem in æternam esse transformatam substantiam. » (Hilar. *Psal.* CXLIII.) « Unigenitus Filius si quæritur, in sinu Patris evangelico spiritu reperitur. » (Ambr. *De incarn. Dom. sacr.* cap. 15.) « Revera magnum et admirabile et stupore plenum est, carnem nostram sursum sedere, et adorari ab angelis et archangelis et Cherubim et Seraphin. Hoc sæpe in mente me-

(3) Ut quidem conjectura colligere licet, post dies duos Hierosolyma sunt reversi in Sabbato. Hujus enim gratia et Sabbati habebant viam, ut divus Lucas dixit. Est autem Sabbati iter passus bis mille, quantum videlicet castra a tabernaculo testimonii aberant ; quemadmodum divinus constituit Moses. Sancta porro et divina ascensio die quinta est facta. (Niceph.)

ribus, et ipsa Maria matre Jesu, cumque ipsius fratribus, tantisper dum Paracletum decimo ab ascensione, quinquagesimo autem a triduana resurrectione die, substantialiter descendentem acciperent.

ἀδελφοῖς αὐτοῦ· ἕως οὗ τὸν θεῖον. Παράκλητον μετὰ δεκάτην ἡμέραν τῆς ἀναλήψεως, πεντηκοστῇ δὲ ἀπὸ τῆς τριημέρου ἐγέρσεως, οὐσιωδῶς κατιόντα ἐδέξαντο.

CAPUT XXXVII.

Qua ratione triduana Domini fuerit resurrectio, qua item quadragesimo post die in cœlos ascenderit.

γράμματι, ᾧ ἐπέγραψε Περὶ ἀρετῶν, ἐν εἴρωνι λόγῳ ἱστορεῖ. Σύμφωνος δ' αὐτῷ καὶ Ἰώσηπος· ὁμοίως ἀπὸ τῶν χρόνων Πιλάτου καὶ τῶν κατὰ τοῦ Σωτῆρος τετολμημένων τὴν εἴσοδον σχεῖν τὰς τῶν Ἰουδαίων μάλιστα συμφορὰς. Οἷα γοῦν καὶ αὐτὸς ἐν δευτέρῳ τοῦ Ἰουδαϊκοῦ Πολέμου διέξεισιν, ἀκούειν χρεών· « Πεμφθεὶς, φησὶν, εἰς Ἰουδαίαν ἐπίτροπος ὑπὸ Τιβερίου Πιλᾶτος, νυκτωρ κεκαλυμμένας εἰς Ἱεροσόλυμα παρεισκομίζει τὰς Καίσαρος εἰκόνας· σημαῖαι καλοῦνται· τοῦτο μεθ' ἡμέραν μεγίστην ταραχὴν ἤγειρε τοῖς Ἰουδαίοις· οἱ τε γὰρ ἐγγὺς πρὸς τὴν ὄψιν ἐξεπλάγησαν, ὡς πεπατημένων αὐτοῖς τῶν νόμων· οὐδὲν γὰρ ἀξιοῦσιν ἐν τῇ πόλει δείκηλον τίθεσθαι. » Ταῦτα δ' εἴ τις τοῖς εὐαγγελικοῖς λόγοις παράθοιτο, τάληθὲς εὑρήσει· μετῆλθε γὰρ αὐτοὺς ὡς τάχος ἡ δίκη· δι' ἣν ἐβόησαν ἐπ' αὐτοῦ Πιλάτου φωνὴν, μή τινα ἄλλον ἔχειν βασιλέα κεκραγότων εἰ μὴ Καίσαρα. Μετὰ μικρὸν δὲ καὶ ἄλλην συμφορὰν αὐτοὺς μετελθεῖν ὁ αὐτὸς Ἰώσηπος ἱστορεῖ λέγων· « Μετὰ δὲ ταῦτα ταραχὴν ἑτέραν ἐκίνει Πιλᾶτος· τὸν ἱερὸν θησαυρὸν, καλεῖται δὲ κορβανᾶς, εἰς καταγωγὴν ὑδάτων ἐξαναλίσκων. Κατῆει δὲ ἀπὸ τριακοσίων σταδίων. Πρὸς τοῦτο τοῦ πλήθους ἀγανάκτησις ἦν. Καὶ τοῦ Πιλάτου παρόντος εἰς Ἱεροσόλυμα, περιστάντες τὸ βῆμα κατεβόων. Ὁ δὲ (προῄδει γὰρ αὐτῶν τὴν ταραχὴν) καὶ τῷ πλήθει τοὺς στρατιώτας ἐόπλους ἐσθήσεσι στρατιωτικαῖς κεκαλυμμένους ἐγκαταμίξας, καὶ ξίφει μὲν χρήσασθαι κωλύσας, ξύλοις δὲ παίειν τοὺς κεκραγότας ἐγκελευσάμενος, σύνθημα δίδωσιν ἀπὸ τοῦ βήματος. » Τυπτόμενοι δὲ οἱ Ἰουδαῖοι, πολλοὶ μὲν ὑπὸ τῶν πληγῶν, πολλοὶ δὲ ὑπὸ σφῶν αὐτῶν κατεπατηθέντες ἀπώλοντο. Πρὸς δὲ τὴν συμφορὰν τῶν ἀνῃρημένων καταπλαγὲν τὸ πλῆθος ἐσιώπησεν. Καὶ ἄλλας δὲ μυρίας νεωτεροποιίας ὁ αὐτὸς ἱστορεῖ συγγραφεύς· δι' ων παρίσταται, ὡς οὐδαμῶς ἐκ τῆς κατὰ τὸν Σωτῆρα τόλμης διέλιπον τήν τε πόλιν αὐτὴν καὶ τὴν ἄλλην ἅπασαν Ἰουδαίαν στάσεις καὶ μάχαι, καὶ κακῶν ἀφορήτων ἐπάλληλοι προσβολαὶ, ἄχρις οὗ ἡ πάντων ὑστάτη πολιορκία κατὰ Οὐεσπασιανὸν τούτους μετῆλθε, καὶ πάμπαν ἠφάνισεν. Ὧν μὲν οὖν εἰς Χριστὸν ἐξήμαρτον Ἰουδαῖοι, οὑτω τὰ τῆς θείας ἐπειρῶντο δίκης, ἠρέμα ἐπαγομένης. Οὐ μὴν δὲ ἀλλὰ καὶ αὐτὸς ὁ ἐπὶ τοῦ Σωτῆρος Πιλᾶτος ἐπί τε Τιβερίου, τῆς ἐκ Μαγδάλων Μαρίας Ῥώμῃ τε προσβαλούσης καὶ τὰ κατὰ τὸν Σωτῆρα ἀνενεγκούσης, πλεῖστα μὲν περιυβρισθῆναι λέγεται· ναὶ μὴν καὶ κατὰ Γάϊον ὕστερον τοσαύταις συμφοραῖς λόγος ἔχει τοῦτον περιληφθῆναι, ὥς φασιν οἱ τὰς Ἑλλήνων Ὀλυμπιάδας καὶ τὰ ἐπ' αὐταῖς πεπραγμένα συντεταχότες, ἐς τόσον ἥκειν ἀνάγκης Πιλᾶτον περιπετείᾳ τῶν συμφορῶν, ὡς αὐτόχειρα καὶ τιμωρὸν αὐτὸν ἑαυτῷ καταστῆναι· τῆς θείας δίκης, ὥς γε εἰκάζειν χρεὼν, οὐκ εἰς μακρὰν μενελθούσης αὐτὸν, καθὰ δήπου καὶ Ἄνναν, καὶ Καϊάφαν, καὶ ὅσοι τῶν γραμματέων ἦσαν καὶ Φαρισαίων· καὶ αὐτῶν ἀξίαν

secundo libro, cui titulus est *De virtutibus*, sermone assimulato commemorat; cui et Josephus consentit: itidem a Pilati, et in Servatorem commissi piaculi temporibus, calamitates Judæorum initium sumpsisse memorans. Qualia igitur et is in secundo *Judaici Belli* libro scribat, audire est operæ pretium: « Pilatus, inquit, a Tiberio procurator in Judæam missus, noctu velatas tectasque Hierosolymam infert Cæsaris statuas; signa cæ vocantur. Qua rei novitate interdiu maxima a Judæis turba est excitata. Qui enim propius assistebant, ad conspectum earum consternati sunt tanquam aperte legibus eorum proculcatis: quippe simulacrum aliquod in civitate habere, illis religio erat. » Hæc si quis evangelicis addat verbis, veritatem ipsam inveniet: celeriter enim eos vindicta est consecuta, propter eam, quam apud Pilatum insolenter edidere vocem: non alium se, clamantes, habere regem, præterquam Cæsarem. Paulo post alia quoque calamitate pressos, idem Josephus scribit: « Post hæc, dicens, aliam quoque turbam concivit Pilatus, sacro thesauro (cui nomen Corbona) in aquæductus constructionem consumpto, qui quidem ad trecenta dirigebatur stadia. **150** Ægre ferebat eam indignitatem multitudo, et præsente Hierosolymis Pilato, tribunal circumsistentes vociferabantur. Ille porro, quod Judæorum prævidisset tumultum, turbæ eorum milites armatos, qui militaribus operti essent vestibus, immiscens, ferro quidem petere quemquam prohibuit, fustibus autem vociferantes pulsare præcepit: ejusque rei causa signum, uti convenerat, eis pro tribunali dedit. » Quapropter Judæi ad eum modum ictibus cæsi, multi plagis sunt interempti, multi etiam a suis inter tumultum protriti interierunt. Multitudo porro ipsa, tanta clade perculsa, conquievit. Alias item innumerabiles, novandis rebus, excitatas calamitates, idem historicus persequitur, per quas astruit atque probat, quod a perpetrato in Salvatorem piaculo, nunquam et in urbe ipsa, et in Judæa omni, esse desierunt seditiones, tumultus, pugnæ, aliarumque intolerabilium cladium aliæ super alias incursiones, donec postrema omnium urbis sub Vespasiano obsidio eos invasit, ac prorsus exstinxit. Atque eorum quæ Judæi in Christum commiserunt, talem illi divinitus sunt experti vindictam, sensim eos Carpentem. Verum enimvero et ipse Servatoris judex Pilatus (1), cum sub Tiberio (quod Maria Magdalena Romam adierat, et Servatoris res ibi retulerat) maximis affectus esse dicitur contumeliis: tum Caii temporibus postea extrema calamitate oppressus esse fertur: quemadmodum id tradunt, qui Græcorum Olympiadas, quæque in eis acta sunt, composuere. Ad eas enim necessitatis angustias variis adversisque casibus est redactus,

(1) L. Vitellius Syriæ præfectus Pilatum propter Judæorum accusationem Romam ire jussit, et Marcellum Judæis præfecit. (Joseph., lib. XVIII, cap. 11.)

ut manus ipse sibi attulerit, et sui ipsius vindex ipse factus sit : ultione divina (ita enim conjicere oportet) brevi eum consequente. Id quod et de Anna, et de Caipha, aliisque item Scribis et Pharisæis dicitur : qui et ipsi dignas variasque dederunt pœnas ejus, quam Christo intulerunt, iniquæ et injustæ necis.

A καὶ διάφορον δεδωκότων δίκην τῆς κατὰ Χριστοῦ γενομένης παρανόμου διαχειρίσεως.

151 CAPUT XI.

De imperio Claudii Cæsaris, qui Caio successit : et de fame, quæ sub ipso invaluit, et de Theuda præstigiatore.

Deinde nondum quatuor prorsus exactis annis, Caius qui tum imperium tenebat, furore correptus, et usque adeo est effeminatus, ut vestimentis, plicaturis, aliisque ornamentis muliebribus uteretur : quapropter in balneis cæsus, Claudio successori imperium reliquit : sub quo ingens illa fames fuisse scribitur (1), quam etiam Agabus prophetiæ B dono clarus futuram prædixerat. Eaque de causa Barnabas quoque et Paulus ex Antiochia fratribus der ministerium suum corrogatum victum submittebant. Quo tempore etiam Adiabenorum gentis regina, Helena nomine, Josepho teste, ingenti pecunia frumento in Ægypto comparato, indigentibus id transmittebat. Hujus sane Helenæ, cujus, quem modo diximus, historicus meminit, statuæ illustres in suburbanis Æliæ locis longo post tempore sunt visæ. Itidem Josephus et Theudæ impostoris et malefici, de quo in Actis quoque apostolorum mentio fit, meminit hisce verbis : « Cum Fadus Judææ procurator esset, prætigiator quidam Theudas nomine, persuadet ingenti hominum multitudini, ut facultatibus suis secum receptis, ad Jor- C danem fluvium se consequerentur ; dicebatur enim propheta esse. Is, quod se jussu suo fluvium eum divisurum, facileque eis transitum præbiturum esse polliceretur, multos seduxit. Cæterum Fadus eos ea vesania non diu frui passus est. Turmam enim equitum in eos immisit, qui illos ex improviso oppressos, partim trucidant, partim captivos abducunt. » Ipse quidem Theudas vivus in eorum pervenit potestatem, ejusque necati caput Hierosolyma perlatum est.

ΚΕΦΑΛ. ΙΑ'.

Περὶ τῆς τοῦ Κλαυδίου Καίσαρος ἀρχῆς μετὰ Γάϊον · καὶ τοῦ γεγονότος λιμοῦ · καὶ περὶ Θευδᾶ τοῦ γόητος.

Οὐ πολλῷ δὲ ὕστερον ἐν οὐ πάνυ τι πεπλησμένοις τέσσαρσιν ἔτεσι Γάϊος τὴν ἀρχὴν ἐσχηκώς, μανίᾳ λεφθείς, ἐγυναικίζετο, στολαῖς καὶ πλοκαμίσι χρώμενος φηλυτέραις. Ὅθεν ἐν βαλανείῳ ἀναιρεθεὶς, Κλαυδίῳ τὴν ἀρχὴν καταλείπει · ἐφ' οὗ καὶ μέγαν ἱστοροῦσι γενέσθαι λιμόν · ὃν καὶ Ἄγαβος προφητεύων, ἐμήνυεν ἔσεσθαι · καὶ Βαρνάβας καὶ Παῦλο, ἐστέλλοντο, τοῖς ἀδελφοῖς ἐξ Ἀντιοχείας διακονίαν ἐρανιζόμενοι · ὅτε δὴ καὶ ἡ τοῦ Διαβηνων ἔθνους βασίλισσα, Ἑλένη ὄνομα ἦν αὐτῇ, Ἰωσήπῳ ταῦτα πείθομαι ἱστοροῦντι, σῖτον ἐξ Αἰγύπτου χρήμασι πλείστοις ὠνησαμένη, τοῖς ἐνδεῶς ἔχουσι διεπέμπετο. Τῆς γε μὴν Ἑλένης, ἧς καὶ ὁ εἰρημένος ἐμνημόνευε συγγραφεὺς, ἐν υοῖς προαστείοις τῆς Αἰλίας στῆλαι διαφανεῖς μέχρι πολλοῦ ἐγνωρίζοντο. Μέμνηται δ' ὁ αὐτὸς καὶ Θευδᾶ τοῦ γόητος, περὶ οὗ καὶ αἱ Πράξεις διαλαμβάνουσι, κατὰ λέξιν οὕτω διεξιών · « Φάδου τῆς Ἰουδαίας ἐπιτροπεύοντος, γόης τις ἀνὴρ, Θευδᾶς ὄνομα, πείθει οὐν πλεῖστον ὄχλον ἀναλαβόντα τὰς κτήσεις, ἕπεσθαι πρὸς τὸν Ἰορδάνην αὐτῷ ποταμόν · προφήτης γὰρ ἔλεγεν εἶναι · καὶ προστάγματι τὸν ποταμὸν σχίσας, δίοδον ἔρη παρέξειν αὐτοῖς ῥᾳδίαν · καὶ ταῦτα λέγων, πολλοὺς ἠπάτησεν. Οὐ μὴν εἴασεν αὐτοὺς τῆς ἀφροσύνης, ὄνασθαι Φάδος · ἀλλ' ἐξέπεμψεν Ἴλην ἱππέων ἐπ' αὐτούς · ἥτις ἀπροσδόκητος ἐπιπεσοῦσα, πολλοὺς μὲν ἀνεῖλε, πολλοὺς δὲ ζῶντας ἔλαβεν. » Αὐτὸν δὲ τὸν Θευδᾶν ζωγρήσαντες, ἀποτέμνολσι τὴν κεφαλὴν, καὶ κομίζουσιν εἰς Ἱεροσόλυμα.

CAPUT XII.

Martyrium Jacobi apostoli, filii Zebedæi : ejusdemque fratris Joannis Theologi.

Huic deinceps historiæ idem Josephus magnam D illam famem addit, sicuti et Lucas in Actis, et ea ipsa fame, apostolorumque ministerio exposito, illud deinde infert : « Eo autem tempore, sub Claudio videlicet, Herodes rex (2) (quem Agrippam Josephus nominat, Lucas autem Herodem vocat, quod fortasse binominis fuerit) manus in nonnullos **152** ex Ecclesia, ut eos affligeret, injecit. Occidit autem Jacobum fratrem Joannis gla-

ΚΕΦΑΛ. ΙΒ'.

Μαρτύριον Ἰακώβου τοῦ ἀποστόλου, μιοῦ μὲν Ζεβεδαίου, ἀδελφοῦ δὲ Ἰωάννου τοῦ θεολόγου.

Ἐξῆς δὲ τούτῳ καὶ τὰ κατὰ τὸν μέγαν ἱστορεῖ γενέσθαι λιμὸν, ὡς καὶ Λουκᾶς ἐν ταῖς Πράξεσι τὰ κατὰ τὸν λιμὸν καὶ τὴν τῶν ἀποστόλων διακονίαν εἰπὼν, εἶτα ἐπάγει . « Κατ' ἐκεῖνον δὲ τὸν καιρὸν, τὸν ἐπὶ Κλαυδίου δηλαδὴ, ἐπέβαλεν Ἡρῴδης ὁ βασιλεὺς (ὃν δὲ Ἀγρίππαν Ἰώσηπος λέγει, τοῦτον ὁ Λουκᾶς Ἡρῴδην καλεῖ · ἴσως διώνυμος ἦν) · ἐπέβαλε τὰς χεῖρας κακῶσαι τινὰς τῶν ἀπὸ τῆς Ἐκκλησίας. Ἀνεῖλε δὲ Ἰάκωβον τὸν ἀδελφὸν Ἰωάννου

(1) De ea historici variant.

(2) Claudius Agrippæ regnum confirmavit, omne Herodis imperium et Lysaniæ addens. Herodem Agrippæ fratrem Chalcidis regem constituit. (Joseph., lib. XIX, cap. 4, *De bell Judaic.*, lib. II, cap. 4.) Idem Herodes sacerdotum et templi administrationem a Claudio impetravit. (Joseph., lib. XX, cap. 4.) Eodem mortuo, regnum ejus Agrippæ juniori Claudius tradidit : qui id usque ad vastationem Hierosolymorum obtinuit. (Ibid., cap. 9.)

μαχαίρᾳ. « Περὶ οὗ καὶ Κλήμης ὁ στρωματεὺς ἐν τῇ ἑβδόμῃ τῶν Ὑποτυπώσεων μνήμης ἄξιον ἱστορεῖ, ἐκ τῆς ἄνωθεν παραδόσεως εἰληφέναι φάσκων αὐτήν· « Ὅτιπερ ὁ εἰς τὸ μαρτύριον ἀγαγὼν αὐτὸν, ἰδὼν αὐτὸν γενναίῳ ψυχῆς παραστήματι διαγωνιζόμενον, Χριστιανὸν καὶ αὐτὸς ἑαυτὸν εἶναι ἀνωμολόγει· καὶ ἅμφω οὖν, φησὶ, συναπήχθησαν· » καὶ κατὰ τὴν ὁδὸν ἠξίωσεν αὐτῷ ἀφεθῆναι ὑπὸ Ἰακώβου. Ὁ δ' ὀλίγον σκεψάμενος, Εἰρήνη σοι, εἶπε· καὶ κατεφίλησεν αὐτόν· καὶ οὕτως ἀμφότεροι ἐκαρατομήθησαν. Ἰδών γε μὴν Ἡρώδης, ὡς φησιν ἡ θεία Γραφὴ, ὡς πρὸς ἡδονῆς ἦν Ἰουδαίοις ἡ τοῦ Ἰακώβου ἀνείρεσις, καὶ Πέτρον συσχὼν, ὑπὸ φρουρὰν ἐτίθει, ἀλύσει βαρείᾳ περιβαλὼν, καὶ τὴν ἐκείνου ἀναίρεσιν ἐν μελέτῃ δὴ εἶχε. Κἂν ἔπραξε τὸ ἀνόσιον, εἰ μὴ νύκτωρ ἄγγελος ἐπιστὰς, τῶν μὲν δεσμῶν ἀνῆκεν· εἰς δὲ τὴν τοῦ κηρύγματος αὖθις ὠδοποίει διακονίαν. Καὶ τὰ μὲν τῆς κατὰ Πέτρον θείας οἰκονομίας ἐν τούτοις· τὰ δὲ τῆς κατὰ τῶν ἀποστόλων ἐπιχειρήστως Ἡρώδου οὐκέτ' ἐν ἀναβολαῖς ἦσαν τῇ δίκῃ, ἀλλ' ἐξ αὐτῆς μετῄει, καίπερ εἰωθυῖα βραδύνειν ὡς τὰ πολλά.

A dio. » De quo Clemens quoque στρωματεὺς, seu contextor, memoria quiddam dignum in septimo *Dispositionum* libro ex majorum traditione acceptum scripsit : « Quod is, qui illum ad martyrium ducebat, cum eum generose admodum, et magna cum constantia ad supplicium ire videret, se quoque Christianum esse professus sit. Uterque igitur, inquit, simul abducti sunt. » Atque inter eundum, noxam sibi ille a Jacobo remitti rogavit. Jacobum porro paululum deliberasse : moxque ad illum, Pax tibi, dixisse : osculumque ad vocem eam addidisse, et sic utrumque capite truncatum esse. Herodes autem, ut sacra inquit Scriptura, cum gratam esse Judæis Jacobi cædem videret, Petrum itidem comprehensum, gravique catena vinctum, in custodiam conjecit, eidemque supplicium itidem capitale molitus est. Et perfecisset ille impiam illam cædem, nisi angelus noctu adveniens, vinculis illum liberasset, et in pristinum prædicandi verbi ministerium reduxisset. Atque equidem res divinæ dispositionis de Petro, sic se tum habuere. Cæterum vindicta conatum Herodis in apostolos nefa-

B

ium persecutura, minime cessabat; sed quæ alias ut plurimum tardior esse consuevit, tum præsto statim affuit.

ΚΕΦΑΛ. ΙΓ'.

Ὡς Ἀγρίππας, ὁ καὶ Ἡρώδης, τοὺς ἀποστόλους ἐλάσας, θείας δίκης αὐτίκα πεπείρατται.

Ἐπεὶ γὰρ μετὰ τὴν κατὰ τῶν ἀποστόλων ἐπιχείρησιν εἰς Καισάρειαν ὥρμησεν. ἐν ἡμέρᾳ τῶν ἐπισήμων ἐσθῆτι περιφανεῖ κοσμησάμενος, διάτορόν τε καὶ λαμπρὸν πρὸ τοῦ δικαστικοῦ βήματος δημηγοροῦντα, καὶ ταύτῃ δὴ τοῦ δήμου ἐπιβοῶντος, Θεοῦ φωνὴ καὶ οὐκ ἀνθρώπου· αὐτίκα, τὸ ἱερόν φησι λόγιον, ἄγγελον τοῦτον ἀοράτῳ πληγῇ πατάξαι· κἀντεῦθεν ἀποψύξαι γενόμενον σκωληκόβρωτον. Καὶ δὴ σὺν ἄλλοις καὶ τοῦτο θαυμάζειν μοι ἔπεισιν, ὅπως ὁ παρ' Ἑβραίοις Ἰώσηπος καθάπαν συνᾴδειν ἔοικε τῇ θείᾳ Γραφῇ· οἷα γὰρ καὶ περὶ τῆς τελευτῆς Ἡρῴδου ἐν τῷ ιθ' τῆς Ἀρχαιολογίας διέξεισιν, αὐταῖς λέξεσι παραθήσομαι. « Τρίτον, φησὶν, ἔτος αὐτῷ τῆς ὅλης Ἰουδαίας βασιλεύοντι πεπλήρωτο· καὶ παρῆν εἰς πόλιν Καισάρειαν, ἣ τὸ πρότερον Στράτωνος πύργος ἐκαλεῖτο. Συνετέλει δ' ἐνταῦθα Θεωρίας εἰς τὴν Καίσαρος τιμὴν, ὑπὲρ τῆς ἐκείνου σωτηρίας ἑορτήν τινα ταύτην ἐπιστάμενος· καὶ παρ' αὐτὴν ἤθροιστο κατὰ τὴν ἐπαρχίαν ἐν τέλει καὶ προβεβηκότων εἰς ἀξίαν πλῆθος. Δευτέρᾳ δὲ τῶν Θεωριῶν ἡμέρᾳ στολὴν ἐνδυσάμενος ἐξ ἀργύρου πεποιημένην πᾶσαν, ὡς θαυμάσιον ὑφὴν εἶναι, παῆλθεν εἰς τὸ θέατρον ἀρχομένης ἡμέρας. Ἔνθα ταῖς πρώταις τῶν ἡλιακῶν ἀκτίνων ἐπιβολαῖς ὁ ἄργυρος καταυγασθεὶς, θαυμασίως ἀπέστιλβε· μαρμαίρων τι φοβερὸν καὶ τοῖς εἰς αὐτὸν ἀτενίζουσι φρικῶδες. Εὐθὺς δὲ οἱ κόλακες τὰς οὐδ' ἐκείνῳ πρὸς ἀγαθοῦ ἄλλος ἄλλοθεν φωνὰς ἀνεβόων, Θεὸν προσαγορεύοντες· Εὐμενὴς εἶης, ἐπιλέγοντες.

C

D

CAPUT XIII.

Ut Agrippa, qui et Herodes dictus est, persecutione in apostolos cœpta, divinam statim vindictam sit expertus.

Cum etenim post eum, qui dictus est, in apostolos susceptum conatum, Cæsaream venisset, celebri quodam die, splendida ornatus veste, magna vocis contentione vehementius copiosiusque pro tribunali ad populum verba fecit. Ad cujus orationem cum plebs acclamasset : *Dei vox, non hominis*, confestim, ut sacræ Litteræ inquiunt, angelus occulta plaga eum muletavit : unde etiam a vermibus corrosus atque consumptus, animam egit. Enimvero præter alia, illud quoque mirari mihi in mentem venit, quod Hebræorum historicus Josephus, in universum divinæ Scripturæ consona scribere videtur. Qualia namque de Herodis **153** obitu in decimo nono *Antiquitatum* libro memoret (1), verbis ipsius referre libet : « Tertius, inquit, annus, ex quo totam Judæam regebat, peractus fuerat, cum is Cæsareæ, quæ antea Stratonis turris vocata fuerat, esset, edebat ibi in honorem Cæsaris, pro cujus salute, festos quosdam instituerat dies, spectacula. Confluebat tum ex ea provincia, eorum qui magistratus et honores gerebant, ad eum multitudo. Porro secundo spectaculorum die vestem ex argento miro artificio contextam induit, et in theatrum cum prima luce venit. Ibi primis solarium radiorum ictibus argentum illustratum mirandum in modum coruscabat, metuendum atque horrendum quiddam inspicientium oculis splendore suo inferens. Itaque assentatores hinc et inde, vocibus ne ipsi quidem bono futuris.

(1) Cap. 8; et *De bell. Judaic.* lib. II, cap. 4, 10.

acclamabant : Deum enim appellabant, et ut benevolus propitiusque eis esset, rogabant : si hucusque eum ut hominem veriti essent, de cætero humana natura superiorem præstantioremque professuros esse, pollicentes. Non increpuit eos rex, neque tam impiam assentationem est amolitus. Sed paulo post caput suum sustulit, et bubonem funiculo cuidam insidentem conspexit, et statim malorum hunc esse nuntium, qui bonorum olim fuerat, animadvertit. Itaque immensus illius pectus dolor, ventremque cruciatus, cum vehementia summa invasit ; et ad amicos conversus : En ego, inquit, Deus vester, vitam relinquere cogor, cum jam fatalis et divina vis ementitas in me voces vestras coarguat : et qui modo a vobis immortalis sum dictus, nunc ad mortem abducor. Sed accipiendum venit, quod Deo est visum, fatum. Non obscuram tamen nos, sed felicioris splendidiorisque sortis exegimus vitam. Hæc ubi dixisset, dolores eum intensiores cruciabant. Quapropter magna celeritate in regiam est deportatus. Et fama apud omnes passim increbuit, paulo post eum omnino moriturum esse. Tum multitudo omnis una cum conjugibus et liberis, sumptis patrio more saccis, locisque omnibus fletu et luctu repletis, Deo pro salute regis supplicarunt. Et cum in sublimiore cubiculo is decumberet, **154** et inde homines supinos procumbentes prospiceret, ne ipse quidem lacrymas continere potuit : ac quinque continuos dies ventris doloribus confectus, vitam finivit (1) ; ætatis quinquagesimum quartum, regni septimum agens annum. Quatuor quidem ille sub Caio regnavit annos (2), tetrarchia Philippi tribus annis administrata, Herodis autem quarto anno recepta. Tres porro reliquos annos sub Claudii imperio consumpsit. » Dignus certe quidem est Josephus iste admirotione, qui sic divinis consona Litteris scribat.

εἰ καὶ μέχρι νῦν ὡς ἄνθρωπον ἐφοβήθημεν· ἀλλὰ τούντεῦθεν θνητῆς φύσεως κρείσσονά γε ὁμολογοῦμεν. Οὐκ ἐπέπληξε τούτοις ὁ βασιλεὺς, οὐδὲ τὴν κολακείαν ἀτεβοῦσαν ἀπετρίψατο. Ἀνακύψας δ' οὖν μετ' ὀλίγον τὸν βουβῶνα τῆς ἑαυτοῦ κεφαλῆς ὑπερκαθεζόμενον εἶδεν ἐπὶ σχοινίου τινὸς, ἄγγελον τοῦτον εὐθὺς ἐνόησε κακῶν εἶναι, τὸν καί ποτε τῶν ἀγαθῶν γενόμενον. Καὶ διακάρδιον ἔσχεν ὀδύνην· ἀθρόον δ' αὐτῷ τῆς κοιλίας προσέφυσεν ἄλγημα μετὰ ἀφορρύτητος ἀρξάμενον. Ἀνεθεωρῶν οὖν πρὸς τοὺς φίλους. Ὁ Θεὸς ὑμῖν ἐγὼ, φησὶν, ἦδη καταστρέφειν ἐπιτάττομαι τὸν βίον, παραχρῆμα τῆς εἱμαρμένης τὰς ἄρτι μου κατεψευσμένας φωνὰς ἐλεγχούσης· καὶ ὁ κληθεὶς ἀθάνατος ὑφ' ὑμῶν ἦδη θανεῖν ἀπάγομαι. Δεκτέον δὲ τὴν πεπρωμένην, ἣ Θεὸς βεβούληται· καὶ γὰρ βεβιώκαμεν οὐδαμῆ φαύλως, ἀλλ' ἐπὶ τῆς μακαριζομένης λαμπρότητος. Ταῦθ' ἅμα λέγων, ἐπιτάσει τῆς ὀδύνης κατεπονεῖτο. Μετὰ σπουδῆς οὖν εἰς τὸ βασίλειον ἐκομίσθη. Καὶ διῆξε λόγος εἰς πάντας, ὡς ἔχοι τοῦ τεθνάναι παντάπασι μετ' ὀλίγον. Ἡ πληθὺς δ' αὐτίκα πᾶσα σὺν γυναιξὶ καὶ παισὶν ἐπὶ σάκκου καθεσθεῖσα τῷ πατρίῳ νόμῳ, τὸν Θεὸν ἱκέτευον ὑπὲρ τοῦ βασιλέως. Οἰμωγῆς τε πάντα ἦν ἀνάπλεω καὶ θρήνων. Ἐν ὑψηλῷ δὲ βασιλεὺς δωματίῳ κατακείμενος, καὶ κάτω βλέπων αὐτοὺς πρηνεῖς προσπίπτοντας, ἀδακρυς οὐδ' αὐτὸς ἔμενε. Συνεχῶς δ' ἐφ' ἡμέρας πέντε τῷ τῆς γαστρὸς ἀλγήματι διεργασθεὶς, τὸν βίον κατέστρεψεν, ἀπὸ γενέσεως ἄγων πεντηκοστὸν ἔτος καὶ τέταρτον, τῆς δὲ βασιλείας ἕβδομον. Τέσσαρας μὲν οὖν ἐπὶ Γαΐου Καίσαρος ἐκασίλευσεν ἐνιαυτοὺς, τῆς Φιλίππου μὲν τετραρχίας εἰς τριετίαν ἄρξας· τῷ τετάρτῳ δὲ καὶ τὴν Ἡρώδου προσειληφώς· τρεῖς δ' ἐπιλαβὼν τῆς Κλαυδίου Καίσαρος αὐτοκρατορίας. » Θαύματος οὖν ἄξιος καὶ Ἰώσηπος, οὕτω ταῖς θείαις συνῳδὸν Γραφαῖς.

(1) Sub Herodis nomine Lucas Agrippæ senioris nocem describere videtur, Act. XII.

CAPUT XIV.

De Simone Mago, ejusque hæresi, et ut ei restiterit in primis Romæ divus apostolus Petrus.

Cum ad eum modum persuasio et fides in Servatorem per omnem propagaretur terram, antiquus ille generis salutisque nostræ hostis, omni conatu et fraude urbem eam, in qua tum summum esset imperium, præripere atque occupare contendens, Simonem vico Gitthon ortum, qui antea Orientem peragrans, incantamentis cum atque imposturis compleverat, eo mittit, ibique ille brevi civos Romanos (paucis exceptis) magica sua arte seducit. Eo autem impietatis pervenit, ut cum deus esse crederetur, tum statua magnifica in flumine Tiberi inter duos pontes honorarctur, cum inscriptione tali : *Simoni deo sancto.* Atque inde deus non tantum apud Samaritanos. verum in aliis

ΚΕΦΑΛ. ΙΔ'.

Περὶ τοῦ γόητος Σίμωνος, καὶ τῆς τούτου αἱρέσεως· καὶ ὡς ἀντέπραττε τούτῳ, καὶ μάλιστα ἐν Ῥώμῃ Πέτρος Θεῖος ἀπόστολος.

Οὕτω γοῦν τῆς κατὰ τὸν Σωτῆρα πίστεως ἀπὰ πᾶσαν διαδεδομένης τὴν γῆν, ὁ ἀρχαῖος τοῦ γένους καὶ τῆς σωτηρίας ἡμῶν πολέμιος, μηχανῇ τῇ πάσῃ τὴν τηνικάδε βασιλεύουσαν προαρπάσαι σπεύδων πόλιν, ἐκεῖ δὴ τὸν Σίμωνα τὸν ἀπὸ κώμης Γιτθῶν, τὸν τὴν Ἑω διελθόντα πρότερον καὶ τῶν γοητειῶν ἐμπλήσαντα, συνελαύνει· ὃς ἐν οὐ μακρῷ χρόνῳ, πλὴν ἀλίγων, τοὺς Ῥωμαίους τῇ σφετέρᾳ συνυπάγεται γοητεία. Ἐς τοσοῦτον δὲ ἤλασεν ἀσεβείας, ὡς καὶ θεὸς νομισθῆναι, ἀναθέσει τε ἀνδριάντος περιφανῶς τιμηθῆναι ἐν τῷ Τιβέρει ποταμῷ μεταξὺ τῶν δύο γεφυρῶν· ἐν ᾧ καὶ ἐπιγραφὴ αὕτη ἐπί· Σίμωνι δέῳ σάγκτῳ· τουτέστι Σίμωνι θεῷ ἁγίῳ. Ἐντεῦθεν Θεὸς οὐ μόνον παρὰ Σαμαρείταις, ἀλλὰ καὶ

(2) Claudius postea Agrippæ juniori Philippi tetrarchiam Trachonitidem concessit.

ἐν ἄλλοις ἔθνεσι καὶ πρῶτος θεὸς προσκυνεῖται. Καὶ Ἑλένη δέ τις συμπεριποστήσασα τούτῳ, πρότερον δ' ἐπὶ τοῦ τέγους σταθεῖσα ἐν Τύρῳ τῆς Φοινίκης, τῶν ἴσων αὐτῷ ἀξιοῦται γερῶν· ἣν τὴν ἀπ' αὐτοῦ πρώτην ἔννοιαν λέγουσι. Ταῦτα ἐν τῇ πρὸς Ἀντωνῖνον ὑπὲρ τοῦ καθ' ἡμᾶς δόγματος ἀπολογίᾳ ὁ ἐν μάρτυσι φιλόσοφος Ἰουστῖνος διέξεισι· τὰ ἴσα δὲ καὶ Εἰρηναῖος ὁ Λουγδούνων ἐν τῷ Πρὸς τὰς αἱρέσεις πρώτῳ λόγῳ αὐτοῦ, οὐ πολὺ τῶν ἀποστόλων ὕστεροι γεγονότες· περὶ ὧν ἐν τῷ προσήκοντι τόπῳ τὰ εἰκότα διέλθωμεν. Πάσης μὲν οὖν αἱρέσεως ἀρχηγὸς καὶ πρῶτος ὁ Σίμων εἶναι πιστεύεται· ἐξ οὗ καὶ οἱ ἐς δεῦρο τὴν αὐτοῦ μετιόντες δόξαν, τὴν σώφρονα καὶ ἀκίβδηλον τῆς κατὰ Χριστὸν φιλοσοφίας πολιτείαν ὑποκρινόμενοι, ἀπηλλάχθαι μὲν τῆς περὶ τὰ εἴδωλα πλάνης δοκοῦσιν· οὐδὲν δὲ ἧττον ταύτης ἀντέχονται, εἴδωλα καὶ εἰκόνας αὐτοῦ τε Σίμωνος καὶ Ἑλένης τῆς δηλωθείσης σπονδαῖς καὶ θρησκείαις θρησκεύειν ἐπιχειροῦντες αὐτούς. Τὰ δὲ τούτων ἀπορρητότερα θάμβους ὡς ἀληθῶς καὶ ἐκπλήξεως γέμει, τοιαῦτά γε ὄντα, ὡς μὴ γραφαῖς ἱκανὰ δίδοσθαι εἶναι· πολλῷ γε μὴν ἐνδεῖ σωφρόνων χείλεσι δι' ὑπερβολὴν ἀῤῥητοποιίας λαλεῖσθαι. Ὅ τι ποτὲ γὰρ ἂν ᾖ, ἡ ἐπινοηθείη, παντὸς αἰσχροῦ μιαρώτερον, τοῦτο πᾶν ὑπερηκόντισεν ἡ τῶνδε μυσαρωτάτη αἵρεσις, ταῖς ἀθλίαις καὶ ἁμαρτίαις σεσωρευμέναις γυναιξὶν ἐμπαιζόντων. Τοιοῦτον πατέρα καὶ ἀρχηγὸν τῶν μεγάλων ἀντίπαλον Χριστοῦ μαθητῶν εὐθὺς καὶ ἐκ προοιμίων ἡ τῆς τῶν ἀνθρώπων σωτηρίας ἐπίβουλος καὶ πονηρὰ δύναμις προσβάλετο. Ἀλλ' ἡ θεία χάρις καὶ ἄμαχος δύναμις τοῖς ἐκείνης διακόνοις τῇ σφῶν παρουσίᾳ τὴν τῶν κακῶν φλόγα πανταχοῦ ῥιπιζομένην ὅσον τάχος ἐσβέννυε, πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ ταπεινοῦσα καὶ καταῤῥίπτουσα. Διὸ καὶ οὐδέν τι τῶν κατ' ἐκείνους ἐπιφυέντων τοὺς χρόνους εἰς ὑπόστασιν ἦγετο. Τὸ γὰρ τῆς ἀληθείας φέγγος ὑπερφυῶς λάμπον ἐξήστραπτεν· οὐρανόθεν τε ἄρτι αὐγάζων, ἀκμαῖός τις ἦν καὶ ἀκαταγώνιστος ὁ λόγος, τῇ τῶν ἀποστόλων πολιτείᾳ διαφαινόμενος· ὅθεν καὶ ὁ εἰρημένος γύης, πρῶτον ἐπὶ Ἰουδαίας πρὸς τοῦ θείου Πέτρου ὡς ἔκ τινος κρείττονος αἴγλης τὰς τῆς διανοίας κόρας πληγείς, πρίασθαι τὴν χάριν ὁ δείλαιος οἰηθείς, μεγίστην καὶ ὑπερπόντιον πορείαν ἀπάρας, ἐκ τῆς Ἕω πρὸς Δυσμὰς ἐχώρει. Προκατασχὼν δὲ τὴν Ῥωμαίων πόλιν, συνήργει δὲ ἄρα αὐτῷ τὰ μέγιστα καὶ ἡ ἐκεῖσε κατάρχουσα ἐξουσία, ἐν βραχεῖ τοσοῦτον αὐτῷ τὰ πρὸς βουλῆς ἐπηραίνετο, ὡς πᾶσαν αὐτῷ τὴν πόλιν ὑπὸ χεῖρα θέσθαι ταῖς μαγγανείαις, καὶ ἀναθέσει, ὡς γε εἴρηται, ἀνδριάντος, οἷα Θεῷ καὶ αὐτῷ τὰ τῆς λατρείας ἀφοσιοῦν. Ἀλλ' οὐκ εἰς μακρὰν ἀπώνατο τῆς ἀπάτης. Ἐπὶ γὰρ τῆς αὐτῆς βασιλείας, Κλαύδιος δὲ ἄρα ἦν, ἡ τὰ πάντα σοφῶς καὶ φιλανθρώπως διεξάγουσα πρόνοια τὸν πρόμαχον καὶ οἱονεὶ ἀῤῥαγῆ τῆς πίστεως πρόβολον, τὸν ἀρετῆς ἕνεκα

A quoque nationibus primus deus colitur. Quin e Helena (1) quædam comes ejus, quæ Tyri Phœnicum, ante hac in lupanari corpore prostituto quæstum fecerat, parem cum eo honorem consecuta, primæ mentis nomen obtinet. Hæc sic in defensione professionis nostræ ad Antoninum philosophus idemque martyr Justinus commemorat. Quibus similia quoque scribit in primo suo *Contra hæreses* libro Irenæus Lugdunensis episcopus. Uterque autem non longe post apostolorum tempora vixit : de quibus suo loco, quæ par est, exponemus. Hæresium porro omnium dux et princeps Simon iste habetur. Unde in hodiernum usque diem, qui ejus sunt sectæ et opinionis (2), sobrium, **155** et sincerum Christianæ philosophiæ institutum egregie assi-
B mulantes, renuntiasse quidem idolorum errori videntur : nihilominus tamen eam retinere contendunt, simulacra et imagines Simonis et Helenæ istius erigentes, libationibusque et cæremoniis eos colere studentes. Horum res turpissimæ stuporem et consternationem mentis hominibus afferunt. Quippe quæ tales sint, ut tantum absit ut stylo scriptis recte mandari possint, ut propter obscenæ fœditatis exuberantiam, nullum eas modestum et pudicum os eloquatur. Quidquid enim exstare aut cogitatione concipi potest, quod turpitudine quavis sit impurius, id omne hæresis ista omnium scelestissima atque nefandissima hominum, qui miseris et peccatis oneratis mulierculis illudunt, longe superavit. Tantum parentem, auctorem, et
C ducem, adversarium magnis Christi, discipulis, jam inde ab initio humanæ salutis insidiatrix versuta illa vis objecit. At divina e diverso gratia et inexpugnabilis virtus, ministris ipsa suis sedulo assistens, tantorum malorum facem ubique incendium spargentem, quam celerrime exstinxit, sublimitatem omnem quæ se adversus cognitionem Dei efferret, disjiciens atque pessumdans. Quapropter nihil eorum quæ tum temporis succrescere cœperunt malorum, ad statum et vigorem suum pervenit. Veritatis enim ipsius lux, mirifice resplendens, coruscabat, et recens cœlitus relucens ineluctabile vigebat verbum, apostolorum concionibus et institutis magis magisque invalescens. Proinde et magus iste, gratiam miser venalem esse existimans, primum in Judæa a divo Petro, tanquam luce clariore, mentis oculos perstrictus, maxima eaque
D maritima profectione suscepta, ex Oriente Occidentem versus migrat, Romanamque urbem præoccupat. Atque ibi cum cœptis ejus maxime suprema inserviret potestas, brevi admodum tempore usque adeo res ex sententia succedunt, ut cum sibi incantationibus et præstigiis totam conciliaret urbem: tum statua posita, ut dictum est, divini ei tanquam Deo exhiberentur cultus et honores. Sed enim non diu illi fraude ea uti concessum est : quodam ad flagitia et probra omnia tegenda abutebatur.

(1) Nonnulli hanc *Selen* vocant.

(2) Hæresis Simonis spurcissima et fœdissima, quæ Christi nomine tanquam obtentu et prætextu

nam sub eodem Claudii imperio, quæ omnia sapienter propter summum in genus humanum amorem dirigit providentia, quasi antesignanum et insuperabile atque invictum fidei propugnatorem, qui virtutis ardorisque gratia primas inter apostolos divinitus **156** est consecutus, Petrum perinde atque contra feram agrestem et perniciosam, exeitavit. Is non secus atque fortis et generosus Dei dux, divinis instructus armis, occidentalibus ex Oriente supercœleste perfert lumen, arcanum scilicet de Christo mysterium, et regnum cœlorum in Occidente evangelica reluceret lucerna, illicet confestim exstinctus evanuit.

A καὶ θερμότητος τὰ πρωτεῖα κατὰ πάντων τῶν ἀποστόλων ἐσχηκότα θεόθεν Πέτρον, ὡς ἐπὶ θηρὶ ἀγρίῳ καὶ λυμεῶνι ἀνθίστησιν· ὃς οἷά τις γενναῖος θεοῦ στρατηγὸς τοῖς θείοις ὅπλοις ϕραξάμενος, τοῖς ἐσπερίοις τὸ ὑπερουράνιον ἐκ τῆς ἕω διεκόμιζε ϕῶς, τὸ κατὰ Χριστὸν δηλονότι μυστήριον, καὶ τὴν τῶν οὐρανῶν βασιλείαν εὐηγγελίζετο. Οὕτω δὲ τοῦ εὐαγγελικοῦ λύχνου τὴν ἐσπέραν αὐγάσαντος, παραχρῆμα ἡ μὲν τοῦ Σίμωνος πλάνη, καὶ αὐτὸς ἐκεῖνος ἐσβέννυτό τε καὶ διελύετο.

læto promulgat nuntio. Atque ad hunc modum cum Simon ipse una cum fraude et seductione sua,

CAPUT XV.

De Evangelio secundum Marcum, et ut in Ægypto et Alexandria ab eo primum monachorum vita sit instituta.

Tantum autem in auditorum animis pictatis reliquit lumen Petrus, ut auditis contenti esse, et in iis quæ sine scripto, de divino verbo addidicissent, permanere non possent. Quam ob causam Marcum, qui cum apostolum consectabatur, magna animorum contentione obtestantur, ut monumentum aliquod traditæ sine scripto disciplinæ, in litteras relatum, eis relinqueret: neque prius inde discederet, quam id quod rogatus esset, perfecisset. Quo cognito apostolus, divini instinctu Spiritus, perquam est tam eximia eorum virorum delectatus voluntate et cupiditate: proindeque scriptum id judicio suo comprobavit, et ut in Ecclesiis legeretur constituit. Hanc quippe causam scripti a Marco Evangelii ex stitisse, Clemens in sexto *Dispositionum* tradit. Atque his consona Hierapolitanus episcopus commemorat Papias. Propterea que Petri, quod secundum Marcum est, dicitur Evangelium. Meminit porro Marci in priore Epistola sua Petrus, quam Romæ agens composuisse fertur, in qua etiam figurate Romam Babylonem nominat, ita inquiens: *Salutat vos ea quæ in Babylone est, coelecta, et Marcus filius meus* [27]. Quem Lucas quoque in Actis Joannem vocat. Dicunt præterea divinum hunc Marcum, primum in Ægyptum et Alexandriam missum, Evangelium quod conscripsit prædicasse, Ecclesias ordinasse, atque ei quæ ibi est Christianorum monachorum solitariæ vitæ leges dedisse. Tanta autem virorum et mulierum a primo statim initio confluxit multitudo, ut exercitii studiique eorum philosophiam, institutum, **157** mores, vitam, rationemque conservationis omnem, in scriptum retulerit, in utroque philosophiæ genere celeberrimus Philo: quem ad colloquium Petri, Romæ divinum Verbum prædicantis, fama est pervenisse.

B

ΚΕΦΑΛ. ΙΕ'.

Περὶ τοῦ κατὰ Μάρκον ἁγίου Εὐαγγελίου· καὶ ὡς ἐν Αἰγύπτῳ καὶ Ἀλεξανδρείᾳ ὑπ' ἐκείνῳ πρώτῳ τῶν μοναχῶν πολιτεία κατήρξατο.

Τοσοῦτον δ' ἐνῆκε ταῖς τῶν ἀκροατῶν ψυχαῖς τὸ τῆς εὐσεβείας ϕέγγος ὁ Πέτρος, ὡς μὴ αὐτάρκως ἔχειν τοῖς ἠκουσμένοις, μηδὲ τῷ ἀγράϕῳ τοῦ θείου λόγου θέλειν ἐμμένειν· προσλιπαρῆσαι δὲ Μάρκον, ὃς τῷ ἀποστόλῳ τηνικάδε παρείπετο, ὑπόμνημά τι τῆς ἀγράϕου διδασκαλίας, καὶ διὰ γραϕῆς ἐκείνοις ἐᾷν· καὶ μὴ πρότερον ἀπαλλάττεσθαι, ἕως οὗ τὸν ἄνδρα τὴν ἀξίωσιν κατεργάσασθαι· ὃ γνόντα τὸν ἀπόστολον τοῦ θείου μυήσαντος Πνεύματος, ἡσθῆναι τῇ τῶν ἀνδρῶν προθυμίᾳ, καὶ ἐξ ἐκείνου κυρῶσαι τὴν γραϕὴν ταῖς Ἐκκλησίαις ἀναγινώσκεσθαι. Ταύτην αἰτίαν τοῦ κατὰ Μάρκον Εὐαγγελίου Κλήμης ἐν ἕκτῳ τῶν Ὑποτυπώσεων ἱστορεῖ. Σύμϕωνα δὲ αὐτῷ καὶ ὁ Ἱεραπολίτης ἐπίσκοπος διέξεισι Παπίας. Διά τοι τοῦτο καὶ Πέτρου τὸ κατὰ Μάρκον Εὐαγγέλιον λέγεται. Μέμνηται δὲ τοῦ Μάρκου ἐν τῇ πρώτῃ αὐτοῦ ἐπιστολῇ ὁ Πέτρος, ἣν ἐν Ῥώμῃ διάγοντα λόγος ἔχει συντάξαι· ἐν ᾗ τροπικῶς καὶ τὴν Ῥώμην Βαβυλῶνα καλεῖ οὕτω λέγων· Ἀσπάζεται ὑμᾶς ἡ ἐν Βαβυλῶνι συνεκλεκτὴ, καὶ Μάρκος ὁ υἱός μου. Ὃν Λουκᾶς ἐν ταῖς Πράξεσι καὶ Ἰωάννην καλεῖ. Φασὶ δὲ τὸν Θεσπέσιον Μάρκον, καὶ πρῶτον ἐπ' Αἰγύπτου καὶ Ἀλεξανδρείας στειλάμενον, τὸ Εὐαγγέλιον κηρῦξαι ὃ συνεγράψατο, Ἐκκλησίας τε συστήσασθαι, καὶ τὴν ἐκεῖσε τῶν Χριστιανῶν μοναχικὴν πολιτείαν νομοθετῆσαι. Τοσαύτη δὲ συνεῤῥύη πλῆθος ἀνδρῶν τε καὶ γυναικῶν ἐκ πρώτης, ὅ ϕασιν, εἰσβολῆς, ὡς καὶ τὴν δι' ἀσκήσεως αὐτῶν ϕιλοσοϕίαν καὶ ἀγωγήν, δίαιτάν τε καὶ διατριβήν, καὶ τὴν σύμπασαν πολιτείαν ἀνάγραπτον θεῖναι τὸν περιβόητον ἐπ' ἀμϕοτέραις ϕιλοσοϕίαις Φίλωνα· ὃν Πέτρῳ κατὰ Ῥώμην τὸν θεῖον λόγον κηρύττοντι λόγος ἔχει καὶ εἰς ὁμιλίαν ἐλθεῖν.

C

D

CAPUT XVI.

Qualia sapientissimus Philon memoriæ prodiderit, de eis qui primum in Ægypto Christi philosophiam professi sint et exercuerint.

Non tantum vero is divina laude et prædicatione effert institutum ejus temporis apostolicorum ex

ΚΕΦΑΛ. ΙϚ'.

Οἷα ὁ σοϕώτατος Φίλων περὶ τῶν εἰς Αἴγυπτον τὴν κατὰ Χριστὸν ϕιλοσοϕίαν ἀσκούντων πρῶτος ἱστόρησε.

Οὐ μόνον τοίνυν θειάζων ἐστὶ τὴν πολιτείαν τῶν τότε ἀποστολικῶν ἀνδρῶν ἐξ Ἑβραίων, ὡς ἔοικε,

[27] I Petr. v, 13.

γεγονότων, ἀλλὰ καὶ προσαποδεχόμενος, καίπερ πλεῖστα τῶν παλαιῶν Ἰουδαϊκῶν ἐθῶν τηνικάδ' ἐπισυρομένων. Ἀπισχυρίζεται δὲ τῷ λόγῳ, μηδέν τι τῆς ἀληθείας προτιμότερον θέσθαι, μηδ' ἐξ ἑαυτοῦ τι προστιθέναι αἱρεῖσθαι. Σώζει γε μὴν τὸ σύγγραμμα ἀκραιφνεῖς τοὺς εἰσέτι νῦν τῇ Ἐκκλησίᾳ πεφυλαγμένους κανόνας. Ἡ δ' ἐπιγραφὴ αὐτῷ τοῦ λόγου, Περὶ βίου θεωρητικοῦ, ἢ περὶ ἱκετῶν ἐστι, θεραπευτὰς καλῶν τοὺς τὴν τοιαύτην πολιτείαν μετερχομένους· ἢ τῷ οὕτως τηνικάδε καλεῖσθαι, μήπω τῆς Χριστιανῶν κλήσεως ἔτι πεπλατυσμένης· ἢ ὅτι τῆς περὶ τὸ θεῖον καθαρᾶς καὶ εἰλικρινοῦς θεραπείας ἕνεκα, ἢ τῷ, τὰς τῶν προσιόντων ψυχὰς ἀπαλλάττοντας τῶν ἀπὸ κακίας παθῶν, οἱάπερ ἰατροὺς ἀκεῖσθαι καὶ θεραπεύειν· ἢ ὁπωσδήποτε ἄλλως ἔχει, οὔτι πω διατείνεσθαι ἀναγκαῖον. Οὓς καταρχὰς τῶν οἰκείων ἐξίστασθαι λέγει καὶ τῶν προσόντων αὐτοῖς φιλοσοφεῖν ἀρχομένους· εἶτα δὲ καὶ πάσαις φροντίσι βιωτικαῖς ἀποταγὴν ποιησαμένους, ἔξω τε τειχῶν γενέσθαι, καὶ ἔν τισι μοναγρίοις καὶ κήποις, ἢ καὶ ὄρεσί τισι τὰς διατριβὰς ποιεῖσθαι, τὰς τῶν ἀνομοίων ἐπιμιξίας ὡς βλαβερὰς οὔσας ἐκτρεπομένους, τὸν προφητικὸν βίον ἀσκοῦσί τε καὶ ζηλοῦσι πίστει ζεούσῃ. Οὐ μόνον δὲ ἐκεῖ, ἀλλὰ καὶ ἀλλαχοῦ τῆς γῆς τοῦτο τὸ γένας εἶναί φησιν· ἔδει γὰρ ἀγαθοῦ τελείου καὶ τὴν Ἑλλάδα καὶ τὴν Βάρβαρον μετασχεῖν. Ἐν Αἰγύπτῳ δὲ καὶ μάλιστα πλεονάζον ὁρᾶται περὶ τὴν Ἀλεξάνδρειαν. Καὶ ἐν ἑκάστῃ δε μονιᾷ οἴκημα ἱερὸν ἔστιν ἰδεῖν· ὃ σεμνεῖον καλοῦσι καὶ μοναστήριον, ἐν ᾧ μονούμενοι τὰ τοῦ σεμνοῦ βίου μυστήρια μυοῦνται· ἐν ᾧ οὐδὲν εἰσάγεται, οὔ σιτίον, οὐ ποτὸν, οὐδέ τι ἄλλο τῶν πρὸς τὰς σωματικὰς χρείας ἐπιτηδείων· ἀλλὰ λόγους τε καὶ νόμους, ῥήσεις τε προφητῶν καὶ ὕμνους θεοπνεύστους, καὶ ἄλλα οἷς ἐπιστήμη καὶ εὐσέβεια εἰς αὔξησιν ἤκουσαι, τέλος ἄριστον κτῶνται. Τὸ δ' ἐξ ἕω μέχρι δὴ καὶ ἑσπέρας διάστημα ἄσκησίς ἐστιν αὐτοῖς. Ταῖς γὰρ ἱεραῖς ἐμφιλοσοφοῦντες Γραφαῖς τὴν πάτριον φιλοσοφοῦσι φιλυσοφίαν. Ὥσπερ γάρ τινα κρηπῖδα πρώτην προκαταβαλλόμενοι τὴν ἐγκράτειαν, τὰς λοιπὰς τῶν ἀρετῶν ἐποικοδομοῦσιν αὐτῇ. Καὶ γὰρ οὐδενὶ αὐτῶν ἐξέσται πρὸ ἡλίου δύνοντος σιτίον ἢ ποτὸν προσενέγκασθαι. Τὸ γὰρ περὶ ἀρετὴν φιλοσοφεῖν ὡτὸς ἄξιον ἐκείνοις ὡς εἰκὸς κρίνεται. Σκότους δὲ τὸ περὶ τὰς τοῦ σώματος ἀνάγκας ἐστράφθαι. Εἰσὶ δὲ οἳ καὶ διὰ τριῶν καὶ πλειόνων ὑπομιμνήσκονται τροφῆς, οἷς πλείων ὁ πόθος τῆς ἐπιστήμης ἐνίδρυται. Τινὲς δ' οὕτως ἐνευφραίνονται καὶ τρυφῶσιν ὑπὸ σοφίας ἐστιώμενοι, ἄφθονα χορηγούσης τὰ δόγματα, ὡς καὶ πρὸς διπλασίονα χρόνον ἀντέχειν, καὶ μόλις δι' ἓξ ἡμερῶν τροφῆς ἀναγκαίας μετέχειν προσεθισθῆναι. Αἵ γε

A Judæis, ut videtur, progenitorum virorum : sed id quoque judicio suo comprobat, quamvis etiam tum plurimas veterum Judæorum consuetudines observarent. Asseverat quoque verbis disertis, nihil se veritate ducere prius aut antiquius, neque quidquam ex se ipso rei ipsi addere constituisse. Quapropter scriptum id, canones et regulas, quæ etiam nunc in Ecclesia servantur, liquido continet. Inscriptio autem libri est, et titulus. *De vita contemplatrice*, sive *de supplicibus*. Eos autem qui vitam ejuscemodi amplexi essent, θεραπευτὰς (1), hoc est, cultores seu curatores vocat : vel quod ita tum appellarentur, nondum Christianorum nomine late diffuso : vel propter purum sincerumque Dei cultum : vel quod tanquam medici, exercerent, curarent, atque colerent eorum qui ad eos B venissent, animos, omni eos vitiorum perturbatione liberantes : vel aliam quamcunque ob causam : neque enim de eo contendere necessarium est. Hos a principio, cum Christiana philosophia initiarentur, dicit, rem familiarem facultatesque suas relinquere solitos esse : ac deinde nuntio omnibus vitæ hujus curis et sollicitudinibus remisso, extra muros in semotis aliquibus agris et hortis, aut etiam montibus versari atque vivere, dissimiliumque omnium consuetudinem tanquam perniciosam aversantes, vitam propheticam flagranti atque ferventi fide meditari atque æmulari. Non solum autem eo in loco, verum etiam alibi in orbe terrarum hoc genus fuisse scribit. Decebat quippe summi boni et Græciam et Barbariam participes C fieri, in Ægypto tamen et maxime circa Alexandriam institutum hoc frequentari. In unaquaque autem solitaria, inquit, mansione sacram domum reperias, quam σεμνεῖον (2), hoc est honestatis gravitatisque locum et monasterium vocant : in quo scilicet ab aliis sejuncti et solitarii, honestæ sanctæque vitæ mysteriis imbuuntur. Eo nihil infertur vel frumenti, vel potus, vel etiam alterius rei ad necessarium corporis usum pertinentis. **158** Sermones tantum et leges, dictaque prophetarum atque hymnos divinitus inspiratos ibi meditantur, atque etiam alia, quibus doctrina et pietas augescens, summum consequitur bonum. Intervallum porro temporis ab ipso diluculo ad vesperam usque, in exercitio eos continet. Sacris enim incumbentes Litteris, in patria sedulo desudant philosophia. Ac quasi fundamentum primum jacientes ipsam continentiam, reliquas ei superstruunt virtutes ; neque ante solis occasum alicui ex eis panem aut potum sumere licet. Virtutis enim studium luce dignum, ita ut par est : contra D

(1) Jesus Hebraico sermone curator dicitur, sive medicus et salvator : et ab hoc fortasse nomine Jessæi prius dicti sunt, quam Christianorum cognomen fideles obtinuerunt. Ab Antiochia namque, sicuti veritatis argumentum habet, discipuli et Ecclesia Dei universa Christiani dici cœperunt. Reperias ejus rei argumentum, si Philonis commentarios legeris in libro ejus quem *De Jessæis* inscripsit. Qui horum vitæ consuetudinem et laudes exponens, et monasteria quæ in regione circa Mariæ lacum habuere commemorans, non de aliis quam Christianis, primis, historiam texuit, locis eis peragratis. (Epiph. IX, *De Nazoræis*.)

(2) Σεμνεῖα non solum monachorum, sed hominum Christianorum omnium oratoria.

autem ad tenebras pertinere eas, quæ ad necessarium corporis usum summuntur, curas judicant. Sunt autem qui post tres aut plures dies demum cibi reminiscuntur, quibus videlicet major doctrinæ inest cupiditas. Nonnulli etiam ita lætantur, deliciisque affluunt circa sapientiæ epulas, plurimas suppeditantes doctrinas, ut dupplicatum etiam id tempus se abstineant, et sexto vix die de necessario alimento participare consueverint. Expositiones porro sacrorum oraculorum per allegorias arcanas occultasque sententias, et anagogas sive contemplatrices et mysticas intelligentias instituunt. Studium siquidem, et quasi lex philosophorum istorum animanti persimile est, cujus corpus nuda verba sint, anima autem abstrusus in illis et invisibilis sensus. Sunt quoque apud eos et mulieres solitariæ, θεράπευτίδες, hoc est cultrices dictæ, quæ sacram hanc vitam et institutum sectantur : quarum pleræque modesta et sobria senectute ornatæ, puritatem et virginitatem non necessitate, sed spontanea animi destinatione collunt ; nullamque corporis voluptatum curam aut rationem habentes, non mortalium, sed immortalium liberorum gignendorum cupiditatem obtinent, quales liberos sola ex seipsa Dei amans anima procreare potest. Verum enimvero cum duo sint hominum vitæ instituti genera : unius nimirum, ejusque inferioris conjugalis consuetudinis : alterius autem supermundanæ et angelicæ. Deo videlicet dilectæ virginitatis, ac solitariæ puriorisque conversationis : si quis legitimum ac impollutum sequatur matrimonium, longe ille quidem a reprehensione abest, sed pauciora ei contingunt charismata et dona. Sobrie enim pudiceque et is vivere dicitur, et trigecuplum virtutis fert fructum, difficulter certo quidem sexagecuplum. **159** Cui vero sincere angelicam vitam degere sit datum, etiam si ea aspera sit et ardua, facile tamen ei fuerit sexagecuplum, atque etiam centuplum ferre fructum, certo scilicet ad perfectionem et summum bonum collimanti. Scripta autem iis esse dicit veterum, qui auctores et duces professionis eorum exstitere, et multa monumenta ideæ et formæ ejus quæ allegoriis delectatur post se reliquerunt, virorum : iis illi quasi archetypis, primisque exemplaribus utentes, morem modumque eum imitantur. Ea porro monumenta divina apostolorum Evangelia, et Pauli Epistolas esse puto, interpretationem antiquarum Scripturarum rectam continentes. Non solum autem, inquit, contemplationi vacant, sed novos etiam hymnos, carmina, et laudes in Deum omni genere graviorum numerorum atque rhythmorum componunt. Videbitur fortasse cuipiam, Philonem non hæc de evangelicæ vitæ institutis dixisse, ut quæ aliis quoque accommodari queant : sed is certum indubitatumque esse sibi persuadeat, nostram illum depinxisse vivendi consuetudinem. Cum ad hodiernum usque diem non apud alios quam apud nostros homines regulas tales vivendique mores

A μὴν τῶν ἱερῶν ἐξηγήσεις λογίων ἐν ἀλληγορίαις αὐτοῖς δι' ὑπονοιῶν καὶ ἀναγωγαῖς ἐννοιῶν κατασκευάζονται. Ἡ γὰρ νομοθεσία τοῖς φιλοσόφοις τούτοις ζώῳ προσείκασται · καὶ σῶμα αὐτῷ ἡ ῥητὴ λέξις · ψυχὴ δέ ἐστιν ὁ ἐναποκείμενος ταύτῃ ἀόρατος νοῦς. Εἰσὶ δὲ παρ' ἐκείνοις καὶ γυναῖκες μονάστριαι καὶ θεραπευτίδες καλούμεναι, τὴν αὐτὴν ἱερὰν πολιτείαν καὶ κάταστασιν μετερχόμεναι · ὧν αἱ πλείους γήρᾳ κοσμοῦνται σώφρονι, καὶ παρθενίαν καὶ ἁγνείαν, οὐκ ἀνάγκῃ, ἀλλ' ἐκ προαιρέσεως ἑκουσίου ἀσκοῦσι, καὶ τῶν περὶ τὸ σῶμα ἡδονῶν ἀλογήσασαι, οὐ θνητῶν, ἀλλ' ἀθανάτων ἐκγόνων ὠρέχθησαν · ἃ μόνα τίκτειν ἀφ' ἑαυτῆς οἵα τέ ἐστιν ἡ θεοφιλὴς ψυχή. Καὶ τοίνυν δύο πολιτειῶν τῷ βίῳ τῶν ἀνθρώπων οὐσῶν, μιᾶς μὲν καὶ μετριωτέρας τῆς ἐν γάμῳ B διαγωγῆς, ἑτέρας δὲ τῆς ὑπερκοσμίου καὶ ἀγγελικῆς, τῆς θεοφιλοῦς δηλαδὴ παρθενίας · τῆς μοναδικῆς δηλαδὴ καὶ καθαρᾶς βιώσεως · εἴ τις τὸν ἔννομον καὶ ἀμίαντον ἕλοιτο γάμον, μέμψεως μὲν πόῤῥω, πλὴν ἡττόνων χαρισμάτων ἐπιτυχὴς γίνεται · σωφρόνως γὰρ καὶ οὗτος βιοῦν λέγεται, καὶ ἐν τριάκοντα τὸν τῆς ἀρετῆς καρποφορεῖ ἄσταχυν · μόλις γὰρ ἐν ἑξήκοντα · ᾧ δὲ μετιέναι ἀκραιφνῶς τὴν ἀγγελικὴν ζωὴν γένοιτο, εἰ καὶ τραχεῖά τις καὶ ἀνάντης, ῥᾴδιόν γε ἔσται καὶ ἐν ἑξήκοντα καρποφορῆσαι καὶ ἑκατόν, εὖ μάλα τῆς τελειότητος εὐστοχήσαντι. Συγγράμματα δὲ αὐτοῖς εἶναι παλαιῶν ἀνδρῶν λέγει, οἳ ἀρχηγοὶ τῆς αὐτῶν δόξης γενόμενοι, πολλὰ μνημεῖα τῆς παρ' αὐτοῖς ἀλληγορουμένης ἰδέας ἀπέλιπον · οἷς οἷά τισιν ἀρχετύποις χρώC μενοι, τὸν τρόπον μιμοῦνται. Οἶομαι δ' εἶναι τὰ θεῖα τῶν ἀποστόλων Εὐαγγέλια, καὶ τὰς Παύλου ἐπιστολὰς ἑρμηνείαν γραφῶν παλαιοτέρων ὡς εἰκὸς διηγούμενα. Οὐ μόνον δὲ θεωροῦσι, φησὶν, ἀλλὰ καὶ ὕμνους νέους ποιοῦσιν, ἄσματα καὶ ᾠδὰς εἰς Θεὸν διὰ παντοίων μέτρων καὶ ῥυθμῶν σεμνοτέρων χαράσσοντες. Εἰ δέ τῳ δόξει μὴ τὸν Φίλωνα περὶ τῆς κατὰ τὸ Εὐαγγέλιον πολιτείας ταῦτα διεξιέναι ἁρμόττειν δὲ καὶ ἄλλοις δύνασθαι · ἀλλά γε μὴν πειθέτω ἀναμφήριστον εἶναι, ὡς τὴν ἡμῶν διαγράφεται πολιτείαν · ὡς καὶ ἐς δεῦρο μὴ παρ' ἄλλοις ἀλλὰ παρ' ἡμῶν μόνοις τοὺσδε τοὺς κανόνας καὶ τοὺς τρόπους τῆς πολιτείας διατηρεῖσθαι, τάς τε ἐπὶ ταυτὸν συνόδους, καὶ τὰς ἰδίᾳ μὲν γυναικῶν, ἰδίᾳ δὲ ἀνδρῶν διατριβάς · καὶ τὰς ἐξ ἔθους ἀσκήD σεις ἔτι νῦν παρ' ἡμῖν μόνοις τελουμένας · ἃς καὶ μᾶλλον ἀσιτίας, καὶ δεήσεις, καὶ περὶ τὰ θεῖα λόγια σχολὴν ἐν ὁλονυκτίοις προσευχαῖς, κατὰ τὴν τοῦ σωτηρίου πάθους ἑορτὴν καὶ πρό γε αὐτῶν ἐκτελεῖν εἰώθαμεν. Ἐν οἷς προσιστορεῖ ὁ δηλωθεὶς συφὸς τούς τε λέγεσθαι εἰωθότας παρ' ἡμῶν ὕμνους · καὶ ὡς ἑνὸς μετὰ ῥυθμοῦ κοσμίως ἐπιψάλλοντος οἱ λοιποὶ καθ' ἡσυχίαν ἀκροώμενοι τῶν ὕμνων τὰ ἀκροτελεύτια συνεξηχοῦσι · καὶ ὡς κατ' αὐτόν γ' ἐκεῖνον τὸν καιρὸν, ἐπὶ στιβάδων χαμευνοῦντες, οἴνου μὲν τὸ παράπαν, ὡς αὐτὸς αὐτοῖς ῥήμασιν ἐπέγραψεν, οὐδὲ ἀπογεύονται · ἀλλ' οὐδὲ τῶν ἐναλίμων τινός · ὕδωρ δὲ μόνον ἔστιν αὐτοῖς ποτόν · καὶ προσέψημα μετ' ἄρτου ἅλες καὶ ὕσσωπον. Ἐπὶ τούτοις τὸν τρόπον

γράφει τῆς προστασίας, τῶν τὰς Ἐκκλησίας ἐγχειρισμένων· τάς τε ἄλλας διακονίας, καὶ τὰς ἐπὶ πᾶσιν ἀνωτάτω τῆς ἐπισκοπῆς προεδρίας. Ὅτι γε μὴν περὶ τῶν πρώτων κηρύκων τῆς εὐσεβείας, καὶ τῶν παρ' ἐκείνοις ἀρχῆθεν παραδεδομένων ἐθῶν, ὁ Φίλων ταῦτ' ἔγραφεν, εὔδηλον· εἴ τῳ μετ' ἀκριβοῦς ἐπιστασίας τὴν δηλωθεῖσαν ἱστορίαν τἀνδρὸς ἐπελθεῖν γένοιτο.

A conservari compertum sit: conventus scilicet in unum, et seorsim quidem mulierum, seorsim etiam virorum frequentatas conversationes, solitaque et stata exercitia, quæ etiam nunc nos soli, et maxime una cum inedia cibique abstinentia, cum precibus, et cum divinorum oraculorum meditatione, et pervigiliis et orationibus, salutiferæ Passionis feriis, atque etiam ante eas ferias celebrare consuevimus. Addit insuper Philo et illud: Solere apud nos ita cantari hymnos, ut cum unus certis conservatis numeris, rite atque decenter præeat, reliqui tacite illum audientes, hymnorum tandem extremas partes concinant. Præterea temporibus suis illos humi in stibadiis torisque stramineis jacere solitos, vinum prorsus, ut ipsius verbis utar, non gustasse, neque quidquam sanguinei attigisse referi. Potum quippe illis fuisse aquam tantum, cibum autem cum pane salem et hyssopum. Ad hæc morem quoque Ecclesiis præsidentium præsulum describit: atque in iis, cum cæterorum ministrorum munia, tum summæ omnium episcopalis dignitatis sublimitatem. Quod vero hæc Philo de primis pietatis præconibus et traditis ab eis antiquitus moribus scripserit, satis ei persuasum fuerit, qui diligenter et accurate, quam diximus, historiam ejus viri legere voluerit.

ΚΕΦΑΛ. ΙΖ'.

Περὶ τῶν συγγραμμάτων τοῦ Φίλωνος· καὶ οἷος ἦν τὸν τρόπον.

Ὁ δὲ Φίλων πολύς ἐστι τῷ λόγῳ καὶ πλατὺς ῥέων ταῖς διανοίαις· μετέωρος δέ τις καὶ ὑψηλὸς ἐν ταῖς τῆς θείας Γραφῆς θεωρίαις, ποικίλην τινὰ καὶ πολύτροπον τῶν ἱερῶν Λόγων ποιούμενος τὴν ὑφήγησιν· καὶ δείκνυσι τοῦτο μὲν ἐν ταῖς εἰς τὴν Γένεσιν πραγματείαις αὐτοῦ, ἃς Ἱερῶν νόμων Ἀλληγορίας ἐπέγραψε τοῦτο δὲ καὶ ἐν οἷς διαστολὰς τῶν ἐν ταῖς Γραφαῖς ζητουμένων λύσεις τε καὶ ἀπορίας κεφαλαιωδώς εἰσάγει. Εἰσὶ δὲ αὐτῷ καὶ ἕτερα ἰδίως πεποιημένα σπουδάσματα. Τὰ Περὶ γεωργίας δύο· καὶ τὰ Περὶ μέθης τοσαῦτα· καὶ ἄλλα διαφόρων ἐπιγραφῶν ἠξιωμένα· οἷον, Ὁ Περὶ ὧν ὑψηλὰς ὁ νοῦς, εὔχεται καὶ καταρᾶται· ὅ τε Περὶ συγχύσεως τῶν διαλέκτων· καὶ ὁ Περὶ φυγῆς καὶ αἱρέσεως· ἔτι τε ὁ Περὶ φύσεως καὶ εὑρέσεως· καὶ ὁ Περὶ τῆς περὶ τὰ παιδεύματα συνόδου· καὶ ἄλλος αὐτῷ πεπόνηται, Τίς ὁ τῶν θείων ἐστὶ κληρονόμος, ἢ περὶ τῆς εἰς τὰ ἴσα καὶ ἐναντία τομῆς· καὶ ὁ Περὶ τῶν τριῶν ἀρετῶν· καὶ ἄλλος ὁ Τῶν μετονομαζομένων, καὶ ὧν ἕνεκα μετονομάζονται· ἐν ᾧ καὶ Περὶ Διαθηκῶν λέγει συντεταχέναι πρῶτον καὶ δεύτερον· καὶ Περὶ ἀποικίας δὲ αὐτῷ καὶ βίου σοφοῦ ἕτερος ἐσπουδάσθη λόγος· καὶ Περὶ γιγάντων ἄλλος· Περί τε τοῦ κατὰ Μωσέα θεοπέμπτους εἶναι τοὺς ὀνείρους πρῶτος, δεύτερος, τρίτος, τέταρτος, πέμπτος. Καὶ τῶν μὲν εἰς τὴν Γένεσιν εἰς ἡμᾶς ἐλθόντων τοσαῦτα· εἰς δὲ τὴν Ἔξοδον ζητημάτων καὶ λύσεων πέντε ἔγνωμεν· καὶ τὸ Περὶ τῆς σκηνῆς· τὸ Περὶ τῶν δέκα λογίων· καὶ τὰ Περὶ τῶν ἀναφερομένων ἐν εἴδει νόμων εἰς τὰ συντείνοντα κεφάλαια τῶν δέκα λόγων, α', β', γ', δ'· καὶ τὸ Εἰς τὰς ἱερουργίας τῶν ζώων· καὶ τίνα εἴδη τῶν θυσιῶν. Καὶ Περὶ τῶν προκειμένων ἐν τῷ νόμῳ ἄθλων, καὶ ἐπιθυμιῶν καὶ ἀρῶν. Εὕρηται δὲ αὐτοῦ καὶ μονόβιβλα· οἷος ὁ Περὶ Προνοίας, ὁ Κατὰ Ἰουδαίων, καὶ Ὁ πολιτικός· ἔτι δὲ Ὁ Ἀλέξανδρος, ἢ Περὶ τοῦ λόγον ἔχειν τὰ ἄλογα ζῶα. πρὸς τούτοις ὁ Περὶ τοῦ

B

160 CAPUT XVII.

De Philonis scriptis, et de moribus ejusdem.

Philo porro ipse et verbis est copiosus, et sententiis diffusus: exponendis autem per arcanam et mysticam interpretationem divinis Scripturis altus et sublimis, plurifariam sacrorum oraculorum texens enarrationem. Ostendit id partim in commentariis suis in Genesim, quibus titulum indidit, *Sacrarum legum allegoriæ*, partim in distinctionibus, ambiguitatibus, et solutionibus earum Scripturarum, quæ in quæstionem trahuntur, summatim et per capita relatis. Sunt præterea aliæ quoque ejus seorsim editæ lucubrationes. *De agricultura* duæ; *De ebrietate* totidem. Alia item varior-
C um titulorum scripta; quale est, *Quas res mens sobria per orationem vel precetur, vel deprecetur*; item *De linguarum confusione; De rebus expetendis et fugiendis; De natura et inventione; De congressu quærandæ eruditionis gratia.* Alius præterea liber, *Quis sit rerum divinarum hæres* vel de ea quæ fit in æqualia aut inæqualia sectione; item, *De tribus virtutibus*; item *De iis quorum mutantur nomina*, et quibus ex causis mutantur: in quo se quoque scripsisse *de Testamentis* primum et secundum librum testatur. Composuit etiam librum *De secessu et vita sapientis*; alium quoque *De gigantibus. De eo quod, ut est apud Mosem, somnia divinitus immittantur*, libros quinque. Atque hæc equidem sunt, quæ in Genesim ab eo scripta, ad nos pervenerunt. In Exodum vero quæstionum solutionumque quinque
D libros ejus esse cognovimus: unum *De tabernaculo*, unum *De Decalogo; De iis quæ sub specie legum lata ad Decalogum referuntur*, libros quatuor; *De sacrificiis animalium et quæ sint sacrificiorum genera*, librum unum. Item *De propositis in lege præmiis, honoribus scilicet et pœnis* Inveniuntur etiam singulares ejus libri: 161 ut *De Providentia, Contra Judæos, De republica; Alexander, sive De animantibus irrationalibus rationem habentibus*; item, *Servos esse malos omnes.* Et qui hunc consequitur,

Omnibus modis bonos liberos esse. Secundum hos, *De vita contemplatrice* (1), *seu de supplicibus est compositus :* unde ea translulimus, quæ de apostolis et primis Christianorum institutis et moribus supra diximus. Hebraicorum quoque nominum in lege et prophetis interpretationes ejus esse perhibentur. Itaque Philo iste, Ciao imperante, cum Roman venisset, libros de Caii amentia et vecordia composuit, quos per urbanitatem et ironiam *De virtutibus* inscripsit. Eos deinde Claudii temporibus cum in senatu ibidem recitasset, tanta fuerunt in admiratione, ut digni judicati sint, qui in Bibliothecam Palatinam referrentur.

A δοῦλον εἶναι πάντα φαῦλον· ᾧ ἑξῆς καὶ ὁ Περὶ τοῦ πάντα σπουδαῖον εἶναι ἐλεύθερον. Μεθ' οὓς ὁ Περὶ βίου θεωρητικοῦ ἢ ἱκετῶν συντέτακται, ἐξ οὗ τά τε περὶ τῶν ἀποστόλων, καὶ τὰ περὶ τῆς τῶν Χριστιανῶν πολιτείας ἀρχῆθεν διεληλύθαμεν. Καὶ τῶν ἐν νόμῳ δὲ καὶ προφήταις Ἑβραϊκῶν ὀνομάτων ἑρμηνεῖαι τοῦ αὐτοῦ εἶναι λέγονται. Οὗτος οὖν Γαΐου κρατοῦντος τῇ Ῥώμῃ ἐπιφοιτήσας, τὰ περὶ τῆς Γαΐου φρενοβλαβείας, ἃ μετὰ ἤθους καὶ εἰρωνείας Περὶ ἀρετῶν ἐπίγραψεν, ἐπὶ τῆς Ῥωμαίων συγκλήτου κατὰ τοὺς χρόνους Κλαυδίου διῆλθε. Τοσοῦτον δὲ θαυμασθῆναι τοὺς λόγους αὐτῷ, ὡς καὶ τῆς παρ' ἐκείνοις βιβλιοθήκης ἀξιωθῆναι.

CAPUT XVIII.

De Josephi veritatis consectatoris libris, et quales ejus quoque mores fuerint.

ΚΕΦΑΛ. ΙΗ'.

Περὶ τῶν συγγραμμάτων τοῦ φιλαλήθους Ἰωσήπου· καὶ οἷος ἦν καὶ οὗτος.

Sed hæc de primoribus Christi discipulis sint satis quorum martyriis expositis, cum ad hunc locum pervenerimus, consequens esse videtur, et reliquorum decem vitæ finem in secundo hoc tomo perstringere: non quod eodem tempore beatum felicemque exitum omnes sint consecuti, sed id fieri oportere duximus, ut et compendiosa et dilucida nobis constet historia. Deinde qui eorum conjugium sint complexi, quique sincera Ecclesiæ scripta reliquerint, memoraturi, finemque ita secundo huic sacræ Historiæ volumini imposituri: ut scilicet post primum, qui Christi res omnes continet, secundum hunc de duodecim apostolorum actis absolvamus librum: quamvis longius nobis instituta excrescat historia. Sed enim post Petri et Pauli obitum, Jacobi, qui frater Domini est nominatus, et Ecclesiam Hierosolymitanam primus ab ipso Servatore Christo, seu (ut quidam volunt) ab ipsis etiam postea apostolis sibi commissam administrandam suscepit, Obliasque (1), hoc est Justus, appellatus est, mortem exponam. 197 Quod enim divus Paulus Judæorum dolum, per Festum et provocationem ad Cæsarem, effugisset: illi quæ in Paulum structæ non processerant, eas in Jacobum convertunt insidias. Qualem autem is habuerit finem, Hegesippus, qui primæ successionis apostolorum temporibus vixit, in quinto Commentariorum suorum libro ad hunc modum recenset: Suscipit autem Ecclesiam una cum apostolis administrandam frater Domini Jacobus, qui ab omnibus Justus cognominatus est, ab ipsius Domini ad nostra usque tempora. Plures equidem hoc nomine fuere Jacobi: sed iste ex ipso matris suæ utero sanctus fuit: vinum et siceram non bibit, neque de animante quopiam comedit, novacula super caput ejus non ascendit, oleo unctus non est, balneo quoque minime usus. Huic uni in sancta ingredi fas erat: neque vestem laneam ullam, sed lineam tantum gestabat. Solus quandoque in templum ibat, ibique in genua procumbere et pro remissione peccatorum populi orare comperiebatur. Genua quidem ejus cameli instar per callum indurverant, propterea quod semper ea inflecteret, adorans ad Deum. Cum itaque multi etiam ex principibus fidem amplecterentur, tumultus concitatus est a Judæis, scribis et Pharisæis: qui eo periculi rem devenisse dicebant, ut populus omnis Jesum pro exspectato illo Christo haberet. Quare, ad Jacobum convenientes, inquiunt: Cohortamur te, ut cohibeas populum, qui de Jesu ipso seductus est, Christum eum esse existimans. Dissuade, quæsumus, iis qui ad diem Paschæ huc venere, opinionem et fidem de Jesu. Tibi enim paremus omnes, et cum populo universo testificamur te justum esse, usque personarum rationem

ΚΕΦΑΛ. ΛΗ'.

Ὡς ὁ τοῦ Κυρίου ἀδελφὸς Ἰάκωβος τὸν κατὰ Χριστὸν διεξῆλθεν ἀγῶνα.

Ἐμοὶ δὲ ἄρα ἐνταῦθα γενομένῳ τοῦ λόγου, καὶ τῶν κορυφαίων ἀποστόλων τὸ τέλος διεξεληλυθότι, ἀκόλουθον εἶναι κρίνεται καὶ τῶν λοιπῶν δέκα τὸ τοῦ βίου πέρας τῷ παρόντι μοι δευτέρῳ τῶν τόμων διαδραμεῖν· εἰ καὶ μὴ ἐν ἴσῳ χρόνῳ τοῦ μακαρίου τέλους τούτων ἕκαστος εἴληχεν· ἀλλ' ἵν εὐσύνοπτον εἴη τὸ σύγγραμμα, οὕτω δεῖν ἥγημαι· εἶτα διαλαβεῖν, καὶ ὅσοι τούτων τὴν συζυγίαν ἠσπάσαντο· ὅσοι τε ἀκραιφνῆ συγγράμματα τῇ Ἐκκλησίᾳ καταλιπόντες ἀπῆσαν, καὶ οὕτω καὶ τὸν δεύτερον τουτονὶ τόμον τῆς ἱερᾶς ἱστορίας διαπερᾶναι, μετὰ τὸν πρῶτον τὰ περὶ Χριστοῦ πάντα διεξιόντα, δεύτερον τοῦτον τὰ τῶν δώδεκα μαθητῶν καὶ ἀποστόλων διαπεραίνοντα· κἂν καὶ εἰς μῆκος τὰ τῆς παρούσης συγγραφῆς προχωρήσῃ μοι, καὶ δὴ μετὰ τὴν Πέτρου καὶ Παύλου τελείωσιν τὴν Ἰακώβου ὃς ἀδελφὸς τοῦ Κυρίου ἐλέγετο· καὶ τὴν Ἱεροσολύμων Ἐκκλησίαν πρῶτος παρὰ τοῦ Σωτῆρος Χριστοῦ ἐγκεχείριστο· ὡς δέ τινες, καὶ παρὰ τῶν ἀποστόλων αὐτῶν ὕστερον (Ὠβλίας δὲ ἐκαλεῖτο, ὅ ἐστι δίκαιος) διηγήσομαι. Παύλου γὰρ τοῦ θείου τὴν τῶν Ἰουδαίων ἐπιβουλὴν διὰ Φήστου ἀποδράντος, ἅτε δή τὸν Καίσαρα ἐπικαλεσαμένου, ἐκεῖνοι τῆς ἐπιβουλῆς ἣν ἐκείνῳ ἥρτυον ἐκπεσόντες, ἐπὶ τὸν Ἰάκωβον τρέπονται. Οἷον δὲ αὐτῷ τὸ τέλος, Ἡγήσιππος ἐν τῇ πρώτῃ τῶν ἀποστόλων διαδοχῇ γενόμενος, τῇ πέμπτῃ τῶν Ὑπομνημάτων αὐτοῦ τοῦτον ἱστορεῖ τὸν τρόπον· « Διαδέχεται δὲ τὴν Ἐκκλησίαν μετὰ τῶν ἀποστόλων ὁ ἀδελφὸς τοῦ Κυρίου Ἰάκωβος, ὁ ὀνομασθεὶς ὑπὸ πάντων Δίκαιος ἀπὸ τῶν τοῦ Κυρίου χρόνων μέχρι καὶ ἡμῶν· ἐπεὶ πολλοὶ Ἰάκωβοι ἐκαλοῦντο. Οὗτος δὲ ἐκ κοιλίας μητρὸς αὐτοῦ ἅγιος ἦν· οἶνον καὶ σίκερα οὐκ ἔπιεν, οὐδὲ ἔμψυχον ἔφαγε· ξυρὸς ἐπὶ τὴν κεφαλὴν αὐτοῦ οὐκ ἀνέβη. Ἔλαιον οὐκ ἠλείψατο, καὶ βαλανείῳ οὐκ ἐχρήσατο. Τούτῳ μόνῳ ἐξῆν εἰς τὰ ἅγια εἰσιέναι. Οὐδὲ γὰρ ἐρεοῦν ἐφόρει, ἀλλὰ σινδόνας. Καὶ μόνος εἰσήρχετο εἰς τὸν ναόν· εὑρίσκετό τε κείμενος ἐπὶ τοῖς γόνασι, καὶ αἰτούμενος ὑπὲρ τοῦ λαοῦ ἄφεσιν· ὡς ἀπεσκληκέναι τὰ γόνατα αὐτοῦ δίκην καμήλου, διὰ τὸ ἀεὶ κάμπτειν προσκυνοῦντα τῷ Θεῷ Πολλῶν οὖν πιστευόντων καὶ τῶν ἀρχόντων, θόρυβος ἦν τῶν Ἰουδαίων καὶ γραμματέων καὶ Φαρισαίων λεγόντων ὅτι κινδυνεύει πᾶς ὁ λαὸς Ἰησοῦν τὸν Χριστὸν προσδοκᾶν. Ἔλεγον οὖν συνελθόντες τῷ Ἰακώβῳ· Παρακαλοῦμέν σε, ἐπίσχες τὸν λαόν, ἐπεὶ ἐπλανήθη εἰς Ἰησοῦν, ὡς αὐτοῦ ὄντος τοῦ Χριστοῦ· παρακαλοῦμέν σε πεῖσαι τοὺς ἐλθόντας εἰς τὴν ἡμέραν τοῦ Πάσχα περὶ Ἰησοῦ· σοὶ γὰρ πάντες πειθόμεθα· ἡμεῖς γὰρ μαρτυροῦμέ σοι καὶ πᾶς ὁ λαός, ὅτι δίκαιος εἶ, καὶ πρόσωπον οὐ λαμβάνεις. Πεῖσον οὖν σὺ τὸν ὄχλον περὶ Ἰησοῦ μὴ πλανᾶσθαι· καὶ γὰρ πᾶς ὁ λαὸς καὶ πάντες πειθόμεθά σοι. Στῆθι οὖν ἐπὶ τὸ πτερύλιον τοῦ ἱεροῦ, ἵνα ἄνωθεν ἧς ἐπιφανὴς,

(1) Dictus etiam Oblias, hoc est munimentum populi et justitia.

καὶ ᾖ εὐάκουστά σου τὰ ῥήματα παντὶ τῷ λαῷ. Διὰ γὰρ τὸ Πάσχα συνεληλύθασιν οἱ πᾶσαι φυλαὶ μετὰ τῶν ἐθνῶν. Ἔστησαν οὖν οἱ προειρημένοι γραμματεῖς καὶ Φαρισαῖοι τὸν Ἰάκωβον ἐπὶ τὸ πτερύγιον τοῦ ναοῦ · καὶ ἔκραξαν αὐτῷ, καὶ εἶπον · Δίκαιε, σοὶ πάντες πείθεσθαι ὀφείλομεν · καὶ ἐπεὶ ὁ λαὸς πλανᾶται ὀπίσω Ἰησοῦ τοῦ σταυρωθέντος, ἀπάγγειλον ἡμῖν τίς ἡ θύρα τοῦ Ἰησοῦ. Καὶ ἀπεκρίνατο φωνῇ μεγάλῃ · Τί με ἐπερωτᾶτε περὶ Ἰησοῦ τοῦ υἱοῦ τοῦ ἀνθρώπου ; Καὶ αὐτὸς κάθηται ἐν τῷ οὐρανῷ ἐκ δεξιῶν τῆς μεγάλης δυνάμεως · καὶ μέλλει ἔρχεσθαι ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ. Καὶ πολλῶν πληροφορηθέντων καὶ δοξαζόντων ἐπὶ τῇ μαρτυρίᾳ τοῦ Ἰακώβου, καὶ λεγόντων, Ὡσαννὰ τῷ υἱῷ Δαβίδ · τότε πάλιν οἱ αὐτοὶ γραμματεῖς καὶ Φαρισαῖοι πρὸς ἀλλήλους ἔλεγον · Κακῶς ἐποιήσαμεν τοιαύτην μαρτυρίαν παρασχόντες τῷ Ἰησοῦ. Ἀλλ' ἀναβάντες, καταβάλωμεν αὐτόν, ἵνα φοβηθέντες, μὴ πιστεύσωσιν αὐτῷ. Καὶ ἔκραξαν λέγοντες · Ὦ ὦ, καὶ ὁ Δίκαιος ἐπλανήθη · καὶ ἀναβάντες, κατέβαλλον τὸν Δίκαιον, καὶ ἔλεγον ἀλλήλοις, Λιθάσωμεν αὐτόν · καὶ ἤρξαντο λιθάζειν. Ἐπεὶ δὲ καταβληθεὶς οὐκ ἀπέθανεν, ἀλλὰ στραφεὶς ἔθηκε τὰ γόνατα λέγων · Παραπαλῶ, Κύριε Θεὲ Πάτερ, ἄφες αὐτοῖς · οὐ γὰρ οἴδασι τί ποιοῦσιν · οὕτω καταλιθοβολούντων αὐτὸν, εἷς τῶν ἱερέων τῶν υἱῶν Ῥηχὰβ τῶν μαρτυρουμένων ὑπὸ Ἱερεμίου τοῦ προφήτου, ἔκραζε λέγων · Παύσασθε · τί ποιεῖτες ; Εὔχεται ὑπὲρ ἡμῶν ὁ Δίκαιος. Καὶ λαβών τις τῶν κναφέων τὸ ξύλον ᾧ ἐπίεζε τὰ ἱμάτια, ἤνεγκε κατὰ τῆς κεφαλῆς τοῦ δικαίου. Καὶ οὕτως ἐμαρτύρησεν, ἔτει ἑβδόμῳ τῆς ἀρχῆς Νέρωνος · καὶ ἔθαψαν αὐτὸν ἐπὶ τῷ τόπῳ παρὰ τῷ ναῷ . καὶ ἔτι αὕτη ἡ στήλη μένει ἐκεῖ. » Μάρτυς οὗτος ἀληθὴς Ἰουδαίοις τε καὶ Ἕλλησι γεγένηται, ὅτι Ἰησοῦς ὁ Χριστός ἐστι. Καὶ εὐθὺς ἡ πολιόρκια τοῖς Ἰουδαίοις ἀρχὴν ἐλάμβανεν. Οὕτω δέ τις ἦν θαυμασιος ὁ Ἰάκωβος καὶ ἐπὶ δικαιοσύνῃ διαβόητος, ὡς καὶ τοὺς παρ' Ἰουδαίοις ἔμφρονας ταύτην ἀνομολογεῖν αἰτίαν τῆς πολιορκίας αὐτῶν, τὸ κατ' αὐτοῦ ἄγος · ὡς δὴ καὶ αὐτὸς Ἰώσηπος ἐγγράφως διαμαρτύρεται ὧδέ πη λέγων · « Ταῦτα δὲ συμβέβηκεν Ἰουδαίοις κατ' ἐκδίκησιν Ἰακώβου τοῦ δικαίου · ὃς ἦν ἀδελφὸς Ἰησοῦ τοῦ λεγομένου Χριστοῦ · ἐπειδήπερ δικαιότατον αὐτὸν ὄντα οἱ Ἰουδαῖοι ἀπέκτειναν. » Ναὶ μὴν καὶ ἐν τῷ εἰκοστῷ τῆς Ἀρχαιολογίας καὶ τὸν θάνατον αὐτοῦ διὰ τούτω δηλοῖ · « Πέμπει δὲ Καῖσαρ Ἀλβῖνον εἰς τὴν Ἰουδαίαν ἔπαρχον, Φήστου τὴν τελευτὴν πυθόμενος. Ὁ δὲ νεώτερος Ἄνανος, ὃν τὴν ἀρχιερωσύνην εἴπομεν παρειληφέναι, θρασὺς ἦν τὸν τρόπον, καὶ τολμητὴς διαφερόντως. Αἵρεσιν δὲ τὴν Σαδδουκαίων μετῄει, οἵπερ εἰσὶ περὶ τὰς κρίσεις ὠμοὶ παρὰ πάντας τοὺς Ἰουδαίους. Ἅτε δὴ οὖν τοιοῦτος ὢν Ἄνανος, νομίσας ἔχειν καιρὸν ἐπιτήδειον, διὰ τὸ τεθνάναι Φῆστον, Ἀλβῖνον δεῖτι κατὰ τὴν ὁδὸν ὑπάρχειν, καθίζει συνέδριον κριτῶν · καὶ παραγαγὼν εἰς αὐτὸ τὸν ἀδελφὸν Ἰησοῦ τοῦ Χριστοῦ λεγομένου, Ἰάκωβος ὄνομα αὐτῷ, καί τινας

habere. Persuade ergo multitudini, ne de Jesu erret. Cunctus enim populus et omnes nos tibi obtemperamus. Consiste igitur in templi pinnaculo, ut cum ex superiore loco omnibus sis conspicuus, tum verba tua ab omni exaudiantur multitudine. Propter festum enim Paschæ convenerunt tribus omnes una cum gentibus. Statuerunt igitur, qui dicti sunt Scribæ et Pharisæi, Jacobum in pinnaculum templi, et vociferati sunt dicentes : O Juste, tibi omnes obtemperare debemus : et quandoquidem populus fide sua de Jesu crucifixo seductus errat, annuntia nobis, quod si Jesu ostium. **198** Ille vero voce magna respondit : Quid me de Jesu Filio hominis interrogatis ? Ipse sedet in cœlis, ad dextram magnæ virtutis et potestatis, venturusque est in nubibus cœli. Ibi, cum multis de certa indubitataque fide satisfactum esset, gloriabantur læti de Jacobi testimonio, et dicebant, Osanna filio David. Scribæ autem ipsi et Pharisæi inter se dicebant : Male fecimus, qui tantum Jesu procuravimus testimonium. Verum age ascendamus, et dejiciamus eum, ut populus conterritus non credat ei. Et simul exclamarunt dicentes : O, o, et Justus ipse per errorem seductus est. Itaque pinnaculum ascendentes, Justum ipsum pessumdederunt, et alius ad illium dixit. Obruamus eum lapidibus : et inceperunt eum lapidare. Cum autem dejectus in præceps nondum mortuus esset, sed conversus genua posuisset, dicens : Obsecro te, Domine Deus Pater remitte ipsis, nesciunt enim quid faciunt : sic, inquam, cum lapides in eum obterere pergerent, unus ex sacerdotibus filiis Rechab, de quibus testificatus est propheta Jeremias, exclamans : Desistite, inquit, quid facitis ? Justus ipse pro vobis orat. Et fullonum quidam, ligno quo vestes complanabat arrepto, caput Justi comminuit : atque ille ita martyrio est defunctus (1), anno septimo imperii Neronis ; et sepultus est in loco quodam juxta templum, et columella ejus nomine inscripta adhuc ibi manet ». Verus is testis Judæis simul et Græcis fuit, Jesum esse Christum. Postea statim Judæorum oppugnatio, urbisque Hierosolymitanæ obsidio cœpit. Tum mirificus autem justitiaque clarus fuit Jacobus, ut etiam prudentiores apud Judæos viri in piaculum adversus eum perpetratum causam Judaici belli ex professo referant. Quemadmodum id ipse quoque Josephus scriptis suis testatur, alicubi ita dicens : « Judæis autem hæc acciderunt, propter Jacobum Justum, qui frater erat Jesu, qui dictus fuit Christus, ultione divina vindicandum : quandoquidem illum, cum justissimus esset, Judæi interemerunt. » Sed in vicesimo. *Antiquitatum* mortem etiam ejus hisce verbis exponit : « Cæsar Festi morte audita, Albinum in Judæam præfectum mittit. Ananus autem junior, quem pontificatum iniisse diximus, moribus confidens, et audax admodum, ex secta Sadducæorum erat,

(1) Quidam eædem Jacobi in tertium Neronis imperii annum referunt : secundum scilicet, postquam Paulus vinctus Romam est abductus.

100 qui in judiciis supra omnes alios Judæos sævi sunt et crudeles. Talis itaque cum esset Ananus, opportunum idoneumque tempus se, Festo defuncto, cum adhuc Albinus in itinere esset, nactum esse existimans, judicum consilium cogit : et fratre Jesu, qui dicebatur Christus, Jacobo ei nomen erat, quibusdamque aliis in judicium productis, et actione legum prævaricatarum instituta, ut lapidarentur effecit. Quicunque autem in urbe æquiores legumque peritiores videbantur esse graviter id tulere. Et ad imperatorem clam legatos misere oratum, ut ille ad Ananum, ne amplius talia faceret, scriberet : cum quippe nec antea recte fecisse asseverantes. Nonnulli etiam Albino obviam processere. Alexandria iter facienti, eumque docuere, non licuisse Anano, citra ejus sententiam et voluntatem, consilium judicii faciendi gratia cogere. Albinus porro verbis ejusmodi persuasus, ad Ananum animo commoto scripsit, pœnasque se ab eo sumpturum minatus est. Quin et Agrippa rex eam ab causam pontificatum ei, quem tres administraverat menses, ademisse, eumque Jesu Damnæi filio (1) dedisse videtur. » Et Jacobi quidem res sic se habuere. Hujus esse creditur prima inter catholicas Epistola, ad omnes ecclesias : ul ipsius quoque Judæ, magnifice cum libertate multa scripiæ : quamvis utriusque vetustiores mentionem nullam faciant.

A ἑτέρους, ὡς παρανομησάντων κατηγορίαν ποιησάμενος, παρέδωκε λευσθησομένους. Ὅσοι δ' ἐδόκουν ἐπιεικέστατοι τῶν κατὰ τὴν πόλιν εἶναι, καὶ τὰ περὶ τοὺς νόμους ἀκριβεῖς, βαρέως ἤνεγκαν ἐπὶ τούτῳ. Καὶ πέμπουσι πρὸς τὸν βασιλέα κρύφα, παρακαλοῦντες ἐπιστεῖλαι τῷ Ἀνάνῳ μηκέτι τοιαῦτα πράσσειν · μηδὲ γὰρ τὸ πρῶτον αὐτὸν ὀρθῶς πεποιηκέναι · Τινὲς δ' αὐτῶν καὶ τὸν Ἄλβῖνον ὑπαντιάζουσιν, ἀπὸ τῆς Ἀλεξανδρείας ὁδοιποροῦντα · καὶ διδάκουσιν, ὡς οὐκ ἐξὸν ἦν Ἀνάνῳ χωρὶς αὐτοῦ γνώμης καθίσαι συνέδριον. Ἄλβῖνος δὲ πεισθεὶς τοῖς λεγομένοις, γράφει μετ' ὀργῆς τῷ Ἀνάνῳ, λήψεσθαι παρ' αὐτοῦ δίκας ἀπειλῶν. Ἔοικεν οὖν καὶ ὁ βασιλεὺς Ἀγρίππας, διὰ τοῦτ' ἀφελύμενος αὐτοῦ τὴν ἱερωσύνην, ἄρξαντος μῆνας τρεῖς, καὶ Ἰησοῦ τῷ τοῦ Δαμναίου αὐτὴν παρασχεῖν. » Τοιαῦτα μὲν καὶ τὰ κατὰ τὸν Ἰάκωβον, οὗ ἡ πρώτη τῶν καθολικῶν εἶναι πιστεύεται ἐπιστολῶν, ὡς καὶ ἡ τοῦ Ἰούδα, πάσαις ἐκκλησίαις λαμπρῶς παῤῥησιαζόμεναι · κἂν καὶ τέως μή τινες τῶν λίαν ἀρχαίων μνείαν τούτων πεποίηνται.

B

CAPUT XXXIX.

De Andrea et Bartholomæo sacrosanctis apostolis, quomodo martyrio pro Christo sint cohonestati.

Post hunc et Andreas, coryphæi Petri frater, qui primum Dominum Joannis indicio cognovit, germanumque suum ad eumdum adduxit, rito vero, et ut decebat prorsus eum, qui vocatus fuerat primus, usque ad Christi in cœlum ascensionem, vestigiis ejus insistens, officio suo functus est. Et cœlitus in specie ignearum linguarum Spiritus sancti gratia accepta, sorte quoque ei provincia ea obtigit, ut ad gentes mitteretur : in Cappadociam scilicet, Galatiam et Bithyniam. Quibus ille peragratis, ad eam quoque accessit quæ Anthropophagorum dicitur, et ad Scytharum solitudines, ad utrumque Pontum Euxinum, **200** orasque septentrionales et australes, ad ipsum quoque Byzantis solum. Ubi ecclesiæ a se primum institutæ, primum episcopum divum Stachyn præfecit. Deinceps Thraciam, Macedoniam, Thessaliam, et Achaiam peragravit. In quibus provinciis omnibus, longo tempore sermonibus divinis, signisque et prodigiis mirificis Christum glorificans, tandem a proconsule Ægæato in crucem quoque est actus : illo ei crimine objecto, quod conjugem ejus Maximillam, fratremque Stratoclem, impietatem ejus detestari docuisset et ad Christi fidem adduxisset. Philippus autem et Bartholomæus Syriam et Asiam superiorem sortiti sunt. Atque in eorum locorum civitatibus omnibus, fidei fundamentis jactis, templa construxerunt, sacerdotes-

C

D

ΚΕΦΑΛ. Λθ'.

Περὶ Ἀνδρέου καὶ Βαρθολομαίου τῶν ἱερῶν ἀποστόλων · ὡς τῷ ὑπὲρ Χριστοῦ μαρτυρίῳ κατεποσμήθησαν.

Ἐπὶ δὴ τούτῳ καὶ Ἀνδρέας ὁ τοῦ κορυφαίου Πέτρου κασίγνητος, πρῶτον μὲν παρὰ Ἰωάννου τὸν Κύριον ἐπιγνοὺς, καὶ τὸν σύγγονον πρῶτος εἰς αὐτὸν ἑλκύσας, καλῶς τε καὶ ὡς χρεών γε ἦν τῷ πρωτοκλήτῳ, ἄχρι δὴ καὶ τῆς εἰς οὐρανὸν ἀνόδου Χριστῷ κατ' ἴχνος πολιτευσάμενος, καὶ τὴν ἄνωθεν ἐν εἴδει πυρίνων γλωσσῶν χάριν τοῦ Πνεύματος εἰσδεξάμενος, κλήρῳ καὶ οὗτος τὴν εἰς τὰ ἔθνη ἐστέλλετο. Καππαδοκία μὲν οὖν αὐτῷ καὶ Γαλατία καὶ ἡ τῶν Βιθυνῶν διελάγχανον. Ἐπῆλθέ γε μὴν καὶ τὴν, ἣ τῶνι Ἀνθρωποφάγων ὠνόμασται, ἥ τε Σκυθῶν ἐρημία, Εὔξεινός τε πόντος ἑκάτερος · τά τε πρὸς Βορρᾶν καὶ Νότον αὐτοῦ κλίματα, τό τε Βύζαντος πέδον · ἐφ' ᾧ καὶ πρῶτον ἐπίσκοπον τὸν θεῖον Στάχυν καταστήσας ἐν Ἐκκλησίᾳ ἣν ἐκεῖσε πρῶτος οὗτος ἐπήξατο · εἶτα διὰ Θράκης καὶ Μακεδονίας, Θεσσαλίας τε καὶ Ἀχαΐας ἐλθών · ἐφ' οἷς ὅπασι λόγοις θεοπρεπέσι καὶ σημείοις καὶ τέρασι τὸν Χριστὸν δοξάσας οὐκ ἐλαχίστοις ἐν χρόνοις, ὑπὸ τοῦ ἀνθυπάτου Αἰγαιάτου τῷ σταυρῷ καὶ οὗτος προσήλωται, ἔγκλημά οἱ ἀπαγαγόντος, ὅτιπερ τὴν γαμετὴν αὐτοῦ Μαξιμίλλαν, καὶ τὸν ἀδελφὸν Στρατοκλέα, Χριστῷ προσαγάγοι, τὴν ἐκείνου βδελυξαμένους δυσσέβειαν. Φιλίππῳ δὲ καὶ Βαρθολομαίῳ Συρία τε καὶ Ἀσία ἡ ἄνω κεκλήρωτο. Τὸν ἀῤῥαγῆ τοιγαροῦν τῆς πίστεως θεμέλιον ἐπὶ τὰς ἐκείνων πάσας πόλεις καταπήξαντες, ναούς τε ᾠκοδόμουν, καὶ ἱερέας προὐβάλλοντο. Ὁ γε μὴν Φίλιππος τὰς τῆς Ἀσίας διὼν

(1) Jesum hunc filium Gamalielis fuisse, dixit supra eodem cap. 4.

πόλεις, καὶ εἰς Ἱεράπολιν τῆς Φρυγίας ἔρχεται, ἐπίσημόν τε οὖσαν, πλούτῳ πολλῷ βρίθουσαν, καὶ οὐκ ἀμοιροῦσαν ὀνόματος· τόσον γε μὴν εἰδώλοις προστετηκυῖαν, ὡς καὶ ἔχιδναν θηρίον ἰοβόλον τε καὶ ἀκάθαρτον θαλαμεύειν, ἐντίμῳ τε θεραπείᾳ τιμᾶν οἷα θεῷ, καί τισι θυσίαις ἐκτρέφειν, καὶ ὑπερφυῶς προσανέχειν αὐτῇ. Ἀλλὰ τοῦ Ἀποστόλου τῷ τόπῳ ἐπιδημήσαντος, συνείπετο δὲ οἱ καὶ ἡ σύγγονος αὐτῷ Μαριάμνη, παρθενίαν ἐπαντρηρεμένη τὴν διὰ βίου, εὐθὺς τό τε κατείδωλον τῆς χώρας ἐσβέννυτο, καὶ τὸ θράσος τῶν ἐποίκων δαιμόνων ἀσθενὲς ἦν. Ἥ γε μὴν εἰρημένη Θεὸς ἔχιδνα οἴκοθεν ἀνέρρηγνυτο, καὶ ὡς ἀπὸ πυρὸς φλέγοντος ἐξηλαύνετο, αἰσχύνῃ τε οἱ ταύτῃ δὴ προσανέχοντες ἐκαλύπτοντο. Θαυμάτων γὰρ καὶ τεραστίων ὅτι πλείστων ἐπιῤῥεόντων διά τε Φιλίππου καὶ Μαριάμνης, στάσις τῷ πλήθει ἀνερρίπιζετο· οἱ μὲν γὰρ τῷ Βαρθολομαίου καὶ Φιλίππου Θεῷ προσετίθεντο· ἦν γὰρ καὶ Βαρθολομαῖος ἐξ ὑπογύου εἰς συνεργίαν Φιλίππῳ παρὰ τοῦ Κυρίου ἀκοσταλείς· οἱ δὲ καὶ ἔτι τῇ δαιμονιώδει προλήψει προστετηκότες ἦσαν. Οἳ καὶ ἐπισύστασιν ποιησάμενοι, εἰσπεσόντες ἀθρόον, Φίλιππον μὲν ἐκεῖθέν ποθεν διαπράσαντες, καθάπερ τι σφάγιον ἐπί τινος κίονος κατὰ κεφαλῆς ἀπηώρουν· Βαρθολομαῖον δὲ ὀρθιον ἐπὶ ξύλου κατὰ σχῆμα σταυροῦ ἀναρτῶσιν. Οὕτω δ' ἔχοντες σχήματος, τρέπονται μὲν εἰς εὐχήν· ὑπενόστει δὲ ὁ χῶρος εὐθὺς εἰς βάθος μέγιστον συνιζάνων· συγκατεσπῶντο δὲ οἱ λαοί. Ἐν χρῷ δὲ κινδύνου καὶ ἡ πόλις πᾶσα καθίστατο. Αἰσθόμενοι δὲ οἱ περιλειφθέντες ὡς ἔκτισις ἀπωλείας τῆς εἰς τοὺς μύστας Χριστοῦ παροινίας ταῦτά ἐστιν, ἐξάπινα πάντες τὴν κατὰ Χριστὸν ἠσπάζοντο πίστιν· καὶ ὁ μὲν Βαρθολομαῖος τῶν δεσμῶν ἀπελύετο· ὃς τὸν γενναῖον Φίλιππον ὁσίως τηνικαῦτα τῷ μαρτυρίῳ τελειωθέντα τῇ γῇ καταθέμενος, καὶ τὴν πόλιν πᾶσαν φωτίσας καὶ Χριστῷ παραθέμενος, μετὰ χρόνους εἰς ὕστερον καὶ αὐτὸς, ἐν Οὐρβανοπόλει τῆς Κιλίκων ἐπαρχίας σταυρῷ πάλιν ἀνατιθεὶς, πρὸς τὸν μόνον ποθούμενον ἀνατρέχει Χριστόν.

A que et episcopos eis præfecerunt. Philippus etiam Asiæ urbibus peragratis, Hierapolim Phrygiæ pervenit, civitatem opulentam atque celebrem, nominique ipsam suo respondentem. Adeo autem idolis addicta erat, ut etiam viperam, impuram venenosamque feram, sacrario inclusam, tanquam Deum magnifico præciquoque cultu veneraretur, sacrificiisque quibusdam foveret, et tota illi mirifice addicta esset. Sedenim cum eo apostolus pervenisset, una cum sorore sua Mariamne, quæ eum, cum dudum vitam per virginitatem sibi exigendam statuisset, comitabatur : statim idolorum cultus in ea regione exstinctus, et insolentia incolentium ibi dæmonum est labefacta. Siquidem vipera illa Deus appellata, ex domicilio suo erupit, et quasi ab ardente igne profugit. Illicet, qui illum B tanto studio coluerant, pudore affecti sese occultant. Cæterum cum quamplurima a Philippo et Mariamne miracula ederentur, seditio in multitudine exoritur. Partim enim Bartholomæi et Philippi Deo adhærebant (ex propinquo enim Bartholomæus Philippo a Domino auxilio missus fuerat), partim vero dæmoniacæ, per anticipationem conceptæ præsumptioni intenti permanebant : qui etiam conjuratione et coitione facta, eum impetu prorsus in apostolos irruunt, eisque arreptis, Philippum quidem tanquam victimam quamdam in columna capite suspendunt, Bartholomæum autem directum in lignum sub crucis forma agunt **201** Atque illi talibus affecti suppliciis, ad preces convertuntur. Cedebat autem statim locus, in C multam altitudinem subsidens, simulque multitudo demergebatur, atque ita in summum tota urbs decidit periculum. Ibi, qui reliqui erant, sentientes perniciem et cladem, eam vindictam esse ejus. quæ in sacros Christi ministros contumeliose patrata fuerat injuria, confestim omnes fidem Christi suscipiunt : et Bartholomæus ab eis vinculis solvitur, qui Philippo sancte fortiterque tum martyrio illustrata, Christoque dicata, aliquanto post tempore Urbonopoli provinciæ Ciliciæ in crucem rursus actus, ad, unice desideratum Christum migravit.

defuncto, sepulturæ honore præstio, et urbe tota Urbonopoli provinciæ Ciliciæ in crucem migravit.

ΚΕΦΑΛ. Μ'.

Περὶ Θωμᾶ, Ἰακώβου τοῦ Ἀλφαίου, Σιμωνός τε τοῦ Ζηλωτοῦ, Ἰούδα τοῦ καὶ Λεβαίου, καὶ Ματθίου, τοῦ ἀντὶ τοῦ προδότου κατα- D λεγέντος.

Θωμᾶ δὲ τοῦ καὶ Διδύμου πῶς ἂν παραδράμοιμεν τοὺς περιμανεῖς διὰ Χριστὸν ἔρωτας; ὃς δὴ καὶ τὸν ἐπ' Αἰθίοπας καὶ Ἰνδοὺς κλῆρον λαχὼν, πρὸς τὴν πορείαν ἀποκναίων ἦν καὶ ἀναδυόμενος· τὸ μέλαν καὶ δύσμορφον τῆς ὄψεως, πρὸς δὲ καὶ τὸ τοῦ νοῦ ζοφῶδες καὶ δύσκολον ἐκτρεπόμενος, τὴν πρὸς αὐτοὺς ἄφιξιν ἀνεβάλετο. Ἐμφανῶς δ' ὁ καλλεῖ ὡρᾳῖος αὐτῷ παραστὰς, ἀνηρέθιζε τῆς διακονίας ἀντιποιεῖσθαι· καί γε τἀσφαλὲς πρυτανεύων ἦν· συνεῖναί τε αὐτῷ διὰ βίου καὶ τοῦ ἆθλου συναίρεσθαι· ἀμέλει τι καί τινι τῶν Αἰθιόπων, οἷς ἐμπορικὸς καὶ ἤπτων κέρδους ὁ βίος, τοῦτ' διαπιποάσκει. Καὶ οὕτω δὴ

CAPUT XL.

De Thoma, Jacobo Alphæi, Simone Zelote, Juda, qui et Lebbæus est dictus ; et de Matthia qui in locum proditoris est subrogatus.

Quomodo autem Thomæ, qui et Didymus dictus est, vehementissimum in Christum amorem præ tereamus? qui Æthiopes et Indos sortitus a profectione ea abhorens, sese subducebat : nigrosque et deformes earum gentium vultus, prætereaque caliginosas atque intractabiles earum mentes aversans, iter ab eos suum differebat. Aperte igitur et clare ei, is qui forma speciosus est, assistit, eumque ad ministerium suum capessendum cohortatur. Et ut certum securumque redderet, cum eo se per vitam omnem futurum, auxiliumque in certaminibus laturum pollicetur. Quin etiam cuidam

ex Æthiopibus, quibus ex mercatura lucris inserviens est vita, ut vendatur effecit, atque ita ei aditum ad Æthiopes facit. Inde in notitiam Smindæi, regionis ejus principis, regnum illi cœlorum studiosissime parans, pervenit, et miraculis prodigiisque maximis Parthos, Medos, Indos, ipsosque Æthiopes in admirationem adducit. Adhæc, quicunque in extrema Orientis ora, et ad ultimum Oceanum colunt : insulam quoque quam Taprobanem vocant, gentemque Brachmanum prædicatione verbi illustrat. Templisque ubique maximis, aliisque pro eo atque decebat rebus omnibus sancte ordinatis, postremo lanceis latus confossus, ad eum cujus ipse pertrectaverat latus, pervenit. **202** Porro Jacobus etiam Alphæi filius, et ipse ex duodecim illis unus, juxta ejus qui eum regebat Spiritus sancti voluntatem et ductum, ab apostolorum corpore sejunctus, Gazæ primum, deinde Eleutheropoli, et in vicinis ibi eorumdem populorum civitatibus versans, maxima quæque miracula edit : et cœlestibus Spiritus sancti sermonibus ab eo pacata quadam et inermi vi ad gentes delatis, testimonium regni Christi maxima incrementa capit. Posthæc ad Ægyptios extremamque eorum regionem perveniens, et Christum Servatorem et Deum esse annuntians, ad urbem tandem cri Ostracinæ nomen est, adit. Atque ibi cum satis longo tempore vixisset, periculisque et certaminibus plurimis conflictatus esset, tandem ad confirmandam eorum quos docuerat salutem, cruci ipse quoque a quibusdam, qui verbo fidei adversabantur, affigitur, ut et in ipso non ita multum imitatio mortis Magistri sui abesset. Operæ pretium etiam fuerit, Simonem Cana Galilææ ortum, qui propter flagrantem in Magistrum suum ardorem, summamque evangelicæ rei per omnia curam, Zelotes cognominatus est, hic referre. Accepto enim is cœlitus adveniente sancto Spiritu Ægyptum, Cyrenem, et Africam, deinde Mauritaniam, et Libyam omnem, Evangelium deprædicans percurrit : eamdemque doctrinam etiam ad occidentalem oceanum, insulasque Britannicas perfert. Permultis vero signorum et prodigiorum miraculis, divinaque doctrina Christum, ita ut debuit, celebrando, innumerabilibusque insuper ærumnis et afflictionibus obviam eundo, postremo et ipse incredibili quadam lætitia mortem per crucem subiens, ad Magistrum suum transiit. Non minus et divus Judas, non Iscariotes ille, sed alter, cui duplex cognomen fuit, Thaddæi scilicet et Lebbæi, filius quidem Josephi, frater autem Jacobi, qui e pinnaculo templi dejectus fuerat, Judæam primum et Galilæam, Samariam et Idumæam, deinde Arabiæ civitates, necnon Syriæ et Mesopotamiæ regiones, sagena Evangelii cepit. Postremo Edessam pervenit, Abgari civitatem, ubi antea alter quoque Thaddæus ex septuaginta illis unus Christum docuerat. **203** Atque cum ibi, si quid adhuc ex alterius illius ministerio de-

A τὴν ἐπ' Αἰθίοπας εἴσοδον ἐποιεῖτο. Ἐντεῦθεν Σμινδαίῳ τῷ τῆς χώρας ἄρχοντι καθίσταται γνώριμος, λεπτουργῶν ἐκείνῳ ἐν οὐρανοῖς τὰ βασίλεια. Θαύμασι δὲ καὶ τεράτων ἐξαισίοις ἔργοις Πάρθους, Μήδους τε καὶ Ἰνδοὺς, πρὸς δὲ καὶ Αἰθίοπας καταπλήξας · ἐπὶ δὴ τούτοις ὅσοι τε τὰ ἄκρα τῆς ἑῴας γῆς ἔλαχον κατοικεῖν, καὶ τὰ ἔσχατα τοῦ Ὠκεανοῦ μέρη · νῆσόν τε ἣν Ταπροβάνην καλοῦσι, καὶ τὸ τῶν Βραχμάνων ἔθνος αὐτῷ εἵπετο θέμενος τοῦ κηρύγματος · νεώς τε μεγίστους ἁπανταχοῦ, καὶ τἄλλα ὅσα δὴ προσῆκε καταστησάμενος ἱερῶς, ἐν ὑστέρῳ λόγχαις διατρηθεὶς τὴν πλευρὰν, πρὸς τὸν οὗ τὴν πλευρὰν ἐψηλάφησε, μετεχώρησε. Καὶ μὴν καὶ ὁ τοῦ Ἁλφαίου Ἰάκωβος, εἷς δὲ καὶ οὗτος τῶν δώδεκα, κατὰ τὴν τοῦ ἄγοντος αὐτὸν βουλήν τε καὶ ἡγεσίαν τοῦ

B ζωοποιοῦ Πνεύματος, μακρὰν τῷ σώματι τῶν ἀποστόλων γενόμενος, ἐν Γάζῃ μὲν πρῶτα, εἶτα ἐν Ἐλευθεροῦπόλει, καὶ ταῖς ἐκεῖσε περιοίκοις τῶν ὁμοφύλων πόλεσι διατρίψας, τεράστια ἄττα μέγιστα διεπράξατο. Ῥήμασι δὲ Πνεύματος ἁγίου ὑπερφοίτοις πρὸς τοὺς ἐξ ἐθνῶν ἐπεισφέρων ἰσχύϊ ἀμάχῳ, τὸ μαρτύριον τῆς Χριστοῦ βασιλείας ἄριστα ἐπεδίδου. Ἐντεῦθεν τῇ Αἰγυπτῳ προσβαλὼν, καὶ ταῖς ἐσχατιαῖς αὐτῆς, τὸν Χριστὸν Ἰησοῦν Σωτῆρα καὶ Θεὸν εὐαγγελισάμενος, τὸ τελευταῖον ἐπὶ τῇ Ὀστρακίνῃ λεγομένῃ πόλει γενόμενος, πολλῷ τῷ χρόνῳ τὰς διατριβὰς ἐκεῖσε πεποιηκώς · κινδύνοις τε ἅμα καὶ

C ἆθλοις ὡς πλείστοις ἐνηθληκὼς, ὕστερον εἰς βεβαίωσιν τῶν μαθητευθέντων αὐτῷ σωτηρίας, σταυρῷ καὶ οὗτος πρός τινων ἀνθισταμένων τῷ λόγῳ τῆς πίστεως προσηλοῦται, ἵνα κἂν τούτῳ μὴ πόρρω εἴη τῆς τοῦ Διδασκάλου μιμήσεως. Ἄξιον δὲ καὶ τὸν ἀπὸ Κανᾶ τῆς Γαλιλαίας Σίμωνα, ὃς Ζηλωτὴς διὰ τὸν πρὸς τὸν Διδάσκαλον διάπυρον ζῆλον, καὶ τὴν ἐπὶ πᾶσι τῆς εὐαγγελικῆς πολιτείας ἀκριβειαν οὕτως ὠνόμαστο, τοῖς παροῦσιν ἐντάξαι. Μετὰ γὰρ τὴν ἐπιπτᾶσαν αὐτῷ τοῦ παναγίου Πνεύματος ἐπιφοίτησιν, Αἰγύπτῳ Κυρήνῃ τε καὶ τῇ Ἀφρικῇ προσβαλὼν, Μαυριτανίαν τε καὶ ὅσον τῆς Λιβύης ἐστὶ, τῷ

D Εὐαγγελίῳ διαδραμὼν, καὶ πρὸς ἑσπέριον ὠκεανὸν εἰσβαλὼν, καὶ τὰς Βρεττανικὰς νήσους εὐαγγελισάμενος · πολλοῖς δὲ σημείοις καὶ θαυμάτων ἐπιδείξεσι, θεολογίᾳ τε καὶ διδασκαλίᾳ Χριστὸν ὡς χρεὼν ἀνυμνήσας · ἀπείροις δὲ τῶν θλίψεων ἐξετασθείς, τέλος καὶ οὗτος, τὸν διὰ σταυροῦ θάνατον ἀληπτῳ τινὶ χαρᾷ εἰσδεξάμενος, πρὸς τὸν αὐτοῦ Διδάσκαλον μετεχώρησεν. Ὡσαύτως καὶ Ἰούδας ὁ Θεῖος · οὐχ ὁ Ἰσκαριώτης, ἀλλ' ᾧ ἡ κλῆσις διώνυμος · Θαδδαῖος γὰρ καὶ Λεβαῖος ἐκέκλητο · οὗ πατὴρ μὲν ὁ Ἰωσὴφ, Ἰάκωβος δὲ ὁ κατὰ τοῦ πτερυγίου βληθεὶς κασίγνητος ἐτύγχανεν ὤν, ἐν Ἰουδαίᾳ πρῶτον καὶ Γαλιλαίᾳ, Σαμαρείᾳ τε καὶ Ἰδουμαίᾳ · τῆς Ἀραβείας τε τὰς πόλεις, πρὸς δὴ τούτοις Συρίας καὶ Μεσοποταμίας πᾶσαν τὴν γῆν, τῇ σαγήνῃ τοῦ Εὐαγγελίου ζωγρήσας · Ἐδέσσῃ τε, ἣ Αὐγάρου πόλις ἦν, ὕστερον ἐπιστὰς, ὅπου δὴ πρότερον καὶ ὁ ἕτερος Θαδδαῖος, ὃς τῶν ἑβδομήκοντα ἦν εἷς, τὰ κατὰ Χριστὸν προσεσάλπισε · καὶ τὸ ἐνδέον ἐκείνῳ κάλλιστα ἐκπληρώσας, λόγῳ τε θείῳ, καὶ ἐξαισίοις ἔργοις δοξάσας Χριστὸν,

εἰρηνικῷ τέλει πρὸς αὐτὸν διαβαίνει. Ὁ δ' αὖ γε Ματθίας, ὁ τὸ ἔλλειμμα τῆς δωδεκάδος ἐφαρμοσάμενος, οὗτος δὲ τῇ πρώτῃ Αἰθιοπίᾳ προσβαλὼν, καὶ τῇ θηριωδίᾳ καὶ ἀπεχθείᾳ τῶν ἀλογίστων ἐκείνων ἐθνῶν πλεῖστα πεπονηκὼς, ὅσα τ' ἐχρῆν λόγοις καὶ ἔργοις τῷ θείῳ Εὐαγγελίῳ ἐπιδειξάμενος, καὶ τῷ Χριστῷ τὰ πλήθη ὑπαγαγὼν, τῷ λογισμῷ κραταιούμενος, τὸν τοῦ μαρτυρίου στέφανον ἀνεδήσατο.

annuntiando præstitisset, et Christo magnam intrepido et forti martyrii coronam suscepit (1).

ΚΕΦΑΛ. ΜΑ'.

Περὶ τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ματθαίου.

Ἐκ δὲ τελωνίου Ματθαῖος παρείληπται· πυρινῃ δὲ γλώσσῃ οὐκ ἔλαττον τοῖς πρώτοις τῶν ἀποστόλων κληρωσάμενος γέρας τὴν κατ' αὐτὸν ἱστορίαν τῶν ἱερῶν Εὐαγγελίων πρῶτος Ἑβραίοις κατάρχεται. Πολλαῖς τοιγαροῦν καὶ οὗτος ὁ θεῖος ἀπόστολος περιόδοις τὸν Χριστὸν εὐαγγελισάμενος, χώραν τε ἐκ χώρας ἀμείβων, καὶ ἔθνος ἐξ ἔθνους, ἔσχατον ὑπὸ τοῦ ἄγοντος αὐτὸν Πνεύματος καὶ ἐπὶ τὴν τῶν Ἀνθρωποφάγων χώραν ἀπάγεται, ἔν τινι πόλει Μυρμήνῃ ἣν αὐτῷ ὄνομα· ἐφ' ᾗ δὴ καὶ Πλάτωνα τὸν αὐτοῦ φοιτητὴν ἐπίσκοπον ἀνειπὼν, αὐτὸς ἐπ τινι τῶν ἀγχιθύρων τῇ πόλει ἀνιὼν ὀρέων, τὴν τοῦ ἔθνους σωτηρίαν ἀποκαλυφθῆναι προσηύχετο. Οὕτω δ' ἔχοντι τῷ ἀποστόλῳ, ὁ Κύριος Ἰησοῦς ὡραίᾳ τὴν ὄψιν παιδὶ ἀφομοιωθεὶς, καὶ πλησίον στὰς, εἰρήνην τε αὐτῷ ἐπιφθέγγεται· ἔπειτα ῥάβδον ἐγχειρίσας, Ταύτην, ἔφη, κατιὼν ἐν τῇ πόλει πρὸς τῇ πύλῃ τῆς ἐκκλησίας, ἣν σὺ καὶ Ἀνδρέας ᾠκοδομήσατε, καταφύτευσον, καὶ εἰς δένδρον μέγα καὶ ὑψηλὸν εὐθὺς ἐπιδώσει. Ὅ γε μὴν καρπὸς αὐτῷ πολὺς ἔσται σφόδρα, παραλλάττων τε τοὺς πολλοὺς τῷ μεγέθει, κἀν τῇ γεύσει διαφέρων ὡς πλεῖστον· πηγὴ δὲ ἀφθόνου καὶ διειδοῦς ὕδατος, ἐκ τῆς αὐτοῦ ῥίζης κελαρύζουσα προσελεύσεται· ἐν ᾧ τῶν Ἀνθρωποφάγων ὅσοις λούσασθαι γένοιτο, ἥ τε ὄψις πρὸς τὸ εὐπρεπὲς μεταῤῥυθμισθείη, αἵ τε καρδίαι τὸ ἄγριον ἀποθέμεναι, πρὸς τὸ εἰρηναῖον μεταχωρήσουσι, καὶ τὴν ἐπὶ τὸ βέλτιον ἀλλοίωσιν ἕξουσι. Καὶ δὴ κατιόντι, ὁ τῆς πόλεως ἐκείνης βασιλεὺς προσυπήντα, σύναμα γυναικὶ καὶ τέκνῳ. Φουλβιανὸς δὲ καὶ Φουλβιάνα καὶ Φουλβιανὸς ἦσαν αὐτοῖς τὰ ὀνόματα, πνεύμασι πονηροῖς ἐξεταζόμενοι· οἷς τὰς χεῖρας εὐθὺς ἐπιθεὶς, ἐξήλαυνε τὸ λυποῦν. Ἐπήγνυ δὲ καὶ τὴν ῥάβδον, καὶ εἰς δένδρον εὐθὺς μετεσκεύαστο. Καὶ ἡ πηγὴ ῥιζόθεν τὸ ὕδωρ προήει, πότιμον καὶ διειδὲς ἀναβλύζουσα. Ἐπεὶ δὲ τὸ πλῆθος συνέῤῥει, τὸ παράδοξον ἐκπληττόμενοι, ἐκεῖνος ἐπὶ μετεώρου ἑστὼς, τῇ πατρίῳ ἐκείνων γλώττῃ τὸ σωτήριον κατήγγελλε κήρυγμα. Καὶ εὐθὺς ὅλῃ ψυχῇ τῷ ἐκεῖθεν ῥέοντι ὕδατι ἐβαπτίζοντο. Καί γε τοῦ καρποῦ τοῦ δένδρου μεταλαμβάνοντες, τὴν καλλίστην ὄντως ἀλλοίωσιν ἠλλοιοῦντο. Φουλβιανῷ δὲ μετέμελεν εὐθύς· καὶ τὸ πλῆθος μεταῤῥέον τῷ ἀποστόλῳ ὁρῶν, ζήλῳ περικαιόμενος ἤχθετο· καὶ στρα-

A esset, pulcherrime explevisset, Christumque simul et divinis concionibus et operibus admirandis glorificasset, morte pacifica et quieta ad illum commigravit. Matthias porro, qui jacturam duodenarii apostolorum numeri sarserat, primam Æthiopiam adiit : atque ibi a feris, infestis, immanibusque gentibus multa pertulit. Cum vero, quæ oportuit, et verbis et factis divino Evangelio huminum multitudinem accumulasset, animo

CAPUT XLI.

De sancto apostolo et evangelista Matthæo.

B Matthæus, autem, ex publicanis assumptus, ignea lingua non minorem quam primarii apostoli gratiam consecutus, sacrorum Evangeliorum historiam primus Hebræis scripsit. Is quoque sanctus apostolus, profectionibus multis, ex alia regione atque gente in aliam subinde migrans, Evangelio prædicando perfectis, ad postremum Spiritus sancti ductu ad Anthropophagorum terram, in civitatem cui nomen est Myrmenæ, pervenit: in qua Platone, sectatore suo, episcopo declarato, ipse in quemdam civitati proximum collem conscendens, ut sibi gentis ejus salus revelaretur, orat. Hoc ita agenti apostolo, Dominus Jesu formosi pueri specie assistens, cum pacem illi precatur, tum virgam in manus ei dat. Eam, cum descendisset, C in urbe ad ecclesiæ, quam ipse et Andreas construxisset, portam plantare jubet, in arborem magnam et excelsam illico evasuram. fructumque plurimum magnitudine simul et sapore aliis longe superiorem laturum : fontem præterea copiosum et pellucidum, cum leni susurro, ex radice ejus erupturum esse pollicitus : in quo quicunque Anthropophagi lavissent, eorum simul et vultus ad formam decentiorem compositum et corda agresti feritate posita, ad placabilitatem et lenitatum conversum, prorsusque eos in melius mutatum iri. Descendenti igitur, civitatis ejus principe una cum conjuge et filio **204** (Fulvianorum patri et filio, Fulvianæ autem matri nomina erant) obvius fit. Malignis autem illi excruciabantur spi- D ritibus. Quibus cum manus statim imposuisset, dæmones illi turbatores profugerunt. Pangit vero et virgam illam, et confestim ea in arborem excrescit : simulque a radice undam, cum aspectu amœnam, tum potioni commodam, scatentem profert. Hoc tam insigni miraculo multitudo consternata, cum eo confluueret: ille e superiore loco, patria ejus gentis lingua, salutiferum eis annuntiat Evangelium. Et statim ex intimo animi affectu, in eo ipso fonte, sacro lavantur baptismo : fructusque itidem arboris illius gustato, omnium pulcherrima illa mutatione perfruuntur. Fulvianus vero statim pœnitentia ductus, et quod multitudinem ad apostolum confluere videret, æmulatione sinistra

(1) Lapidibus pene obrutus, ad postremum securi percussus.

accensus, graviter id ferre, manumque militarem ad eum comprehendendum mittere. Quæ cum re infecta rediret, ipsemet quamplurimis secum ductis, contra apostolum it; atque inter eundum plaga invisibili ictus, visum amittit. Ibi multis precibus apostolo exorato, oculorum quidem vim pristinam recipit, cor autem ejus induratum cœcumque permanet. Nulla enim interposita mora, apostolum clavis longis terræ affigi jubet, picique et bitumini ministri ejus multa superaccumulantes sarmenta, materiamque aliam facile ignem corripientem injicientes, ab inferiore parte eam accendunt. Verum ea res præter spem et exspectationem in roris evadit refrigerium. Quod ubi multitudo vidit, Matthæi Deo aggregatur. Princeps autem ediverso præstigias esse, quæ apostolo accidebant, credens, et ira exardescens, quos ex argento et auro habebat factitios deos (duodecim autem erant) efferri jubet; eisque circum Matthæi pyram dispositis, ut videlicet eorum ope ignis officium suum faceret, incendere illam præcipit. Ita sarmenta quidem flammam corripiunt, incendium autem adversus deos convertitur, eosque comminuit diffluentes. Unde simulacrum tanquam serpentis ardentis prosilit: et a tergo principis prorepens cum ingenti sibilo eum persequitur, ita ut non facile illi esset in regiam suam confugere. Quapropter desperatis rebus omnibus, ille denuo ad apostolum convertitur, eumque ut ab impetu consequentis eum serpentis liberetur, obsecrat. Apostolus autem, quod hora jam instaret qua ad desideratum sibi Christum transiret, rebus omnibus postpositis, ignem increpat: **205** atque is repente exstinguitur, et serpens ille evanescit. Principi autem extremis, quæ oportuit, mandatis expositis, omnibusque precatione confirmatis, in pace emittit spiritum, et ad Christum transit. Cujus quidem sacrum corpus in aureo respositum lecto, splendidisque involutum vestibus, palatio Fulvianus infert. Idque arcæ ferreæ, plumbo insuper probe communitæ inclusum, demittere in mare jubet, hoc sic cogitans: Si is, qui illud ab igne conservatum tutatus esset, ab undis quoque ut in ferrea urna positum supernataret, vindicaret, se diis suis omnibus repudiatis, uni quem ille prædicasset Deo, per pietatis cultum, serviturum. Cum ergo ita in mare projiceretur, statimque divina id cœlitus gubernante manu in littore rursum exponeretur: populus universus urbe effusus, Platone episcopo præeunte, hymnis laudibusque a Matthæo prædicatum concelebrat Deum. Fulvianus vero, rebus omnibus posthabitis sacrum suscipit baptismum, et Matthæi sibi nomen arrogat, occulto quodam arcanoque apostoli ductu. Simulque, qui ejus imperio subditi erant, omnes patriam superstitionem rejicientes, divinum complectuntur lavacrum. Deinde post annos tres episcopus quoque Plato ad sempiterna conscendit tabernacula. Porro Fulvianus adhuc vivente epi-

A τιὰν πέμπων, συλλαβεῖν ἐπειρᾶτο. Ὡς δὲ ἀδυνάτως εἶχον, αὐτὸς ὅτι πλείστους περιβαλλόμενος, ἄπεισι· καὶ ἀοράτῳ μάστιγι τὰς ὄψεις πεπήρωτο. Πολλὰ δὲ τοῦ ἀποστόλου καταδεηθεὶς, ἰᾶτο μὲν τὰς ὄψεις· τὴν δὲ καρδίαν ἔτι πηρὸς ἦν. Καὶ μικρὸν ὅσον καθηλοῖ μὲν τὸν ἀπόστολον ἥλοις μακροῖς κατὰ γῆν· πίσσῃ δὲ καὶ ἀσφάλτῳ καὶ πολλὴν ἐπιφορήσαντες κληματίδα, καὶ ὕλην ἄλλην πυρὶ φίλην ἐκιδαλόντες, πῦρ κάτωθεν ὑπανῆπτον. Τὸ δὲ παρὰ δόξαν εἰς δρόσον μετεσκευάζετο. Ταῦτ' ἰδόντες τὸ πλῆθος, τῷ Ματθαίου Θεῷ προσετίθεντο. Ὁ δ' αὖ γε κρπῶν, γοητείαν εἶναι τὰ τῷ ἀποστόλῳ τελούμενα οἰηθείς, καὶ τῷ θυμῷ περιοργὴς γεγονὼς, τοὺς ἐξ ἀργύρου καὶ χρυσοῦ πεποιημένους αὐτῷ θεοὺς, δώδεκα δ' ἦσαν, ἐξενεγκεῖν ἐκέλευε, περικύκλῳ τε τῆς κπὶ
B τοῦ Ματθαίου πυρκαϊᾶς στήσαντας, τὴν ὕλην ἀνάπτειν, ὡς ἄν γε τῇ αὐτῶν ἀρωγῇ τὰ οἰκεῖα δράσῃ τὸ πῦρ. Τούτων δὲ γενομένων, ἀνῆπτον τὴν ὕλην. Τὸ δὲ πῦρ κατὰ τῶν θεῶν μᾶλλον ἐχώρει, καὶ τούτους ἐλέπτυνε ῥέοντας. Ὁμοίωμα δ' ἐκεῖθεν ὡς κπιομένου ἐξέθορε δράκοντος, καὶ τοῦ βασιλέως κατόπισθεν εἵρπε, καὶ συρίττων μέγα ἐδίωκεν· ὡς μηδ' ἐκ τοῦ ῥᾴστου ἐκείνῳ ἐνεῖναι τῶν βασιλείων εἴσω χωρεῖν. Ἀπειπὼν οὖν, ἐπὶ τὸν ἀπόστολον αὖθις ἐγίνετο, καὶ τῆς ὁρμῆς τοῦ καθέρποντος ἠντιβόλει ῥυσθῆναι. Ὁ δ' ἀπόστολος τῆς ὥρας ἤδη ἐνστάσης πρὸς τὸν ποθούμενον διαβαίνειν Χριστὸν, πάντων ἔξω γενόμενος, ἐπετίμα μὲν τῷ πυρὶ, καὶ αὐτὰς ἐσβέννυτο· καὶ ὁ δράκων εὐθὺς ἀφανὴς ἦν. Ὑπερπῶν δὲ τῷ ἄρχοντι ὅσα ἐχρῆν, καὶ πάντας εὐχαῖς στηρίξας, ἐν εἰρήνῃ ἀφίει τὸ πνεῦμα, καὶ διέβαινε
C πρὸς Χριστόν. Τό γε μὴν ἱερὸν τοῦ ἀποστόλου σκῆνος ἐπὶ κλίνης χρυσέας ἐν διαφανέσιν ἐσθήμασιν ὁ Φουλβιανὸς ἐπιθεὶς εἰσάγει πρὸς τὰ ἀνάκτορα. Γλωσσοκόμῳ δὲ σιδήρου πεποιημένῳ καὶ μολιβδῳ ἀσφαλισάμενος, κατὰ θαλάσσης ἀφεῖναι προστάσσει, τοῦτ' ἐν νῷ θέμενος, ὡς Εἰ ὁ τοῦ πυρὸς ἐκεῖνο διέξας ὑπέρτερον, εἴγε δὴ καὶ τοῦ ὕδατος διανήξασθαι ὑπὸ σιδηρέᾳ τῇ λάρνακι κατισχύσειε, τῷ ἐκείνου μόνῳ λατρεύσω Θεῷ, παρὰ φαῦλον τοὺς ἐμοὺς θέμενος. Ἐπεὶ δ' οὕτως ἐχων ἐρρίπτετο, καὶ μετὰ βραχὺ τῆς ἄνωθεν διακυβερνώσης χειρὸς. τῇ χέρσῳ αὖθις ἐπανεσώζετο, ἡ πόλις πᾶσα χυθεῖσα τοῦ ἅστεως τοῦ ἐπισκόπου Πλάτωνος ἡγουμένου, τὸν ὑπὸ Μπ
D θαίου κηρυττόμενον ἀνύμνουν Θεόν. Ἀπειπὼν δὲ τοῖς ὅλοις καὶ Φουλβιανὸς, τὸ θεῖον εἰσδέχεται βάπτισμα· καὶ τὴν, Ματθαῖος, διαμείβεται κλῆσιν ἐν ἀπορρήτῳ τοῦ ἀποστόλου μυσταγωγίᾳ· καὶ αὐτίκα πάντες οἱ ὑπὸ χεῖρα τὴν πατρῴαν δεισιδαιμονίαν ἀπορραπίζοντες, τὸ θεῖον λουτρὸν κατησπάζοντο. Τρίτος ἐξήκει μετὰ τοῦτο ἐνιαυτὸς, καὶ Πλάτων μὲν ὁ ἐπίσκοπος πρὸς τὰς αἰωνίους μετεχώρησε σκηνάς· Φουλβιανὸς δ' ἔτι ζῶντος τοῦ ἐπισκόπου ἄλλῳ μὲν τῆς ἀρχῆς παρεχώρει, αὐτὸς δὲ ταπεινώσεως σχῆμα περιβαλλόμενος, τὰ ἱερά τε τῶν Χριστιανῶν μυηθεὶς ὄργια, τὴν τοῦ πρεσβυτέρου χειροτονίαν παρὰ τοῦ θείου καταδίεχεται Πλάτωνος· οὐ μετὰ τὴν ἐνθένδε ἀπαλλαγὴν, τοῦ θεσπεσίου ἀποστόλου διὰ νυκτερινῆς μυήσοντος ὄψεως, καὶ τὴν

ἀξίαν τῆς ἐπισκοπῆς ἀναδέχεται· γνησίως δὲ τῷ Εὐαγγελίῳ ὑπηρετήσας, καὶ πολλοὺς διὰ τῆς πίστεως οἰκειώσας Θεῷ, πρὸς τὴν ἀμείνω ζωὴν μεταβέβηκεν.

A scopo, alii regnum concessit : et ipse submissæ humilitatis habitu assumpto, cum secretioribus Christianorum initiatus est sacris, tum presbyteri ordinationem a divo suscepit Platone. Post cujus ex hac vita decessum, ab sancto apostolo per nocturnam visionem admonitus atque consecratus, episcopalem quoque assumpsit honorem. Et cum rite sacro ministrasset Evangelio, multosque per fidem lucrifecisset Deo, vitam quoque hanc meliore alia commutavit.

ΚΕΦΑΛ. ΜΒ'.

Περὶ τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ θεολόγου, καὶ τῆς θείας αὐτοῦ μεταστάσεως.

Λοιπὸς τοίνυν ἡμῖν ὁ ἠγαπημένος καὶ ἐπιστήθιος μαθητής· οὗ τὰς περιόδους καὶ τὰς ἐν αὐταῖς θεοσημείας καὶ ὑπερφυεῖς πράξεις τε καὶ θεολογίας ἀφηγεῖσθαι εἰς λεπτὸν κατιόντας, ὥσπερ καὶ τῶν ἄλλων μαθητῶν καὶ ἀποστόλων, πρὸς τῷ ἀμηχάνῳ καὶ τῆς ἀνὰ χεῖρας πραγματείας τε καὶ σχολῆς ὡς ποῤῥωτάτω μάλιστα εἶναι νομίζω. Ἱστόρηται δ' οὖν, ὡς ὁ θειότατος οὗτος εὐαγγελιστὴς μετὰ τὴν εἰς οὐρανοὺς ἄνοδον Ἰησοῦ συνῆν τῇ μητρὶ τοῦ Θεοῦ ἐν τῷ κατὰ τὴν Σιὼν οἴκῳ αὐτοῦ ἄχρι τῆς πρὸς Κύριον ἐκδημίας αὐτῆς· ἐπειτα δ' ἐν Ἀσίᾳ γενόμενον, εὐαγγελίζεσθαι τὸν Χριστόν· ἔνθα καὶ τὸν ναὸν τῆς Ἀρτέμιδος κατηδάφισεν· ἐν δὲ τῷ κατὰ Δομετιανὸν διωγμῷ ἐν Πάτμῳ τῇ νήσῳ ὑπερορίᾳ καταδικασθῆναι τῷ τετάρτῳ καὶ δεκάτῳ ἔτει αὐτοῦ τῆς ἀρχῆς. Ἔνθα δὴ καὶ τὸ κατ' αὐτὸν Εὐαγγέλιον ἐμπνευσθεὶς τῷ ἁγίῳ Πνεύματι ὑψηλῶς ἀνεβρόντησιν· ἀλλὰ δὴ καὶ τὴν ἱερὰν αὐτοῦ καὶ ἐνθεον Ἀποκάλυψιν. Μετά γε μὴν τὴν Δομετιανοῦ τελευτὴν εἰς τὴν τῆς Ἀσίας Ἔφεσον ἀνελθὼν, τὰς αὐτόθι ἐκκλησίας διεῖπε· καὶ πῆ μὲν νεὼς ἀνίστα, καὶ κλήρους ὅλους ἡρμόζετο, καὶ τῷ θείῳ τὴν ἱερωσύνην κατῄρτιζε Πνεύματι· ἔν τινι δὲ πόλει γενόμενος, καί τινα νεανίσκον ἰδὼν, ἀστεῖον μὲν τὴν ὄψιν, ὑπόθερμον δὲ τὴν ψυχὴν, τῷ ἐπισκόπῳ ἐμβλέψας. Τοῦτον, ἔφη, σοι παρακατατίθεμαι σπουδῇ τῇ πάσῃ ἐπὶ μάρτυρι τῷ Χριστῷ καὶ τῇ Ἐκκλησίᾳ αὐτοῦ. Καὶ ὁ μὲν ἐδέχετο, ὑπεσχημένος ὅσα καθήκει μὴ ἐν δευτέρῳ ποιεῖσθαι· Ἰωάννης δὲ εἰς Ἔφεσον ἔπλει. Ὁ δὲ λαβὼν τὸν νεανίσκον, οἴκοι μὲν εἶχε καὶ τρέφων ἐθάλπε· καὶ τῷ φωτὶ προσῆγε τῆς γνώσεως. Χρόνῳ δ' οὖν τῆς ἀκριβοῦς ἐπιμελείας ὑφήσιν, ὡς τὸ τέλειον τῆς κατὰ Χριστὸν σφραγῖδος ἐπιστήσας αὐτῷ τῷ δ' ἀνέσεως οὕτω πρὸ ὥρας ἐπειλημμένῳ προσῤῥέθειρονταί τινες ἡλικες ἀργοὶ καὶ ἀπερῥωγότες, ἐθάδες κακῶν καὶ ἀνάγωγοι. Καὶ τὰ μὲν πρῶτα δι' ἐστιάσεων ἀτόπων λωποδυτεῖν συνεπάγονται· ἔπειτα καὶ δεύτερον καὶ τρίτον κακὸν συμπράττειν ἠξίουν. Ὡς δὲ χρόνῳ προϊόντι κατ' ὀλίγον τοῖς πονηροῖς προσειθίζετο, καθά τις ἵππος εὐσθενὴς τὸν χαλινὸν ἐνδακὼν, κατὰ βαράθρων ἐφέρετο. Τῆς κρείττονος δ' ἐλπίδος διαπεσὼν, καὶ ἐν ἀπογνώσει τοῦ λοιποῦ τὸ σώζεσθαι θέμενος. ληστήριον συνεκρότει. Καὶ αὐτὸς τοῦ πονηροῦ ἐκείνου συλλόγου ἐξῆρχε, χαλεπός τις ἐξαπίνης προσβάλλων τοῖς παριοῦσιν, ὡς τῶν ἄλλων διαφέρων μιαιφονίᾳ τε καὶ ὠμότητι. Χρόνος ἐν μέσῳ συχνός. Καὶ ἐπεὶ πάλιν παρῆν ὁ

CAPUT XLII.

De sancto apostolo et evangelista Joanne, et de divina ejus translatione.

Superest nobis Joannes dilectus ille, quique supra pectus Magistri recubuit, discipulus: cujus profectiones, in eisque miracula divinaque opera edita mirificosque et arcanos de Deo sermones, B sicuti et aliorum discipulorum et apostolorum res gestas, sigillatim exponere, præterquam quod virium nostrarum non est, ab instituto quod in manibus habemus opere **206** alienum etiam esse arbitror. Sedenim historiarum monumenta produnt, divinissimum hunc Evangelistam, post Jesu in cœlum ascensum, cum Matre Dei in ea quam ad Sion fuisse scripsimus, domo sua vixisse, usque ad illius ad Dominum migrationem. Postea autem in Asia Christum per Evangelium promulgasse, ibique templum Dianæ solo æquasse. Cæterum persecutionis sub Domitiano tempore exsilio damnatum et in insulam Palmum relegatum decimo quarto imperii illius anno, ubi scilicet Spiritu sancto plenus, Evangelium suum sublimen in modum C intonuit, sacramque et divinitus inspiratam Apocalypsim protulit. Qui deinde post Domitiani obitum Ephesum in Asiam reversus, quæ ibi fuere ecclesias rexit, templa construens, clerum omnem docens, ecclesiatrumque sacros ministros instinctu Spiritus sancti ad perfectionem instituens. Et cum aliquando in civitate quadam esset, adolescentemque vultu quidem liberali et honesto, animo tamen et ingenio fervido conspexisset, episcopum loci ejus intuitus, *Hunc*, inquit, *tanquam depositum tibi cura et diligentia summa, sub Christo atque Ecclesia ejus teste, commendo.* Atque ille quidem illum, nihil se in eo excolendo rerum omnium prætermissurum pollicitus, suscepit. Joannes autem Ephesum rediit. Episcopus porro ille adolescentem D domi suæ fovebat, et ad coguitionis et doctrinæ lucem ducebat. Procedente autem deinceps tempore, attentiorem illam diligentiam et curam remittit, ut qui supremum et perfectum Christi signaculum ei jam impressisset. Ille autem cum ante tempus potestati suæ permissus esset, atque insuper ab æqualibus suis otio corruptis, præfractis, malisque artibus imbutis, et disciplinæ omnis impatientibus corrumperetur, primum propter illi cita intempestivaque convivia prædatum ab eis ducitur, ac mox iterum ac tertio ad perpetranda maleficia invitatur. Deinde vero quo longius, eo quoque magis sceleribus atque flagitiis assuefactus,

perinde atque equus robustus frænum mordens in barathrum fertur. Et cum jam spe omni meliore excidisset, salutemque ipse suam complorasset, latronum prædonumque complectitur vitam, ipseque adeo maleficorum manipulo a se collecto tanquam dux præest : et alios feritate cædiumque immanitate longe superans, impetum subinde in viatores, ex improviso factitat. Intercedunt anni aliquot, et apostolus rursum ibi adest. Qui ad episcopum : *Age*, inquit, *quod tibi Christo teste advocato, credidi, mihi depositum redde.* **207** Ibi ille obstupescit, pecuniamque a se, quam non accepisset, per sycophantiam exigi putat. Fidem certe quidem Joanni dicenti non habere, prorsus non licebat : neque rursus ad ea credenda, quorum sibi conscius non esset, induci poterat. Ut autem adolescentem ille, animamque ejus flagitabat, alte admodum suspirio ducto illacrymans : Jamdudum, inquit, ille mortuus est ; parditus enim, et modis omnibus perniciosus homo evasit, et ut caput tibi malorum ejus indicem, prædo : nam Ecclesia relicta, et monte quodam occupato, prædonum ducit manum. Tum apostolus veste acissa, et capite suo cum ejulatu et planctu multo pulsato : *Egregium sane custodem*, inquit, *animæ fratris constitui. Sed equus mihi detur, et dux itineris aliquis adsit.* Confestim itaque ex eo loco ab ecclesia ire pergit : et cum ad regionem designatum pervenisset, ab exploratoribus illius comprehenditur, neque fugere cupiens, neque quidquam deprecans. Quin imo ea de causa venisse se dicit, seque ad ducem eorum deduci petit. Ille porro tum ita forte, ut armatus erat, in via stabat. Ut autem Joannem paulatim ad se venientem cognovit, quam celerrime potest retrocedit Joannes autem senectæ suæ, rerumque aliarum omnium oblitus, illum consequitur, ingenti voce clare inclamans : *Quid me fugis, juvenis senem, patrem tuum, fili, nudum atque inermem armatus ? facessat metus ! adhuc tibi vitæ spes est reliqua. Ego pro te Christo rationem reddam : ad si opus fuerit, ipse pro tua animam meam statim proficiam. Consiste, meque a Christo missum tibi crede.* Tum ille, his auditis, primum consistit, oculis in terram demissis : deinde arma deponit, ac tremore multo correptus acerbissimo lamentatur : accedentemque complectitur apostolum, et lacrymis, quod potuit, noxam deprecatur, genibusque flexis dexteram solam sinu cohibuit. Tum Joannes jurejurando addito, salutem, noxæque remissionem illi a Servatore pollicetur : dextram ejus per pœnitentiam jam expiatam deosculatur. eumque in ecclesiam reducit. Ibi frequentibus orationibus, jejuniisque continuis cum eo vacans, suavique verborum Sirene tumorem animæ illius tanquam incantatione curans, non prius ex eo loco abiit, quam valentem illum et firmum prorsu Ecclesiæ restituit. **208** Magnum mediusfidius ille hoc ecclesiis pœnitentiæ specimen, pulcherrimumque regenerationis exemplum, atque adeo tro-

A ἀπόστολος. Ἄγε δή, τῷ ἐπισκόπῳ ἔφη, ἣν σοι παρακαταθήκην ἐπὶ μάρτυρι τῷ Χριστῷ κατεπίστευσα, ἀπόδος ἡμῖν. Ὁ δ' ἐξεπλήττετο, χρήματα οἰόμενος ἃ οὐκ ἔλαβε συκοφαντεῖσθαι. Ἀπιστεῖν μὲν οὖν τῷ Ἰωάννῃ λέγοντι οὐκ ἐνῆν ἀλλ' οὐδὲ πιστεύειν πάλιν εἶχεν οἷς οὐ συνέγνωκεν. Ὡς δὲ τὸν νεανίσκον ἔφη καὶ τὴν αὐτοῦ ψυχήν, βύθιόν τι στενάξας καὶ ἐπιδακρύσας, Πάλαι, φησίν, ἐκεῖνος τέθνηκεν. Ἐξώλης γάρ τις καὶ παμπόνηρος ἐγένετο ἄνθρωπος · καὶ ἵν' ἐρῶ σοι τὸ κεφάλαιον τῶν κακῶν, λῃστής · καὶ τὴν Ἐκκλησίαν λιπὼν λῃστρικοῦ τινος ἐξηγεῖται συντάγματος τὸ ὄρος κατειληφώς. Καταβήσσων δὲ τὴν ἐσθῆτα ὁ ἀπόστολος, εἰμωγῇ τε πολλῇ τὴν κεφαλὴν τύψας, Πρέποντά γε
B φύλακα τῆς τοῦ ἀδελφοῦ ψυχῆς κατέστησα. Ἀλλ' ἵππος ἤδη παρέστω, καὶ ἡγεμών τις γενέσθω μοι τῆς ὁδοῦ. Καὶ εὐθὺς αὐτόθεν ἔλαυνε, τὴν ἐκκλησίαν λιπών · καὶ φθάσας τὸν χῶρον, ὑπὸ τῶν ὀπτήρων ἐκείνου καταλαμβάνεται · μήτε φεύγων, μήτε μὴν παραιτούμενος, ἀλλ' ἐπὶ τούτῳ φάσκων ἐληλυθέναι · καί γ' ἐπὶ τὸν ἄρχοντα σφῶν ἄγειν προύτρέπετο. Ὁ δὲ τέως μὲν, ὥσπερ ἔλαχεν ὡπλισμένος, ἐνόδιος ἵστατο · ὡς δέ κατ' ὀλίγον προσιόντα τὸν Ἰωάννην ἐγίνωσκεν, οἱ τάχοτς εἶχεν, ὄπισθεν ἤλαυνε. Καὶ ὃς κατόπιν ὁ Ἰωάννης ἐδίωκεν, ἀνακράτος τοῦ γήρως καὶ τῶν ἄλλων ἐπιλαθόμενος, μέγα καὶ διάτοθον ἐκβοῶν, Τί με φεύγεις τὸν γέροντα, τὸν σαυτοῦ πατέρα, τέκνον, τὸν γυμνόν τε καὶ ἄοπλον ; Μὴ φόβος ὑπέστω · ἔτι σοι ζωὴς ἐλπὶς
C ἔνεστιν. Ἐγὼ τὸν ὑπὲρ σοῦ λόγον δώσω Χριστῷ · εἰ δέοι δὲ, καὶ αὐτὴν ψυχὴν ὑπὲρ τῆς σῆς προήσομαι ταχιστα. Στῆθι καὶ πίστευε, ὡς Χριστός με ἀπέστειλεν. Ὁ δὲ τούτων ἀκούσας, πρῶτα μὲν ἔστη κάτω βλέπων · εἶτα τὰ ὅπλα περιεδύετο · καὶ τρόμῳ πολλῷ συνεχόμενος, πικρῶς ἀνοδύρετο. Προσιόντα δὲ περιέβαλε τὸν ἀπόστολον, ὥς γ' ἐνὸν τοῖς δάκρυσι παραιτούμενος, καὶ γόνυ κλίνων, μόνην συνεῖχε τῷ κόλπῳ τὴν δεξιάν. Ὁ δ' ἐπομνύμενος, κατηγγυᾶτο τὴν σωτηρίαν, καὶ ὡς ἄφεσις αὐτῷ
D παρὰ τοῦ Σωτῆρός ἐστι. Καὶ τὴν γε δεξιὰν ἐκείνου ὡς τῇ μετανοίᾳ κεκαθαρμένην καταφιλῶν, ἐπὶ τὴν ἐκκλησίαν ἤγαγεν αὖθις. Εὐχῇ τοιγαροῦν δαψιλεῖ καὶ συνεχεῖ τῇ νηστείᾳ τούτῳ μάλιστα συναιρόμενος, τῇ τε γλυκείᾳ τῶν λόγων σειρῆνι τὸ οἰδαῖνον τῆς ψυχῆς αὐτοῦ κατεπᾴδων, οὐ πρότερον ἐκεῖθεν ἐξῆει, πρὶν ἢ στερρῶς αὐτὸν ἐπιστῆσαι τῇ ἐκκλησίᾳ · μέγα τοῦτο μετανοίας διδοὺς ἐκκλησίαις παράδειγμα, γνώρισμά τε κάλλιστον παλιγγενεσίας, καὶ τρόπαιον ἀναστάσεως πρὸ τῆς κοινῆς ὁρώμενον ἀναστάσεως. Ταῦτα Κλήμης ὁ στρωματεὺς ἐν τῷ, Τίς ὁ σωζόμενος πλούσιος, συγγράμματι καθιστόρησεν. Ἐγὼ δ' ἐνταῦθα γενόμενος, δεῖν οἶμαι καὶ τὸν τῆς ἱερᾶς μεταστάσεως τρόπον τοῦ θείου ἀποστόλου τούτου ἐπισημήνασθαι. Ὡς γὰρ ἤδη τὴν πρὸς Θεὸν ἐκδημίαν αὐτοῦ ἄνωθεν προδιέγνω, τήν τε ἡμέραν καὶ ὥραν, τοὺς ἱερεῖς καὶ λειτουργοὺς τῆς ἐκκλησίας παραλαβών, καὶ ὅσοι πίστει ζέοντες ἦσαν τῶν ἀδελφῶν, ἔξω τῆς Ἐφεσίων πόλεως γίνεται · ἐπί τι δὲ τῶν ἀγχιθύρων γεώλοφον εἰωθὸς ὂν ἐκείνῳ ἐκεῖσε

δὴ παραβάλλειν τε καὶ προσεύχεσθαι, μεθ' ὧν εἴρηται ἀναβὰς, τῇ εὐχῇ σύντονος γίνεται, καὶ τὰς ἐκκλησίας ἀνετίθει Θεῷ. Σκαλίσι δέ τισι καὶ δικέλλαις ὅτι τάχος ἀνορύττειν μνημεῖον διεκελεύετο · εἶτα νουθετεῖν ἤρχετο. Θεολογίᾳ τοίνυν καὶ ὑποθήκαις ἐξαισίαις καταρτίσας τοὺς περιόντας, τῇ τε πίστει καὶ ἐλπίδι, ἐπιμᾶλλον δὲ τῇ ἀγάπῃ, οἵπερ καὶ ἠγαπημένος, τὰς ἐκείνων καρδίας ἑδράσας, ἀναθεὶς τε τῷ Σωτῆρι Λόγῳ, καὶ τὸτ ἐν Κυρίῳ ὕσαττον ἀσπασμὸν ἐπιδοὺς, ἑαυτόν τε τῇ τοῦ σταυροῦ σφραγῖδι ἀσφαλισάμενος, πάντων ὁρώντων, εἴσεισι τὸ μνημεῖον · ἄνωθέν τε τὴν πλάκα οἱ ἐπιθεῖναι διεκελεύετο, καὶ κραταιότερον ἀσφαλίσασθαι · εἰς τὴν ἐξῆς δὲ ιόντας, ἀνοίγειν τε τὸ μνῆμα καὶ σαφῶς διορᾷν. Ὁ μὲν οὖν ᾗὼς τοῖς ἐνταφίοις ἦν διεσκευασμένος, κατιών γε τὸ ὄρυγμα καὶ ἀναπεσὼν, εὐθὺς τὸν ὀφειλόμενον ὕπνον δικαίοις κεκοίμηται, εἰς βαθὺ γῆρας ἐλθών, ἐξηκοστῷ ὀγδόῳ ἐνιαυτῷ μετὰ τὸ πάθος τοῦ Σωτῆρος Χριστοῦ. Δεῖ γὰρ αὐτῷ, μᾶλλον δὲ Χριστῷ, καὶ τῷ σοφῷ πείθεσθαι Χρυσοστόμῳ εἰς μαρτυρίαν τοῦ τεθνάναι παράγοντι τὸ, Καὶ οὐκ εἶπεν αὐτῷ ὁ Ἰησοῦς, ὅτι οὐκ ἀποθνήσκει, ἀλλ', Ἐὰν αὐτὸν θέλω μένειν ἕως ἔρχομαι (τὴν Ἱερουσαλὴμ ἀπολέσων · παρέμεινε γὰρ ἄχρι τότε καὶ προσωυέρω ἐπὶ τῶν χρόνων Τραϊανοῦ), τί πρὸς σέ ; Τοῦτο μὲν οὕτως ἐγένετο. Θεοῦ δέ τις ἄῤῥητος δόξα καθ' ἣν ὥραν αὐτὸς οἶδεν εὐθὺς ἐπιλάμψασα, τὸ φθαρτὸν ἐκείνου σῶμα καὶ γήϊνον εἰς ἀκήρατον καὶ ἄφθαρτον (ὢ τοῦ θαύματος !) μεναστοιχειώσασα, ἐν τῷ θείῳ ἀνελάμβανε παραδείσῳ μετὰ τῆς πανυμνήτου καὶ Θεομήτορος, ὡς μητρὸς αὐτοῦ γεγενημένης τῇ χάριτι. Ἀχρῆν καὶ γὰρ αὐτὸν ἠρέμα πως τῆς ἀφθαρσίας καὶ τοῦτον μετεσχηκέναι, μητέρα κτησάμενον ἀειπάρθενόν τε καὶ ἄφθορον, ἠγαπημένον δὲ ὑπερφυῶς τῷ Χριστῷ, καὶ ἀδελφὸν τοῦ τῆς ἀθανασίας ταμείου γεγενημένου. Καὶ τοίνυν εἰς τὴν ἐξῆς οἷς ἐπινέτηπτο κατὰ τὸ ἐπιταγμα ἐπελθόντες, τὸ πῶμα περιεκόμενοι, ἄλλῳ μὲν οὐδενὶ, μόνοις δὲ τοῖς ἐνταφίοις σπαργάνοις περιτυγχάνουσι. Καὶ τὰ μὲν περὶ Ἰωάννου ἐν τούτοις.

A pæum resuscitationis atque restitutionis ante communem illam resurrectionem constituit. Quod sic Clemens ὁ στρωματεὺς, seu contextor, in commentario eo qui inscriptus est : *Qui dives salvus fiat*, ad memoriam posteritatis scriptum reliquit. Verum enimvero cum ad hunc locum pervenerimus, necessarium esse duxis, acram quoque translationem divi istius apostoli persequi. Cum enim dudum transitionem suam ad Deum, diemque et horam cjus prævidisset, sacerdotibus ministrisque Ecclesiæ, et præterea quicunque flagranti essent fide fratribus assumptis, extra Ephesiorum urbem progreditur : et cum eis in vicinum quemdam tumulum, quo frequenter ire precationi operam daturus solebat, conscendit, ibi vehementius orans, Ecclesias Deo commendat : mox sarculis quibusdam B et ligonibus celeriter sepulcrum sibi fodi præcipit : deinde eos qui tum aderant, arcanis de Deo verbis et præceptis optimis de fide spe et potissimum dilectione (quippe dilectus ipse) erudit. Et corda eorum confirmans, Servatori Verbo commendat, Postremoque illis in Domino salvere et valere jussis, ubi se crucis signo communisset, in monumentum descendit : operculumque ei imponere, et id firmius communire, denique reverti eos postridie, sepulcrum aperire diligenterque perspicere mandat. Hoc modo cum ille, ut vestibus sepulcralibus amictus erat, in fossam descendisset, seque ad obitum composuisset, statim eo qui justis debetur, sopitur somno : cum quidem ad multam senectutem post passionem Servatoris C Christi sexagesimo octavo anno pervenisset. Oportet enim nos ipsi, ac potius Christo, et sapienti credere Chrysostomo, ad testificandam mortem ejus illud adducenti : *Et non dixit ei Jesus, illum moriturum non esse : sed, Si volo manere donec veniam* (Hierosolyma videlicet eversurus : vixit enim ad id usque tempus, atque etiam aliquanto, ad Trajani scilicet ætatem, longius), *quid ad te ?* Et Joannes quidem ita diem suum obiit : Dei autem inoffabilis atque investigabilis gloria, ea quam ipse solus novit, hora illucescens, corpus ejus terrenum et corruptibile in immortale et incorruptibile (o miraculum ingens !) transmutavit, et in divinum paradisum, itidem ut omnibus laudibus celebrandam Dei Genitricem quæ per gratiam mater ejus fuit, recepit. **209** Decebat quippe et ipsum, qui matris loco incorruptam semperque virginem habuisset, et dilectus in primis mirifice Christo fuisset, fraterque adeo immortalitatis promptuarii exstitisset, paulatim quodammodo immortalitatis participem fieri. Porro die sequenti, quibus id commissum fuerat, ita ut præceptum acceperant, ad monumentum venerunt : operculoque ejus avulso, nihil ibi aliud quam sepulcralia lintea repererunt. Atque hæc quidem de Joanne (1).

(1) De divorum apostolorum Petri, Pauli Joannis martyris, Tertull. *De Præscriptionibus hæreticorum*, « Felix, inquit, Ecclesia, cui totam doctrinam apostoli cum sanguine suo profuderunt : ubi Petrus passioni Dominicæ adæquatur, ubi Paulus Joannis exitu coronatur : ubi apostolus Joannes, posteaquam in oleum igneum demersus, nihilque ibi passus, in insulam relegatur. » Hieronymus : « Nonnulli astruere volunt, Virginem Mariam jam resuscitatam beata cum Christo immortalitate in D cœlestibus vestiri. Quod et de beato Joanne Evangelista, ejus ministro, cui virgini a Christo virgo commissa est, plurimi asseverant, quia in sepulcro ejus (ut fertur) non nisi manna invenitur, quod et scaturire cernitur. Verumtamen quid horum verius censeatur, ambigimus. Melius tamen Deo totum, cui nihil impossibile est, committimus, quam aliquid temere definire velimus auctoritate nostra, quod non probamus. »

CAPUT XLIII.

De sanctis apostolis et evangelistis Marco et Luca, qui ex numero septuaginta discipulorum fuerunt.

Cæterum Marcum quoque et sanctum Lucam, etiamsi inter septuaginta illos numerentur, adjungere tamen istis visum est, quod alter quidem Petri, alter autem Pauli fuerit discipulus : eosque ut evangelistas maximis duobus evangelistis connumerare conuenit. Sed enim de Marco, ejusque in Ægypto prædicatione, in hoc ipso libro antea a nobis satis est dictum. Is enim Petri sororis filius, imperante Tiberio, Ægypto et Libyæ Barbariæque universæ, Christi verbum evangelizans annuntiavit, Evangelium suum dictante atque comprobante Petro scripsit, apud Cyrenæos et Pentapolitanos quam plurima admiranda fecit, ecclesias construxit : clerum et episcopos, atque alia insuper quæ opus erant, rite et ordine constituit. Et tandem Alexandriam est reversus : ubi cum quibusdam fratribus, in loco cui Buceli nomen erat, habitavit, libere Christum deprædicans. Atque tum ibi cultores idolorum repente impetum in eum faciunt, funibus pedes constringunt, atque ita crudelem in modum per urbem raptant. Itaque corpus ejus saxis allisum, admodum conscinditur, et sanguis ex eo abunde profluit. Deinde carceri virum sanctum includunt. Ibi ei apparet Dominus, futuram illi gloriam prænuntians. **210** Denuo autem ex carcere extractum, per plateas immanissime trahunt. Atque ad hunc modum raptatus, tandem spiritum Deo commendat, corporis ingentibus gratiis, animæ virtutibus mirifice collucentibus atque correspondentibus. Fuit autem is staturæ et ætatis statæ, atque semicanus. Lucas autem Antiochiæ, quæ in Cœlesyria est, ortus, arte quidem medicus, sed et pingendi peritissimus, Thebis, quæ urbs septem habuit portas, ad Paulum venit : atque ibi nuntio errori patrio remisso, ad Christum accessit, pro corporum curatore animarum medicus factus. Evangelium is suum Paulo dictante scripsit, atque itidem apostolorum Acta. Cum Paulo autem Romæ cum fuisset, in Græciam est reversus, plurimosque ibi divinæ doctrinæ et cognitionis luce illustravit : et tandem a divini Verbi contemptoribus ex fructifera oleæ arbore suspensus, quod aridi ligni unde crux fieret copia non esset, Deo spiritum commendavit, cum octuaginta, ut dicitur, annos natus esset. Ubi autem corpus ejus inter alia complura monumenta sepultum esset, fidelium oratione est indicatum. Salubria enim Deus collyria cœlitus in monumentum ejus demisit, ad indicium, ut opinor, curæ sanationisque ejus. Unde etiam sepulcrum ejus a fidelibus omnibus est cognitum. Fertur is quoque primus Christi, et quæ eum ita ut Deum decebat genuit, matris, atque item principum apostolorum effigiem pingendi arte adumbrasse : unde in omnem deinde habitabilem orbem tam venerandum et pre-

ΚΕΦΑΛ. ΜΓ'.

Περὶ τῶν ἁγίων ἀποστόλων καὶ εὐαγγελιστῶν Μάρκου τε καὶ Λουκᾶ τῶν ἐκ τῶν ἑβδομήκοντα.

Ναὶ μὴν καὶ Μάρκον καὶ τὸν θεῖον Λουκᾶν, εἰ καὶ τοῖς ἑβδομήκοντα κατηρίθμηνται, τοῖς παροῦσιν ἐντάξαι δεῖν οἶμαι, ἅτε δὴ τὸν μὲν Πέτρῳ, θάτερον δὲ τὸν Λουκᾶν Παύλῳ μαθητευθέντας · καὶ ὡς εὐαγγελιστὰς, τοῖς δυσὶ μεγίστοις εὐαγγελισταῖς συγκαταλέγειν χρεών. Ἀμέλει τοι περὶ μὲν Μάρκου καὶ τοῦ κατ' αὐτὸν κηρύγματος ἐν Αἰγύπτῳ καὶ ἐν τῷ παρόντι τόμῳ ἡμῖν ἀρκούντως εἴρηται · οὗτος δὲ ἀδελφιδοῦς ἦν Πέτρῳ τῷ ἀποστόλῳ. Ἐπὶ δὲ Τιβερίου Καίσαρος τῇ Αἰγύπτῳ καὶ Λιβύῃ, ἔτι δὲ καὶ τῇ Βαρβαρικῇ πάσῃ τὸν Χριστοῦ λόγον εὐαγγελισάμενος, καὶ ὑπαγορεύοντος Πέτρου τὸ κατ' αὐτὸν Εὐαγγέλιον συγγραψάμενος, ἐν Κυρήνῃ τε καὶ Πεντακόλει πολλὰ καὶ ἄπειρα ἐργασάμενος, καὶ ἐκκλησίας ἀνοικοδομήσας, κλήρους τε καὶ ἐπισκόπους, καὶ τἆλλα προσηκόντως διενεργήσας, εἰς τὴν Ἀλεξάνδρειαν πάλιν ἐπάνεισι · ὅπου δὴ τὰς διατριβὰς ποιούμενος ἦν ἐν τοῖς Βουκέλου ὀνομαζομένοις μετά τινων ἀδελφῶν, παῤῥησίᾳ τὸν Χριστὸν κηρύττων. Οἱ τοίνυν τῶν εἰδώλων θεραπευταί αἴφνης αὐτῷ ἐπιθέμενοι, σχοινίοις τοὺς πόδας διαλαβόντες, ἀπηνέστερον εἵλκον. Πέτραι δὲ ταῖς σαρξὶν αὐτοῦ προσπίπτουσαι, ταύτας κατέξαινον, αἵματος καταῤῥέοντος. Φρουρᾷ δὲ περικλεισάντων, ὀπτάνεται αὐτῷ Κύριος, τὴν μέλλουσαν ⸢αὐτῷ δόξαν προδιαγράφων. Πάλιν δὲ κατὰ τῆς πλατείας ἐξαγαγόντες, ἀπηνῶς εἵλκον. Οὕτω δὴ συρόμενος, τὸ πνεῦμα παρατίθησι τῷ Θεῷ. Ἀντίλαμπον μέντοι αἱ τοῦ σώματος χάριτες ταῖς τῆς ψυχῆς ἀρεταῖς · μεσῆλιξ δέ τι καὶ μεσαιπόλιος ἦν. Λουκᾶς δ' ἐξ Ἀντιοχείας εἵλκε τὸ γένος, ἥτις κατὰ τὴν Κοίλην κεῖται Συρίαν, τέχνῃ μὲν ἰατρὸς, ἄρας δὲ τὴν ζωγραφον τέχνην ἐξεπιστάμενος. Θήβας ἐν ἑπταπύλοις τῷ θεσπεσίῳ περιτυχὼν Παύλῳ, τὴν πατρῴαν πλάνην ἀπείπατο Χριστῷ προσιών · ἀντὶ δὲ σωμάτων τὴν τῶν ψυχῶν ἠλλάξατο θεραπείαν. Καὶ δὴ τὸ κατ' αὐτὸν Εὐαγγέλιον συνεγράψατο Παύλου ὑπαγορεύσαντος · ὡσαύτως δὲ καὶ τὰς τῶν ἀποστόλων Πράξεις. Συνδιαγαγὼν δ' ἐν Ῥώμῃ τῷ Παύλῳ, ἐπανήκει τῇ Ἑλλάδι αὖθις. Πολλοὺς δὲ τῷ φωτὶ τῆς θείας γνώσεως ποδηγήσας, ὑπὸ τῶν ἀντούντων τὸν θεῖον λόγον ἐπὶ καρποφόρου ἐλαίας ἀναρτηθεὶς, οὐ γὰρ ἦν ξύλον ξηρὸν ὥστε εἰς σταυρὸν διασκευασθῆναι, τῷ Θεῷ τὴν ψυχὴν παρατίθησιν, ὀγδοήκοντα ἐτῶν γενόμενος, ὥς φασιν. Ὅπου δὲ τὸ σῶμα αὐτοῦ κατετέθη μεταξὺ μνημείων πολλῶν, προσευχῇ τῶν πιστῶν καταμηνύεται · κολλύρια γὰρ ἰατρικὰ ὁ Θεὸς ὕσεν ἄνωθεν τοῦ θείου αὐτοῦ μνήματος, εἰς σύμβολον, οἶμαι, τῆς αὐτοῦ ἰατρείας. Ἐξ οὗ καὶ γνώριμος ὁ τάφος τοῖς αὐτοῦ πᾶσι κάλλιστα τέτυκται. Φασὶ δὲ αὐτὸν πρώτιστον τήν τε Χριστοῦ εἰκόνα καὶ τῆς αὐτὸν θεοπρεπῶς τεκούσης, ἔτι δὲ καὶ τῶν κορυφαίων ἀποστόλων, διὰ ζωγραφικῆς ἱστορήσαι τέχνης · κἀντεῦθεν εἰς πᾶσαν τὴν οἰκουμένην τὸ τοιοῦντο εὐσεβὲς καὶ πάντιμον ἔργον ἐξενεχθῆναι. Τό γε μὴν αἰδοῦς ἀπάσης ἄξιον τὸ ἱερὸν αὐτοῦ λεί-

ψανον Κωνστάντιος, ὁ τοῦ μεγάλου Κωνσταντίνου υἱὸς, δι' Ἀρτεμίου τοῦ μεγίστου μάρτυρος ἐκ Θηβῶν μετακομισάμενος, ὡσαύτως δὲ καὶ τὸ τοῦ πρωτοκλήτου Ἀνδρέου ἐκ Πατρῶν τῆς Ἀχαΐας, ἔτι δὲ καὶ ἐκ τῆς ἐν Ἀσίᾳ Ἐφέσου Τιμοθέου τοῦ ἀποστόλου, ἐν τῇ ἐπωνύμῳ τοῦ πατρὸς αὐτοῦ πόλει τῷ τῶν ἱερῶν ἀποστόλων σηκῷ σεβασμίως κατέθετο. Ἀλλὰ περὶ μὲν τῶν θείων τοῦ Χριστοῦ φοιτητῶν ἀρκούντως ἂν ἔχοι. Ἐν μέντοι τῷ τρίτῳ βιβλίῳ καὶ περὶ τῶν λοιπῶν ἀποστόλων καὶ τῶν ἐκείνοις διαδόχων ἐροῦμεν, καὶ ὅσοι τούτων ἔγγραφα κατέλιπον ὑπομνήματα. Τέως γε μὴν ἐπὶ τῷ παρόντι τίνες ἦσαν οἱ μαθηταὶ Χριστοῦ ῥητέον· τίνες δ' αὖ ἐκ τούτων τὴν συζυγίαν ἠσπάσαντο, καὶ ὅσοι τῶν Χριστοῦ διατριβῶν κατέλιπον ὑπομνήματα· τίνες τε αὖθις ἐπιστολάς· τίνα τε τῶν συγγραμμάτων, ὡς ἀναντίρρητα καὶ ἐνδιάθηκα ἡ Ἐκκλησία προσήκατο· τίνα τε πάλιν ὡς νόθα καὶ παρέγγραπτα ἀπεώσατο.

A tiosum opus est illatum. Reliquias quidem certe ejus, honore quovis dignas, Constantius, Constantini Magni filius, per Artemium, maximum illum martyrem, Thebis, sicuti etiam qui primus ad apostolatum est vocatus, Andreæ, Patris ex Achaia, et itidem Timothei apostoli ex Asiæ Epheso, in cognominem patri suo urbem translatas, templo sanctis apostolis sacro intulit. Verum de divinis Christi discipulis hæc dicta sufficiant. In tertio enim deinde libro, de reliquis apostolis, eorumque successoribus, et quæ quisque eorum reliquerit scripta, historiam texemus. In præsentia illa persequenda veniunt, quinam fuerint Christi apostoli : 211 qui ex iis conjuges fuerint, qui rerum a Christo gestarum monumenta ediderint, qui etiam epistolas : quæ item scripta, ut irrefragabilia et testamentaria, Ecclesia receperit : quæ etiam ut spuria et adulterina rejecerit.

B

ΚΕΦΑΛ. ΜΔ'.

Τίνες εἰσὶν οἱ δώδεκα Χριστοῦ μαθηταὶ καὶ ἀπόστολοι, καὶ ὅσοι ἐκ τούτων γάμῳ ὡμίλησαν.

CAPUT XLIV.

Qui sint duodecim Christi discipuli et apostoli, et qui ex eis matrimonium contraxerint.

Δώδεκα μὲν οὖν ἦσαν οἱ ἀπόστολοι, ἑβδομήκοντα δὲ μαθηταί· ἄλλοι δ' ἐπὶ τούτοις μυρίοι. Ἐπεὶ δ' ἀγνοεῖν πολλοῖς ἔπεισι, τίνες οἱ μαθηταί, ἀναγκαῖον ᾠήθην καὶ αὐτὰς τὰς ἱερὰς αὐτῶν κλήσεις τοῖς παροῦσιν ἐντάξαι. Κορυφαῖος μὲν οὖν τοῦ χοροῦ Πέτρος ἐστί· δεύτερος Ἀνδρέας ὁ ἀδελφὸς αὐτοῦ· τρίτος Ἰάκωβος ὁ τοῦ Ζεβεδαίου ἐπικληθείς· καὶ Ἰωάννης ὁ ἀδελφὸς αὐτοῦ, ὁ ἠγαπημένος, παρθένος τε ἅμα καὶ ἐπιστήθιος· πέμπτος Φίλιππος· ἕκτος Βαρθολομαῖος· Θωμᾶς ἕβδομος· εἶτα Ματθαῖος εὐαγγελιστὴς ὄγδοος· ἔνατος πρὸς τούτοις Ἰάκωβος ὁ τοῦ Ἀλφαίου υἱὸς, οὐχ ὁ ἀδελφόθεος· δέκατος Ἰούδας· ᾧ Θαδδαῖός τε καὶ Λεββαῖος ἦν ἕτερον ὄνομα· ὃς υἱὸς μὲν ἐτύγχανεν ὢν τοῦ μνήστορος Ἰωσὴφ, ἀδελφὸς δὲ Ἰακώβου, ὃς ἀδελφόθεος ἐπωνόμαστο· ἐνδέκατος ἐπὶ τούτοις Σίμων ὁ Ζηλωτής· καὶ δωδέκατος ὁ προδότης Ἰούδας· οὗ τῇ ἀπληστίᾳ τῆς φιλαργυρίας διαῤῥαγέντος, Ματθίας τὸν δωδέκατον ἐπλήρωσεν ἀριθμόν. Οὗτοι μὲν οὖν οἱ ταῖς ἀληθείαις Χριστοῦ μαθηταί. Ὁ μέντοι Παῦλος, τὸ σκεῦος τῆς ἐκλογῆς, οὔτε τοῖς δώδεκα συγκατείλεκται, οὔτε μὴν ἐν τοῖς ἑβδομήκοντα· ἀλλ' ἐν πᾶσίν ἐστι καὶ πρὸ πάντων καὶ μετὰ πάντων, οἷάπερ οὐρανόθεν κληθεὶς, διαφερόντως ὑπὲρ ἅπαντας τῷ θείῳ Εὐαγγελίῳ πεπονηκώς. Ἐκ μὲν τούτων τὴν συζυγίαν οὐκοι ἠσπάσαντο, ὡς φησι Κλήμης ὁ στρωματεὺς ἐν τῷ τρίτῳ τῶν λόγων, οὓς Στρωματεῖς ἐπιγράφει· κατὰ γὰρ τῶν ἀθετούντων τοὺς γάμους μάλα φερόμενος, οὕτω κατὰ λέξιν καὶ τάδε διέξεισιν· « Ἦ οὐκοῦ γ' ἂν καὶ τοὺς ἀποστόλους ἀποδοκιμάσουσι ; Πέτρος μὲν γὰρ καὶ Φίλιππος ἐπαιδοποιήσαντο· Φίλιππος δὲ καὶ τὰς θυγατέρας ἀνδράσιν ἐξέδωκε. Καὶ ὅ γε Παῦλος οὐκ ὀκνεῖ ἔν τινι ἐπιστολῇ τὴν αὐτοῦ σύζυγον προσαγορεῦσαι, ἣν οὐ περιεκόμιζε διὰ τὸ τῆς ὑπηρεσίας εὐσταλές. » Περὶ μέντοι τοῦ θείου Πέτρου καὶ ἐν τῷ ἑβδόμῳ στρωματεῖ τὸν μακάριόν φησι τοῦτον τὴν ἑαυτοῦ γυναῖκα θεασάμενον ἀπαγομένην τὴν ἐπὶ θά-

Atque equidem duodecim fuerunt apostoli : septuaginta autem discipuli. Et præter hos, innumerabiles alii. Quandoquidem vero multi, qui fuerint discipuli, ignorant, feciendum putavi, ut sacra eorum nomina scripto huic insererem. Coryphæus itaque et princeps chori ejus, est Petrus ; secundus, frater ejus Andreas ; tertius, Jacobus, qui Zebedæi est dictus ; quartus, Joannes frater ejus, dilectus ille, et virgo, qui supra pectus Magistri recubuit ; quintus, Philippus ; sextus, Bartholomæus ; Thomas, septimus ; deinde evangelista Matthæus, octavus ; nonus post hos, Jacobus Alphæi Filius, non alter ille frater Domini ; decimus, Judas, qui item Thaddæus, atque etiam Lebbæus est dictus : is filius quidem fuit Josephi sponsi, frater autem Jacobi quem fratrem Dei dixere ; undecimus horum, Simon Zelotes ; duodecimus, proditor Judas : qui cum inexplebili avaritiæ cupiditate crepuisset, Matthias duodenarium explevit numerum. Et ii quidem sunt revera Christi discipuli. Paulus vero, electionis vas, neque inter duodecim, neque inter septuaginta recensetur : sed in omnibus is est, et ante omnes, et cum omnibus ; quippe qui cœlitus vocatus sit, et supra omnes præcipue divino Evangelio propagando laboraverit. Ex his conjugium sunt amplexi, ut quidem Clemens contextor, in tertio libro eorum Commentariorum quos Στρωματεῖς inscripsit, tradit : in oppugnatores namque conjugii acrius invehens, sic verbis hisce utitur : « An isti tandem apostolos quoque rejicient ? Petrus siquidem et Philippus liberis creandis operam dederunt. Philippus porro filias etiam suas viris in matrimonium locavit. Paulus quoque non veretur in epistola quadam comparem suam salutatione compellare : 212 quam quidem ille propterea secum non circumduxit, ut facilius ei expeditiusque esset Verbi

C

D

ministerium. » De divo sane Petro, in septimo quoque eorum quos diximus, libro, « Beatus Petrus, inquit, cum uxorem suam ad mortem abduci videret, simul et ingenti est voluptate affectus, tum quod a Deo vocaretur, tum quod in proprium domicilium reverteretur ; et pulchre admodum eam allocutus atque cohortatus est, ac de nomine quoque ita compellavit : *Memineris, o mea, Domini, obsecro.* » Et talis quidem beatorum hominum conjugii fuit status : tam perfecta eorum qui sibi essent charissimilinter se, animorum affectio. Sed et Polycrates, ecclesiæ Ephesiorum episcopus, ad Victorem, Romanum episcopum, scribens, Philippi, filiarumque ejus, atque Joannis Evangelistæ meminit hisce quodammodo verbis : « Etenim in Asia magna professionis nostræ conquiescunt et dormiunt initia, quæ restituentur atque resusciiabuntur die extremo adventus Christi, in quo cum gloria e cœlo veniet, et sanctos omnes resuscitabit. Philippus videlicet, ex duodecim apostolis unus, qui Hierapoli dormit : et duæ item filiæ ejus, quæ virgines consenuerant. Et alia præterea filia ejus, quæ in Spiritu sancto vitæ cursum peregit, Ephesi quiescit; itidemque Joannes qui supra pectus Domini recubuit; quique quod sacrorum antistes esset, insigne episcopale gestavit, testis et doctor egregius. Ephesi obdormivit. » Quin et Caius, cujus paulo ante meminimus, his similia ad Proclum quemdam ita scribit : « Post hunc prophetissæ quatuor, Philippi filiæ, Hierapoli in Asia fuere : ubi earum patrisque etiam est sepulcrum. » Mentionem itidem in Actis apostolicis divus Lucas facit alterius Philippi, non apostoli, filiarum, ut prophetici illæ spiritus gratia fuerint condecoratæ, cum Cæsareæ Palestinæ adhuc cum patre suo essent, in hæc verba scribens : *Venimus Cæsaream, et ingressi in domum Philippi evangelistæ, unius ex septem, apud eum mansimus : ei erant filiæ quatuor prophetantes* [38]. Multis autem, eisque magnis apud nos viris, non videtur Paulus conjugem habuisse : idque ex verbis ejus, quibus virginitatem et cœlibatum commendat, colligunt, cum dicit : *Pervellem equidem omnes esse, ut ego sum* [39]. *Illud vero, Salve mihi et tu compar* [40], non mulieri, sed viro cuipiam, ita fortasse nominato, dictum putant.

A νατον, ἡσθῆναι μὲν τῆς κλήσεως χάριν καὶ τῆς ἐπ οἶκον ἀνακομιδῆς · ἐπιφωνῆσαι δ' εὖ μάλα προτρεπτικῶς καὶ παρακλητικῶς ἐξ ὀνόματος προσειπόντα · Μεμνησο, ὦ αὕτη, τοῦ Κυρίου. Τοιοῦτος ἦν ὁ τῶν μακαρίων γάμος, καὶ ἡ τῶν φιλτάτων τελεία διαθεσις. Ἀλλὰ καὶ Πολυκράτης, τῆς ἐν Ἐφέσῳ δὲ παροικίας ἐπισκοπος ἦν. Οὑίκτωρι γράφων τῷ Ῥωμαίων ἐπισκόπῳ, τοῦ τε Φιλίππου μέμνηται, καὶ τῶν θυγατέρων αὐτοῦ, καὶ Ἰωάννου τοῦ Εὐαγγελιστοῦ, ὧδέ πως λέγων · « Καὶ γὰρ κατὰ τὴν Ἀσίαν μεγάλα στοιχεῖα κεκοίμηται, ἅτινα ἀναστήσεται τῇ ἐσχάτῃ ἡμέρᾳ τῆς παρουσίας τοῦ Χριστοῦ, ἐν ᾗ ἔρχεται μετὰ δόξης ἐξ οὐρανοῦ, καὶ ἀναζήτησει πάντας τοὺς ἁγίους · Φίλιππον τῶν δώδεκα ἀποστόλων ἕνα, ὃς κεκοίμηται ἐν Ἱεραπόλει, καὶ δύο θυγατέρες αὐτοῦ B γεγηρακυῖαι παρθένοι. Καὶ ἡ ἑτέρα αὐτοῦ θυγάτηρ ἐν ἁγίῳ Πνεύματι πολιτευσαμένη, ἐν Ἐφέσῳ ἀναπαύεται. Ἔτι δὲ καὶ Ἰωάννης ὁ ἐπὶ τὸ στῆθος τοῦ Κυρίου ἀναπεσών, ὃς ἐγενήθη ἱερεὺς τὸ πέταλον φορεκώς. καὶ μάρτυς, καὶ διδάσκαλος, οὗτος ἐν Ἐφέσῳ κεκοίμηται. » Ἀλλὰ καὶ Γάϊος οὐ μικρῷ πρόσθεν μνείαν ἐποιησάμεθα, συνῳδὰ τοῖς εἰρημένοις πρός τινα Πρόκλον οὕτω φησί · « Μετὰ τούτων προφῆτιδες τέσσαρες αἱ Φιλίππου γεγένηνται ἐν Ἱεραπόλει τῇ κατὰ τὴν Ἀσίαν. Ὁ τάφος αὐτῶν ἐστιν ἐκεῖ καὶ τοῦ πατρὸς αὐτῶν. » Μνημονεύει μέντοι καὶ ὁ θεῖος Λουκᾶς ἐν ταῖς Πράξεσι καὶ τοῦ ἑτέρου Φιλίππου, οὐ τοῦ ἀποστόλου, τῶν θυγατέρων, ὡς κἀκεῖναι προφητικοῦ χαρίσματος ἠξιώθησαν, ἐν Καισαρείᾳ τῷ τότε τῆς Παλαιστίνης ἅμα τῷ πατρὶ διατρίβουσαι, κατὰ λέξιν οὕτω φάσκων · Ἤλθομεν εἰς C Καισάρειαν, καὶ εἰσελθόντες εἰς τὸν οἶκον Φιλίππου τοῦ εὐαγγελιστοῦ ὄντος ἐκ τῶν ἑπτά, ἐμείναμεν παρ' αὐτῷ. Τούτῳ δὲ ἦσαν παρθένοι θυγατέρες προφητεύουσαι. Τοις πολλοῖς δὲ καὶ ἐκκρίτοις τῶν καθ' ἡμᾶς οὐ δοκεῖ Παῦλον ὁμιλῆσαι γάμῳ, ἓν τῷ τεκμηριώσασθαι τοῖς ἐκείνου ῥήμασιν ἔξεστιν, ἐν οἷς περὶ παρθενίας φιλοσοφεῖ, Θέλω, λέγων, εἶναι πάντας ὡς κἀγώ. Τὸ δὲ, Χαῖ, ἐμοὶ καὶ σὺ, σύζυγε, οὐ τῇ γυναικὶ, ἀλλ' ἀνδρί τινι οὕτω πως καλουμένῳ ἴσως γράφει.

213 CAPUT XLV.

Qui ex apostolis testamentarios sive canonicos reliquerint libros : et de sacrosanctis quatuor Evangeliis, ex quibus causis sint scripta, atque de eorum ordine. Item de apostolorum Actis, catholicisque et aliis sanctorum apostolorum Epistolis.

ΚΕΦΑΛ. ΜΕ'.

Τίνες τῶν ἀποστόλων ἐνδιάθηκα βιβλία κατέλιπον · καὶ περὶ τῶν ἱερῶν καὶ ἁγίων τεττάρων Εὐαγγελίων, ἐκ ποίας αἰτίας ἐγράφησαν, καὶ περὶ τῆς αὐτῶν τάξεως, ἔτι δὲ καὶ περὶ τῶν Πράξεων, καὶ τῶν καθολικῶν καὶ ἑτέρων Ἐπιστολῶν τῶν ἁγίων ἀποστόλων.

Hucusque de duodecim apostolorum nominibus, et qui inter eos mariti fuere, diximus. De iis vero qui scripta post se reliquerunt, quæ legitima et testamentaria habentur, et de sacris quatuor Evangeliis, ac divinis apostolorum Actis, tum autem de Epistolis catholicis, simul et aliis insuper et de ordine earum, atque etiam quæ Ecclesia ut

Αἱ μὲν οὖν τῶν δώδεκα ἀποστόλων κλήσεις, καὶ ὅσοι ἐν συζυγίαις οὗτοι · ὅσοι γε μὴν συγγράμματα καταλελοιπότες εἰσὶν, ἃ καὶ ὡς ἐνδιαθηκα κατελέγησαν, ἔτι δέ καὶ περὶ τῶν ἱερῶν τεσσάρων Εὐαγγελίων, τῶν τε θείων Πράξεων ἀποστολικῶν, καὶ τῶν Ἐπιστολῶν τῶν τε καθολικῶν καὶ τῶν ἄλλων, καὶ τῆς αὐτῶν τάξεως, ἐξῆς ἂν εἴη δηλοῦν. ὅσα τε νόθα καὶ τῇ

[38] Act. xxi, 8. [39] I Cor. vii, 7. [40] Philipp. iv, 3.

Ἐκκλησίᾳ ἀπόβλητα. Καὶ πρῶτον περὶ τῶν θείων μοι Εὐαγγελίων ἱστορητέον. Ὑπομνήματα μὲν οὖν τῶν τοῦ Κυρίου διατριβῶν δύο μόνους τῶν δώδεκα ἴσμεν συγγραψαμένους, Ματθαῖον καὶ Ἰωάννην· καὶ ἐκ τῶν ο' δύο ἑτέρους, Μάρκον καὶ Λουκᾶν. Καὶ πάντας δὲ δι' ἀνάγκης κατέχει λόγος ἐπὶ τὸ γράφειν ἐλθεῖν. Αὐτίκα γὰρ πρῶτος Ματθαῖος ὁ ἐκ τελωνίου, Ἑβραίοις τὸν σωτήριον λόγον κηρύξας, ἐπείπερ ἀπαίρειν ἐφ' ἕτερα τῶν ἐθνῶν διὰ σπουδῆς εἶχε, πατρίῳ γλώττῃ τὸ κατ' αὐτὸν Εὐαγγέλιον μετὰ τε' ἔτη τῆς Χριστοῦ ἀναλήψεως καταλελοιπὼς, τὸ λεῖπον τῆς αὐτοῦ παρουσίας διὰ τῆς γραφῆς ἀπεπλήρου. Χρόνῳ δὲ πολλῷ ὕστερον Μάρκου τε καὶ Λουκᾶ ὑπὸ Πέτρῳ τὴν κατ' αὐτοὺς τῶν Εὐαγγελίων ἔκδοσιν πὀιησάντων, Ἰωάννην πρότερον ἀγράφῳ χρώμενον τῷ κηρύγματι, μετὰ λ' καὶ ς' ἔτη τῆς εἰς οὐρανὸν ἀνόδου Χριστοῦ, ὕστατον πάντων λόγος καὶ αὐτὸν ἐπὶ τὸ γράφειν ἐλθεῖν, ταύτην αἰτίαν προβεβλημένον· τῶν τριῶν εὐαγγελιστῶν τὰ συγγράμματα, πᾶσιν ἤδη ἐκδεκομένα, ἐπεί καὶ εἰς χεῖρας ταῦτα ἦκον τῷ Ἰωάννῃ, ἀποδοχῆς μὲν αὐτὰ πολλῆς ἀξιῶσαι, καὶ ἀληθείαν αὐτοῖς ἐπιμαρτυρῆσαι· ἐνδεῖν γε μὴν ἔφασκεν ἅττε δὴ ταῖς γραφαῖς λειπόντων τινῶν, ὅσα γε τῷ Σωτῆρι ἐν τοῖς πρώτοις τοῦ κηρύγματος πέπρακται. Καὶ γὰρ καὶ οἱ τρεῖς μόνα τὰ μετὰ τὴν κάθειρξιν ἐν τῷ δεσμωτηρίῳ τοῦ Ἰωάννου ἐφ' ἑνὶ ἔτει τῷ Σωτῆρι πεπραγμένα συγγράφουσι· καί γ' ἐν ταῖς κατ-αρχαῖς τῶν βιβλίων τοῦτ' ἐπισημαίνονται. Ὁ μὲν γὰρ Ματθαῖος εὐθὺς μετὰ τὴν τεσσαρακονθήμερον νηστείαν καὶ τὸν ἐπὶ ταύτῃ πειρασμὸν τοῦ χρόνου τῆς ἰδίας ἀναγραφῆς ἄρχεται. Ἀκούσας γὰρ, φησὶν, ὁ Ἰησοῦς ὅτι Ἰωάννης παρεδόθη, ἀνεχώρησεν ἀπὸ τῆς Ἰουδαίας εἰς τὴν Γαλιλαίαν. Τὰ δ' αὐτὰ καὶ Μάρκος. Μετὰ δὲ παραδοθῆναι τὸν Ἰωάννην, λέγων, ἦλθεν Ἰησοῦς εἰς τὴν Γαλιλαίαν. Παραπλησίως δὲ καὶ Λουκᾶς πρὶν ἤ τῶν κατὰ Χριστὸν ἄρξασθαι πράξεων, τὰ περὶ Ἰωάννου καὶ Ἡρῴδου διεξελθὼν, καὶ ὡς κατέκλεισε τὸν Ἰωάννην ἐν τῇ φυλακῇ, ἔπειτα τὰς τοῦ Χριστοῦ πράξεις ἐκτίθησι. Κἀντεῦθεν τὸν ἀπόστολον Ἰωάννην παρακληθέντα, τὸν πρὸς τῆς κάθειρξεως Ἰωάννου χρόνον, καὶ τὰ ἐν αὐτῷ τῷ Σωτῆρι διαπεπραγμένα τῷ κατ' αὐτὸν Εὐαγγελίῳ συντάξασθαι· καὶ τοῦτο διαφόρως ἐπισημήνασθαι, ποτὲ μὲν λέγοντα, Ταύτην ἀρχὴν ἐποίησε τῶν παραδόξων ὁ Ἰησοῦς· ἀλλοτε δὲ, μεταξὺ τῶν Ἰησοῦ πράξεων μνήμην τοῦ Βαπτιστοῦ ποιούμενον, πολλὰ περὶ αὐτῶν διεξέρχεσθαι· ὡς, Ἔτι τούτου βαπτίζοντος ἐν Αἰνὼν τῇ πόλει ἐγγὺς τοῦ Σαλείμ· οἷς δ' ἐπιφέρει καὶ τὸ, Οὔπω γὰρ ἦν Ἰωάννης βεβλημένος εἰς φυλακήν, τοῦτ' ἀριδήλως παρίστησιν. Εὔδηλον οὖν, ὡς ὁ μὲν Ἰωάννης τὰ πρὸ τῆς καθείρξεως αὐτοῦ τῇ αὐτοῦ γραφῇ παραδίδωσιν, οἱ δὲ λοιποὶ τρεῖς τὰ μετὰ τὴν κάθειρξιν. Κἀντεῦθεν τοῖς γε ἀκριβῶς ἐπιστατοῦσιν οὐδὲ διαφωνεῖν ἂν οἱ εὐαγγελισταὶ δόξαιεν, εἴ γε ὁ μὲν τὰ πρῶτα τοῦ Χριστοῦ περιέλαβέ, καὶ ὅσα γε

notha et illegitima repudiaverit, reliquum est ut scribamus. Ac primum quidem de divinis Evangeliis est dicendum. Itaque de rebus Servstoris et Domini nostri duos ex duodecim apostolis tantum historiam scripsisse scimus, Matthæum et Joannem, et ex septuaginta illis itidem duos, Marcum et Lucam. Omnes autem isti necessitate quadam ad scribendum adducti esse videntur. Statim enim primus Matthæus publicanus, Hebræis salutifero Verbo prædicato, quandoquidem alio ad gentes ire maturabat, sermone patrio Evangelium suum, elapsis quindecim post Christi ascensionem annis, scripsit: atque id eis relinquens, absentiam suam profectus scripto præsenti compensavit. Longo deinde intercedente tempore, Marcus et Lucas Evangelia sua, jussu Petri et Pauli, composuerunt. Joannes autem (1), qui prius sine scripto verbum deprædicasset, post triginta sex a Christi ascensione annos, postremus omnium creditur ad scribendum descendisse, tali ei præbita causa et occasione. Trium priorum evangelistarum libri passim jam publicati erant. Qui cum in Joannis quoque manus pervenissent, recipiendos eos esse censuit, fidem illis veritatis attestatus: desiderat tamen in eis quædam dixit, quæ Servator initio prædicationis gessisset. Etenim tres illi res tantammodo Christi unius anni, a vinculis Joannis exorsi, prosequuntur: id quod in principiis scriptorum suorum indicant. Siquidem Matthæus post expositum quadragesimale jejunium, et quæ id consecuta est tentationem, ab eo tempore scriptum suum texit. 214 *Audiens enim*, inquit, *Jesus, quod Joannes traditus esset, reversus est ex Judæa in Galilæam.* Consimiliter et Marcus scripsit: *Postquam autem traditus esset Joannes, venit Jesus in Galilæam.* Itidem porro et Lucas, priusquam res Christi narrare incipit, de Joanne et Herode, quomodo is illum in carcerem conjecerit, commemorat, ac deinceps Christi acta exponit. Proinde apostolus Joannes, rogatus, tempus quod Joannis vincula præcessit, et res in eo a Servatore actas, in Evangelium suum retulit. Atque id ipse diserte et varie ostendit, aliquando quidem dicens: *Hoc initium miraculorum suorum fecit Jesus.* Nonnunquam autem inter medias Jesu res, Baptistæ tantum faciens mentionem, pluribusque eas persequens, ut ibi: *Cum ille adhuc baptizaret in Ænon civitate prope Salim:* et alibi item, cum illud infert: *Nondum enim Joannes conjectus erat in carcerem*, hoc aperte confirmat. Satis igitur constat, Joannem quidem res Christi ante Baptistæ vincula ut plurimum prosecutum esse: reliquos autem tres, quæ post id tempus ab eo sunt actæ scripsisse. Quapropter quibus ista accurata ratione observabuntur, minime dissidere inter se evangelistæ videbuntur: si hic quidem priores Christi

(1) Epiphanius contra Ebionitas scripsit, Evangelium Joannis etiam ex Græco in Hebræum sermonem translatum in gazophylaciis Judæorum asservatum esse apud Tiberiadem.

res, quas illi præterierant, complectitur, illi autem posteriores commemorant. Ostendit id satis, quod Joannes quidem Servatoris genealogiam carnalem præteriit, a Matthæo et Luca antehac expressam. Theologiam autem et divinam generationem ejus, tanquam illa longe præstantiorem, et sibi a Spiritu sancto reservatam, ab initio Evangelii sui explicat. Fortasse autem et alias quasdam causas afferre quis possit, quare Joannes Evangelium suum scribendi consilium ceperit. Quod enim illi præcipuum illud resuscitati Lazari miraculum maximum futuræ resurrectionis specimen omiserunt, neque veram illam theologiam principioque carentem generationem, tum autem neque suprema morituri Salvatoris mandata, testamenti instar obtinentia attigerunt, satis causæ habuisse videtur, cur ad illa tria Evangelium suum adderet. Marcus autem, qua adductus causa suum quoque scripserit, paulo ante in quindecimo libri hujus capite retulimus. Cum **215** enim Petrus adversus Simonem fortiter rem gereret, vastitatique illius obviam iret, ac simul occidentali oræ lucem inferret, tantum concionum suarum in animos auditorum immisit desiderium, ut viva voce contenti esse non possent. Quamobrem illi Marcum, qui tum apostolum comitabatur, rogarunt, ut conciones a Petro habitas, in manumentum scriptis relatas, ipsis relinqueret. Delectatus est apostolus tam propenso illorum desiderio, et Marco Evangelium dictavit, atque ut id in ecclesii deinceps legeretur sanxit. Talem causam Evangelii secundum Marcum recenset Clemens in sexto *Dispositionum* libro ; atque itidem Hierapolitanus episcopus Papias. Sanctus porro Lucas initio statim scripti sui consilium, quo ad scribendum pervenerit, exponit. Dicit enim, plures quidem, de quibus ipse certo edoctus esset rebus, temere scribere ausos fuisse : se autem dubiis ancipitibusque libros rejectis, et sermonum veritatis certitudine percepta, quippe qui cum Paulo et cæteris apostolis vixerit, illorumque hisce de rebus colloquiis, convictu, et familiari consuetudine sit adjutus, necessario ad conscribendum Evangelium adductum esse. Hæc germana sunt et nativa apostolorum Evangelia, jam inde ab initio promulgata, et quæ indubitatæ certæque fidei in Ecclesia habentur. Idem vero Lucas et Actorum apostolicorum composuit librum, Pauli (ut aiunt) jussu. Atque equidem duo ex duodecim, et duo item ex septuaginta discipulis et apostolis, quatuor Evangeliorum scripturam absolverunt. Porro divus Jacobus, frater Domini, duodecim tribubus unam catholicam conscripsit epistolam : duas itidem Petrus, et tres divinus Joannes : unam autem Judas, Jacobi, fortasse autem et Domini dicendus frater : quas numero septem universas, ut germanas atque nativas, dudum Ecclesia recepit, et in numerum Novi Testamenti vernaculorum librorum quam maxime retulit : sicuti etiam quatuordecim divi Pauli

A ἐκεῖνοι παρέλιπον · οἱ δ' αὖ γε τὰ ἐπὶ τέλει τούτῳ γενόμενα διεξῆλθον. Δείκνυται δὲ, οἷς ὁ μὲν Ἰωάννης τὴν μὲν σαρκικὴν τοῦ Σωτῆρος γενεαλογίαν παρέδραμε, Ματθαίῳ τε καὶ Λουκᾷ προγραφεῖσαν · τῆς δὲ θεολογίας κατάρχεται, οἵά τινος κρείττονος πρὸς τοῦ θείου Πνεύματος ταμιευθείσης αὐτῷ. Ἴσως δὲ καὶ δι' ἀλλ' ἄττα τεκμηριώσαιτ' ἂν τις τὸν Ἰωάννην ἐλθεῖν ἐπὶ τὴν γραφὴν, ὅτι τε τὸ κατὰ τὸν Λάζαρον ἐξαίσιον ἐκεῖνο τέρας παρῆκαν, μεγίστην ἔνδειξιν τῆς ἐσομένης ἀναστάσεως μνηστευόμενον · καὶ ὅτιπερ ἥκιστά γ' ἐκεῖνοι τῆς ἀνάρχου γεννήσεως καὶ θεολογίας καὶ τῶν ἐπὶ τέλει διαθηκῴων ἐνταλμάτων μνείαν πεποίηνται · ὧν δὴ χάριν τοῦτον ἐπὶ τὸ κατ' αὐτὸν Εὐαγγέλιον ὁρμῆσαι λόγος. Τῆς δὲ τοῦ κατὰ Μάρκον Εὐαγγελίου γραφῆς αἴτιον, ὃ μικρῷ πρόσθεν ἐν τῷ ιε' κεφαλαίῳ τοῦ παρόντος συντάγματος διελάβομεν · ὡς B τοῦ Πέτρου κατὰ τοῦ ἐναγοῦς ἀνδριζομένου Σίμωνος, καὶ τὴν ἐκείνου λύμην ἐκλύοντος, καὶ ἐν ἐσπέρᾳ τὸ φῶς ἐνιέντος τῆς πίστεως, τοσοῦτον ἵμερον τῶν λόγων ἐκείνου ταῖς τῶν ἀκροατῶν ἐνθεῖναι ψυχαῖς, ὡς μὴ μέχρι λόγων θέλειν ἐμμένειν · λιπαρῆσαι δὲ Μάρκον τηνικάδε τῷ ἀποστόλῳ ἑπόμενον, ὑπόμνημα ἔγγραφον τῶν ἀγράφως εἰρημένων τούτῳ καταλιπεῖν. Ἡσθέντα τοιγαροῦν τὸν ἀπόστολον τῇ καλῇ τῶν πιστῶν προθυμίᾳ, ὑπαγορεῦσαι Μάρκῳ τὸ Εὐαγγέλιον, καὶ ἐξ ἐκείνου κυρῶσαι τὴν γραφὴν ταῖς ἐκκλησίαις ἀναγινώσκεσθαι. Ταύτην αἰτίαν Κλήμης τοῦ κατὰ Μάρκον Εὐαγγελίου ἐν τῇ ἕκτῃ τῶν Ὑποτυπώσεων ἱστορεῖ · ὡσαύτως καὶ ὁ Ἱεραπολίτης ἐπίσκοπος Παπίας, ὡς μικρὸν ἄνωθεν πλατύτερον ἠκριβώσαμεν, τῷ πεντεκαιδεκάτῳ δηλαδὴ κεφαλαίῳ C τοῦ παρόντος συντάγματος. Ὁ γε μὴν θεῖος Λουκᾶς, ἀρχόμενος τοῦ συγγράμματος, τὴν αἰτίαν προτίθησι, δι' ἣν ἐπὶ τὴν ἀναγραφὴν ἦλθεν · πολλῶν γὰρ, φησὶ, προπετῶς διηγήσιν τιθεμένων, ὧν αὐτὸς πεπληροφόρηται λόγων, ἀπαλλάττων τῆς ἀμφιβόλου συντάξεως, ὡς τἀσφαλὲς τῶν λόγων τῆς ἀληθείας εἰδώς, ἅ τε δὴ καὶ Παύλῳ καὶ τοῖς λοιποῖς ἀποστόλοις συνδιαγαγὼν, κἀκ τῆς ἐκείνων συνουσίας ὁμιλίας τε καὶ διατριβῆς πάμπαν ὠφελημένος, ἀναγκαίως ἐπὶ τὴν τῶν Εὐαγγελίων συνελαθῆναι γραφήν. Ἰδὼν γνήσια τῶν ἀποστόλων Εὐαγγέλια, καὶ ἀνέκαθεν παραδεδομένα, καὶ ἀναμφήριστα παρὰ πάσης ἐκκλησίας γινώσκεται. Ὁ δ' αὐτὸς Λουκᾶς καὶ τὸ τῶν ἀποστολικῶν Πράξεων βιβλίον συντάττει, ὥς φασι, Παύλου κελεύσαντος. Δύο μὲν οὖν ἐκ τῶν δώδεκα καὶ D δύο ἐκ τῶν ο' μαθητῶν καὶ ἀποστόλων τὴν τῶν τεσσάρων Εὐαγγελίων γραφὴν ἐκτιθέασι. Καὶ ὁ θεῖος δὲ Ἰάκωβος ὁ τοῦ Κυρίου ἀδελφὸς μίαν καθολικὴν τοῖς δώδεκα φυλαῖς συντάττει ἐπιστολήν · δύο δὲ ὁ Πέτρος ἐκτίθησι, καὶ τρεῖς ὁ θεσπέσιος Ἰωάννης · μίαν δὲ ὁ Ἰούδας ὁ ἀδελφὸς τοῦ Ἰακώβου, ἴσον δὲ εἰπεῖν τοῦ Κυρίου · ἃς δὴ ἑπτὰ οὔσας ὡς γνησίας ἡ Ἐκκλησία προσίεται ἄνωθεν, καὶ ἐν τοῖς οἰκείοις τῶν τῆς νέας Διαθήκης βιβλίων ἐγκρίνει ὡς μάλιστα · πρὸς δὴ ταύταις καὶ τὰς ιδ' τοῦ θείου Παύλου ἐπιστολάς · ὃς ἐν παρασκευῇ λόγων δυνατώτατος, νοήμασί τε ἱκανὸς γεγονὼς, οὐδέν τι τούτων πλέον γράψαι προείλετο, καὶ ταῦτα μυρία καὶ ἀπόῤῥητα

λέγειν ἔχων, ἅτε δὴ καὶ ἐπὶ τὸν τρίτον ἀνελήλυθὼς οὐρανὸν, καὶ ἐπὶ τὸν θεοτερπῆ παράδεισον ἐπαρθείς, καὶ τῶν ἀῤῥήτων ἐκείνων ἀκοῦσαι καταξιωθείς. Ὕστατον δὲ καὶ τὴν τοῦ Ἰωάννου Ἀποκάλυψιν ἐπιστάμεθα, παραδεδομένην τῇ Ἐκκλησίᾳ. Τὰ δὲ παρὰ ταῦτα νόθα τε καὶ παρέγγραπτα. Ὡς γε μὴν ἔχουσι τάξεως τὰ βιβλία, οὕτω δὴ κἀμοὶ ἐπῆλθε περὶ τούτων εἰπεῖν τὰς αἰτίας διηγουμένῳ τῆς συγγραφῆς, καὶ τῶν ἐκθεμένων αὐτά.

A epistolas, qui simul et verborum et sententiarum apparatu instructissimus, nihil sibi præterea scribendum esse duxit, cum quidem innumeros de rebus arcanis et ineffabilibus potuisset componere **216** libros, quippe qui in tertium usque cœlum raptus, et in paradisum divinis voluptatibus affluentum sublatus, maximas ibi, quæ dicere non est, res audiverit. Deinde et Joannis Apocalypsim novimus Ecclesiæ postremum traditam. Alia autem, præter hæc, omnia illegitima sunt et adulterina. Ordo autem librorum simul, cum causam editionis auctoresque eorum exponerem, a me recensitus est.

ΚΕΦΑΛ. ΜϚ'.

Περὶ τῶν ἀμφιβαλλομένων ἐνδιαθήκων βιβλίων, ὅπως ἐς ὕστερον τὸ ἔμπεδον ἔσχον· καὶ περὶ τῶν ἄλλως νόθων καὶ παρεγγράπτων, καὶ παντάπασιν ἀποβλήτων. B

CAPUT XLVI.

De testamentariis libris quibusdam in dubium vocatis, ut postea robur et auctoritatem obtinuerint Item de supuris et adulterinis, omninoque reprobandis scriptis.

Ἐπεὶ δέ τινες τῶν ἀρχαίων πολλὰ τῶν εἰρημένων ὠβέλισαν τῶν ἀσφαλῶς τῇ Ἐκκλησίᾳ παραδεδομένων, φέρε καὶ περὶ τούτων βραχέα διελεγχθῶμεν, τὸν δεύτερον καταπαύσωμεν τόμον, ἃ φησιν Εὐσέβιος ὁ Παμφίλου παρατιθέμενοι. Περὶ μὲν τῶν εἰρημένων τεσσάρων Εὐαγγελίων οὐδενί πω μέχρι καὶ ἐς δεῦρο ἀμφίβολος ἐκράτησεν ἔννοια· γνήσια δὲ καὶ οἰκεῖα μᾶλλα τῶν συγγραψαμένων εἶναι ἀνωμολόγηται. Ἐπίσης δέ φημι δόξαν ὑπεῖναι καὶ περὶ τῆς βίβλου τῶν Πράξεων. Ἐν ἀμφιβόλοις δ' ἦσαν ἥ τε πρώτη τῶν Καθολικῶν Ἰακώβου τοῦ ἀδελφοῦ τοῦ Κυρίου, καὶ ἡ ἑβδόμη Ἰούδα τοῦ ἀδελφοῦ αὐτοῦ, ἔτι δὲ καὶ ἡ δευτέρα τοῦ Πέτρου ἐπιστολή, ὡς ἅτε δὴ τοῖς C παλαιοῖς ἐν ἀμφιλέκτοις γεγενημέναι. Τῶν δέ γε τριῶν Ἰωάννου, πλὴν τῆς πρώτης, αἱ καθεξῆς δύο μέχρι πολλοῦ ἀντελέγοντο· καὶ ἄλλου πρεσβυτέρου Ἰωάννου εἶναι ταύτας λόγος κατεῖχεν, ὃς ἐν Ἐφέσῳ μετὰ τὸν Ἰωάννην παρῴκησεν, ὥς φησι Παπίας ὁ Ἱεραπολίτης, δύο μνήματα ἐν Ἐφέσῳ εἶναι ἱστορῶν ὁμωνύμων Ἰωαννῶν· ὧν ἑνὸς τοῦ πρεσβυτέρου ἐπιλεγομένου καὶ ὁμιλητὴν ἑαυτὸν λέγει. Καταλέγων γὰρ τοὺς πρεσβυτέρους τῶν ἀποστόλων, καὶ τῶν δύο τούτων μέμνηται οὑτωσὶ φάσκων· « Εἰ δὲ που καὶ παρηκολουθηκώς τις τοῖς πρεσβυτέροις ἔθλοι, τοὺς τῶν πρεσβυτέρων ἀνέκρινον λόγους· τί Ἀνδρέας, ἢ Πέτρος εἶπεν, ἢ Φίλιππος, ἢ Ἰάκωβος, ἢ τί Ἰωάννης, ἢ Ματθαῖος, ἤ τις ἕτερος τῶν τοῦ Κυρίου μαθητῶν· ἅ τε Ἀριστίων καὶ ὁ πρεσβύτερος Ἰωάννης. Οὐ γὰρ τὰ ἐκ τῶν βιβλίων τοσοῦτόν με ὠφελεῖν ὑπελάμβα- D νον, ὅσον τὰ παρὰ ζώσης φωνῆς. » Τούτου γοῦν τοῦ πρεσβυτέρου τῆς ἐν Ἐφέρῳ παροικίας τὴν δευτέραν καὶ τρίτην ἐπιστολήν, πρὸς δὲ καὶ τὴν Ἀποκάλυψιν εἶναί τινες ἐφαντάσθησαν· τῶν δὲ ἐπιστολῶν Παύλου, πλὴν τῆς πρὸς Ἑβραίους, ἀναμφίλεκτοι πᾶσαι διέμειναν. Κλήμης δὲ καὶ αὐτῆς ὁ Ῥώμης μνείαν ποιεῖται, καὶ ῥητοῖς τισι τῶν ἐκεῖσε φερομένων ἐμπρέπει. Ὅθεν σαφῶς παρίσταται μὴ νόθον εἶναι ταύτης τὸ σύγγραμμα· καί γε εἰκότως τοῖς λοιποῖς τοῦ Παύλου συγγράμμασι καταλέγεται. Τό γε μὴν αἴτιον τῆς περὶ ταύτην ἀμφιβολίας τοῦτ' γενίσθαι λόγος, ὅτι μὴ συνήθως ἐν ταύτῃ ὁ θεῖος Ἀπόστολος τὸ ἑαυτοῦ προβάλλεται ὄνομα, ὥσπερ κἀν

Quandoquidem vero apud antiquos quidam, ex eis libris quos retulimus, Ecclesiæ certo traditos, obelo quosdam confoderunt : de ea quoque re ubi pauca dixerimus, et quæ Eusebius Pamphili tradiderit adduxerimus, secundo huic tomo finem imponemus. Ac de quatuor quidem quæ dicta sunt Evangeliis, nemo adhuc ad hunc usque diem controversiam movit, omnesque ea germana et nativa esse sunt professi. Idem quoque de Actorum libro dicendum. De quibus autem addubitatum sit, hæc sunt. Prima inter catholicas. Jacobi, fratris Domini : et septima Judæ, fratris ejus : item posterior Petri epistola. De his enim anceps apud antiquos fuit opinio. Præterea ex tribus quæ dicuntur esse Joannis, extra primam, reliquis duabus aliquandino non integra data est auctoritas : nam alterius Joannis presbyteri esse creditæ sunt, qui Ephesi post Joannem habitaverit, ut Papias Hierapolita dicit, duo monumenta Ephesi esse memorans, unius atque alterius Joannis : quorum unius, presbyteri dicit, discipulum seipsum nominat. Recensens enim apostolorum seniores, et duorum istorum meminit, ita inquiens : « Quod si quando quispiam, qui seniorum apostolorum sectator fuisset, advenisset, seniorum requirebam verba et sententias, quid scilicet Andreas dixisset, aut Petrus, aut Philippus, aut Jacobus : aut quid Joannes, Matthæus, aut alius quisquam Domini discipulorum : quæ item Aristion, aut Joannes presbyter. Non enim libris tantum me, quantum viva voce adjuvari, credebam. » Ejus igitur presbyteri ecclesiæ Ephesiorum secundam et tertiam epistolam, **217** et Apocalypsim insuper, nonnulli esse somniarunt : Pauli autem epistolarum, præterquam quæ ad Hebræos est, omnes indubiæ certæque permansere auctoritatis. Et Clemens Romanus, cum mentionem ejus ipsius epistolæ facit, tum auctoritatibus etiam locorum quorumdam qui in ea sunt, decenter utitur. Unde satis apparet, non novam ejus esse editionem, recteque inter reliqua Pauli scripta censeri. Causa quidem, quod de ejus auctoritate sit addubitatum, illa esse vide-

tur, quod non itidem, ut in aliis suis epistolis fecit, divus Paulus nomen ei suum præfixerit. Id vero factum, ne in ipso statim procœmio, tanquam ab eis descivisset, eos perturbaret. Quapropter recte nomen suum omisit, præsertim cum sermone patrio ad Hebræos eam Apostolus scriberet. Quam deinde alii quidem a Luca evangelista, alii vero a Clemente, quod verisimilius est, versam esse asserunt. Persimilis enim est epistolæ ad Hebræos stylus, per omnia. Clementis epistolæ. Sententiæ præterea utriusque non admodum inter se differunt. Sed enim libri ii, tametsi controversi ab antiquis sint habiti, postea tamen in omnibus quæ sub cœlo sunt Ecclesiis, auctoritatem sacrosanctam et irrefragabilem obtinuerunt, et tanquam principia atque elementa pietatis nostræ sempiterna permanserunt. Cæterum illegitima et adulterina omnino scripta esse, scire debemus : Prædicationem, quæ dicitur. Petri, et quod secundum eum est Evangelium : Actorum item ejus librum, et quæ sub nomine ejus circumfertur Apocalypsim. Accepimus vero inter ambiguæ quoque auctoritatis scripta esse Actorum Pauli librum : et eum qui *Pastoris* habet titulum, quem Hermæ quidam ascribunt ei, cui in Epistola ad Romanos Paulus salutem nuntiari jubet. Nonnullis autem is admodum videtur esse necessarius, eis præcipue qui prima pietatis discunt rudimenta, multum afferens maturi fructus et utilitatis. Non pauci quidem certe apud antiquos eo sunt usi, inter ascititia etiam est Barnabæ, quæ circumfertur, epistola: et quæ dicuntur Apostolorum doctrinæ. Eodem quoque loco habendum secundum Hebræos Evangelium : quo in primis, qui in Christum ex Hebræis crediderunt, sunt delectati. Verum enimvero necessitas quædam nobis imposita erat, ut mentionem inferremus librorum eorum, qui vel ex professo per veram constantemque traditionem ab Ecclesia accepti, vel constroversæ quidem fuere auctoritatis, **218** plurimorem tamen temporum usu et præscriptione comprobati, in testamentariorum atque canonicorum scriptorum numerum relati sunt : ut scilicet norimus, quæ legitimæ et, propriæ sint Ecclesiæ scripturæ, et quæ item ab ea quæ falso nominatur scientia, in primariorum referuntur apostolorum nomina, Petri puta, et Thomæ, et Matthiæ, et fortasse aliorum etiam quempiam Evangelia et Acta apostolorum complectentes quales sunt, quæ Andreæ et Joannis præferunt nomina : quarum nullus apostolicorum successorum, aut ecclesiasticorum deinceps scriptorum mentionem facit. Stylus quoque earum longe ab elocutione et more apostolico abest. Et institutum etiam atque sententia earum, exspectationi ei quam titulus promittit, minime respondet, et a recta ipsius veritatis doctrina longissime excidit. Unde astruere licet, scripta talia a viris dæmonum malorum intempiriis agitatis esse conficta. Quam ob causam ea ut ascititia et adulterina attingenda non sunt,

ταῖς ἄλλαις ἐποίησε · τοῦτο δὲ, ἵνα μὴ ἐκ προοιμίων ἐκείνους θορυβήσῃ ὡς μεταβληθείς · ὅθεν καὶ τὴν ἑαυτοῦ κλῆσιν, ὡς λόγος, παρῆκεν. Ἄλλως τε δὲ καὶ ἐγγράφως τῇ πατρίῳ γλώττῃ Ἑβραίοις τὴν ἐπιστολὴν διωμιληκότος τοῦ Ἀποστόλου, οἱ μὲν τὸν εὐαγγελιστὴν Λουκᾶν, ἄλλοι δὲ Κλήμεντα ταύτην ἑρμηνεῦσαί φασιν · ᾧ καὶ πείθεσθαι ἄμεινον. Ὁμοιός τε γὰρ ἐφ' ἅπασιν ὁ τῆς φράσεως χαρακτὴρ τῇ ἐπιστολῇ Κλήμεντος ὁ τῆς πρὸς Ἑβραίους σαφῶς διασώζεται · τά τε νοήματα ἐν ἀμφοτέραις, οὐ πάντη διεστηκότα. Ταῦτα μὲν εἰ καὶ ἀμφίβολα τοῖς πρότερον ἔδοξαν, ἀλλ' οὖν ἁπάσαις ἐς ὕστερον ταῖς ὑπ' οὐρανὸν ἐκκλησίαις τὸ ἀνάντιῤῥητον ἐσχηκότα ἐγνώκαμεν · καὶ ὡς ἀρχαὶ καὶ στοιχεῖα τῆς καθ' ἡμᾶς εὐσεβείας, αἰώνια διαμένουσι. Παντάπασί γε μὴν ὡς νόθα καὶ παρέγραπτα ταῦτα εἰδέναι ὀφείλομεν, τὸ λεγόμενον Κήρυγμα Πέτρου, καὶ τὸ κατ' αὐτὸν Εὐαγγέλιον, καὶ ὃ Πράξεων αὐτοῦ βιβλίον ὠνόμασται, καὶ ἡ ᾀδομένη αὐτοῦ Ἀποκάλυψις. Παρειλήφαμέν γε μὴν ἐν ἀμφιλέκτοις εἶναι καὶ τὸ τῶν Πράξεων Παύλου βιβλίον, καὶ τὸ τοῦ Ποιμένος ἔχον ἐπιγραφὴν, ὃ Ἑρμᾶ σύγγραμμα εἶναί τινες οἴονται · ὃν καὶ Παῦλος, ἐν τῇ πρὸς Ῥωμαίους, προσρήσεως ἀξιοῖ. Τισὶ δὲ τοῦτο καὶ ἀναγκαιότατον ἔδοξε, τοῖς μάλιστα εἰσαγωγικοῖς οὐκ ἐλαχίστην παρέχον συντέλειαν. Οὐκ ὀλίγοι μέντοι τῶν παλαιῶν συγγραφέων τούτῳ ἐχρήσαντο. Ἐν νόθοις καὶ ἡ Βαρνάβα φερομένη ἐπιστολὴ, καὶ αἱ λεγόμεναι τῶν ἀποστόλων διδαχαί · ἤδη δ' ἐν τούτοις καὶ τὸ καθ' Ἑβραίους Εὐαγγέλιον ἀριθμείσθω · ᾧ μάλιστα οἱ ἐξ Ἑβραίων Χριστῷ προσιόντες ἔχαιρον ἀσμενίζοντες. Ἐπ' ἀνάγκης δέ μοι τούτων μνείαν ποιήσασθαι ἐξεγένετο, τάς τε ἀνωμολογημένας τῶν βίβλων κατὰ τὴν ἀληθῆ τῆς Ἐκκλησίας παράδοσιν, καὶ τὰς ἄλλας ἀντιλεχθείσας μὲν, χρόνῳ δὲ πλείστῳ βεβαιωθείσας, καὶ παρὰ πᾶσι ταῖς ἐνδιαθήκοις καταλεγείσας · ὡς ἂν ταύτας τε εἰδέναι ἔχοιμεν, ὅσαι γνήσιαι τῆς Ἐκκλησίας γραφαὶ, καὶ ὅσαι πρὸς τῶν ἀπὸ τῆς ψευδωνύμου γοώσεως ἐφ' ἑνί τινι τῶν πρώτων ἀνατέθεινται ἀποστόλων · Πέτρου φέρε εἰπεῖν, Θωμᾶ τε καὶ Ματθαίου, ἴσως δὲ καί τινων ἄλλων Εὐαγγέλια περιεχούσας καὶ Πράξεις ἀποστόλων ἑτέρων, ὥσπερ ἃς Ἀνθρέου καὶ Ἰωάννου προβάλλονται · ὧν οὔτις τῶν ἀποστολικῶν διαδόχων καὶ τῶν καθεξῆς ἐκκλησιαστικῶν συγγραφέων μνείαν πεποίηται. Ὁ δ' αὖ χαρακτὴρ πόῤῥω πη ἐλαύνει τῆς ἀποστολικῆς φράσεως καὶ τοῦ ἤθους. Ἀπᾴδει μέντοι καὶ ἡ τῶν ἐπηγγελμένων ἐν τούτοις προαιρεσίς τε καὶ γνώμη · καὶ τοῦ ὀρθοῦ τῆς ἀληθοῦς δόξης μακράν που ἐκπίπτει, κἀντεῦθεν παρίσταται ὡς τὰ τοιαῦτα κακοδαιμονίας μεστῶν ἀνδρῶν εἰσιν ἀναπλάσματα. Τοίνυν μηδὲ ὡς νόθοις τούτοις προσιτέον, ἀλλ᾽ ὡς ἄτοπα πάντη παραιτητέον, καὶ φυγῇ τῇ πάσῃ φευκτέον τούτων ὡς μάλιστα · ἐκείνοις δὲ μόνοις προσεκτέον ὡς θεοπνεύστοις, καὶ πιστευτέον ἁπλῶς ὡς ἔχουσιν οὕτω λέξεώς τε καὶ φράσεως. Οἱ γὰρ θεοειδεῖς ἀπόστολοι βίῳ διαλάμποντες ὑπερφυεῖ, καὶ κατάκοσμοι τὰς ψυχὰς ὑπάρχοντες ἁπάσῃ δῆτ' ἀρετῇ, ἰδιῶται δ' ἄλλως ὄντες τὴν γλῶτταν, καὶ θάῤῥος γε

μὴν οὐ μέτριον τῇ ἄνωθεν αὐτοῖς δεδωρημένῃ δυνάμει αὐχοῦντες, πειθοῖ λόγων τὰ τοῦ διδασκάλου πρεσβεύειν μαθήματα, οὐτε ἤδεσαν, οὔτ' ἐπεχείρουν. Τῇ παραδοξοποιῷ δὲ ξυνάμει τοῦ Πνεύματος, καὶ ταῖς τῶν θαυμάτων ἐνεργείαις εἰς ἀπόδειξιν χρώμενοι, τὴν ὑπερανῳκισμένην γνῶσιν κατήγγελον, τοῦ τεχνηέντως διομιλεῖσθαι καὶ γράφειν ἐν ἐλαχίστῃ μοίρᾳ ποιούμενοι. Τοῦτο δὲ ἦσαν διαπραττόμενοι, εἰδότες ὡς μείζονί τινι καὶ ὑπὲρ ἄνθρωπον διακονίᾳ ὑπηρετούμενοι. Περὶ μέντοι Κλήμεντος. Ἰγνατίου τοῦ θεοφόρου, Πολυκάρπου τε καὶ Ἰουστίνου, καὶ τῶν λοιπῶν ἀποστολικῶν διαδόχων, καὶ περὶ ὧν συνεγράψαντο, ἐν τῇ ἑφεξῆς ῥηθήσεται ἱστορίᾳ. Καὶ τὰ μὲν τῶν ἀποστολικῶν πράξεων, καὶ ὡς διέβησαν ἕκαστος τῶν δώδεκα πρὸς Θεὸν, καὶ τίνα αὐτῶν συγγράμματα γνήσιά τε καὶ ἐνδιάθηκα, ἐν τούτοις. Ἐγὼ δὲ πέρας ἤδη καὶ τῇ δευτέρᾳ μοι τῶν ἱστοριῶν ἐπιθήσω, εἰς μῆκος δὴ ἐκταθείσῃ ἐξ ἀναγκαίου· ἀρξαμένῃ μὲν ἀπὸ τοῦ ἐννεακαιδεκάτου ἔτους Τιβερίου Καίσαρος, ληξάσῃ δὲ ἄχρι καὶ τοῦ τεσσαρεσκαιδεκάτου ἔτους Νέρωνος, καθ' ὃ Πέτρος καὶ Παῦλος οἱ κορυφαῖοι τῶν ἀποστόλων τὸν τοῦ μαρτυρίου ἀνεδήσαντο στέφανον. Περιέχει δὲ καὶ ἡ παροῦσά μοι δευτέρα τῶν ἱστοριῶν χρόνον ἐτῶν ἑβδομον καὶ τριακοστόν· ὀπηνίκα κόσμου μὲν ἔτος ἑφοε', ἀπὸ δὲ τῆς θείας τοῦ Κυρίου γεννήσεως ἑβδομηκοστὸν τέλειον ἐπεραίνετο.

A sed omnino potius detestanda, et modis omnibus quam maxime fugienda : atque aliis illis tantum ut divinitus inspiratis incumbendum, atque simpliciter ita ut etiam scripta sunt credendum. Divini siquidem apostoli, sanctitate vitæ supra naturæ captum conspicui, et omni genere virtutis in animi suis exornati, quamvis alioqui ore rudi sermoneque incompto, fiduciam tamen ex concessa eis cœlitus vi et gratia spirantes, Magistri sui doctrinam oratione ad persuadendum composita promulgare neque sciverunt, neque adeo tentarunt. Sed Spiritus sancti res longe maximas efficiente virtute, et miraculorum operibus demonstrationum et probationum loco utentes, et artificiose vel locutionis vel scriptionis rationem nullam habentes, cœlestem disciplinam annuntiarunt. Idque ita fecerunt, quod se majori cuidam, quam quod hominum assequeretur captus ministerio inservire scirent. Cæterum de Clemente et deifero Ignatio, Polycarpo et Justino, aliisque apostolorum successoribus, et quæ scripta ii Ecclesiæ reliquerint, in sequenti commemorabimus historia. Atque equidem acta apostolorum et obitus, quo ex duodecim illis quisque ad Deum transierit, scriptaque eorum germana et canonica, sic se, ut diximus, habent. **219** Finem vero jam secundo quoque tomo huic, qui necessario in tantam a decimo nono Tiberii usque ad quartum decimum Neronis annum, quo apostolorum principes Petrus et Paulus martyrii receperunt coronam evasit, magnitudinem, impono. Continet autem mihi et secunda hæc historia annos triginta septem : cum quidem a mundo condito quinquies millesimus quingentesimus septuagesimus quintus (1), a Christi autem nativitate LXX omnino peractus esset annus (2).

B

(1) Secundum recentiores Chronicos 4048.

(2) Annus a nativitate Christi Salvatoris 70 incidit in tempus imperii Cæsarum Scr. Sulpit. Galbæ mensium 7. M. Sylvii Othonis mens. 3. dier. 5. et A. Vitelliimens. 8, dier. 10.

ΝΙΚΗΦΟΡΟΥ ΚΑΛΛΙΣΤΟΥ

ΞΑΝΘΟΠΟΥΛΟΥ

ΕΚΚΛΗΣΙΑΣΤΙΚΗΣ ΙΣΤΟΡΙΑΣ

ΤΟΜΟΣ Γ'.

—

NICEPHORI CALLISTI

XANTHOPULI

ECCLESIASTICÆ HISTORIÆ

TOMUS III.

—

ΚΕΦΑΛ. Α'. C

Τίνες πρῶτοι διάδοχοι τῶν ἱερῶν ἀποστόλων ἐγένοντο.

Καλῶς δὲ ἄρα, οἶμαι, καὶ ὡς χρεών γε ἦν, ὁ δεύτερος τῶν τόμων ἡμῖν πέρας αἴσιον ἔσχε ταῖς ἀπο-

222 CAPUT I.

Qui primi sanctorum apostolorum fuerint successores.

Recte equidem, ut puto, nobis secundus tomus est absolutus, qui apostolica acta et scripta, ita ut

decuit, complexus, secundo loco primas præ reliquis tulit. In tertio autem, qui nunc nobis in manibus est, primam illorum successionem exponemus : quomodo scilicet divini Verbi prædicatio per universum orbem increbuerit, et qui viri maximis quibusque ecclesiis præfuerint. Continebit is quoque eam, quæ totam ubique Judæorum gentem, metropolimque eorum Hierosolyma sustulit, internecionem : nec non ecclesiasticos scriptores atque doctores, qui post occidionem eam floruerunt, et qui ex illis certamine fortiter et generose peracto martyrii tulerunt coronam, quive rursus falso nominatæ scientiæ præierunt duces. Itaque divi apostoli, sicuti diximus, per omnem dispersi terram, provincias orbis ad Evangelium prædicandum sorte partiti sunt. Petrus quidem Hierosolymis primum, deinde Galatiæ et Bithyniæ, nec non Asiæ superiori, Cappadociæ et Italiæ cunctæ verbum prædicavit. Joannes autem in Asia annis pluribus cum docuisset, diem tandem suum obiit. Andreæ porro, quæ sunt ad Exinum oræ, Scythia **223** universa, Byzantium, Macedonia et Graciæ continens, provinciæ fuere. Thomas vero Parthis, Indis et insulæ Taprobanæ Evangelium promulgavit. Ægyptum et Libyam alius, alius item extremas Oceani regiones et insulas Britannicas sortitus est. Quas provincias prope omnes tanquam cœlestis quædam volucris, Paulus orbem habitabilem circumcirca peragrans, pervolavit : et ab Hierosolymis exorsus, usque ad Illyricum summa cura et fide veræ pietatis doctrinam disseminavit, firmissimaque Ecclesiæ fundamenta jecit. Horum autem æmulatores adeo multi fuere, ut eos numerare facile non sit, qui nimirum abunde satis et de Verbo et de Spiritu cum percepissent, ut fundatas ab illis ipsi contruerent ecclesias, idonei judicati sunt, qui Domini pascerent gregem, atque in apostolorum succederent locum, accurate probeque ab illis ipsis apostolis eruditi. Quapropter ii quoque magno animo salutifera regni cœlorum semina passim severunt. Acri enim vehementique veræ philosophiæ amore perciti, primum juxta salutare præceptum egenis substantiam facultatesque suas distribuere : ac deinde liberaliter, aliis quoque inobedientibus adhuc fidei verbo gentibus, divinorum oraculorum prodidere doctrinam. Atque ubi in recens jactis fundamentis, ecclesiisque institutis, pastores ordinassent, alio ipsi se contulere. Et gratia Dei miraculis uberrime diffusa, nationes simul totas ad finem pertrahebat. Longum autem esset omnes, quicunque primæ apostolorum successionis tempore per habitabilem orbem pastores ecclesiarum apostolicam et evangelicam suscepere functionem, sigillatim recensere. Satis autem fuerit ex multis paucos referre, quos etiam monumenta apostolicæ Ecclesiæ indicavere. Primus equidem divus Paulus complurium in Epistolis suis meminit [41], quos et cooperarios et

A στολικαῖς πράξεσι καὶ γραφαῖς ἀποχρώντως ἐνδιαπρέψας, καὶ ἐκ δευτερείου τὸ τῶν ἄλλων πρωτεῖον κτησάμενος. Τῷ δ' ἀνὰ χεῖρας τρίτῳ γε ὄντι τὰ τῆς πρώτης ἐκείνων διαδοχῆς ἔσται διεξελθεῖν, ὅπως τε εἰς πᾶσαν τὴν γῆν τὰ τοῦ θείου κηρύγματος ἐπιδέδωκε · τίσι τε τούτων τῶν μεγάλων παροικιῶν προστῆναι ἐκρίθη · ἔτι δὲ καὶ τὴν κατασχοῦσαν τῷ παντὶ τῶν Ἰουδαίων ἔθνει πανωλεθρίαν, καὶ αὐτῇ τῇ μητροπόλει αὐτῶν Ἱερουσαλὴμ διαλήψεται, καὶ ὅσοι δὴ μετὰ ταύτην ἐκκλησιαστικοὶ συγγραφεῖς καὶ διδάσκαλοι ἀνεφάνησαν · καὶ τίνες ἐκ τούτων ἀνδρικῶς διαγωνιζόμενοι τὸν τοῦ μαρτυρίου ἀνεδήσαντο στέφανον · τίνες δ' αὖθις τῆς ψευδωνύμου γνώσεως καθηγήσαντο. Οἱ μὲν οὖν θεῖοι ἀπόστολοι ἀνὰ πᾶσαν διασπαρέντες τὴν γῆν, κλήρῳ τὴν οἰκουμένην διε-
B μερίσαντο, καθάπερ ἐρρέθη μοι · καὶ Πέτρος μὲν ἐν Ἱερουσαλὴμ πρότερον, ἔπειτα Γαλατίᾳ καὶ Βιθυνίᾳ, τῇ τε ἀνωτέρᾳ Ἀσίᾳ, Καππαδοκίᾳ τε καὶ Ἰταλίᾳ πάσῃ ἐκήρυττεν · Ἰωάννης δ' ἐν Ἀσίᾳ διατρίψας, χρόνῳ πολλῷ ὕστερον τὸ τέλος ἔσχεν. Ἀνδρέᾳ δὲ τὰ περὶ τὸν Εὔξεινον καὶ τὴν Σκυθίαν πᾶσαν, Βυζαντίόν τε, Μακεδονία τε, καὶ ἡ περὶ τὴν Ἑλλάδα ἤπειρος ὁ κλῆρος ἦν. Θωμᾶς δὲ Πάρθοις καὶ Ἰνδοῖς, τῇ τε νήσῳ Ταπροβάνῃ ἐκήρυττεν. Αἴγυπτου δὲ καὶ Λιβύην ἄλλος ἐλάγχανε. Τοῖς δ' ἐσχάτοις τοῦ Ὠκεανοῦ καὶ ταῖς Βρεταννικαῖς νήσοις ἐφίστατο ἕτερος. Ἐπὶ δὲ τούτοις πᾶσιν οἷά τις πτηνὸς αἰθέριος ὁ Παῦλος διέθει, κύκλῳ διατρέχων τὴν οἰκουμένην, καὶ ἀπὸ Ἱερουσαλὴμ μέχρι τοῦ Ἰλλυρικοῦ σπουδῇ τῇ πάσῃ τὰ τῆς εὐσεβείας σπέρματα κρύπτων, καὶ τὰς κρηπῖδας ἀῤῥαγεῖς τῇ Ἐκκλησίᾳ καταβαλλόμε-
C νος. Ζηλωταὶ μὲν οὖν τούτων πολλοὶ καὶ σχεδὸν μὴ ἀριθμῷ ὑποπίπτοντες γεγόνασιν, ἱκανῶς λόγου καὶ πνεύματος ἔχοντες τὰς ἱδρυθεῖσας τούτοις ἐκκλησίας οἰκοδομεῖν, καὶ δόκιμοι κριθέντες ποιμαίνειν, καὶ τὴν αὐτῶν ἐπέχοντες διαδοχήν, οἷα τοῖς τοιούτοις παιδευθέντες · οἳ καὶ τὰ σωτήρια σπέρματα τῆς τῶν οὐρανῶν βασιλείας ἀδεῶς σπείροντες ἦσαν · τῷ γὰρ σφοδρῷ τῆς ἀληθοῦς φιλοσοφίας νυττόμενοι ἔρωτι, ἐνδεῖσι τὰς οὐσίας ἑῶντες πρότερον κατὰ τὴν σωτήριον προσταγὴν, φιλοτίμως εἶχον ἑτέροις ἀνηκόοις ἔθνεσι τοῦ τῆς πίστεως λόγου τὴν τῶν θείων λόγων παραδιδόναι γραφήν. Εἶτα ἐπὶ τοῖς ξένοις θεμελίοις ἐγκαθιστῶντες ποιμένας, αὐτοὶ ἐφ' ἕτερα ἐπορεύοντο. Ἐπεχεῖτο γὰρ καὶ ἡ τοῦ Θεοῦ χάρις αὐτανδρα πλήθη ἐπισπωμένη τοῖς θαύμασι. Καὶ μακρὸν ἂν
D εἴη πάντας καταλέγειν ἑξῆς, ὅσοι κατὰ τὴν πρώτην διαδοχὴν ἐν ταῖς κατὰ τὴν οἰκουμένην ἐκκλησίαις ποιμένες, καὶ τὸν ἀποστολικὸν καὶ εὐαγγελικὸν ἐπανῃρημένοι βίον γεγόνασι. Πλὴν ἀρκέσει δή τι πολλῶν ὀλίγους εἰπεῖν, οὓς ὑπόμνησις ἀποστολικῆς Ἐκκλησίας ὑπεσημήνατο. Πρῶτος τοίνυν ὁ θεσπέσιος Παῦλος πολλῶν ἐν ταῖς Ἐπιστολαῖς αὐτοῦ μνείαν ποιεῖται, οὓς καὶ συνεργοὺς καὶ συστρατιώτας καλεῖ. Ἀλλὰ καὶ Λουκᾶς οὐκ ὀλίγων ἐξ ὀνόματος μνημονεύει · οἷος ἐκεῖνος Τιμόθεος τὴν ἐν Ἐφέσῳ πρῶτος εἰληχὼς παροικίαν · ὡς καὶ Τίτος τῶν ἐπὶ Κρή-

[41] Philipp. II, 25.

της · Βαρνάβας τε καὶ Δουκᾶς · Μάρκος τε καὶ Κρήσκης τῶν Γαλλίων ἡγησάμενος · ἔτι δὲ καὶ ὁ ἐξ Ἀρείου πάγου σοφώτατος Διονύσιος, ὃς καὶ τῆς ἐκεῖσε καθηγήσατο μητροπόλεως · Αἶνός τε καὶ Κλήμης ὁ ἱερός · ὅ τε θεοφόρος Ἰγνάτιος, καὶ ὁ θαυμάσιος Ἀπολλὼς, καὶ οἱ ἑβδομήκοντα · καὶ ἄλλοι, οὓς οὐ ῥᾴδιον τῷ λόγῳ διαδραμεῖν.

A commilitones vocat. Sed et Lucas non paucos nominatim laudat : qualis Timotheus ille est, qui primus Ephesi sortitus est ecclesiam, sicuti et Titus Cretæ : qualis etiam Barnabas, et Lucas ipse, Marcus et Crescens, qui Gallias rexit. Præterea ex Areopagitis sapientissimus Dionysius, qui etiam Athenis metropolitanæ præfuit Ecclesiæ. **224** Linus item, et sacer Clemens, divinus Ignatius, admirandus Apollos. Item septuaginta illi omnes, atque etiam alii, quos oratione recensere facile non est.

ΚΕΦΑΛ. Β'.

Περὶ τῶν μετὰ τοὺς ἀποστόλους Ῥώμης, Ἀλεξανδρείας, Ἀντιοχείας καὶ Ἱεροσολύμων τῆς Ἐκκλησίας ἡγησαμένων · καὶ ἑτέρων ἀποστολικοῖς διαπρεπόντων χαρίσμασι·

B

Οἵ γε μὴν τῶν μεγάλων παροικιῶν προεδρεύσαντες οὗτοι ἂν εἶεν. Μετὰ Πέτρον ἐν Ῥώμῃ πρῶτος τὴν ἐπισκοπὴν διαδέχεται, Λῖνος οὗ καὶ Παῦλος ἐν τῇ πρὸς Τιμόθεον ἐκ Ῥώμης γράφων, μνείαν πεποίηται. Οὗτος δ' ἐπὶ χρόνοις δέκα πρὸς δυσὶ τὴν λειτουργίαν κατασχὼν, Οὐεσπασιανοῦ καὶ Τίτου τοῦ παιδὸς χρατοῦντος, Ἀνεγκλήτῳ καταλιπὼν αὐτὴν, τοῦ βιοῦν ἀπαλλάττεται. Τίτου δὲ τῆς ἡγεμονίας τῷ δευτέρῳ ἐνιαυτῷ, Ἀνέγκλητον ἴσον δὴ χρόνον τῷ Λίνῳ τὰς ἱερὰς ἡνίας λαμπρῶς διοικήσαντα, ὁ σοφὸς διαδέχεται Κλήμης τῶν εὖ γεγονότων ὢν, καὶ εἰς Καίσαρας ἀναφέρων τοῦ γένους τὴν βλάστην · περὶ οὗ μικρὸν ὕστερον ἐροῦμεν. Τοῦτον συνεργὸν αὐτοῦ γενέσθαι Παῦλος Φιλιππησίοις γράφων φησί · Μετὰ καὶ Κλήμεντος καὶ τῶν λοιπῶν συνεργῶν μου, ὧν τὰ ἀνόματα ἐν βίβλῳ ζωῆς. Τῆς δ' ἐν Ἀλεξανδρείᾳ παροικίας μετὰ Μάρκον τὸν θεῖον εὐαγγελιστὴν πρῶτος Ἀνιανὸς τὴν ἐπισκοπὴν ἐκληροῦτο. Τετάρτῳ δ' ἔτει τῆς Δομετιανοῦ ἀρχῆς δύο πρὸς εἴκοσιν ἀναπλήσας ἔτη, τὸ βιοῦν ἀπολείπει. Δεύτερος δὲ μετ' αὐτὸν Ἀβίλλιος τὸν θρόνον λαμβάνει · οὗ ἐπὶ δέκα πρὸς τρισὶ καλῶς ἱερασαμένου, Κέρδων τὴν ἐπισκοπὴν διαδέχεται. Ἀλλὰ καὶ τῶν ἐπ' Ἀντιοχείας μετὰ Πέτρον τε καὶ Λουκᾶν, Εὔοδιος πρῶτος καθίστατο. Τούτου δὲ δεύτερος Ἰγνάτιος ἐγνωρίζετο. Ἐνιαυτοῖς δ' ἐπ' ἐννέα διαπρέψας, ἐπὶ Ῥώμης Τραϊανοῦ τρίτῳ ἐνιαυτῷ ὑπ' ὀδοῦσι θηρίων ἁλῄθεται. Τούτου διάδοχος τρίτος ἀπὸ τῶν ἀποστόλων Ἥρως ὄνομα ἦν. Τῆς δ' ἐν Ἱεροσολύμοις Ἐκκλησίας μετὰ τὸν τοῦ Κυρίου ἀδελφὸν Ἰάκωβον, τριάκοντα ἔτη ἐπισκοπήσαντα, Συμεὼν μετὰ νὴν τῶν Ἱεροσολύμων ἅλωσιν, ὁ τοῦ Κλοπᾶ εἴτουν Κλεόπα υἱὸς, ἀνεψιὸς δὲ τοῦ Σωτῆρος εἶναι ἐλέγετο, διάδοχος ἦν. Τρίτος δ' ἐπ' ἐκείνῳ Ἰοῦστος τῶν ἐξ Ἰουδαίων πεπιστευκότων τηνικαῦτα πολλῶν εἷς ὤν. Ἄχρι δὲ καὶ τῶν χρόνων Τραϊανοῦ τὴν ἱερατείαν οὗτοι παρεῖλκον, ἔτι τῷ βίῳ περιόντος τοῦ ἠγαπημένου καὶ μαθητοῦ. Καθ' ὃν καιρὸν καὶ Πολύκαρπος ἐν Σμύρνῃ τῆς Ἀσίας διέπρεπε παρὰ Ἰωάννου τὴν ἐπισκοπὴν ἐγχειρισμένος · Παπίας τε Ἱεραπολίτης ἀνὴρ λόγῳ κεκοσμημένος, καὶ τῆς Γραφῆς ὡς

C

D

CAPUT II.

De iis qui post apostolos Romæ, Alexandriæ, Antiochiæ et Hierosolymis præfuerint Ecclesiæ, aliisque item viris apostolicis pollentibus donis.

Qui vero magnarum ecclesiarum præsides fuere, ii sunt. Post Petrum Romæ primus episcopatum suscepit Linus : cujus Paulus in ea quam Roma ad Timotheum scripsit Epistola, mentionem facit. Hic cum annis duodecim episcopale administrasset ministerium, Vespasiano filiosque ejus Tito imperantibus, Anacleto id relinquens, vita excessit. Secundo porro imperii Titi anno, Anacleto, qui totidem annis magnifice Ecclesiam ibi gubernaverat, successit sapiens ille Clemens, illustri genere clarus, et ad Cæsarum gentem ortum suum referens : de quo paulo post plura, Hunc cooperatorem suum fuisse, ad Philippenses scribens testatur Paulus : *Cum Clemente*, inquiens, *et reliquis cooperatoribus meis quorum nomina in libro vitæ conscripta sunt* [42]. In Alexandrina autem Ecclesia, post divum Marcum evangelistam, episcopatum primus obtinuit Anianus. Quarto autem imperii Domitiani anno, cum viginti duos annos Ecclesiæ præfuisset, vita est defunctus. Post hunc Abillius sedem eam recepit : qui cum eam tredecim rite gubernans annis obtinuisset. Cerdoni eam successori reliquit. Antichenam autem, post Petrum et Lucam, primus Evodius gubernavit. Ab hoc secundus fuit Ignatius : is cum annos novem episcopatum decenter omnino ibi administrasset, Romæ tertio Trajani anno bestiarum dentibus est commolitus. Hujus successoris, numero ab apostolis tertii, nomen erat Heros. In Hierosolymitano vero episcopatu, quem frater Domini Jacobus triginta annos tenuerat, post Hierosolymorum eversionem, Symeon Cleophæ filius, qui patruelis Servatoris fuisse dicitur (1), illi successit. Tertius ibi ex ordine Justus, eorum qui ex Judæis tum crediderant unus, episcopus fuit : qui quidem **225** episcopi ad Trajani usque tempora functionem suam perduxerunt, cum adhuc in vivis esset dilectus ille ac discipulus. Quo tempore et Polycarpus Smyrnæ in Asia floruit, ab eo ipso Joanne episcopus creatus. Papias quoque tum Hierapolita in sua ipse patria episcopatus magistratu est functus : vir cum

[42] Philipp. IV, 3.

(1) Cleopham fratrem fuisse Josephi, sponsi Virginis matris, Hegesippus contestatus est. Infra cap. 9.

eloquentie clarus, tum sacrarum Litterarum quam maxime peritus. Sed et Quadratus ea ætate prophetico dono, una cum Philippi filiabus, enituit: et alii præterea plures, apostolica gratia illustres atque conspicui, apostolorumque successionem sortiti. Verum de Clemente, Ignatio, Polycarpo et Papia, quæ par erit, deinceps in hoc ipso libro narrabimus. In præsentia enim ea tantum, quæ ad primam apostolorum successionem pertinent, ostendere instituimus.

A μάλιστα ἔμπειρος, τῆς αὐτοῦ πόλεως ἱερατικῶς προεδρεύων. Ἐπὶ τούτοις δὲ καὶ Κοδρᾶτος διέλαμπε προφητικῷ χαρίσματι σύναμα ταῖς Φιλίππου θυγατράσιν ἐνδιαπρέπων. Καὶ ἄλλοι πλείους κατὰ τούτους ἦσαν, ἀποστολικοῖς χαρίσμασιν ἐκφανεῖς, τὴν μετὰ τοὺς ἀποστόλους διαδοχὴν κληρωσάμενοι. Περὶ μέντοι Κλήμεντος, Ἰγνατίου, Πολυκάρπου τε καὶ Παπίου τὰ εἰκότα τοῖς ἐφεξῆς ἡ παροῦσά μοι διαλήψεται ἱστορία. Νῦν γὰρ, ὅσον τὸ τῆς ἀποστολικῆς διαδοχῆς πρώτως ἐνδείξασθαι προέθετο.

CAPUT III.

Quæ causa Romanis fuerit Judæis belli inferendi. Quanto tempore Judæi post Christum bello impetiti non sint. Et ut fideles homines per revelationem admoniti Hierosolyma reliquerint, et Pellam migrarint. Et quanto tempore alienigenæ ex Herode progeniti apud Judæos reguum obtinuerint.

ΚΕΦΑΛ. Γ'.

Τίνα αἴτια τῆς κατὰ Ἰουδαίους μάχης τοῖς Ῥωμαίοις ἐγένετο· καὶ πόσον χρόνον Ἰουδαῖοι μετὰ Χριστὸν ἀπολέμητοι διέμειναν· καὶ ὡς οἱ πιστοὶ δι' ἀποκαλύψεως λιπόντες τὴν Ἱερουσαλὴμ, εἰς τὴν Πέλλαν ᾤκησαν πόλιν. Καὶ ὅσον καὶ ἐπὶ πόσον χρόνον οἱ ἐξ Ἡρώδου ἀλλόφυλοι τοῦ Ἰουδαίων ἦρξαν ἐθνούς.

B

Nunc vero operæ pretium est referre, quomodo Judæorum adversus Romanos motum sit bellum: quæ causæ simul et prodigia Hierosolymorum præcesserint eversionem: et quomodo tandem ea urbs perpetratæ in Christum impietatis insanæque vecordiæ pœnas luens, sit eversa. Atque equidem quæ sub imperio Neronis, et ante id Felice post Pilatum Judæam provinciam obtinente, Judæis acciderint (1), clades, cum pontifices civilibus armis contra se invicem et adversus primores civitatis armarentur, et unusquisque eorum ad res novas spectans, ducem se ipsum constitueret, nemine id prorsus prohibente: cumque summa esset et sacerdotum impudentia, et rebellium sicariorum licentia: tum autem cum pontifex Jonathas et multi insuper alii præclari viri clam occiderentur: denique cum pseudopropheta Ægyptius quam plurimis seductis triginta millia hominum perderet, et reliqua in perturbato civitatis statu, nemine vel imperandi vel parendi officium præstante, committerentur, in proximo exposuimus libro. Decimo sane imperii Neronis anno maximum exortum esse bellum, magnamque universæ Judæorum genti accidisse calamitatem, Josephus commemorat (2): et præter plurima alia detrimenta, circiter decem millia eorum qui **226** honores magistratusque apud Judæos gesserunt, flagris concisos Hierosolymis, et tandem in crucem actos a Floro (3) gravem præterea tumultum contra Judæos per omnem Syriam motum esse tradit, cum ex universa gente plerique a civitatum incolis non aliter atque ab hostibus tam crudeliter cæderentur, ut passim in civitatibus loca omnia conspicerentur jacentium insepultorum cadaverum plena, puerorum simul et senum, mulierum quoque, quarum ne pudendæ quidem partes contectæ fuissent. Et quamvis tota ea provincia innumeris esset referta cladibus, tamen ea quæ fuerant ab unoquo-

C

D

Τοῦ λοιποῦ δὲ προὔργου γενήσεται διελθεῖν τῷ παρόντι λόγῳ, ὅπως ἡ κατὰ Ἰουδαίους πρὸς Ῥωμαίους ἀνεκινήθη μάχη· τίνα τε αἴτια καὶ σημεῖα τῆς Ἱερουσαλὴμ ἀλώσεως προηγήσαντο, καὶ ὡς τέλεον διεφθάρησαν δικαίαν τινύντες δίκην τῆς κατὰ Χριστοῦ μανίας καὶ ἀσελγείας. Ὅσα μὲν οὖν τούτοις ἐν ταῖς ἀρχαῖς Νέρωνος, Φήλικος τὴν ἡγεμονίαν τῆς Ἰουδαίας μετὰ Πιλᾶτον διέποντος, συνέβη παθεῖν, τῶν ἱερέων κατ' ἀλλήλων καὶ πρὸς τοὺς πρώτους ὁπλιζομένων τῆς πόλεως, καὶ ὡς ἕκαστος νεωτερίζων ἡγεμὼν ἦν, οὐδενὸς ὄντος τοῦ ἐπιπλήσσοντος· περί τε τῆς τῶν ἱερέων ἀναιδείας καὶ τῶν νεωτεριζόντων σικαρίων ληστῶν· ἔτι δὲ ὡς ἀρχιερεὺς αὐτῶν Ἰωνάθης καὶ πολλοὶ τῶν παρ' αὐτοῖς ἐπισήμων κρύφα διεφθάρησαν· προσέτι δὲ καὶ ὡς τρισμυρίους ὁ ψευδοπροφήτης Αἰγύπτιος ἀπατήσας πλείστους διέφθειρε· καὶ τὰ λοιπὰ τῆς ἀναρχίας αὐτῶν ἰδιώματα ἐν τῇ πρὸ ταύτης διελάβομεν ἱστορίᾳ. Δεκάτῳ δ' ἔτει τῆς ἀρχῆς Νέρωνος μέγιστον ἀναῤῥιπισθῆναι πόλεμον Ἰώσηπος ἱστορεῖ, καὶ πολλὴν τῷ παντὶ ἔθνει τῶν Ἰουδαίων γενέσθαι τὴν συμφοράν· ἐπὶ δὲ πλείστοις ἄλλοις μυρίους ὅσους τῶν παρὰ Ἰουδαίοις ἐν τιμαῖς ὄντας μάστιξιν αἰκισθέντας ἐν αὐτῇ τῇ Ἱερουσαλὴμ ὑπὸ Φλώρου ἀνασταυρωθῆναι δηλοῖ· καί τινα δὲ δεινὴν ταραχὴν Ἰουδαίοις κατειληφέναι καθ' ὅλην τὴν Σωρίαν πανταχόσε τῶν ἀπὸ τοῦ ἔθνους πρὸς τῶν κατὰ πόλιν ἐνοίκων τρόπῳ πολεμίων ἀνηλεῶς πορθουμένων, ὥστε ὁρᾶν τὰς πόλεις μεστὰς ἀτάφων σωμάτων, καὶ νεκροὺς ἅμα νηπίοις γέροντας ἐῤῥιμμένους· γύναια δὲ μηδὲ τῆς ἐπ' αἰδῶ σκέπης μετειληφότα· καὶ πᾶσαν μὲν τὴν ἐπαρχίαν μεστὴν ἀδιηγήτων συμφορῶν· μείζονα δὲ τῶν ἐκάστῳ τετολμημένων τὴν ἐπὶ τοῖς ἀπειλουμένοις ἀναστάτωσιν. Ταῦτα μὲν πρὸ τοῦ πολέμου ἡγήσασθαι Ἰώσηπος ἱστορεῖ· ἐπεὶ δὲ τὴν πρὸς Ῥωμαίους ὑποταγὴν Ἰουδαῖοι εἰς προῦπτον ἀπεώσαντο, Νέρων τῷ κατ' ἐκείνων ὑπερζέσεως θυμῷ, Οὐεσπεσιανῷ καὶ τῷ ἐκείνου παιδὶ Τίτῳ, ἐξ Ἀχαΐας καὶ Ἰταλίας ἀγέ-

(1) Seditio et intestinum bellum obortum in singulis civitatibus loca omnia in Judæa sanguine et cadaveribus implevit (Joseph. *De bell Jud.* lib. IV, cap. 9; Hegesipp. lib. IV, cap. 6.)

(2) Lib. XX, cap. ult. *De bell. Judaic.* lib. II, cap. 13.

(3) Tacit. lib. XXI de avaritia et crudelitate Cestii Flori, Judææ procuratoris.

ρωχον στρατιὰν ἀθροίσας, κατὰ Ἱεροσολύμων ἐπεμπε, τοῖς εἰρημένοις ἐπιτρέψας πολιορκίαν. Οὐεσπεσιανὸς τοιγαροῦν ταῖς κατὰ Ἰουδαίων ἐναβρυνόμενος νίκαις, ἐπὶ μᾶλλον προὐχώρει· Ἰουδαῖοι δὲ μὴ μόνον κατὰ Ῥωμαίων ὡπλίζοντο, πολλῷ δὲ μᾶλλον κατὰ Χριστοῦ· μυρίαις δ' ἐπιβουλαῖς κατ' ἐκείνων κεχρημένοι, καὶ τοῖς κατ' αὐτοῦ φόνοις ἔχαιρον, ὡς ἔδειξε Στέφανος καὶ ὁ τοῦ Ζεβεδαίου Ἰάκωβος, καὶ ὁ αὐτῷ ὁμώνυμος ὁ τοῦ Κυρίου κασίγνητος, καὶ ἄλλοι πλεῖστοι. Τῶν δὲ λοιπῶν ταῖς ἐκείνων ἐπιβουλαῖς τῆς Ἰουδαίας ἀπεληλαμένων γῆς· οὐ μὴν δὲ ἀλλὰ καὶ τοῦ λαοῦ τῆς ἐν Ἱεροσολύμοις Ἐκκλησίας μυστικοῖς τισι καὶ θείοις χρησμοῖς τῶν τισι δοκίμων ἐκεῖσε ἀποῤῥήτως δι' ἀποκαλύψεως ἐκδοθεῖσι, πρὸ τοῦ πολέμου, λόγος ἔχει μετανασθῆναι τῆς πόλεως, καί τινι πόλει προσοικεῖν κελευσθῆναι· Πέλα ἦν αὐτῇ ὄνομα· ὡς ἄν γε παντάπασι τῶν θείων ἐκλελοιπότων ἀνδρῶν, αὐτὴν ὡς οἷα καθέδραν καὶ μητρόπολιν ἀρχικὴν, καὶ τὴν ταύτης περίχωρον Ἰουδαίαν, ὡς πλεῖστα δὴ κατὰ Χριστοῦ καὶ τῶν θείων αὐτοῦ φοιτητῶν κακὰ διαπεπραγμένην, ἡ τοῦ Θεοῦ μετέλθοι δίκη, ἵνα γε πάμπαν ἡ γενεὰ ἐκείνων ἐξ ἀνθρώπων ἀφανισθείη. Ἐκ' ἔτη μὲν οὖν τεσσαράκοντα μετὰ τὴν εἰς οὐρανοὺς ἄνοδον τοῦ Σωτῆρος ἀπείρατοι διαμεμενήκασι, τοῦ Θεοῦ μετανοίας καιρὸν ὑπανοίγοντος ἔκ τε τῆς διατριβῆς καὶ διδασκαλίας, πρὸς δὲ καὶ παραδόξου ἐργασίας τῶν ἱερῶν ἀποστόλων. Ὡς δ' ἐπιστροφῆς ἥκιστα εἶχον, οἷα δή τινος ἔρκους ἀφαιρεθέντος, ἐφ' ἑαυτοὺς τὴν θεήλατον πανωλεθρίαν, Θεοῦ τὰ εἰκότα κρίνοντος, ἐπεσπάσαντο. Ἔτη μὲν γὰρ ἑκατὸν ὑπὸ ἀλλοφύλων Ἰουδαῖοι κατήρχοντο· Ἡρῴδης μὲν γὰρ ὁ πρῶτος ς ἔτη ζ' πρὸς λ' ἦρξε, μεθ' ὃν Ἀρχέλαος ὁ υἱὸς αὐτοῦ ἔτη ἐννέα· τούτῳ δὲ ὁ ἀδελφὸς αὐτοῦ Ἡρῴδης διάδοχος γίνεται· ὃς δὴ καὶ τὸν Βαπτιστὴν ξίφει ἀνεῖλε, τέσσαρα πρὸς τοῖς εἴκοσιν ἔτη διαγεγονώς. Μετὰ τοῦτον Ἀγρίππας, ὁ καὶ Ἡρῴδης καλούμενος, ὁ τὸν Ἰάκωβον ἀνελὼν μαχαίρᾳ, ἔτη ζ'. Τοῦτον δὲ ὁ υἱὸς αὐτοῦ διαδέχεται. Ἀγρίππας δὲ καὶ οὗτος ὠνόμαστο ὁ νεώτερος, ἐφ' οὗ Παῦλος παῤῥησίᾳ ἐχρήσατο. Εἴκοσι δὲ πρὸς τρισὶν ἔτη τετελεκὼς διαγέγονεν, ἕως οὗ τὴν παντελῆ πανωλεθρίαν ἔσχον Ἱεροσόλυμα.

A que perpetrata scelera superabat ea, quæ per minas denuntiata fuerat, eversio. Hæc quidem bellum præcessisse, Josephus, scribit. Sed enim cum Judæi aperte Romanis rebellarent. Nero contra eos ira exarsit : et Vespasianum filiumque ejus Titum ex Achaia et Italia cum exercitu valido et insolenti adversus Hierosolyma, urbis ejus obsidione illis mandata, misit. Vespasianus porro ex plerisque, quas a Judæis retulit victoriis, gloria parta, bellum id magis magisque prosecutus est : et Judæi non tantum contra Romanos, verum etiam contra Christum ipsum arma sumpserant. Et cum innumeras Romanis tetenderunt insidias, tum Christianorum cædibus sunt lætati. Id quod satis indicavit Stephanus ipse, Zebedæi filius Jacobus, eique cognominis ipsius Domini consobrinus, atque alii quam plurimi. Si qui vero adhuc erant reliqui, persecutione eorum Judæa sunt expulsi. Quin imo plebs Hierosolymitanæ Ecclesiæ universa, arcanis quibusdam et divinis responsis, quæ probatis quibusdam ibi viris per secretam revelationem reddita sunt, admonita, ante ipsum bellum civitate excessit : et in oppidum quoddam cui Pella nomen erat, ita ut jussa fuerat, commigravit : ut scilicet a piis divinisque viris omnibus derelicta ipsa Hierosolymorum civitate, tanquam cathedra et primaria metropolis, finitimaque ei Judæa, quod contra Christum divinosque ejus apostolos mala quam plurima perpetrassent, divinam exciperent vindictam, universaque eorum natio ex hominum numero tolleretur. Annis sed enim quadraginta post ascensionem Servatoris in cœlos (1), Judæi aperto bello oppugnati non sunt : quod Deus illis pœnitentiæ tempus præberet, eosque ad resipiscendum vita, doctrina **227** admirandisque operibus divorum apostolorum invitaret. Cum autem minime ut converterentur curarent, tanquam claustro quopiam et obice sublato, divinitus ingruentem sibi internecionem, justo judicio Dei, in seipsos pertraxerunt. Enimvero annos centum sub alienigenis fuerunt regibus. Herodes enim primus annis triginta septem eorum regnum tenuit, post hunc Archelaus filius ejus annos novem : cui frater ejus Herodes (2) succedens, is qui Baptistam gladio sustulit, viginti quatuor annos regnavit. Deinde Agrippa, qui et Herodes (3) nominatus est, et Jacobum interemit, annos septem : atque hujus successor filius ejus fuit Agrippa et ipse, junior scilicet, appellatus : apud quem libere pro se Paulus causam dixit. Viginti autem et tres annos is regnum administravit, quoad usque occidione Hierosolyma prorsus interiero.

ΚΕΦΑΛ. Δ'.

Ὅτι καὶ πρὸ καιροῦ σημεῖα θεόθεν μέγιστα ἐπτὰ τὰ καταληψόμενα πάθη τὴν Ἱερουσαλὴμ προεσήμαινον.

Καὶ παράδοξοι δὲ θεσπεσίαι τὸ μέλλον ὅσον οὔπω συμβαίνειν τεκμηρίοις δή τισιν ἀριδήλοις ὑπέφαι-

CAPUT IV.

Ut ante bellum Judaicum maxima septem prodigia divinitus cladem Hierosolymitanam portenderint.

Cæterum signa mirifica apertis quibusdam indiciis cladem jamjam advenientem prædicebant, ut

(1) Regnum ab Antonio Herodi datum, victor Augustus auxit : et gentem Judæorum coercitam, liberi Herodis quadripartito rexere. Sub Tiberio quies, C. Cæsaris mors motum Judaicum diremit. Claudius defunctis regibus, aut ad modicum redactis Judæam provinciam equilibus Romanis aut libertis permisit. Duravit tamen patientia Judæis usque ad Cestium Florum procuratorem : sub eo bellum ortum. Tacit. lib. xxi.

(2) Antipas.

(3) Priscus.

etiam Josephus ipse in VI *Historiarum* libro ostendit. « Miserandam igitur plebem, inquit, seductores illi a Deo longe aberrantes, tum suadendo decipiebant, certisque et claris indiciis desolationem et vastitiem futuram aperte indicantibus, nec animum adhibebant, nec fidem habebant : sed tanquam fulmine afflati atque consternati, qui neque oculos, neque mentem haberent, prædictiones Dei contemnebant (1). » Sed quænam tandem ea fuere signa (2)? Stella equidem crinita, gladio persimilis, anno toto supra urbem lucere visa est. Die Azymorum quodam. Aprilis mensis nono, hora quoque noctis nona, lucis splendor aram et templum ipsum ita illustravit, ut dies clara esse videretur : atque is splendor ad dimidiam duravit horam. Tertio porta urbis ad orientem spectans, ex solido ære facta, quæ propter ponderis magnitudinem vix circa crepusculum a viginti clausa erat viris, **223** ferreis suffulta vectibus, altissimisque in solo firmata palis, circiter horam noctis sextam sua sponte visa est aperiri. Ante solis quoque occasum in nubibus sublimes currus, et acies emicantes urbesque obsidentes apparuere. Die etiam quodam apud illos festo, Scenopegiam vocant, cum sacerdotes noctu more suo ad sacrum ministerium suum obeundum irent, fragorem et motum quemdam sensisse, ac deinceps vocem ingentem audisse traduntur, quæ migrandum inde esse denuntiaret. Quarto ante bellum anno vir quidam nomine Jesus, agrestis admodum et infimæ sortis homine (cui Anani nomen erat) prognatus, cum ingens pax et tranquillitas in urbe esset, derepente in templum ingressus : « Vox, inquit, ab Oriente, vox ab Occidente, vox a quatuor ventis, vox super Hierosolyma et ipsum templum, vox super sponsos et sponsas, vox super populum omnem. » Die autem noctuque hæc vociferans circuibat. Quapropter nonnulli tanquam mali ominis sermone ejus commoti, comprehensum eum plagis mactarunt. Ille vero minime movebatur, neque quidquam de seipso verebatur, et verba ea jam sibi consueta inclamare pergebat. Quin etiam ad Romanum præsidem adductus, cum itidem ibi verberaretur, non aliud prolocutus est verbum, neque etiam lacrymas emisit : sed miserandum tantum in modum lamentans, ad plagam unamquamque : « Væ, væ Hierosolymis ! » exclamavit. Bos quoque Azymorum die festo ad sacrificium in medium adducta templum, spectantibus omnibus agnum edidit. Idem ipse Josephus aliud quiddam magis admirandum refert : oraculum videlicet quoddam in sacris Litteris inventum esse, eo ipso tempore (3) ex popularibus eorum quemdam

(1) » Hierosolymitanum excidium Petrus quoque et Paulus apostoli in sermonibus suis prædixerunt.» (Lact. lib. IV, cap. 21.)

(2) » Evenerant, prodigia, quæ neque hostiis neque votis piare fas habet, gens superstitioni obnoxia, religionibus adversa. Visæ per cœlum concurrere acies, rutilantia arma, et subito nubium igne collucere templum. Expassæ repente delubri fores.

A νον, ὡς καὶ αὐτὸς Ἰώσηπος ἐν τῇ ἕκτῃ τῶν Συγγραφῶν ἱστορεῖ. « Τὸν γοῦν ἄθλιον, φησὶ, δῆμον οἱ μὲν ἀπατεῶνες καὶ ψευδόμενοι τοῦ Θεοῦ τηνικαῦτα παρέπειθον · τοῖς δ' ἐναργέσι καὶ προσημαίνουσι τὴν μέλλουσαν ἔσεσθαι ἐρημίαν οὐ προσεῖχον, οὔτ' ἐπίστευον · ἀλλ' ὡς ἐμβεβροντημένοι, καὶ μήτε ὄμμασι μήτε ψυχὴν ἔχοντες, τῶν τοῦ Θεοῦ κηρυγμάτων παρῆκουον. » Τίνα δὲ τὰ σημεῖα ; Ἀστὴρ μὲν γὰρ κομήτης ῥομφαίᾳ παραπλήσιος ἐπ' ἐνιαυτὸν ὑπὲρ τῆς πόλεως λάμπων ἐωρᾶτο · ἐν δὲ τῇ τῶν Ἀζύμων ἡμέρα ἐννάτῃ Ξανθικοῦ μηνὸς ἐν ὥρᾳ νυκτὸς ἐνάτῃ, αἴσλη φωτὸς τόν τε βωμὸν καὶ τὸν νεὼν περιέσχεν, ὡς δοκεῖν ἡμέραν φαίνειν λαμπράν · καὶ εἰς ἥμισυ ὥρας διέμεινε. Τρίτον ἡ πρὸς ἕω πύλη τῆς πόλεως χαλκοῦ πεποιημένη, τῷ στιβαρῷ τοῦ μεγέθους μόλις ὑπὸ εἴκοσι κατα δείλην περικεκλεισμένη ἀνδρῶν, σιδηροῖς μὲν ἐπερειδομένη μοχλοῖς βαθυτάτους δ' ἔχουσα παταπήγας εἰς τὸν οὐδὸν, περὶ ἕκτην ὥραν νυκτὸς αὐτομάτη ὤφθη ἀνεῳγμένη. Πρὸ δὲ ἡλίου δυσμῶν καὶ μετέωρα ἅρματα καὶ στρατόπεδα τῶν νεφελῶν διάττοντα καὶ τὰς πόλεις κυκλοῦντα ὤφθη. Κατὰ δὲ μίαν τῶν παρ' ἐκείνοις ἑορτῶν, Σκηνοπηγίαν καλοῦσιν αὐτὴν, νύκτωρ οἱ ἱερεῖς ἐλθόντες, ὥσπερ ἦν ἔθος ταῖς λειτουργίαις, κτύπου τινὸς, καὶ κινήσεως αἰσθέσθαι, ἔπειτα δὲ καὶ ἀθρόας ἀκοῦσαι φωνῆς λέγονται, Μεταβαίνωμεν ἐντεῦθεν, λεγούσης. Καὶ πρὸ τεσσάρων δ' ἐτῶν τοῦ πολέμου ἀνήρ τις, ὄνομα Ἰησοῦς, ἄγροικος καὶ ἐκ ἰδιώτου προελθών, Ἄνανος τὴν κλῆσιν, βαθείας εἰρήνης ἐπεχούσης τὴν πόλιν, ἐξαπίνης κατὰ τὸ ἱερὸν εἰσδραμὼν, Φωνὴ, ἐλεγεν, ἀπὸ ἀνατολῶν, φωνὴ ἀπὸ δύσεως, φωνὴ ἀπὸ τῶν τεσσάρων ἀνέμων, φωνὴ ἐπὶ Ἱεροσόλυμα καὶ τὸν ναὸν, φωνὴ ἐπὶ νυμφίους καὶ νύμφας, φωνὴ ἐπὶ πάντα τὸν λαόν · νύκτωρ δὲ καὶ μεθημέραν τοῦτο κεκραγὼς περιῄει. Τινὲς οὖν πρὸς τὸ δύσφημον ὀξυνόμενοι, συλλαμβάνοντες ἤκιζον. Ὁ δὲ ἥκιστα ἐπιστρέφετο · οὔτε μὴν περὶ ἑαυτοῦ δυσωπῶν ἦν · τὰ σύνηθες δὲ βοῶν διετέλει. Ἐπεὶ δὲ καὶ τῷ Ῥωμαίων ἄρχοντι παρεστὼς καὶ τυπτόμενος ἄλλο πλέον λέγειν οὐκ εἶχε, μηδαμῶς δὲ δακρύων, ὀλοφυρόμενος ἃ οἷον οἰκτιστον πρὸς ἑκάστην πληγὴν, Αἲ αἲ Ἱεροσολύμοις ! ἐβόα. Καὶ βοῦς δὲ κατὰ τὴν τῶν Ἀζύμων ἑορτὴν εἰς θυσίαν ἀχθεῖσα ἐν μέσῳ τῷ ἱερῷ, πάντων ὁρώντων ἄρνα γεννᾷ. Ὁ δ' αὐτὸς ἱστορεῖ καί τι ἄλλο παραδοξότερον · χρησμὸν καὶ γὰρ φησιν εὑρεθῆναι τοῖς ἱεροῖς γράμμασιν, ὡς κατ' ἐκεῖνο καιροῦ ἐγχώριός τις αὐτῶν τῆς οἰκουμένης πάσης κατάρξει. Ὁ μὲν οὖν Ἰώσηπος εἰς Οὐεσπεσιανὸν ἀνείληφε τὸν χρησμόν. Ἀλλὰ μόνης Ῥώμης, ὦ οὗτος, καὶ οὐχὶ πάσης ἄρχει τῆς γῆς. Πολλῷ δ' ἂν εἴη προσήκων. πρὸς τὸν Σωτῆρα καὶ Κύριον ἀναφέρεσθαι, πρὸς ὃν καὶ ὁ ἐν Ψαλμοῖς χρησμὸς ὡς ἀπὸ τοῦ Πατρὸς ἀνα-

Et audita major humana vox : **Excedere deos, Simul ingens motus excedentium, quæ pauci in metum trahebant. »** (Tacit. ut supra.)

(3) « Percrebuerat Oriente toto **vetus et constans opinio, esse in fatis, ut eo tempore Judæa profecti rerum potirentur. Id de imperatore Romano, quantum eventu postea patuit prædictum. Judæi ad se trahentes, rebellarum : cæsoque præposito, lega-**

φέρεται, Αἴτησαι παρ' ἐμοῦ, λέγοντος, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς. Οὗ τῶν μαθητῶν καὶ ὁ φθόγγος εἰς πᾶσαν ἐξῆλθε τὴν γῆν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τῶν ῥημάτων ἡ δύναμις. Τούτων δὲ ἤδη προειρημένων, ἐπὶ τὰ ἑξῆς τῆς ἱστορίας προΐωμεν.

A universo orbi imperaturum. Et Josephus quidem responsum id ad Vespasianum imperatorem retulit. Sed ille Romanæ tantum urbis, non universi terrarum omnium orbis imperium obtinuit. Rectius itaque oraculum tale Servatori et Domino nostro accommodetur, ad quem et illud Psalmi responsum a Patre refertur, *Postula a me*, dicente, *et dabo tibi gentes hæreditatem tuam, et possessionem tuam terminos terræ.* Cujus etiam discipulorum *vox in omnem exivit terram, et ad terminos orbis verba eorum.* Atque his ita præmissis, ad historiam ipsam deveniamus.

ΚΕΦΑΛ. Ε'.

B

Ὡς μετὰ Νέρωνα οἱ περὶ Γάλβαν καὶ Ὄθωνα, εἶτα Οὐεσπασιανὸς Ῥωμαίων ἄρχει· καὶ κατάλογος μερικὸς τῶν ὑπ' αὐτοῦ γεγενημένων τῇ Ἱερουσαλὴμ δεινῶν.

Νέρων μὲν οὖν τέσσαρας ἐπὶ δέκα αὐταρχήσας ἐνιαυτούς, τοῖς περὶ Γάλβαν καὶ Ὄθωνα καὶ Οὐϊτέλλιον τὴν ἀρχὴν αἰσχρῶς καταλιπὼν, τὸν βίον μετήλλαξε. Καὶ οὗτοι δ' ἐπ' ἐνιαυτῷ καὶ μησὶν ἓξ θᾶττον διαφθαρέντες, Οὐεσπεσιανῷ τῆς αὐτοκρατορίας παραχωροῦσι, τοῖς κατὰ Ἱεροσολύμων τροπαίοις κληϊξομένῳ. Καὶ τοίνυν ὑπὸ τῶν συνόντων στρατευμάτων ἀναγορευθεὶς, τῷ μὲν υἱῷ Τίτῳ τὸν κατὰ Ἰουδαίων πόλεμον ἐγχειρίζει· αὐτὸς δ' οἷ τάχους εἶχεν, ὅλαις ἡνίαις τὴν ἐς Ῥώμην φέρουσαν ἤλαυνεν. Ἀλλ' ὅσα εἰς ἅπαντα τῆς Ἰουδαίας τὸν τόπον συνερρύηκακά· οἵαις τε συμφοραῖς τὸ Ἰουδαίων ἔθνος ἁπανταχοῦ συνηλάθη· καὶ ὡς διαφόροις θανάτων εἴδεσι, τὸ δὲ πλέον λιμῷ καὶ ξίφει μυριάδες ἡβηδὸν διεφθάρησαν· ὅσαι τε κατὰ χώρας πολιορκίαι προὔβησαν· καὶ τὸ τελευταῖον, ὡς ἐπ' αὐτὴν τὴν Ἱερουσαλὴμ ὡς οἷα ἕρκος τι τῶν ἀμάχων καταπεφευγότες, οὐδ' ἀκοῦσαι φορητὰ πεπόνθασι· τήν τε διασκευὴν ἅπασαν τοῦ πολέμου, ἕκαστά τε τῶν ἐν μέρει ἑκάστοις τηνικάδε γεγενημένων· καὶ ὡς τὸ πάλαι δὴ τοῖς προφήταις εἰρημένον, τὸ τῆς ἐρημώσεως βδέλυγμα τῷ περιβοήτῳ ἔστη νεῷ, πυρὸς εἰσάπαν ἀνάλωμα γενομένῳ, ἐκ τῶν τῷ Ἰωσήπῳ εἰρημένων πάρεστιν ἀναλέγεσθαι. Τοῦτό γε μὴν προσῆκον ὑποσημήνασθαι, ὡς αὐτὸς οὗτος περί που τὰς τριακοσίας μυριάδας ἱστορεῖ, πλῆθος εἰσρυῆναι ἐκ πάσης Ἰουδαίας κατὰ τὸν νοῦ Πάσχα καιρὸν, καὶ οἷά τινι περικλεισθῆναι φρουρᾷ. Ἐχρῆν καὶ γὰρ κατ' αὐτάς γε πάντως τὰς ἡμέρας καὶ τούτους ὑποστῆναι τῆς κατὰ τὸν Σωτῆρα λύττης τὸν ὄλεθρον, καὶ τῆς θείας δίκης πειρᾶσθαι, καθ' ἃς ἐκεῖνοι τὴν κατὰ Χριστὸν

229 CAPUT V.

Ut post Neronem Galba et Otho et Vitellius, et deinde Vespasianus Romanis imperarit : et particularis commemoratio calamitatum, quæ sub Vespasiano Hierosolymis acciderunt.

Nero cum quatuor decim annos imperasset, Galbæ, Othoni et Vitellio turpiter imperio relicto, vitam finivit : atque ii etiam unius anni et mensium sex tempore cæci disperierunt : et Vespasiano, qui tum adversus Hierosolyma bellum gerens multis fuerat tropæis nobilitatus, imperium reliquere. Ubi a militaribus copiis quæ cum ipso erant, imperator renuntiatus, filio Tito bellum Judaicum mandavit : ipse autem, quanta potuit celeritate, Romam contendit. Porro quanta in omnes Judææ partes mala pervenerint, quibusve cladibus ubique gens Judæorum sit conflictata, quam varia etiam mortis specie, in primis vero fame et ferro, multa millia omnis ætatis hominum interierint, et quæ seorsim oppida obsessa fuerint : postremoque cum undequaque omnes ipsa Hierosolyma tanquam in propugnaculum inexpugnabile confugissent, quæ auditu quoque tolerabilia non sunt (1), pertulerint : item, qui belli totius fuerit apparatus, aut quæ seorsim cuique tum dura atque acerba acciderint : denique ut desolationis abominatio, pro eo atque dudum a prophetis prædictum fuerat, in celeberrimo illo templo, quod quidem incendio fœde vastatum est, steterit : ea omnia ex Josephi Historia peti possunt. Illud certe quidem modis omnibus indicare convenit, eumdem ipsum historicum alicubi referre, ad ter centenas myriades hominum multitudinis ex universa Judæa (2), ipsis Paschæ feriis, Hierosolyma confluxisse, atque eam ibi perinde atque in custodia et carcere circumclusam et obsessam esse (3). Æquum enim erat, eis ipsis diebus, quibus

[43] Psal. II, 8. [44] Psal. XVIII, 5.

tum insuper Syriæ consularem suppetias ferentem rapta aquila fugaverunt. » (Sueton. in Vespas.) « Pluribus persuasio inerat, antiquis sacerdotum litteris contineri, eo ipso tempore fore ut valesceret Oriens, profectique Judæa rerum potirentur. Quæ embages Vespasianum ac Titum prædixerant. (Tacitus.)

templum ambiebatur, egregium propugnaculum. Fons perennis aquæ, etc. Præviderant conditores ex diversitate morum creba bella ; inde cuncta, quamvis adversus longius obsidium. Et a Pompeio expugnatis metus atque usus pleraque monstraverat. Atque per avaritiam Claudianorum temporum, empto jure muniendi, struxere muros in pace tanquam ad bellum, magna colluvie et cæterarum urbium clade aucti. » (Hæc Tac. ut supra.)

(1) Hierosolymorum urbem munitissimam fuisse, testatur Tacitus lib. XXI : « Sed urbem arduam situ opera molesque firmaverant, etc. Alia intus mœnia regiæ circumjecta, conspicuoque fastigio turris, Antonia in honorem M Antonii ab Herode appellata. Templum in modum arcis, propiique muri, labore et opere ante alios. Ipse porticus, queis

(2) Hoc est, tricies centena millia hominum.

(3) « Multitudinem obsessorum omnis ætatis, virilis ac muliebris sexus, sexcentena millia fuisse accepimus. » (Tacitus, ut supra.)

tanto studio ad Christi Servatoris benefactorisque omnium cædem furibunde acti fuerant, virumque sanguinarium et homicidam summis illius beneficiis præposuerant, regnum quoque ejus (Cæsari addicti) proterve rejecerant, propter eum quem in Servatorem evomuerant rabidum furorem divinam experiri **230** vindictam, extremumque subire exitium, atque ita condignam factis suis reportare gratiam et compensationem. Atque equidem prætereundum etiam esse duxi, quas illi vel a ferro, vel ab aliis belli tormentis acceperint clades : et eas tantum persequar calamitates, quas rerum omnium inopia et fame sunt perpessi. Sic enim abunde satis, qui historiam hanc aliquando legent, omnibus ostendam, non ita diu patratæ in Servatorem vesanæ et protervæ procacitatis (1), condigna cunctatam esse vindictam. Porro calamitatem eam plane tragicam nobis in quinto libro Historiarum suarum Josephus clare exponit, hisce propemodum verbis :

A τὸν Σωτῆρα καὶ εὐεργέτην πάντων μιαιφονίαν κατέσπευδον, ἄνδρα φονέα τῆς ἐκείνου εὐεργεσίας ἀντσλλαττόμενοι, καὶ τῆς ἐκείνου βασιλείας ἀσηκάζοντες, καὶ τῷ Καίσαρι προστιθέμενοι, λαμπρῶν γε καὶ ἀξίων ἀπολαύοντες ἀμοιβῶν. Ἔγωγ' οὖν παραδραμεῖν οἶομαι δεῖν, ὅσα διὰ ξίφους καὶ ἄλλοις μηχανημάτων εἴδεσιν αὐτοῖς ἐπέρρωσε τῶν δεινῶν· ὅσαις γε μὴν ὑπὸ λιμοῦ περ πεπτώκεσαν συμφοραῖς παραθέμενος, ἀποχρώντως ἂν ἔχοιμι δεῖξαι τοῖς τῇ παρούσῃ ἐντυγχάνουσι ξυγγραφῇ, ὡς οὐκ εἰς μακρὰν τῆς εἰς τὸν Σωτῆρα παροινίας ἐπαξία μετελήλυθε νίκη. Ταύτην δ' ἡμῖν ἡ τῶν ἱστοριῶν Ἰωσήπου πέμπτη σαφῶς διηγήσεται τὴν τραγῳδίαν· ἐκεῖσε καὶ γὰρ αὐταῖς λέξεσιν οὕτω φησί·

CAPUT VI.

Ex quinta historia Josephi de captivitate Judaica expositio, ut fames Judæos afflixerit.

Opulentioribus sane quidem, quod in urbe manserant, exitio fuit. Non pauci enim sub prætextu initi de fuga consilii, propter opes suas trucidabantur(2) : et una cum fame seditiosorum crescebat recordia, et in dies utrisque adaugebantur calamitates. In publico equidem nullum erat frumentum. Quare impetu in domos facto, eas scrutati, farra inquirebant. Quæ, sive invenissent, possessores tanquam ea pernegassent, verberabant : seu non invenissent, nihilominus tamen veluti ea majore cura et diligentia occultassent, torquebant. Indicium autem vel habere, vel non habere eos frumenta, corpora ipsa miserorum faciebant : quæ quicunque adhuc robustiora haberent abundare alimentis videbantur : qui autem jam contabuissent, præteribantur. Ac præter rationem esse prædones judicabant, si eos ferro necarent, qui primo quoque tempore penuria essent interituri. Multi clam possessiones suas modio uno, siquidem ditiores essent, tritici : sin indigentiores, hordei permutabant. Deinde in abditissima quæque ædium conclavia sese abdentes quidam propter famem summam, frumentum ipsum inelaboratum edebant. Quidam vero, prout necessitas extrema timorque cohortabantur, id in panis formam redigebant : neque uspiam mensa proponebatur, sed ex igne ipso extracta, adhuc incocta et cruda frumenta rapiebant. **231** Miserandæ profecto tales fuere epulæ et dignum lacrymis prorsus spectaculum. Potentiores namque abundabant, superioraque omnia habebant : imbecilles autem et inopes lugebant et lamentabantur. Fames porro cum reliquas omnes antecellit ærumnas, tum pudorem etiam tollit. Nam

B

ΚΕΦΑΛ. ϛ'.

Διήγησις ἐκ τῆς πέμπτης ἱστορίας τῆς Ἰουδαϊκῆς ἁλώσεως Ἰωσήπου περὶ τοῦ συντρίψαντος Ἰουδαίους λιμοῦ.

« Τοῖς γε μὴν εὐπόροις καὶ τὸ μένειν πρὸς ἀπωλείας ἴσον ἦν. Προφάσει γὰρ αὐτομολίας ἀνῃρεῖτό τις διὰ τὴν οὐσίαν. Τῷ λιμῷ δ' ἡ ἀπόνοια τῶν στασιαστῶν συνήκμαζε· καὶ καθημέραν ἀμφοτέροις προσεξεκαίετο τὰ δεινά. Φανερὸς μὲν γὰρ οὐδαμοῦ σῖτος ἦν· ἐπεισπηδῶντες δὲ, διηρεύνων τὰς οἰκίας. Ἔπειτα εὑρόντες μὲν, ὡς ἀρνησαμένους ἤκιζον· μὴ εὑρόντες δὲ, ὡς ἐπιμελέστερον κρύψοντας, ἐβασάνιζον. Τεκμήριον δὲ τοῦ τ' ἔχειν καὶ μὴ, τὰ σώματα τῶν ἀθλίων· ὧν οἱ μὲν ἔτι συνεστῶτες εὐπορεῖ τροφῆς ἐδόκουν· οἱ τηκόμενοι δὲ ἤδη παρωδεύοντο· καὶ κτείνειν ἄλογον ἐδόκει τοὺς ὑπ' ἐνδείας ὄσον οὔπω τεθνηξομένους αὐτίκα. Πολλοὶ δὲ λέθρᾳ τὰς κτήσεις ἑνὸς ἀντηλλάξαντο μέτρου, πυρῶν μὲν, εἰ πλουσιώτεροι τυγχάνοιεν ὄντες, οἱ δὲ πενέστεροι, κριθῆς. Ἔπειτα κατακλείοντες αὐτοὺς εἰς τὰ μυχαίτατα τῶν οἰκιῶν, τινὲς μὲν ὑπ' ἄκρας ἐνδείας ἀνέργαστον τὸν σῖτον ἤσθιον· οἱ δὲ ἔπεσσον, ὡς ἡ τε ἀνάγκη καὶ τὸ δέος παρῄνει. Καὶ τράπεζα μὲν οὐδαμοῦ παρετίθετο· τοῦ δὲ πυρὸς ὑφέλκοντες, ἐνωμὰ τὰ σιτία διήρπαζον. Ἐλεεινὴ δ' ἦν ἡ τροφὴ, καὶ δακρύων ἄξιος ἡ θέα, τῶν μὲν δυνατωτέρων πλεονεκτούντων, τῶν δ' ἀσθενῶν ὀδυρομένων. Πάντων μὲν δὴ παθῶν ὑπερίσταται λιμός· οὐδὲν δ' οὕτως ἀπόλλυσιν ὡς αἰδώ. Τὸ γὰρ ἄλλως ἐντροπῆς ἄξιον ἐν τούτῳ καταφρονεῖται· γυναῖκες γοῦν ἀνδρῶν, καὶ παῖδες πατέρων, καὶ τὸ οἰκτρότατον, μητέρες νηπίων ἐξήρπαζον ἐξ αὐτῶν τῶν στομάτων τὰς τροφάς· καὶ τῶν φιλτάτων ἐν χερσὶ μαρανομένων, οὐκ ἦν φειδὼ τοὺς τοῦ ζῆν ἀφελέσθαι σταλαγμούς. Τοιαῦτα δ' ἐσθίοντες, ὅμως οὐ διελάνθανον. Πανταχοῦ δ' ἐφίσταντο οἱ στασιασταὶ καὶ τούτων ταῖς ἁρπαγαῖς. Ὁπότε γὰρ κατίδοιεν ἀποκεκλει-

C

D

(1) « Eo quod exsultaverint super amantissimum et probatissimum Dei Filium. » (Lact.)

(2) Simon, Joannes et Eleazarus, intestini belli duces, templum, arcem et civitatem sanguine et cæde civium replerunt (Joseph lib. VI, *Judaic.*, cap, 5; Tacit. lib. XXI). « Pervicacissimus quisque illuc perfugerat, eoque seditiosius agebant. » (Idem.) « Multi tempore captivitatis Judaicæ principes exstitere, qui Christos se esse dicerent, in tantum, ut obsidentibus Romanis Hierosolyma tres intus fuerint factiones. » (Hieronymus.)

σμένην οἰκίαν, σημεῖον ἦν τοῦτο, τοὺς ἔνδον προσ- A
φέρεσθαι τροφάς. Εὐθέως δ' ἐξαρπάξαντες τὰς θύ-
ρας, εἰσεπήδων· καὶ μόνον οὐκ ἐκ τῶν φαρύγγων
ἀναθλίβοντες τοὺς ἀκόλους ἀνέφερον. Ἐτύπτοντο δὲ
γέροντες ἀντεχόμενοι τῶν σιτίων. Καὶ κόμας ἐσπα-
ράσσοντο γυναῖκες, συγκαλύπτουσαι τὰ ἐν χερσίν.
Οὐδέ τις ἦν οἶκτος πολιᾶς ἢ νηπίων· ἀλλὰ συν-
εκπίπτοντες τὰ παιδία τῶν ψυμῶν ἐκκρεμάμενα, κατ-
έσειον εἰς ἔδαφος· τοῖς δὲ φθάσασι τὴν εἰσόρμὴν
αὐτῶν, καὶ προκαταπιοῦσι τὸ ἁρπαγησόμενον, ὡς
ἀδικηθέντες ἦσαν ὠμότεροι. Δεινὰς δὲ βασάνων ὁδοὺς
ἐπενόουν πρὸς ἔρευναν τροφῆς· ὀρύσσοις μὲν ἐμφράτ-
τοντες τοῖς ἀθλίοις τοὺς τῶν αἰδοίων πόρους, ῥά-
βδοις δ' ὀξείαις ἀναπείροντες τὰς ἕδρας. Τὰ φρικτὰ
δὲ καὶ ἀκοαῖς ἔπασχέ τις εἰς ἐξομολόγησιν ἑνὸς ἄρ-
του, καὶ ἵνα μηνύσῃ δράκα μίαν κεκρυμμένων ἀλφί- B
των. Οἱ βασανισταὶ δ' οὐκ ἐπείνων· καὶ γὰρ ἦττον
ἄνομον ἦν τὸ μετὰ ἀνάγκης· γυμνάζοντες δὲ τὴν
ἀπόνοιαν, καὶ προπαρασκευάζοντες ἑαυτοῖς εἰς τὰς
ἐξῆς ἡμέρας ἐφόδια, τοῖς δ' ἐπὶ τὴν τῶν Ῥωμαίων
φρουρὰν νύκτωρ ἐξερπύσασιν ἐπὶ λαχάνων συλλογὴν
ἀγρίων καὶ πόας, ὑπαντῶντες ὅτ' ἤδη τοὺς πολε-
μίους διαπεφευγέναι ἐδόκουν, ἁρπάζοντα τὰ κομι-
σθέντα· καὶ πολλάκις ἱκετευόντων καὶ τὸ φρικτότα-
τον ἐπικαλουμένων ὄνομα τοῦ Θεοῦ, μεταδοῦναι μέ-
ρος αὐτοῖς ὧν κινδυνεύσαντες ἤνεγκαν, οὐδ' ὁτιοῦν
μετέδοσαν. Ἀγαπητὸν δ' ἦν τὸ μὴ καὶ προσαπολέσθαι
σεσυληκόσι. » Τούτοις μεθ' ἕτερα ἐπιφέρει λέγων·
« Ἰουδαίοις δὲ μετὰ τῶν ἐξόδων ἀπεκόπη πᾶσα σω-
τηρίας ἐλπίς. Καὶ βαθύνας ἑαυτὸν ὁ λιμὸς, κατ'
οἴκους καὶ γενεὰς τὸν ὄχλον ἐπεδόσκετο· καὶ τὰ
μὲν τέγη πεπλήρωτο γυναικῶν καὶ βρεφῶν λελυ- C
μένων, οἱ στενωποὶ δὲ γερόντων νεκρῶν. Παῖδες δὲ
καὶ νεανίαι διοιδοῦντες, ὥσπερ εἴδωλα κατὰ τὰς
ἀγορὰς ἀνελοῦντο, καὶ κατέπιπτον, ὅποι τινὰ τὸ
πάθος καταλαμβάνοι. Θάπτειν δὲ τοὺς προσήκοντας
οὗτο ὄσχυον οἱ κάμνοντες, καὶ τὸ διευτονοῦν ὤκνει,
διά τε τὸ πλῆθος τῶν νεκρῶν, καὶ τὸ κατὰ σφᾶς
ἄδηλον. Πολλοὶ γὰρ τοῖς ὑπ' αὐτῶν θαπτομένοις
ἐπακίθνησκον· πολλοὶ δ' ἐπὶ τὰς θήκας, πρὶν ἐπι-
στῆναι τὸ χρεών, προῆλθον. Οὔτε δὲ θρῆνος ἐν ταῖς
συμφοραῖς, οὔτε ὀλοφυρμὸς ἦν· ἀλλὰ ὁ λιμὸς ἤλεγχε
τὰ πάθη. Ξηροῖς δὲ τοῖς ὄμμασι καὶ σεσηρόσι τοῖς
στόμασιν οἱ δυσθανατοῦντες ἐφεώρων τοὺς φθάσαν-
τας ἀναπαύσασθαι. Βαθεῖα δὲ τὴν πόλιν περιεῖχε
σιγὴ, καὶ νὺξ θανάτου γέμουσα· καὶ τούτων οἱ λη-
στὴ χαλεπώτεροι· τυμβωρυχοῦντες γοῦν τὰς οἰκίας, D
ἐσύλων τοὺς νεκρούς· καὶ τὰ καλύμματα τῶν σω-
μάτων περίσπῶντες, μετὰ γέλωτος ἐξῆεσαν· τάς τε
ἀκμὰς τῶν ξιφῶν ἐδοκίμαζον ἐν τοῖς πτώμασι, καί
τινας τῶν ἐρρίμμένων ἔτι ζῶντας διῆλασαν ἐπὶ
πείρᾳ τοῦ σιδήρου. Τοὺς δὲ ἱκετεύοντας χρῆσθαι
σφίσι δεξιὰν καὶ ξίφος τῷ λιμῷ κατέλιπον ὑπερη-
φανοῦντες. Καὶ τῶν ἐκπνεόντων ἕκαστος ἀπῆνες
εἰς τὸν νεὼν ἐφεώρα, τοὺς στασιαστὰς ζῶντας ἀπο-
λιπών. Οἱ δὲ τὸ μὲν πρῶτον ἐκ τοῦ δημοσίου θη-
σαυροῦ τοὺς νεκροὺς θάπτειν ἐκέλευον, τὴν ὁσμὴν
οὐ φέροντες· ἔπειτα ὡς οὐ διήρκουν, ἀπὸ τῶν τει-
χῶν ἐρρίπτουν εἰς τὰς φάραγγας. Περιιὼν δὲ ταύτας

quæ in rebus aliis obtinet verecundia, ea in fame et inediæ miseria proculcatur. Siquidem mulieres ex virorum, liberi ex patrum, et quod omnium luctuosissimum est, matres ex infantum ore cibum rapientes, extrahebant. Et cum dulcissima in manibus earum pignora marcescerent, extremas tamen illis vitæ sustinendæ reliquias auferebant. Ac ne sic quidem cibum furtim capientes latere potuerunt. Passim enim ipsis, raptisque eorum cibis, seditiosi prædones imminebant. Ubicunque enim illi ædes clausas conspexissent, sumpto inde indicio, cibum intus capi existimantes, statim foribus perfractis, cum impetu in eas insiliebant : et tantum non ex ipsis faucibus miserorum minutissima frusta excutientes, reddere cogebant. Verberibus afficiebantur senes, epulas suas propugnantes : capillis raptabantur mulieres, cibos quos habebant occultantes. Nulla canitiei, nulla teneræ ætatis erat commiseratio : sed puellos una cum ciborum frustis, quos in ore habebant, in sublime sublatos, solo allidebant. Si qui autem impressionem atque impetum eorum prævenissent, et id quod illi rapturi fuerant deglutiissent, tum illi tanquam injuria affecti, ferociores crudelioresque fiebant, et gravissima ad cibum inquirendum tormentorum cruciatuumque genera excogitabant. Meatus namque pudendorum calamitosis hominibus ervo immisso obturabant. Quibusdam in arcana sedium loco (id quod auditu horrendum est) perticas acutas per vim immitebant ut vel panem unum, vel occultatæ farinæ pugillum indicarent. Carnifices autem illi non omnes egebant : et injuria violentiaque eorum, propter necessitatem, juris æquitatisque locum obtinuissent, sed vecordiam suam palam præ se ferentes, alimentum tanquam viaticum sibi rapinis in futurum tempus parabant. Ac si qui noctu ex urbe clam in Romanorum castra et munitiones ad olera herbasque agrestes colligendas prorepsissent, cum miseri illi se hostium custodias fallendo evasisse crederent, in latrones eos incidebant, qui eis quod attulissent diripiebant : et cum sæpe miserrimi illi mortales, horrendo Dei invocato nomine prædonibus ad pedes eorum provoluti supplicarent, 232 ut minimam saltem partem pabuli, quod extremo adito periculo attulissent, eis redderent, nihil prorsus recipiebant. Quin bene etiam secum agi putabant, si ad eum modum dispoliati, non contrucidarentur. » His deinceps alia subjungit, dicens : « Judæis porro et exitus ad fugam omnis præclusus et spes salutis prorsus præcisa erat. Fames autem invalescens, passimque per domos et familias populum depascens crescebat. Domus humilerum et infantum cadaveribus plenæ erant. In angiportibus passim senes mortui jacebant. Pueri autem et adolescentes intumescentibus corporibus, tanquam idola et simulacra in foro circumeuntes, ubicunque quemque casus occupasset, concidebant. Sepelire vero genere sibi aut necessitudine alia conjunctos, imbecilli non poterant : valentiores autem horre-

bant, cum propter cadaverum multitudinem, tum quod ipsimet de vita sua incerti essent. Multi vero etiam eis quos sepeliebant, immoriebantur : multi in loculos suos et sepulcra prius descendebant, quam extrema adesset necessitas. Neque planctus ullus, neque ejulatus in ejusmodi cladibus erat, sed fames affectiones tales præpediens redarguebat : siccis oculis et ore hianti, qui ægre moriebantur, alios se in morte prævenientes inspiciebant. In urbe altum erat silentium, et noctu plurima mortis imago : verumtamen tantis ærumnis et cladibus prædones longe erant graviores. Sepulcra enim effodientes, cadavera spoliabant : et detractis illorum vestibus cum risu etiam progrediebantur. Gladiorum acies in cadaveribus experiebantur : quosdam etiam qui humi strati jacebant, atque etiam tum paululum spirabant, enses periclitaturi confodiebant. Si qui vero supplices, illos, ut sibi præ famis intolerantia mortem inferrent, obsecrarent, eos contumeliose relictos præteribant. Et qui tam misere exspirabant, ad templum ipsum continue cum dolore, vivos relinquentes seditiosos, respectabant. Ac primum quidem publico sumptu cadavera, propter intolerandum fœtorem, sepeliebantur : cum vero jam tumulandis eis libitinarii non sufficerent, e muro in fossas projiciebant. Quis Titus aliquando circumiens, cum corporibus repletas, et redundantem ex diffluentibus illis mistum tabo et sanie cruorem cerneret, suspiravit, et manibus sublatis Deum est testatus, non se tantæ cladis auctorem esse. » Sub hæc quædam alia in medio commemorans, illa deinde infert : « Committere omnino nequeo, quin quod animus jubet, proferam. Ita enim judico : si Romani bello vindicare nefarios homines cunctati essent, urbem ipsam aut hiatu terræ, aut inundatione interituram. **233** aut certe Sodomæ fulmina experturam fuisse. Multo enim, quam qui talia olim sunt perpessi, tulit gentem deteriorem, et impiam magis, propter cujus vecordiam populus simul universus interii. » Rursus in VI libro ad hunc modum scribit : « Innumerabilis prorsus eorum multitudo fuit, qui fame in urbe perierunt, quibus incredibiles dictu acciderunt ærumnæ. In qualibet enim domo, ubi umbra saltem aliqua ciborum appareret, bellum gerebatur : et qui arctissima inter se amoris necessitudine erant conjuncti, manus conserebant, sibi invicem calamitosas miseræ vitæ reliquias eripientes. Cæterum ne morientibus quidem, quod nihil escarum haberent, fides habebatur. Nam prædones animas quoque jam agentes excutiebant, ne quis eorum cibi quidquam in sinu habens, mortem assimularet. Illi porro præ inopia insanientes, sicuti rabidi hiantesque canes, in ædes insiliebant, et ut atque illuc currentes ferebantur. Et fores, ebriorum hominum more identidem impellentes, propter impotentiam animi, una eademque hora bis, quandoque ter, in easdem irrumpebant ædes. Atque cum jam necessitas eos fruges omnes consumere coegisset, collectis etiam rebus eis quæ impurissimis quibusque animantibus ad cibum accommoda non sunt, vesci sustinuerunt. Siquidem ad postremum ne a cingulis quidem et calceamentis abstinuere, et pelles scutis detractas macerarunt et comederunt. Nonnullis etiam veteris fœni rejectamenta escæ fuere. Et fuere qui collectas quisquilias parvi ponderis quatuor Atticis vendiderint. »

ὁ Τῖτος, ὡς ἐθεάσατο πεπλησμένας τῶν νεκρῶν, καὶ βαθὺν ἰχῶρα μυδώντων, τὸν ὑποῤῥέοντα τῶν σωμάτων, ἐστέναξέ τε, καὶ τὰς χεῖρας ἀνατείνας, κατεμαρτύρατο τὸν Θεὸν, ὡς οὐκ εἴη τὸ ἔργον αὐτοῦ. » Τούτοις δέ τινα εἰπὼν μεταξὺ, ἐπιφέρει λέγων. « Οἷα ἂν ὑποστειλαίμην εἰπεῖν, ἃ μοι κελεύει τὸ πάθος. Οἶμαι Ῥωμαίων βραδυνόντων ἐπὶ τοὺς ἀλίτηρίους, ἢ καταποθῆναι ἂν ὑπὸ χάσματος, ἢ κατακλυσθῆναι τὴν πόλιν · ἢ τοὺς τῆς Σοδομηνῆς μεταλαβεῖν κεραυνούς. Πολὺ γὰρ τῶν τοιαῦτα παθόντων ἤνεγκε γενεὰν ἀθεωτέραν. Τῇ γοῦν τούτων ἀπονοίᾳ πᾶς ὁ λαὸς συναπώλετο. » Καὶ ἐν τῷ ἕκτῳ δὲ βιβλίῳ οὕτω γράφει· « Τῶν δὲ ὑπὸ τοῦ λιμοῦ φθειρομένων κατὰ τὴν πόλιν ἄπειρον μὲν ἔπιπτε τὸ Πλῆθος, ἀδιήγητα δὲ συνέβαινε τὰ πάθη. Καθ' ἑκάστην γὰρ οἰκίαν, εἴ που τροφῆς παραφανείη σκιὰ, πόλεμος ἦν· καὶ διὰ χειρῶν ἐχώρουν οἱ φίλτατοι πρὸς ἀλλήλους, ἐξαρπάζοντες τὰ ταλαίπωρα τῆς ψυχῆς ἐφόδια. Πίστις δ' ἀπορίας οὐδὲ τοῖς θνήσκουσιν ἦν · ἀλλὰ καὶ τοὺς ἐκπνέοντας οἱ λῃσταὶ διηρεύων · μή τις ὑπὸ κόλπον ἔχων τροφὴν, σκήπτοιτο τὸν θάνατον αὐτῷ. Οἱ δ' ὑπ' ἐνδείας λυσσῶντες, ὥσπερ κεχηνότες κύνες, ἐφήλλοντο καὶ παρεφέροντο. Ταῖς τε θύραις ἐνπίπτοντες μεθυόντων τρόπον, καὶ ὑπ' ἀμηχανίας τοὺς αὐτοὺς οἴκους εἰσεπήδων δὶς ἢ τρὶς ὥρᾳ μιᾷ. Πάντα δ' ὑπ' ὀδόντας ἦγεν ἡ ἀνάγκη · καὶ τὰ μηδὲ τοῖς ῥυπαρωτάτοις τῶν ἀλόγων ζώων πρόσφορα συλλέγοντες, ἐσθίειν ὑπέφερον · ζωστήρων γοῦν καὶ ὑποδημάτων τὸ τελευταῖον οὐκ ἀπέσχοντο · καὶ τὰ δέρματα τῶν θυρεῶν ἀποδέροντες ἐμασῶντο. Τροφὴ δ' ἦν τισι καὶ χόρτου παλαιοῦ σπαράγματα. Τὰ γὰρ ἵνας ἔνιοι συλλέγοντες, ἐλάχιστον σταθμὸν ἐπώλουν Ἀττικῶν τεσσάρων. »

CAPUT VII.

De muliere Judæa, quæ suum sibi puerum devoravit in obsidione Hierosolymitana.

« Sed quid ego famis inverecundam impotentiam in rebus inanimis persequor, ac non potius factum tale commemoro, quale neque apud Græcos, neque apud barbaros unquam est animadversum,

ΚΕΦΑΛ. Ζ'.

Περὶ τῆς τὸ οἰκεῖον τέκνον καταφαγούσης γυναικὸς Ἰουδαίας ἐν τῇ τῶν Ἱεροσολύμων πολιορκίᾳ.

« Καὶ τί δεῖ τὴν ἐπ' ἀψύχοις ἀναίδειαν τοῦ λιμοῦ λέγειν ; εἶμι γὰρ αὐτῷ δηλώσων ἔργον, ὁποῖον μήτε παρ' Ἕλλησι μήτε παρὰ βαρβάροις ἱστόρηται · φρικτὸν μὲν εἰπεῖν, φρικτὸν δ' ἀκοῦσαι. Καὶ ἔγωγε μὴ δό-

et sororem (quippe veluti consponsam atque adeo filiam) Dei Genitricis fuisse dicunt, non ex Anna et Joachimo, sed ex Salome et Josepho editam, ut dictum est, progenitum, martyrii cursum absolvisse constat : cui etiam post Jacobum Hierosolymitanæ Ecclesiæ sedes commissa fuerat. Symeon iste a quibusdam hæreticis, velut unus posterorum Davidis (nam ad idusque tempus inquirebantur) et regalis tribus Judæ, ipsiusque adeo Christi agnatus, delatus est : et propter eum, quod libere pulchram professionem profiteretur, gravis æmulatio et invidia principibus incessit. Hic cum diebus pluribus dura verbera, quæ ei Atticus per tormenta inferebat, fortiter pertulisset, pari cum Christo supplicio est affectus. Namque in crucem sublatus, ad illum moriens transiit, cum quidem centum et viginti peregisset annos. Scribit sane Hegesippus, cum eo tempore Judæi regiæ stirpis et tribus inquirerentur, ipsius quoque Symeonis accusatores, quod videlicet ex eis essent, captos esse. Quod si quis veræ rationi atque observationi insistat, recte profecto Symeonem hunc ex illis fuisse dicat, qui Dominum suis ipsorum oculis viderint, et auribus audierint. Apertum nimirum indicium est longævitas ipsius : et quod divinorum Evangeliorum scriptura Mariæ Cleophæ, ex quo hunc prognatum esse supra diximus, mentionem facit. Idem historicus alterius cujusdam, unius ex iis, qui ex genere orti erant Salvatoris, cui Judæ nomen fuerit, meminit, quem ad eam quoque ætatem vixisse dicit : post id, quod ante exposuit, quorumdam sub Domitiano pro fide in Christum peractum martyrium. Scribit autem ad hunc modum : « **246** Venerunt igitur et præfuerunt Ecclesiæ omni, velut martyres et testes, gentiles quoque Domini : et pace Ecclesiis reddita, usque ad Trajanum Cæsarem manserunt : donec etiam, quem diximus, Symeon Cleophæ filius, patrui Domini, per calumniam ab hæreticis eodem modo apud Atticum consularem delatu, est. Qui dies multos tortus, ita martyrium obiit, ut omnes, atque ipse etiam Atticus, mirarentur, hominem centum et viginti annos natum tantum perferre tormenti. Et is tandem in crucem agi est jussus. » Paulum autem historicus digressus, ubi ea quæ commemorata sunt dixit, deinde et illa addit : quod ad ea usque tempora Ecclesia pura et incorrupta permanserit virgo, in locis obscuris et caliginosis adhuc, si qui tum exstiterunt qui sanam doctrinam salutiferæ prædicationis corrumpere sunt conati, delitescentibus. Postquam autem sacer apostolorum chorus diverso mortis genere vitam finiit, generatioque eorum præteriit, qui auribus ipsi suis divinam sapientiam audiverant : tum primum impiorum seductorum, per peregrinorum doctorum deceptionem, coitio et conspiratio initium cepit. Qui deinde, nullo jam ex apostolis reliquo, nudo (ut dicitur) capite contra

A γυναικὸς, ἣν δὴ καὶ ἀδελφὴν τῆς Θεοτόκου φασὶν, ὡς συννυμφον αὐτῆς οὖσαν καὶ θυγατέρα, οὐκ ἐξ Ἄννης καὶ τοῦ Ἰωακεὶμ, ἀλλὰ Σαλώμης καὶ Ἰωσὴφ, ὡς εἴρηται, τὸ τοῦ μαρτυρίου στάδιον ὑπελθεῖν. Τούτῳ καὶ ὁ τῆς Ἱεροσολύμων Ἐκκλησίας θρόνος μετὰ Ἰάκωβον ἐπιτράπη. Οὗτος τοίνυν ὁ Συμεὼν ὑπό τινων αἱρεσιωτῶν, ὡς ἀπόγονος ὢν τοῦ Δαβὶδ κατηγορηθεὶς (καὶ γὰρ ἔτι ὁπὲ καὶ τῶν χρόνων ἐκείνου ἀντιχνεύοντο οἱ ἐξ Ἰούδα τῆς βασιλικῆς κεκηγμένοι φυλῆς), καὶ ὡς τῷ Χριστῷ πρὸς γένους ὤν, δι' ὃν καὶ οὐ μέτριος ὁ ζῆλος τοῖς ἄρχουσιν ἦν, τὴν καλὴν ὁμολογίαν παρρησιασάμενος, καὶ ἐπὶ πλείστας τῶν ἡμερῶν αἰκίας καρτερήσας συχνὰς. Ἀττικοῦ τὴν κόλασιν ἐπιφέροντος, Χριστῷ παραπλήσιον τὸ τέλος παθεῖν. Σταυρῷ γὰρ μετέωρος ἐπαρθεὶς, πρὸς αὐτὸν ἐκδημεῖ, εἴκοσι καὶ ἑκατὸν διαζήσας ἐνιαυτούς. Ἱστορεῖ γε μὴν ὁ Ἡγήσιππος, ὡς ἄρα καὶ τοὺς κατηγόρους αὐτοῦ, ζητουμένων τοτηνικαῦτα τῶν ἀπὸ τῆς βασιλικῆς φυλῆς Ἰουδαίων, ὡς ἂν ἐξ αὐτῶν ὄντας, ἁλῶναι συνέβη · λογισμῷ δ' ἄρα καὶ τὸν Συμεῶνα εἰκότι χρώμενος τῶν αὐτοπτῶν καὶ αὐτηκόων εἶποι ἄν τις τοῦ Κυρίου γενέσθαι, ἀκραιφνεῖ τεκμηρίῳ τῷ μακρῷ τῆς ζωῆς αὐτοῦ προσχρησάμενος, καὶ τῷ μνείαν ποιῆσαι τὴν τῶν θείων Εὐαγγελίων γραφὴν Μαρίας τῆς τοῦ Κλοπᾶ, ἐξ οὗ φῶναι ταύτην καὶ πρότερον ὁ λόγος ἱστόρησεν. Ὁ δ' αὐτὸς συγγραφεὺς καὶ ἑτέρου τῶν ἀπὸ γένους φερομένων ἀδελφῶν τοῦ Σωτῆρος ἑνὸς, ᾧ ὄνομα Ἰούδας, μνείαν ποιεῖται · ὃν φησι καὶ μέχρι τῆς αὐτῆς ἐπιβιῶναι ἀρχῆς μετὰ τὴν ἤδη πρότερον ἱστορηθεῖσαν αὐτῷ ὑπὲρ τῆς εἰς Χριστὸν πίστεως ἐπὶ Δομετιανοῦ τινων μαρτυρίαν. Γράφει δὲ οὕτως · « Ἔρχονται οὖν καὶ προηγοῦνται πάσης Ἐκκλησίας ὡς μάρτυρες καὶ οἱ ἀπὸ γένους τοῦ Κυρίου · καὶ γενομένης εἰρήνης ἐν πάσῃ Ἐκκλησίᾳ, μένουσι μέχρι Τραϊανοῦ Καίσαρος · ἄχρις οὗ ὁ ἐκ θείου τοῦ Κυρίου, ὁ προειρημένος Συμεὼν υἱὸς Κλοπᾶ, συκοφαντηθεὶς ὑπὸ τῶν αἱρετικῶν, ὡσαύτως κατηγορήθη καὶ αὐτὸς τῷ αὐτῷ λόγῳ ἐπὶ Ἀττικοῦ τοῦ ὑπατικοῦ · καὶ ἐπὶ πολλαῖς ἡμέραις αἰκιζόμενος, ἐμαρτύρησεν · ὡς πάντας ὑπερθαυμάζειν, καὶ τὸν ὑπατικόν · ὃς ἐστὶν εἴκοσι τυγχάνων ἐτῶν, ὑπέμεινε καὶ ἐκελεύσθη σταυρωθῆναι. » Μικρὸν δὲ παρακατιὼν ὁ συγγραφεὺς, καὶ τὰ περὶ τῶν εἰρημένων εἰπὼν, ὅτι ἔμεινε καὶ ταῦτα προστίθησιν · « Ὡς ἄρα μέχρι τῶν τότε χρόνων παρθένος καθαρὰ καὶ ἀδιάφθορος ἔμεινεν ἡ Ἐκκλησίᾳ, ἐν ἀδήλῳ που σκοτίῳ φωλευόντων εἰσέτι τότε τῶν, εἰ καί τινες ὑπῆρχον, παραφθείρειν ἐπιχειρούντων τὸν ὑγιῆ κανόνα τοῦ σωτηρίου κηρύγματος. Ὡς δ' ὁ ἱερὸς τῶν ἀποστόλων χορὸς διάφορον εἴληφε τοῦ βίου τέλος, παρελήλυθέ τε ἡ γενεὰ ἐκείνη τῶν αὐταῖς ἀκοαῖς τῆς ἐνθέου σοφίας ἐπακουσαι κατηξιωμένων, τηνικαῦτα τῆς ἀθέου πλάνης ἀρχὴν ἐλάμβανεν ἡ σύστασις διὰ τῆς τῶν ἑτεροδασκάλων ἀπάτης · οἱ καὶ ἅτε μηδενὸς τῶν αὐτῶν ἀποστόλων λειπομένου, γυμνῇ λοιπὸν κεφαλῇ τῷ τῆς ἀληθείας κηρύγματι τὴν ψευδώνυμον γνῶσιν ἀντικηρύττειν ἐπεχείρουν. » Ὁ μὲν οὖν Ἡγήσιππος

ταῦτα· ἡμεῖς δὲ τὸ λεῖπον τῆς Τραϊανοῦ δυναστείας τῇ ἱστορίᾳ ἐπισυνάψωμεν.

A veritatis prædicationem falso nominatam scientiam promulgare sunt ausi.» Et hæc quidem Hegesippus. Nos porro reliquum Trajani imperium historiæ hic subjungamus.

ΚΕΦΑΛ. ΙΖ'.

Περὶ τοῦ κατὰ Τραϊανὸν διωγμοῦ· καὶ οἷον δόγμα οὗτος κατὰ Χριστιανῶν ἐξήνεγκε.

Ὁ μὲν οὖν διωγμὸς πολὺς καὶ ἀκμάζων μάλιστα ἦν· καὶ τοσοῦτον, ὡς καί τινα Πλίνιον Σικοῦνδον, ἐν τοῖς ἡγεμόσι διάσημον, τὸ πλῆθος τῶν μαρτύρων ὁρῶντα, βασιλεῖ πρὸς λόγους ἐλθεῖν, καὶ τὸ πολὺ ταῦ πλήθους τῶν ὑπὲρ τῆς πίστεως ἀναιρουμένων ὑποσημῆναι· καὶ ἅμα μηνύοντα, μηδέν τι παρὰ τοὺς νόμους πράττειν Χριστιανοὺς ἀνόσιον φάναι· πλήν γε δὴ ὅτι ἅμα ἕῳ ἐξανιστάμενοι τὸν Χριστὸν οἷα θεὸν εὐφημοῦσι· τῶν γε μὴν ἀθεμίτων ἔργων παντάπασι καθεστᾶσιν ὡς πορρωτέρω. Τούτοις δ' ἐπεκλασθέντα τοῖς ῥήμασι τὸν Τραϊανὸν, δόγμα θεῖναι τοιόνδε· Τὸ Χριστιανῶν φῦλον μὴ ἐκζητεῖσθαι μὲν, ἐμπεσὸν δὲ κολάζεσθαι. Κἀντεῦθεν μέτριον μὲν ὅσον τὸν διωγμὸν ἀναχαιτισθῆναι· μὴ πάμπαν δὲ καὶ τοῖς κακουργεῖν ἠρημένοις ἀνεπιχείρητα τὰ ἡμέτερα εἶναι ταῖς ἐκείνων ἐπιβουλαῖς, πῇ μὲν τῶν δήμων αὐτῶν, πῇ δὲ καὶ ἀρχόντων κατὰ χώρας ἡμῖν ἐπεγειρομένων, ὡς καὶ προφανῶς μὴ ἐπικηρυττομένου καθολικοῦ διωγμοῦ· μερικοὺς δ' ὅμως κατ' ἐπαρχίας κινεῖσθαί τινας, ὡς καὶ πολλοὺς ἐντεῦθεν ἀναδείκνυσθαι μάρτυρας. Ταῦτα Τερτυλιανὸς ἱστορεῖ ἐν τῇ παρ' αὐτοῦ συγγραφείσῃ Ῥωμαϊκῇ ἀπολογίᾳ, οὕτω διεξιών· « Καίτοι εὑρήκαμεν καὶ τὴν εἰς ἡμᾶς ἐπιζήτησιν κεκωλυμένην. Πλίνιος γὰρ Σικοῦνδος ἡγούμενος ἐπαρχίας, κατακρίνας Χριστιανούς τινας καὶ τῆς ἀξίας ἐκβαλὼν, ταραχθεὶς τῷ πλήθει, διὸ ἠγνόει τί αὐτῷ λοιπὸν εἴη πρακτέον, Τραϊανῷ τῷ βασιλεῖ ἀνεκοινώσατο, λέγων, ἔξω τοῦ μὴ βούλεσθαι αὐτοὺς εἰδωλολατρεῖν, μηδὲν ἀνόσιον ἐν αὐτοῖς εὑρηκέναι. Ἐμήνυε δὲ καὶ τοῦτο· ἀνίστασθαι ἔωθεν τοὺς Χριστιανοὺς, καὶ τὸν Χριστὸν θεοῦ δίκην ὑμνεῖν· καὶ πρὸς τὸ τὴν ἐπιστήμην αὐτῶν διαφυλάσσειν, κωλύεσθαι φονεύειν, μοιχεύειν, πλεονεκτεῖν, ἀποστερεῖν, καὶ τὰ τούτοις ὅμοια. Πρὸς ταῦτα ἀντέγραψε Τραϊανὸς, τὸ τῶν Χριστιανῶν φῦλον μὴ ἐκζητεῖσθαι μὲν, ἐμπεσὸν δὲ κολάζεσθαι. »

CAPUT XVIII.

De persecutione sub Trajano, et quale edictum is contra Christianos promulgaverit.

Persecutio igitur tum ad summum pervenerat : adeo ut etiam Plinius Secundus, inter provinciæ rectores præcipuus, quod tantam martyrum esse videret multitudinem, ad imperatorem referendum, et turbam tantam eorum qui pro fide cæsi essent, ei significandam duxerit, illo etiam addito, non quidquam sceleris contra leges Christianos committere, præterquam quod cum primo diluculo consurgentes, Christum tanquam Deum laudibus celebrent, a sceleratis omnibus flagitiis alienissimi. Quibus verbi Trajanus flexus, **247** ei rescripsit : Christianorum quidem gentem non inquirendam esse, oblatos vero puniri debere. Proinde vis et persecutio ea aliquatenus quidem cohibita est, non tamen res Christianorum, ab insidiis eorum qui illos affligere constituissent, tutæ prorsus fuere. Alicubi enim populus ipse, alicubi vero et præsides locorum contra nos insurgebant. Et quamvis publice in universum persecutio mandata et promulgata non esset, seorsim tamen per provincias ea exercebatur, ut sic quoque quamplurimi fierent martyres. Hæc Tertullianus in defensione sua, quam Romana conscripsit lingua, commemorat hisce prope verbis : « Atqui invenimus inquisitionem quoque in nos prohibitam. Plinius enim Secundus, cum provinciam regeret, damnatis quibusdam Christianis, quibusdam gradu pulsis, ipsa tandem multitudine perturbatus, et quid de cætero ageret nescius, consuluit tunc Trajanum imperatorem, allegans, præter obstinationem non sacrificandi, nihil se scelerati de eis comperisse ; insinuans quoque et illud, surgere atque convenire summo mane Christianos, et Christum tanquam Deum carminibus laudare, et ad conservandam eorum disciplinam, homicidium, adulterium, fraudem, perfidiam, et cætera scelera prohibere. Ab quæ Trajanus rescripsit, Christianos inquirendos non esse, oblatos autem puniendos. »

ΚΕΦΑΛ. ΙΗ'.

Μαρτύριον τοῦ ἁγίου Κλήμεντος Ῥώμης, καὶ περὶ τῶν συγγραμμάτων αὐτοῦ.

Κατ' ἐκεῖνο δὲ καιροῦ ἔτι Κλήμης ἐν Ῥώμῃ διέπρεπε· πρὸς δὲ καὶ Ἰγνάτιος τὴν Ἀντιόχου διεῖπε· Παπίας τε ἦν ἐν Ἱεραπόλει συγγράφων· Πολυκρατιός τε καὶ ὁ τῆς Σμυρναίων πρόεδρος Πολύκαρπος· ὧν οἱ μὲν Πέτρου, Πολύκαρπος δὲ τοῦ ἐπιστηθίου ἦσαν ὁμιληταί. Τούτων ὁ μὲν Κλήμης Ῥωμαῖος ἄνωθεν ἦν, καὶ τῇ βασιλικῇ φυλῇ κατὰ γένος προσήκων, Φαύστου τινὸς καὶ Ματθιδίας υἱὸς, παντοίᾳ δὲ παιδείᾳ Ἑλληνικῇ συντραφεὶς, καὶ πᾶ-

CAPUT XVIII.

Martyrium sancti Clementis Romani, et de libris ejus.

Eo tempore adhuc Romæ Clemens enituit, et Ignatius Ecclesiam Antiochenam rexit. Papias autem Hierapoli scriptis edendis operam dedit. Vixit etiam Pancratius, et Smyrnensium antistes Polycarpus : quorum illi quidem Petri discipuli, Polycarpus autem ejus qui supra pectus Domini recubuit, sectator fuit. Clemens porro Romæ illustri loco natus, genusque suum ad imperatores Romanos referens, Fausti (1) cujusdam et Mat-

(1) Alii habent, *Faustini*.

thidiæ filius, variis Græcorum disciplinis eruditus, atque in omni genere scientiarum summe exercitatus, apostolorum principis familiaris fuit, sicuti antea a me dictum est : a quo arcana Christi sacra edoctus, Evangelium promulgavit. Cum **248** autem imperata Trajani non faceret, in civitatem quamdam obscuram et desolatam Chersoni (1) vicinam est relegatus (2) ; multisque casibus propter Christi confessionem conflictatus, tandem ancora ferrea e collo ejus suspensa, in altum mare projicitur. De quo supra opinionem præsentis memoriæ quiddam accidit. Siquidem mari diebus septem ad tria millia passuum diviso, miuti eo eunt, et martyris corpus exosculantur, templo divina virtute excitato. Et cum aliquando mare ut assolet, divisum esset, populusque stata ibi sacra peregisset, atque inde rursus reverteretur, evenit, ut per parentum oblivionem illic puer quidam relinqueretur. Atque ubi mare in sese rediit, puer tenellus etiamnum undis est obrutus. Deinde cum rursum fluctus recessissent, parentes eo accessere, et puellum salvum et validum loculo sancti martyris assidentem repererunt. Qua re cognita, intellexerunt, eum per inhabitantem ibi gratiam fotum, et citra nocumentum a feris marinis conservatum esse. Quapropter Apostolo, quem decuit atque oportuit, honore habito, cum puero suo domum sunt reversi. De Clemente hoc antea quoque diximus. Epistolam hujus nomine editam, magnam et admirandam, Eusebius Pamphili attingit : quam Romanæ Ecclesiæ nomine Corinthiis, cum apud eos tum seditio esset, scripsit : eam et antiquitus et suo tempore publice in Ecclesia lectam dicit, in qua multis sententiis Epistolæ Pauli apostoli ad Hebræos utitur. Fuit et alia sub hujus nomine epistola, priori longe impar, quam veteres ignorasse, idem Eusebius scribit : qui porro et exigua ejus scripta, quæ Petri et Appionis esse ait dialogum, reprobat : quæ nimirum sinceram certamque apostolicæ orthodoxiæ formam retinere negat. Ego vero illi, si de eis quæ nunc apud nos Clementina dicuntur, sentit, non assentior ; ea enim Ecclesiæ recepta sunt. Si vero præterea aliqua sint alia, nihil refragor. Hunc autem et apostolicarum constitutionum, et sacrorum quoque canonum ipsorum, auctorem esse credimus. Cæterum de epistola ad **249** Hebræos anceps est opinio, hiccine an Lucas evangelista eam transtulerit, a Paulo, cujus nativa et propria est, primum dictatam.

CAPUT XIX.

Ut divinus Ignatius ex Antiochia Romam delatus, propter Christum bestiis devorandus objectus sit : et de epistolis ejus.

Divi Clementis res sic se habuere. Ab omnibus

σαν τὴν τῶν ὄντων γνῶσιν εἰς ἄκρον ἀσκήσας, καὶ τῷ κορυφαίῳ τῶν ἀποστόλων περιτυχών, ἥπερ μοι εἴρηται, καὶ τὸ κατὰ Φριστὸν μυστήριον μαθητεύσας, κηρύττει τὸ Εὐαγγέλιον Ἀπειθῶν δ' οὖν τοῖς ἐντελλομένοις Τραϊανῷ, ὑπερόριος ἐκ Ῥώμης εἴς τινα πόλιν τῇ Χερσῶνι παρακειμένην ἔρημον πάντη καὶ αὐχμηρὰν γίνεται. Πολλοῖς δὲ δεινοῖς διὰ τὴν εἰς Χριστὸν ὁμολογίαν ὠμιληκὼς ὕστερον, ἀγκύρᾳ σιδηρᾷ τοῦ τραχήλου ἐξαρτηθείσῃ, τῷ τῆς θαλάσσης βυθῷ ἀπορρίπτεται. Παράδοξον δέ τι τῆς μνήμης ἐνισταμένης αὐτῷ ἐπιγίνεται. Ἐπὶ γὰρ τρία μίλια τῆς θαλάττης διαιρουμένης ἐφ' ἡμέραις ἑπτὰ, προσίασιν οἱ ἐπιφοιτῶντες· καὶ τὸ σκῆνος τοῦ μάρτυρος κατασπάζονται, νεὼ ἐκεῖσε θείᾳ δυνάμει ἀνεγερθέντος. Καί ποτε δὲ τῆς θαλάσσης οἷα ἔθος διαιρεθείσης, καὶ τοῦ λαοῦ τὰ εἰωθότα τελέσαντος, καὶ αὖθις ὑποχωρήσαντος, παιδίον κατὰ λήθην τῶν τεκόντων ἐκεῖσε δὴ ἐναπολειφθῆναι ἐγένετο· ἐς ταυτὸ δὲ τῆς θαλάσσης ἐλθούσης, τὸν παῖδα νήπιον ὄντα καλυφθῆναι τοῖς κύμασιν· εἰσέπειτα δ' ἐσαῦθις ἀνακεχωρηκότος τοῦ κύματος, τοὺς γονεῖς προσελθόντας. εὑρεῖν ὑγιὲς τὸ παιδίον καὶ εὐτραφὲς, τῇ τοῦ ἁγίου παρακαθήμενον λάρνακι. Οὗ δὴ πεισμένοι ἐμάνθανον, ἐκ τῆς τοῦ παρακειμένου διατρέφεσθαι χάριτος, καὶ τῆς τῶν ἐναλίων θηρίων διαρρεῖσθαι λύμης ἀνώτερον· οἳ καὶ τῷ ἀποστόλῳ τὸ εἰκὸς ἀφοσιωσάμενοι, μετὰ τοῦ σφετέρου παιδὸς πρὸς τὰ οἰκεῖα ἐπανῆεσαν ἤθη. Περὶ μὲν οὖν τούτου καὶ ἄνωθεν διελάβομεν, Ὁμολογουμένην μὲν οὖν τούτου ἐπιστολὴν Εὐσέβιος ἱστορεῖ ὁ Παμφίλου, μεγάλην τε καὶ ἀξίαν πολλοῦ θαύματος· ἣν ὡς ἀπὸ τῆς Ῥωμαίων Ἐκκλησίας Κορινθίοις διαπέμπεται, πάσεως ἐκεῖσε τηνικάδε γεγενημένης. Ταύτην δὲ λέγει καὶ ἔκπαλαι καὶ ἐπ' αὐτοῦ ἐπὶ τῷ κοινῷ τῆς Ἐκκλησίας δημοσιευομένην εἶναι· ἐν ᾗ καὶ πολλὰ νοήματα ἐκ τῆς πρὸς Ἑβραίους τοῦ ἀποστόλου Παύλου χρῆται ἐπιστολῆς. Καὶ ἄλλη δὲ αὐτοῦ φέρεται ἐπιστολὴ τῆς προτέρας κατὰ πολὺ ἀποδέουσα, περὶ ἧς αὐτός φησιν Εὐσέβιος, μὴ ἐν ἐπιστήμῃ ταύτης τοὺς ἀρχαίους εἶναι. Παραγράφεται δ' ὁ Παμφίλου καὶ τὰ μικρὰ τούτου συγγράμματα· ἃ φησι Πέτρου καὶ Ἀπίωνος διάλογον εἶναι, ἃ μηδὲ σώζειν τὸν ἀκριβῆ τῆς ἀποστολικῆς ἀρθοδοξίας χαρακτῆρά φησιν. Ἐγὼ δὲ, εἰ μὲν τὰ νῦν παρ' ἡμῖν Κλημέντια ὀνομαζόμενα λέγει, οὐ πείθομαι· ταῦτα γὰρ τῇ Ἐκκλησίᾳ καὶ εὐπαράδεκτα· εἰ δ' ἕτερά εἰσι παρὰ ταῦτα, λίγειν οὐκ ἔχω. Τοῦτον συγγραφέα καὶ τῶν ἀποστολικῶν διατάξεων, ἀλλὰ δὴ καὶ τῶν ἱερῶν αὐτῶν κανόνων πιστεύομεν. Περὶ μένθοι τῆς πρὸς Ἑβραίους ἀμφήριστος ὁ λόγος ἐστὶν, εἴτε οὗτος εἴτε Λουκᾶς ὁ εὐαγγελιστὴς ἐξέδοτο ταύτην, Παύλου γνησίαν οὖσαν καὶ πρώτως ὑπαγορεύσαντος.

ΚΕΦΑΛ. ΙΘ'.

Ὡς καὶ ὁ θεοφόρος Ἰγνάτιος ἐξ Ἀντιοχείας ἐπὶ Ῥώμης διὰ Χριστὸν θηρίων ἐγεγόνει βορά· καὶ περὶ τῶν ἐπιστολῶν αὐτοῦ.

Τὰ μὲν οὖν τοῦ θείου Κλήμεντος τοῦτον ἴσχετο

(1) Chersonensem alii vocant.
(2) Clemens jussu Trajani in insulam est deportatus, in qua duo milia Christianorum ad secanda marmora damnatorum invenit.

τὸν τρόπον. Ὁ δὲ περιβόητος πᾶσιν. Ἰγνάτιος, δεύτερος ὢν τῆς κατὰ Ἀντιόχειον Πέτρου διαδοχῆς, Τραϊανῷ εἰς τὴν Ἀντιόχειαν γενομένῳ, ἐπεὶ ἐλέγχων οὐκ ἀνίει τὴν δεισιδαιμονίαν τἀνδρὸς, δέσμιον ἐκεῖθεν εἰς Ῥώμην ἐκπέμπει λέουσι παραβληθῆναι βορὰν, μὴ τὴν εἰς Χριστὸν ἐξομνύμενον πίστιν. Καὶ τοίνυν δέσμιος δι' Ἀσίας ἰὼν μετ' ἀσφαλοῦς τῆς φρουρᾶς, καὶ ταῖς κατὰ πόλιν παροικίαις ἐπιδημῶν, προτροπαῖς καὶ ὁμιλίαις ἐπεβίωννυ ταύτας. Καὶ ἐπεὶ τῷ τηνικάδε ἄρτι πρώτως αἱρέσεις ἡρέμα πως ἐπαῤῥησιάζοντο, φυλάττεσθαι ταύτας προὐτρέπετο, καὶ τῆς ἀποστολικῆς παραδόσεως τοῖς ὅροις ἐς ἀκριβὲς ἐμμένειν· τὰσφαλὲς δὲ μνηστευόμενος, καὶ ἐγγράφως δεῖν ἡγεῖτο διατυποῦσθαι. Καί γ' ἐν τῇ Σμυρναίων γενόμενος, ἔνθα Πολύκαρπός ἱερῶς ἐξηγεῖτο, μίαν ἐπιστολὴν τῇ Ἐφεσίων διέπεμπεν ἐκκλησίᾳ, Ὀνησίμου μεμνημένος ποιμένος. Καὶ ἄλλην δὲ τῇ πρὸς Μαιάνδρῳ Μαγνησίᾳ ἐπέστελλε, Δάμα τινὸς ἐπισκόπου μνείαν ποιούμενος· ἄλλην δὲ τοῖς ἐν Τράλλεσι, Πολυβίου τηνικάδε διέποντος τὴν ἀρχήν. Τετάρτην ἐπὶ τούτοις τῇ Ῥωμαίων Ἐκκλησίᾳ γράφει, παράκλησιν προτείνων, μὴ ἐμποδὼν αὐτῷ γενέσθαι τοῦ μαρτυρίου, καὶ μικροψύχως διατεθέντας, τῆς προσδοκωμένης ἐλπίδος παρασκευάσαι διαπεσεῖν. Ἄξιον δὲ καί τινα ῥήματα τῆς ἐκείνου γλώττης πρὸς ἔνδειξιν τῆς μεγίστης ἀνδρίας ἐκείνου καὶ πίστεως τῇ συγγραφῇ παραθεῖναι. Γράφει δὲ οὕτως· « Ἀπὸ Συρίας μέχρι Ῥώμης θηριομαχῶ διὰ γῆς καὶ θαλάσσης, νυκτὸς καὶ ἡμέρας ἐνδεδεμένος δέκα λεοπάρδοις· ὅ ἐστι τάγμα στρατιωτικόν· οἳ καὶ εὐεργετούμενοι χείρους γίνονται. Ἐν δὲ τοῖς ἀδικήμασιν αὐτῶν μᾶλλον μαθητεύομαι· ἀλλ' οὐ παρὰ τοῦτο δεδικαίωμαι. Ὀναίμην τῶν θηρίων τῶν ἐμοὶ ἑτοίμων· ἃ καὶ εὔχομαι, σύντομά μοι εὑρεθῆναι· ἃ καὶ κολακεύσω, συντόμως με καταφαγεῖν· κἂν αὐτὰ δὲ ἄκοντα μὴ θέλοι, ἐγὼ προβιάσομαι. Συγγνώμην μοι ἔχετε. Τί μοι συμφέρει; ἐγὼ γὰρ γινώσκω, εἰ μὴ νῦν ἄρχομαι μαθητὴς γενέσθαι, μηδέν με ζηλῶσαι τῶν ὁρατῶν καὶ ὁρατῶν, ἵνα Ἰησοῦ Χριστοῦ ἐπιτύχω. Πῦρ καὶ σταυρὸς, θηρίων τε συστάσεις, σκορπισμοὶ ὀστέων, συγκοπαὶ μελῶν, ἀλεσμοὶ ὅλου τοῦ σώματος, κολάσεις διαβόλου εἰς ἐμὲ ἐρχέσθωσαν· μόνον Ἰησοῦ Χριστοῦ ἐπιτύχω. » Ταῦτα μὲν ἀπὸ τῆς Σμυρναίων ἐπέστελλε πόλεως· ἐπὶ δὲ Τρωάδος γενόμενος, γράμμασι τῇ Φιλαδελφέων ἐκκλησίᾳ προσωμίλτῃ· καὶ Σμυρναίοις ἄλλην διαχαράττει· καὶ αὐτῷ δὲ ἰδίᾳ τῷ προέδρῳ ταύτης Πολυκάρπῳ ἑτέραν ἐπέστελλεν, ὁμοῦ μὲν καὶ ὡς θεῖον ἄνδρα τιμῶν, ὡς δ' ἀποστολικὸν ποιμένα, οἷα δὴ καὶ αὐτὸς ποιμὴν ἀγαθὸς τὴν ποίμνην τούτῳ παρατιθέμενος· φροντίζειν τε αὐτῆς ἀξιῶν, καὶ εἰσηγεῖσθαι ταύτῃ τὰ κρείττονα. Ἐν δὲ τῇ πρὸς Σμυρναίους καί τισι χρῆται ῥητοῖς περὶ τοῦ Χριστοῦ, οὐκ οἶδ' ὁπόθεν ἐρανισάμενος· « Ἐγὼ δὲ καὶ μετὰ τὴν ἀνάστασιν ἐν σαρκὶ αὐτὸν εἶδον, φησί· καὶ πιστεύω ὄντα· καὶ ὅτε πρὸς τοὺς περὶ Πέτρον ἐλήλυθε, καὶ ἔφη αὐτοῖς, Λάβετε, ψηλαφήσατέ με καὶ ἴδετε, ὅτι οὐκ εἰμὶ δαιμόνιον ἀσώματον· καὶ εὐθὺς αὐτοῦ ἥψαντο καὶ ἐπίστευσαν. » Εἰρηναῖος

A autem celebratus Ignatius, secundus in Antiochena Ecclesia Petri successor, cum Trajani, qui tum Antiochiæ erat, non desineret reprehendere superstitionem, vinctus Romam ut ibi leonibus esca objiceretur, si fidem Christi non abjuraret, missus est: et Asiam cum firma militum custodia vinctus peragrans, ecclesiasque oppidatim adiens, sermonibus familiaribus et cohortationibus confirmabat, et quoniam tum primum hæreses paulatim liberius se proferre auderent, ut sibi ab eis caverent, doctrinæque apostol carum traditionum constanter insisterent, admonebat. Quod ut illis certius persuaderet, in litteras cohortationes suas referendas esse duxit. Itaque Smyrnæ cum esset, ubi Polycarpus ecclesiam regebat, epistolam unam ad B Ephesiorum ecclesiam dedit, Onesimi pastoris mentionem faciens. Aliam autem Magnesiæ et Mæsandrum sitæ scripsit, in qua episcopi cujusdem Damæ meminit. Aliam item ad ecclesiam quæ Trallibus fuit, misit, cui tum Polybius præfuit. Quartam porro ad Romanam scripsit Ecclesiam, cum ampla exhortatione, ne quod martyrio ejus objicerent impedimentum, neve propter animorum imbecillitatem quidquam agerent, ut ipse concepta optataque spe sua excideret. Operæ pretium vero est, verba aliqua linguæ illius, ad fortitudinis et fidei ejus magnitudinem declarandam, historiæ huic apponere. Scribit enim ad hunc modum: « Ab ipsa Syria Romam usque, terra marique, diu noctuque cum bestiis mihi depugnandum est, cum C decem videlicet leopardis, hoc est, militari manipulo, qui beneficiis affecti longe etiam deteriores fiunt. Verum injuriis eorum magis etiam magisque erudior. Verumtamen ea de causa justificatus non sum. **250** Quam velim mihi jam adesse, quæ in me destinatæ paratæque sunt bestiæ, quas etiam ut quamprimum reperiam opto. Eas per assentationem et palpationem demulcebo, ut me quam celerrime devorent. Atque etiam si id facere nolent, ego eas vim illis inferens incitabo. Date mihi, quæso, hanc veniam. Quid mihi expediat, novi. Nunc enim demum discere incipio, nihil optare aut desiderare rerum omnium et invisibilium et visibilium, ut ad Jesum Christum veniam. Ignes, cruces, bestiarum cohortes, dissipationes ossium, membrorum concisiones, totius corporis commolitiones, et diaboli D tormenta et supplicia in me progrediantur, ut modo ad Jesum Christum perveniam. » Atque hæc Smyrnæ scripsit. Cum autem Troade esset, per litteras cum Philadelphiæ ecclesia collocutus est. Epistolam quoque ad Smyrnæos dedit, et aliam item seorsim ad episcopum eorum Polycarpum, simul et ut virum divinum honorans, et velut apostolico pastori (quippe et ipse pastor bonus) gregem commendans: additis quoque precibus, ut curam illius habere, et quæ optima essent, eum docere vellet. In epistola ad Smyrnæos verbis quibusdam insignibus de Christo utitur; quæ unde desumpserit, non satis scio: « Ego vero etiam post resurre-

ctionem in carne, inquit, eum vidi, credoque eum esse. Et cum ad Petrum et eos qui cum eo erant venit, eisque dixit : Accipite, contrectate, et videte me non esse dæmonium incorporeum; statim eum tetigerunt, et crediderunt. » Sed et Ipse frenæus martyrium ejus novit, et epistolarum ejus mentionem facit: « Quemadmodum nostrorum quidam dixit, propter professionem atque testificationem de Deo ad bestias condemnatus : Frumentum sum Dei, et per bestiarum dentes commolor, ut purus sincerusque inveniar panis. » Polycarpus autem, in epistola sua ad Philippenses, hisce verbis ejus meminit: « Obsecro igitur vos omnes, ut obediatis quibus debetis, et omnem patientiam exerceatis, quam ad oculum vidistis, non solum in beatis viris Ignatio et Rufo et Zosimo, sed etiam in aliis nostræ professionis hominibus, atque adeo in ipso Paulo et reliquis apostolis, illud persuasum habenses quod illi omnes non in vanum cucurrerint, sed in fide et justitia, et quod in debito destinatoque eis loco sint apud Dominum, cui etiam compassi sunt. Non enim præsens complexi amaverunt sæculum, sed eum qui pro nobis mortuus est, et qui propter nos a Deo est resuscitatus. » **251** De epistolis ita scribit : « Scripsistis mihi et vos, et Ignatius, ut cum quis in Syriam ierit, litteras ad vos perferat : quod quidem curabo, opportunum nactus tempus, vel ego ipse, vel is quem mitto, qui sit pro nobis nuntium illo perlaturus. Epistolas Ignatii ab eo ad nos missas, et alias item, quas nobiscum habuimus, ita ut jussistis, ad vos misimus; quæ quidem litteris nesce nostris sunt adjunctæ, quibus multum adjuvari poteriis. Complectuntur enim fidem, et patientiam, et ædificationem omnem, quæ ad Dominum nostrum refertur. » Romæ porro cum prius varia tormenta pertulisset, neque quidquam de constanti decentique sua sententia remisisset postremo in medio theatro duobus leonibus objectus, martyrio est defunctus : et carnes quidem ejus atque ossa teneriora bestiæ devorarunt : quæcunque autem firmiora reliqua fuere, multo deinceps tempore Roma Antiochiam ab sodalibus sectatoribusque ejus sunt perlata. Hæc de ipso divino Ignatio.

A δὲ καὶ τὸ μαρτύριον αὐτοῦ οἶδε, καὶ τῶν ἐπιστολῶν αὐτοῦ μνείαν ποιεῖται, γράφων οὕτως · « Ὡς εἶπέ τις τῶν ἡμετέρων διὰ τὴν πρὸς Θεὸν μαρτυρίαν κατακριθεὶς πρὸς θηρία · Ὅτι σῖτός εἰμι Θεοῦ, καὶ δι' ὀδόντων θηρίων ἀληθομαι, ἵνα καθαρὸς ἄρτος εὑρεθῶ. » Μέμνηται δὲ αὐτοῦ καὶ Πολύκαρπος ἐν τῇ πρὸς Φιλιππησίους τούτου ἐπιστολῇ, οὑτωσί πως διεξιών · « Παρακαλῶ οὖν πάντας ὑμᾶς, πειθαρχεῖν καὶ ἀσκεῖν πᾶσαν ὑπομονὴν ἣν εἴδετε κατ' ὀφθαλμοὺς, οὐ μόνον ἐν τοῖς μακαρίοις, Ἰγνατίῳ καὶ Ῥούφῳ καὶ Ζωσίμῳ, ἀλλὰ καὶ ἐν ἄλλοις τοῖς ἐξ ἡμῶν, καὶ ἐν αὐτῷ Παύλῳ καὶ τοῖς λοιποῖς ἀποστόλοις · πεπεισμένοι ὅτι οὗτοι πάντες οὐκ εἰς κενὸν ἔδραμον, ἀλλ' ἐν πίστει καὶ δικαιοσύνῃ · καὶ ὅτι εἰς τὸν ὀφειλόμενον αὐτοῖς τόπον εἰσὶ παρὰ B Κυρίῳ, ᾧ καὶ συνέπαθον. Οὐ γὰρ τὸν νῦν ἠγάπησαν αἰῶνα, ἀλλὰ τὸν ὑπὲρ ἡμῶν ἀποθανόντα, καὶ δι' ἡμᾶς ὑπὸ τοῦ Θεοῦ ἀναστάντα. » Ἐξῆς δ' ἐπιφέρει · « Ἐγράψατέ μοι καὶ ὑμεῖς καὶ Ἰγνάτιος, ἵνα ἐάν τις ἀπέρχηται εἰς Συρίαν, καὶ τὰ παρ' ἡμῶν ἀποκομίσῃ γεάμματα · ὅπερ ποιήσω, ἐὰν λάβω καιρὸν εὔθετον, εἴτε ἐγὼ, εἴτε ὃν πέμπω πρεσβεύσοντα, καὶ ὑπὲρ ὑμῶν. Τὰς ἐπιστολὰς Ἰγνατίου τὰς πεμφθείσας ἡμῖν ἀπ' αὐτοῦ, καὶ ἄλλας ἃς εἴχομεν παρ' ἡμῖν, ἐπέμψαμεν ὑμῖν, καθὼς ἐνετείλασθε · αἵτινες ὑποτεταγμέναι εἰσὶ τῇ ἐπιστολῇ ταύτῃ · ἐξ ὧν μεγάλα ὠφεληθῆναι δυνήσεσθε · περιέχουσι γὰρ πίστιν καὶ ὑπομονὴν καὶ πᾶσαν οἰκοδομὴν τὴν εἰς τὸν Κύριον ἡμῶν ἀνήκουσαν. » Ἐν δὲ Ῥώμῃ γενόμενος, καὶ ποικίλαις βασάνοις ἐξετασθεὶς πρότερον, C καὶ μηδέν τι τοῦ προσήκοντος καθυφεὶς φρονήματος, τέλος ἐπὶ μέσου θεάτρου δυσὶ λέουσι παραβληθεὶς, τέλει τοῦ μαρτυρίου ἐχρήσατο. Τῶν οὖν σαρκῶν αὐτοῦ καὶ τῶν ἁπαλωτέρων ὀστέων καταβρωθέντων, ὅσα τῶν στερροτέρων ὑπελείφθη, χρόνῳ πολλῷ ὕστερον ἐκ Ῥώμης εἰς Ἀντιόχειαν οἱ ἐκείνου θιασῶται ἀνήγαγον. Τοιαῦτα καὶ τὰ κατὰ τὸν θεῖον Ἰγνάτιον.

CAPUT XX.

De Papia Hieropolita : et quæ ab eo, præter communem opinionem, memoriæ sint prodita.

Papias vero Hierapolitanus et ipse vita apostolica clarus fuit, multaque Ecclesiæ scripta reliquit: quorum quinque tantum, quæ Dominicorum sermonum expositionem inscripsit, circumferuntur. Eorum Irenæus quoque mentionem facit, ita inquiens : « De iis Papias, Joannis quidem auditor, Polycarpi autem sodalis, vir priscus, scripto testatur, in quarto voluminis sui libro. Quinque enim composuit. » Papias porro ipse, in Prœmio scriptorum suorum, se oculis suis apostolos non vidisse, sed fidei professionem ab eis qui illis noti atque familiares fuerunt, addidicisse, hisce verbis innuit : « Non gravabor enim, inquit, quæcunque a presbyteris recte didici, ac recte memoriæ man-

ΚΕΦΑΛ. Κ'.

Περὶ τοῦ Ἱεραπολίτου Παπίᾳ, καὶ τῶν παρὰ δόξαν ἱστορηθέντων αὐτῷ.

D Παπίας δ' ὁ Ἱεραπολίτης ἀποστολικῷ καὶ οὗτος διαπρέψας βίῳ, πολλὰ συγγράμματα τῇ Ἐκκλησίᾳ κατέλιπε · πέντε δ' οὖν αὐτῷ μόνα ἐφέρετο, ἃ λογίων Κυριακῶν ἐπέγραψεν ἐξηγήσεως. Ὧν καὶ Εἰρηναῖος μνείαν ποιεῖται, οὕτω φάσκων · « Ταῦτα καὶ Παπίας, Ἰωάννου μὲν ἀκουστὴς, Πολυκάρπου δὲ ἑταῖρος γεγονὼς, ἀρχαῖος ἀνὴρ, ἐγγράφως ἐπιμαρτυρεῖ ἐν τῇ τετάρτῃ τῶν ἑαυτοῦ βιβλίων · ἔστι γὰρ αὐτῷ πέντε βιβλία συντεταγμένα. » Παπίας δὲ οὐκ αὐτόπτην ἑαυτὸν ἐν τῷ προοιμίῳ τῆς βίβλου τῶν ἀποστόλων λέγει · τὰ δὲ τῆς πίστεως εἰληφέναι φησὶ παρὰ τῶν ἐκείνοις γνωρίμων, δι' ὧν ἐπισημαίνεται λέξεων · « Οὐκ ὀκνήσω γάρ σοι, φησὶ, καὶ ὅσα ποτὲ παρὰ τῶν πρεσβυτέρων καλῶς ἔμαθον καὶ καλῶς

ἐμνημόνευσα, συντάξαι, ταῖς ἑρμηνείαις διαβεβαιούμενος ὑπὲρ αὐτῶν ἀληθειαν. Οὐ γὰρ τοῖς πολλὰ λεγουσιν ἔχαιρον, ὥσπερ οἱ πολλοὶ, ἀλλὰ τοῖς τἀληθῆ διδάσκουσιν· οὐδὲ τοῖς τὰς ἀλλοτρίας ἐντολὰς μνημονεύουσιν, ἀλλὰ τοῖς τὰς παρὰ τοῦ Κυρίου τῇ πίστει δεδομένας, καὶ παρ' αὐτῆς παραγινομένοις τῆς ἀληθείας. Εἰ δέ που καὶ παρηκολουθηκώς τις τοῖς πρεσβυτέροις ἔλθοι, τοὺς τῶν πρεσβυτέρων ἀνέκρινον λόγους· τί Ἀνδρέας, ἢ τί Πέτρος εἶπεν, ἢ τί Θωμᾶς, ἢ Φίλιππος, ἢ τί Σίμων, ἢ Ἰάκωβος, ἢ τί Ἰωάννης, ἢ Ματθαῖος· ἤ τις ἕτερος τῶν τοῦ Κυρίου μαθητῶν, ἅ τε Ἀριστίων καὶ ὁ πρεσβύτερος Ἰωάννης, τοῦ Κυρίου μαθηταὶ, λέγουσιν. Οὐ γὰρ τὰ ἐκ τῶν βιβλίων τοσοῦτόν με ὠφελεῖν ὑπελάμβανον, ὅσον τὰ παρὰ ζώσης φωνῆς καὶ μενούσης. » Ἐπισημήνασθαι δὲ χρὴ, ὡς δὶς τὴν Ἰωάννου ὁμωνυμίαν τῷ συγγράμματι καταλέγει· ὧν τὴν μὲν τοῖς ἀποστόλοις συγκαταλέγει, ὡς ἐξὸν εἶναι τὸν ἠγαπημένον νοεῖν· τῇ δὲ προστίθησιν Ἀριστίωνα, καὶ πρεσβύτερον ἀνομάζει· οὗ τινες ἀγνοήσαντες τὴν ὁμωνυμίαν, τὰς μετὰ τὴν πρώτην δύο Ἐπιστολὰς Ἰωάννου καὶ τὴν Ἀποκάλυψιν εἶναι ἐνόμισαν· ἐν Ἐφέσῳ γὰρ καὶ οὗτος ὁ πρεσβύτερος διατρίβων ἦν, ἔνθα καὶ δύο μνήματα λόγος εἰσέτι σώζεσθαι ἀμφότερα Ἰωάννου μνημεῖα ὁμωνύμως λεγόμενα. Ἐπεὶ δ' ὁ εἰρημένος Παπίας καὶ ἄλλα τινὰ παράδοξα ἱστορεῖ ταῖς ἑαυτοῦ βίβλοις, ὡς ἐκ παραδόσεως τῶν πρὸ ἐκείνου εἰς αὐτὸν ἐλθόντα, φέρε καὶ περὶ τούτων βραχέα διαληψώμεθα. Αὐτίκα γὰρ τὸν κατὰ τὴν Ἱεράπολιν Φίλιππον, οὗ καὶ τὰς θυγατέρας προφήτιδας εἶναι ὁ λόγος διεῖληφεν, ἕνα τῶν δώδεκά φησιν ἀποστόλων, οὗ τῶν ἑπτὰ διακόνων, ὡς Λουκᾶς ἐν Πράξεσιν ἱστορεῖ. Ὡμιληκέναι δὲ καὶ ταῖς ἐκείνου θυγατράσι λέγει· παρ' ὧν γνῶσαί φησι καὶ νεκροῦ ἀνάστασιν κατ' ἐκεῖνο γενομένην καιροῦ. Περὶ μὲν τοι Βαρσαβᾶ, ὃς ἐπεκλήθη Ἰοῦστος, οὗ αἱ Πράξεις μνείαν πεποίηνται, λέγει, ὡς δηλητηρίου φαρμάκου ὑπέρτερος ὢφθη διὰ τὴν τοῦ Κυρίου χάριν πιών. Καὶ ἄλλα δὲ πλεῖστα ὡς ἐκ παραδόσεως ἀγράφου παραβολάς τινας καὶ διδασκαλίας τοῦ Σωτῆρος, καί τινα ἄλλα ὡς ἂν μυθικώτερον ἱστορεῖ. Καὶ χιλιάδα δ' ἐτῶν ἔσεσθαι μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν τῆς Χριστοῦ βασιλείας σωματικώτερον ἐπὶ ταυτησὶ τῆς γῆς ὑποστησομένης· ἃ οἶμαι ἀγνοήσαντα τὰ ἐν ἐπαγγελίαις εἰρημένα μυστικῶς, παχύτερον ἐκλαβέσθαι· ἅτε δὴ καὶ τὸν νοῦν τοιοῦτος, ὡς ἐκ τῶν αὐτοῦ λόγων τεκμηριώσασθαι ἔξεστι· πλὴν πολλοὺς εἰς τὸν ὅμοιον ζῆλον εἵλκυσε τὸ ἀρχαῖον τοῦ ἀνδρὸς αἴδουμένους· ὥσπερ οὖν Εἰρηναῖος, καὶ εἴ τις ἄλλος ἐκείνῳ ἐπίσης φρονῶν ἐναπέφηνε. Καὶ ἄλλαι δὲ παραδόσεις ἐκ τῶν προδιδηλωμένων Ἀριστίωνος καὶ τοῦ πρεσβυτέρου Ἰωάννου ἔχειν φησὶν· ἐφ' ἃς τοὺς φιλομαθεῖς παραπέμψαντες, ἀναγκαίως ἅ φησι περὶ Μάρκου καὶ Ματθαίου τῶν εὐαγγελιστῶν διαλήψομαι. Λέγει δὲ οὕτω. « Καὶ τοῦθ' ὁ πρεσβύτερος ἔλεγεν Ἰωάννης· Μάρκος μὲν ἑρμηνευτὴς Πέτρου γενόμενος, ὅσα ἐμνημόνευσεν, ἀκριβῶς ἔγραψεν. Οὐ μέν-

davi, veritatem eorum interpretatione confirmans, tibi exponere. Minime enim iis sum, ut vulgus hominum solet, delectantus, qui multa dicerent, sed qui vera docerent : neque qui aliena, sed qui a Domino, et ab eis quibus cum ipsa veritate consuetudo fuit, de fide tradita præcepta commemorarent, 952 Quod si quando aliquis presbyterorum sectator adveniret, eorum ipsorum requirebam sermones : quid scilicet Andreas, quid Petrus dixisset : quid Thomas, aut Philippus, aut Simon, aut Jacobus : aut quid Joannes, aut Matthæus, aut quid alius quisquam Domini discipulorum : aut quid etiam Aristion, et Joannes presbyter, et ipsi discipuli Domini dicant. Non enim tantum me libris adjuvari, quantum viva et præsenti voce, arbitratus sum. » Notandum porro est, bis eum in scripto hoc Joannis nomine uti : primo quidem, ubi apostolorum nomenclaturam instituit, ut dilectum illum intelligere liceat : secundo autem loco, Aristionem et Joannem adjicit, et presbyterum vocat. Cujus quidam ignorantes commune cum apostolo nomen, posteriores duas Joannis Epistolas et Apocalypsim apostolo ipsi ascripserunt. Ephesi namque presbyter quoque iste vixit, ubi etiam nunc duo exstare dicuntur monumenta, quæ eodem nomine Joannis feruntur. Quandoquidem autem idem Papias alia quoque admiranda quædam in libris suis refert, a decessoribus suis per manus sibi tradita, agedum de eis quoque pauca dicamus. Statim enim Philippum, eum qui Hierapoli fuit, et filias prophetissas, ut antea dictum est, habuit, unum ex duodecim apostolis, non ex septem illis diaconis, quos in Actis recenset Lucas, fuisse memorat ; et se cum filiabus ejus collocutum esse ait, unde intellexerit ætate ea mortuum quemdam resurrexisse. De Barsaba sane quidem, qui Justus cognominatus est, et cujus in Actis fit mentio, illud refert, quod, veneno pestifero hausto, nihil senserit per Domini gratiam detrimenti. Sed et alia plurima ex majorum sine scripto traditione accepta, ut parabolas et doctrinas Servatoris quasdam, et item alia fabulose quodam modo commemorat, Mille quoque annorum post mortuorum resurrectionem fore dicit Christi regnum, corporaliter in hac terra producendum, quod illum, ignorantem promissiones arcano quodam mysterio esse editas ita crassius accepisse credo, quippe qui mente acri non fuerit, id quod ex libris ejus conjicere licet ; multos tamen in eamdem æmulationem, vetustatem viri admiratos, pertraxit : 953 sicuti Irenæus, et si quis præterea alius ejusdem cum illo est sententiæ et opinionis (1), ostendit. Quin alias etiam se, ab eis qui dicti sunt, Aristione et presbytero Joanne, traditiones habere dicit : ad quas studiosos rejiciens, quæ de Marco et Matthæo evangelistis tradit, necessario hic persequenda esse putavi. Ita enim scribit : « Hoc quoque Joannes

(1) Qui opinionis et hæresis ejus sunt, Χιλασταὶ, hoc est, Millenarii dicuntur.

presbyter dixit. Marcus, quod Petri esset interpres, quæ memoriæ commendaverat, certo et diligenter conscripsit, non tamen servto dictorum factorumque Christi ordine. Non enim audivit, neque consectatus est Dominum, sed posterius, ut dixi, Petri discipulus fuit ; qui quidem ex usu auditorum doctrinam suam promulgavit, non ordine sermones et oracula Domini commemoravit. Quapropter minime hallucinatus est Marcus, sic pleraque scribens ut ea memoria fuerat consecutus. Unum enim hoc sibi in scribendo proposuerat, ne quid eorum quæ audisset, omitteret, neve a veritate aberraret. Matthæus vero sermone Hebraico librum suum composuit, quem deinde, ut quisque potuit, est interpretatus. » Utitur adem Papias testimoniis et auctoritatibus ex priore Joannis, et itidem ex priore Petri Epistolis. Addit præterea bistoriam aliam, de muliere, quæ multis criminibus apud Dominum sit delata (1). Et Papiæ quidem scripta ad hunc se habent modum.

A τοι τάξει τὰ ὑπὸ τοῦ Χριστοῦ ἢ λεχθέντα ἢ πραχθέντα· οὔτε γὰρ ἤκουσε τοῦ Κυρίου, οὔτε παρηκολούθησαν αὐτῷ· ὕστερον δὲ, ὡς ἔφην, Πέτρῳ, ὃς πρὸς τὰς χρείας ἐποιεῖτο διδασκαλίας· ἀλλ' οὐχ ὥσπερ σύνταξιν τῶν Κυριακῶν ποιούμενος λογίων· ὥστε οὐδὲν ἥμαρτε Μάρκος οὕτως ἔνια γράψας ὡς ἀπεμνημόνευσεν· ἑνὸς γὰρ ἐποιήσατο πρόνοιαν, τοῦ μηδὲν παραλιπεῖν ὧν ἤκουσεν, ἢ ψεύσασθαί τι ἐν αὐτοῖς. Ματθαῖος δ' Ἑβραΐδι διαλέκτῳ τὰ λόγια συνετάξατο· ἡρμήνευσε δε αὐτὰ ὡς ἦν δυνατὸς ἕκαστος. » Κέχρηται δὲ αὐτὸς μαρτυρίαις ἀπὸ τῆς Ἰωάννου προτέρας Ἐπιστολῆς καὶ ἀπὸ τῆς Πέτρου ὁμοίως. Καὶ ἄλλην δὲ ἱστορίαν προτίθησι περὶ γυναικὸς ἐπὶ πολλαῖς ἁμαρτίαις διαβληθείσης ἐπὶ τοῦ Κυρίου. Ἀλλὰ καὶ τὰ τῷ Παπίᾳ συγγραφέντα τοῦτον ἔχουσι τὸν τρόπον.

CAPUT XXI.

De Quadrato et Aristide, apostolicis plane viris, qui pro defensione fidei nostræ Apologios scripserunt.

Floruit autem eo tempore divinus quoque Quadratus : cui nihil eorum donorum, quæ apostolicos decent successores, defuit. Itidem vero et Aristides, vir ætate ea ingenti fidei nostræ æmulatione et ardore flagrans Ambo doctrina, fervore, et vitæ Christianæ moribus pares; ambo etiam orationes ad Ælium Adrianum, qui Trajano in imperio successit, quibus Christianum dogma defendunt, composuerunt, cum improbi quidam homines Ecclesias urgere atque persequi aggrederentur. In quibus orationibus videre est non exiga eorum virorum splendidiæ mentis apostolicæque et rectæ doctrinæ indicia. Quadratus quidem certe priscam sinceritatem et fidem suam satis declarat iis ipsis quæ sequuntur verbis : « Servatoris autem nostri opera semper præsto fuere, **254** quippe quæ vera essent : qui sanati fuerant, qui a mortuis suscitati, non solum cum curarentur et exsuscitarentur, sed postea etiam viventes continue apparuerunt : et non tantum cum Salvator in terris versaretur, verum post discessum quoque ejus longo vixerunt tempore, adeo ut nonnulli etiam ad nostram duraverint ætatem. »

ΚΕΦΑΛ. ΚΑ'.

Περὶ Κοδράτου καὶ Ἀριστείδου, ἀποστολικῶν ἀνδρῶν, ὑπὲρ τῆς καθ' ἡμᾶς πίστεως ἐγγράφως ἀπολογίας ποιησαμένων.

Καὶ Κοδρᾶτος δὲ ὁ θεῖος τηνικαῦτα διέπρεπε, κατὰ μηδὲν ἐνδέων τῶν τῆς ἀποστολικῆς διαδοχῆς χαρισμάτων. Ὡσαύτως δὲ καὶ Ἀριστείδης, ἀνὴρ τηνικάδε τῷ ὑπὲρ τῆς καθ' ἡμᾶς πίστεως ζήλῳ πυρούμενος· παραπλήσιοι δὲ καὶ ἄμφω τόν τε λόγον καὶ ζῆλον, καὶ τῇ ἀσκήσει τῆς κατὰ Χριστὸν πολιτείας. Ἀμφότεροι δὲ λόγους τῷ μετὰ Τραϊανὸν Αἰλίῳ Ἀδριανῷ προσφωνοῦσιν ὑπὲρ τοῦ καθ' ἡμᾶς δόγματος, τινῶν γε πονηρῶν τοῖς ἡμετέροις ἐπιτίθεσθαι πειρωμένων· ἐν οἷς ἔστι κατανοῆσαι οὐ μικρά τινα τεκμήρια τῆς τῶν ἀνδρῶν λαμπρᾶς διανοίας καὶ τῆς ἀποστολικῆς ὀρθοτομίας. Κοδρᾶτος μέντοι καὶ τὸ ἀρχαῖον αὐτοῦ σοφῶς παραδείκνυσιν, ἐξ ὧν φησιν αὐταῖς λέξεσι γράφων· « Τοῦ δὲ Σωτῆρος ἡμῶν τὰ ἔργα ἀεὶ παρῆν· ἀληθῆ γὰρ ἦν· οἱ θεραπευθέντες, οἱ ἀναστάντες ἐκ νεκρῶν, οἳ οὐκ ὤφθησαν μόνον θεραπευόμενοι καὶ ἀνισταμένοι, ἀλλὰ καὶ παρόντες· οὐδὲ ἐπιδημοῦντος μόνον τοῦ Σωτῆρος, ἀλλὰ καὶ ἀπαλλάγέντος, ἦσαν ἐπὶ χρόνον ἱκανόν· ὥς τε καὶ εἰς τοὺς ἡμετέρους χρόνους τινὲς ἀφίκοντο. »

CAPUT XXII.

Quæ etiam sub Trajano Judæis acciderint clades.

Ac res quidem nostræ ita florebant, quotidianumque incrementum capiebant, radicibus apostolicorum virorum, qui tum multi in vita erant, doctrinæ alte actis, et sanctorum martyrum sanguine ubertim rigatis. Judæorum autem natio frequentibus aliisque super alias accumulatis cladibus admodum accidebatur. Decimus octavus imerit Trajani agebatur annus, cum Judæorum rursus

ΚΕΦΑΛ. ΚΒ'.

Ὅσα καὶ ἐπὶ Τραϊανοῦ Ἰουδαίοις ἐπισυνέβη κακά.

Τὰ μὲν οὖν ἡμέτερα οὕτως ἤνθει, καὶ καθ' ἡμέραν εἰς ἐπίδοσιν ἤγοντο, ῥίζας βαθείας καταβαλλόμενα ταῖς τε τῶν ἀποστολικῶν ἀνδρῶν διδασκαλίαις (πολλοὶ δὲ ἦσαν τῷ βίῳ) καὶ τοῖς τῶν μαρτύρων αἵμασι πιαινόμενα· τὰ δὲ τῶν Ἰουδαίων συχνοῖν καὶ ἀλλεπαλλήλοις ἤκμαζε τοῖς κακοῖς. Ὄγδοον μὲν οὖν καὶ δέκατον ἔτος τῷ αὐτοκράτορι τούτῳ τῇ ἀρχῇ διηνύετο, καὶ Ἰουδαίων κίνησις αὖθις ἠγεί-

(1) Eam Evangelium secundum Hebræos continet. (Euseb. lib. III, cap. ult.)

ρέτο, καὶ τὸ περιλειφθὲν τοῦ πλήθους ἠφάνιζε. Δεινοῦ γὰρ καὶ στασιώδους πνεύματος ἐμπεσόντος αὐτοῖς, καὶ τὸν θυμὸν μᾶλλον ἀναῤῥιπίζοντος, πρὸς τοὺς συνοίκους ἐστασίαζον Ἕλληνας. Καὶ τοῦτ' ἐν Ἀλεξανδρείᾳ καὶ Αἰγύπτῳ καὶ τῇ προσοίκῳ Κυρήνῃ ἐπράττετο. Κατὰ μικρὸν δὲ τὴν στάσιν αὐξήσαντες, τῷ μετ' ἐκεῖνον ἐνιαυτῷ μέγιστον κατ' ἀλλήλων συνῆψαν τὸν πόλεμον. Ἡγεῖτο δὲ τηνικάδε Λοῦπος Αἰγύπτου. Καὶ τὰ μὲν πρῶτα τὰ τῶν Ἰουδαίων ἐκράτει· οἱ δ' Ἕλληνες φυγῇ ἀκόσμῳ χρησάμενοι, τοῖς ἐν Ἀλεξανδρείᾳ ἀπροόπτως ἐπιθέμενοι Ἰουδαίοις, ζωγροῦσί τε αὐτίκα καὶ μαχαίρας ἔργον ποιοῦνται. Συμμαχίας γοῦν οἱ ἐν Κυρήνῃ τῆς ἐκείνων ἀποτυχόντες, καταθέουσι τῆς Αἰγύπτου πάσης ἔτι ἡγουμένου Λούπου· καὶ ὃ δρᾷν κακὸν εἶχον, ἀδεῶς ἔπρασσον. Δείσας τοίνυν Τραϊανός, πέμπει Μάρκιον Τούρβωνα μετ' ἀξιομάχου δυνάμεως, ὑπαντιάσαι κατὰ στόμα τοῖς Ἰουδαίοις. Σὺν δὲ τῇ ναυτικῇ πεζική τε καὶ ἱππικὴ παρείπετο δύναμις· ὃς καὶ ἐν ἐλαχίστῳ χρόνῳ πολλαῖς τε καὶ παντοίαις μάχαις τὸν πρὸς αὐτοὺς πόλεμον γενναίως διενεγκών, πλείστας μυριάδας Ἰουδαίων οὐ τῶν ἀπὸ Κυρήνης μόνον, ἀλλὰ καὶ τῶν ἀπ' Αἰγύπτου τῷ σφῶν βασιλεῖ συμμαχούντων, Λούκιος ἦν αὐτῷ ὄνομα, ἀναιρεῖ. Ὑπόπτως δ' ἔχων μὴ τοῖς ὁμοφύλοις καὶ οἱ ἐν Μεσοποταμίᾳ ἐπίσῃς ἐπίθωνται, Λουκίῳ Κυιήτῳ προσίταττε τῆς ὑπ' αὐτὸν ἐπαρχίας ὅσον τάχος ἐκκαθαίρειν αὐτούς. Καὶ ὃς κρύφα στρατηγικὴν τὴν παράταξιν ποιησάμενος, ὑπάγει τῷ ξίφει πλῆθος ἐκείνων, οὐ ῥᾳδίως ἀριθμῷ ὑποπίπτον. Οὗ δὴ χάριν καὶ τῆς Ἰουδαίας ἡγεμονίᾳ ὁ αὐτοκράτωρ τὸν Λούκιον καθιστᾷ· ὡς καὶ οἱ ἔξωθεν ἀναγραφεῖς τῶν χρόνων ἱστόρησαν.

excitatus est motus [(1) : qui quod relinquum ejus populi fuit, sustulit. Cum etenim gravis et seditiosus eos afflasset spiritus, qui iram vindictamque vehementius commovit, tumultum adversus cives suos Græcos in civitate Alexandrina, in Ægypto, et vicina ei Cyrene conciverunt. Quo deinde paulatim gliscente, qui proxime consecutus est, anno maximum conflarunt bellum (2). Tenebat tum cum imperio provinciam Ægyptum Lupus. Et primum quidem Judæi superiores esse : Græci autem ex turpi et fœda fuga congregati, ex improviso Judæos Alexandriæ adoriri, et partim ferro cædere, partim captivos abducere. Itaque qui Cyrenæ erant, subsidio tali amisso, cunctam percurrunt Ægyptum, quam Lupus adhuc administrabat : et quam possunt, impune inferunt cladem. Ea re permotus Trajanus Martium Turbonem eo cum valido mittit exercitu, qui cum Judæis cominus congrederetur et classem maritimam peditum equitumque consequuntur auxilia. Martius porro brevi multis variisque certaminibus commissis, belloque fortiter confecto plurimas myriadas Judæorum, non Cyrenaicorum solum, verum] Ægyptiorum quoque, qui regi suo Lucio (ita enim dicebatur) auxiliaria tulerant arma, contrucidat. 255 Veritus autem Trajanus, ne illi quoque qui in Mesopotamia erant pari modo popularibus suis bellum inferrent, Lucio Quieto mandat, ut provinciam suam Judæis oppressis repurget. Quapropter ille occulte copiis militaribus comparatis, illos aggressus, tantam eorum ferro concidit multitudinem, quanta non facile sub numerum cadere possit. Eamque ob causam Lucium provinciæ Judææ præfecit imperator, sicuti id quoque profani Annalium scriptores memoriæ prodidere.

ΚΕΦΑΛ. ΚΓ'.

Περὶ τοῦ τρόπου Τραϊανοῦ, καὶ τῶν ἐπ' Ἀντιοχείας ἔργων αὐτοῦ· καὶ περὶ τῶν ε' γυναικῶν μαρτύρων.

Φασί γε μὴν τοσοῦτον εἶναι τοῦ δικαίου φίλον Τραϊανὸν καὶ τὴν πονηρίαν μυσάττεσθαι, ὡς καί ποτε ῥομφαίαν γυμνώσαντα, τῷ ἐπάρχῳ τῆς πόλεως παῤῥησίᾳ πάντων ἐπιδόντα εἰπεῖν· Δέξαι τὸ ξίφος τουτί· καὶ εἰ μὲν καλῶς ἄρχω, ὑπὲρ ἐμοῦ, εἰ δὲ κακῶς, κατ' ἐμοῦ τούτῳ χρῆσαι. Δάκας δὲ πορθήσας, κατ' αὐτῶν ἐθριάμβευσε. Περσῶν δ' ἐπ' αὐτοῦ τὴν Ἀντιόχου καταδραμόντων, καὶ ταύτην λόγοις εἰρηναίοις καὶ σπονδαῖς εἰλῃφότων, ὥστε καὶ φόρους ἐλίσθαι εἰσφέρειν αὐτοῖς, εὐθὺς αὐτοῖς ἐπιτὰς, καὶ ἄγχι τῶν ὅρων γενόμενος, ἐν ἀπορρήτοις ἐμήνυε τοὺς εἰς φρουρὰν καταλειφθέντας τῆς

CAPUT XXIII.

De trajani moribus et operibus, structurisque ejus, quas Antiochiæ fieri curavit : et de quinque martyribus feminis.

Tam studiosus autem fuisse fertur Trajanus juris et justitiæ, et tam ab improbitate alienus, ut aliquando ensem strictum præfecto urbi in conspectu omnium dederit, atque dixerit : Cape ferrum hoc ; et siquidem recte imperium gessero, pro me, sin aliter, contra me hoc utere (3). Idem Dacos vicit, et de eis triumphavit (4). Sub eo quoque Persæ ad Antiochiam usque excurrerant : eique urbi per pacis conditiones captæ tributum simul et præsidium imposuerant. Continuo auxilium fert imperator : et cum ad fines eorum venisset, per notas illis scribens, clam significat, ut præsidium

1) Judæi hic ducem habuerunt Andream.

(2) In motu isto Judæi cædibus contenti non fecerunt, sed humanis carnibus vesci cœperunt. Cyprii etiam ab eis ingenti clade, duce Judæorum Artemione, sunt affecti. Judæi conspiratione facta, passim ducentena et quadraginta millia hominum contrucidarunt. (Dion., Oros.)

(3) « Ego quidem in me, si omnium utilitas ita poposcerit, etiam præfecti manum armavi. » (Trajanus apud Plin. juniorem in *Panegyrico.*) Trajanus quoque ad amicos dixit, talem se esse imperatorem privatis et civibus, qualem sibi ipse imperatorem privatus optasset. Idem fiscum lienem vocavit quod eo crescente reliqui artus tabescerent.

(4) Decebalo eorum duci pacem dedit.

quod ibi Persarum rex reliquisset, necarent : se ad auxilium eis ferendum, Persicumque metum tollendum, præsto adesse. Illi, quod jussi fuerant, faciunt. Et ipse cum Persis prælio congressus, rege eorum cæso, clarissimaque reportata victoria, quem voluit eis regem dat. Et inde in eam urbem victor ingressus, multis eam ædificiis exornat, multos etiam Christianos interimit. In quibus et quinque virgines fidem palam profitentes comburit, et ossibus earum ad summum combustis, cineribusque æri commistis, ahena quædam et alia vasa fieri curat, eaque publico lavacro quod ipse magnificentissime construxerat, dicat. Verum enimvero quicunque eo lavatum ingrediebantur, quamprimum calidas attigissent aquas, caligine simul et vertigine correpti, cum impetu inde procurrebant et conciderant. Causa vero ejus mali cognita. Trajanus ut alia ex ære puro vasa balneo parentur mandat ; **256** priora autem illa in fornacibus conflata, in quinque transformat statuas, eosque virginum combustarum forma et habitu pro balneo collocat.

CAPUT XXIV.

De imperio Ælii Adriani, et de suprema sub eo Judæorum internecione.

Undeviginti annis et mensibus sex Trajanus imperium administravit, et moriens id Adriano sororis suæ (1) viro reliquit. Publica is statim civitatibus remittit debita,et vectigalia multa Romanis donat, unde ei in urbe divini decreti sunt honores. Nicæam et Nicomediam, quæ motu terræ multum detrimenti ceperant, firmo circumdat muro. Leges quoque ad Draconis et Solonis Atheniensium legislatorum imitationem promulgat. Rebellasse etiam sub ipso Judæos et templum Hierosolymis restituere voluisse dicunt. Qua de causa Adrianus quinquaginta et octo myriadas eorum uno die interfecit (2), et quæcunque ex vetustis ædificiis reliqua adhuc fuerant, diruit prorsus, et solo ita æquavit (3), ut ne lapis quidem super lapide permaneret, et oraculum Servatoris, ad exitum suum perductum, verborum ejus certitudinem corroboraret : civitatisque potuis pomœriis plurimum contractis, denuo eam suo sub nomine excitavit, et appellatione sua ei imposita, Æliam vocavit, atque in ipso templi adyto statuam ipse suam collocavit. Quam si quis non inepte abominationem desolationis nominet, in loco sancto, juxta Servatoris dictum, stantem, minime is judicio meo errarit. Solis autem Græcis incolendam eam dedit. Idem Adrianus templum etiam Cyzici exstruxit, maximum et celeberrimum, et item urbem eam, quæ hodie quoque nomen ejus obtinet, Adrianopolim. Quæ vero et Ariston Pellæus de postrema Judæorum

(1) Neptis ex sorore sua. (Dion.)
(2) Hoc est, quinquies centena et octuaginta millia.

πόλεως κτείνειν, οὓς ὁ Περσῶν κατέλιπε βασιλεύς· ἕτοιμον δ' αὐτὸν ἐπικουρεῖν εἶναι, καὶ τὸν Περσικὸν φόβον περιαιρεῖν. Νύκτωρ δ' ἐπιπεσόντες, Ἀντιοχεῖς ἀνῄρουν. Ὁ δὲ κρατῶν εὐθὺς τοῖς Πέρσαις ἐπέθετο, καὶ ἀναιρεῖ τὸν ἐκείνων κατάρχοντα. Ἐμφανῆ δὲ κατ' ἐκείνων τὴν νίκην ἀράμενος, ὃν αὐτὸς ἐβούλετο τοῖς Πέρσαις βασιλέα καθίστη. Τροπαιοῦχος δ' εἰσελάσας τὴν πόλιν, πολλοῖς οἰκοδομήμασι κατεκόσμει. Πολλοὺς δὲ τῶν Χριστιανῶν ἀνῄρει· ἐν οἷς καὶ πέντε παρθένους τὴν πίστιν τρανῶς διακηρυττούσας πυρὶ παραδέδωκε. Τὰ δ' ὀστᾶ τούτων σφοδρῶς κατακαύσας, καὶ τὴν ἐκ τούτων σποδιὰν τῷ χαλκῷ συμμίξας, τήγανά τε καὶ ἄλλα σκεύη τῷ συμμίκτῳ ἐκείνῳ χαλκῷ τῳ δημοσίῳ ἀνετίθει λουτρῷ, ὃ αὐτὸς μεγαλοπρεπῶς ᾠκοδόμει. Καὶ τοίνυν ὅσοιπερ εἰσῄεσαν λούσασθαι, ἅμα τῷ τῶν θερμῶν ὕδατων ἅψασθαι, σκότου καὶ δίνης πλήρεις γινόμενοι, φοράδην ἐξήγοντο καταπίπτοντες. Γνοὺς δὲ τὸ αἴτιον ὁ Τραϊανὸς, ἕτερα τῷ λουτρῷ σκεύη χαλκοῦ ἀμιγοῦς ἠτρέπιζε· τὰ δ' αὖ πρότερα χωνείᾳ παραδιδοὺς εἰς στήλας διεμόρφωσε πέντε, καὶ πρὸ τοῦ βαλανείου ἄνιστα εἰς τὸ τῶν ὑπ' αὐτοῦ κεκαυμένων σχῆμα τύπων.

ΚΕΦΑΛ. ΚΔ'.

Περὶ τῆς βασιλείας Αἰλίου Ἀδριανοῦ· καὶ περὶ τῆς κατ' αὐτὸν ὑστάτης τῶν Ἰουδαίων πανωλεθρίας.

Εἴκοσι δ' ἐπ' ἐνιαυτοῖς μηνῶν δέουσιν ἓξ τὴν ἀρχὴν κατεσχηκὼς ὁ Τραϊανὸς, Ἀδριανῷ τῷ ἐπ' ἀδελφῇ γαμβρῷ τὴν ἀρχὴν καταλείπει. Ἀνίησι δ' εὐθὺς τὰς δημοσίας τῶν πόλεων ὀφειλὰς, καὶ πολλοὺς δὲ φόρους τοῖς Ῥωμαίοις χαρίζεται· ὅθεν ἡ πόλις θείκὰς ἀφωσίου τούτῳ τιμάς. Νίκαιαν δὲ καὶ Νικομηδείαν σεισμῷ παθούσας, ὀχυροῖς τείχεσιν αὐτὰς περιβάλλει. Καὶ νόμους δὲ συντίθησιν, ἐκ τῶν παρ' Ἀθήνῃσι νομοθετῶν Δράκοντός τε καὶ Σόλωνος τὰς ἀφορμὰς ἐσχηκώς. Στασιάσαι δ' ἐπὶ τούτου καὶ τὸ Ἰούδαίων αὖθίς φασι. Πρὸς βουλῆς δ' ἦν ἐκείνοις καὶ τὸν ἐν Ἱεροσολύμοις νεὼν ἀνιστᾷν. Μυριάδας δὲ τοῦτον ὀκτὼ καὶ πεντήκοντά φασιν ἐπὶ μιᾶς ἡμέρας αὐτῶν ἀνελεῖν τῆς τοιαύτης χάριν ἐπιχειρήσεως· ὅσα γε μὴν τῇ πόλει περιελείφθη τῆς ἐκ πάλαι οἰκοδομῆς λείψανα ἐρειπῶσαι, καὶ παντάπασιν ἀφανίσαι· ἵνα μηδὲ τὸ μεῖναι λίθον ἐπὶ λίθῳ, λόγιον τοῦ Σωτῆρος εἰς πέρας ἐλθὸν, τἀσφαλὲς τῶν λόγων ἐξακριβώσαιτο. Εἰς ἅπαν δὲ τὴν πόλιν ἀπομειώσας ἐπὶ τῷ σφετέρῳ ὀνόματι ταύτην ἐγείρει, καὶ τὴν προσηγορίαν αὐτῇ δοὺς, Αἰλίαν ὠνόμασεν. Ἐν αὐτῷ δὲ τῷ ἀδύτῳ τοῦ ἱεροῦ καὶ τὸ ἑαυτοῦ ἀνίδρυσεν εἴδωλον· ὃ ἄν τις προσφόρως βδέλυγμα ἐρημώσεως προσειπὼν ἐν τόπῳ ἁγίῳ ἑστὼς, κατὰ τὴν τοῦ Σωτῆρος φωνὴν, οὐκ ἂν οἶμαι ἁμάρτοι. Ἕλλησι δὲ μόνοις τὴν πόλιν ἐδίδου, καὶ κατοικεῖν ἐπέτρεπεν. Οὗτος δὲ ὁ Ἀδριανὸς καὶ τὸν ἐν Κυζίκῳ νεὼν ἀνιστᾷ, μέγιστόν τινα καὶ περίφανέστατον· καὶ τὴν ἐς δεῦρο τὸ αὐτοῦ κτησαμέ-

(3) Jul. Severus in Judæam missus ab Adriano, arces 50 diruit, et vicos 980 ferro et igni vastavit. (Dion., Oros. lib. VII, cap. 13.)

νην πόλιν ὄνομα τὴν Ἀδριανούπολιν. Οἷα δὲ καὶ Ἀρίστων ὁ Πελλαῖος αὖθις περὶ τῆς ὑστάτης πολιορκίας αὐτῶν ἱστορεῖ, καλὸν αὐταῖς λέξεσιν ἐπακοῦσαι. « Καὶ δὴ τὰ τῆς Ἰουδαίων ἀποστασίας αὖθις εἰς μέγα καὶ πολὺ προελθούσης, Ῥοῦφος ἔπαρχος ὢν τῆς Ἰουδαίας, στρατιωτικῆς αὐτῷ σύμμαχίας ὑπὸ βασιλέως πεμφθείσης, ταῖς ἀπονοίαις αὐτῶν χρώμενος σφοδρῶς ἐπεξῄει, μυριάδας ἀθρόως ἀνδρῶν ὁμοῦ καὶ γυναικῶν καὶ παίδων διαφθείρων, πολέμου τε νόμῳ τὰς χώρας αὐτῶν ἐξανδραποδιζόμενος. Ἐστρατήγει δὲ τότε Ἰουδαίων Βαρχωχέβας, ὃ δὴ ἀστέρα δηλοῖ, τὰ μὲν ἄλλα φονικὸς καὶ λῃστρικός τις ἀνήρ· ἐπὶ δὲ τῇ προσηγορίᾳ οἷα ἐπ' ἀνδραπόδων ὡς δὴ ἐξ οὐρανοῦ φωστὴρ αὐτοῖς κατελήλυθὼς, κακουμένοις τε ἐπιλάμψαι τερατευόμενος. Ἀκμάσαντος δὲ τοῦ πολέμου ἔτους ὀγδόου καὶ δεκάτου τῆς ἡγεμονίας Ἀδριανοῦ, κατὰ Βιθθηρὰ πόλιν, ἥτις ἦν ὀχυρωτάτη, τῶν Ἱεροσολύμων οὐ σφόδρα πόρρω διεστῶσα, τῆς τε ἔξωθεν πολιορκίας χρονίου γενομένης. λιμῷ τε καὶ δίψει τῶν νεωτεροποιῶν εἰς ἔσχατον ὀλέθρου περιελαθέντων, καὶ τοῦ τῆς ἀπονοίας αὐτοῖς αἰτίου τὴν ἀξίαν ἐκτίσαντος δίκην, τὸ πᾶν ἔθνος ἐξ ἐκείνου καὶ τῆς περὶ τὰ Ἱεροσόλυμα γῆς πάμπαν ἐπιβαίνειν εἴργεται νόμου δόγματι καὶ διατάξεσιν Ἀδριανοῦ, ὡς ἂν μηδὲ ἐξ ἀπόπτου θεωροῖεν τὸ πατρῷον ἔδαφος ἐγκελευσαμένου. » Οὕτω δὲ τῆς πόλεως εἰς παντελῆ φθορὰν τοῦ Ἰουδαίων ἔθνους τῶν πάλαι οἰκητόρων ἐλθούσης, ἐξ ἀλλοφύλου τε γένους συνοικισθείσης, ἡ μετέπειτα συστᾶσα Ῥωμαϊκὴ πόλις εἰς τὴν τοῦ κρατοῦντος Αἰλίου Ἀδριανοῦ τιμὴν Αἰλία προσαγορεύεται. Καὶ οὕτω μὲν Ἰουδαῖοι καὶ ἐπὶ τούτου τὴν ἰσχάτην τῆς κατὰ Χριστοῦ μανίας ἀπέτισαν δίκην· ἡμεῖς δὲ καὶ ἐπὶ τὴν διαδοχὴν τῶν θείων αὖθις ἀνδρῶν χωρήσωμεν.

A obsidione litteris prodiderit, commodum fuerit ex verbis ejus cognoscere : « Porro rebellione atque defectione Judæorum longius rursum progressa, Rufus Judææ præfectus, acceptis ab imperatore militaribus copiis, et vecordia eorum, pro occasione bene gerendæ rei, subinde usus, infestis contra eos signis est progressus, **257** et plurima passim millia virorum simul et feminarum, atque etiam puerorum concidit, bellique jure loca eorum direpta in potestatem suam redegit. Dux Judæorum tum Barchochebas (1) erat, quod nomen *stellam* significat : cætera vir sanguinarius et prædator : ex nomine autem suo perditis mancipiis prodigiose persuaserat, cœlitus se lucem demissum esse, quæ afflictos atque oppressos illustraret. Quam maxime autem bello flagrante, decimo octavo imperii B Adriani anno, ad Bittheram civitatem munitissimam, nec ita longe a Hierosolymis sitam, cum diuturnirr obsidio instituta, rebellesque et rerum novarum studiosi fame ac siti ad extremum exitium redacti essent, et qui eis tantæ vecordiæ auctor fuisset, dignas per vindictam dedisset pœnas, gens tota ex eo tempore vicinam in circuitu Hierosolymis regionem prorsus attingere prohibita est, idque sic constitutione et sanctione Adriani factum : qui hoc sic jussit, ut illi ne aspicere quidem ex loco quopiam editiore patrium solum possent. » Ad hunc modum urbs Hierosolymorum Judaicum populum, antiquissimos suos colonos, interne- C cione summa amisit, et postea ad advenis culta atque inhabitata, ut Romana plane civitas, in imperatoris Ælii Adriani honorem Ælia est appellata. Ac si quidem etiam sub hoc Judæi extremum contra Christum per furorem perpetrati piaculi luere supplicium. Nos autem rursum ad divinorum virorum descendamus successionem.

ΚΕΦΑΛ. ΚΕ'.

Τίνες κατὰ τούτους τοὺς χρόνους τῶν μεγάλων παροικιῶν τῇ ἱερατικῇ διέπρεπον λειτουργίᾳ.

Δωδεκάτῳ ἔτει τῆς Τραϊανοῦ βασιλείας Εὐαρέστου ὄγδοον ἔτος ἐπὶ Ῥώμης ἱερατεύσαντος, Ἀλέξανδρος πέμπτην ἀπὸ Παύλου καὶ Πέτρου κατάγων διαδοχὴν, τὸν θρόνον λαμβάνει. Τρίτῳ δ' ἔτει τῆς ἀρχῆς Αἰλίου Ἀδριανοῦ δέκατον ἔτος ἐκπληρώσας Ἀλέξανδρος, Ξύστῳ ταύτης ἐξίσταται. Τῆς δ' D ἡγεμονίας Ἀδριανοῦ δωδέκατον ἐχούσης ἔτος, Ξύστου δεκατῇ διαγενόμενον χρόνῳ τῇ τῆς Ῥώμης ἐπισκοπῇ ἕβδομος ἀπὸ τῶν ἀποστόλων Τελέσφορος διαδέχεται. Καὶ τούτου δ' ἐνδεκάτῳ τῆς λειτουργίας ἐνιαυτῷ τὸ βιοῦν μεταλλάξαντος τέλει μαρτυρίου, ὡς φησιν Εἰρηναῖος, Ὑγῖνος τὸν κλῆρον τῆς ἐπισκοπῆς ἐκληροῦτο, ἔτος πρῶτον Ἀντωνίνου ὃς Εὐσεβὴς ἐπικέκλητο, ἔχοντος τὴν ἀρχήν. Ἀλλὰ γὰρ μετὰ τέταρτον τῆς ἐπισκοπῆς ἔτος ἀποβαλλομένου

Duodecimo imperantis Trajani anno, cum Evaristus pontificatum Romæ octo annos gessisset, Alexander quintus a Paulo et Petro successor ecclesiam regendam suscepit. Qui tertio Adriani imperii anno, decennio in episcopali functione expleto, Xysto eam concessit. Duodecimo porro Adriani anno, cum Xystus decennium itidem ecclesiæ præfuisset, Telesphorus ei successit. Verum et hoc, undecimo pontificalis ministerii sui anno, **258** vita per martyrium defuncto, ut Irenæus inquit, Hyginus provinciam ejus est sortitus, primo imperii Antonini, qui Pius est dictus, anno. Hygino porro post quartum annum mortuo, Pius successit (2). Atque huic rursum Anicetus, vicesimo imperantis Pii anno. Anicetus autem undecim

CAPUT XXV.

Qui ea ætate maximis quibusque ecclesiis episcopali ministerio præfuerint.

(1) **Barchochebas perduellis iste, Justino philosopho et martyre teste, apud Euseb. lib. IV, cap. 8, Christianos solos, nisi Christum abnegassent, atque blasphemiis incesserent, ad gravissima supplicia trahi jussit.**

(2) **Pius annis 15 cathedram obtinuit.**

annis Ecclesia Romana administrata, octavo imperatoris Veri anno, Soteri eam reliquit. Cui post annos octo Eleutherus est suffectus, duodecimus a Petro successor, cum decimum septimum annum M. Antoninus (1) cum filio Romanum regeret imperium. In Alexandrina ecclesia Primus quartus ab apostolis episcopus fuit. Ei, cum duodecim annos pontificale obiisset munus, Adriano tertium imperante annum, Justus est surrogatus. Circiter duodecimum autem ejusdem imperii annum, anno præterea uno et mensibus aliquot intercedentibus, ecclesiæ ejus administrationem Eumenes est sortitus, cum quidem Justus undecim ei præfuisset annis. Eumenes vero tredecim annis episcopatum tenuit. Cui Marcus succedens, decem annis curam pastoralem gessit. Marco Celadion suffectus, qui quatuordecim annis episcopatu functus, successorem habuit Agrippinum, nonum ecclesiæ ejus ab apostolis episcopum. Apud Antiochenos post Heronem ecclesiam rexit Cornelius. Huic quinto apostolicæ successionis gradu Eros in episcopatu succesit : deinde sextus Theophilus, et post hunc septimus ab Apostolis Maximinus. Hierosolymitanorum autem episcoporum tempora litteris mandata non sunt, quos brevis admodum ævi fuisse constat, quindecim ex ordine, ut quidem memoria sine scripto est proditum, Hebraici generis omnes, recteque officio suo functos, quod Christi doctrinam et professionem probe tenuerint ; quæ res effecit, ut ad episcopatum eum ab ecclesia Hierosolymitana, quæ ab apostolorum tempore ex fidelibus Judæis fere tota constabat, et usque ad extremam obsidionem perdurabat, sint delecti. Eorum itaque episcoporum qui ex circumcisione Christianam professionem rite sunt complexi, et mutuis Judæorum seditionibus atque vesianæ fuerunt reliqui, catalogum a primordio exponere convenit. **259** Primus itaque fuit Jacobus, frater Domini dictus ; secundus, Symeon ; tertius, Justus ; quartus, Zachæus (2) ; quintus, Tobias ; sextus, Benjamin ; septimus, Joannes ; octavus, Matthias ; nonus, Philippus ; decimus, Seneca ; undecimus, Justus ; Lebes (3), duodecimus ; Ephrem, tredecimus ; quartus decimus, Joseph ; et quindecimus, Judas. Quibus, post eversionem urbis, ex gentibus successit Marcus. Tot Hierosolymis ab ipsis usque apostolis ad eum quem diximus Judam ex circumcisione fuerunt episcopi. Totidem, ut exposuimus, aliarum maximarum ecclesiarum gubernatores.

A Γίνου τὸ ζῆν, Πῖος τὴν τῆς Ῥώμης ἐπισκοπὴν ἐγχειρίζεται · ὃν Ἀνίκητος διαδέχεται. Ὄγδοον δ' ἔτος Οὐήρου ἐλαύνοντος, Ἀνίκητον ἕνδεκα τοῖς πᾶσιν ἔτεσι διελθόντα διαδέχεται Σωτήρ · ὃν ἐπὶ ὄγδουν ἡγησάμενον ἔτος Ἐλεύθερος διαδέχεται, δωδέκατος ἀπὸ τῆς Πέτρου διαδοχῆς γνωριζόμενος. Ἦρχε δ' εἰσέτι Ἀντωνῖνος Οὐήρος σὺν υἱῷ ἔτεσι πρὸς ἑβδόμῳ δέκατον. Καὶ Πρίμον δὲ τέταρτον ἐπὶ τῶν ἀποστόλων τῆς ἐν Ἀλεξανδρείᾳ παροικίας τὸν θρόνον κεκληρωμένον, τρίτῳ τῆς ἡγεμονίας ἔτει Ἀδριανοῦ, δωδεκάτῳ καὶ τῆς λειτουργίας αὐτὸν ἐκπληρώσαντα, διαδέχεται Ἰοῦστος. Ἀμφὶ δὲ τὸ δωδέκατον τῆς αὐτοῦ ἀρχῆς ἔτος ἐνιαυτοῦ μεταξὺ καὶ μηνῶν τινων διαγενομένων τῆς Ἀλεξανδρίων Ἐκκλησίας τὴν προστασίαν Εὐμενὴς κλήρῳ διαδέχεται, Ἰούστου ἐπὶ ἔτεσι δέκα πρὸς τῷ ἑνὶ διαB κέσαντος. Καὶ τούτου δ' οὐχ ἧττον ἢ δέκα πρὸς τρισὶ τὴν λειτουργίαν ἀνύσαντος, Μάρκος ποιμὴν τῆς Ἀλεξάνδρου ἀνακηρύττεται. Δεκάτῳ δ' ἔτει παραδοὺς τὴν λειτουργίαν Κελαδίωνι, ἐκμετρεῖ τὸ βιώσιμον. Ἀλλὰ καὶ τούτου τετάρτῳ καὶ δεκάτῳ ἔτει τὴν ζωὴν μεταλλάξαντος, τὴν διαδοχὴν Ἀγριππῖνος ἐλάμβανεν, ἐννάτην ἄγων ἀπὸ τῶν ἀποστόλων διαδοχήν. Ἐν δ' Ἀντιοχείᾳ μετὰ Ἥρωνα Κορνήλιος τὰς ἱερὰς ἡνίας διεχειρίζετο · πέμπτῳ δὲ μετὰ τοῦτον βαθμῷ τῆς ἀποστολικῆς διαδόσεως Ἔρως ἐπίσκοπος ἐγνωρίζετο. Ἕκτος δ' ἐπ' ἐκείνῳ Θεόφιλος διάδοχος ἦν. Τοῦτον δ' ἕβδομος ἀπὸ τῶν ἀποστόλων διαδέχεται Μαξιμῖνος. Τῶν δ' ἐν Ἱεροσολύμοις ἐπισκόπων τοὺς χρόνους ἥκιστα γραC φῇ διασώζεσθαι ἔγνωμεν · βραχυβίους γὰρ αὐτοὺς γενέσθαι λόγος ἔχει. Πεντεκαίδεκα μὲν οὖν αὐτοὺς ἡ ἱστορία ἐξ ἀγράφου παρέδωκεν, οὓς Ἑβραίους ὄντας, ἅπαντας τὸ χρεὼν λειτουργῆσαι, τὰ Χριστοῦ γνησίως ἀσπασαμένους · καὶ τοσοῦτον, ὡς καὶ περὶ τῶν τηνικάδε καὶ εἰς τὴν τοσαύτην ἐγκριθῆναι περιωπήν. Τὴν γὰρ πᾶσαν Ἐκκλησίαν σχεδὸν ἁπιστῶν Ἑβραίων ἀπὸ τῶν ἀποστόλων καθεστῶσαν ἱστόρηται, καὶ μέχρι δὲ τῆς ὑστάτης διαρκέσαι πολιορκίας. Καὶ τοίνυν τῶν ἐκ περιτομῆς ἐπιλέκτων ἀρχιερέων ταῖς πρὸς ἀλλήλους Ἰουδαϊκαῖς στάσεσι καὶ φρενοβλαβείαις, λοιπὸν ἂν εἴη, τῷ κατὰ Χριστὸν δεξαμένους γνῶσιν, ἄνωθεν κατακλείξαι Πρῶτος τοίνυν Ἰάκωβος ἦν ὁ τοῦ Κυρίου λεγόμενος ἀδελφός · μεθ' μεθ' ὃν ἦν δεύτερος Συμεών · τρίτος Ἰοῦστος · Ζακχαῖος δ' πέμπτος Τωβίας · ἕκτος Βενιαμίν. Ἰωάννης ζ'. ὄγδοος Ματθίας · θ' Φίλιππος · δέκατος Σεννέκας · ἑνδέκατος Ἰοῦστος · Λεβὴς δωδέκατος · Ἐφρὴς τρισκαιδέκατος · τεσσαρεσκαιδέκατος Ἰωσήφ · ἐπὶ δὲ τούτοις Ἰούδας πεντεκαιδέκατος · οὓς ἐξ ἐθνῶν μετὰ τὴν ἅλωσιν διαδέχεται Μάρκος. Τοσοῦτοι μὲν ἀπὸ τῶν ἀποστόλων ἐς τὸν εἰρημένον Ἰούδαν ἐπίσκοποι ἐκ περιτομῆς ἐν Ἱεροσολύμοις γεγόνασιν. Ὡσαύτως δὲ καὶ οἱ τῶν ἄλλων μεγίστων παροικιῶν.

(1) M. Ælius Antoninus Philosophus, et L. Ælius Commodus Verus, Divi fratres, æque jure imperium administrarunt annis 11. M. Antoninus solus annis 4, cum Commodo filio itidem annis 4.

(2) Alii *Zacharïam* nominant.

(3) Alii *Levi* vocant.

ΚΕΦΑΛ. ΚΖ'.

Περὶ Ἰουστίνου τοῦ φιλοσόφου καὶ μάρτυρος, καὶ τῆς πρὸς Ἀντωνῖνον ἀπολογίας αὐτοῦ· ἔτι δὲ καὶ περὶ Ἡγησίππου καὶ Μελίτωνος.

Κατὰ δὲ τὸν χρόνον Ἀδριανοῦ καὶ Ἰουστῖνος ὁ ἐν φιλοσόφοις μάρτυς ἀνεγνωρίζετο, γνήσιος τῆς ἀληθοῦς φιλοσοφίας ὢν ἐραστὴς, κἂν ταῖς παρ' Ἕλλησιν ἠσκεῖτο διατριβαῖς· ὅστις τε καὶ οἷος ἦν, καὶ ὡς ἐκ τῆς Ἑλλήνων πλάνης τὰ τῆς ἀληθοῦς φιλοσοφίας ἠσπάσατο, αὐτοῦ λέγοντος ἀκούειν μάλιστα πρὸς τῷ εὐλόγῳ καὶ δίκαιον εἶναι γινώσκω. Οὕτος γὰρ ὡς ἄριστα πρὸς Ἕλληνας ὑπὲρ τῆς ἡμῶν ἀγωνισάμενος πίστεως λόγοις τὸ ἀναντίῤῥητον ἔχουσι, λόγοις ἑτέροις ἀπόλογον προσεβλημένοις ὑπὲρ ἡμῶν Ἀντωνίνῳ βασιλεῖ τῷ Εὐσεβεῖ ἐπικληθέντι, καὶ τῇ κατὰ Ῥώμην συγκλήτῳ προσφωνεῖ. Ἐπὶ γὰρ Ῥώμης τὰς διατριβὰς ἐπεποίητο. Γράφει δὲ οὕτως· « Αὐτοκράτορι Τίτῳ Αἰλίῳ Ἀδριανῷ Ἀντωνίνῳ Εὐσεβεῖ Καίσαρι Σεβαστῷ, καὶ Οὐηρισσίμῳ υἱῷ φιλοσόφῳ, καὶ Λουκίῳ φιλοσόφου Καίσαρος φύσει υἱῷ, καὶ Εὐσεβοῦς εἰσποιήτῳ, ἐραστῇ παιδείας, ἱερᾷ τε συγκλήτῳ, καὶ παντὶ δήμῳ Ῥωμαίων, ὑπὲρ τῶν ἐκ παντὸς γένους ἀνθρώπων ἀδίκως μισουμένων, καὶ ἐπηρεαζομένων, Ἰουστῖνος Πρίσκος τοῦ Βακχίου τῶν ἀπὸ Φλαυίας νέας πόλεως τῆς Συρίας Παλαιστίνης εἷς αὐτῶν ὤν, τὴν προσφώνησιν καὶ ἔντευξιν πεποίημαι. » Ἐν δὲ τῇ αὐτῇ, ὅτι μὴ ἀλόγως, μετὰ κρίσεως δ' αὐτῷ γεγένηται ἡ ἐπὶ τὸ δόγμα μεταβολὴ, ἐπιφέρει· « Καὶ γὰρ αὐτὸς ἐγὼ τοῖς Πλάτωνος χαίρων διδάγμασι, διαβαλλομένους ἀκούων Χριστιανοὺς, ὁρῶν δὲ καὶ ἀφόβους πρὸς θάνατον, καὶ πάντα τὰ νομιζόμενα φοβερὰ, διενόουν, ἀδύνατον εἶναι ἐν κακίᾳ καὶ φιληδονίᾳ ὑπάρχειν αὐτούς. Τίς γὰρ φιλήδονος καὶ ἀκρατὴς, καὶ ἀνθρωπείων σαρκῶν βορὰν ἡγούμενος, ἀγαθὸν δύναιτ' ἂν θάνατον ἀσπάσασθαι, ὅπως τῶν ἑαυτοῦ στερηθείη ἐπιθυμιῶν, ἀλλ' οὐκ ἐκ παντὸς ζῇν ἀεὶ τὴν ἐνθάδε βιοτὴν, καὶ λανθάνειν τοὺς ἄρχοντας πειρᾶσθαι, οὐχ ὅτι ἑαυτὸν καταγγέλλειν φονευθησόμενον; » Ἐν δὲ τῇ αὐτοῦ ἀπολογίᾳ καὶ ταῦτά φησιν· « Οὐκ ἄτοπον δὲ ἐπιμνησθῆναι ἐν τούτοις καὶ Ἀντινόου τοῦ νῦν γενομένου· ὃν καὶ πάντες ὡς θεὸν διὰ φόβον σέβειν ὥρμηνται, ἐπιστάμενοι τίς τε ἦν καὶ πόθεν ὑπῆρχε. » Τούτου δὴ τοῦ Ἀντινόου καὶ Ἡγήσιππος μνημονεύει· καὶ αὐτὸς δὲ τοῖς αὐτοῖς ἀκμάζων καιροῖς, πολλὰ τῶν ἀποστολικῶν παραδόσεων τοῖς αὐτοῦ συγγράμμασι παρατίθεται. Πέντε δ' εἰσὶ ταῦτα, ἁπλουστάτῃ συντάξει γραφῆς τὰ τοῦ ἀποστολικοῦ κηρύγματος σοφῶς μάλα διεξιόντα. Δι' ὧν ἐμφαίνει καὶ τὸν καθ' ὃν ἐγνωρίζετο χρόνον· ἐν οἷς περὶ τῶν ἐξ ἀρχῆς ἱδρυσάντων τὰ εἴδωλα ἱστορεῖ γράφων οὕτως· « Οἷς κενοτάφια καὶ ναοὺς ἐποίησαν ὡς μέχρι νῦν· ὧν ἐστι καὶ Ἀντίνοος· οὗ καὶ ἀγὼν ἄγεται Ἀντινόειος· ὃ καὶ ἐφ' ἡμῶν γενόμενον· καὶ γὰρ πόλιν ἔκτισεν Ἀντινόου ἐπώνυμον. » Τῷ δὲ αὐτῷ ἔτει τῆς αὐτῆς τοῖς προειρημένοις διαίτης καὶ

(1) Alii legunt, *Prisci Bacchii filius.*

(2) Antinous, eximiæ formæ puer, Adriano in deliciis fuit. Ei in Ægypto mortuo, princeps is urbem Antinoiam condidit. Templum quoque, statuas et sacerdotes instituit, stellam se ejus vidisse asseverans. Dion. Antinoum istum, secundum quosdam auctores, Adrianus in magicis sacris diis suis sacravit.

CAPUT XXVI.

De Justino philosopho, eodemque martyre, et de Apologetico ejusdem Antonino exhibito. Præterea de Hegesippo et Melitone.

Hac ipsa ætate Adriani, Justinus etiam ex philosophis martyr, inter præcipuos est habitus, germanus et sincerus veræ philosophiæ amator, et in Græcorum disciplinis egregie exercitatus. Sed enim quis qualisve fuerit, et quemadmodum a Græcorum erroribus ad germanam philosophiam transierit, commodissimum fuerit ex ipsius verbis recognoscere. Cum enim adversus Græcos et gentiles pro-Christianis orationes scripsit, quibus repugnare atque refragari illi non potuerunt, tum Romæ, ubi vitam degebat, Antonino Pio imperatori et senatui Romano pro nobis Apologiam exhibuit, ita eam inscribens : « Imperatori Tito Ælio Adriano Antonino Pio Augusto, et Verissimo filio philosopho Cæsari, et Lucio philosophi Cæsaris natura filio, et Pii adoptione filio, amatori doctrinæ, sacroque senatui, et populo Romano universo, pro eis qui ex omni hominum genere iniquissime invidia laborant et affliguntur : Justinus Priscus Bacchii filius (1), Flavia Neapoli Syriæ Palestinæ oriundus, unus ex illorum numero, orationem atque deprecationem hanc obtuli. » Et in eadem oratione se non temere, sed judicio ad Christianam professionem pervenisse, ita refert : « **260** Ego quidem, qui Platonicis delectarer disciplinis, cum Christianos calumniose deferri audirem, videremque eos impavidos interritosque esse ad mortem, et quæcunque horrenda mortalibus videntur : consideravi ipse mecum, fieri omnino non posse, ut illi in flagitiis deliciisque viverent. Quotus enim quisque voluptatis consectator et libidinosus, quique humanarum carnium dapibus delectetur, bono sibi mortem esse putet, ut per eam cupiditatibus deliciisque suis privetur, et non potius illud agat, ut semper hanc vitam vivat, magistratusque et leges fallat, nedum seipsum ad cædem offerat? » In Apologia ea illud quoque scribit : « Non absurdum vero fuerit, Antinoi (2) quoque hic meminisse, qui non ita pridem vixit, quem omnes veluti deum per timorem colere sustinuerunt, cum quidem omnes probe sciverint, et quis fuerit, et unde provenerit. » Antinoi ejus et Hegesippus mentionem infert, qui et ipse eisdem temporibus florens, permultas apostolicas traditiones in Historiis suis, quarum quinque reliquit libros, recenset, simplici dicendi genere clare prædicationem apostolicam exponens. In quibus, cum tempora quibus enituit ostendit, tum de iis qui primum idola et simulacra statuerint memorat, ac deinceps ad hunc modum infert : « Quibus cenotaphia sepulcrorumque simulacra et templa ad hoc usque tempus construxerunt. Quorum unus

etiam est Antinous, cujus sunt ludi agonales, Antinoii dicti, et ætate nostra acti. Urbem quippe cognominem ei Adrianus condidit. » Temporibus quoque eis, pari cum iis quos diximus vitæ instituto, parique in ecclesiam ardore, Sardensis episcopus Melito fuit : quem satis patet ea quoque ætate floruisse, Indicat id defensio ejus quam pro Christiano dogmate ad Verum scripsit, luculentam admodum et utilem, orationis urbanitate et persuadendi virtute auditorem maxime movens atque afficiens.

A ἀγωγῆς, καὶ τοῦ ὑπὲρ τῆς Ἐκκλησίας ζήλου, καὶ Μελίτων τῆς ἐν Σάρδεσιν ἐκκλησίας ἐπίσκοπος ἦν. Δῆλον δ' αὐτὸς ἑαυτὸν καθίστησι κατ' αὐτόν γε τοῦτον ἐνακμάζων τὸν χρόνον ἐκ τῆς πρὸς Οὐῆρον ἀπολογίας ὑπὲρ τοῦ καθ' ἡμᾶς δόγματος· ἣ λαμπρότατη οὖσα, καὶ χρησίμως μάλα διέξεισι, τῷ ἀστείῳ καὶ πιθανῷ τὸν ἀκροώμενον ἄγχουσα.

261 CAPUT XXVII.

Ut Adrianus edicto pro Christianis publice proposito vetuerit, ne in nos, indicta et non indicata causa, sæviretur.

Memoriæ mandavit sapientissimus Justinus, Adrianum pro Christianis litteras a Graniano Serenio ad se scriptas accepisse : periniquum esse, quod illi vociferationi populi donarentur, nulloque justo prætextu indicta causa necarentur. Quapropter rescriptum is ad Minitium Fundanum Asiæ proconsulem miserit, neminem de cætero occidi jubens, nisi legitima justaque præcessisset accusatio. Rescriptumque id in librum suum de verbo ad verbum retulit, hæc præfatus : « Possumus hoc a vobis ex rescripto maximi et illustrissimi Cæsaris Adriani patris vestri, qui ita ut per supplicem libellum rogavimus, judicia exerceri jussit, petere : idque non tam quod ab Adriano mandatum sit, quam quod justam esse petitionem nostram sciamus. Subjecimus autem epistolæ Adriani exemplum, ut hac quoque parte, veritate nos niti cognoscatis. Quæ epistola ex Romana in Græcam linguam translata, hanc complectitur sententiam : Adrianus Cæsar Minutio Fundano. Litteras a Serenio Graniano, viro clarissimo, cui tu in provincia successisti, accepimus. Inquirenda nobis res prorsus esse videtur, ne homines innocentes opprimantur, neve calumniatoribus occasio grassandi præbeatur. Quod si provinciales tui persecutiones adversus Christianos suas processu legitimo pro tribunali probare possunt, unam eam sequantur viam, neque solis petitionibus atque vociferationibus utantur. In primis enim convenit, si qui ad accusandum accedere velint, te causam legitime cognoscere. Itaque si quis eos detulerit, atque probaverit contra leges quidquam commisisse, tu pro delicti qualitate ita sententiam adversus eos feres, ut mehercule, qui calumniæ causa crimen cuiquam intendisse compertus fuerit, pro maleficii gravitate in eum modis omnibus animadvertas. » Rescriptum Adriani pro nobis editum, tale fuit.

ΚΕΦΑΛ. ΚΖ'.

Ὡς Ἀδριανὸς ἐπιστολὴν ὑπὲρ Χριστιανῶν ἔπεμπε, ὥστε μὴ ἀκρίτως ἡμᾶς ἐλαύνειν.

Ἱστορεῖ γε μὴν ὁ σοφώτατος Ἰουστῖνος ὑπὲρ Χριστιανῶν γράμματα δεξάμενον τὸν Ἀδριανὸν, ὡς μὴ B δίκαιον εἶναι βοῇ δήμου χαριζομένους, ἐπ' οὐδεμιᾷ προφάσει ἀκρίτως κτείνειν αὐτούς. Γρανιανὸς δὲ Σερένιος ὁ τὰ γράμματα διαπεμψάμενος ἦν, ἀντιγράψαι Καίσαρα Μινουκίῳ Φουνδάνῳ τῆς Ἀσίας ἀνθυπατεύοντι, μηδένα κτείνειν ἐγκελευόμενον, εὐλόγου μὴ προηγουμένης κατηγορίας. Καὶ αὐτὴν δ' ἐκείνην τὴν ἐπιστολήν, ὡς εἶχε λέξεως, προστίθησι τῷ συγγράμματι, ταῦτα προλέγων αὐτοῖς· « Καὶ ἐξ ἐπιστολῆς δὲ ταῦτα τοῦ μεγίστου καὶ ἐπιφανεστάτου Καίσαρος Ἀδριανοῦ τοῦ πατρὸς ὑμῶν ἔχοντες ἀπαιτεῖν ὑμᾶς· καθὰ ἠξιώσαμεν κελεῦσαι τὰς κρίσεις γενέσθαι, τοῦτο οὐχ ὡς ὑπὸ Ἀδριανοῦ κελευσθὲν μᾶλλον ἠξιώσαμεν· ἀλλ' ἐκ τοῦ ἐπίστασθαι δικαίαν ἀξιοῦν τὴν προσφώνησιν. Ὑπετάξαμεν δὲ καὶ τῆς ἐπιστολῆς Ἀδριανοῦ τὸ ἀντίτυπον, ἵνα κἀν τούτῳ ἀληθεύειν ἡμᾶς γνωρίζητε. Καὶ αὕτη ἐκ Ῥωμαϊκῆς εἰς τὴν C Ἑλληνικὴν δύναμιν μεταληφθεῖσα· Ἀδριανὸς Καῖσαρ Μινουκίῳ Φουνδάνῳ· ἐπιστολὴν ἐνδεξάμην γραφεῖσάν μοι ἀπὸ Σερεννίου Γρανιανοῦ λαμπροτάτου ἀνδρὸς, ὄντινα σὺ διεδέξω. Οὐ δοκεῖ μοι οὖν τὸ πρᾶγμα ἀζήτητον καταλιπεῖν, ἵνα μήτε οἱ ἄνθρωποι ταράττωνται, καὶ τοῖς συκοφάνταις χορηγία κακουργίας μὴ παρασχεθῇ. Εἰ γοῦν σαφῶς εἰς ταύτην τὴν ἀξίωσιν οἱ ἐπαρχιῶται δύνανται διισχυρίζεσθαι κατὰ τῶν Χριστιανῶν, ὡς καὶ πρὸ βήματος ἀποκρίνασθαι ἐπὶ τοῦτο μόνον τραπῶσιν, ἀλλ' οὐκ ἀξιώσεσιν, οὐδὲ μόνον βοαῖς· πολλῷ γὰρ μᾶλλον προσῆκεν, εἴ τι κατηγορεῖν βούλοιτο, τοῦτό σε διαγινώσκειν. Εἴ τις οὖν κατηγορεῖ καὶ δείκνυσί τι παρὰ τοὺς νόμους πράττοντας, οὕτως ὅριζε κατὰ τὴν δύναμιν τοῦ D ἁμαρτήματος· ὡς μὰ τὸν Ἡρακλέα εἴ τις συκοφαντίας χάριν τοῦτο προτείνει, διαλάμβανε ὑπὲρ τῆς δεινότητος· καὶ φρόντιζε οὕτως, ὅπως ἂν ἐκδικήσεις. » Καὶ τὰ μὲν τῆς ὑπὲρ ἡμῶν γραφῆς Ἀδριανοῦ τοιαῦτα.

262 CAPUT XXVIII.

De successore Adriani Antonino, ut et ipse præfectis in Asia suis scripserit, et persecutionem Christianorum prohibuerit.

Postquam vero is uno et viginti annis imperio administrato naturæ debitum persolvit, Antoninus Pius ei successit : ad quem et ad senatum Romanum Justinus memoratam Apologiam, Christianos

ΚΕΦΑΛ. ΚΗ'.

Περὶ τοῦ μετ' Ἀδριανὸν Ἀντωνίνου, ὡς καὶ αὐτὸς τοῖς ἐν Ἀσίᾳ ἐπέστελλε, τὸν κατ' ἡμῶν διωγμὸν ἀναστέλλων.

Ἐπεὶ δ' ἐκεῖνος μετὰ πρῶτον καὶ εἰκοστὸν τῆς ἀρχῆς ἔτος τὸ χρεὼν ἐλειτούργησεν, Ἀντωνῖνος ὁ Πῖος, ᾧ καὶ Εὐσεβὴς ἐπίκλησις ἦν, τὴν Ῥωμαίων ἀρχὴν ὑποζώννυται. Πρὸς ὃν τὴν προειρημένην ὁ

Ἰουστῖνος καὶ τῇ συγκλήτῳ γράφει ἀπολογίαν ὑπὲρ ἡμῶν. Ὑφ' ἧς ὁ βασιλεὺς κινηθεὶς καὶ ὑφ' ἑτέρων ἄλλων πλείστων ἀδελφῶν τῶν ἐπὶ τῆς Ἀσίας ὑπὸ τῶν ἐπιχωρίων δήμων, σκώμμασι καὶ ὕβρεσι διατωθαζομένων ὡς μάλιστα, τῷ κοινῷ τῆς Ἀσίας διεχάραττε γράμματα· ἃ δὴ καὶ αὐτὰ, ὡς εἶχε λέξεως, τῇ συγγραφῇ παραθήσομαι· « Αὐτοκράτωρ Καῖσαρ Μάρκος Αὐρήλιος Ἀντωνῖνος Σεβαστὸς, Ἀρμένιος, ἀρχιερεὺς μέγιστος, δημαρχικῆς ἐξουσίας τὸ πέμπτον καὶ τὸ δέκατον, ὕπατος τὸ τρίτον, τῷ κοινῷ τῆς Ἀσίας χαίρειν. Ἐγὼ μὲν οἶδ' ὅτι καὶ τοῖς θεοῖς ἐπιμελὲς ἐστι μὴ λανθάνειν τοὺς τοιούτους. Πολὺ γὰρ μᾶλλον ἐκεῖνοι κολάσαιεν ἂν τοὺς μὴ βουλομένους αὐτοῖς προσκυνεῖν ἢ ὑμεῖς, οὓς εἰς ταραχὴν ἐμβάλλετε, βεβαιοῦντες τὴν γνώμην αὐτῶν ἥνπερ ἔχουσι περὶ ὑμῶν ὡς ἀθέων κατηγοροῦντες. Εἴη δ' ἂν κἀκείνοις αἱρετὸν, τὸ δοκεῖν κατηγορουμένους, τεθνάναι μᾶλλον, ἢ ζῆν, ὑπὲρ τοῦ οἰκείου Θεοῦ. Ὅθεν καὶ νικῶσι προϊέμενοι τὰς ἑαυτῶν ψυχὰς, ἥπερ πειθόμενοι οἷς ἀξιοῦτε πράττειν αὐτοῖς. Περὶ δὲ τῶν σεισμῶν τῶν γεγονότων καὶ γινομένων οὐκ ἄτοπον ὑμᾶς ὑπομνῆσαι ἀθυμοῦντας ὅταν περ ὦσι, παραβάλλοντας δὲ τὰ ἡμέτερα πρὸς τὰ ἐκείνων. Οἱ μὲν οὖν εὐπαρρησιαστότεροι γίνονται πρὸς τὸν Θεόν· ὑμεῖς δὲ παρὰ πάντα τὸν χρόνον καθ' ὃν ἀγνοεῖν δοκεῖτε, τῶν τε θεῶν καὶ τῶν ἄλλων ἀμελεῖτε, καὶ τῆς θρησκείας τῆς περὶ τὸν ἀθάνατον, ὃν δὴ τοὺς Χριστιανοὺς θρησκεύοντας ἐλαύνετε καὶ διώκετε ἕως θανάτου. Ὑπὲρ δὲ τῶν τοιούτων ἤδη καὶ πολλοὶ τῶν περὶ τὰς ἐπαρχίας ἡγεμόνων καὶ τῷ θειοτάτῳ ἡμῶν ἔγραψαν πατρί· οἷς καὶ ἀντέγραψε μηδὲν ἐνοχλεῖν τοῖς τοιούτοις, εἰ μὴ ἐμφαίνοιντό τι περὶ τὴν Ῥωμαίων ἡγεμονίαν ἐγχειροῦντες. Καὶ ἐμοὶ δὲ περὶ τῶν τοιούτων πολλοὶ ἐσήμηναν· οἷς δὴ καὶ ἀντέγραψα κατακολουθῶν τῇ τοῦ πατρὸς γνώμῃ. Εἴ δέ τις ἐπιμένοι τινὰ τῶν τοιούτων εἰς πράγματα φέρων, ὡς δὴ τοιοῦτον, ἐκεῖνος ὁ καταφερόμενος ἀπολελύσθω τοῦ ἐγκλήματος, καὶ ἐὰν φαίνηται τοιοῦτος ὤν· ὁ δὲ καταφέρων ἔνοχος ἔσται δίκης. Προσετέθη ἐν Ἐφέσῳ ἐν τῷ κοινῷ τῆς Ἀσίας. » Τοιαῦτα δὲ καὶ τὰ Ἀντωνίνῳ ὑπὲρ ἡμῶν γεγραμμένα.

defendens, conscripsit. A quo ille, et simul ab aliis quamplurimis fratribus, qui a provincialibus in Asia conviciis et injuriis gravibus contumeliosissime exagitabantur, permotus, litteras publice ad Asiæ populos dedit, quas itidem ad verbum inserere historiæ nostræ est visum. « Imperator Cæsar Marcus Aurelius Antoninus Augustus, Armenicus, pontifex maximus, tribun. potest. xv, cos. III, communi Asiæ salutem. Equidem scio, diis quoque ipsis curæ esse, ne tales homines lateant. Multo enim magis illi vindicaverint eos qui cultum illis tribuere nolint, quam vos, qui contra eos tumultum commovetis : opinionem quoque eorum quam de vobis conceperunt, ut atheos vos nullorumque prorsus deorum criminentur, confirmantes. Quibus præstabilius etiam est, dum accusari arguique videntur, pro Deo suo mori potius, quam in vita manere. Proindeque victores evadunt, animas ipsi suas citius projicientes, quam ut a vobis persuasi, quod vos vultis, faciant. De terræmotibus autem, qui vel fuere, vel adhuc fiunt, non importunum fuerit, vos, qui ea de causa animos despondistis, admonere, ut scilicet res vestras cum rebus illorum conferatis. Atque illi quidem liberioribus majoribusque erga Deum sunt animis : vos autem toto hoc tempore, quo causas eorum ignorare videmini, deos et res alias negligitis, et Christianos a cultu immortalis Dei quem illi venerantur arcetis, et ad mortem usque persequimini. Cæterum de iis antea quoque multi provinciarum rectores divo patri nostro scripserunt. Quibus ille rescripsit, nihil molestiæ facessendum esse illis, præterquam si quid contra imperium Romanum moliti esse deprehenderentur. Quin et ad me multi de eis litteras dederunt : quibus de patris mei, quem mihi imitandum esse duxi, sententia rescripsi. **263** Si vero quispiam perseveraverit cuiquam Christianorum, quod talis sit, negotium exhibere, delatus quidem crimine absolvetur, quamvis talis esse compertus sit : delator autem ipse pœnas dabit. Proposita est hæc epistola Ephesi, in conventu publico Asiæ. » Hæc sic et Antoninus pro Christianis rescripsit.

ΚΕΦΑΛ. ΚΘ'.

Περὶ τοῦ ἁγίου Εὐσταθίου, τοῦ καὶ Πλακίδα· καὶ τοῦ ἁγίου Ἐλευθερίου τοῦ ἐν Ἰλλυριοῖς ἐπισκόπου.

Πρὸ δὲ τῶν γραμμάτων τούτων πολλοὶ τῶν ὑπὲρ Χριστοῦ ἀγῶνα διενεγκεῖν λέγονται· ὧν εἷς ἐστι καὶ ὁ ἀξιόνικος μάρτυς Εὐστάθιος· ᾧ ἐπὶ Τραϊανοῦ τὴν τοῦ στρατηλάτου περιβεβλημένῳ ἀξίαν Πλακίδας ὄνομα ἦν, τῶν εὖ γεγονότων καὶ πλούτῳ διάσημος ὤν. Μυρίοις δ' ἐνωραϊζόμενος ἀγαθοῖς καὶ τῆς ἄνωθεν κλήσεως κατηξίωται. Κατὰ γὰρ τινα ἔρημον κυνηγίᾳ ἐσχολακότι, ὁ Χριστὸς ἐλάφου κέρασι καθήμενος ὤφθη ἀπορρήτου σοφίας βουλήματι, καὶ πρὸς ἑαυτὸν εἵλκει, καὶ τὰ μέλλοντα ἥκειν αὐτῷ προηγόρευσεν. Ἐπεὶ δὲ καὶ τοῦ θείου μετέσχε λουτροῦ, πανοικεσίᾳ Χριστῷ πρόσεισιν.

CAPUT XXIX.

De sancto Eustathio, qui et Placidas dictus fuit. Item de sancto Eleutherio Illyrici episcopo.

Antequam autem ejusmodi ederentur litteræ, permulti dicuntur egregie certamen pro Christo pertulisse : quorum unus etiam fuit victoria clarus martyr Eustathius. Is sub Trajano ducis exercitus gerens dignitatem, Placidas dicebatur, et genere et opibus illustris. Cum vero plurimis eniteret ornamentis, postremo cœlesti quoque vocatione est cohonestatus. Etenim in solitudine quadam venanti Christus cervi cornibus insidens apparuit, eumque arcanæ sapientiæ consilio ad se pertraxit, et simul quæ ei eventura essent prædixit. Itaque baptizatus cum tota domo sua, Christo se dedidit. Verum

enimvero occulta et arcana exploratione atque excussione rebus omnibus statim est nudatus. Nam opibus honoribusque omnibus projectis, uxore etiam et liberis longo tempore caruit. Atque ita ærumnis ferendis, veluti alter quidam Job factus, postea, quemadmodum et ille, Servatoris dispositione, una cum uxore et filiis Agapio et Theopisto, ad pristinam restitutus est felicitatem et gloriam. Multis deinde victoriis ab hostibus reportatis, quibus magno terrori erat, cum Romæ esset apud Adrianum, qui de rebus multis eum est percunctatus, quod dæmonibus sacrificare recusaret, in æreum taurum igne candentem una cum conjuge et liberis conjectus, vitam ibi morte commutavit. cum quidem illis sic martyrio defunctis, ne pilum quidem ignis consumpserit, nec detrimentum aliud attulerit. Ea ipsa ætate præstanti virtute juvenis Eleutherius in Illyrico erat. Romæ is quoque ortus, matre Anthia, quam magnus ille Paulus ad professionem Christianam perduxisse fertur. Illa vero filium quoque religionis ejus hæredem fecit, et Aniceto Romano episcopo tradidit : 264 a quo sacras Litteras edoctus, sacro cleri numero inseritur, et quinto decimo ætatis anno diaconi gradum consequitur : mox triennio post presbyter creatur : et deinde viginti natus annos Illyrici episcopus deligitur, vita priore signis miraculisque ingentibus edendis transacta. Ubi vero quamplurimis ad Christum perductis, ab Adriano accersitus, fidem Christi constantissime defendit, primum in lectum ferreum ignitum reponitur, deinde in ahenum oleo et arvina ferventi plenum conjicitur, atque mox in foco igne conferto collocatur. Cum autem his tormentis omnibus superior esset, in fornacem igne ad summum calefactam, qui primum Ceraborem opificem ejus, quod Christi complexus esset fidem, exceperat, protruditur. Porro Eleutherius ex custodia deinceps extractus, indomitisque equis alligatus, huc atque illuc trahitur : et vi divina vinculis ejus solutis, montem quemdam conscendit, atque ibi aliquandiu versatur, cum feris quas cicures reddebat habitans. Atque cum Dei præcepta promulgasset, et quingentos ad divinum perduxisset lavacrum, rursum in conspectum imperatoris pertractus, bestiis objicitur : et cum ab iis quoque salvus conservaretur, ex militibus duo impetum in eum faciunt, atque occidunt. Mater etiam filia vitam finienti circumfusa, itidem ut ille, martyrii coronam excepit.

CAPUT XXX.

Quædam de Polycarpo apostolico successore memoriæ commendata.

Adhuc Anicetus Romæ ecclesiam gubernabat, cum Polycarpus, Irenæo referente, propter quamdam quæ de Paschate inciderat quæstionem, Romam venit, atque ibi cum Aniceto familiariter est collocutus. Sed et alia Irenæus de Polycarpo com-

Ἀποῤῥήτῳ δὲ τῇ δοκιμασίᾳ γυμνὸς εὐθὺς γενόμενος, καὶ τὰ περιττὰ τοῦ πλούτου καὶ τῆς δόξης ἀποβαλών, καὶ γυναικὸς, καὶ παίδων ἀλλότριος γεγονὼς χρόνῳ συχνῷ, κἀντεῦθεν καὶ δεύτερός τις Ἰὼβ τοῖς ἐκεῖθεν πάθεσιν ἐκφανεὶς, ἐς ὕστερον κατ' ἐκεῖνον καὶ οὗτος ταῖς τοῦ Σωτῆρος προμηθείαις, σύναμα γυναικὶ καὶ εἰκνοις, Ἀγαπίῳ καὶ Θεοπίστῳ, εἰς τὴν προτέραν εὐδαιμονίαν καὶ εὐκλειαν ἐπανῆλθεν. Τρόπαια δὲ πολλὰ συστησάμενος, καὶ φοβερός τις ἄγαν ἀναφανεὶς, ἐπεὶ ἐν Ῥώμῃ γενόμενος Ἀδριανῷ συγγίνεται πλεῖστα δὴ ἐκζητήσαντι, καὶ θυσίας τοῖς δαίμοσιν ἀνενεγκεῖν ἀπηξίου, ταύρῳ χαλκῷ πεπυρακτωμένῳ ἐμβάλλεται σύναμα γυδαικὶ καὶ τέκνοις· καὶ ἐν αὐτῷ τὸ τέλος ἠνέγκατο οὐ μέντοι ἄχρι δὴ καὶ τριχὸς τοῦ πυρὸς λυμηναμένου αὐτοῖς. Τῷ δ' αὐτῷ χρόνῳ καὶ ὁ πολὺς τὴν ἀρετὴν κατὰ τὸ Ἰλλυρικὸν διέτριβεν Ἐλευθέριος, ἐκ Ῥώμης μὲν καὶ οὗτος ὁρμώμενος, μητρὶ δὲ Ἀνθίᾳ χρησάμενος· ἣ Παῦλος ὁ μέγας ὡμολογκὼς, τῆς εἰς Χριστὸν πίστεως ὁδηγὸς χρηματίζει. Ἡ δὲ τὸν παῖδα καὶ τῆς πίστεως κληρονόμον ἐτίθει, καὶ Ἀνικήτῳ τῷ Ῥώμης ἐπισκόπῳ αὐτὸ ἀνατίθησι· παρ' οὗ τὰ ἱερὰ γράμματα παιδευθεὶς, τῷ καταλόγῳ τοῦ κλήρου ἐναρίθμιος γίνεται. Πέμπτῳ δὲ καὶ δεκάτῳ τῆς αὐτοῦ ἡλικίας ἔτει τὸν τοῦ διακόνου βαθμὸν εἴσεισιν· ὀκτὼ δὲ πρὸς τοῖς δέκα γενόμενος, τῷ πρεσβυτερείῳ ἐγκαταλέγεται· καὶ τῷ εἰκοστῷ ἔτει τοῦ Ἰλλυρικοῦ ἐπίσκοπος προχειρίζεται, σημείοις πολλοῖς καὶ τέρασι τὸν βίον πρότερον κατακοσμήσας. Ἐπεὶ δὲ πολλοὺς ἐπισπώμενος εἰς Χριστὸν, πρὸς Ἀδριανοῦ μετάκλητος γεγονὼς, τὴν κατὰ Χριστὸν πίστιν μάλιστα βεβαίων ἦν, πρῶτα μὲν κλίνῃ σιδήρου πυρὶ τὴν μορφὴν ὁμοίᾳ ἐπανακλίνεται· μετὰ δὲ τοῦτο τηγάνῳ ἐλαίου πλήρει καὶ στέατος ἐκπυρωθέντων ἐμβάλλεται· ἐσχάρᾳ τε πυρὸς ἐπίσης ἐχούσῃ ἁπλοῦται. Ὡς δ' καὶ τούτων ὑπέρτερος ἦν, κλιβάνῳ σφόδρα διακαέντι ἐκδίδοται, πρῶτον Κεράβορα τὸν κατασκευασαντα ὑποδεξαμένῳ, τὴν εἰς Χριστὸν κατασπασάμενον πίστιν. Ἐλευθέριος δὲ, μετὰ φρουρὰν πώλοις ἀγρίοις δεθεὶς, ἕλκεται· θείᾳ δὲ ῥοπῇ λυθεὶς τῶν δεσμῶν, ὄρει προσεπιβαίνει· θῆρες διαιτῶνται, ἃ καὶ ἥμερα ἐδείκνυ. Τὰ δὲ τοῦ θεοῦ διεξιῶν λόγια, ὡσεὶ πεντακοσίους τῷ θείῳ ἀπάγει λουτρῷ. Τῷ βασιλεῖ δὲ καὶ αὖθις εἰς ὄψιν ἐλθὼν, θηρίοις βορὰ παρατίθεται. Ὡς δὲ σῶος διετηρεῖτο, δύο ἐπεισπεσόντων στρατιωτῶν ἀναιρεῖται. Καὶ ἡ μήτηρ τῷ παιδὶ τελειουμένῳ περιχυθεῖσα, ἐπίσης ἐκείνῳ τὸν τοῦ μαρτυρίου ἀνεδήσατο στέφανον.

ΚΕΦΑΛ. Λ'.

Τὰ περὶ Πολυκάρπου τοῦ ἀποστολικοῦ διαδόχου μνημονευόμενα.

Ἐπὶ δ' Ανικήτου τὰ τῆς Ῥώμης ἡνιοχοῦντος πηδάλια Πολύκαρπον Εἰρηναῖος ἱστόρησεν περί τινος συμβὰν τοῦ Πάσχα τηνικάδε ζήτημα εἰς Ῥώμην τε ἀφικέσθαι, καὶ τῷ Ἀνικήτῳ εἰς ὁμιλίαν ἐλθεῖν Καὶ ἄλλα δὲ ὁ Εἰρηναῖος περὶ Πολυκάρπου διέξι-

σιν· ἃ καταλέγειν, καὶ τῇ παρούσῃ πραγματείᾳ συνάπτειν, ὅσιον ἡγοῦμαι. Ἀμέλει ἐν τῷ τρίτῳ τῶν Πρὸς τὰς αἱρέσεις, τάδε κατὰ ῥῆμα περὶ αὐτοῦ διέξεισι· « Καὶ Πολύκαρπος δὲ οὐ μόνον ὑπὸ τῶν ἀποστόλων μαθητευθεὶς, καὶ συναναστραφεὶς πολλοῖς τὸν Κύριον ἑωρακόσιν, ἀλλὰ καὶ ὑπὸ ἀποστόλων εἰς νῆν Ἀσίαν κατασταθεὶς, ἐν τῇ τῆς Σμύρνης ἐκκλησίᾳ ἐπίσκοπος, ὃν καὶ ἡμεῖς ἑωράκαμεν ἐν τῇ πρώτῃ ἡμῶν ἡλικίᾳ, ἐπὶ πολὺ γὰρ παρέμεινε καὶ πάνυ γηραλέος ἦν, ἐνδόξως καὶ ἐπιφανέστατα μαρτυρήσας ἐξῆλθε τοῦ βίου, ταῦτα διδάξας, ἀεὶ, ἃ καὶ παρὰ τῶν ἀποστόλων ἔμαθεν· ἃ καὶ ἡ Ἐκκλησία παραδίδωσιν· ἃ καὶ μόνα ἐστὶν ἀληθῆ. Μαρτυροῦσι τούτοις αἱ κατὰ τὴν Ἀσίαν ἐκκλησίαι πᾶσαι. καὶ οἱ μέχρι νῦν διαδεδεγμένοι τὸν Πολυκάρπου θρόνον, πολλῷ ἀξιοπιστότερον καὶ βεβαιότερον ἀληθείας μάρτυρα ὄντα Οὐαλεντίνου καὶ Μαρκίωνος καὶ τῶν λοιπῶν κακοφρόνων· καὶ ἐπὶ Ἀνικήτου ἐπιδημήσας τῇ Ῥώμῃ, πολλοὺς ἀπὸ τῶν προειρημένων αἱρετικῶν ἐπέστρεψεν ἐπὶ τὴν Ἐκκλησίαν τοῦ Θεοῦ, μίαν καὶ μόνην ταύτην ἀλήθειαν κηρύξας ὑπὸ τῶν ἀποστόλων παρειληφέναι τὴν ὑπὸ τῆς Ἐκκλησίας παραδεδομένην. Καὶ εἰσὶν οἱ ἀκούσαντες αὐτοῦ, ὅτι Ἰωάννης ὁ τοῦ Κυρίου μαθητὴς, ἐν τῇ Ἐφέσῳ πορευθεὶς λούσασθαι, καὶ ἰδὼν ἔσω Κήρινθον, ἐξήλατο τοῦ βαλανείου μὴ λουσάμενος, ἀλλ' εἰπών, Φύγωμεν, μὴ καὶ τὸ βαλανεῖον συμπέσῃ, ἔνδον ὄντος Κηρίνθου τοῦ τῆς ἀληθείας ἐχθροῦ. Καὶ αὐτὸς δὲ ὁ Πολύκαρπος Μαρκίωνί ποτε εἰς ὄψιν αὐτῷ ἐλθόντι, καὶ φήσαντι, Ἐπιγίνωσκε ἡμᾶς, ἀπεκρίθη· Ἐπιγινώσκω τὸν πρωτότοκον τοῦ Σατανᾶ. Τοσαύτην οἱ ἀπόστολοι καὶ οἱ μαθηταὶ αὐτῶν εἶχον εὐλάβειαν, ὡς μηδὲ μέχρι λόγων κοινωνεῖν τινι τῶν παραχαρασσόντων τὴν ἀλήθειαν, ὡς καὶ Παῦλος ἔφησεν· Αἱρετικὸν ἄνθρωπον μετὰ μίαν καὶ δευτέραν νουθεσίαν παραιτοῦ, εἰδὼς ὅτι ἐξέστραπται ὁ τοιοῦτος, καὶ ἁμαρτάνει ὢν αὐτοκατάκριτος. Ἔστι δὲ καὶ ἐπιστολὴ Πολυκάρπου πρὸς Φιλιππησίους γεγραμμένη ἱκανωτάτη. ἐξ ἧς καὶ τὸν χαρακτῆρα τῆς πίστεως αὐτοῦ καὶ τὸ κήρυγμα τῆς ἀληθείας οἱ βουλόμενοι καὶ φροντίζοντες τῆς ἑαυτῶν σωτηρίας δύνανται μαθεῖν. » Ταῦτα περὶ τούτου ὁ Εἰρηναῖος. Πολλαῖς δὲ μαρτυρίαις ἀπὸ τῆς προτέρας Πέτρου χρῆται ἐπιστολῆ.

A memorat, quæ referre et præsenti operi adjungere pium esse judico. In tertio enim *Contra hæreses* libro, hæc ita de eo refert : « Polycarpus vero non modo ab apostolis institutus, cum multis eorum vixit, qui Dominum ipsi viderunt, sed etiam per apostolos, Smyrnensi Ecclesiæ in Asia episcopus ordinatus est. Quem **265** et nos in prima nostra ætate vidimus : diutius enim vixit, et in multa senectute cum magna gloria magnificentissime martyrio obito, e vita excessit, ea semper docens quæ ab apostolis didicerat, et quæ Ecclesia tradit, quæ videlicet sola sunt vera. Testantur hoc ecclesiæ Asianæ omnes, et qui ad hunc usque diem in Polycarpi successere locum, quod fidei majoris certiorque veritatis testis fuerit, quam B Valentinus et Marcion, et item alii insanarum opinionum auctores; qui cum Romam sub Aniceto pervenisset, multis ex eis qui dicti sunt hæreticis persuasit, ut ad Ecclesiam Dei redirent, unam et solam hanc veritatem, quam Ecclesia tradiderit, se ab apostolis accepisse prædicans. Exstant adhuc qui ex eo audiverint, Joannem Domini discipulum Ephesi lavatum aliquando ivisse; cæterum cum in balneis Cerinthum vidisset, illotum inde profugisse, atque dixisse : Fugiamus, obsecro, ne balneum, in quo Cerinthus, veritatis inimicus, est, concidat. Ipse quoque Polycarpus, cum ei Marcion in conspectum veniret, et diceret, Nosce nos : respondit, Nosco, inquiens, nosco primogenitum Satanæ. Tanta apostoli et discipuli eorum religione fuerunt, ut ne verba quidem communicarent cum quopiam eorum, qui veritatem adulterant C atque depravant : ut Paulus etiam dixit : *Hæreticum hominem post unam atque alteram admonitionem devita, sciens quod subversus est qui ejusmodi est, et delinquit, proprio judicio suo condemnatus*[50]. Est autem et epistola Polycarpi longissima ad Philippenses scripta, ex qua, qui voluerint, quique salutis suæ curam gesserint, simul et specimen fidei illius et doctrinam veritatis discere poterunt. » Hæc de eo Irenæus. Multis autem testimoniis prioris epistolæ Petri Polycarpus, in ea ipsa quam modo diximus, epistola sua utitur.

Ἐπιστολῆς ὁ Πολύκαρπος ἐν τῇ εἰρημένῃ αὐτοῦ

ΚΕΦΑΛ. ΛΑ'.

Περὶ τῆς διαδοχῆς τῶν τηνικάδε αὐτοκρατόρων καὶ τῶν ἔργων αὐτῶν.

Ὁ Πῖος δὲ Ἀντωνῖνος, ὁ καὶ Εὐσεβὴς ὄνομα σχὼν, ἐπὶ τρία καὶ εἴκοσι τὴν ἀρχὴν διεθύνας, Μάρκῳ Οὐήρῳ υἱῷ τῷ καὶ αὐτῷ Ἀντωνίνῳ ἐπικληθέντι, σὺν Λουκίῳ τῷ ἀδελφῷ τὴν αὐνοκρατο-

266 CAPUT XXXI.

De successione ejus temporis imperatorum, rebusque eorum gestis.

Antoninus, cui etiam Pii nomen fuit (1), viginti tres imperavit annos, et imperium Romanum decedens Marco Ælio filio, et ipsi Antonino dicto, et Lucio fratri ejus reliquit. Pius porro iste

[50] Tit. III, 10.

(1) T. Aurel. **Antoninus** Pius, Adriani gener, ab eodem in filium **adoptatus** fuit, sicuti et ab hoc M. Antoninus **gener.** L. autem Annius Antoninus nepos Antonini Pii fuit. M. Antoninus, qui et Philosophus dictus, L. Annium Antoninum Verum imperii socium sibi adscivit. Et tum primum Rom. respub. duobus æquo jure imperantibus paruit. cum antea singulos semper habuisset Augustos. Utrumque Hadriani jussu Antoninus Pius adoptavit.

Alexandriæ, Antiochiæ, et in multis aliis celebribus urbibus lavacra, aliaque plurima publicitus ædificia, Romæ quoque Circum magnum construxit. Atque abrogata veteri C. Julii Cæsaris lege, qua senatorio viro de bonis suis testari non permiserat, nisi dimidiam eorum partem, qui pro tempore futurus esset, principi relinqueret, omnibus, per constitutionem, liberam dedit potestatem de facultatibus suis, ita ut vellent, disponendi. Marcus autem filius ejus justam illam legem tulit, qua patri liberi ab intestato succedunt. Idemque sanxit, ut filio, qui in testamento præteritus, a parentibus debitam gratiam non retulisset, quadrans paternæ hæreditatis detur (1). Non diutius autem quam undecim annis Lucius (2) in imperio vixit, Antoninoque Philosopho id reliquit, qui et ipse octo prope annis imperavit : et cum unum et sexaginta circiter ætatis annos explevisset, ad Vindobonam decessit (3). Iis imperantibus, multi et apud Græcos præclari exstiterunt poetæ, oratores quoque et medici, omnis denique philosophiæ periti viri : in quibus Hermogenes rhetor, et Aristides orator nobilis, Galenus, Oppianus poeta, Alexandrinus Apollonius, ejusque filius Herodianus, grammaticæ artis auctores, atque item alii fuere, quos longum esset in præsentia enumerare. Illud scire convenit, Marcum Antoninum (4) filio suo institutionis imperialis librum a se compositum reliquisse, omnis generis profanorum exemplorum et disciplinæ plenum. Non apud Græcos vero tantum insignes tum, verum etiam in dogmate nostro plurimi maximique, de quibus in sequenti agemus historia, floruere viri.

ρίαν Ῥωμαίων καταλιπὼν ᾤχετο. Οὗτος δὲ ὁ Πίος, ἐν Ἀλεξανδρείᾳ καὶ τῇ Ἀντιοχείᾳ καὶ ἄλλαις πολλαῖς τῶν ἐπισήμων πόλεων λουτρὰ καὶ ἄλλα πλεῖστα οἰκοδομήματα δημοσίᾳ κατασκευάσας, καὶ τὸν μέγαν ἐν Ῥώμῃ ἀγῶνα ἐργασάμενος, τοὺς ἐκ παλαιοῦ τε χάρτας ἐμπρήσας, οἷς Γάϊος Ἰούλιος Καῖσαρ ἐνομοθέτει, μὴ ἐξεῖναι συγκλητικὸν διατιθέμενον ἄνδρα εἰς ἰδίους διατίθεσθαι, ἀλλὰ τὸ ἥμισυ μέρος τῆς ὑπάρξεως τῷ κατὰ καιροὺς ἀνατίθεσθαι βασιλεῖ, ἐκεῖνον δὴ καταπαύσας τὸν νόμων, ἐκέτταρον τῶν ἰδίων ἀπολαύειν, καὶ ὡς βουλομένῳ εἶη διατίθεσθαι ἐπὶ τοῖς σφετέροις ἐπέτρεπε πράγμασι. Μάρκος δὲ ὁ τούτου υἱὸς τὸν δίκαιον τουτονὶ νόμον καθίστη· τοῦ καὶ ἐξ ἀδιαθέτου κληρονομεῖν τὰ τέκνα τὸν πατέρα· καὶ τῷ ἀχαριστουμένῳ παιδὶ τὸ τέταρτον μέρος τῆς πατρικῆς οὐσίας δίδοσθαι. Οὐ πλείω δὲ καὶ Μάρκος τῶν ὀκτὼ ἐτῶν διανύσας ἐν τῇ ἀρχῇ. Ἀντωνίνῳ Οὐήρῳ τῷ αὐτοῦ υἱῷ καταλείπει τὸ κράτος. Δέκα δὲ τοὺς πάντας καὶ οὗτος ἀνατλήσας ἐνιαυτοὺς, τὸ βιοῦν ἐξεμέτρησεν ἐν Προκονήσῳ σφαγείς, ὧν ὀλίγου δεῖν ἐτῶν τεσσαράκοντα. Ἐπὶ δὴ τούτων τῶν Καισάρων, πολλοί τε καὶ τῶν παρ' Ἕλλησιν εὐδοκίμων ἐφάνησαν ποιηταὶ, καὶ λόγων ῥητορικῶν καὶ ἰατρικῶν, ἔτι δὲ καὶ πάσης φιλοσοφίας ἔμπειροι· ὅ τε γὰρ Ἑρμογένης ὁ ῥήτωρ, καὶ Ἀριστείδης ὁ τὸ εὐγενὲς τῶν λόγων διασωλάξας. Γαληνός τε καὶ Ὀππιανὸς ὁ πνιητὴς, καὶ ὁ Ἀλεξανδρεὺς Ἀπολλώνιος, καὶ ὁ τούτου παῖς Ἡρωδιανὸς, οἱ τῆς γραμματικῆς τέχνης στοιχειωταὶ· οὓς μακρὸν ἂν εἴη καταλέγειν τῇ παρούσῃ σπουδῇ. Πλήν γε εἰδέναι χρεὼν, ὡς ὁ Μάρκος Ἀντωνῖνος οὗτος καὶ βιβλίου παιδείας τῷ παιδὶ Μάρκῳ συντάττει, πάσης κοσμικῆς ἐμπειρίας καὶ παιδείας μεστόν. Οὐ μόνον δὲ παρ' Ἕλλησι δόκιμοι ἄνδρες ἐδείχθησαν, ἀλλὰ καὶ τοῦ καθ' ἡμᾶς δόγματος ὡς πλεῖστοι καὶ μέγιστοι· περὶ ὧν τῇ μετὰ ταύτην ἱστορίᾳ διαληψόμεθα.

267 CAPUT XXXII.

Ut Justinus philosophus religione Christiana, et scripto, et sine scripto, egregie defensa, martyrio pro Christi nomine sit exornatus.

Eo tempore adhuc Justinus, cujus paulo ante fecimus mentionem, enituit : et cum, quos diximus principibus aliam etiam pro dogmate nostro defensionem obtulisset, et contra oppugnatores Græcos et Judæos, in faciem eorum Christianæ professioni patrocinatus esset, atque etiam hæreticorum vanam linguæ loquacitatem, nocentemque mentis insaniam luculentis orationibus retudisset, fidem nostram firmis adamantinisque propugnans rationibus, abundeque veritatem certitudinemque ejus demonstrans, corona martyrii seipsum exornavit. Cui Crescens quidam philosophus, vita morumque æmulatione Cynicus, insidias struxit. Cum enim in multis sæpe colloquiis et disputationibus Crescentem, quod pleraque perperam faceret, fal-

(1) Hodie *legitima* dicitur.

(2) L. Verus apoplexia interiit inter Atinum et Concordiam, cum fratre in vehiculo sedens.

(3) M. Philosophus in Pannoniis obiit ad Vindobonam, quam nonnulli Viennam esse volunt.

(4) Magna hunc diligentia curaque educavit, accitis undique viris doctrina claris, maximaque proposita mercede, uti mores pro se quisque filii ingeniumque excolerent. Herodianus.

ΚΕΦΑΛ. ΛΒ'.

Ὡς ὁ φιλόσοφος Ἰουστῖνος ἐγγράφως καὶ ἀγράφως ἀπολογησάμενος ὑπὲρ τῆς πίστεως, τῷ ὑπὲρ Χριστοῦ μαρτυρίῳ κατεκοσμήθη.

Τέως γε μὴν κατ' ἐκεῖνο καιροῦ ἀκμάζων ἦν Ἰουστῖνος, ὁ μικρὸν πρόσθεν ἡμῖν δηλωθείς· τοῖς γὰρ εἰρημένοις ἄρχουσιν καὶ ἕτερον βιβλίον ὑπὲρ τοῦ καθ' ἡμᾶς δόγματος ἀναδοὺς, καὶ αὐτοπροσώποις δὲ τοῖς ἐλέγχοις τοῦ Χριστιανῶν ἀνθιστάμενος δόγματος, Ἕλληνάς τε καὶ Ἰουδαίους, πρὸς δὲ καὶ τὴν τῶν αἱρετιῶν γλωσσαλγίαν καὶ φρενοβλάβειαν τῷ περιόντι τῶν λόγων ἀποτρεπόμενος, καὶ τὰ ἡμέτερα εὖ μάλα στερρόϊς καὶ ἀδαμαντίνοις περιέπων συλλογισμοῖς, ἀποχρώντως τε ἀληθῆ καὶ πίστεως ἀποδεικνὺς ἄξια, τῷ τοῦ μαρτυρίου στεφάνῳ ἑαυτὸν κατεκόσμει, Κρήσκεντός τινος φιλοσόφου, τὸν κυνικὸν καὶ βίον καὶ τρόπον ἐζηλωκόος, τὴν ἐπιβουλὴν αὐτῷ καταρτίσαντος· ἐπὶ τοί γ' ἐν πολλοῖς καὶ πολλάκις διαλόγοις, εὐπρεπῆ

τὴν ἧτταν ἀπενεγκάμενος, ἐφ' οἷς οὐ καλῶς ἔπραττε, καὶ λέγων διετώθαζε τὰ ἡμέτερα, διεφάνη. Πονηροῖς γάρ τισι τῶν ἄρχειν λαχόντων μετὰ καὶ ἄλλων συσκευὴν κατ' αὐτοῦ ποιησάμενος, βασάνοις ὡς πλείσταις, καὶ τὸ τελεύταιον ξίφεσι διακόπτει, ὡς τῷ ὄντι τὴν ἀληθῆ σοφίαν φιλήσαννα, καὶ πρὸς τὸν ποθοῦμενον οὕτως ἐχώρει Χριστόν. Ἃ δὲ παθεῖν ἔμελλεν, ἐν τῇ δηλωθείσῃ ἀπολογίᾳ φθάσας προαγορεύει, οὕτω κατὰ ῥῆμα διεξιών· « Κἀγὼ οὖν προσδοκῶ ὑπό τινος τῶν ὠνομασμένων ἐπιβουλευθῆναι, καὶ ξύλῳ ἐντιναγῆναι· ἢ καὶ ὑπὸ Κρήσκεντος τοῦ ἀφιλοσόφου καὶ φιλοκόμπου· οὐ γὰρ φιλόσοφον εἰπεῖν ἄξιον τὸν ἄνδρα, ὅς γε περὶ ὧν μὴ ἐπίσταται δημοσίᾳ καταμαρτυρεῖ, ὡς ἀθέων καὶ ἀσεβῶν Χριστιανῶν ὄντων, πρὸς χάριν καὶ ἡδονὴν τῶν πεπλανημένων τοῦτο πράττων. Εἴτε γὰρ μὴ ἐντυχὼν τοῖς τοῦ Χριστοῦ διδάγμασι κατατρέχει ἡμῶν, παμπόνηρός ἐστι, καὶ ἰδιωτῶν πολὺ χείρων, οἳ φυλάττονται πολλάκις περὶ ὧν οὐκ ἐπίστανται διαλέγεσθαι καὶ ψευδομαρτυρεῖν· ἢ εἰ ἐντυχὼν οὐ συνῆκε τὸ ἐν αὐτοῖς μεγαλεῖον, ἢ συνιεὶς πρὸς τὸ μὴ ὑποπτευθῆναι τοιοῦτος ταῦτα ποιεῖ, πολὺ μᾶλλον ἀγεννὴς καὶ παμπόνηρος, ἰδιωτικῆς καὶ ἀλόγου δόξης καὶ φόβου οὐκ ἐλάττων ὤν. » Ταῦσα μὲν Ἰουστῖνος· ὅτι δὲ κατὰ τὴν αὐτοῦ πρόῤῥησιν ὑπὸ τούτου δὴ τοῦ Κρήσκεντος τὸ κατ' αὐτοῦ συῤῥάκαντος διαβούλιον τετελείωται, ἀπόχρη καὶ Ταταιανῷ παριστᾶν, ἀνδρὶ τὸν μὲν πρῶτον αὐτοῦ βίον ἐν τοῖς τῶν Ἑλλήνων μαθήμασι σοφιστεύσαντι, καὶ βαθεῖαν ἐσχηκότι δόξαν ἐν τούτοις, οὐκ ἐλάχιστα δὲ καὶ μνήμης ἄξια διὰ λόγων ἡμῖν καταλελοιπότι. Γράφει τοίνυν ἐν τῷ πρὸς Ἕλληνας αὐτοῦ λόγῳ οὕτως· « Καὶ ὁ θαυμασιώτατος Ἰουστῖνος ὀρθῶς ἐξεφώνησεν, ἐοικέναι τοὺς προιερημένους λῃστᾶς. » Εἶτα καὶ τινα ἄλλα περὶ τῶν φιλοσόφων εἰπὼν ἐπιφέρει· « Κρήσκης οὖν ἐννεοττεύσας τῇ μεγάλῃ πόλει, παιδεραστίᾳ μὲν πάντας ὑπερήνεγκε, φιλαργυρίᾳ δὲ πάνυ προσεχὴς ἦν· θανάτου δὲ ὁ καταφρονεῖν συμβουλεύων, οὕτως αὐτὸς ἐδεδίει τὸν θάνατον, ὡς καὶ Ἰουστῖνον, καθάπερ μεγάλῳ κακῷ, τῷ θανάτῳ περιβαλεῖν πραγματεύσασθαι. Διότι κηρόττων τὴν ἀλήθειαν, λίχνους τοὺς φιλοσόφους καὶ ἀπατεῶνας συνέλεχε. » Καὶ τοιαύτην μὲν αἰτίαν ἔσχε τὸ κατὰ Ἰουστῖνον μαρτύριον.

A soque in professionem nostram criminans inveheretur, Justinus convicisset, cum improbis quibusdam qui magistratus gerebant, atque itidem cum aliis ille conspiratione contra Justinum facta, tormentis quamplurimis eum affecit, et postremo gladiis etiam confecit, veræ prorsus sapientiæ sectatorum. Ita ille ad desideratum sibi Christum transiit. Quæ autem passurus fuerat, ea antea quoque in ea quam diximus, posteriore defensione divinans prædixit, ad hunc modum scribens : « Ego quidem insidias et fustuarium exspecto a quopiam, qui aliçujus sit nominis, vel ab ipso etiam Crescente insipiente, arrogantiæ quippe magis quam sapientiæ amante. Indignus namque est, qui philosophus et sapientiæ amator dicatur : B propterea quod publice de rebus quas ignorat, videlicet quod Christiani athei prorsusque sine Deo et impii sint, asseverat, ad gratiam et libidinem eorum qui ab eo sunt in errorem seducti, id faciens. Si enim doctrinam Christi, quam non attigit, reprehendendo proscindit, improbissimus est, idiotis atque indoctis hominibus multo deterior, 268 qui sæpe de rebus quas ignorant, loqui et falso testificari supersedent; sed si Christianam professionem didicit, aut amplitudinem ejus non intellexit, aut certe intellexit, et ne Christianus esse suspectus fiat, non criminatur : itaque longe adhuc est importunior, nihil ingenui et liberalis ingenii habens, utpote inepta et absurda opinione vir, timorique sordido obnoxius. » Hæc Justinus. Quod autem juxta suam ipsius prædictionem a Crescente, qui auctor C initiæ contra eum conjurationis fuit, sublatus sit, Tatianus satis testatur, vir egregius, qui primam ætatem Græcorum disciplinis docendis consumpsit, magnamque in eis laudem est consecutus, quique non pauca memoria digna nobis etiam scripta reliquit. Is itaque in oratione sua ad Græcos ita scribit : « Et Justinus admiratione omnium dignissimus recte eos de quibus diximus persimiles esse prædonibus exclamavit. » Deinde aliis quibusdam, de philosophis, rebus expositis, infert : « Itaque Crescens cum in magna urbe domicilium collocasset, lascivia quidem in pueros omnes exsuperabat. Avaritiæ autem valde deditus erat. Qui vero aliis mortis contemptum suadebat, ita eam ipse metuebat, ut Justino mortem, veluti magnum aliquod malum, concinnaverit : propterea quod ille veritatem prædicans, philosophos helluones atque impostores esse coarguit. » Atque hæc quidem Justino martyrii causa fuit.

ΚΕΦΑΛ. ΑΓ'.

Περὶ ἄλλων μαρτύρων, ὧν αὐτὸς Ἰουστῖνος ἐν ἰδίῳ ἐμνήσθη συγγράμματι.

Ὁ δ' αὐτὸς καὶ ἄλλων πρὸ αὐτοῦ μνημονεύει μαρτύρων ἐν τῇ κατ' αὐτὸν Ἀπολογίᾳ, χρησίμως τῇ ὑποθέσει καὶ ταῦτα παρατιθείς· ὡς γύναιον ἰταμὸν ἀπὸ πείρας ἀκολάστῳ συνάζυγη ἀνδρὶ Ὡς δὲ τὸ κατὰ Χριστὸν ποθὲν ἔγνω μυστήριον, σώφρονά τε βίον ἠσπάζετο, καὶ τὸν ἄνδρα οὕτω βιοῦν ἔπειθε, τό τε μέλλον ὑποσημαίνουσα πῦρ τοῖς ἀκολασίᾳ χρωμένοις καὶ ταῖς ἡδοναῖς φλεγομένοις, ἔστι δ' ὅτε καὶ

D

CAPUT XXXIII.

De aliis martyribus, quorum ipse Justinus in singulari quodam libello meminit.

Idem vero in Apologia sua aliorum quoque ante se martyrum meminit ; et argumento proposito percommode subserviens, illud etiam addit : mulierculam rerum malarum usu temerariam, viro itidem luxurioso junctam fuisse. Ut autem ea mysticam Christi professionem alicunde perdidicit, cum ipsam moderatam continentemque vitam complexam esse, tum idem quoque marito sua-

sisse: propterea quod illi æternum illum ignem, qui impudicis et voluptuariis paratus sit, indicaret, et subinde promissiones quoque æternorum bonorum proponeret. Sedenim cum multa sæpe dicendo, nihil apud eum efficeret, et ille in procaci petulantia sua permaneret, mulierem improbis moribus suis a se alienavit. Illa enim impium esse judicans, cum tali deinceps viro consuevisse, **269** qui præter naturæ leges modis omnibus per libidines varias voluptatem consectaretur, secedere ab eo constituit. Ut vero eam propinqui, pro auctoritate sua, ab eo consilio sunt dehortati, spemque ei facerunt, virum in melius mutatum aliquando iri, manere cum eo est coacta. Postquam vero maritus Alexandriam profectus, longe etiam deterior factus esse dictus est, mulier verita, si de cætero eodem cum illo lecto eademque mensa utercher, ne impietatis quoque ejus fieret particeps, misso illi repudii libello, ab eo sejuncta est. Ille porro cum conjugis suæ causa lætari debuisset, quæ scilicet priori suæ vitæ nuntium remisisset, simulque ebrietatem, lasciviam, et (ut uno verbo dicam) improbitatem omnem, ut amplius cum servis aliisque turpis quæstus gratia impudicis non congrederetur, nec in libidinum cœno volutaretur, valere jussisset, ipsi quoque ut meliora sequeretur suasisset : tantum abest ut id fecerit, ut ab ipsa statim discessione, accusationis libellum, Christianam eom esse, imperatori obtulerit. Mulier porro citata, supplici quoque libello principi dato, petiit sibi permitti, ut rem familiarem suam primum constituere, ac deinde accusationi ei respondere posset. Quod cum illa impetrasset, maritus accusatione abolita, illam quidem dimisit, ad Ptolemæum autem quemdam, qui illam pietatis dogmata docuisset, est conversus. Eum dolo aggressus, ut in vincula conjiceretur effecit. Centurioni enim cuidam sibi amico persuasit, ut Ptolemæum arreptum hoc tantum interrogaret, an Christianus esset. Illum quippe veritatis amantem, minimeque fraudulentum aut mendacem, statim se Christianum esse professurum. Itaque in vincula ille conjectus, longo tempore a centurione est tortus. Postremo, ubi ad Urbicium judicem adductus, et ab eo interrogatus est, propterea apud Christi doctrinam consectatus, bene sibi esset conscius, divinæ virtutis doctrinam est professus. Quid enim neget, vel quia professionem damnet, id faciat, vel quia indignum se et alienum a re tanta esse sciat, non profiteatur. Neutrum autem veri Christiani est. Urbicius igitur propter eam professionem duci Ptolemæum jussit. **270** Lucius autem quidam, et ipse Christianus, tum ibi astabat : qui improbato atque damnato iniquo Urbicii judicio. Quæ, malum, ratio hæc est? inquit. Num quid infamis maleficii vir hic admisisse convictus est? An, quod Christiani nomine tantum is gaudet et gloriatur propterea ad puniendum eum commotus es? Non hoc decet imperatorum pium, non imperato-

A τὰ ἐν ἐπαγγελίαις ἐπιφέρουσα ἀγαθά. Ὡς δὲ πλεῖστα λέγουσα ἥκιστα πειθήνιον εἶχεν, ἐκείνος ἐπιμένων τῷ ἀσελγαίνειν, ἀλλοτρίαν διὰ τῶν πράξεων ἐποιεῖτο τὴν γαμετήν. Ἡ γυνὴ δὲ τοῦ λοιποῦ ἀσεβὲς ἡγουμένη ἀνδρὶ τοιούτῳ συγκατακλίνεσθαι, ἔξω φύσεως νόμου παντί γε τρόπῳ πόρους ἡδονῶν πειρωμένῳ ποιεῖσθαι, διαῤῥήγνυσθαι τούτου ἐβούλετο. Ὡς δὲ τῶν σφετέρων δυσωπούντων καὶ ἐλπίδα προτεινόντων, εἰς ἐλπίδα μεταβολῆς ἥξοντός ποτε τοῦ ἀνδρὸς, μένειν ἠνάγκαστο. Ἐπεὶ δ' ὁ ἀνὴρ κατὰ τὴν Ἀλεξάνδρειαν ἰὼν πολλῷ χαλεπώτερα πράττειν ἠγγέλλετο, ἡ γυνὴ δεδοικυῖα μὴ κοινωνὸς εἴη τῶν ἀσεβημάτων τάνδρὶ, ὁμόκοιτος καὶ ὁμοδίαιτος αὐτῷ οὖσα, βιβλίον ἀποστασίου πέμπουσα, ὃ ῥεπούδιον λέγεται, διεζεύγνυτο. Ὁ δὲ, δέον μᾶλλον χαίρειν ἐπὶ τῇ

indicium prophetici, sicuti ab eis dicitur, spiritus, refellit. « Hoc vero ipsum longe omnium, inquit, est falsissimum. Siquidem et aliarum hæresum nonnullæ quamplurimos habent martyres, non ideo tamen pedibus in illorum imus sententiam. Ac primi statim a Marcionis secta Marcionistæ dicti plurimos habere martyres feruntur : verumtamen Christum ipsum juxta veritatem non profitentur. » Et paulo post : « Proinde cum Christiani ex Ecclesia ad martyrium et professionem veræ fidei et pietatis, una cum eis martyribus qui Phrygum hæresis dicti sunt, vocantur, seorsim, **322** nec assentientes eis, neque cum eis communicantes, moriuntur, propterea quod nolint in Montani muliercularumque ejus spiritus sententiam concedere. Id autem verum esse, quod nostro quoque ævа Apameæ, quæ ad Mæandrum fluvium sita est.accidit, exemplum declarat, in Caio et Alexandro Eumeniæ prognatis, qui martyrium subierunt. »

A νεσταὶ καλούμενοι, πλείστους ἔχειν Χριστοῦ μαρτυρας λέγουσιν. Ἀλλὰ τὸν Χριστὸν αὐτὸν κατὰ ἀλήθειαν οὐχ ὁμολογοῦσι. » Καὶ μετ' ὀλίγα · « Ἔνθεν τοι καὶ ἐπειδὰν τὸ τῆς κατὰ ἀλήθειαν πίστεως μαρτύριον κληθέντες ἀπὸ τῆς Ἐκκλησίας τύχωσι μετὰ τινῶν τῶν ἀπὸ τῆς Φρυγῶν αἱρέσεως λεγομένων μαρτύρων, διαφέρονται πρὸς αὐτούς, καὶ μὴ κοινωνήσαντες αὐτοῖς, τελειοῦνται, διὰ τὸ μὴ βούλεσθαι συγκαταθέσθαι τῷ διὰ Μοντανοῦ καὶ τῶν γυναικῶν πνεύματι. Καὶ ὅτι τοῦτ' ἀληθὲς καὶ ἐν ἡμετέρῳ χρόνῳ ἐν Ἀπαμείᾳ τῇ πρὸς Μαιάνδρῳ τυγχάνει γεγενημένον, ἐν τοῖς περὶ Γάϊον καὶ Ἀλέξανδρον περὶ Εὐμενείας (1) μαρτυρήσασι πρόδηλον ».

CAPUT XXIV.

Quæ etiam Miltiades, vir ecclesiasticus, adversus eam scripserit.

Idem scriptum Miltiadis scriptoris quoque meminit cujusdam, qui et ipse contra eamdem hæresim docte scripserit, dicta quædam ejus ad hunc prope modum citans : « Hæc, cum in commentario quodam (2) Miltiadis fratris, in quo asserit et probat, prophetas non in exstasi et consternatione loqui oportere, invenissem, in epitomen et compendium redegi. Progrediens deinde oratione sua, Novi Testamenti prophetas enumerat, in quibus etiam Ammiam quamdam, et Quadratum recenset. Talem autem prophetam ex omnibus eis qui vel in Veteri, vel in Novo Testamento, spiritu sunt acti, nullum indicare poterunt : neque vel Agabum, vel Judam, vel Silam, neque etiam Philippi filias, aut Philadelphensem Ammiam, aut Quadratum, aut quosdam alios quidquam ad se pertinere gloriabuntur. Paulo post deinde : Ac siquidem post Quadratum et Ammiam, sicuti jactitant, Montani mulieres donum propheticum acceperunt, quinam alii post Montanum et ejus uxores per successionem id acceperint ostendant. Oportere enim charisma propheticum in omni Ecclesia esse usque ad supremum Christi adventum, Apostolus arbitratus est. Sed quem nobis indicent, non habent. Decimus quartus namque jam agitur annus, ex quo Miximilla mortua est. » Hæc quidem is scriptor. Miltiades autem iste alia etiam nobis studii diligentiæque suæ de rebus sacris reliquit monumenta. Unum siquidem librum ad Græcos, **323** alterum vero ad Judæos perquam erudite composuit : sed et tertium scripsit ad principes, defensionem pro ea quam complexus est philosophia instituens.

B

C

D

ΚΕΦΑΛ. ΚΔ'.

Ὅσα καὶ Μιλτιάδης ἐκκλησιαστικὸς ἀνὴρ κατ' αὐτῆς ἔγραψεν.

Ἐν δὲ τῷ αὐτῷ συγγράμματι καὶ Μιλτιάδου μνείαν ποιεῖται συγγραφέως τινός, ὡς καὶ αὐτοῦ λογικῶς τῇ τοιαύτῃ αἱρέσει προσκαπτήσαντος. Καὶ λέξεις δέ τινας ἐκείνου παρατίθεται τῷ συγγράμματι οὕτω φάσκων · « Ταῦτα εὑρὼν ἔν τινι συγγράμματι Μιλτιάδου τοῦ ἀδελφοῦ, ἐν ᾧ ἀποδείκνυσι περὶ τοῦ δεῖν προφήτας ἐν ἐκστάσει λαλεῖν, ἐπετεμόμην. Προϊὼν δὲ τῷ λόγῳ, τοὺς κατὰ τὴν Καινὴν προφήτας ἀπαριθμεῖ · ἐν οἷς καὶ Ἀμμίαν τινὰ καὶ Κοδρᾶτον καταλέγει. Τοῦτον δὲ τὸν τρόπον οὔτε τινὰ τῶν κατὰ τὴν Παλαιὰν, οὔτε τῶν κατὰ τὴν Καινὴν πνευματοφορηθέντων, προφήτην δεῖξαι δυνήσονται · οὔτε Ἄγαυον, οὔτε Ἰούδαν, οὔτε Σίλλαν, οὔτε τὰς Φιλίππου θυγατέρας, οὔτε τὴν ἐν Φιλαδελφίᾳ Ἀμμίαν, οὔτε Κοδρᾶτον, οὔτε τινὰς ἄλλους μηδὲν αὐτοῖς προσήκοντας καυχήσονται. » Καὶ μετ' ὀλίγα · « Εἰ γὰρ μετὰ Κοδρᾶτον καὶ Ἀμμίαν, ὥς γέ φασιν, αἱ περὶ Μοντανὸν διεδέξαντο γυναῖκες τὸ προφητικὸν χάρισμα, τίνες ἄλλοι ἀπὸ Μοντανοῦ καὶ τῶν γυναικῶν διεδέξαντο, δειξάτωσαν. Δεῖν γὰρ εἶναι τὸ προφητικὸν χάρισμα ἐν πάσῃ Ἐκκλησίᾳ μέχρι τῆς τελείας παρουσίας ὁ Ἀπόστολος ἀξιοῖ. Ἀλλ' οὐκ ἂν ἔχοιεν δεῖξαι · τεσσαρεσκαιδέκατον γὰρ ἤδη τοῦτο ἔτος ἀπὸ τῆς Μαξιμίλλης τελευτῆς, » Ταῦτα μὲν οὗτος · ὁ δὲ Μιλτιάδης οὗτος καὶ ἄλλας ἡμῖν τῆς περὶ τὰ θεῖα σπουδῆς αὐτοῦ μνήμας καταλέλοιπεν. Εἷς μὲν γὰρ αὐτῷ λόγος πρὸς Ἕλληνας, ἕτερος δὲ πρὸς Ἰουδαίους, εὖ μάλα καὶ ἄμφω συντεθειμένοι · καὶ ἄλλος δὲ τρίτος αὐτῷ συνεγράφη πρὸς ἄρχοντας, ἀπολογίαν διασκευάζων ὑπὲρ ἧς μετῆλθε φιλοσοφίας.

CAPUT XXV.

Quod et Apollonius Romanus contra eam ipsam hæresim pugnaverit.

Utrum enimvero et Apollonius, scriptor ecclesiasticus, orationibus editis hæresim secundum

ΚΕΦΑΛ. ΚΕ'.

Ὡς καὶ Ἀπολλώνιος ὁ Ῥωμαῖος κατὰ τῆς τοιαύτης αἱρέσεως ἀντετάξατο.

Οὐ μὴν δὲ ἀλλὰ καὶ Ἀπολλώνιος, ἐκκλησιαστικὸς συγγραφεύς, λόγοις ἐλέγχων βάλλει τὴν εἰρημένην

(1) Περὶ Εὐμενείας μαρτυρήσασι, Niceph. ἀπὸ Ευμενίας. (Euseb. lib. v, cap. 16.)

(2) Euseb. lib. v, cap. 17.

αἵρεσιν κατὰ Φρύγας τότε ἀκμάζουσαν, πρὸς λέξιν μὲν ἀνατρέπων τὰς ψευδεῖς αὐτῶν προφητείας, ἐξελέγχων δὲ καὶ τὸν βίον τῶν ἀρχηγῶν τῆς πλάνης αὐτῶν, οἷς οὕτω διέξεισιν· « Οὗτός ἐστιν ὁ διδάξας λύσεις γάμων, ὁ νηστείας νομοθετήσας, ὁ Πέπουζαν καὶ Τύμιον Ἱερουσαλὴμ ὀνομάσας· πόλεις δ' εἰσὶν αὗται μικραὶ τῆς Φρυγίας· τοὺς πανταχόθεν ἐκεῖ συνεισαγαγεῖν ἐθέλων· ὁ πρακτῆρας χρημάτων καταστήσας· ὁ ἐπ' ὀνόματι προσφορῶν τὴν δωροληψίαν ἐπιτεχνώμενος· ὁ σαλάρια χορηγῶν τοῖς κηρύσσουσιν αὐτοῦ τὸν λόγον, ἵνα διὰ τῆς γαστριμαργίας ἡ διδασκαλία τοῦ λόγου κρατύνηται. » Περὶ μὲν οὖν τοῦ Μοντανοῦ ταῦτα· οἷα δὲ καὶ περὶ τῶν αὐτοῦ προφητίδων φησὶν, ἄκουε· « Δείκνυμεν οὖν αὐτὰς πρώτας τὰς προφήτιδας, ἀφ' οὗ τοῦ πνεύματος ἐπλαρώθησαν, τοὺς ἄνδρας λιπούσας. Πῶς οὖν ἐψεύδοντο Πρίσκαν παρθένον ἀποκαλοῦντες; » Εἶτα καὶ ταῦτα προστίθησιν· « Οὐ δοκεῖ σοι πᾶσα Γραφὴ κωλύειν προφήτας λαμβάνειν δῶρα καὶ χρήματα; Ὅταν οὖν ἴδω τὴν προφῆτιν εἰληφυῖαν καὶ χρυσὸν καὶ ἄργυρον καὶ πολυτελεῖς ἐσθῆτας, πῶς αὐτὴν μὴ παραιτήσωμαι; » Μικρὸν δὲ κατιὼν περί τινων κατ' αὐτοὺς ὁμολογητῶν ταῦτά φησιν· « Ἔτι δὲ Θεομίσων ὁ τὴν ἀξιόπιστον πλεονεξίαν ἀμφιεσμένος, ὁ μὴ βαστάσας τῆς ὁμολογίας τὸ σημεῖον (1), ἀλλὰ πλήθει χρημάτων ἀποθέμενος τὰ δεσμά· ἐπὶ δὲ τούτῳ ταπεινοφρονεῖν ὡς μάρτυς καυχώμενος, ἐτόλμησε μιμούμενος τὸν Ἀπόστολον, καθολικὴν συνταξάμενος ἐπιστολὴν, κατηχεῖν μὲν τοὺς ἅμεινον πεπιστευκότας, συναγωνίζεσθαι δὲ τοῖς τῆς κενοφωνίας λόγοις, βλασφημῆσαι δὲ εἰς τὸν Κύριον καὶ εἰς τοὺς ἀποστόλους καὶ τὴν ἁγίαν Ἐκκλησίαν. » Ἐπὶ δὲ τούτοις ἐξελέγχει τινὰ παρ' αὐτοῖς μάρτυρα Ἀλέξανδρον, ὃν ὡς ληστὴν ἁλόντα, τῇ τοῦ κυρίου ἐπικλήσει ἀπολυθῆναι, καὶ συνεῖναι μὲν συνεστιώμενον τῇ προφήτιδι καὶ χρηματιζόμενον· « Οὗ, φησὶ, τὰς ληστείας καὶ τὰ ἄλλα τολμήματα ἐφ' οἷς κεκόλασται, οὐχ ἡμᾶς δεῖ λέγειν· ἀλλ' ὁ ὀπισθόδομος ἔχει. Τίς οὖν τίνι χαρίζεται τὰ ἁμαρτήματα; πότερον ἡ προφῆτις τὰς ληστείας τῷ μάρτυρι, ἢ ὁ μάρτυς τῇ προφήτιδι τὰς πλεονεξίας; » Καὶ πάλιν, περὶ ὧν αὐχοῦσι προφητῶν, ταῦτ' ἐπιλέγει· « Ἐὰν ἀρνῶνται δῶρα τοὺς προφήτας αὐτῶν εἰληφέναι, τοῦθ' ὁμολογησάτωσαν, ὅτι ἐὰν ἐλεγχθῶσιν εἰληφότες, οὐκ εἰσὶ προφῆται· καὶ μυρίας ἀποδείξεις τούτων παραστήσομεν. Ἀναγκαῖον δὲ ἐστι πάντας καρποὺς δοκιμάζεσθαι προφήτου. Προφήτης, εἰπέ μοι, ῥάπτεται; προφήτης στιβίζεται; προφήτης φιλοχοσμεῖ; προφήτης ταύλαις καὶ κύβοις παίζει; προφήτης δανείζει; » Πρὸς δὴ τούτοις καὶ τοῦτ' Ἀπολλώνιος τῇ αὐτοῦ πραγματείᾳ δείκνυσιν, ὡς τεσσαρακοστὸν ἔτος, ἐξ οὗ τῇ προσποιήτῳ καὶ δαιμονιώδει προφητείᾳ ἐπέβαλε Μοντανὸς, ἐτύγχανε τῷ συγγράμματι. Ἱστορεῖ δὲ, ὡς καὶ Ζωτικὸς ὁ Ὀστρηνὸς, οὗ καὶ ὁ πρὸ τούτου ἱστορικὸς μνείαν πεποίηται, ἤδη Μαξιμίλλης τῷ προφητεύειν ἐπιχειρηκυίας, ἐπιστὰς, διελέγχειν τὸ δαιμόνιον ἐπειρᾶτο. Ἐσχέθη δ' οὖν

A Phrygas tum vigentem oppugnavit, cum falsas eorum prophetias ad verbum refellens, tum vitam et mores auctorum ejus erroris traducens his, qui sequuntur, verbis : « Hic ille est, qui matrimonia dirimere docuit : hic, qui jejunia legibus latis sanxit : hic, qui Pepuzam et Tymium, parvas Phrygiæ civitates, ubi quos undequaque ad se pertraxisset homines contrahere et congregare voluit, Jerusalem nominavit : hic, qui æruscatores et pecuniarum exactores instituit : qui sub prætextu et nomine oblationis avaritiæ sordes et munerum emunctiones arte quadam invenit : qui salaria verbum ejus prædicantibus numeravit, ut per ventris curam doctrina ejus invalesceret atque confirmaretur. » Atque hæc de Montano : deinceps, quæ etiam de prophetissis ejus dicat, audi : « Ostendimus igitur has ipsas primarias prophetissas, ex quo spiritu sunt replette, a viris suis profugisse : qui ergo fit, ut tam impudenter Priscam virginem appellantes, mentiantur? » Deinde hæc quoque addit : « Non tibi videtur Scriptura omnis prohibere, ne prophetæ numera et pecunias accipiant? cum itaque egregiam istam prophetissam aurum, argentum, et vestem pretiosam accipere viderim, quomodo eam non detester et abominer? » Et paulo post, de quibusdam confessoribus eorum hæc dicit : « Præterea Theomison inexplebilis avaritiæ sordibus obvolutus, qui quod confessionis signum perferre non potuit, magna pecuniæ vi vincula sua redemit : quo ille nomine, cum submissius se gerere deberet, gloriosius pro martyre venditavit. Ausus is etiam est ad imitationem Apostoli, catholicam ad universos conscribere epistolam : in qua, si diis placet, eos docet, qui melius quam ipse de fide sunt persuasi : et vaniloquentiæ verba defendit, simulque blasphema et impia in Dominum et apostolos sanctamque Ecclesiam verba effundit. **324** Sub hæc quemdam apud eos martyrem Alexandrum redarguit, qui ut prædo captus, et domini appellatione solutus atque dimissus familiariter eisdem in ædibus cum prophetissa vixit, eique pecuniam ingentem quæsivit : « Cujus, inquit, prædas et latrocinia, aliaque audacia faunora, propter quæ est excruciatus, non opus est nos commemorare, cum ea in acta publica relata, curia habeat. Itaque istorum quis cui noxam remittet? utrum prophetissa martyri latrocinia, an martyr prophetissæ avaritiæ lucra? » Rursum de prophetis, quorum nomine ipsi sibi gloriantes placent, hæc infert : « Quod si negant prophetas suos munera capere, illud confiteantur, si convicti fuerint eos dona recepisse, non esse prophetas : et innumerabilibus id exemplis probabimus. Pernecessarium autem est omnes prophetæ fructus explorare et excutere. Dic, rogo, mihi, num propheta cerussa fucatur? propheta stibio linitur? propheta formam excolit? propheta tabulis et talis ludit? propheta fœnerat, et lucro studet? » Ad hæc idem Apollonius in opere suo illud in-

B

C

D

(1) Ὁμολογας σημεῖον, **hoc est, martyrium.**

dicat quod quadragesimo post anno scriptum id condiderit, ex quo Montanus assimulatam et dæmoniacam prophetiam instituit. Memoriæ quoque tradidit, Zoticum Ostrenum, cujus superior historicus mentionem fecit, cum jam Maximilla prophetare apud Pepuzam cœpisset, dæmonium id convincere instituisse; prohibitum tamen ab eis esse, qui sectæ illius addicti fuere. Meminit quoque Thraseæ cujusdam martyris. Præterea ex veterum traditione se recepisse scripsit, Christum apostolis præcepisse, ut ne ante duodecimum annum Hierosolymis discederent. Utitur quoque in multis locis testimoniis ex Apocalypsi Joannis petitis, quem etiam mortuum exsuscitasse Ephesi dicit. Scribit insuper alia quædam, fraudem et errorem ejusmodi hæresis explanans.

A ὅμως παρὰ τῶν τὰ ἴσα ἐκείνῃ φρονούντων. Καὶ μάρτυρος δέ τινος Θρασέα μέμνηται· ἔχειν δὲ καὶ ἐκ παραδόσεως, ὡς ἄρα τοῖς ἀποστόλοις Χριστὸς ἐπὶ δώδεκα ἔτη μὴ χωρίζεσθαι τῆς Ἱερουσαλὴμ ἐντείλασθαι. Χρῆται δὲ ἐν πολλοῖς ἐς μαρτυρίαν τῶν λόγων ἀπὸ τῆς Ἀποκαλύψεως Ἰωάννου, ὃν φησι καὶ νεκρὸν ἐγεῖραι κατὰ τὴν Ἔφεσον. Καὶ ἄλλα τινὰ ἱστορεῖ, διευρύνων τὴν πλάνην τῆς προκειμένης αἱρέσεως.

CAPUT XXVI.

Hunc ipsum Apollonium Romæ martyrium pertulisse.

Idem hic Apollonius (1), in omni genere doctrinæ et sapientiæ clarus, Romæ martyrii perfecit cursum. Nam sub Commodo per universum orbem pax et tranquillitas religioni nostræ data est, **325** et salutiferum verbum omnem animam ex omni genere hominum ad verum Dei cultum perduxit; et Romæ totæ domus et familiæ simul ad fidem sinceram pervenerunt. Quomodo autem id ferret is, qui pulchris sanctisque rebus semper insidiatur? Quapropter cum multa alia contra nos fraudulenter excogitavit, tum scelestum quemdam ad suam ipsius fraudem propensum instigavit, ut Apollonium ad tribunal protraheret, accusationemque contra eum constitueret. Is porro delator, quod non legitime actionem intendisset, Perennio (2) sententiam ferente, cruribus ejus fractis, debitas luit pœnas: ex consuetudine quadam, quæ contra eos Romæ invaluit, qui res tales ad judices deferrent. Ipse autem martyr, cum in senatu Romano, judice ita statuente, rationem professionis fidei suæ oratione luculenta reddidisset, de sententia senatus (3) capitali affectus supplicio, e vita migravit. Qui vero certius accuratiusque res ejus cognoscere velit, eum ad martyrium ejus, quod in litteras relatum est, legendum cohortamur.

B ΚΕΦΑΛ. ΚϚ'.

Ὅτι καὶ ἐν Ῥώμῃ ὁ αὐτὸς Ἀπολλώνιος ἐμαρτύρησεν.

Ὁ δ' αὐτὸς οὗτος Ἀπολλώνιος, καὶ ἐν παιδείᾳ καὶ σοφίᾳ διαβόητος ὤν, ἐπὶ Ῥώμης καὶ τὸν μαρτυρικὸν διήνυσε δίαυλον. Ἐπὶ γὰρ Κομόδου, πρὸς τὸ πρᾶον τῆς περὶ ἡμᾶς εἰρήνης μεταβληθείσης καθ' ὅλης τῆς οἰκουμένης, ὁ σωτήριος λόγος ἐπὶ τὴν ἀληθῆ θρησκείαν πᾶσαν ψυχὴν τῶν ἐκ παντὸς ὑπηγάγετο γενους. Ἐπὶ δὲ Ῥώμης καὶ ὅλους οἴκους παγγενεὶ ὁμόσε τῇ ἀκραιφνεῖ πίστει χωρεῖν παρεσκεύαζε. Πῶς δ' ἂν ἔμελλε τοῦτο οἰστὸν εἶναι τῷ ἀεὶ τοῖς καλοῖς ἐφεδρεύοντι; Ὅθεν πολλὰ μὲν καὶ ἄλλα ἐπιτεχνώμενος ἦν, καὶ τινα δ' ἐναγῆ τῷ Ἀπολλωνίῳ· καὶ εἰς δικαστήριον ἄγει. Καὶ ὁ μὲν μὴ C προσηκόντως τὴν δίκην ὑπελθὼν, τὰ σκέλη διετέθλαστο. Περεννίου τὴν δίκην ἐπαγαγόντος, κατά τι ἔθος κρατῆσαν Ῥωμαϊκὸν τοὺς τὰ τοιαῦτα καταμηνύοντας πάσχειν. Ὁ δὲ μάρτυς λόγον αἰτήσαντος τοῦ δικάζοντος ἐπὶ τῆς συγκλήτου βουλῆς, καὶ ταύτην ἀξίως τοῦ σφετέρου λόγου ὑπὲρ τῆς πίστεως παρασχὼν, τιμωρίᾳ κεφαλικῇ δόγματι τῆς συγκλήτου τοῦ βίου ἐξίστατο. Εἴ τις τοίνυν ἐπ' ἀκριβὲς τὰ κατ' αὐτὸν διαγνῶναι θελήσειε, τοῦτον τῷ ἐκείνου μαρτυρίῳ ἐντυγχάνειν προτρέπομεν.

CAPUT XXVII.

Ut Serapion Antiochiæ episcopus Montanum refellerit, et de libris ejus.

Scriptorum vero quæ Apollinaris contra hæresim secundum Phryges composuit, etiam Serapion, quem Antiochiæ ad Orontem Maximini in episcopatu successorem fuisse indicavimus, meminit in epistola quadam ad Cariconem et Pontium (4), ita scribens: « Ut vero intelligatis, quæ in toto orbe est fraternitatem, detestari præstigias ordinis et sectæ ejus, quæ novæ prophetiæ dicitur, litteras beatissimi Claudii Apollinaris Hierapolitani in Asia epi-

D ΚΕΦΑΛ. ΚΖ'.

Ὡς καὶ Σεραπίων ὁ Ἀντιοχείας τοὺς περὶ Μοντανὸν ἀπελέγχει, καὶ περὶ τῶν συγγραμμάτων αὐτοῦ.

Τῶν δ' Ἀπολλιναρίῳ πεποιημένων κατὰ τῆς Φρυγῶν αἱρέσεως καὶ Σεραπίων ὃν ἐπὶ τῇ πρὸς Ὀρόντῃ Ἀντιοχείᾳ μετὰ Μαξιμῖνον διάδοχον τῆς ἐπισκοπῆς ἐδηλώσαμεν, μέμνηται ἔν τινι τῶν ἰδίων ἐπιστολῶν, Καρίκωνι καὶ Ποντίῳ πεμφθείσῃ, γράφων οὕτως· « Ὅπως δὲ καὶ τοῦτο εἰδῆτε, ὅτι τῆς ψευδοῦς ταύτης τάξεως τῆς ἐπικαλουμένης νέας προφητείας ἐδέλυκται ἡ ἐνέργεια παρὰ πάσῃ τῇ ἐν τῷ κόσμῳ ἀδελφότητι, πέπομφα ὑμῖν καὶ Κλαυδίου Ἀπολλιναρίου

(1) Secundi huic nomen fuit. Hier. de viris illust., qui Apollonium senatorem urbis Romæ fuisse scribit.

(2) Perennius præfectus multos nobilium interfecit. (Lamprid., Herodian.)

(3) Eo quod lex Romæ esset, non debere absolvi hominem Christianum, qui pro tribunali causam dixisset, nisi propositum mutaret. (Eusebius, lib. v, cap. 21).

(4) Euseb. *Caricum* habet, lib. v, cap. 19; item *Ponticum*. Alii etiam *Carinum* habent.

τοῦ μακαριωτάτου, ἐν Ἱεραπόλει, γενομένου τῆς Ἀσίας ἐπισκόπου, γράμματα. Ἐν αὐτῇ δὲ τῇ τοῦ Σεραπίωνος ἐπιστολῇ καὶ ὑποσημειώσεις φέρονται διαφόρων ἐπισκόπων· ὧν ὁ μέν τις ὧδέ πως ὑπεσημήνατο· « Αὐρήλιός Κυρήνιος μάρτυς ἐρρῶσθαι ὑμᾶς εὔχομαι. » Ὁ δέ τις τοῦτον τὸν τρόπον· « Αἴλιος Πούπλιος Ἰούλιος, ἀπὸ τῆς Δεβελτῆς κολωνείας τῆς Θράκης ἐπίσκοπος· Ζῇ ὁ Θεὸς ὁ ἐν τοῖς οὐρανοῖς, ὅτι Σώτας ὁ μακάριος ὁ ἐν Ἀγχιάλῳ ἠθέλησε τὸν δαίμονα τὸν Πρισκίλλης ἐκβαλεῖν· καὶ οἱ ὑποκριταὶ οὐκ ἀφῆκαν. » Καὶ ἄλλων πλειόνων τὸν ἀριθμὸν ἐπισκόπων συμψήφων τούτοις ἐν τοῖς δηλωθεῖσι γράμμασιν αὐτόγραφοι φέρονται σημειώσεις. Τὰ μὲν οὖν κατὰ Μοντανὸν καὶ τῆς κατὰ Φρύγας αἱρέσεως ἐν τούτοις.

A scopi ad vos misi. » In eadem Serapionis epistola adnotationes, sive subscriptiones plurium episcoporum recensentur, quorum quidam ita fere manu sua ei subscripsit: « Aurelius Cyrenius martyr opto vos valere. » Quidam hoc modo: « Ælius Publius Julius. Debelti coloniæ Thraciæ episcopue : **326** Vivit Deus, qui in cœlis est, quod beatus Sotas, qui est Anchiali, dæmonium Priscillæ ejicere voluit: sed hypocritæ id non permisere. » Et alii complures episcopi calculo et sententia sua litteras eas comprobantes, suis ipsorum manibus eis subscripserunt. Et Montani quidem atque secundum Phryges hæresis sic se habuit.

ΚΕΦΑΛ. ΚΗ'.

Ὡς καὶ ἡ τοῦ Μαρκίωνος αἵρεσις εἰς πολλὰ διῃρέθη, καὶ τίνα ἑτερατεύοντο.

CAPUT XXVIII.

Ut Marcionis hæresis et secta in multas sit dissecta partes, et quam monstruosas opiniones ea protulerit.

B

Μάρκίων δὲ ὁ Ποντικὸς, οὗ καὶ ἄνωθεν μνείαν πεποίημαι, τὸ τοῦ Κέρδωνος ἀσεβὲς ἐπιμᾶλλον αὐξήσας, τέσσαρας ἀγεννήτους οὐσίας τῷ λόγῳ διέπλασεν· ὧν τὸν μὲν ἀγαθόν τε καὶ ἄγνωστον προσηγόρευσεν, ὃ Πατέρα τοῦ Χριστοῦ λέγει· τὸν δὲ δίκαιον καὶ δημιουργόν· τοῦτον δὲ πονηρὸν ὀνομάζει· καὶ πρὸς τούτοις ὕλην κακήν τε οὖσαν, καὶ ὑπ' ἄλλῳ τῷ κακῷ συντελοῦσαν. Τὸν γε μὴν δημιουργὸν περιγενόμενον τοῦ κακοῦ τὴν ὕλην λαβεῖν καὶ δημιουργῆσαι τὰ σύμπαντα. Ἐκ μὲν τοῦ καθαρωτάτου τὸν οὐρανὸν καὶ τὰ ἄλλα διηθῶν λέγει δημιουργεῖν· ἐκ παχυτέρου δὲ τὸν τε παραδεισον, καὶ ἐκεῖθεν ἐκ βώλου τὸν Ἀδάμ· ἐκ τῆς οἰκείας δὲ οὐσίας δοῦναι αὐτῷ τὴν ψυχήν· κἀντεῦθεν εἶναι τὴν διαμάχην τῆς ψυχῆς καὶ τοῦ σώματος. Ἀγαθώτερον δὲ καὶ τὸν ὄφιν πλάττει τοῦ δημιουργοῦ. Τιμᾷ δὲ αὐτὸς καὶ τὸν ὄφιν Βλασφημεῖ δὲ καὶ τοὺς πατριάρχας καὶ τοὺς προφήτας. Ἐκ μὲν οὖν τῶν Εὐαγγελίων τὸ κατὰ Λουκᾶν μόνον δέχεται, τὴν γενεαλογίαν περιαιρῶν. Ἐννέα δὲ μόνας τοῦ Ἀποστόλου προσίεται Ἐπιστολάς· καὶ τούτων περικόψας τὰ πλεῖστα. Τὴν δὲ παλαιὰν Διαθήκην καὶ τοὺς Προφήτας ἀπελαύνει παντάπασιν, ὡς ὑπὸ ἀλλοτρίου δεδομένην Θεοῦ· Φαντασίᾳ δὲ καὶ ἀνθρωπον τὸν Χριστὸν γενέσθαι. Ἐξάγει δὲ τοῦ βίου καὶ τὴν ἀνάστασιν. Οὗτος τὸν μὲν Κάϊν καὶ τοὺς Σοδομίτας λέγει σωτηρίας μετασχεῖν προσιόντας ἐν ᾅδῃ Χριστῷ· βτὸν Ἄβελ δέ, τὸν Ἐνὼχ καὶ τὸν Νῶε, τούς τε πατριάρχας καὶ προφήτας καὶ δικαίους, μὴ προσελθόντας ἐκείνῳ, τὸν ᾅδην οἰκεῖν. Καὶ ἄλλα πλεῖστα κατὰ Θεοῦ ἐλύττησεν· ὧν τὰ πλείω παρῆκα σιγῇ. Ἀλλὰ καὶ ἡ τούτου φλυαγξ ὕστερον εἰς πολλὰ διῃρέθη. Ἀπελλῆς γάρ τις τοῖς ἐκείνου ἀγεννήτοις τέσσαρσι καὶ ἕτερον προσέθηκε πρῶτον. βιβλίον δέ τι συνθεὶς Φιλουμένης προφητεύειν ὠνόμασε. Περιετίθεσαν δὲ τῷ Χριστῷ καὶ σῶμα οὐκ ἀνθρώπινον, ἀλλ' ἐκ τῆς τοῦ παρ' αὐτοῖς κόσμου οὐσίας.

Marcion autem Ponticus, cujus antea quoque meminimus, Cerdonis impietatem adauxit, et quatuor substantias ingenitas verborum portentis confinxit. Ex quibus unum quidem bonum, eumdemque incognitum appellat, et Patrem Christi dicit: secundum vero justum et conditorem, pravum tamen nominat. Præterea materiam malam dicit: et ab alio malo perfectam atque absolutam. Et conditorem malo superiorem, materiam accepisse, et condidisse omnia: et quidem ex purissimo quoque cœlum et alia excolantem fecisse refert; ex crassiore autem parte paradisum, atque ex gleba ejus Adam: cui ex propria substantia animam indiderit, unde perpetua illa pugna inter corpus et animam exstet. Meliorem vero etiam serpentem creatore ipso fingit, ipsumque adeo serpentem honore etiam prosequitur. Blasphemiis et impiis verbis invehitur in patriarchas et prophetas. Ex Evangeliis solum id quod secundum Lucam est, rejecta tamen Genealogia, recipit. Novem tantum Apostoli Epistolas probat, atque in iis resecat loca quamplurima. Vetus Testamentum et Prophetas abjicit omnino, veluti ab alieno editos Deo: Christum phantasia tantum et specie hominem fuisse nugatur. Tollit etiam e vita resurrectionem. Idem, Cain et Sodomitas salutem consecutos esse scribit, quod ad Christum apud inferos accesserint: Abel autem, Enoch, Noe, patriarchas, prophetas, et reliquos justos, quod ad illum non venerint, apud inferos manere. Sed et alia quamplurima contra Deum per insaniam mentis elatravit: quorum pleraque silentio commendanda duximus. Sectatores autem ejus in multas divisi sunt sectas. **327** Apelles enim quidam (1) illius quatuor ingenitis alium addidit igneum: et libro a se composito, Philumenæ prophetia nomen indidit: Christo autem corpus tribuit non humanum, sed ex ejus qui apud ipsos est mundi substantia.

C

D

(1) « Igitur de calcaria, quod dici solet in carbonariam, a Marcione ad Apellem : hoc est, a malo præceptore ad ejus discipulum. » (Tertullianus.)

CAPUT XXIX.

De Rhodone, quæ contra Murcionem conscripserit : et de aliis ejusdem opusculis.

Contra hos, eornmque varias sectas, Rhodon Asianus genere, Tatiani, de quo antea dictum est, auditor, librum composuit : cum impietatem eorum refellens, tum auctores eorum dissectionis accurate recensens. « Propterea, inquit, discordes inter se sunt, quod sententiam quæ consistere atque exstare nequaquam potest, tuentur atque defendunt. Ex cohorte enim eorum progressus Apelles, vita ipsa et senio venerationem quamdam consecutus, unum principium profitetur : prophetias autem ab adversario provenire spiritu dicit, dictis atque responsis virginis a dæmonio agitatæ, cui nomen Philumena fuit, persuasus. Alii autem, sicut et ipse Marcion, duo principia inducunt : ex quibus sunt Potimus et Basiliscus : Ponticum illum lupum secuti, qui nudis verbis, ac sine omni demonstratione atque probatione, duo principia constituit : Syneros vero tria posuit. Scribit itidem Rhodon, se cum Apelle congressum atque collocutum esse. Apellem namque provecta jam ætate, cum se nobis immiscuisset, multa perperam dixisse, atque etiam asseruisse, omnes homines in cruxifixum credentes (1) salvos fieri, si modo bonis operibus explorati probatique sint. » Deinde omnem ejus opinionem recensens, ita infert : « Cum autem ei dicerem : Unde hanc habes demonstrationem ? aut quomodo unum principium esse asserere potes ? Dic nobis ; tum ille : Prophetiæ, inquit, quæ nihil prorsus vere dicant, seipsas refellunt, quippe dissidentes inter se, falsæ, et sibi ipsis adversæ. Quomodo autem unum sit principium, nescire se, ac tantummodo sic moveri et adduci, dixit. Deinceps juramento eum, ut verum diceret, adegi. Et ille juratus, vera se dicere inquit: ignorare autem, quomodo sit unus ingenitus Deus ; sed tamen se ita credere. Itaque eum risi, et rejeci, **328** quod pro doctore se gereret, et doctrinam suam confirmare et defendere non posset. » Rhodon iste in libro quem ad Callistionem scripsit, Romæ Tatiani se discipulum fuisse significat. A quo opus editum esse commemorat, in quo tectos et obscuros divinarum Litterarum locos se illustraturum expositurumque pollicitus sit ; ipseque Rhodon, proprio quodam scripto, se problematum et propositionum illius solutiones explanaturum promittit. Feruntur etiam varii ejus libri in Hexaemeron. Apelles autem, quem diximus, multa etiam contra Mosaicam legem composuit, plurimum studii ad eam evertendam collocans. Hæc Rhodon adversus divisionem Marcionis opinionis conscripsit.

(1) Euseb. lib. v, cap. 13, ἠλπικότας, hoc est, sperantes. Idem Apelles dixit, prorsus opus non esse rationem fidei inquirere, sed in sua quemque persuasione perseverare debere. (Id. ibidem.)

ΚΕΦΑΛ. ΚΘ'.

Περὶ Ῥόδωνος· ὡς κατὰ Μαρκίωνος συνεγράψατο· καὶ περὶ τῶν ἄλλων αὐτοῦ συγγραμμάτων.

Κατὰ δὴ τούτου, καὶ τὴν αὐτῶν διαίρεσιν, Ῥόδων Ἀσιανὸς γένος, τῷ προῤῥηθέντι φοιτήσας Τατιανῷ, βιβλίον ἐξήνεγκε, τήν τε δυσσέβειαν αὐτῶν ἐξελέγχων, καὶ τοὺς τὴν διάστασιν ἐπ' αὐτοῖς ἐνεργοῦντας πρὸς λεπτὸν ἀναγράφων· « Διὰ τοῦτο, λέγων, καὶ παρ' ἑαυτοῖς ἀσύμφωνοι γεγόνασιν, ἀσυστάτου γνώμης ἀντιποιούμενοι. Ἀπὸ γὰρ τῆς τούτων ἀγέλης Ἀπελλῆς μὲν ὁ τὴν πολιτείαν σεμνυνόμενος καὶ τὸ γῆρας μίαν ἀρχὴν ὁμολογεῖ· τὰς δὲ προφητείας ἐξ ἀντικειμένου λέγει πνεύματος, πειθόμενος ἀποφθέγμασι δαιμονιώδους παρθένου ὄνομα Φιλουμένης. Ἕτεροι δὲ, καθὼς καὶ αὐτὸς Μαρκίων, δύο ἀρχὰς εἰσηγοῦνται· ἀφ' ὧν εἰσι Ποντικός τε καὶ Βασιλικός, καὶ οὗτοι τῷ Ποντικῷ Λύκῳ κατακολουθήσαντες· ὃς δύο ἀρχὰς ἀπεφήνατο ψιλῶς καὶ ἀναποδείκτως. Καὶ Σύνερος δὲ τρεῖς εἰσηγήσατο. Γράφει δὲ ὡς τῷ Ἀπελλεῖ εἰς λόγους ἦλθεν ὁ Ῥόδων· ὁ γὰρ γέρων Ἀπελλῆς συμμίξας ἡμῖν, πολλὰ μὲν ἔλεγε κακῶς· ὑπετίθει δὲ καὶ πάντας σώζεσθαι τοὺς τῷ ἐσταυρωμένῳ πιστεύσαντας, εἴγε μόνον ἔργοις ἀγαθοῖς ἐξετάζοιντο. » Ἐπιφέρει δὲ καὶ πᾶσαν αὐτοῦ τὴν δόξαν, φάσκων οὕτως· « Λέγοντος δέ μου πρὸς αὐτὸν, Πόθεν ἡ ἀπόδειξις αὕτη σοι ; ἢ πῶς δύνασαι λέγειν μίαν ἀρχήν ; Φράσον ἡμῖν· ἔφη, τὰς μὲν προφητείας ἑαυτὰς ἐλέγχειν διὰ τὸ μηδὲν ὅλως ἀληθῶς εἰρηκέναι. Ἀσύμφωνοι γὰρ ὑπάρχουσι καὶ ψευδεῖς, καὶ ἑαυτοῖς ἀντικείμεναι. Τὸ δὲ πῶς ἔστι μία ἀρχὴ, μὴ γινώσκειν ἔλεγεν· οὕνως δὲ κινεῖσθαι μόνον. Εἶτα ἐπομόσαμένου μου τἀληθὲς εἰπεῖν, ὤμνυεν ἀληθεύειν λέγων· μὴ ἐπίστασθαι δὲ, πῶς εἷς ἐστιν ἀγέννητος ὁ Θεὸς· τούτῳ δὲ πιστεύειν. Ἐγὼ δὲ γελάσας, κατέγνων αὐτοῦ, διότι διδάσκαλος εἶναι λέγων, οὐκ ᾔδει τὸ διδασκόμενον ὑπ' αὐτοῦ κρατύνειν. » Ὁ δ' αὐτὸς καὶ ἐν τῷ πρὸς Καλλιστίωνα προσφωνήματι ἐπὶ Ῥώμης μαθητευθῆναι λέγει Τατιανῷ, ᾧ καὶ βιβλίον ἱστορεῖ ἐσπουδάσθαι· δι' οὗ τὸ κεκαλυμμένον τῶν θείων Γραφῶν ὑπισχνούμενος εὔδηλον παριστᾷν, ἐν ἰδίῳ συγγράμματι Ῥόδων οὗτος καὶ τὰς τῶν προβλημάτων ἐκείνου λύσεις ἐκθήσεσθαι ἐπαγγέλλεται. Καὶ εἰς τὴν Ἑξαήμερον δὲ αὐτοῦ λόγοι διάφοροι φέρονται. Πολλὰ δὲ ὁ εἰρημένος Ἀπελλῆς κατὰ τοῦ Μωσαϊκοῦ παρετάξατο νόμου, εἰς ἀνατροπὴν ἐκείνου οὐκ ἐλαχίστην ἐνδειξάμενος τὴν σπουδήν. Τοιαῦτα καὶ εἰς τὰ κατὰ τὴν διαίρεσιν τῆς Μαρκίωνος δόξης συγγραφέντα τῷ Ῥόδωνι.

ΚΕΦΑΛ. Α'.

Περὶ τοῦ κατὰ Βλάστον καὶ Φλωρῖνον ἐν Ῥώμῃ γενομένου σχίσματος· καὶ ὅσα Εἰρηναῖος αὐτοῖς διελέχθη· καὶ περὶ τῶν ἄλλων αὐτοῦ συγγραμμάτων.

Τοῖς δὲ περὶ Φλωρῖνον καὶ Βλάστον κατὰ Ῥώμην εἰς ἀντιπάλους μοίρας διακριθεῖσιν, οἷς κατά τι σύμπτωμα τοῦ πρεσβυτερίου διαπεπτωκόσι, καὶ ταῖς Μαρκίωνος δόξαις διὰ ζηλοτυπίας ἕρωτα περιειλουμένοις, καὶ τὸν ἐκκλησιαστικὸν θεσμὸν πειρωμένοις παραχαράττειν, Εἰρηναῖος ἔτι περιών, καὶ ἄμφω ἐπιστολὰς ἔπεμπε· τὴν μὲν πρὸς Βλάστον ἐπιγράψας Περὶ σχίσματος, τὴν δὲ πρὸς Φλωρῖνον Περὶ μοναρχίας, ἢ περὶ τοῦ μὴ εἶναι τὸν Θεὸν ποιητὴν κακῶν. Προασπιστὴς γὰρ οὗτος τῆς τοιαύτης δόξης εἶναι ἐδόκει· δι' ὃν αὖθις καὶ ἔτι τῷ ἀσταθεῖ τῆς γνώμης καὶ εἰς τὴν Οὐαλεντίνου δόξαν ὑποσυρόμενον καὶ ἕτερον τῷ Εἰρηναίῳ σπουδάζεται σύγγραμμα, ὃ Περὶ τῆς ὀγδοάδος ἔχει ἐπιγραφήν· ἐν ᾧπερ δείκνυσιν, ὡς τῆς πρώτης καὶ οὗτος τῶν ἀποστόλων μετειλήφει διαδοχῆς. Ἐν δὲ τῷ πέρατι τοῦ συγγράμματος ἀστεῖαν τινὰ παρασημείωσιν τίθεται, ἣν δὴ καὶ ἐκθεῖναι τοῖς λοιποῖς οὐκ ἀπᾴδον ἐλογισάμην. Λέγει δὲ οὕτως· « Ὁρκίζω σε τὸν μεταγραψάμενον τὸ βιβλίον τοῦτο κατὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ κατὰ τῆς ἐνδόξου παρουσίας αὐτοῦ, ἧς ἔρχεται κρῖναι ζῶντας καὶ νεκρούς, ἵνα ἀντιβάλῃς ὃ μετεγράψω, καὶ κατορθώσῃς αὐτὸ πρὸς τὸ ἀντίγραφον τοῦτο, ὅθεν μετεγράψω, ἐπιμελῶς· καὶ τὸν ὅρκον τοῦτον ὁμοίως μεταγράψῃς, καὶ θήσεις ἐν τῷ ἀντιγράφῳ. » Καὶ ταῦτ' οὐ περιέργως παρεθέμην· ἀλλ' ἵνα εἰς ὑπόδειγμα ἔχωμεν τοὺς ἀρχαίους ἐκείνους καὶ σπουδαίους ἀνδρας, ὅσην ἐποιοῦντο ἀσφάλειαν, διὰ τὸ μὴ παραχαράττεσθαι τὰ τῶν ἀρχαίων συγγράμματα. Τῷ δὲ πρὸς Φλωρῖνον τούτου ἐπιστολῇ καὶ τῆς μετὰ Πολυκάρπου διατριβῆς αὐτοῦ μέμνηται, τοῦτον ἱστορῶν τὸν τρόπον· « Ταῦτα τὰ δόγματα, Φλωρῖνε, ἵνα περιττῶς εἴπω, οὐκ ἔστιν ὑγιοῦς γνώμης. Ταῦτα τὰ δόγματα ἀσύμφωνά ἐστι τῇ Ἐκκλησίᾳ, εἰς μεγίστην ἀσέβειαν περιβάλλοντα, τοὺς πειθομένους. Ταῦτα τὰ δόγματα οὐδὲ οἱ ἔξω τῆς Ἐκκλησίας αἱρετικοὶ ἐτόλμησαν ἐκφρήνασθαί ποτε. Ταῦτα τὰ δόγματα οἱ πρὸ ὑμῶν πρεσβύτεροι, οἱ καὶ τοῖς ἀποστόλοις συμφοιτήσαντες, οὐ παρέδωκάν σοι. Εἶδον γάρ σε παῖς ὢν ἔτι ἐν τῇ κάτω Ἀσίᾳ παρὰ Πολυκάρπῳ λαμπρῶς πράσσοντα ἐν τῇ βασιλικῇ αὐλῇ, καὶ πειρώμενον εὐδοκιμεῖν παρ' αὐτῷ. Μᾶλλον γὰρ τὰ τότε διαμνημονεύω τῶν ἐναγχος γινομένων. Αἱ γὰρ ἐκ παίδων μαθήσεις, συνακύξουσαι τῇ ψυχῇ, ἑνοῦνται αὐτῇ· ὥστε με δύνασθαι εἰπεῖν καὶ τὸν τόπον ἐν ᾧ καθεζόμενος διελέγετο ὁ μακάριος Πολύκαρπος, καὶ τὰς προόδους αὐτοῦ καὶ τὰς εἰσόδους, καὶ τὸν χαρακτῆρα τοῦ βίου, καὶ τὴν τοῦ σώματος ἰδέαν, καὶ τὰς διαλέξεις ἃς ἐποιεῖτο πρὸς τὸ πλῆθος, καὶ τὴν μετὰ Ἰωάννου ἐναστροφὴν ὡς ἀπήγγελλε, καὶ τὴν μετὰ τῶν λοιπῶν τῶν ἑωρακότων τὸν Κύριον· καὶ ὡς ἀπεμνημόνευε τοὺς λόγους αὐτῶν· καὶ περὶ τοῦ Κυρίου, τίνα ἦν ἃ παρ' ἐκείνων ἠκηκόει· καὶ περὶ τῶν δυ-

A

CAPUT XXX.

De schismate et dissidio Romæ propter Blastum et Florinum exorto, et quæ ad eos Irenæus scripserit, et de aliis ejusdem libris.

Cæterum adversus Florinum et Blastum, Romæ rei ecclesiasticæ hostes judicatos, qui ob aliquem lapsum presbyterii gradu abdicati, zelotypia quadam et æmulandi studio, Marcionis errori involuti, et ecclesiasticas sanctiones depravare conati sunt, Irenæus adhuc superstes duas scripsit epistolas, et alteram ad Blastum, de schismate et dissidio; alteram ad Florinum de monarchia, sive Deum non esse auctorem malorum, inscripsit, quod is propugnator ejus erroris fuisse sit visus. Qui deinde propter variantem sententiæ instabilitatem, B etiam in Valentini hæresim protractus, causam Irenæo præbuit, ut is aliud componeret opus, cujus titulus est, de Ogdoade seu octonario : in quo opere se primam apostolorum successionem attigisse ostendit. Ad finem vero ejus libri, adnotationem sane quam scitam adjecit, quam hoc loco referre non intempestivum esse judicavi. Verba ejus hæc sunt : « Adjuro te, qui hunc librum descripsisti, per Dominum nostrum Jesum Christum, et per gloriosum adventum ejus, quo venturus est judicare vivos et mortuos, **329** ut conferas quod transcripsisti, et castiges ad exemplar istud unde descripsisti, accurate : et juramentum hoc, ut itidem describas, et exemplo tuo apponas. » Non otiose sane hoc sic adjecimus, ut scilicet exem- C plum propositum habeamus, qua cura et providentia sacri illi et boni viri caverint, ne veterum scripta depravarentur. In epistola vero ad Florinum conversationis suæ cum Polycarpo meminit, ad hunc scribens modum : « Hæc dogmata, Florine, ut parce et modeste dicam, non sunt sanæ sententiæ. Hæc dogmata dissona et diversa sunt ab Ecclesia, quæ eis obsequentes in maximam conjiciunt impietatem. Hæc dogmata ne illi quidem, qui ab Ecclesia sunt exclusi hæretici, unquam promulgare sunt ausi. Hæc dogmata, qui ante nos fuere, quique cum apostolis conversati sunt presbyteri, tibi non tradidere. Vidi enim te, cum puer adhuc in inferiore Asia apud Polycarpum essem, splendidum habere locum in imperiali aula, et D famam laudemque apud eum aucupantem. Melius namque eas res, quam quæ proxime acciderunt, memoria teneo : quod res quas a pueris didicimus, cum anima coalescentes, eidem prorsus uniuntur. Itaque dicere possum locum in quo considens beatus Polycarpus disseruit : progressus quoque et ingressus ejus, vitæ modum, et corporis formam; orationes etiam quas ad multitudinem habuit; præterea familiarem consuetudinem, sicuti ipse narravit, quæ ei cum Joanne et reliquis qui Dominum oculis suis videre, intercessit; quomodo etiam dicta eorum, et item Domini ipsius, quæ illi ex eo audierant, recitarit; item, quæ de virtutibus et

doctrinis ejus dixerit: ut denique Polycarpus omnia a spectatoribus ipsis vitæ Verbi accepta, et Scripturis consonantia memoriter referre solitus sit. Hæc tum per eam quæ mihi concessa est Dei misericordiam, diligenter et studiose audivi, memoriæ mandans non in charta, sed in corde meo; quæ etiamnum semper per gratiam Dei sincere in intimo verso atque revolvo animo. Et profecto affirmare et testari possum in conspectu Dei, quod si quid tale audivisset beatus ille et apostolicus presbyter, exclamans, et aures obturans, frequentiusque usurpatum illud sibi verbum vociferans, dixisset: **330** O bone Deus, in quæ tempora me conservasti, ut hæc sustineam? ex eo etiam profugisset loco, ubi vel sedens, vel stans hujusmodi audivisset sermonem. Sed et ex epistolis ejus, quas vel ad vicinas ecclesias, eas confirmans, vel ad fratres quosdam, eos instruens et docens, dedit, puritas doctrinæ ejus colligi potest. » Hæc de iis qui Romæ Ecclesiam oppugnarunt, ab ea segregati.

A

B

CAPUT XXXI.

De Hippolyto Portus urbis Romæ episcopo, et de scriptis ejusdem.

Temporibus Severi Hippolytus etiam Portus Romani episcopus floruit: qui cum alia plurima scripta prudenter et docte edidit, tum de Paschate librum composuit, in quo descriptione temporum et veluti Fastorum inita, et canone annorum sedecim de Paschate proposito, rationem temporum usque ad primum annum Alexandri deducit. Catalogus librorum ejus sic habet: *Liber in Hexaemeron;* et alter *post Hexaemeron*, refutatorius contra Marcionem; *In Canticum canticorum, in partes Ezechielis, de Paschate*, opus *Contra hæreses* omnes longe utilissimum, *De adventu Antichristi, De resurrectione;* et alia plurima: *In Zachariam, De Psalmis, in Isaiam, in Danielem* (1), *De Apocalypsi, De Proverbiis, De Saul et Pythone; De laudibus Domini nostri Jesus Christi*, de quibus præsente Origene sermonem habuit. Quædam porro scripta ejus cum reprehensione non careant, martyrio postea pro Christi nomine absoluto, ignorantiæ ejus maculam detrivit atque detersit. Unde Origenem aiunt initium Commentariorum in sacras Scripturas scribendorum sumpsisse. Hæc de Hippolyto (2).

C

D

331 CAPUT XXXII.

De Pantæno Alexandrino philosopho, viro apostolico, et de divino prorsus sacrarum Litterarum studio ejus.

Pantænus etiam sapientia clarus, sub Commodo, divinæ apud Alexandriam præfuit scholæ, jam inde ab antiquo sacrarum ibi Litterarum studio florenti; quod sane ad multa etiam duravit tempora, multis inter se in omni genere disciplina-

(1) Hippolytus in visiones Danielis Commentarium scripsit, et in Proverbia Salomonis. (Suid.)

νάμεων αὐτοῦ· καὶ περὶ τῆς διδασκαλίας· ὡς παρὰ τῶν αὐτοπτῶν τῆς ζωῆς τοῦ Λόγου παρειληφὼς ὁ Πολύκαρπος ἀπήγγειλε πάντα σύμφωνα ταῖς Γραφαῖς. Ταῦτα καὶ τότε διὰ τὸ ἔλεος τοῦ Θεοῦ τὸ γεγονὸς ἐπ' ἐμοὶ σπουδαίως ἤκουον ὑποπνηματιζόμενος αὐτὰ οὐκ ἐν χάρτῃ, ἀλλ' ἐν τῇ ἐμῇ καρδίᾳ· καὶ ἀεὶ διὰ τὴν χάριν τοῦ Θεοῦ γνησίως αὐτὰ ἀναμαρυκῶμαι. Καὶ δύναμαι διαμαρτύρασθαι ἔμπροσθεν τοῦ Θεοῦ, ὅτι εἴ τι τοιοῦτον ἀκηκόει ἐκεῖνος ὁ μακάριος καὶ ἀποστολικὸς πρεσβύτερος, ἀνακράξας ἂν καὶ ἐμφράξας τὰ ὦτα αὐτοῦ, καὶ κατὰ τὸ σύνηθες αὐτῷ εἰπών, Ὦ καλὲ Θεέ, εἰς οἵους με καιροὺς τετήρηκας, ἵνα τούτων ἀνέχωμαι; πεφεύγοι ἂν καὶ τὸν τόπον ἐν ᾧ καθεζόμενος ἢ ἑστὼς, τὸν τοιοῦτον ἀκηκόει λόγον. Καὶ ἐκ τῶν ἐπιστολῶν δὲ αὐτοῦ ὧν ἐπέστειλεν ἤτοι ταῖς γειτνιώσαις ἐκκλησίαις ἐπιστηρίζων αὐτὰς, ἢ τῶν ἀδελφῶν τισι, νουθετῶν αὐτοὺς καὶ προτρεπόμενος, δύναται φανερωθῆναι. » Ἀλλὰ ταῦτα μὲν καὶ περὶ τῶν ἐν Ῥώμῃ ἐξ ἐναντίας διαφερομένων.

ΚΕΦΑΛ. ΛΑ'.

Περὶ Ἱππολύτου Πόρτου πόλεως Ῥώμης καὶ τῶν συγγραμμάτων αὐτοῦ.

Τοῖς δὲ κατὰ Σευῆρον χρόνοις καὶ Ἱππόλυτος ὁ Πόρτου τῆς Ῥώμης ἐπίσκοπος γεγονὼς ἀκμάζων ἦν. Καὶ δὴ πολλῶν ὑπομνημάτων συνετῶν αὐτῷ γεγραμμένων, καὶ τὸ περὶ τοῦ Πάσχα ἐκτίθεται σύγγραμμα, ἐν ᾧ τῶν χρόνων ἀναγραφὴν ἐκθέμενος, καὶ τινα κανόνα ἐκκαιδεκαετηρίδος περὶ τοῦ Πάσχα προθεὶς, ἐπὶ τὸ πρῶτον ἔτος Ἀλεξάνδρου περιγράφει τοὺς χρόνους. Τά γε μὴν αὐτοῦ συγγράμματα ταῦτά εἰσι· Βιβλίον Εἰς τὰν Ἑξαήμερον· ἕτερον Εἰς τὰ μετὰ Ἑξαήμερον· ἀντιῤῥητικὸς πρὸς Μαρκίωνα. Εἰς τὸ Ἆσμα τῶν ἀσμάτων· Εἰς μέρη τοῦ Ἰεζεκιήλ· Περὶ τοῦ Πάσχα· σύνταγμα Πρὸς πάσας τὰς αἱρέσεις βιωφελέστατον· Περὶ τῆς παρουσίας τοῦ Ἀντιχρίστου· Περὶ ἀναστάσεως· καὶ ἄλλα πλεῖστα· Εἰς Ζαχαρίαν· Περὶ ψαλμῶν· Εἰς τὸν Ἡσαΐαν· Εἰς τὸν Δανιήλ· Περὶ Ἀποκαλύψεως· Περὶ Παροιμιῶν· Περὶ Σαοὺλ καὶ Πύθωνος· Περὶ ἐπαίνων τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ἐν οἷς παρόντος Ὠριγένους ὡμίλησε. Τινὰ δὲ τῶν συγγραμμάτων ἐπιλήψιμα ἔχων, τῷ ὑπὲρ Χριστοῦ μαρτυρίῳ μετὰ ταῦτα τελειωθεὶς, τὸν τῆς ἀγνοίας ἀπετρίψατο μῶμον. Ἐξ ὧν φασι καὶ Ὠριγένην ἀρχὴν ἐσχηκέναι ταῖς θείαις ἐπιβάλλειν Γραφαῖς. Τοσαῦτα δὲ καὶ τὰ Ἱππολύτου.

ΚΕΦΑΛ. ΛΒ'.

Περὶ τοῦ ἐν Ἀλεξανδρείᾳ Πανταίνου τοῦ φιλοσόφου, ἀποστολικοῦ ἀνδρὸς· καὶ τῆς περὶ τοὺς λόγους ἐνθέου αὐτοῦ σπουδῆς.

Καὶ ὁ πολὺς δὲ τὴν σοίαν Πάνταινος ἐπὶ Κομόδου τῆς κατ' Ἀλεξάνδρειαν θείας ἡγεῖτο διατριβῆς, ἔθει ἀρχαίῳ ἱεροῦ διδασκαλείου ἐκεῖσε δὴ συνεστῶτος· ὃ καὶ ἐπὶ πολὺ τοῦ χρόνου προήνεγκε τῆς περὶ τοὺς λόγους σπουδῆς, πολλῶν ἐνταῦθα τιθεμέ-

(2) Hujus passionem hymno prolixiore prosecutus est Prudentius.

νων τὴν ἅμιλλαν. Ἐν δὲ τοῖς πώποτε καὶ τοῦτον δὴ σφόδρα διαθρυλληθῆναι λόγος, ἀπ' ἐκ τῆς τῶν Στωϊκῶν φιλοσόφου διατριβῆς ἐπὶ τοῦτ' ἀποκλίναντα. Τοσαύτην δέ φασι σπουδὴν εἰσενέγκασθαι τὸν θεῖον ἐπαυξῆσαι λόγον, ὡς καὶ κήρυκα τοῖς ἐπ' ἀνατολῆς ἔθνεσι τοῦ Χριστοῦ καταστῆναι, καὶ τὴν μέχρις Ἰνδῶν στείλασθαι. Πολλοὶ γὰρ καὶ τηνικάδε διέπρεπον πρόθεσιν ὅτι μάλιστα γενναίαν προβεβλημένοι ἐπὶ καταβολῇ καὶ αὐξήσει τοῦ θείου καὶ εὐαγγελικοῦ σπόρου. Ὧν εἰς καὶ ὁ νῦν ἡμῖν προκείμενος γεγονὼς, καὶ μέχρις Ἰνδῶν γενέσθαι ἤκιστα ὤκνησεν. Εὑρεῖν μέντοι ἐκεῖσε τὸ κατὰ Ματθαῖον ἱερὸν Εὐαγγέλιον ἱστορεῖ παρά τισι τῶν πιστῶν, ὑπὸ Βαρθολομαίου Ἑβραΐδι διαλέκτῳ προσφωνηθέν· ὡς καὶ ἐς μακρὸν προελθεῖν τοῦ χρόνου τοῦ πρώτως γράψαντος ἀκριβεῖς διασῶζον τοὺς χαρακτῆρας. Πολλοῖς δὲ κατορθώμασι διαλάμψας ἄχρι δὴ καὶ ἐς τέλος, τῆς κατ' Ἀλεξάνδρειαν ἱερᾶς ἡγεῖτο διατριβῆς, καὶ ζώσῃ γλώσσῃ καὶ σοφοῖς ὑπομνήμασι τῶν θείων δογμάτων τὰς Γραφὰς ἀναπτύσσων.

A rum æmulatione concertantibus. Inter veteres illos Pantænum hunc in primis celebrem fuisse ferunt, qui scilicet ex Stoicorum philosophorum familia ad nostram transierit professionem. Tam studiosus autem propagandi divini verbi fuit, ut Christum etiam Orientalibus populis prædicaverit, et ad Indos usque pervenerit. Permulti sane eo tempore exstiterunt viri generosis prorsus animis, qui cum magna laude divino et evangelico semini ubique terrarum serendo et amplificando incubuerunt. In quibus et hic noster fuit, qui tam longam atque difficilem profectionem etiam ad Indos usque non detrectavit. Refert is, apud quosdam fideles Matthæi Evangelium ibi inventum esse, a Bartholomæo Hebraico sermone expositum: quod in multa B tempora formas litterarum ejus, qui id primum scripsit, illæsas conservarit. Hic multis præclare ad finem usque vitæ actis illustris, sacræ Alexandrinæ scholæ præiit, simulque et viva voce et doctis commentariis divinorum dogmatum Scripturas explicuit.

ΚΕΦΑΛ. ΛΓ'.

Περὶ Κλήμεντος τοῦ Στρωματέως, καὶ τῶν συγγραμμάτων αὐτοῦ· καὶ ὅσα περὶ τῶν θείων λέγει Γραφῶν.

Τῇ δ' αὐτῇ τοῦ χρόνου φορᾷ καὶ Κλήμης πρεσβύτερος, ὁ Στρωματεὺς ἐπικληθῆ, ἐπὶ τῆς Ἀλεξανδρείας καὶ αὐτὸς συνασκούμενος ἦν τῷ Πανταίνῳ, καὶ τὸν ἴσον δρόμον ἐκείνῳ καὶ τὴν σπουδὴν ἐπὶ διαίτῃ καὶ τῇ διατριβῇ κεκτημένος. Καὶ πατέρα δὲ τῶν λόγων ἐν ταῖς αὐτοῦ οὕτωσὶ γεγραμμέναις C Ὑποτυπώσεσι τὸν Πάνταινον ἱστορεῖ· καὶ ἐν τῷ πρώτῳ δὲ τῶν Στρωματέων τοῦτον δοκεῖ μοι αἰνίττεσθαι· ὅτε τοὺς ἐμφανεῖς τῶν ἀποστόλων διαδόχους ἀπαριθμεῖ, γράφων οὕτως· « Ἤδη δὲ οὐ γραφὴ εἰς ἐπίδειξιν τετεχνασμένη, ἀλλά μοι ὑπομνήματα εἰς γῆρας θησαυρίζεται, λήθης φάρμακον, εἰδώλου ἀναρχῶς καὶ σκιαγραφίᾳ τῶν ἀναρχῶν καὶ ἐμψύχων ἐκείνων, ὧν κατηξιώθην ἀκοῦσαι λόγων τε καὶ ἀνδρῶν, μακαρίων καὶ τῷ ὄντι ἀξιολόγων. Τούτων ὁ μὲν ἐπὶ τῆς Ἑλλάδος ὁ Ἰωνικός, ὁ δὲ ἐπὶ τῆς μεγάλης Ἑλλάδος· τῆς Κοίλης θάτερος αὐτῶν Συρίας ἦν· ὁ δὲ ἀπ' Αἰγύπτου· ἄλλοι δὲ ἀνὰ τὴν ἀνατολήν· καὶ τούτων ὁ μέν τις τῆς Ἀσσυρίων, ὁ δὲ ἐν τῇ Παλαιστίνῃ Ἑβραῖος ἐνέκαθεν. Ὑστάτῳ δὲ περιτυχών, δυνάμει δὲ ἄρα πρῶτος ὤν, ἀνεπαυσάμην ἐν D Αἰγύπτῳ, θηράσας ληθότα. Ἀλλ' οἱ μὲν τὴν ἀληθείαν τῆς θείας σώζοντες διδασκαλίας, παράδοσιν εὐθὺς ἀπὸ Πέτρου καὶ Ἰακώβου, Ἰωάννου τε καὶ Παύλου, τῶν ἁγίων ἀποστόλων, παῖς πατρὸν ἐκδεξάμενος, ὀλίγοι δὲ οἱ πατράσιν ὁμοῖοι, ἦκον δὴ σὺν θεῷ καὶ εἰς ἡμᾶς, τὰ προγονικὰ ἐκεῖνα καὶ ἀποστολικὰ καταθέμενοι σπέρματα. » Τὸν δὲ Πάνταινον Κλήμης διαδεξάμενος, τῆς διατριβῆς καθηγεῖτο· ὡς κατ' ἐκεῖνο τοῦ καιροῦ καὶ τὸν Ὠριγένην παῖδα ὄντα παρ' αὐτῷ φοιτῆσαι. Τῶν δὲ Στρωματέων τὴν βίβλον ἱστορῶν, τὸ πρῶτον σύγγραμμα εἰς τὴν Κομόδου τελευτὴν περιγράφει, ὡς ἂν χρονικὴν ἱστορίαν συγγράφων. Ὅσα δὲ οἱ πάντες εἰσὶ Στρωμα-

CAPUT XXXIII.

De Clemente contextore, et operibus ejus: et quæ de divinis Scripturis ille dixerit.

Eodem temporum curriculo et Clemens presbyter, qui Στρωματεὺς seu Contextor cognominatus est, Alexandriæ eidem studio cum Pantæno incubuit, eumdemque cursum et vivendi instituto et docendi consuetudine tenuit. Patrem certe librorum suorum, in *Dispositionibus* quas vocat, suis, Pantænum memorat. Et in primo libro Στρωματέων, seu *Contextorum*, obscure hunc mihi designare videtur, cum præclaros apostolorum successores enumerat, sic scribens: « Libri porro qui a me scribuntur, non sunt ad ostentationem instituti, **332** sed monumenta memoriæ gratia ad senectutem composita, ut sint oblivionis remedium, simulacrumque evidens, et adumbratio dilucidæ et vividæ illius doctrinæ, quam dignatione Dei audivi et didici a beatis illis et præstantibus viris: quorum quidem alius in Græcia Ionicus fuit, alius autem in magna Græcia, alius rursum in Cœlesyria, alius vero in Ægypto, alii porro in Oriente; ibique alius in Assyria, alius in Palæstina Judæus a majoribus suis. In ultimum deinde incidi, qui reliquorum omnium vi atque virtute princeps fuit, in Ægypto, atque ibi, quæ antea latuerant repertis, alia inquirere desii. Illi siquidem veritatem divinæ doctrinæ conservarunt, et traditionem statim a Petro et Jacobo et Joanne et Paulo, sanctis illis apostolis, velut filii a patribus successione per manus acceperunt; pauci autem sunt patribus similes, eamdemque Deo ducente, ad nos quoque transmiserunt, apud nos itidem majorum suorum ipsorumque apostolorum semina deponentes. » Pantæno Clemens succedens scholam rexit, quam etiam eo tempore Origenes adhuc puer frequentavit. In volumine *Contextorum* primum librum us-

que ad Commodi obitum deducit, tanquam annales conscribens. *Contextorum* vero octo sunt libri : totidem, quos *Dispositionum*, seu informationum vocat, ubi magistri sui, sicuti dictum est, Pantæni mentionem facit, dictata quædam ejus et traditiones recensens. Scripsit quoque ad Græcos sive gentes librum exhortatorium, et tres alios libros, quos *Pædagogos* nominat. Alium item lectu dignum, et docte compositum, cujus titulus est : *Quis dives salvus fiat.* Præterea scriptum aliud, in quo de Paschate disserit. Item homilias de jejunio, de obtrectatione. Rursum Cohortationem ad patientiam. Alium quoque ad recens illuminatos. Insuper eum qui *Ecclesiasticus canon* ab eo est inscriptus, et quem contra judaizantes ad Alexandrum episcopum edidit. In *Contextorum* libris non solum pleraque ex divinis Litteris sternit atque contexit, verum etiam si quid apud Græcos est scitu dignum, affert ; et simul Græcorum atque Barbarorum dogmata, nec non falso nominatæ scientiæ hæresiarcharum et philosophorum opiniones **333** explicans, multijugam omnis generis doctrinæ exhibet institutionem. Quapropter ex varietate materiæ merito illi talem sortiti sunt inscriptionem. Utitur in eis testimoniis Ecclesiastici Sirach, nec non Barnabæ, et Clementis epistolæ. Mentionem etiam facit libri Tatiani ad Græcos, et Cassiani, qui et ipse annales temporumque rationes scripsit: sicuti etiam Philonis, et Aristobuli, et Josephi et Demetrii, et Eupolemi, Judaicorum scriptorum. Ex quibus astruit et probat, Mosen antiquissimis quibusque Græcorum vetustiorem esse. Omnes certe libri viri ejus eruditione et doctrina utili sunt referti. Indicat quoque in libro primo, se proxime ad apostolorum successionem accessisse, et simul Commentarios se in Genesim relicturum pollicetur. In libro *De Paschate* coactum se a quibusdam dicit, ut quas a senioribus presbyteris acceperat historias et traditiones, ibi exponeret : Helitonem nominans, Irneæum, et alios quosdam, quorum etiam sententias quasdam sibi dictas proponit. In libris vero *Dispositionum* totius Scripturæ testamentariorum sive canonicorum librorum, ut breviter dicam, compendiosam instituit enumerationem : non prætermittens etiam, quibus contradicitur, Scripturas ; ut Petri Apocalypsim, et Barnabæ epistolam. Epistolam sane ad Hebræos Pauli esse censet, Hebræis Hæbraico sermone scriptam : a Luca autem ambitiosa splendide versam lingua, Græcis esse expositam. Ac recte quidem illum dicit, qui mos ei in aliis fuerat, Pauli nomen epistolæ ei non præfixisse. Quod enim Judæi tum præsumptione quadam suspectum eum haberent, ne statim in ipsa præfatione illorum a lectione absterreret animos, prudenter fecisse, qui nomen suum prætermiserit. Quapropter eumdem esse inquit orationis ductum in Epistola ad Hebræos, et in apostolorum Actis. Alibi quoque scribit : « Porro sicuti beatus dixit presbyter, quando

A τεῖς. Ἰσάριθμοι δὲ τούτοις καὶ οὓς Ὑποτυπώσεις καλεῖ λόγους αὐτοῦ. Ἔνθα δὴ ὡς εἴρηται καὶ τοῦ διδασκάλου Πανταίνου μνείαν ποιεῖται, ἐκδοχάς τε αὐτοῦ καὶ παραδόσεις παρατιθέμενος. Καὶ πρὸς Ἕλληνας δὲ αὐτῷ λόγος ἐγράφη προτρεπτικός· καὶ τρεῖς ἕτεροι, οὓς Παιδαγωγοὺς ὀνομάζει. Ἕτερος δὲ αὐτῷ σπουδῆς ἄξιος, Τίς ὁ σωζόμενος πλούσιος, ἐπιγραφὴν ἔχων· καὶ σύγγραμμά τε περὶ τοῦ Πάσχα διεξιόν· ὁμιλίαι τε περὶ νηστείας· ἔτι δὲ καὶ ὁ περὶ καταλαλιᾶς· καὶ ὃς ὑπομονὴν προτρέπεται· ἢ πρὸς τοὺς νεωστὶ φωτισθέντας· πρὸς τούτοις, ὃς Κανὼν ἐκκλησιαστικὸς ἐπιγέγραπται· καὶ ὁ πρὸς Ἰουδαΐζοντας, ὃν Ἀλεξάνδρῳ τῷ ἐπισκόπῳ προσφωνεῖ. Ἐν μὲν οὖν τοῖς Στρωματεῦσιν οὐ μόνον τὰ τῆς θείας Γραφῆς καταστρωννυσιν, ἀλλὰ καὶ εἴ τι
B τοῖς Ἕλλησι περισπούδαστον, διεκτίθησι. Καὶ τοίνυν τῶν παρ' Ἕλλησι καὶ βαρβάροις δογμάτων, καὶ τῶν ἐκ τῆς ψευδωνύμου γνώσεως αἱρεσιαρχῶν καὶ φιλοσόφων ἀναπτύσσων, πολλὴν τινα παιδείας ὑπόθεισιν παρέχει· εἰκότως δ' ἐκ τῆς ὑποθέσεως καὶ τῆς τοιαύτης ἔτυχον προγραφῆς. Μαρτυρίαις δὲ χρῆται ἐν τούτοις ἔκ τε τοῦ Σιρὰχ, καὶ τῆς Βαρνάβα καὶ Κλήμεντος ἐπιστολῆς. Μέμνηται δ' ἐν τούτοις τοῦ πρὸς Ἕλληνας Τατιανοῦ λόγου, καὶ Κασσιανοῦ, ὡς χρόνων καὶ αὐτοῦ ἱστορίας καταλέγοντος· πρὸς δὲ Φίλωνος καὶ Ἀριστοβούλου, Ἰωσήπου τε καὶ Δημητρίου καὶ Εὐπολέμου, Ἰουδαίων συγγραφέων· ἐξ ὧν παρίστησι Μωσέα πρεσβύτερον τῆς παρ' Ἕλλησιν ἀρχαιολογίας. Πολλῆς δὲ χρηστομαθείας εἰσὶν οἱ τοῦ ἀνδρὸς λόγοι ἔμπλεῳ, Δηλοῖ γε
C μὴν ἐν τῷ πρώτῳ ὡς ἔγγιστα τῆς ἀποστολικῆς ἦν διαδοχῆς. Ὑπισχνεῖται δὲ καὶ εἰς τὴν Γένεσιν καταλιπεῖν ὑπομνήματα. Ἐκδιασθῆναι δέ φησι καὶ ἐν τῷ τοῦ Πάσχα λόγῳ παρά τινων, ἃς ἔτυχεν εἰδὼς παρὰ τῶν πρεσβυτέρων ἱστορίας καὶ παραδόσεις ἐκθέσθαι. Ἐν αὐτῷ μνείαν ποιεῖται Μελίτωνος καὶ Εἰρηναίου, καί τινων ἑτέρων ὧν καὶ τὰ εἰρημένα αὐτῷ παρατίθεται. Ἡ δὲ τῶν Ὑποτυπώσεων πρόθεσις τῆς ἐνδιαθήκου πάσης Γραφῆς, ὡς ἐν συντόμῳ εἰπεῖν, εὐσύνοπτον ποιεῖται διήγησιν, μὴ παρατρέχων καὶ τὰς ἀντιλεγομένας τῶν Γραφῶν· οἷον τὴν Πέτρου Ἀποκάλυψιν, καὶ τὴν Βαρνάβα ἐπιστολήν. Καὶ τὴν πρὸς Ἑβραίους δὲ Παύλου μὲν εἶναί φησι, τοῖς δ'
D Ἑβραίοις Ἑβραΐδι γεγράφθαι φωνῇ· φιλοτίμῳ δὲ γλώττῃ τὸν Λουκᾶν μεταγλωττίσαντα, ἐκθεῖναι τοῖς Ἕλλησι. Καὶ εἰκότως δὲ λέγει, μηδὲ ὡς ἔθος τὴν Παῦλος κλῆσιν προθεῖναι· κατ' ἐκείνου γὰρ τοῖς Ἰουδαίοις πρόληψιν ἔχουσιν, ὡς ὑποπτος ὤν, ἵνα μὴ ἐκ προοιμίων ἀποτρέψοι αὐτούς, συνετῶς ποιῶν, παρῆκε τὴν κλῆσιν. Διό φησι καὶ τὸν ἴσον χρῶτα εἶναι τοῦ λόγου τῆς τε πρὸς Ἑβραίους Ἐπιστολῆς καὶ τῶν Πράξεων. Καὶ ἄλλως δέ φησιν, « Ἤδη δὲ ὡς ὁ μακάριος ἔλεγε πρεσβύτερος, ἐπεὶ ὁ Κύριος, ἀπόστολος ὢν τοῦ παντοκράτορος, ἀπεστάλη πρὸς Ἑβραίους, διὰ μετριότητα ὁ Παῦλος ὡς ἂν εἰς τὰ ἔθνη ἀπεσταλμένος, οὐκ ἐγγράφει ἑαυτὸν Ἑβραίων ἀπόστολον διά τε τὴν πρὸς τὸν Κύριον τιμὴν, διά τε τὸ ἐκ περιουσίας καὶ τοῖς Ἑβραίοις ἐπιστέλλειν ἐθνῶν κήρυκα καὶ ἀπόστολον ὄντα. » Περὶ δὲ τῆς

CAPUT XXXV.

De aliis multis ecclesiasticis scriptoribus, scilicet, Juda, Heraclito, Maximo, Candido, Appione, Sexto, Arabiano, et aliis.

Multorum præterea ecclesiasticorum virorum commentarii, qui vetustate facile primas obtinuerunt, egregium de fide et vita Christiana specimen et studium complectentes, sunt celebrati, cum aliorum quorumdam, tum ejus qui eo tempore cum reliquis enituit, Judæ historici, qui in hebdomadas Danielis plurimum operæ collocavit, et optimum de eis opus a se compositum reliquit. Siquidem veluti historiam instituens, scripturam eam usque ad decimum Severi annum producit. In eo libro aperte præ se fert, in ea se fuisse sententia, ut decantatum Antichristi adventum, temporibus eis in exspectatione esse, et appropinquare crederet. Auxit vero eam opinionem, multorumque mentes ut rem tantam exspectarent conturbavit, acerrima quæ tum mota est persecutio. Non pauca etiam Heraclitus vir divinus composuit, qui primus enarrationes sibi in Apostolum scribendas duxit. Maximus autem super quæstione illa, quæ hæreticis in ore est, *Unde sit malitia et vitiositas*, et item *de eo quod materia creata sit*, solutiones atque decisiones irrefragabiles edidit. Sed et Candidus, cum plurima alia elaboravit, tum in Hexaemeron commentarios primus scripsit : in quo argumento itidem Appion magno studio est versatus. Sextus quoque resurrectionem scriptis suis cum magna laude comprobavit : et Arabianus insuper in aliis quibusdam sacris argumentis multum laboris et operæ posuit. Multorum præterea aliorum scriptorum plurima et maxima litterarum monumenta sunt vulgata, quorum neque tempora, neque argumenta sigillatim (nam id instituto præsenti, historiæque nostræ non admodum convenit) commemoranda duximus. **336** Atque ii quidem ante Originem scriptores ecclesiastici, cum sacram historiam doctrinamque ordine per successionem continuarunt, tum in eos qui nugis ac deliramentis depravare rectam fidei doctrinam in animum induxerant, cominus atque in faciem illis congressi, quasi divina tela conjecerunt : ita rerum omnium Deo id providentia sua disponente, ut post apostolos eorumdemque successores, rursum martyrum sanguine et doctrina, nec non sanctioris vitæ splendore, res Christianæ confirmarentur : et ad summum, ut immotæ et inexpugnabiles essent, stabilirentur. De iis satis.

CAPUT XXXVI.

De dissensione, quæ tum de Paschate est exorta. De synodis propterea coactis, et ut omnes ad concordiam sint redacti.

Enimvero circa finem imperii Commodi inter Orientales et Occidentales ecclesias non parva incidit quæstio. Ecclesiæ namque Asianæ ex traditione vetusta, quæ ad eas usque ad id tempus transmissa erat, quartum decimum diem lunæ observandum esse necessario duxerunt, quando et Judæi ex præscripto legis agnum mactare, et Pascha suum manducare soliti sunt : perinde atque

ΚΕΦΑΛ. ΛΕ'.

Περὶ ἄλλων πλείστων ἐκκλησιαστικῶν συγγραφέων · Ἰούδα, Ἡρακλείτου, Μαξίμου, Κανδίδου, Ἀπίωνος, Σέξτου, Ἀραβιανοῦ, καὶ ἑτέρων.

Πολλῶν δὲ καὶ ἄλλων ὑπομνήματα ἐκκλησιαστικῶν ἀνδρῶν τῷ χρόνῳ τὸ πρεσβεῖον κληρωσαμένων διατεθρύλληται, σπουδὴν ἐναρέτου πολιτείας ἐμπεριελείοντα · οἷον ὁσαπερ ἄλλοι καὶ ὁ συναχμάζων τηνικάδε Ἰούδας ὁ συγγραφεὺς καταλέλοιπεν · ὃς καὶ εἰς τὰς παρὰ τῷ Δανιὴλ ἑβδομάδας πολλὴν εἰσενεγκὼν τὴν σπουδὴν, ἔγγραφον ἀφῆκεν ἀρίστην ὑπομνησιν. Ἱστορίαν γὰρ ὡς ἂν ἐκτιθεὶς, εἰς τὸ δωδέκατον ἔτος Σευήρου τὴν γραφὴν ἴτησεν · ἐν ᾧ δῆλός ἐστιν οἰόμενος τὴν πολυθρύλλητον παρουσίαν τοῦ Ἀντιχρίστου ἐπὶ τοῖς τότε χρόνοις ἐγγίζειν. Ἀναρίθιζε δὲ τοῦτο καὶ τὰς τῶν πολλῶν διανοίας ἐκύμαινε τοιῦτα καροδοκεῖν ὁ τηνικάδε κινηθεὶς ὀφοδρότατος διωγμός. Ἔτι δὲ καὶ ὅσα καὶ Ἡράκλειτος θεῖος ἀνὴρ συνετίθει, ὃς καὶ εἰς τὸν Ἀπόστολον πρῶτος σπουδάζειν ἐπέβαλλε. Μάξιμος δὲ τῷ ᾀδομένῳ ζητήματι τοῖς αἱρεσιώταις, Πόθεν ἡ κακία, καὶ Περὶ τοῦ γεννητὴν ὑπάρχειν τὴν ὕλην, λύσεις ἀναντιῤῥήτους παρέσχε. Καὶ Κανδίδος δὲ πλεῖστὰ πονήσας, εἰς τὴν Ἑξαήμερον λόγους πρῶνος ἐκτίθησιν. Ὡσαύτως δὲ καὶ Ἀπιων ἐπὶ τῇ αὐτῇ πραγματείᾳ μάλα ἐσπόδασεν. Ἀλλὰ καὶ Σέξτος τηνικαῦτα τὰ περὶ ἀναστάσεως συνεκρότει · καὶ Ἀραβιανὸς ἐν ἄλλαις τῶν ἱερῶν ὑποθέσεων πλείστην εἰσῆγε σπουδήν. Πολλῶν δὲ καὶ ἀλλων συγγραφέων πλεῖστα καὶ μέλιστα ἐξενηνεγμένων σπουδάσματα ἐξετίθετο, ὧν διὰ τὸ μὴ συμβάλλεσθαι τῇ παρούσῃ πραγματείᾳ, οὔτε τοὺς χρόνους, οὔτε τὰς αὐτῶν ἱστορίας μερικῶς ἀναγράφομεν. Τοσοῦτοι μὲν οἱ πρὸ τοῦ Ὠριγένους ἐκκλησιαστικοὶ συγγραφεῖς, ἱστορίαν τε ἐκ διαδοχῆς καταλέοντες ἱερὰν, καὶ ἄλλως τοῖς ἱρεσχελεῖν ἠρημένοις οἷά τινα θεϊκὰ βέλη κατὰ στόμα προσαπαντῶντες ἐφέροντο · οὕτω τοῦ πάντων προνοουμένου Θεοῦ, μετὰ τοὺς ἀ ποστόλους καὶ τοὺς ἐξ ἐκείνων αὖθις. αἵμασι παρτύρων καὶ λόγῳ, βίου τε λαμπρότητι, τὰ καθ' ὡμᾶς διανθύνοντος καὶ στηρίζοντος ἐς ἀκράδαντον. Καὶ τὰ μὲν περὶ τούτων οὕτως.

ΚΕΦΑΛ. ΑϚ'.

Περὶ τὴν τότε γενομένης διαφωνίας περὶ τοῦ Πάσχα · καὶ περὶ τῶν γενομένων συνόδων · καὶ ὡς ἅπαντες ὡμοφώνησαν.

Περὶ δὲ τὰ τέλη τῆς Κομόδου ἀρχῆς ζήτησις οὐ μικρὰ τοῖς ἀνὰ τὴν ἕω καὶ ἑσπέραν ἱερεῦσιν ἐγένετο. Αἱ μὲν γὰρ κατὰ τὴν Ἀσίας ἐκκλησίαι ὡς ἐκ παραδόσεως ἀρχαίας μέχρι δὴ καὶ εἰς αὐτοὺς ἐλθούσης τὴν ιδ' τῆς σελήνης δεῖν ἡγοῦντο παρατηρεῖν · ὁπηνίκα καὶ Ἰουδαίοις θύειν ἔδει τὸ πρόβατον, καὶ τὸ Πάσχα τὸ οἰκεῖον ἐσθίειν · ὡς ἐκ παντὸς ἀναγκαῖον ὄν, ὁποίᾳ δ' ἂν περιτύχοι τῆς ἑβδομάδος

τῶν ἡμερῶν, κατ' αὐτὴν γ' ἐκείνην καὶ τὰς ἐξ ἔθους ἐκλύεσθαι ἀσιτίας, καὶ συνόλως φάναι, σύναμα Ἰουδαίοις καὶ αὐτὰς τὸ τοῦ ἡμετέρου Πάσχα μυστήριον ἐκπληροῦν· αἱ δ' ἀνὰ πᾶσαν τὴν ἄλλην ἓω καὶ ἑσπέραν ἐκκλησίαι μὴ ἐξὸν εἶναι διισχυρίζοντο οὕτω πράσσειν· ἀποστολικαῖς δὲ παραδόσεσιν ἄνωθεν ἑπομένους, τὸ εἰς δεῦρο κρατῆσαν ἔθος παραφυλάττεσθαι· μηδὲ γὰρ ἂν ἑτέρᾳ προσήκειν τῶν ἡμερῶν τὸ Πάσχα ποιεῖν, τὴν νηστείαν ἀπωθουμένους, ἀλλ' ᾗ κατ' αὐτήν γε τὴν κυριώνυμον ἡμέραν τῆς ἀναστάσεως. Ἐντεῦθεν τοίνυν ἀμφιβολίας πλείστης ὅσης ἐπικρατούσης ταῖς ἐκκλησίαις, ὡς καὶ εἰς ἀντίπαλον διακριθῆναι μοῖραν, ἑκάστων τὴν ἐξ ἀρχαίου παράδοσιν πειρωμένων κρατύνειν, σύνοδοι ἐπισκόπων κατὰ διαφόρους τόπους συνεκροτοῦντο. Πάντες δ' εἰς ταυτὸ τῆς γνώμης ἐλθόντες, ἐς ὕστερον καὶ ἔγγραφον δόγμα ταῖς ἁπανταχοῦ ἐκκλησίαις διετυποῦντο, ὡς ἂν μὴ τοῦ λοιποῦ ἐν ἄλλῃ τῶν ἡμερῶν, ὀλλ' ἐν αὐτῇ τῇ Κυριακῇ τὸ φρικτὸν τῆς ἀναστάσεως καὶ τοῦ Πάσχα τελοῖτο μυστήριον, ὡς τῆς νηστείας τηνικάδε διαλύεσθαι ὀφειλούσης. Καὶ γραφαὶ δὲ τῶν τηνικάδε κατὰ τόπους γεγενημένων συνόδων ἐμφέρονται· ὧν ἡ μὲν ἐπὶ Ῥώμης Βίκτωρα ἡγούμενον ἱστορεῖ· τῆς δ' ἐν Ἱεροσολύμοις Νάρκισσον· καὶ τῆς ἐν Παλαιστίνῃ Καισαρείας. Θεόφιλον· καὶ Κάσσιον τῆς Τυρίων παροικίας· καὶ τῶν ἐν Πτολεμαΐδι Κλάρον. Τῆς δὲ κατὰ Πόντον γεγενημένης Παλμᾶς τὸν ἀρχαιότατον προκαθῆσθαι λέγει. Τῶν δὲ κατὰ Γαλλίαν τε καὶ ἔτι Ὀσροηνὴν τὸν Εἰρηναῖον ἱστορεῖ προτάττεσθαι· ἰδία δὲ Βάκχυλον, ὃν Κορινθίων ἐπίσκοπον ἱστορήσαμεν· καὶ πλείστων ἄλλων οἱ μιᾷ ψήφῳ κατὰ τὴν κυριώνυμον τὸ Πάσχα ἐπιτελεῖν ἐγγράφως ὡρίσαντο. Οἵ γε μὴν κατὰ Παλαιστίνην Νάρκισσός τε καὶ Κάσσιος ὁ Τύρου, καὶ ὁ Πτολεμαΐδος Κλάρος, καὶ ὅσοι δὴ ἄλλοι ἐς τὰυτὸ συνῆλθον, μυρία ἅττα πρότερον διελθόντες περὶ τῆς ἐξ ἀρχῆς τῶν ἀποστόλων παραδόσεως τοῦ Πάσχα, καὶ ἐς αὐτοὺς ἐλθούσης, κατὰ τὸ τέλος τῆς συνοδικῆς γραφῆς καὶ ταῦτα δὴ προστιθέασι· « Τῆς δὲ ἐπιστολῆς ἡμῶν πειράθητε κατὰ πᾶσαν ἐκκλησίαν ἀντίγραφα διαπέμψασθαι, ὅπως μὴ ἔνοχοι ὦμεν τοῖς ῥᾳδίως πλανῶσιν ἑαυτῶν τὰς ψυχάς. Δηλοῦμεν δὲ ὑμῖν, ὅτι τῇ αὐτῇ ἡμέρᾳ καὶ ἐν Ἀλεξανδρείᾳ ἄγουσιν ἥπερ καὶ ἡμεῖς. Παρ' ἡμῶν γὰρ τὰ γράμματα κομίζεται αὐτοῖς, καὶ ὑμῖν παρ' αὐτῶν, ὥστε συμφώνως καὶ ὁμοῦ ἄγειν ὑμᾶς τὴν ἁγίαν ἡμέραν ».

necessitas prorsus quædam imposita eis esset, in quemcunque diem hebdomadis incidisset, eo ipso die stata consuetaque solverentur jejunia, et (ut semel dicam) una cum Judæis, apud ipsas quoque sacrum nostri Paschatis mysterium celebraretur. Reliquæ vero per Orientem, et item per Occidentem ecclesiæ non licere id ita facere asseverabant: sed potius obtinente tum, quam antiquitus ex apostolorum traditionibus continuatam accepissent, consuetudine standum esse. Non enim decere alio quam resurrectionis Dominico die, jejunio rejecto (1), Pascha celebrare. Hoc vero modo controversia et dissodio multo maximo in ecclesiis usque adeo exorto, ut inter se sibi, adversariorum partes, utrinque antiquitus traditam consuetudinem obtinere debere contendentibus, sumerent, conventus episcoporum variis in locis sunt acti. Ubi cum in eamdem concessissent sententiam, postea omnibus ubique ecclesiis decretum sive edictum scriptum promulgaru ut et proposuerunt, ut de cætero non alio quam Dominico die tremendum resurrectionis et Paschatis mysterium, jejunio tum solvendo, celebraretur. **337** Circumferuntnr etiam numcelebratarum eo tempore synodorum litteræ, quæ variarum hinc et inde ecclesiarum episcopos designant: Romanæ scilicet Victorem, Hierolymitanæ Narcissum, Cæsareæ Palæstinæ Theophilum, Tyriorum Cassium, Ptolemaidis Clarum. Eædem litteræ Ponti ecclesiis tum præfuisse indicant antiquissimum Palmam: Galliæ autem atque etiam Osroenæ ecclesiarum Irenæum: Corinthi autem Bacchylum: et provinciarum aliarum alios, qui uno suffragio et sententia omnes Dominico die Pascha celebrandum sanxerunt. Narcissus sane, et Cassius, Palæstini, et Clarus a Ptolemaide, et qui præterea in eamdem convenere synodum, cum primum quamplurima de traditione, quam initio ab apostolis sumptam usque ad tempora sua conservarant, exposuissent, circa finem synodalis decreti hæc quoque addidere: « Epistolæ hujus nostræ facite ut ad ecclesias omnes exempla mittantur: ne scilicet rei atque participes simus eorum, qui facile animas suas decipiunt atque seducunt. Certiores autem vos facimus, eodem prorsus die Alexandriæ, quo apud vos, Pascha celebrari: litteras namque ea de re ad illos dedimus, atque illi itidem ad nos scripsere, ita ut uno consensu simul sanctum hunc peragamus diem. »

ΚΕΦΑΛ. ΑΖ'.

Περὶ τῆς ἐν Ἀσίᾳ διαφωνίας τοῦ Πάσχα· καὶ ὅσα ὁ Ἐφέσου Πολυκράτης Βίκτωρι τῷ προέδρῳ τῆς Ῥώμης ἔγραψεν.

Πᾶσι μὲν οὖν εἷς ὅρος ὁ ῥηθεὶς ἐξενήνεκται· οἱ δ' ἐν Ἀσίᾳ καὶ ἔτι διισχυρίζοντο, καὶ χρῆναι μέχρι τέλους ταῖς ἀποστολικαῖς ἀντέχειν παραδόσεσι δεῖν ὤοντο. Τῆς δ' ὑπ' ἐκείνοις δόξης προασπίζων μάλιστα Πολυκράτης ἦν, ὁ τῆς Ἐφεσίων πόλεως

CAPUT XXXVII.

De dissensione Asianorum propter Pascha: et quæ ea de re Polycrates Ephesius episcopus Victori Romano episcopo scripserit.

Ad omnes igitur unum hoc præscriptum et regula est divulgata. Asiani autem sententiam adhuc suam retinebant, et se ad finem usque traditiones apostolicas defendere oportere opinabantur. Sententiæ eorum primarius potissimum propugnator

(1) Tum enim jejunare Christiani desinunt.

erat Polycrates, ecclesiæ Ephesiorum antistes. Hic, magnus et apostolicus vir habitus, traditionem et auctoritatem apostolicam ad tempora sua durantem Victori episcopo et ecclesiæ urbis Romanæ declarans, ad hunc modum scripsit : « Nos profecto diem hunc intemeratum atque inviolatum, neque addentes, neque auferentes quidquam, peragimus. In Asia namque ingentia primordia dormiunt ac conquiescunt, quæ quidem resurgent in adventus **338** Domini nostri die : quo die cum gloria e cœlis veniet, et exsuscitabit omnes sanctos : Philippus videlicet ex duodecim apostolis unus, qui Hierapoli obdormivit : duæque filiæ ejus, ad decrepitam usque ætatem virgines : et alia præterea filia ejus, in Spiritu sancto cursu vitæ absoluto, Ephesi quiescit. Itidem et Joannes, qui supra pectus Domini recubuit, quique sacerdos creatus pontificium insigne, petalum scilicet, sive laminam, martyr simul et doctor gestavit, Ephesi obiit. Præterea Polycarpus Smyrenensis episcopus et martyr ; item Thraseas Eumeniæ episcopus, idemque martyr, qui Smyrnæ mortuus est. Quid Sangarim episcopum e martyrem dicam, qui Laodiceæ mortuus est ? Præterea beatus Papyrius, et Melito eunuchus, qui per Spiritum sanctum vita peracta Sardibus humatus est, visitationem e cœlis exspectans, in qua a mortuis resurget. Isti omnes retinuerunt et servarunt decimum quartum diem Paschatis, juxta Evangelium, nihil transgredientes, sed præscripto canoni fidei insistentes. Ego quidem vestrum atque adeo omnium minimus Polycrates, juxta cognatorum meorum, ex quibus quosdam sum consectatus (septem namque cognati mei episcopi fuere, ego octavus sum) traditionem ambulo. Et cognati mei semper diem hunc, (1) quando Judæorum populus azyma condiit, celebrarunt. Ego, inquam, fratres, sexaginta et quinque annos natus in Domino, qui cum totius orbis fratribus hac de re contuli, et Scripturam sanctam omnem perlegi, nihil moveor aut perturbor minacibus denuntiationibus et terroribus. Nam qui me longe majores fuere, plus obediendum esse Deo quam hominibus edixere. » In fine porro episcoporum omnium qui sententiæ suæ consentientes affuerunt, meminit, sic scribens : « Possem quidem episcoporum, qui mihi adsunt, edere nomina, quos ita ut voluistis, accersens evocavi : sed eorum nomina si adscriberem, multitudo eorum in immensum excresceret. Illi autem, tenuitatis meæ probe conscii, epistolam sententia sua comprobarunt : non ignorantes me non frustra canos circumferre : tum autem vitam me semper in Jesu Christo egisse sciunt.

τοὺς οἴακας ἐγκεχειρισμένος. Ὃς δῆτα, πολύς τις καὶ ἀποστολικὸς εἶναι δοκῶν, τὴν ἀποστολικὴν παράδοσιν καὶ αὐθεντίαν ἄχρι δὴ καὶ ἐς αὐτὸν ἐλθοῦσαν Βίκτωρι καὶ τῇ κατὰ Ῥώμην Ἐκκλησίᾳ παραδηλῶν, ἔγραφε τοιάδε · « Ἡμεῖς οὖν ἀῤῥαδιούργητον ἄγομεν τὴν ἡμέραν, μήτε προστιθέντες, μήτε ἀφαιρούμενοι. Καὶ γὰρ κατὰ τὴν Ἀσίαν μεγάλα στοιχεῖα κεκοίμηται, ἅτινα ἀναστήσεται τῇ ἡμέρᾳ τῆς παρουσίας τοῦ Κυρίου, ἐν ᾗ ἔρχεται μετὰ δόξης ἐξ οὐρανῶν, καὶ ἀναστήσει πάντας τοὺς ἁγίους · Φίλιππον τὸν τῶν δώδεκα ἀποστόλων ἕνα, ὃς κεκοίμηται ἐν Ἱεραπόλει · καὶ δύο θυγατέρες αὐτοῦ γεγηρακυῖαι παρθένοι · καὶ ἡ ἑτέρα αὐτοῦ θυγάτηρ, ἐν ἁγίῳ Πνεύματι πολιτευσαμένη, ἐν Ἐφέσῳ ἀναπαύεται. Ἔτι δὲ καὶ Ἰωάννης ὁ ἐπὶ τὸ στῆθος τοῦ Κυρίου ἀναπεσών · ὃς ἐγενήθη ἱερεὺς, τὸ πέταλον πεφορεκὼς, καὶ μάρτυς καὶ διδάσκαλος. Ἔτι δὲ καὶ Πολύκαρπος ὁ ἐν Σμύρνῃ καὶ ἐπίσκοπος καὶ μάρτυς · καὶ Θρασέας, καὶ ἐπίσκοπος, καὶ μάρτυς ὁ ἀπὸ Εὐμενείας, ὃς ἐν Σμύρνῃ κεκοίμηται. Τί δὲ δεῖ λέγειν Σάγγαριν ἐπίσκοπον καὶ μάρτυρα, ὃς ἐν Λαοδικείᾳ κεκοίμηται ; ἔτι δὲ καὶ Παπύριον τὸν μακάριον, καὶ Μελίτωνα τὸν εὐνοῦχον, ἐν ἁγίῳ Πνεύματι πάντα πολιτευσάμενον, ὃς κεῖται ἐν Σάρδεσι περιμένων τὴν ἀπὸ τῶν οὐρανῶν ἐπισκοπὴν, ἐν ᾗ ἐκ νεκρῶν ἀναστήσεται ; Οὗτοι πάντες ἐτήρησαν τὴν ἡμέραν τῆς τεσσαρεσκαιδεκάτης τοῦ Πάσχα κατὰ τὸ Εὐαγγέλιον μηδὲν παρεκβαίνοντες, ἀλλὰ κατὰ τὸν κανόνα τῆς πίστεως ἀκολουθοῦντες, Ἔτι δὲ κἀγὼ ὁ μικρότερος ὑμῶν καὶ πάντων Πολυκράτης, κατὰ παράδοσιν τῶν συγγενῶν μου, οἷς καὶ παρηκολούθησα τισὶν αὐτῶν (ἑπτὰ μὲν ἦσαν συγγενεῖς μου ἐπίσκοποι, ἐγὼ δὲ ὄγδοος, καὶ πάντοτε τὴν ἡμέραν ἤγαγον οἱ συγγενεῖς μου, ὅτε τῶν Ἰουδαίων ὁ λαὸς ἤρτυε τὴν ζύμην) · ἐγὼ γοῦν, ἀδελφοὶ, ξε' ἔτη ἔχων ἐν Κυρίῳ, καὶ συμβεβληκὼς τοῖς ἀπὸ τῆς οἰκουμένης ἀδελφοῖς, καὶ πᾶσαν ἁγίαν Γραφὴν διεληλυθὼς, οὐ πτύρομαι ἐπὶ τοῖς καταπλησσομένοις · οἱ γὰρ ἐμοῦ μείζονες εἰρήκασι, Πειθαρχεῖν δεῖ Θεῷ μᾶλλον ἢ ἀνθρώποις. » Ἐπὶ δὲ τῷ τέλει καὶ πάντων μέμνηται τῶν συμπαρόντων καὶ ὁμοδοξούντων αὐτῷ ἐπισκόπων, ταῦτα λέγων · « Ἠδυνάμην δὲ τῶν ἐπισκόπων τῶν συμπαρόντων μνημονεῦσαι, οὓς ὑμεῖς, ἠξιώσατε μετακληθῆναι ὑπ' ἐμοῦ · καὶ μετεκαλεσάμην · ὧν τὰ ὀνόματα εἰς γράφω, πολλὰ πλήθη εἰσίν. Οἱ δὲ εἰδότες τὸν μικρόν μου ἄνθρωπον συνηυδόκησαν τῇ ἐπιστολῇ, εἰδότες ὅτι εἰκῇ πολιὰς οὐκ ἤνεγκα, ἀλλ' ἐν Χριστῷ Ἰησοῦ πάντοτε πεπολίτευμαι.

(1) Euseb. lib. v, cap. 24. Ὅταν ὁ λαὸς ἤρτυε τὴν ζύμην. Niceph. addit, Ὁ λαὸς τῶν' Ἰουδαίων. Legendum tamen ἄζυμα, pro τὴν ζύμην puto. Et apud utrumque auctorem notarios τὴν ζύμην pro ἄζυμα scripsisse credo, ad Græcorum sententiam astruendam, qui in Eucharistia pane fermentato utuntur.

ΚΕΦΑΛ. ΛΗ'.

Ὡς Βίκτωρ κινηθεὶς, τὰς ἐν Ἀσίᾳ πόλεις, διὰ τὸ Πάσχα, ἀποδιαιρεῖν τῆς ἐκκλησιαστικῆς ἑνώσεως ἐπειρᾶτο.

Βίκτωρ μὲν οὖν τῶν τοιῶνδε γραμμάτων εἰς χεῖρας ἐλθόντων ἐξ αὐτῆς τὰς τῆς Ἀσίας Ἐκκλησίας, καὶ τὰς ὁμόρους αὐταῖς παροικίας ὡς ἑτεροδόξου προϊσταμένας δόγματος, ἀποδιαιρεῖν ἐπειρᾶτο, καὶ τῆς καθολικῆς ἑνώσεως εἴργειν. Ἔνθεν τοι καὶ γράμματα ἐσχεδίαζε, στηλιτεύων ἐκείνους καὶ ἀκοινωνησίᾳ περιβάλλων τοὺς ἐκεῖσε πάντας ἀθρόους. Καὶ ὁ μὲν οὕτως εἶχεν ὁρμῆς· οὐ μὴν γε καὶ τοῖς περὶ αὐτὸν ἐπισκόποις ταὐτ' ἤρεσκεν· ἀλλά γε φίλα τε καὶ εἰρηνικὰ φρονεῖν εἰσηγοῦντο τοῖς ταυτὸ τῆς πίστεως δόγμα κεκρύπτουσι· καὶ μὴ οὕτως ἀπραγματεύτως τὴν τῶν πλησίον παραιτεῖσθαι ὠφέλειαν· ἠρέμα δὲ καὶ λόγῳ καὶ χρόνῳ τοῦτ' ἐξανύτειν. Καὶ πληκτικώτερον δέ προσιφέροντο τῆς προτέρας ἐχομένῳ δοξῆς· μεθ' ὧν καὶ Εἰρηναῖος ἦν· ὡς ἀπὸ τῶν ὧν ἐξῆρχεν ἐν Γαλλίαις παροικιῶν Βίκτωρι γράφων φαίνεται. Παρίσταται μὲν δὴ καὶ οὗτος, ὡς δεῖν εἶναι κατὰ τὴν κυριώνυμον τὸ Πάσχα ἐπιτελεῖν· ἥκιστα δ' ἐνδίδωσι Βίκτωρι τόσον πλῆθος ἐκκλησιῶν τῆς ἐκκλησιαστικῆς ἑνώσεως διαιρεῖν, καὶ ταῦτ' ἀρχαίου καὶ ἀποστολικοῦ ἔθους παραφυλαττούσας παράδοσιν. Πολλὰ οὖν ὡς εἰκὸς ὁ Εἰρηναῖος περὶ εἰρήνης Βίκτωρι παραινῶν, ἐπιλέγει καὶ ταῦτα· καλὸν γὰρ καὶ αὐτὰς ἐκείνου παραθεῖναι τὰς συλλαβὰς, περὶ ἀναγκαίων οὔσας τῇ Ἐκκλησίᾳ, ὥσπερ δὴ κἀν τοῖς Πολυκράτους ἐποίησα.

CAPUT XXXVIII.

Ut Victor permotus fuerit, civitates Asiaticas, propter festum Paschæ, ab unitate ecclesiastica segregare.

Victor vero litteris ejuscemodi acceptis, extemplo Asiæ, eique finitimas ecclesias, veluti alienum atque diversum dogma propugnantes, rejicere, et ab unitate catholica arcere, in animo habebat. Quam ob causam et subito litteras conscripsit, quibus illos publice notabat, omnesque simul a communione prohibebat. Atque ille quidem ejuscemodi sumpserat consilium. Verum id aliis, qui cum eo erant, episcopis minus placuit. Itaque illum sunt adhortati, ut benignius per consilia pacata de eis qui fidei prædicarent dogma, statueret: neque tam facile, re intentata, proximorum abjiceret et post- B haberet utilitatem: sensim id et doctrina et tempore aliquando corrigi ac perfici posse. Et acrius severiusque cum illo, qui priori sententiæ adhæreret, egerunt: inter quos et Irenæus erat, ut quidam ex eo scripto, quod Gallicarum ecclesiarum, quas regebat, nomine ad Victorem dedit, apparet. Astruit quippe et ipse, debere quidem omnino Dominico die Pascha peragi: nequaquam tamen Victori permittit, ut tantam ecclesiarum multitudinem ab ecclesiastica unitate segreget, idque, cum vetustæ et apostolicæ consuetudinis observent traditionem. Multa sane præclare, et ut par fuit, Irenæus de pace et unitate ad Victorem scribens, hæc quoque refert. Operæ pretium enim est, sicuti modo de Polycrate fecimus, verba ejus perutilia et necessaria ecclesiæ futura adducere.

ΚΕΦΑΛ. ΛΘ'.

Ὡς ὁ εἰρηνικώτατος Εἰρηναῖος τὸ ἀστασιαστον ταῖς ἐκκλησίαις παρέσχε, τὰ τῶν διαδοχων τῶν ἀποστόλων διηγησάμενος.

Γράφει οὖν· « Οὐ γὰρ μόνον περὶ τῆς ἡμέρας ἡ ἀμφισβήτησις, ἀλλὰ καὶ περὶ τοῦ εἴδους αὐτοῦ τῆς νηστείας. Οἱ μὲν γὰρ οἴονται μίαν ἡμέραν δεῖν αὐτοὺς νηστεύειν, οἱ δὲ δύο· οἱ δὲ καὶ πλείονας· οἱ δὲ μ' ὥρας ἡμερινάς τε καὶ νυκτερινὰς συμμετροῦσι τὰς ἡμέρας αὐτῶν. Καὶ τοιαύτη μὲν ἡ ποικιλία τῶν ἐπιτηρούντων, οὐ νῦν ἐφ' ἡμῶν γεγονυῖα, ἀλλὰ καὶ πολὺ πρότερον ἐπὶ τῶν πρὸ ἡμῶν, τῶν περὶ τὸ ἁπλοῦν ὡς εἰκὸς κρατούντων τὴν καθ' ἁπλότητα καὶ ἰδιωτισμὸν συνήθειαν εἰς τὸ μετέπειτα πεποιηκότων. Καὶ οὐδὲν ἧττον πάντες οὗτοι εἰρηνευσάν τε καὶ εἰρηνεύομεν πρὸς ἀλλήλους· καὶ ἡ διαφωνία τῆς νηστείας τὴν ὁμονοιαν τῆς πίστεως συνίστησι. » Ταῦτα λέγων, καὶ ἱστορίαν ἐπισυνάπτει, ἣν δὴ καὶ ταύτην προσθεῖναι δίκαιον· φησὶ γάρ· « Ἐν οἷς καὶ οἱ πρὸ Σωτῆρος πρεσβύτεροι, οἱ προστάντες τῆς Ἐκκλησίας, ἧς οὐ νῦν ἡγῇ, Ἀνίκητον λέγομεν καὶ Πίον, Ὑγίνου τε καὶ Τελεσφόρου, καὶ Ξύστου· οὔτε αὐτοὶ ἐτήρησαν, οὔτε τοῖς μετ' αὐτοὺς ἐπέτρεπον· καὶ οὐδὲν ἧττον αὐτοὶ μὴ τηροῦντες εἰρήνευον τοῖς ἀπὸ τῶν παροικιῶν, ἐν αἷς ἐτηρεῖτο ἐρχομένοις πρὸς αὐτούς· καίτοι μᾶλλον ἐναντίον ἦν τὸ τηρεῖν τοῖς μὴ τηροῦσι·

CAPUT XXXIX.

Ut pacis studiosissimus Irenæus ecclesiis tranquillitatem et concordiam restituerit, exempla successorum sanctorum apostolorum commemorans.

Irenæus ita scribit: « Non modo enim de die, verum etiam de jejunii specie controversia et quæstio est. Quidam namque existimant, unum ipsos oportere diem jejunare, quidam duos, alii etiam plures, nonnulli autem quadraginta, et horis diurnis et nocturnis numeratis diem suum metiuntur. Atqui varietas hæc observationum non ætate nostra exorta est, sed longe antea apud majores nostros exstitit: qui ita ut decuit accurate conservatam **340** per simplicem sinceritatem consuedinem, ad posteros transmisere. Nihilominus D tamen isti omnes pacem tenuere, atque etiamnum pacem inter nos retinemus, et jejunii dissensio fidei consensum commendat. » His verbis historiam adnectit, dignum profecto quæ hic quoque inseratur. « Enimvero qui Soterem præcesserunt presbyteri, et ecclesiam quam tu nunc gubernas administrarunt, Anicetum dico, Pium, Hyginum, Telesphorum, et Xystum: neque ipsi ita Pascha et jejunium observarunt, quæ eos qui cum illis fuere, observare permiserunt. Sed nihilominus ipsi non observantes, pacem tenuerunt adversus eos qui ad se ex ecclesiis, quæ ita observant

venerunt. Atque equidem maximopere inter se ista, observare scilicet, et non observare, dissidebant. Nunquam tamen eam ob rem aliqui sunt rejecti. Quia ipsi non observantes, qui ante te fuerunt presbyteri, advenientibus ex ecclesiis observantibus Eucharistiam (1) miserunt. Ac cum beatus Polycarpus peregre Romam sub Aniceto venisset,et aliquantulum illi inter se de rebus nou magnis dissiderent, eis statim compositis, deinceps nihil quidquam contreversiæ inter se de hoc capite moverunt. Neque enim Anicetus Polycarpo persuadere potuit, ut non ita observaret, quippe qui id post Joannem Domini nostri discipulum, et reliquos apostolos cum quibus vixerat, semper observasset : neque Polycarpus Anicetum, ut observaret, inducit, consuetudinem eorum qui nos præcesserunt presbyterorum retinendam esse allegantem. Quæ cum ita se haberent, communionem inter se celebrarunt. Et in ipsa ecclesia Anicetus Eucharistiæ ministerium Polycapo honoris ergo permisit. Atque ita in pace per discessum sunt sejuncti : pacem quoque ecclesiis,sive observarent sive non observarent, retinentibus. » Quapropter egregius, ut aptissimo nomini suo responderet, pacificator Irenæus fuit (2), qui sic intercissione sua pacem Ecclesiæ conciliarit, et non modo cum Victore,sed etiam cum aliis permultis Ecclesiarum antistitibus, congruentia convenientiaque eis quæ diximus, de proposita quæstione afferendo, egerit. Quod vero sermo non persuasit, id dies postea perfecit. Nam hac in re Asia vix tandem cessit : et ubique terrarum in orbe decretum est,ut non cum Judæis, **341** sed ipso Dominico die mysterium Paschæ peragatur. Quamvis adhuc in Asia reliquiæ quædam maneant, consuetudinem eam in paucis prorsus inviolatam retinentes. Unde etiam Quatuordecimani cognominati sunt, consuetudinem eam, et alia quædam ex illegitimis et ab Ecclesia rejectis libris decerpta servantes, et nominibus quorumdam magnorum apostolorum ea in re abutentes. Porro de Paschate quæstio ita est decisa, cum qua et nos finem quarto huic libro afferimus : ex quo Commodus quidem post tredecimum imperii annum vitam finiit, Severus vero post Pertinacem nondum prorsus menses sex in administratione ejus transegit. Continet vero hic liber annorum non integrorum, viginti quatuor tempus, initium- que habuit ab Antonino Veri fratre (3), finem autem cum ipso Commodi et Pertinacis imperio :

A καὶ οὐδέ ποτε διὰ τὸ εἶδός τοῦτο ἀπεβλήθησάν τινες · ἀλλ' αὐτοὶ μὴ τηροῦντες οἱ πρὸ σοῦ πρεσβύτεροι, τοῖς ἀπὸ τῶν παροικιῶν τηροῦσιν ἔπεμπον Εὐχαριστίαν. Καὶ τοῦ μακαρίου δὲ Πολυκάρπου ἐπιδημήσαντος ἐν Ῥώμῃ ἐπὶ Ἀνικήτου, καὶ περὶ ἄλλων τινῶν μικρὰ ἔχοντες πρὸς ἀλλήλους, εἰρήνευσαν εὐθὺς περὶ τουτου τοῦ κεφαλαίου, μὴ φιλεριστήσαντες πρὸς ἑαυτούς. Οὔτε γὰρ ὁ Ἀνίκητος τὸν Πολύκαρπον πεῖσαι ἐδύνατο μὴ τηρεῖν, ἅτε μετὰ Ἰωάννου τοῦ μαθητοῦ τοῦ Κυρίου ἡμῶν καὶ τῶν λοιπῶν ἀποστόλων οἷς συνδιέτριψεν ἀεὶ τετηρηκότα, οὔτε ὁ Πολύκαρπος τὸν Ἀνίκητον ἔπεισε τηρεῖν, λέγοντα τὴν συνήθειαν τῶν πρὸ ἡμῶν πρεσβυτέρων ὀφείλειν κατέχειν. Καὶ τούτων οὕτως ἐχόντων, ἐκοινώνησαν ἑαυτοῖς. Καὶ ἐν τῇ ἐκκλησίᾳ παρε-
B χώρησεν ὁ Ἀνίκητος τὴν Εὐχαριστίαν τῷ Πολυκάρπῳ, κατ' ἐντροπὴν δηλονότι. Καὶ μετ' εἰρήνης ἀπ' ἀλλήλων ἀπηλλάγησαν πάσης τῆς ἐκκλησίας εἰρήνην ἐχόντων, τῶν τηρούντων καὶ μὴ τηρούντων. » Φερωνύμως τοίνυν ὁ Εἰρηναῖος εἰρηνοποιός τις ὤν, τὴν εἰρήνην ταῖς ἐκκλησίαις ἐπρέσβευεν · οὐ τῷ Βικτωρι μόνον, ἀλλὰ καὶ διαφόροις ἄλλοις ἐκκλησιῶν ἡγεμόσι καταλλήλως τοῖς εἰρημένοις περὶ τοῦ προκειμένου ζητήματος διωμιλεῖτο. Καὶ ὁ λόγος οὐκ ἔπεισε, τοῦτο χρόνος ἐς ὕστερον ἔδρασε · καὶ εἰξέ γε ἡ Ἀσία μόγις · καὶ ἀπανταχοῦ τῆς οἰκουμένης μὴ μετὰ τῶν Ἰουδαίων, ἀλλ' ἐν τῇ κυριωνύμῳ τὸ τοῦ Πάσχα μυστήριον τελεῖσθαι διέγνωστο · κἂν ἔτι ἐν τῇ Ἀσίᾳ τὰ λείψανα διαμένοι, ἀπαράτρωτον τὸ ἔθος διαμεμενηκὸς ἐν ὀλίγοις
C πάντη, οἳ καὶ Τεσσαρεσκαιδεκατῖται προσωνυμίαν ἔσχον · ταύτην τηροῦντες καὶ ἄλλα τῶν νόθων καὶ ἀποβλήτων τῇ Ἐκκλησίᾳ βίβλων, ὀνόμασι δ' οὖν τινῶν τῶν μεγάλων ἀποστόλων προσχρώμενοι. Τὰ μὲν οὖν ἀμφὶ τοῦ Πάσχα ζητήματος τοιοῦτον εἴληφε πέρας, ἐν ᾧ καὶ ἡμεῖς τέλος τῇ τετάρτῃ ἐπάγομεν τῶν Ἱστοριῶν, Κομόδου μὲν ἐπὶ δέκα καὶ τρισὶν ἔτεσι τὸ βιοῦν καταλύσαντος, Σευήρου δὲ μετὰ Περτίνακα οὐδ' ὅλοις ἓξ μησὶ διαγενόμενον ἐπὶ τὴν ἀρχὴν καταστάντος. Περιέχει δὲ καὶ ἡ τετάρτη μοι αὕτη βίβλος τῶν συγγραφῶν χρόνον ἐτῶν δ' καὶ εἰκοστὸν, ὀλίγου δέοντα, ἀρξαμένη μὲν ἀπὸ τῆς ἀρχῆς Ἀντωνίνου υἱοῦ Μάρκου, καταλήξασα δὲ ἐφ ὅλῃ τῇ ἀρχῇ Κομόδου τε καὶ Περτίνακος · ἐκτενίκα κόσμου μὲν ἔτος ε ψ α' · ἀπὸ δὲ τῆς τοῦ Κυρίου θείας γεννήσεως ἑκατοστὸν ἕκτον καὶ ἐνενηκοστὸν
D ἐπεραίνετο.

(1) Eucharistiæ communis participatio, communionis, charitatis et unitatis Ecclesiæ certissimum symbolum.

(2) *Concedere Roma*
Debuit, aiebat, potius quam rumpere pacem ; Humani quæ juris erant, modo salva maneret Lex divina, fides Christi, doctrina, Senatus Quam primus tulit ore suo, quia tradita abipso Christo erat humanæ doctore et lumine vitæ. Nec curandus erat morem consensus in unum Usque adeo. dixit, etc.

Baptista Mantuan. lib. I, *Fastor.* de S. Hilario. Et hæc certissima est de Adiaphoris omnibus regula.

(3) Hoc est, ab eo tempore, quo defuncto L. Vero, M. Antoninus Philosophus solus imperare cœpit. Isti autem divi fratres æqua simul potestate imperium administrarunt annis 11. L. Vero mortuo, M. Antoninus solus 4, cum filio Commodo 5. Ita ut imperii M. Antonini tempus 19 prope annos complectatur. Nicephorus autem in ea fuit sententia, ut crediderit, L. Verum tantum 6 annis cum Marco imperasse, et postea Marcum annis 10, et aliquot insuper mensibus. Sed nos aliorum scriptorum auctoritatem versione nostra secuti sumus Sed enim post cædem Commodi, Pertinax imperii

cum a mundo condito quinquies millesimus septingentesimus et primus (1), a divina autem nativitate centesimus nonagesimus sextus (2) expletus esset annus.

mense 2, die 25, Didius autem Julianus mense 2, die 5, sunt interempti. Et L. Septimius Severus adversus Pescrenniu Nigrum, ab exercitum Syriaco Antiochiæ imperatorem creatum, copias suas duxit.

Hoc sic propterea adnotatum est, ut Nicephoro numerus et ratio annorum constet.

(1) Secundum neotericos chronologos, 4173.

(2) Quintus potius.

ΝΙΚΗΦΟΡΟΥ ΚΑΛΛΙΣΤΟΥ

ΤΟΥ ΞΑΝΘΟΠΟΥΛΟΥ

ΕΚΚΛΗΣΙΑΣΤΙΚΗΣ ΙΣΤΟΡΙΑΣ

ΤΟΜΟΣ Ε'.

NICEPHORI CALLISTI

XANTHOPULI

ECCLESIASTICÆ HISTORIÆ

TOMUS V

ΚΕΦΑΛ. Α'.

Διήγησις ἐν ἐπιτόμῳ τῶν ἄνωθεν εἰρημένων, καὶ μελλόντων τῷ τόμῳ ῥηθήσεσθαι.

Φέρε δὴ τοῖς εἰρημένοις καὶ τὰ λείποντα παραθεῖναι σπουδάσωμεν, ὡς ἂν γε καθ' εἱρμὸν ἡμῖν ὁ λόγος προίῃ, ἄρτιον τὸ σῶμα τῆς ἱερᾶς ἐξυφαίνουσιν ἱστορίας. Τὰ μὲν οὖν πρῶτα τῆς συγγραφῆς, προσήκοντά γε εἶναι δρᾶντες, τῇ κεφαλῇ πάντων Χριστῷ ἀνεθέμεθα. Τά γε μὴν δεύτερα, τοῖς ἐκείνῳ φοιτήσασι, τοῖς ἱεροῖς ἡμῶν καθηγεμόσιν ὁμοια ποιοῦντες, ἀφωσιώσαμεν. Τὸν δὲ τρίτον τόμον οἱ τὰ τῆς πρώτης ἐκείνων διαδοχῆς ἐκληρώσαντο. Ἓν γε μὴν τῷ τετάρτῳ, ὅσοι δὴ μαρτυρικοῖς ἀγῶσι καὶ λόγοις τὰ τῆς πλάνης ὀχυρώματα καὶ τὴν ψευδώνυμον γνῶσιν κατέσεισαν, διεξήλομεν· ὅσοι τε ἐκκλησιαστικοὶ συγγραφεῖς· καὶ τίνα δὴ κατελείποντες συγγράμματα ἀπηλλάγησαν· ἔτι δὲ καὶ ὅσα ἐπεσυνέβη τῷ τοῦ Πάσχα ζητήματι. Ὁ δὲ πέμπτος οὗτος, τὰ κατὰ τὸν πολυμαθέστατον Ὠριγένην, τὸν καὶ Ἀδαμάντιον, εἰς λεπτὸν διελθεῖν ὑπισχνεῖται· καὶ τοῖς περὶ αὐτὸν καὶ αὐτῷ πονηθεῖσιν ὑπὲρ εὐσεβείας· οἷός τε γέγονε καὶ ὅπως· ὅσην τε εἰσενεγκὼν περὶ τὰ θεῖα σπουδὴν, πολλοὺς εἰς τὸν ὑπὲρ Χριστοῦ ἀγῶνα ἠρέθισε· καὶ πολλοὺς ἐραστὰς τε καὶ σπουδαστὰς τῆς αὐτοῦ φιλοσοφίας διττῆς, ἴσχε· καὶ οἷα ἐπεχείρησε τόλμᾳ παρθενίαν ἀσκεῖν βουλόμενος· καὶ ὡς τέλος τῆς εὐθείας ἀποσφαλείς, ἀπατηλῷ δαίμονι πειθαρχήσας, τοῦ ὑγιοῦς ἐξετράπη.

A

344 CAPUT I.

Succincta eorum quæ ante dicta sunt repetitio, et dicendorum isto tomo expositio.

Agedum quæ reliqua sunt, his adjungere pergamus, ut serie sua oratio nostra progrediatur, integrumque sacræ historiæ corpus contexatur. Ac primum quidem librum voluminis hujus recte sane, et ut par fuit, capiti omnium Christo dedicavimus. Secundum sectatoribus ejus, sacris auctoribus, ducibusque nostris, itidem merito consecravimus. Tertium primi eorum successores sortiti sunt. In quarto autem eos commemoravimus, qui vel certaminibus egregiis martyres, vel eruditis scriptis doctores, erroris munitiones atque falso nominatam scientiam expugnarunt; qui etiam ecclesiastici fuerint scriptores, quibusve illi post se relictis commentariis decesserint: tum autem, quænam de quæstione Paschatis acta atque decreta sint. Quintus porro liber iste, res eruditissimi Origenis, qui et Adamantius dictus est, plenissime expediet: quos ille pro vera pietate adierit labores; unde, et qui fuerit: et ut quam plurimum studii ad res divinas conferens, permultos ad certamen pro Christo obeundum excitaverit: quam item multos amatores atque sectatores **345** studiosos duplicis philosophiæ suæ habuerit: quæ in seipso ausus sit, cœlibatum atque virginitatem conservare volens: ut denique ad postremum seductori dæmoni obsecutus, et a recta via aberrarit,

B

et a sana doctrina exciderit. Complectetur præterea alia quoque : gravem videlicet illam sub Decio persecutionem, ecclesiarumque sacrarum antistites, et quæ in eis acciderint res inopinatæ et admirandæ. Initium autem inde sumendum.

φρονήματος. Διαλήψεταί γε μὴν καὶ ἄλλα ἡ ἱστορία· τά τε περὶ τοῦ κατὰ Δέκιον πικροῦ διωγμοῦ, τούς τε τῶν ἐκκλησιῶν ἡγεμόνας, καὶ τὰ ἐπ' ἐκείνοις παράδοξα. Ἀρκτέον δὲ οὕτω.

CAPUT II.

De persecutione sub Severo, in qua Leonides pater Origenis, propter Christum mortem subiit.

Commodo imperium administrante, res Christianæ pacatæ tranquillæque fuere (1). Postquam autem ille ex insidiis cæsus est, et Pertinax brevi admodum tempore imperavit, atque huic (sicuti diximus) Severus successit, tum quoque satis bono loco res nostræ fuere, indiesque fidei professio augmenta sua cepit, eorum quos recensuimus ecclesiasticorum doctorum scriptis atque doctrinis illam provehentibus, idque in maximis quibusque potissimum urbibus, nimirum Alexandriæ, et in ea urbe quæ ab Antiocho est condita, Æliæ, et per Palæstinam omnem, Ephesi, Cæsareæ, et occidentem versus Thessalonicæ, Athenis, Corinthi : in Galliis, et Romæ maxime. Integri enim populi et domus totæ ad fidem accedebant, quidvis facere et pati paratæ, quam ut quidquam contra religionem nostram ageret, aut novarent. Quod ubi Severo minime tolerandum est visum, insignem statim contra Ecclesiam omnem movit persecutionem. Et subito per omnem terrarum orbem eximia instituta sunt martyria, maxime vero in Ægypto et Lubya atque Thebaide. Alexandriæ porro veluti stadium veræ pietatis constitutum, ubi fortissimi quique et optimi delecti martyres, variis atque exquisitis tormentorum generibus mirificisque impressionibus exceptis, a Deo, cui chari fuere, præmia et coronas acceperunt. Quo tempore et Leonidem, Origenis patrem, obito pro Christi nomine martyrio, e vita excessisse tradunt, gladio videlicet cæsum, cum filium admodum adhuc puerum relinqueret. **346** Quantus autem Origenes fuerit, et quo studio animique destinatione in sacras Litteras incubuerit, citra invidiam exponi posse puto : non solum quod celebris is vir apud nos sit, verum etiam quod ingentem, vita sua, quamvis ad finem non integram prorsus, famam et gloriam post se reliquerit. Verum enimvero singulari otio opus esset, ad vitam ejus omnem litteris memoriæ mandandam. Sed nos e multis quæ de eo sunt tradita, plurima resecantes, aliqua tantum Historiæ huic inseremus, ut res tanti viri studiosis incognitæ non sint : quæ sane judicio multorum dignæ visæ sunt, ut vel ab ipsis incunabulis repetitæ, memoriæ traderentur.

ΚΕΦΑΛ. Β'.

Περὶ τοῦ κατὰ Σεβῆρον διωγμοῦ, ἐφ' ᾧ Λεωνίδης ὁ πατὴρ Ὠριγένους τὸ διὰ Χριστὸν τέλος ἔσχε.

Εἰρήνης μὲν ἦσαν μεστὰ τὰ ἡμέτερα, Κομόδου τὴν ἀρχὴν διιθύνοντος· ἐπεὶ δ' ἐκεῖνον ἐξ ἐπιβουλῆς σφαγέντα Περτίναξ χρόνον ἐπίβραχυν, καὶ τοῦτον Σεβῆρος, ὡς εἴρηται, διεδέχετο, ἦσαν μὲν δὴ κἀν τούτῳ ῥᾳδίως πως ἔχοντα τὰ ἡμέτερα, καὶ τὰ τῆς πίστεως ἤκμαζε καθημέραν, λόγοις τε καὶ διδασκαλίαις τοῖς προειρημένοις τῶν ἐκκλησιῶν διδασκάλοις ἐπιδιδόντα, καὶ μᾶλλον ἐν ταῖς μεγίσταις τῶν πόλεων. Αὗται δ' ἦσαν Ἀλεξάνδρειά τε καὶ ἡ τὸν Ἀντίοχον ἔσχε δομήτορα, τά τε περὶ τὴν Αἰλίαν πᾶσαν καὶ Παλαιστίνην, Ἔφεσόν τε καὶ Καισάρειαν, καὶ τὰ περὶ τὴν ἑσπέραν, Θεσσαλονίκη καὶ Ἀθῆναι καὶ Κόρινθος αὗται· καὶ τὰ περὶ Γαλλίας, καὶ τὸ πλέον ἐπὶ Ῥώμην αὐτήν· ὡς καὶ αὔτανδμα πλήθη καὶ οἴκους ὅλους προσιέναι τῇ πιστῇ, καὶ πάντα δρᾷν ἐν ἑτοίμῳ ἔχειν ἤ τι νεωτερίσαι κατὰ τῆς πίστεως. Ἐπεὶ δὲ Σεβήρῳ ἥκιστα φορητὸν ἐδόκει, λαμπρὸν αὐτίκα τὸν διωγμὸν κατὰ πάσης Ἐκκλησίας ἀνεγείρειν ὥρτο δεῖν. Καὶ γενναῖα μὲν ἁπανταχοῦ τῆς γῆς ἰσχεδιάζετο τὰ μαρτύρια· μάλιστα δ' ἐν Αἰγύπτῳ καὶ Λιβύῃ καὶ Θηβαΐδι, καὶ κατ' αὐτήν γε τὴν Ἀλεξάνδρειαν συνίστατο ὑπὲρ τῆς εὐσεβείας τὸ στάδιον, ἀριστίνδην ὥσπερ ἐξειλεγμένων ταῖς ποικίλαις καὶ φιλοτίμοις τῶν βασάνων ἰδέαις καὶ ταῖς ὑπερφυέσιν ἐνστάσεσι, πρὸς Θεοῦ τὰ γέρα τῶν θεοφιλῶν μαρτύρων ἀναδουμένων· ὅτε δή φασι καὶ Λεωνίδην τὸν Ὠριγένους πατέρα τῷ ὑπὲρ Χριστοῦ μαρτυρίῳ τελειῶσαι τὸν βίον, ξίφει τὴν ζωὴν καταλύσαντα, νέον κομιδῇ τὸν παῖδα λιπόντα. Ὁποῖος μὲν οὖν οὗτος ἐγένετο, οἷά τε σπουδῇ καὶ προαιρέσει περὶ τὸν ἱερὸν λόγον ἐχρήσατο, οὐ φθόνος ἂν γένοιτο διελθεῖν· οὐ μόνον ὅτι τῶν καθ' ἡμᾶς καὶ περιβόητος ἀνὴρ, ἀλλὰ καὶ τῷ πολλὴν δόξαν τὴν περὶ αὐτοῦ ἐπαφεῖναι τῷ βίῳ, κἂν οὐχ ὑγιᾶ τέως. Καί γε σχολῆς ἰδίας ἡ κατὰ τὸν βίον αὐτοῦ σύνταξις δέοιτ' ἄν. Ἀλλ' ἡμεῖς ἐκ πολλῶν τῶν περὶ αὐτοῦ εἰρημένων ἐπιτεμόντες τὰ πλεῖστα παραδῶμεν τῇ Ἱστορίᾳ· ἵνα τοῖς φιλομαθέσι μηδὲ τὰ τούτου ἄγνωστα εἴη. Τὰ γὰρ τοῦ ἀνδρὸς, καὶ τὰ ἐξ αὐτῶν σπαργάνων ἄξια μνήμης λελόγισται.

CAPUT III.

De Origenis a puero studiis atque exercitiis, et ut etiamnum adolescens sermonem veritatis professus fuerit, et ut sese ad certamen pro Christo subeundum præparaverit.

Statim namque ab initio, tenera exacta ætate a patre divinis imbutus est Litteris. Cui illa prima

ΚΕΦΑΛ. Γ'.

Περὶ τῆς ἐκ παιδὸς ἀσκήσεως Ὠριγένους· ὡς ἔτι νέος ὤν, τὸν ἀληθῆ λόγον ἐπρέσβευε· καὶ ὡς εἰς τὸν ὑπὲρ Χριστοῦ ἀγῶνα παρεσκευάζετο.

Εὐθὺς μὲν γὰρ ἐξ ἀρχῆς τὴν ἁπαλὴν ἀποθέμενος ἡλικίαν, παρὰ τοῦ πατρὸς ταῖς θείαις ἐνησκεῖτο

(1) Propter Divorum scilicet fratrum rescriptum.

Γραφαῖς, τοῦ πατρὸς αὐτῷ πρὸς τῇ τῶν ἐγκυκλίων παιδείᾳ οὐ παρέργως δὴ καὶ τὴν ἐκείνων πόιουμένου φροντίδα· ὥστε δὴ καὶ πρὸ τῆς ἐκείνων μελέτης ταύταις ἐνασχολεῖσθαι, ἑκάστης ἡμέρας, μοιρικὰς ἐκεῖθεν ἐκμαθήσεις καὶ ἀπαλγελίας εἰσπραττόμενον. Οὐ μὴν γε καὶ ἀπὸ προαιρέσεως τῷ παιδὶ ταῦτα ἦσαν. Ὑπερφυεῖ δέ τινι προθυμίᾳ περὶ ταῦτα μᾶλλον ἦπερ περὶ τὸν Ἕλληνα λόγον ἐπόνει, ὡς μηδὲ τὸ ἁπλοῦν αὐτῷ τῶν ἱερῶν λόγων καὶ πρόχειρον εἰς μάθησιν ἐξαρκεῖν, ἀλλὰ καὶ πολυπραγμονεῖν αἱρεῖσθαι, καὶ τὸ ἐγκείμενον αὐταῖς βάθος ἀνιχνεύειν πειρᾶσθαι, καὶ πράγματα τῷ πατρὶ παρέχειν, ἀνακινθανόμενον, τί ἂν ἄρα βούλοιτο τὸ γράμμα νοεῖν. Τῷ δὲ πατρὶ θαυμάζειν μὲν εἰσῆει καὶ καθ' ἑαυτὸν κατακλήτεσθαι, γεγηθότι ὅτι Θεὸς τοιούτου δὴ πατέρα παιδὸς γενέσθαι ἠξίου· ἰδίᾳ γε μὴν πλήττων ἦν τὸ δοκεῖν μηδὲν παρ' ἡλικίαν καὶ περαιτέρω τῆς ἀτελοῦς διανοίας ζητεῖν εἰσηγούμενος. Τόσοῦτόν γε μὴν φασιν ἔκθαμβον εἶναι καὶ τῷ δοτῆρι τῶν ἀγαθῶν Θεῷ τὴν χάριν ὁμολογεῖν, ὡς ἐπιστῆναι μὲν πολλάκις εὕδοντι τῷ παιδὶ, ἀπογυμνοῦντα δὲ τὸ στέρνον, σεβασμίως μάλα καταφιλεῖν, οἷά τινος ἔνδον θείου Πνεύματος ἐνσκηνοῦντος, καὶ τῆς εὐτεκνίας μακάριον ἑαυτὸν ἡγεῖσθαι. Κἀντεῦθεν οὐ σμικρὰς ἀφορμὰς ὁ παῖς τῶν τῆς πίστεως καὶ θείων λόγων καταβαλλόμενος, εὖ μάλα κοσμίως ἀνήγετο, τῷ αὐτῷ πατρί τε καὶ διδασκάλῳ χρώμενος, καὶ μεγάλα οἷς παρεδείκνυ δράσειν ὑπισχνούμενος. Ταῦτα καὶ τοιαῦτα δὴ τινα ἕτερα συγγενῆ τούτοις τὰ τῆς παιδικῆς ἡλικίας Ὠριγένους μνημονευόμενα. Ἐπὶ δὲ Σευήρῳ δέκατον μὲν τῆς ἀρχῆς ἔτος ἠνύετο, Λαῖτος δὲ ἡγεμὼν Αἰγύπτου. καὶ Ἀλεξανδρείας καθίστατο, Δημητρίῳ δὲ μετὰ Ἰουλιανὸν ἄρτι πρώτως ὁ τῆς Ἀλεξανδρείας θρόνος ἐνεχειρίζετο, ὁ δὲ τῶν ἐκκλησιῶν διωγμὸς εἰς μέγα ἀνερριπίζετο, καὶ πολλοὶ γενναίως παρατατόμενοι τοῖς ἄθλοις τοὺς στεφάνους διήρπαζον· τοσοῦτόν φασιν ἔρωτα μαρτυρίου γενέσθαι καὶ Ὠριγένει, ἀπαλὴν κομιδῇ τὴν ἡλικίαν περικειμένῳ, ὡς σκιρτᾷν ἤδη, καὶ ὁρμῇ τινι ἀσχέτῳ ὁμόσε τοῖς ὑπὲρ Χριστοῦ κινδύνοις χωρεῖν. Καί γ' ἀπηλλάττετο μαρτυρίου τοῦ ζῆν, εἰ μὴ Θεὸς ἑτέρῳ προνοίας λόγῳ τῆς πολλῶν ὠφελείας χάριν ἐμποδὼν τὴν μητέρα ἐκείνῳ καθίστα. Εἰσιοῦσα γὰρ ἐκείνου τὸν θάλαμον, φειδώ τινα λαμβάνειν τῆς περὶ αὐτὸν μητρικῆς διαθέσεως καθικέτευε, καὶ μὴ οὕτως τὴν μητέρα καταλιπεῖν, καὶ θρήνοις ἀκατασχέτοις περιβάλλειν πειρᾶσθαι. Ὡς δὲ ἑάλω αὐτῷ ὁ πατὴρ, καὶ δεσμωτηρίῳ καθείρκτο, ἔτι μᾶλλον ὁ ἔρως αὐτῷ ἐπετείνετο, καὶ δριμύτερος εἰσέρρει πόθος τοῦ μαρτυρίου, καὶ καθεκάστην, ὡς εἰπεῖν, τοῦτον ἀνήφλεγε πυρπολῶν. Οὕτω δ' ὁρμῆς ἔχοντα ἡ μήτηρ τὸν Ὠριγένην ὁρῶντα, τὴν ἐσθῆτα πᾶσαν ἐκείνου ἀπέκρυπτε, καὶ οἴκοι μένειν δι' ἀνάγκης ἐποίει. Ἐπὶ δ' ἄλλο πράττειν οὐκ εἶχεν, ἀλείπτης ἐγίνετο τῷ παπρί· καὶ τὰ προτρεπτικὰ συντάττων ἀπέστελλε, καὶ ταῦτα κατὰ λέξιν διεξιών· Ἔπεχε μὴ δι' ἡμᾶς ἄλλο τι φρονήσῃς. Τοῦτο δὴ πρῶτον ἔστω σεῖγμα σαφέστατον τῆς ἐκ πρώτης, ὅ φασι,

A cura fuit, ut filius non succisiva, sed justa opera una cum cyclicis disciplinis eas addisceret. Quapropter ante earum disciplinarum exercitium quotidie ab eo, ex sacris Scripturis promissiones et certa loca, quæ memoriter didicerat, requirebat : quæ res minime præter judicium et voluntatem puer fuit. Mirifica enim cupiditate magis in hæc studia quam in Græcorum artes ferebatur : usque adeo, ut non contentus esset ex sacris oraculis, quæ simplicia et non ita difficilia sunt, discere : sed curiositate uteretur, et abditos eorum sensus scrutari conaretur, subindeque quidnam arcani sensus in littera lateret, perunctando, patri negotium facesseret. Is porro apud seipsum ea de causa cum admiratione stupebat, et valde gaudebat, quod B Deus se patrem tali dignatus esset filio. Et quandoque privatim simulabat se eum acrius objurgare, ne quid supra ætatem suam et simplicem sensum scrutaretur admonens. Tantopere vero admiratione ejus et consternatus, maximas se datori bonorum Deo gratias debere professus, ut sæpenumero dormienti assisteret puero, pectusque ejus nudatum cum veneratione multa deoscularetur, perinde atque in eo divinus Spiritus domicilium suum haberet, beatumque prorsus se tam felici prolificatione judicabat. Quæ res magnam præbuit causam et occasionem, ut puer fiedem sacrasque litteras ab ineunte ætate assequeretur : **347** et recte admodum educaretur, eumdem et patrem et præceptorem habens, magnamque de se præbens exspectationem. Hæc atque item alia his similia de puerili C ætate Origenis sunt prodita. Postquam vero decimo Severi imperantis anno, Lætus Ægypto et Alexandriæ præfectus est, et Demetrius Juliano in episcopatu Alexandrino successit, ecclesiarumque persecutio admodum invaluit, ac multi certaminibus magno animoo bviam euntes, coronas reportarunt: tantam dicunt martyrii cupiditatem. Origeni incessisse, cum in juvenili admodum adhuc ætate esset, ut exsultans jam ardore quodam incredibili, pericula pro Christo toleranda adiret. Et finivisset ille jam tum martyrio vitam, nisi alia divinæ Providentiæ ratione, utilitatis multorum gratia, mater ejus intercessisset. Illa enim in cubiculum ejus ingressa, supplex ei fuit, ut ne, materno suo erga eum animo et amori parcens, ægram se ita relin- D queret, et intolerabili luctui et mœrori objicere perseveraret. Ubi vero pater ejus captus et in vincula conjectus est, major eum etiam amor, acriusque martyrii desiderium invasit, indies id (ut ita dicam) ardore et igne novo excitante atque accendente. Quapropter cum ita animatum Origenem esse mater videret, omnem ejus vestem recondidit, necessitatemque ei domi manendi imposuit. Hic cum aliud facere non posset, alipten et unctorem certaminis se patri præbuit, et frequenter cohortatorias ad illum litteras scripsit, inter alia verba ista usurpans : Sustine, et ne quid alterius sen-

tentiæ aut consilii nostra causa capias vide. Atque hoc primum sit evidentissimum, a primis (quod dicitur) carceribus, germanæ fidei, sincerique ejus erga Deum animi, specimen atque indicium.

βαλδῖδος περὶ θεὸν αὐτοῦ γνησίας πίστεώς τε καὶ διαθέσεως.

CAPUT IV.

De institutione et educatione et eorum qui ejus consuetudine et doctrina usi sint. Et ut decem et octo natus annos, Alexandriæ fidelium præfuerit scholæ, clari prorsus nominis adolescens.

Patre ejus, sicuti diximus, vita per martyrium pro Christo defuncto, nondum prorsus septemdecim annos natus, cum apud matrem cum aliis sex natu minoribus liberis esset, et quod patrimonium ejus omne imperiali fisco illatum fuerat, una cum suis ærumnose in magna rerum necessariarum angustia et penuria viveret, divino ei succurrente **348** Numine, incredibile consecutus est auxilium. Siquidem mulier quædam ingentibus divitiis et copiis clara, et aliter quoque Alexandriæ celebris, magni nominis virum Antiochenum genere, et inter hæreticos Alexandrinos primarium, consectans atque complectens, adoptato sibi filii loco Origene, cum maximi eum fecit, tum ei suisque omnibus ad quotidianum usum liberaliter et copiose omnia suppeditavit. Familiariter ergo cum Paulo (1) (hoc enim nomen mariti ejus mulieris erat) vivens, nunquam a consueta sibi deflexit precatione, communicare preces cum Paulo hæretico nolens, ecclesiasticasque sanctiones accuratissime servans: cum quidem ad Paulum permulti frequentarent, non solum qui ex Græcorum essent superstitione, sed etiam nostri homines. Græcorum porro disciplinis jampridem a patre imbutus, magis etiam in Pauli schola proficiebat, Proinde postea ex earum doctrinarum disciplina, cui præibat, abunde res familiaris ei suppetebat, Posteaquam autem persecutionis timore omnibus expulsis, nullus Alexandriæ sacrorum oraculorum enarrator fuit, multi ex gentibus ad Origenem accedentes, verbum Dei sunt professi: multique illorum patria sacra detestati, partim ut familiariter cum eo viverent, partim ut semper ei adessent, præ rebus omnibus studio sibi habuerunt. Ex iis primus esse perhibetur Plutarchus, cum vitæ sanctitate, tum martyrii corona clarus. Alter ab hoc Heraclas recensetur, Plutarchi ipsius frater: qui tantum de se verioris philosophiæ studii specimen præbuit, ut postea in ecclesia Alexandrina Demetrio successor sit subrogatus. Porro decimum octavum agens annum Origenes, scholæ catechistes in urbe Alexandrina est. præfectus. Et cum ibidem sub Aquila præfecto persecutio maxime exundans incrudesceret, magnum consecutus est nomen apud eos qui Christi nomine censentur: quod et notos sibi et ignotos familiariter excipiens complecteretur: et qui in vinculis erant, sedulo visitaret, alacritatem eorum

ΚΕΦΑΛ. Δ'.

Περὶ τῆς κατ' αὐτὸν παιδείας καὶ ἀγωγῆς· καὶ τῶν αὐτῷ φοιτησάντων. Καὶ ὡς ὀκτωκαίδεκα ὢν ἐτῶν, τῆς ἐν Ἀλεξανδρείᾳ τῶν πιστῶν ἡγεῖτο διατριβῆς, περιβόητος ἀθρόον γενόμενος.

Τοῦ δὲ πατρὸς αὐτοῦ, ὡς εἴρηται, τὸ βίου τῷ ὑπὲρ Χριστοῦ μεταλλάξαντος μαρτυρίῳ, οὐ πάνυ τι πλήρης ὢν ἐτῶν ἑπτακαίδεκα, παρὰ τῇ μητρὶ μεθ' ἑτέρων ἓξ βραχυτέρων παίδων ταλαιπωρῶν, τῆς πατρικῆς οὐσίας τοῖς βασιλικοῖς ταμείοις κατα- B λεγείσης, ἐν πλείστῃ σπάνει τῶν ἀναγκαίων γενόμενος μετὰ τῶν πρὸς γένος, τῆς θείας ἐντιλαμβανομένης ροπῆς, τῆς ἐκεῖθεν ἀῤῥήτου κατεπύγχανε δεξιώσεως. Γυνή γάρ τις, πλούτῳ μὲν κομῶσα βαθεῖ, περιφανὴς δὲ ἄλλως τῶν ἐπ' Ἀλεξανδρείας, καί τινα περιβόητον ἄνδρα, Ἀντιοχέα γε μὴν τὸ γένος, τῶν δ' ἐπ' Ἀλεξανδρείας αἱρεσιωτῶν πρώτιστον περιέπουσα, θετὸν υἱὸν τὸν Ὠριγένην ἑαυτῇ ἐσῳκίζετο· καὶ ἐν τοῖς μᾶλιστα κατατάξασα ἄρθρωνά τε καὶ δαψιλῆ τὰ πρὸς τὴν χρείαν αὐτῷ τε καὶ νοῒς οἰκείοις ἐπῆρκει· συνὼν δὲ τῷ Παύλῳ (τοῦτο γὰρ ἦν ὄνομα τῷ συζύγῳ τῆς γυναικός), οὐδέ ποτε τῆς συνήθους εὐχῆς παρετράπη, τοὺς ἐκκλησιαστικοὺς θεσμοὺς ἐς ἄκρον διατηρῶν, καὶ τῶν πολλῶν δῆτα τῷ Παύλῳ φοιτώντων, τῶν τε τῆς C Ἑλλήνων θρησκείας, οὐκ ἐλαχίστων μέντοι καὶ ἡμετέρων. Τοῖς δὲ τῶν Ἑλλήνων μαθήμασι προπαιδευθεὶς ἐκ τοῦ πατρὸς Ὠριγένης, ἐπὶ μᾶλλον ἐπιδώσει τῇ Παύλου σχολάζων διατριβῇ· κἀντεῦθεν καὶ δαψιλῶς τῶν ἀναγκαίων τούτῳ μετῆν, καὶ ἀπὸ τοῦ καθηγεῖσθαι τὸ λοιπὸν τοῖς μαθήμασιν. Ὡς δὲ πάντων τῷ δέει τοῦ διωγμοῦ ἀπελαθέντων, ἐν Ἀλεξανδρείας οὐδεὶς τῶν ἱερῶν ἐξηγητὴς ἦν, πολλοὶ καὶ τῶν ἐξ ἐθνῶν τούτῳ δὴ προσιόντες τῷ Ὠριγένει, τὸν λόγον τοῦ Θεοῦ κατηγγέλλοντο· πολλοὶ δ' ἐξ ἐκείνων καὶ τὰ πάτρια βδελυσσόμενοι, συνεῖναι τῷ ἀνδρὶ, καὶ ἄλλοι δὲ φοιτᾷν ἐσαεὶ σπουδῇ ἀκέστῳ ἐτίθουν ὑπέρτερον. Τούτων δὲ πρῶτον οὗτος ἐπισημαίνεται Πλούταρχον· ὃς προσήκοντα τὸν βίον παρεσχηκὼς, καὶ μαρτυρικῷ κατακοσμήθη στεφάνῳ· δεύτερον δὲ μετὰ τοῦτον Ἡρακλᾶν ἱστορεῖ· D τοῦ προειρημένου δὲ Πλουτάρχου ἀδελφὸς ἐτύγχανεν ὤν· ὡς δὴ καὶ αὐτῷ πολλὴν φιλοσόφου ἀσκήσεως εἰσενηνεγμένῳ ἀπόδειξιν, ὁ τῆς Ἀλεξανδρέων θρόνος μετὰ Δημήτριον ἐκληροῦτο. Ὄγδοον δὲ πρὸς δεκάτῳ ἔτος τῆς ἡλικίας ἦν Ὠριγένει, ἡνίκα τοῦ κατ' Ἀλεξάνδρειαν προίστη διδασκαλείου τῆς κατηχήσεως· ὅτε καὶ τῶν κατ' Ἀκύλαν διωγμῶν ὁ Ἀλεξανδρεὶα σφόδρα πλημμυρησάντων, μέγα καὶ περιβόητον οὗτος ἐκτήσατο ὄνομα, οἷς δὴ τὸ Χριστοῦ ἐνῆν ὄνομα. Πᾶσι γὰρ καὶ γνωρίμοις καὶ μὴ πολλῇ

(1) Apud Eusebium, lib. VI, cap. 3, est, Paulum istum a femina adoptatum, et Origenem cum eo apud illam versatum fuisse.

ἐχρῆτο τῇ δεξιότητι· ἔν τε δεσμοῖς οὖσιν, ἐπισκοπῆς ἀξιῶν, καὶ ὑπεγείρων τὸ πρόθυμον· ἤδη δὲ καὶ τὴν ἐπὶ θάνατον ἀπαγομένους, θαρσαλέως σὺν πολλῇ παῤῥησίᾳ προάγειν καὶ φιλήματι κατασπάζεσθαι· ὡς καὶ πολλάκις τῶν ἐθνῶν τὸν δῆμον ἐπιμαινόμενον καταλεύειν πειρᾶσθαι, κἂν παρὰ δόξαν τῆς ἄνωθεν δεξιᾶς προασπιζούσης, βοηθοῦ κατετύγχανεν· ὥσπερ δὴ καὶ ἐπὶ πολλὰ καὶ πολλάκις τῷ προθύμῳ τῆς περὶ τὸν θεῖον λόγον σπουδῆς τε καὶ παῤῥησίας ἐπιβουλευόμενον, ἀνώτερον διετήρει. Τοσοῦτον δὲ τὸν πόλεμον αὐτῷ καθεστάναι, ὡς μετ' οὐκ ἀγεννοῦς φάλαγγος τῇ οἰκίᾳ ἐν ᾗ κατέμενεν ἐνδημεῖν, τῶν παρ' αὐτῷ κατηχουμένων τὴν ἱερὰν παίδευσιν τὸ πλῆθος ὑφορωμένων. Καὶ τοσοῦτος ὁ κατ' αὐτοῦ διωγμὸς ἀνῆπτο, ὡς ἀνὰ πᾶσαν αὐτὸν τὴν πόλιν κρύφα περιιέναι, οἰκίαν ἐξ οἰκίας ἀμείβοντα, τοῦ στίφους χάριν τῶν δι' αὐτοῦ τῇ θείᾳ προσιόντων ἀσκήσει τῶν λόγων· ἐπεί τοί γε οὐ λόγους μόνον, ἀλλὰ καὶ τὸ παρ' ἐκείνῳ πραττόμενον γνησιωτάτης φιλοσοφίας ἐτύγχανεν ἔνδειξις. Σύμφωνος δ' ἦν εὖ μᾶλα καὶ ὁ λόγος τῷ ἔργῳ, καὶ ἔμπαλιν. Ἔνθεν τοι καὶ τῆς ἄνωθεν συναιρομένης δυνάμεως πολλοὺς εἵλκυε, καὶ ζηλωτὰς ἐπεσπᾶτο μυρίους.

A excitans et adangens : tum autem eos qui ad mortem raperentur, **349** cum multa fiducia et libertate produceret atque exosculareturr. Quapropter sæpe est factum, ut ex gentibus plebes furore correpta lapidibus eum obruere contenderit. Sed illum præter exspectationem, cœlitus dextra Dei præsenti ope est tutata : quemadmodum etiam sæpe alias, propter summam alacritatem libertatemque divini verbi docendi, insidiis expetitum conservavit. Tantus porro adversus hominem exstitit motus, ut plebe ethnica procurante, non contemnenda militum manus, in ea ubi habitabat domo versaretur, et turbam eorum qui ab illo in sacris disciplinis instituerentur, servaret. Denique usque eo persecutio adversus eum invaluit, ut per B urbem omnem, domum domo mutans, clam circui ret, multitudinis ejus gratia, quæ doctrina ejus adducta ad divinam accesserat professionem. Siquidem non verba solum, sed facta etiam ejus certissimum germanissimæ philosophiæ ejus fuere indicium (1). Prorsus namque, orationi vita congruens respondebat. Quam ob causam etiam vi et ope divina auxiliante, multos ad se pertraxit, innumerosque habuit imitatores.

ΚΕΦΑΛ Ε'.

Ὡς τελεωτέρας φιλοσόφου διαγωγῆς ἤψατο, καὶ τὸν εὐαγγελικὸν εἰς ἀκρίβειαν παρεφύλαττεν ὅρον.

CAPUT V.

Ut vitam attigerit philosopho perfectiorem, et præscripta evangelica accuratissime servarit.

Ὡς δὲ πλείους ἐκείνῳ ἐγίνοντο φοιτηταὶ τῆς διατριβῆς τοῦ κατηχεῖν ἐπιτετραμμένης ἐκείνῳ ἐκ Δημητρίου, ἀσύμφωνον ὡς εἰκὸς λογισάμενος τὴν C τῶν ἔξωθεν λόγων παιδείαν τοῖς ἱεροῖς καταμίγνυσθαι, ἀφίσταται μὲν ἐκείνης εὐθὺς τῆς διατριβῆς, ὡς ἥκιστα τοσοῦτον ὠφελεῖν δυναμένης, τἀναντία δὲ καὶ τοῖς ἱεροῖς εἰσηγουμένης τῶν λόγων. Ἔπειτα γενναίῳ καὶ ἀνδρώδει, καὶ τὸ πλεῖον φάναι φιλοσόφῳ τῷ λογισμῷ, ἵνα μὴ ἀλλοτρίας ἐπικουρίας ἐνδεὴς ὁρῷτο, ὅσα γε αὐτῷ ἦσαν τῶν βιβλίων ἐς περιττὸν τῆς φιλοκαλίας ἐσπουδασμένα λόγων Ἑλληνικῶν ἐπὶ ὠνῇ τῷ βουλομένῳ προθεὶς, τέσσαρσιν ὀβολοῖς ἑκάστης ἡμέρας πρὸς τοῦ ἐωνημένου ἐκποριζόμενος, ἐπὶ πλεῖστον χρόνον οὕτω φιλοσοφῶν διετέλει, πᾶσαν νεωτερίζουσαν ὕλην καὶ ἐπιθυμίαν οὐ προσήκουσαν ἐξ ἑαυτοῦ ἀπωθούμενος. Ἡμέρας μὲν οὖν ἱδρῶν ὡς πλεῖστον, νύκτωρ πλείοσιν ἐπεδίδου πόνοις, τὸ πλεῖον μέρος τῇ τῶν θείων Γραφῶν D ἐκδακπανῶν. Εἰ δέ που καὶ ὕπνου παραγεύεσθαι ἔδει. ἐπὶ ψιλοῦ κατακείμενος τοῦ ἐδάφους, οὐκ ἐπὶ στρωμνῆς μεταλαμβάνειν ἐδόκει, ὀλιγίστῳ πάντη καὶ μεμετρημένῳ τούτῳ προσχρώμενος, τῷ πλεῖστον μὲν ἀσιτεῖν, καὶ ἄλλαις φιλοσόφοις γυμνασίαις ἐγκαρτερεῖν γενναιότατα· τῶν δὲ τοῦ Σωτῆρος φωνῶν, ἐκείνας μᾶλλον φυλάττειν δεῖν ᾠήτο, ὅσαι μὴ δύο χιτῶνας, μηδ' ὑποδήματα περικεῖσθαι, μήτε μὴν ταῖς εἰσέπειτα φροντίσιν ἐκδαπανᾶσθαι διακελεύον-

Enimvero ubi quamplurimos ad se discipulos confluere, munere catechistæ una cum schola ea a Demetrio sibi commissa, vidit : absurdum (ita ut par erat, arbitratus, profanarum litterarum eruditionem sacræ commiscere doctrinæ, illico externarum artium studium posthabuit ; quippe quæ tantopere utiles esse non possent, et diversa a sacris oraculis afferre solerent. Deinde generoso et virili, planeque (ut amplius quiddam dicam) philosopho animo, ne externo quopiam subsidio indigere videretur, quæcunque ei erant, Græcorum librorum summa elegantia et venustate concinnata volumina, venalia proposuit, et quatuor obolorum in diem quemvis pretium sibi ab emptore pendendorum est stipulatus. Unde plurimo tempore ad eum modum philosophari perseverabat, **350** causam et materiam omnem, quæ allicere eum ad res novas et illicitas posset, atque concupiscentiam indecentem longe a se propellens. Et die sudoribus ut plurimum peracto, noctu etiam multo incumbebat labori, maximam ejus temporis partem meditatione divinarum Scripturarum consumens. Si quando etiam somnus obiter degustandus esset, non in strato aliquo, sed in nuda humo jacens, eo parcissime utebatur, jejuniis plurimum aliisque philosophicis exercitiis constantissime semper intentus. Ex Servatoris præceptis illa maxime ser-

(1) Οἷον γοῦν τὸν λόγον, τοιόνδε φασὶ τὸν τρόπον· καὶ οἷον τὸν τρόπον, τοιόνδε καὶ τὸν λόγον ἐπεδείκνυτο. Itaque ille qualem orationem, talem quoque vitam : et qualem vitam, talem etiam orationem exhibuisse dicitur. Euseb. lib VI, cap. 3.

vanda esse judicabat, quæ prohiberent duas habere tunicas, aut calceamentis uti, aut animum futurarum rerum cura et sollicitudine macerare vetarent. Eaque ipsa servavit accurate, in frigore et nuditate, etiam præter ætatem, vitam exigens. Illis quoque rebus animi sui promptitudinem et ardorem satis declaravit, quod regiones multas temporibus multis peragrans, nullis usus sit calceis : vinoque prorsus, aliisque rebus, extra necessarium alimentum, abstinuerit : usque adeo, ut periculum et perniciem corpori suo conciliarit. Atque hoc modo vivens, exemploque suo optimum vivendi institutum ostendens, in admirationem quidem sui extulit omnes. Eos autem qui dare aut communicare quidquam cum eo volebant, familiares suos, aversatus est.

A ται. Καί γ' ἐφύλαττε διαφερόντως αὐτὰ, ἐν ψύχει καὶ γυμνότητι διακαρτερῶν καὶ παρ' ἡλικίαν· καὶ ἐν ταύταις ἐπιδεδειγμένος τὸ προθυμον ὡς καὶ γῆν πολλὴν χρόνοις μακροῖς διερχόμενον, μηδαμῶς ὑποδήμασι χρήσασθαι· οἴνου τε πάμπαν ἀποσχέσθαι καὶ τῶν ἄλλων πλὴν τῆς ἀναγκαίας τροφῆς· ὡς καὶ κίνδυνον καὶ διαφθορὰν τῷ σώματι προξενῆσαι, Οὕτω δὲ βιῶν, καὶ τῷ καθ' ἑαυτὸν ὑποδείγματι τὸν ἄριστον εἰκονίζων βίον, κατέπληττε μὲν ἅπαντας· εἰσφέρειν δὲ καὶ κοινωνεῖν αὐτῷ τοὺς οἴκοι βουλομένους ἀπέτρεπε.

CAPUT VI.

Qui ab eo ducti et edocqi, martyrii coronis sint exornati.

Complures sane ex sectatoribus suis, atque etiam ex eis qui adulterinæ erant doctrinæ, ad eumdem philosophandi amorem excitavit. In quorum intimis animis i ta divinum fidei verbum insevit, ut maturum uberemque deinceps caperet fructum : in tantum, ut ex eis quidam, persecutionum temporibus, maryrii coronis sint illustratit. Primus quidem, quem diximus, Plutarchus fuit : qui cum ad supplicium duceretur, parum abfuit quin Origenes quoque ab illius occideretur civibus, ut qui auctor necis illius dictus esset. Idque factum profecto esset, nisi eum rursum (quæ res ejus omnes dirigebat) divina Providentia custodivisset. Secundus ab hoc martyr fuit Serenus, qui ex schola illius profectus, spectatam fidei constantiam in igne aperte exhibuit. Heraclides porro tertium obtinuit locum, **351** cum adhuc in sacra institueretur doctrina, utpote catechumenus. Quartus Heron symbola (1) adhuc et signa divinæ lucis circumferens (2) : utrique ii gladio sunt percussi. Quintus ordine, scholæ illius alumnus, priori illi cognominis, Serenus alter, post quamplurima tormentorum discrimina, per capitis resectionem, pro veræ pietatis præmio, divinam gloriæ suscepit coronam. Sextus deinde Basilides, qui decantatam illam Potamiænam, ex commiseratione ab impudicorum multorum petulanti injuria vindicavit.

B

C

D

ΚΕΦΑΛ. ϛ'.

Τίνες ὑπ' αὐτῷ καθοδηγηθέντες, μαρτυρικοῖς στεφάνοις κατεκοσμήθησαν.

Πολλούς γε μὴν καὶ τῶν φοιτητῶν ἐπὶ τὸν ὅμοιον τῆς φιλοσοφίας αὐτῷ ἀνηρέθισεν ἔρωτα, καὶ τῶν ἀπὸ τῆς νόθου διδασκαλίας· οἷς δῆτα καὶ κατὰ βάθους ψυχῆς τὸν θεῖον τῆς πίστεως λόγον ἐγκατασπείρων, οὕτως ὥριμον ἐδράψατο τὸν καρπὸν, ὡς καὶ τινας αὐτῶν τῷ τῶν διωγμῶν καιρῷ μαρτυρίου στεφάνοις ἐνδιαπρέψαι. Πρῶτος τοίνυν, ὃν εἰρήκαμεν, Πλούταρχος ἦν· οὗ ἀπαγομένου τὴν ἐπὶ θάνατον, μικροῦ καὶ Ὠριγένης πρὸς τῶν ἐκείνου ἀνῄρητο πολιτῶν, ὡς αἴτιος αὐτῷ τῆς τοῦ βίου χρηματίσας ἀπαλλαγῆς, εἰ μὴ τοῦτον αὖθις ἡ τὰ κατ' αὐτὸν διεξάγουσα θεία πρόνοια ὑπέρτερον διετήρει. Σερῆνος δὲ μετὰ τοῦτον μάρτυς ἐδείκνυτο, τῆς διατριβῆς ἐκείνου τυγχάνων· τὸ δόκιμον τῆς πίστεως ἐν πυρὶ καταφανὲς ὑποδείξας. Ἐπὶ δὴ τούτῳ τρίτος ἦν Ἡρακλείδης, ἔτι τὸν ἱερὸν κατηχούμενος λόγον. Καὶ ἄλλος τέταρτος· Ἥρων ἦν αὐτῷ ὄνομα· ἔτι τὰ σύμβολα τοῦ θείου φωτὸς περικείμενος. Καὶ ἀμφω δὲ ξίφει τὸν βίον μετήλλαξαν. Ἕτερος δὲ Σερῆνος, τῷ πρώτῳ ὁμώνυμος, πέμπτος οὗτος τῆς ἐκείνου σχολῆς, ἆθλον εὐσεβείας μετὰ πλείστην ὅσην πεῖραν δεινῶν, καὶ κεφαλῆς ἐκτομὴν, τὸν θεῖον τῆς δόξης περιέθετο στέφανον. Ἕκτος ἐπ' ἐκείνῳ Βασιλείδης, ὁ τὴν περιβόητον Ποταμίαιναν τῆς τῶν πολλῶν ἀκολάστου ὕβρεως ἀπείρξας, ἐλέῳ τῷ περὶ αὐτὴν χρησάμενος.

CAPUT VII.

De discipula ejus Potamiæna martyre.

Ex feminis autem septima est Rais, quæ adhuc de fide et sacris nostris instituebatur, et baptismo (sicuti alicubi ipse dicit) per ignem suscepto, martyrium complevit. Octava porro Potamiæna, cujus adhuc celebris est apud populares suos fama : ut scilicet plurima, contra amatores, pro pudicitia et virginitate sua tuenda, subierit certamina (accedebat enim in ea florentis animæ ulchritudinem, etiam forma, et vigor vultus in-

ΚΕΦΑΛ. Ζ'.

Περὶ τῆς μαθητρίας αὐτοῦ Ποταμιαίνης τῆς μάρτυρος.

Ἀπὸ δὲ τῶν γυναικῶν ἑβδόμη μέν ἐστιν ἡ Ραΐς, ἔτι κατηχουμένη τὸ βάπτισμα, ὡς πού φησιν αὐτὸς, τὸ διὰ πυρὸς λαβοῦσα. Καὶ ἐπὶ τούτοις ὀγδόη ἡ Ποταμίαινα, ἧς δὴ πολύς τις λόγος παρὰ τοῖς ἐπιχωρίοις ἔτι κρατεῖ· ὡς πλεῖστα δῆτ' ἀγωνισαμένης ὑπὲρ τῆς ἐνούσης αὐτῇ παρθενίας πρὸς ἐραστάς. Ἐπήνθει καὶ γὰρ αὐτῇ πρὸς τῷ τῆς ψυχῆς ὡραίῳ καὶ τὸ τῆς ὄψεως εὐφυές, καὶ ἀκμαῖον ταμάλιστα. Πολὺ γοῦν τὸ γενναῖον ἐνδειξαμένης μετ' ἀφορήτους

(1) In sacro baptismo suscepta.

(2) Neophytus videlicet.

βασάνους, τέλος σύναμα τῇ μητρὶ Μαρκέλλῃ τὸν διὰ πυρὸς εἰσδέξασθαι θάνατον. Λέγεται μέντοι τὸν δικαστὴν Ἀκύλαν χαλεπῶς αὐτῇ τὸ σῶμα πρότερον καταξάναντα, εἶτ' ἀκολάστοις νεανίαις ἐφ' ὕβρει δοῦναι προσαπειλῆσαι. Ὁ δ' αἱρεῖται, βραχύ τι διαλιποῦσαν ἀναπνεύσασθαι· καὶ τὴν ἀπόκρισιν γεννικὴν εὖ μάλα ἐπαγαγεῖν, ὡς καὶ νενομισμένον δόξαι τῷ δικαστῇ τε ἀσεβῆς ἐπιφθέγξασθαι· εὐθὺς δὲ καὶ τῷ λόγῳ δεξαμένην τὴν δίκην πρὸς Βασιλείδου τῷ τῆς καταδίκης τόπῳ ἀπάγεσθαι. Ὡς δὲ τὸ πλῆθος, βάλλειν τε σκώμμασι, καὶ λόγοις ἀκολάστοις πρόχειρον ἐνυβρίζειν ἦν, Βασιλείδης φιλανθρωπότερον περὶ τὴν μάρτυρα διατεθεὶς, εἴργέ τε καὶ ἀνεσόβει τὸ στῖφος τῶν ὑβριστῶν. Ἡ δὲ τῆς περὶ αὐτὴν κηδεμονίας ἀποδεξαμένη τὸν Βασιλείδην, θαρρεῖν τε ἐκέλευε, καὶ οὐκ εἰς μακρὰν ἀξίας αὐτῷ τὰς ἀμοιβὰς ἐκτίσειν, παρὰ τὸν ἑαυτῆς Δεσπότην ἰοῦσαν. Ταῦτ' εἰρηκυῖαν, πίττα διάπυρος καθ' ὅλου διαχυθεῖσα τοῦ σώματος, ἐξῆγε τοῦ ζῆν. Οὐ πολὺς ὁ χρόνος τὸ ἐξ ἐκείνου, καὶ Βασιλείδης ὅρκον ἠτεῖτο τοῖς συστρατιώταις διδόναι, οὐκ ἀγεννοῦς προηγησαμένης αἰτίας. Ὁ δὲ μὴ ἐξεῖναι τοπαράπαν ὀμνοναι ἔλεγε· Χριστιανὸν γὰρ εἶναι· καὶ τοῦτο πᾶσιν ὁμολογεῖν. Οἱ μὲν οὖν τὰ πρῶτα παίζειν ᾠοντο, καὶ ἐφ' ὕβρει τῶν ἡμετέρων προβάλλειν τὸν λόγον· ὡς δ' ἐπέκειτο διισχυριζόμενος, ἐπὶ τὸν Ἀκύλαν ἀνήγετο. Ἐπεὶ δὲ καὶ ἐμφανῶς ὡμολόγει, δεσμὰ διεδέχοντο. Τινῶν δ' ὡς αὐτὸν ἰόντων ἀδελφῶν, καὶ τὴν ἀθρόαν μεταβολὴν ἐν θάμβει δὴ ποιουμένων, ἐκεῖνον λόγος εἰπεῖν, ὡς ἄρα Ποταμίαινα πρὸ τρίτης ἑστιάσα φαιδρῷ καὶ γενναίῳ τῷ παραστήματι, στέφανον τῇ ἐκείνου ἐπιθήσειε κορυφῇ, φάναι τε ὡς ὑπὲρ ἐκείνου πρεσβείαν πεποιημένην Θεῷ, μὴ διαπεσεῖν τῆς αἰτήσεως, οὐκ εἰς μακρὰν δὲ καὶ αὐτὸν μεθ' ἑαυτῆς ἐσχηκέναι. Καὶ τοίνυν τῶν ἀδελφῶν τὴ ἐν Χριστῷ σφραγῖδα περιβαλόντων αὐτὸν, τῇ μετ' ἐκείνην τῷ ὑπὲρ Χριστοῦ μαρτυρίῳ τελειωθῆναι, ξίφει τὴν κεφαλὴν ἐκτμηθέντα. Οὐκ αὐτὸς δὲ μόνον, ἀλλὰ καὶ πολλοὶ ἕτεροι ἀθρόον Χριστῷ προσιέναι κατ' Ἀλεξάνδρειαν τῷ εἰρημένῳ καθιστόρηνται διωγμῷ, τὸν ἴσον τρόπον τῷ Βασιλείδῃ τῆς Ποταμιαίνης ἐπιφαινομένης καθ' ὕπνους καὶ παρορμώσης ἐπὶ τὰ κρείττονα. Ἀλλ' οὗτοι μὲν ὑπ' Ὠριγένους κατηχηθέντες τότε, τὸ θεῖον ἆθλον ἠνέγκαντο.

A genui et liberalis summus), et constanti generositate sua, post intolerabilia tormenta satis ostensa, ad postremum una cum matre Marcella, in ignem conjecta mortem obierit. Fertur equidem, Aquilam judicem, cum corpus ejus primum graviter flagris fustibusque cecidisset, minatum ei esse, juvenibus petulantibus se eam ad contumeliam daturum : eamque, quiduam ex propositis conditionibus per optionem eligeret, interrogatam, paululum secum tacitam deliberasse, et perquam generosum animo præsenti responsum dedisse : per quod (1), moribus eorum, impium quiddam prolocuta visa est. Itaque, cum illico sententia damnationis contra eam lata, a Basilide ad locum supplicii abduceretur, et multitudo convicia atque impudica verba B per injuriam in eam conjiceret, Basilides per commiserationem humanius erga eam affectus, turbam injuriosorum hominum arcens, ab ea removit ac propulit. Ibi illa curam officiumque tale gratum habens, Basilidem confidere, et bono animo esse jussit : brevi se ad Dominum suum euntem, condignam ei relaturam gratiam. **352** Hæc cum ita dixisset, pix ignita per totum ejus corpus diffusa, vitam ei ademit. Non multum deinde intercessit temporis, et a Basilide juramentum non vili de causa inter commilitones suos exigebatur. Ille vero, non licere sibi prorsus jurare, asseveravit ; Christianum enim esse, et id se propalam omnibus profiteri. Commilitones porro primum eum ludere, et ad contumeliam nostram ea verba proferre sunt opinati. Ut autem id perseveranter confirmavit, ad Aquilam est productus : apud quem ubi idem disertis verbis est professus, illicet in vincula est conjectus. Ad quem cum fratres quidam visendum irent, et cum stupore tam repentinam ejus mirarentur mutationem : ille eis retulit, ut Potamiæna, tertio ante die, læto plane et liberali animi corporisque statu sibi insistens, et capiti suo coronam imponens, dixerit : deprecatam se esse pro eo Deum, neque preces eas frustra fore, brevique se eum secum habituram. Itaque fratres sigillum ei Christi circumfuderunt (2) : postridieque ejus diei gladio percussus, martyrium pro Christo absolvit. Non ipse vero tantum, sed et multi alii confertim Alexandriæ, in ea quæ dicta est persecutione, ad Christum transiisse, momoriæ sunt proditi : cum quidem eodem quo Basilidi modo, Potamiæna eis in somnis apparens, ad meliora eos esset cohortata. Et ii quidem ab Origene catechista eo tempore de fide instituti, divinum sic consecuti sunt immortalitatis præmium.

ΚΕΦΑΛ. Η'.

Περὶ τοῦ τολμηθέντος τῷ Ὠριγένει· τῇ ἐκτομῇ τῆς σαρκὸς τῷ παρθενεύειν δῆθεν αἱρεῖσθαι.

Οὕτω δ' ἔχοντι τῷ Ἀδαμαντίῳ, καὶ οὕτω γὰρ διωνύμως Ὠριγένης ὠνόμαστο, καὶ ἐπ' Ἀλεξανδρείας ἔτι τῆς τῶν πιστῶν προϊσταμένῳ διατριβῆς, πράγμά τι τολμᾶται, φρενὸς μὲν ἀτελοῦς καὶ νεανι-

CAPUT VIII.

Origenem sustinuisse, ut seipsum castraret, ut scilicet cœlibem peragere posset vitam.

Cum ad hunc modum Origenes Adamantius Alexandrinæ fidelium scholæ præesset, rem quamdam aggredi ausus est, imperfectæ quidem illam et juvenilis mentis, sed fidei castitatisque firmita-

(1) Δι' ἧς ἐδόκει νενομισμένον τι αὐτοῖς ἀσεβὲς ἐπιφθέγξασθαι. (Euseb. lib. VI, cap. 5.)

(2) Signaculum crucis, aut baptismum potius intellige. Græci Christiani baptismum σφραγῖδα, *signaculum*, dixere.

tem et stabilitatem satis declarantem. Quoniam enim adhuc juvenis, non solum viris, sed et mulieribus docendo salutare prædicabat verbum, volens calumniam omnem fœdæ suspicionis præcidere, et simplicius dicto illo Salvatoris intellecto : *Sunt eunuchi* **353** *quidam, qui seipsos castrarunt propter regnum cœlorum* [52], adimplere id reipsa in animo habens, seipsum castravit : summa cura et diligentia familiares suos id factum celare studens, quod tamen difficile factu erat. Permultis enim ea res innotuit. Quam ubi etiam loci ejus episcopus Demetrius rescivit, cum facinus tale est admiratus, tum fervorem tantæ fidei non improbandum esse ducens, bono eum esse animo, nihilque eam ob rem metuere jussit. Atque tum quidem tali erga eum animo fuit episcopus. Procedente vero deinceps tempore, cum hominem ubique celebrari laudarique videret, humano quodam affectu seductus, ad episcopos scribens, premere atque obscurare famam est conatus, cœtumque hujusmodi absurdum in litteris suis exposuit. Cæterum cum in Palæstina, Hierosolymorum et Cæsareæ episcopi, gloria et dignitate cæteris præstabiliores, Origenem majore dignum duxissent honore, eaque de causa per manuum impositionem in presbyterorum ordinem cooptassent, ex eo tempore gloria ejus crescente, nomineque et laude virtutis atque sapientiæ apud omnes fere homines maxime invalescente : Demetrius, quia non haberet, quod in tanto viro reprehenderet, id quod ille aliquando per juvenilem imperitiam fecerat, ad gravem traxit calumniam : et aliquantum etiam eos qui illum dignitate presbyteri ornaverant, notavit. Verum serius hæc Demetrius est exorsus ; ille enim impigre cum omnibus, qui ad se venirent, doctrinam communicabat, tempus omne et studium discipulis suis impertiens. Interea Severus decem et octo annis imperio flagitiose administrato, Antoninum Caracallam filium suum successorem habuit.

CAPUT IX.

De admirandis Narcissi Hierosolymorum episcopi miraculis.

Ea tempestate Alexander, ex illis unus qui plurima in persecutione sub Severo pro vera pietate sustinuerant, a Deo servatus, administrationem ecclesiæ Hierosolymitanæ suscepit : Narcisso, qui ibi munus id gesserat, adhuc superstite. De quo Narcisso ejus loci homines cum multa alia admiranda opera memorant, tum hoc etiam in litteras relatum tradunt. Dicunt enim, ad **354** vesperam Paschæ oleum ad usum lucernarum defecisse : quod cum populus ægre ferret, Narcissum mandasse, ut ejus rei ministri ex propinquo puteo aquam haurirent, atque ad se afferrent. Hoc sic facto, illum precatum esse, aquæ benedixisse, et germana certaque fide, ut in lucernas infunde-

[52] Matth. XIX, 12.

κῆς, πίστεως δ' οὖν καὶ σώφρονος βίου καθυπογράφον στερρότητα. Ἐπειδὴ γὰρ οὐ μόνον ἀνδράσιν, ἀλλὰ καὶ γυναιξὶ νέος ὢν ἔτι τὸν σωτήριον ὡμίλει λόγον, πᾶσαν αἰσχρᾶς ὑπονοίας περιαιρεῖν ἐθέλων διαβολὴν τοῖς ἀπίστοις, ἁπλούστερον ἐκλαβόμενος τὴν σωτῆρος ἐκείνην φωνήν, τὸ, Εἰσὶν εὐνοῦχοι οἵτινες εὐνούχισαν ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ τὴν ἐντολὴν ἐκπληρῶσαι θέλων καὶ ἔργοις, ἀπέτεμεν ἑαυτόν· ὅτι μάλιστα διὰ σπουδῆς φροντίσας τοὺς περὶ αὐτὸν γνωρίμους διαλαθεῖν· τὸ δ' ἄρα ἧκιστα ἦν εὐχερές· καὶ πολλοῖς μὲν γὰρ ἔγνωστο. Ἐπεὶ δὲ καὶ ὁ τῆς παροικίας πρεσβύτης Δημήτριος ἔγνω, τῆς μὲν τόλμης ἐθαύμασεν· ἀποδοχῆς δὲ τὸ ζέον τῆς περὶ αὐτὸν πίστεως ἀξιῶν, θαρρεῖν τε ἐκέλευε, καὶ τοῦ ἔργου μᾶλλον ἀσθῆ ἔχεσθαι προύτρέπετο. Καὶ τότε μὲν οὕτω γνώμης εἶχε περὶ αὐτὸν ὁ ἐπίσκοπος· χρόνῳ δὲ προϊόντι ὁρῶν αὐτὸν ἁπανταχοῦ ὡς λαμπρόν τε καὶ μέγα ἐπιδοώμενον, πάσχει τι καὶ αὐτὸς ἀνθρώπινον, καὶ τοῖς ἐπισκόποις γράφων, τὴν περὶ αὐτοῦ δόξαν ἀμαυροῦν ἐπειρᾶτο, τὸ ἄτοπον τοῦ ἐγχειρήματος καταλέγων τοῖς γράμμασιν. Ἐπεί τοί γε οἱ δόξῃ καὶ τιμῇ κατὰ Παλαιστίνην ἐπίσκοποι Καισαρείας καὶ Ἱεροσολύμων, ἄξιον ὑπερτέρας τιμῆς θεσμίσαντες, χεῖράς τε ἐπίθηκαν, καὶ τῶν τοῦ πρεσβυτερίου πρεσβείων ἠξίουν· ἐκ τοίνυν τούτου, εἰς μέγα δόξης προήκοντα, ὄνομά τε καὶ κλέος ἀρετῆς καὶ σοφίας παρὰ πᾶσι σχεδὸν ἀνθρώποις μέγιστον κεκτημένον ἥκιστα Δημήτριος ἄλλο τι ἔχων κατηγορεῖν τοῦ ἀνδρός, τοῦ πρόπαλαι τολμηθέντος τῇ νεανικῇ ἡλικίᾳ δεινὴν ἐποιεῖτο διαβολήν, ὀψὲ μὲν ἐπὶ τὸ πρεσβυτέριον καλοῦντας συμπεριλαμβάνων ταῖς μέμψεσιν. Ἀλλ' οὐ μέντοι ποτε ταῦτα· τότε γε μὲν ἀόκνως πᾶσι τοῖς προσιοῦσι τὸ τῆς διδασκαλίας ἐπέρρει νᾶμα, τὴν πᾶσαν σχολὴν τοῖς ὡς αὐτὸν φοιτῶσιν ἐνδιατρίβων. Ἐν τούτῳ δὲ Σεουῆρος ἐπὶ πρὸς δέκα ἔτεσι μοχθηρῶς τῇ ἐξουσίᾳ χρησάμενος, τῷ παιδὶ Ἀντωνίνῳ αὐτὴν καταλείπει, ὃς δὴ καὶ Καράκολλός ἐπεκλήθη.

ΚΕΦΑΛ. Θ'.

Περὶ τῶν κατὰ Νάρκισσον παραδόξων θαυμάτων, ὃς Ἱεροσολύμων ἐπίσκοπος ἦν.

Κατ' ἐκεῖνο τοίνυν καιροῦ Ἀλέξανδρος εἷς ὢν τῶν ὑπὲρ εὐσεβείας πλεῖστα παθόντων τῷ κατὰ Σεουῆρον διωγμῷ, πρὸς Θεοῦ δὲ τηρηθείς, τῆς Ἱεροσολύμων Ἐκκλησίας τοὺς οἴακας ἐγχειρίζεται, ἔτι Νάρκίσσου, ὃς ἦν ἐκεῖ πρότερον, περιόντος τῷ βίῳ· ὑπὲρ οὗ πολλὰ μὲν οἱ ἐκεῖσε μνήμης ἔργα παράδοξα διασώζουσιν, ἐν οἷς καὶ τοῦτο προσιστοροῦσι. Φασὶ καὶ γὰρ ὡς κατὰ τὴν ἑσπέραν τοῦ Πάσχα ἔλαιόν τι πρὸς χρείαν τῶν θρυαλλίδων ἐπιλιπεῖν· ἐν δεινῷ δὲ τοῦτο ποιουμένου τοῦ πλήθους, κελεῦσαι τὸν Νάρκισσον, ἐκ τοῦ πάρακειμένου φρέατος ἀντλῆσαι τοῖς περὶ ταῦτα διακονουμένοις ὕδωρ, καὶ ὡς αὐτὸν ἀγαγεῖν. Ἐπεὶ δὲ τοῦτο παραχρῆμα ἐγίνετο, ἐκτύξασθαι μὲν καὶ εὐλογῆσαι τὸ ὕδωρ· εἶτα πίστει

γνησίᾳ κελεῦσαι κατὰ τῶν λύχνων ἐγχέειν. Καὶ ὡς ἐκέλευε δεδρακότων, θείᾳ δυνάμει τὸ ὕδωρ εἰς ἔλαιου φύσιν αὐτίκα μεταστοιχειωθῆναι καὶ χρώματι καὶ ποιότητι· ὡς καὶ τῷ πυρὶ παρέχειν καινήν τινα φωταύγειαν ἐκπολίμπειν. Ἐξ οὗ καὶ πολλοῖς εἰς θαύματος χάριν ἄχρι δὴ πολλοῦ ἐφυλάττετο. Πολλὰ δὲ καὶ ἄλλα περὶ τῆς τοῦ βίου ἀγωγῆς αὐτοῦ ἄξια μνήμης διαθρυλλοῦσιν· ὧν ἐπίσημον καὶ τόδε ἐμφέρεται· ἀνθρώπι' ἄττα φαῦλα, σύντροφα μὲν ἁπάσῃ μοχθηρίᾳ, κακοῖς δὲ μυρίοις τὸ ζῆν διεντλοῦντα, τὸ τοῦ ἀνδρὸς εἰδότες ἀνένδοτον, δεδοικότες μὴ δίκας ἑλόντες οἷς αἰσχροῖς ἔπραττον ἀποτίσωσι, ῥᾳδιουργίαν τινὰ συσκευάσαντες, δεινὴν ἐποίουν αὐτῷ τὴν διαβολήν. Τὰ πιστὰ δὲ λέγειν παρέχοντες ἔννοιαν, ὅρκοις τὴν συκοφαντίαν ὡς ἀληθῆς εἴη κατησφαλίζοντο. Καὶ ὁ μὲν ᾗ μὴν πυρὸς δεκάνημα γένοιτο· ὁ δὲ κελαμναίᾳ νόσῳ διαφθαρείη· ὁ δὲ τρίτος, ᾗ μὴν τὰς ὄψεις παρώσει ἀποβαλεῖν ὤμνυον. Καίπερ δ' οὕτως τἀσφαλὲς τοῖς ὅρκοις ὑπισχνουμένοις οὐδενὶ προσέχειν ᾔν, ἀκριβῶς εἰδότες τό τε σῶφρον τἀνδρὸς, καὶ τὴν ὡς ἐπίκαν λάμπουσαν ἀρετὴν τοῦ Ναρκίσσου. Ἐκεῖνος δ' οὖν τὴν τῶν ἀνδρῶν μοχθηρίαν μὴ οἷός τε ὢν φέρειν, ἄλλως δὲ καὶ τὸν ἥσυχον καὶ ἀπράγμονα βίον μεταδιώκων, φιλοσόφως τε ζῆν ἠρημένος, τὸ πλῆθος ἅπαν παραλογισάμενος διαδρὰς, ἐπὶ πολλοῖς ἔτεσιν ἀφανὴς ἦν. Κἀκεῖνος μὲν οὕτως εἶχε καὶ διατριβῆς καὶ διαίτης. Ὅ γε μὴν μέγας τῆς δίκης ὀφθαλμὸς οὐδαμῶς ἠρέμει· τοὺς δ' ἀλάστορας ἐκείνους μέτεισιν ὅσον τάχος· καὶ οἷς ἐάλωσαν ἐπιορκοῦντες, ἱκανῶς κατεδέσμει. Ὁ μὲν οὖν πρῶτος, ἐξ οὐδεμιᾶς προφάσεως ἑνὸς σπινθῆρος τοῦ λύχνου ἐκσκιρτήσαντος, τῆς οἰκίας ὑφαφθείσης αὐτῷ, παγγενεὶ καταφλέγεται πυρὸς δαπάνῃ παρὰ δόξαν σὺν περιουσίᾳ πάσῃ καὶ τοῖς κατὰ γένος αὐτῷ προσήκουσι γεγονώς· ὁ δ' ἀθρόον δεινῇ νόσῳ ἐνσκηψάσῃ καθ' ἅπαντος σώματος βάλλεται· ὁ δὲ τρίτος, τὴν ἔκβασιν τῶν δεινῶν ἐν ἐκείνοις σκοπήσας, καὶ τὸ ταχύπουν τῆς θείας δίκης τοῦ πάντων ἐφόρου Θεοῦ, τὰ κοινῇ σφίσιν τἀνδρὶ ἐσκαιωρημένα εὐθὺς ὡμολόγει. Οἰμωγαῖς δὲ καὶ δάκρυσιν οὐ διέλιπεν, ἕως οὗ τὸ φῶς τῶν ὀμμάτων ἀπορρύσιν ἔγνω. Καὶ οἱ μὲν οὕτω τῆς κατὰ τοῦ ἀνδρὸς ἀπώναντο ψευδορκίας.

retur, jussisse. Quare ut jusserat peracta, divina vi et efficacia aqua derepente in olei naturam colore et qualitate versa, igni novam quamdam clarioremque lucem præbuit. Ex quo tempore id oleum a multis miraculi gratia diutissime est servatum. Plura præterea de vitæ ejus instituto memoratu digna referunt, in quibus et illud præclarum est. Homines quidam mali, qui per flagitia omnia et scelera innumera vitam exegerant, constantiam et severitatem viri noverant. Itaque judicium ejus timentes, ne in fœdo deprehensi facinore, quas meriti essent, luerent pœnas, fallaciam quamdam antevertentes comminiscuntur, et gravem ei impingunt calumniam. Atque ut opinionem se vera dicere apud homines consequerentur, sycophantiam perjurio confirmant : diris quoque sese, si fallerent, devoventes : primus quidem, ut igni conflagraret ; secuddus, ut sontico detestabilique morbo periret ; tertius vero, ut oculis privaretur. Et quamvis illi calumniam juramenti et exsecrationis obtentu contexissent, nemo tamen eis fidem habebat : quippe omnibus Narcissi castitas et virtus spectata erat. Ille autem, cum improbitatem tantam hominum eorum ferre nequiret, aliterque a negotiis semotam, quietam, philosophicamque vitam persequeretur, multitudine, arte quadam decepta, profugit, atque annis multis non comparuit. Et ille quidem ita vitam, ac deinde discessionem instituerat. Cæterum magnus ille vindictæ oculus nequaquam cunctabatur, sed quam celerrime pestiferos et perniciosos illos homines comprehensos, malis eis quibus seipsos juramento interposito obstrinxerant, maxime devinxit. Primus igitur nulla prope de causa, scintilla unica a lucerna prosiliente domo succensa, una cum omnibus genere sibi propinquis, atque etiam cum substantia omni, miserabiliter præter opinionem omnem comburitur. **355** Secundus morbo gravissimo, qui totum ejus corpus invasit, corripitur. Tertius porro, cum tam gravem et durum in illis exitum rei videret, et celeritatem omnia speculantis divinæ vindictæ consideraret, quæ communiter inter se, per dolum et malitiam, contra virum optimum confinxissent, statim est professus : neque luctus lacrymarumque prius modum fecit, quam una cum illis oculorum vim et aciem diffluere sensit. Sic illi dignum perjurii tulere pretium.

ΚΕΦΑΛ. Ι'.

Ὡς Ἀλέξανδρος Καισαρείας ἐπίσκοπος χρησμῷ θείῳ εἰς τὴν Ἱεροσολύμων μετετέθη καθέδραν, ἔτι ζῶντος τοῦ πρὸ αὐτοῦ Ναρκίσσου· καὶ δύο ἅμα ὄντες, τὰ τῆς Ἐκκλησίας διεῖπον· καὶ περὶ τῶν Ἀλεξάνδρου συγγραμμάτων.

CAPUT X.

Ut Alexander Cæsareæ episcopus, oraculo divino ad Hierosolymorum episcopatum sit traductus, vivente adhuc decessore ejus Narcisso : utque duo simul epsicopi ecclesiam ibi rexerint : et de Alexandri scriptis.

Τοῦ δὲ Ναρκίσσου δρασμῷ χρησαμένου, καὶ ἐς πολὺ τοῦ χρόνου ἐν τῷ ἀφανεῖ καθεστῶτος, τοῖς τῶν ἐκκλησιῶν ἡγουμένοις δόξαν οὕτω, ἐπὶ χειροτονίαν ἑτέρου ἐτράποντο· καὶ Δίῳ τινὶ τὴν κλῆσιν τὴν τῆς Ἐκκλησίας Ἱεροσολύμων ἐπιστασίαν ἐπέτρεπον· οὗ μετ' ὀλίγον ἀπειπαμένου τὸ ζῆν διάδοχος Γερμανίων ὄνομα ἦν. Καὶ τούτου τρίτος πάλιν ἕτερος ὄνομα Γόρδιος· ἐφ' οὗ ὡς ἔκ τινός ποθεν ἀναβιώ-

Cum vero Narcissus profugus longo tempore non appareret, ecclesiarum antistitibus visum est, alium episcopum ordinare. Ita illi Dium quemdam Hierosolymorum præficiunt Ecclesiæ : cui, quod non multo post decessit, Germanion successor sufficitur, atque huic rursum tertius succedit Gordius. Sub quo Hierosolymis subito, veluti ex quadam reviviscentia præsto adest Narcissus, epi-

scopatumque Ecclesiæ ibi, fratribus plurimum cogentibus, recipit. Multum porro venerationis ei accesserat, ex philosophico illo secessu : et propter alia plurima bona, etiam ex vindicta illa nefariorum hominum, qua eum etiam absentem Deus fuerat dignatus. Quandoquidem autem propter ætatem decrepitam (jam enim centum et sex annos vixerat) ministerium suum obire nequibat : Alexandrum, quem diximus, alterius provinciæ episcopum, una cum Narcisso, providentia et dispositio divina Hierosolymitanæ Ecclesiæ præficit, noctu per visionem ei designans omnia. Qua etiam ille, veluti divinum aliquod oraculum perficiens. ex ipsa Cappadocia, ubi episcopatum gerebat, excitus, Hierosolymitanam profectionem precationis ergo, atque ut res ibi peractas cognosceret, susB cepit. Itaque fratres Hierosolymis, affectione amica et pia, Alexandrum domum redire passi non sunt : ex alia videlicet, quæ eis noctu fuerat oblata, et idem bonis ibi omnibus denuntiaverat, revelatione. Acceperant etiam, cum extra portas obviam ei honoris ego progressi fuissent, cœlitus vocem, dicentem : Quem vobis gratia divina misit, eam ultro suscipite episcopum. **356** Hoc ubi sic factum est, finitimis episcopis etiam, qui circumcirca ecclesias regebant, designationi ei acquiescendum esse visum est. Quamobrem cogentes, ut ibi maneret, ei necessitatem imposuerunt, annuente etiam ipso Narcisso. Ejusmodi communis cum Narcisso episcopatus administrationis, Alexander quoque ipse in epistola ad Antinoi- C tas (1) ab ipso scripta, circa finem hisce verbis meminit : « Salutat vos Narcissus, qui ante me locum episcopatus hujus tenuit : et nunc ad centum et sedecim annos vita extracta, orationibus mecum incumbit, cohortans vos mecum, ut consentientes idem sapiatis. » Mentionem etiam Alexander Asclepiadæ facit, qui Antiochiæ Serapioni successit, cujus paulo ante quoque in hæresi secundum Phryges meminimus. Verba ejus sic habent : « Alexander servus et vinctus Jesu Christi, beatæ Antiochenorum ecclesiæ in Domino salutem. Facilia mihi et levia Dominus, custodiæ meæ tempore, vincula effecit, cum intellexissem, sanctæ vestræ Antiochenæ ecclesiæ episcopatum, divina providentia, Asclepiadæ propter eximiam fidem D maxime idoneo, demandatum esse. » Eam epistolam per Clementem, quem etigm commendat, se ad eos mittere, hisce verbis indicat : « Litteras hasce, domini fratresque mei, ad vos misi, cum Clemente presbytero beatissimo, insigni spectataque virtute prædito viro, quem vos novistis, atque etiam amplius cognoscetis. Is cum hic esset, per providentiam et visitationem Domini, confirmavit atque auxit Ecclesiam Dei. » Idem Clementis quoque et Pantæni, ut familiarium sibi virorum, in

Λ σεως φανεὶς Νάρκισσος, τῶν ἀδελφῶν ὡς πλεῖστα βιασαμένων ἐπὶ τὴν τῆς Ἐκκλησίας προστασίαν ἀνέδαινεν. Ἐπιμᾶλλόν τε ἦν αἰδέσιμος τῆς τ' ἀναχωρήσεως καὶ φιλοσοφίας, καὶ πρὸς ἄλλοις πλείστοις χρηστοῖς, οἷς καὶ πρὸς Θεοῦ ἐπὶ τοῖς ἀλιτηρίοις ἐκείνοις τοιαύτης δίκης ἠξίωτο, καὶ ταῦτα δι' μὴ παρών. Ἐπεὶ δὲ χρόνῳ διὰ λιπαρὸν γῆρας (ς' γὰρ πρὸς τοῖς ἑκατὸν ἔτη διέζησεν), οὐχ οἷός τε ἦν λειτουργεῖν, τὸν εἰρημένον Ἀλέξανδρον ἐπάρχειν ἐπαρχίας ἐπίσκοπον ὄντα, θεία τις οἰκονομία ἅμα Νάρκίσσῳ ἐπὶ τὴν τῆς Ἐκκλησίας Ἱεροσολύμων εἵλκυεν ἐπιστασίαν, νύκτωρ αὐτῷ πάντα κατημνύουσα. Ταύτῃ τοι καὶ ὥς τινα θεῖον χρησμὸν ἐκτελῶν, ἐκ τῆς Καππαδόκων ἀπάρας, ἐν ᾗ καὶ τὴν ἐπισκοπὴν εἶχε, τῆς ἐπὶ τὰ Ἱεροσόλυμα εὐχῆς χάριν καὶ ἱστορίας τῶν ἐκεῖσε ἱερῶς πεπραγμένων ἥπτετο. Οἱ τοίνυν ἐκεῖσε ἀδελφοὶ φιλοφρόνως ὑπαντιάσαντες, οὐκέτι καὶ τῆς οἴκαδε πάλιν ἐπέτρεπον ἅπτεσθαι, καθ' ἑτέραν δηλαδὴ ἀποκάλυψιν, νύκτωρ δὴ καὶ αὐτοῖς ὀφθεῖσαν, καὶ ταυτὸ πᾶσι τοῖς ἐκεῖ σπουδαίοις χρήσασαν· ἔλεγε δὲ ἡ ὄψις, ἔξω γενομένους πυλῶν, τὸν, ὃν ἡ χάρις ἐπίσκοπον αὐτοῖς ἔπεμπεν, ὑποδέχεσθαι. Τοῦτο γενόμενον, καὶ τοῖς ὁμόροις τῶν ἐπισκόπων οἱ τὰς πέριξ διεῖπον ἐκκλησίας, δεῖν στέργειν λελόγιστο. Καὶ προσῆγον ἀνάγκην, καὶ παρ' αὐτοῖς μένειν κατεδιάσαντο, συναινέοντος αὐτοῖς καὶ Νάρκίσσου. Τῆς δὲ τοιαύτης σύναμα Νάρκίσσῳ προεδρίας καὶ αὐτὸς ποὺ μεμονεύει Ἀλέξανδρος ἐν τῇ πρὸς Ἀντινοίτας ἐπιστολῇ γραφείσῃ ἐπιστολῇ, πρὸς τῷ τέλει τοῦ γράμματος τάδε κατὰ ῥῆμα διεξιών· « Ἀσπάζεται ὑμᾶς Νάρκισσος ὁ πρὸ ἐμοῦ διέπων τὸν τόπον τῆς ἐδέης ἐπισκοπῆς, καὶ νῦν συνεξεταζόμενός μοι διὰ τῶν εὐχῶν, ἑκατὸν δέκα ἓξ ἔτη ἠνυκώς· παρακαλῶν ὑμᾶς ὁμοίως ἐμοὶ ὁμοφρονῆσαι. » Μέμνηται δὲ καὶ Ἀσκληπιάδου Ἀλέξανδρος ὃς ἐν Ἀντιοχείᾳ Σαραπίωνα διεδέξατο, οὗ μικρῷ πρόσθεν ἐν τῇ κατὰ Φρύγας αἱρέσει μνείαν πεποιήμεθα, γράφων οὕτως· « Ἀλέξανδρος ὁ δοῦλος καὶ δέσμιος Ἰησοῦ Χριστοῦ τῇ μακαρίᾳ Ἀντιοχέων Ἐκκλησίᾳ ἐν Κυρίῳ χαίρειν. Ἐλαφρά μοι καὶ κοῦφα τὰ δεσμὰ ὁ Κύριος ἐποίησε κατὰ τὸν καιρὸν τῆς εἱρκτῆς, πυθομένῳ τῆς ἁγίας ὑμῶν τῶν Ἀντιοχέων Ἐκκλησίας κατὰ τὴν θείαν πρόνοιαν, Ἀσκληπιάδην τὸν ἐπιτηδειότατον καὶ ἀξίαν τῆς πίστεως τὴν ἐπισκοπὴν ἐγκεχειρισμένον. Ταύτην δὲ καὶ διὰ Κλήμεντος πέμπειν ἐπισταμένου, ὃν καὶ συνίστησι, ταῦτα λέγων· « Ἴδε, κύριοί μου ἀδελφοί, τὰ γράμματα ἀπέστειλα διὰ Κλήμεντος τοῦ μακαριωτάτου πρεσβυτέρου, ἀνδρὸς ἐναρέτου καὶ δοκίμου· ὃν ἴστε καὶ ὑμεῖς καὶ ἐπιγνώσεσθε· ὃς καὶ ἐνθάδε παρὼν, κατὰ τὴν πρόνοιαν καὶ ἐπισκοπὴν τοῦ δεσπότου, ἐπεστήριζέ τε καὶ ηὔξησε τὴν τοῦ Θεοῦ Ἐκκλησίαν. » Ὁ δ' αὐτὸς καὶ Κλήμεντος καὶ Πανταίνου ἔν τινι πρὸς Ὠριγένην ἐπιστολῇ μνημονεύει ὡς γνωρίμων αὐτῷ τῶν ἀνδρῶν, λέγων· « Τοῦτο γὰρ θέλημα Θεοῦ, ὡς ὁ

(1) Antinous, Ἀντίνοος, Ægypti urbs, in honorem Antinoi, ut supra dictum est, ab Adriano imper. condita. Vocatur etiam Antinoia, et Adrianopolis.

δας, γέγονεν, ἵνα ἡ ἀπὸ πρόγόνων ἡμῖν φιλία μένῃ ἄσυλος, μᾶλλον δὲ θερμοτέρα ἢ καὶ βεβαιοτέρα· πατέρας γὰρ ἴσμεν τοὺς μακαρίους τοὺς προσδύσαντας· πρὸς οὓς μετ' ὀλίγον ἐσόμεθα· Πάνταινον τὸν μακάριον ὡς ἀληθῶς καὶ κύριον· καὶ τὸν ἱερὸν Κλήμεντα, κύριόν μου γενόμενον καὶ ὠφελήσαντά με· καὶ εἴ τις ἕτερος τοιοῦτος. Δι' ὧν σε ἐγνώρισα τὸν κατὰ πάντα ἄριστον καὶ κύριόν μου καὶ ἀδελφόν. » Γράφει δὲ καὶ πρὸς Ἀντιοχεῖς ἑτέραν ἐπιστολήν· οὐ μὴν ἀλλὰ καὶ πρὸς Ὠριγένην καὶ ὑπὲρ Ὠριγένους κατὰ Δημητρίου· ὅτι προσμαυροῦντος Δημητρίου πρεσβύτερον αὐτὸν ἐχειροτόνησεν. Καὶ ἄλλαι δὲ αὐτοῦ πρὸς διαφόρους ἐπιστολαὶ φέρονται. Τῷ δ' ἑβδόμῳ Δεκίου διωγμῷ αὖθις τοῖς ἡγεμονικοῖς παραστὰς δικαστηρίοις, Ἀλέξανδρος στιβαρίου πεῖρυται, σεμνῷ γήρᾳ καὶ λιπαρῷ διαπρέπων, ἐχθεὶς εἰς Καισάρειαν· ἔνθα χρόνιος καθειρχθεὶς τὸν διὰ μαρτυρίου στέφανον ἀπηνέγκατο.

epistola ad Origenem meminit, ita scribens : « Hæc enim voluntas Dei, ut scis, fuit, ut quæ a majoribus nostris ad nos pervenit amicitia, sarta tecta, seu potius ferventior firmiorque esset. Patres siquidem agnoscimus beatos illos, qui noe præcesserunt, viros : cum quibus nos brevi futuri sumus. Pantænum dico, illum vere beatum et dominum : et sacrum Clementem dominum meum, et bene de me meritum : et si quis præterea fuit ejuscemodi, per quos te omnibus modis optimum dominum et fratrem meum cognovi. » Scripsit quoque aliam ad Antiochenos epistolam, aliam itidem ad Origenem, et rursum aliam contra Demetrium pro Origene ; **357** quod videlicet Origenem, Demetrio bonum ei perhibente testimonium, presbyterum crearit. Sed et aliæ ejus ad alios circumferuntur epistolæ. In persecutione autem septima sub Decio, Alexander rursum ad præsidis productus tribunal, causam dicendo judicii periculum subiit, gravi et prope decrepita senectute venerandus : Cæsareamque ductus, atque ibi aliquandiu in carcere servatus, coronam martyrii reportavit,

ΚΕΦΑΛ. ΙΑ'.

Περὶ τῆς Ὠριγένους εἰς τὰς Γραφὰς ἐπιδόσεως· καὶ περὶ τῶν Ἑξαπλῶν παρ' αὐτῷ λεγομένων ἐκδόσεων.

Τῷ δ' Ὠριγένει ἔρως ἐνσκήπτει, Ζεφυρίνου τῆς Ἐκκλησίας ἡγουμένου, τὴν Ῥωμαίων πόλιν ἰδεῖν. Γενόμενος δὲ καὶ οὐ πολὺ χρόνου ἐκεῖσε μεμενηκώς, εἰς τὴν Ἀλεξάνδρου αὖθις ἐπάνεισι, καὶ τοῦ τῆς κατηχήσεως λόγου ἐξῆρχε, Δημητρίου ἀντιβολοῦντος τοῦ ἔργου σπουδαιότερον ἔχεσθαι. Ἐκεῖνος δ' ἑαυτὸν ὁρῶν τῆς τε βαθυτέρας διανοίας τῶν νοημάτων Γραφῆς ἀπασχολούμενον, μηδὲ πνέειν ἐώντων τῶν ὁσημέραι παρ' αὐτῷ φοιτώντων ἐξ ἰωθινοῦ ἕως ἀρτι δὴ καὶ ἑσπέρας αὐτῆς, τί ποιεῖ ; Διανέμει τὰ πλήθη· καὶ Ἡρακλᾷ μὲν τῷ τῶν φοιτητῶν ἐκκρίτῳ, ὡς ἀνδρί τε λογιωτάτῳ καὶ περὶ τὰ θεῖα οὐκ ἐλαχίστην εἰσενηνοχότι σπουδήν, καὶ τῷ φιλοσοφεῖν λαμπρῶς ἐπιβάλλοντι, συνεργῷ ἐχρῆτο τῆς κατηχήσεως· καὶ δὴ τὰ μὲν εἰσαγωγικὰ τῶν ἄρτι στοιχειουμένων τῇ πίστει ἐκείνῳ ἐνῆκεν· ἑαυτῷ δὲ τῶν ἐν ἕξει τὴν ἐκβασιν ἐφυλάξατο. Ἐπὶ τόσον δ' ἡ τῶν θείων λόγων αὐτῷ ἐξέτασις ἀπηκρίβωτο. ὡς καὶ τὴν Ἑβραίων γλῶτταν ἀσκῆσαι, καὶ τὰς πρωτοτύπους παρ' αὐτοῖς βίβλους Ἑβραϊκοῖς κτήσασθαι γράμμασιν· ἐπιχειρῆσαί γε μὴν καὶ πάσας τὰς ἐκδόσεις τῶν παρὰ τοὺς Ἑβδομήκοντα τὰς ἱερὰς ἡρμηνευκότων Γραφὰς, καί τινας ἑτέρας παρὰ τὰς κατημαξευμένας ἑρμηνείας ἐναλλαττούσας, τὰς Ἀκύλα καὶ Συμμάχου καὶ Θεοδοτίωνος ἐκδόσεις, εὑρεῖν, ἔκ τινων ἀποῤῥήτων γῆς μυχῶν τὸν ἔκπαλαι διαδιδρασκούσας χρόνον, εἰς φῶς ἀγαγόντα. Δι' ὧν καὶ τὴν τῶν Ἑξαπλῶν παρ' αὐτῷ λεγομένων σπουδὴν ἐτεχνάσατο. Τίς δὲ ἡ τούτων δύνσμις, ἐντεῦθεν γνωσόμεθα. Συναγαγὼν γὰρ τὰς ἐκδόσεις τῆς ἱερᾶς Γραφῆς, ὅσαι γεγόνασι, πρῶτον μὲν τῶν ο', εἶτα καὶ τῶν μετὰ Χριστὸν γενομένων, ὧν τὴν μὲν Ἰουδαῖός τις Ἀκύλας ὄνομα πρὸς τὸ Ἑλληνικὸν μετερρύθμιτε,

CAPUT XI.

De Origenis in sacris Litteris profectu, et de sextupla ab eo dicta Scripturarum translatione.

Origeni autem Romanæ urbis visendæ, cum ibi Zephyrinus Ecclesiam regeret, cupido incessit. Ubi cum non ita diu mansisset, et inde Alexandriam rediisset, doctrinæ atque institutioni, ut catechumenorum magister, ibi præfuit, Demetrii rogatu adductus, ut eo majore studio operi ei incumberet. Cum vero animadverteret, abstrusiori se Scripturæ sensui scrutando atque eruendo, ita ut volebat, vacare non posse, quod ne respirare quidem liberius ei liceret, per eos qui quotidie a sole orto ad vesperam usque scholam ejus frequentabant ; faciendum sibi putavit, ut tantam multitudinem divideret, et Heraclam, ex sectatoribus suis præcipuum, virum doctissimum, qui in disciplinis philosophicis et sacrarum Litterarum eruditione plurimum collocaverat studii, sibi in instituendo socium et adjutorem asciseret. Ita factum, ut primum laborem eorum docendorum, qui fidei elementa nuper assecuti essent, illi demandaret : sibi ipsi vero provinciam eos instituendi qui perfectiores essent, divinamque doctrinam veluti in habitum deduxissent, reservaret. Usque eo autem accuratam sacrorum oraculorum inquisitionem et studium produxit, ut Hebraicam etiam addisceret linguam, et Hebraicos libros ad prima exemplaria descriptos conquiret : insuper etiam omnes translationes diversas eorum qui post Septuaginta Scripturas verterant, ac præter eas quæ in usu erant, Aquilæ scilicet, Symmachi, et Theodotionis editiones, alias inveniret et ex occultis abstrusisque terræ recessibus, ubi longissimo latuerant tempore, in lucem proferret. **358** Ex quibus omnibus opus quod ab eo Hexaplum sive,

Sextuplum inscriptum est, composuit : cujus operis quæ vis et ratio sit, ex sequentibus intelligetur verbis. Translationes sacræ Scripturæ, quæcunque exstarent, collegit. Primam quidem Septuaginta interpretum, deinde eorum qui post Christum natum fuere, Aquilæ Judæi cujusdam, qui eam Græce vertit, post hunc Symmachi, aliam rursus Theodotionis, et aliam deinceps innominati atque incerti cujuspiam auctoris : qui sane omnes Hebraici et Græci sermonis egregie periti fuere. Quarum translationum quamdam se Nicopoli (1), quæ ad Actium sita est, atque aliam alio tali quodam loco invenisse scribit. In Psalmorum autem Hexaplis, post quatuor celebriores editiones non quintam solum, sed et sextam, atque adeo septimam translationem se apposuisse ostendit, Jerichunte in dolio, temporibus Antonini Severi filii, repertas. Hasce igitur interpretationes atque editiones veterum inter se compositas, atque in unaquaque pagina una cum Hebraici exemplaris adnotatione digestas, proposuit. Unde certus Scripturæ sensus, translationumque consensus vel dissensus certo intelligi queat. Et sic ille nobis hexapla, sive sextupla reliquit exemplaria : cum quidem antea seorsim Aquilæ, Symmachi, Theodotionis, et Septuaginta interpretum translationem in volume quod Tetrassum, sive quadruplum nominavit, composuisset.

καὶ μετ' αὐτὸν Σύμμαχος · ἄλλην δὲ Θεοδοτίων, καὶ ἑτερός τις ἀνώνυμος ἐκδεδώκασι, σοφοί γε καὶ κατ' ἄμφω δὴ τὰς παιδεύσεις ὄντες, τήν τε Ἑβραΐδα καὶ τὴν Ἑλληνα · ὧν αὐτὸς τὴν μέν φησιν εὑρεῖν τῇ πρὸς Ἀκτίῳ Νικοπόλει, τὴν δ' ἐν ἑτέρῳ τοιῷδε τόπῳ. Ἐν δὲ τοῖς Ἑξαπλοῖς τῶν Ψαλμῶν μετὰ τὰς τέσσαρας ἐπισήμους ἐκδόσεις οὐ πέμπτην μόνον, ἀλλὰ καὶ ἕκτην καὶ ἑβδόμην παραθεὶς ἑρμηνείαν ἐπισημαίνεται, ὡς ἐν Ἰεριχοῖ εὑρημένας ἐν πίθῳ κατὰ τοὺς χρόνους Ἀντωνίνου υἱοῦ Σευήρου. Τὰς τοίνυν τοιαύτας πάσας ἐκδόσεις εἴτουν ἑρμηνείας τῶν παλαιῶν, ἀντιπαραθεὶς ἀλλήλαις, καὶ διελὼν ἑκάστῃ σελίδι μετὰ καὶ τῆς Ἑβραϊκῆς παραχαραμειώσεως, κἀντεῦθεν τὴν ἀκριβῆ τῆς Γραφῆς ἔννοιαν, καὶ τὴν πρὸς αὐτὴν τῶν ἑρμηνέων διαφωνίαν ἢ συμφωνίαν ἀσφαλισάμενος, τὰ τῶν Ἑξαπλῶν ἐμὸν ἀντίγραφα κατελέλοιπεν · ἰδίως τὴν Ἀκύλα καὶ Συμμάχου καὶ Θεοδοτίωνος ἔκδοσιν ἅμα τοῖς ε' καὶ τοῖς Τετρασσοῖς ὀνομασθεῖσιν αὐτῷ κατεσκευακώς.

CAPUT XII.

De Symmacho interprete, et discipulis Origenis.

Sciendum porro, Symmachum interpretem Ebionitarum sectæ fuisse, quæ (sicuti in superioribus exposuimus) inopes quasdam et mendicas opiniones de Christo induxit ; illum scilicet purum esse hominem, et ex Joseph et Maria principium et ortum sumpsisse, legemque Judaico more observari oportere confirmans. Edidit quoque Symmachus in sacrum Matthæi Evangelium commentaria, ex quo hæresim suam astruere et stabilire videtur. Ea vero **359** commentaria Symmachi una cum ejusdem Scripturarum versione, Origenes scripsit se a quadam femina Juliana recepisse : quæ quidem femina eos libros ab ipso auctore acceptos, apud se reservaverit. Interea et Ambrosius quidam hæresi Valentini admodum infectus, ab Origene convictus, veritatisque luce mentem illustratus, ad sinceram fidei doctrinam transiit. Et alii vero permulti, quorum aures oratione doctrinaque sua Origenes permulserat, undiquaque ad eum conveniebant, periculum de perfecta ejus doctrina facturi. Atque in iis non pauci quoque ex hæreticis, plerique vero etiam ex viris præclaris et illustribus, qui utramque philosophiam pure addidicissent, magno studio ad eum confluebant. Et quos ille idoneos esse ad philosophicas disciplinas percipiendas videbat, eos ad geometriam, arithmeticam, aliasque liberales artes producebat. Insuper autem et ad philosophorum sectas cognoscendas instruebat, dogmata eorum illis expo-

ΚΕΦΑΛ. ΙΒ'.

Περὶ Συμμάχου τοῦ ἑρμηνέως καὶ τῶν μαθητῶν Ὠριγένους.

Εἰδέναι μέντοι χρεών, ὡς τῶν ἑρμηνευτῶν ὁ Σύμμαχος τῆς Ἐβιωναίων αἱρέσεως ἦν · ἣ δή, ὡς ἔμπροσθεν διελάβομεν, πτωχά τινα καὶ εὐτελῆ περὶ Χριστοῦ δοξάζουσα ἦν · ψιλὸν γὰρ ἄνθρωπον τὸν Χριστὸν ἔλεγεν εἶναι · καὶ ἐξ Ἰωσὴφ καὶ Μαρίας τὴν ἀρχὴν ἰσχηκέναι · οἵ καὶ τὸν νόμον Ἰουδαϊκώτερον φυλάττειν χρῆναι ἀπισχυρίζοντο. Ἐξέδοτο δὲ ὁ Σύμμαχος ὑπομνήματα καὶ εἰς τὸ κατὰ Ματθαῖον ἱερὸν Εὐαγγέλιον, ἀφ' οὗ καὶ τὴν αὐτοῦ αἵρεσιν συνιστᾷν καὶ κρατύνειν δοκεῖ. Τὰ δὲ τοιαῦτα ὑπομνήματα μετὰ τῶν ἄλλων ἑρμηνειῶν Συμμάχου εἰς τὰς Γραφὰς Ὠριγένης ἱστόρησε παρά τινος Ἰουλιανῆς γυναικὸς εἰληφέναι · ἥτις πάλιν ἐκείνας ἐξ αὐτοῦ τοῦ συγγραψαμένου διαδεξαμένη, εἶχε παρ' ἑαυτῇ καὶ ἐφύλαττεν. Ἐν δὲ τούτῳ καὶ Ἀμβρόσιός τις τὰ τῆς Οὐαλεντίνου μάλα νοσῶν αἱρέσεως, πρὸς Ὠριγένους ἐλεγχθείς, καὶ τῷ τῆς ἀληθείας φωτὶ περιλαμφθείς τὴν διάνοιαν, τῷ ἀκραιφνεῖ τῆς πίστεως λόγῳ προσεισι. Πολλοὶ δὲ καὶ ἄλλοι τῇ τῶν λόγων παιδείᾳ Ὠριγένους τὰ ὦτα κατακροτούμενοι, ἀπαντεχόθεν ὡρμῶντο, πεῖράν τινα τῆς περὶ λόγους αὐτοῦ τελειότητος κατιδεῖν · οὐκ ὀλίγοι μέντοι καὶ τῶν ἐξ αἱρέσεως φιλοσόφων, καὶ ἄλλοι δὲ τῶν ἐπιφανῶν μετὰ σπουδῆς, ἐῤῥέοντο · καὶ ἅμφω τὰς φιλοσοφίας καθαρῶς ἐξασκούμενοι. Ὅσους γε μὴν πρὸς ἀναλήψεις φιλοσόφων μαθημάτων δεξιῶς ἔχοντας ἑώρα, καὶ ἐπὶ γεωμετρίαν καὶ ἀριθμητικήν, καὶ τἄλλα τῆς παιδείας πρόσαγε τὰ ἔργα · ἔτι δὲ καὶ εἰς τὰς κατὰ φιλοσόφους αἱρέσεις ἐῤῥύθμιζε, καὶ τὰ ἐκείνων ἱστόρει ἐκθέ-

(1) Euseb. lib. VI, cap. 17. Est ad Actium promontorium ab Augusto Cæsare exstructa Nicopolis. Est item non longe ab Euxino sita ejusdem nominis civitas.

γούμενος, ὑπομνήματα εἰς ἕκαστα καταλείπων · ὡς μέγαν εἶναι τὸν ἄνδρα καὶ παρ' ἐκείνοις. Τῶν δὲ ἰδιωτικῶς ἐχόντων τινὰς καὶ ἐπὶ τὰ τῶν ἐγκυκλίων εἰσῆγε μαθήματα, οὐκ ὀλίγην ἐντεῦθεν φάσκων συνάγειν ἐπιτηδειότητα πρὸς τὴν τῶν ἱερῶν μαθημάτων παρασκευήν. Ὅθεν καὶ μάλιστα καὶ ἑαυτὸν ἐξ ἀναγκαίου εἰς τὴν τῶν κοσμικῶν μαθημάτων ἄσκησιν, διὰ τοῦτο ἐνῆκε. Καὶ μαρτυροῦσιν οἱ τότε τῶν φιλοσόφων αὐτῷ συναχμάσαντες. Οἷς ἡ τοῦ ἀνδρὸς μνήμη πολλὴ τοῖς συγγράμμασι, ποτὲ μὲν προσφωνοῦσιν αὐτῷ τοὺς σφετέρους λόγους, ἔστι δ' ὅτε καὶ εἰς ἐπίκρισιν ἀναφέρουσι.

A nens, et commentarios in res quasvis edens : ita ut apud philosophos quoque magnus haberetur. Quod si qui essent paulo rudiores, eos artes cyclicas docebat, magnam inde utilitatem comparari ad sacrarum disciplinarum doctrinam perhibens. Proindeque et seipsum necessitate quadam ad profanas litteras discendas descendisse testatus est. Confirmant hoc qui eo tempore cum eo enituere philosophi, in quorum libris multa ejus invenitur mentio. Quandoque etiam illi libros ei suos dedicarunt, nonnunquam autem eos judicio ejus submiserunt.

ΚΕΦΑΛ. ΙΓ'.

Περὶ Πορφυρίου, οἷα περὶ τῆς εἰς λόγους σπουδῆς Ὠριγένους γράφει · οἷα δὲ καὶ αὐτὸς περὶ τῆς εἰς τὰ Ἑλληνικὰ ἀσκήσεως περὶ αὐτοῦ ἱστορεῖ.

B

Καὶ τί δεῖ τῶν ἄλλων ; ὅπου γε καὶ ὁ ἐκ Σικελίας Πορφύριος πλείστην ὅσην καθ' ἡμῶν ἐντείνας σπουδὴν, καὶ τὰς θείας Γραφὰς ὡς μηδὲν οὔσας ἐπελέγχειν καὶ ἀνατρέπειν βουλόμενος, μνείαν τε τῶν ἐπὶ τούτοις ἐσχολακότων, καὶ τῶν εἰς βάθος ἐξηγησαμένων ποιούμενος, ἐπεὶ μηδὲν εἶχε τοῖς δόγμασιν ἐγκαλεῖν, ἀπορίᾳ λόγων, ἐπὶ τὸ λοιδορεῖν τρέπεται, καὶ τοῖς ἐξηγηταῖς ἐπάγει τὰς μέμψεις · ἐν οἷς καὶ τὸν Ὠριγένην κατὰ τὴν ἁπαλὴν ἡλικίαν ἰδὼν, πειρᾶται μὲν ὕβρεσι πλύνειν · λέληθε δ' ὅμως παρέχων ἐκείνῳ τὴν σύστασιν, ᾗ μὲν διεξιὼν ἀληθῆ, ὅπου λέγειν ἄλλως οὐκ ἦν ἐγχωροῦν · οἷς δὲ λαθεῖν ὤφετο, καὶ μάλα ψευδόμενος. Ὡς μὲν γὰρ Χριστιανοῦ, κατηγορίαν ἐνίστατο · ὡς δὲ φιλοσόφως ζῶντα, διαγράφων ἐν τῷ θαυμάζειν. Οἷα γοῦν περὶ αὐτοῦ διέξεισιν, αὐτοῦ λέγοντος ἀκούειν χρεών · « Τῆς δὲ μοχθηρίας τῶν Ἰουδαϊκῶν Γραφῶν οὐκ ἀπόστασιν, λύσιν δέ τινες εὑρεῖν προθυμηθέντες, ἐπ' ἐξηγήσεις ἐτράποντο, ἀσυγκλώστους καὶ ἀναρμόστους τοῖς γεγραμμένοις, οὐκ ἀπολογίαν μᾶλλον ὑπὲρ τῶν ἐθνείων, παροχὴν δὲ καὶ ἔπαινον τοῖς οἰκείοις φερούσας. Αἰνίγματα γὰρ τὰ φανερῶς παρὰ Μωϋσεῖ λεγόμενα εἶναι κομπάσαντες, καὶ ἐπιθειάσαντες ὡς θεσπίσματα πλήρη κρυφίων μυστηρίων, διά τε τοῦ τύφου τὸ κριτικὸν τῆς ψυχῆς καταγοητεύσαντες, ἐπάγουσιν ἐξηγήσεις. » Εἶτα μετ' ὀλίγα · « Ὁ δὲ τρόπος τῆς ἀτοπίας ἐξ ἀνδρὸς, ᾧ κἀγὼ κομιδῇ νέος ὢν ἔτι ἐντετύχηκα, σφόδρα εὐδοκιμήσαντος καὶ ἔτι δ' ὢν καταλλήλοις συγγραμμάτων εὐδοκιμοῦντος, παραλήφθω, Ὠριγένους · οὗ κλέος παρὰ τοῖς διδασκάλοις τούτων τῶν λόγων διαδέδοται. Ἀκροατὴς γὰρ οὗτος Ἀμμωνίου τοῦ πλείστην ἐν τοῖς καθ' ἡμᾶς χρόνοις ἐπίδοσιν ἰσχηκότος γεγονὼς, εἰς μὲν τὴν τῶν λόγων ἐμπειρίαν πολλὴν παρὰ τοῦ διδασκάλου τὴν ὠφέλειαν ἐκτήσατο · εἰς δὲ τὴν ὀρθὴν τοῦ βίου προαίρεσιν τὴν ἐναντίαν ἐκείνῳ πορείαν ἐποιήσατο. Ἀμμώνιος μὲν γὰρ, Χριστιανὸς ἐν Χριστιανοῖς ἀνατραφεὶς τοῖς γονεῦσιν, ὅτε τοῦ φρονεῖν καὶ τῆς φιλοσοφίας ἤψατο, εὐθὺς πρὸς τὴν κατὰ νόμους πολιτείαν μετεβάλετο · Ὠριγένης δὲ Ἕλλην ἐν Ἕλλησι παιδευθεὶς λόγοις, πρὸς τὸ βάρβαρον ἐξώκειλε τόλμημα, ᾧ δὴ φέρων αὐτόν τε καὶ τὴν ἐν τοῖς λόγοις

C

D

CAPUT XIII.

Quæ Porphyrius de singulari Origenis in eloquentiæ et omnis generis artium doctrina studio scribat : quæ ipse quoque Origenes de suis in Græcorum litteris studiis commemoret.

Et quid opus est aliis? quando et Porphyrius et Sicilia progressus, qui plurimum studii ad id contulit, ut in Christianos inveheretur, et litteras divinas perinde atque nihil essent, reprehenderet et aboleret, mentionem inferens eorum qui in eis elaborarunt, earumque secretiorem sensum exposuerunt, cum nihil argumenti et verborum inopia haberet, quod contra nostra dogmata criminando afferret, ad convicia se convertens, et enarratores eorum carpens, **360** inter eos Origenem, quem in tenera ætate viderat, proscindere conatur. Qua tamen in re commendationem illius legitimam vel ingratiis affert, nunc quidem vera memorando, cum scilicet aliud quidquam dicere non posset : nunc vero mendacia confingendo, ubi se latere et fallere posse speraret. Siquidem eum ut Christianum criminatur : rursum vero, cum philosophice viventem describit, admiratur. Verum quæ de eo commemoret, rectius ex ipsius verbis intelligentur : « Flagitiosæ improbitatis Judaicarum litterarum non abrogationem, sed solutionem quidam se inventuros sperantes, magna animorum alacritate ad expositiones et enarrationes se contulerunt, male cohærentes, ineptas et Scripturis ipsis minime congruentes, et non tam defensionem peregrinæ disciplinæ, quam quæstum et laudem auctoribus ipsis afferentes. Magno enim fastu, apud Mosen, pleraque obscure dicta, atque ænigmata prorsus esse, præ se ferentes : et divinorum oraculorum, quæ arcanorum sensuum et mysteriorum sint plena, auctoritatem eis tribuentes, judicio eorum arrogantiæ præstigiis fascinato, enarrationes ejuscemodi instituunt. » Et paulo post : « Hujus absurditatis exemplum ab Origene sumatur (in quem ego adolescentulus admodum incidi), magna tum gloria viro : sicuti etiamnum magnum ejus est, propter ea quæ post se reliquit librorum monumenta, apud eos præcipue qui talia docent homines, nomen. Cum enim Ammonii, qui ætate nostra in maximo fuit pretio, auditor esset, plurimum in eloquentia et disciplinis omnibus apud eum magistrum est progressus; vivendi autem

instituto, contrariam illi secutus est viam. Ammonius namque Christianus, et a Christianis parentibus educatus, postquam sapere cœpit, philosophiamque attigit, illico ad legitimam vivendi rationem se contulit. Origenes autem Græcus, et Græcis eruditus disciplinis, animum ad barbaram appulit temeritatem, in qua seipsum et maturitatem, quam in politiore doctrina adeptus erat, ad quæstum exposuit : Christiane quidem ille et injuste atque impie vivens, in persuasione autem religionis atque in studiis lucubrationibusque suis Græcos consectans, et Græcorum dogmata peregrinis subjiciens fabulis. Semper enim versatus est in Platone, Numenio, Cronio, Apollophane, Longino, Moderato, Nicomacho. Plurimum etiam operæ in eorum libris posuit, qui inter ythagoricos excellunt. Usus **361** quoque est Chæremonis Stoici et Cornuti libris, ex quibus allegoricum eorum quæ apud Græcos sunt mysteriorum enarrandi morem didicit, et Scripturis Judaicis accommodavit. » Hæc Porphyrius, in tertio eorum quos contra Christianos scripsit librorum, refert. In quibus ea quidem quæ de multijuga viri eruditione commemoravit, vera sunt ; alia vero apertissime mentitur. Quid enim ille, more sycophantæ, non comminisceretur, qui contra Christianos ita est debacchatus ? Ausus quippe est, Origenem affirmare a Græcorum superstitione transfugisse ; Ammonium vero contra a veræ pietatis instituto ad peregrinam religionem transiisse : cum Origeni Christiana professio patria prorsus fuerit, sicut de eo statim a principio retulimus : Ammonius autem ad extremum usque spiritum constanter persuasionem fidei in Christum retinuerit, quemadmodum id lucubrationes ejus, quibus magnam laudem et gloriam est consecutus, manifesto testantur, præcipue vero commentarius ejus, qui de Mosis et Jesu consonantia inscriptus est ; ac deinde alii, qui ejusdem generis apud studiosos asservantur. Atque hæc propterea adduxi, ut simul et sycophantiam calumniatoris refellerem, et quantus in externis disciplinis Origenes fuerit ostenderem. Quo nomine, quod scilicet nimium in eas operæ et studii collocaret, cum a nonnullis reprehensus esset, talibus ad eos in quadam epistola usus est verbis : « Posteaquam totus divinarum Litterarum doctrinæ incubui, famaque de judicio ac studio meo increbuit, proindeque frequenter ad me advenerunt, nunc quidem hæretici, nunc autem Græcarum litterarum studiosi, et philosophi in primis : visum mihi est, et hæreticorum dogmata et philosophorum, quæ se de veritate afferre pollicentur, placita perscrutari. Qua in re imitati sumus, qui nos præcedens multis plurimum attulit utilitatis, Pantænum, non parum artibus profanis instructum : et qui nunc in ordine est Alexandrinorum presbyterorum, Heraclam, quem ego operam talibus litteris navantem apud philosophi magistrum reperi, cum quidem quinque annis ille prius sectator philosophi ejus fuisset, quam ego disciplinis talibus vacare inciperem. Quam ob causam cum antea communi vestitu usus fuisset, eo deposito, postea philosophi habitum sumpsit, quem etiam ad hunc usque diem gerit, neque libros gentilium etiamnum **362** evolvere pro viribus desistit. « Hæc de studio gentilium disciplinarum suo Origenes refert.

A ἔξιν ἐκαπήλευσε, κατὰ μὲν τὸν νόμον Χριστιανῶς ζῶν καὶ παρανόμως, κατὰ δὲ τὰς περὶ τῶν πραγμάτων καὶ τοῦ θείου δόξας Ἑλληνίζων τε, καὶ τὰ Ἑλλήνων τοῖς ὀθνείοις ὑποβαλλόμενος μύθοις. Συνῆν τε γὰρ ἀεὶ τῷ Πλάτωνι· τοῖς τε Νουμηνίου καὶ Κρονίου, Ἀπολλοφάνους τε καὶ Λογγίνου καὶ Μοδεράτου, Νικομάχου τε καὶ τῶν ἐν τοῖς Πυθαγορείοις ἐλλογίμων ἀνδρῶν, ὡμίλει συγγράμμασιν. Ἐχρῆτο δὲ καὶ Χαιρήμονος τοῦ Στωϊκοῦ, Κορνούτου τε ταῖς βίβλοις· παρ' ὧν τὸν μεταληπτικὸν τῶν παρ' Ἕλλησι μυστηρίων τρόπον γνοὺς, ταῖς Ἰουδαϊκαῖς προσῆψε Γραφαῖς. » Ταῦτ' ἐν τῷ τρίτῳ τοῖς κατὰ Χριστιανῶν γραφεῖσι Πορφύριος εἴρηκεν· ἀληθῆ μὲν περὶ τῆς πολυμαθίας εἰπὼν τοῦ ἀνδρὸς, ἐν δὲ τοῖς ἄλλοις ψευδόμενος ἐμφανῶς. Καὶ τί γὰρ συκοφαντεῖν οὐκ ἔμελλεν ὁ κατὰ Χριστιανῶν οὕτω κινούμενος ; ὅπου γε τὸν μὲν ἐξ Ἑλλήνων μετατεθεῖσθαι διατείνεται· τὸν δ' Ἀμμώνιον ἔμπαλιν ἐκ τοῦ θεοσεβοῦς βίου ἐπὶ τὸν ὀθνεῖον μεταπεσεῖν. Τῷ τε γὰρ Ὠριγένει πάτριον τὸ σέβας ἦν, ὡς τὰ περὶ αὐτοῦ καταρχόμενοι ὑπεδείκνυμεν· Ἀμμωνίῳ δ' ἐκ τῆς ζῆν ἐκείνῳ παρῆν, ἀδιαπτώτως ἡ κατὰ Χριστὸν ἐτηρήθη πίστις· ὡς καὶ οἱ αὐτῷ συγγραφέντες πάνυ ἀριδήλως ἔχουσι παριστᾷν, ἐν τοῖς μάλιστα πολὺ τὸ εὐδόκιμον ἐπαγόμενοι· ὥσπερ οὖν καὶ ὁ περὶ τῆς Μωσέως καὶ Ἰησοῦ συμφωνίας τὴν ἐπιγραφὴν κληρωσάμενος, καὶ ὅσοι ἄλλοι τῆς αὐτῆς σπουδῆς τοῖς φιλοκάλοις διατετήρηνται. Καὶ ταῦτα διῆλθον τῆς συκοφαντίας χάριν τοῦ ψευδηγόρου· ἅμα δὲ καὶ Ὠριγένην παριστῶν, ὁποῖός τις ἐμπειρίας ἦν καὶ περὶ τὴν τῶν ἔξω μαθημάτων ἀνάληψιν· ἵνα τῆς καὶ μᾶλλον πρός τινας ἐν αἰτίαις τιθεμένους τὴν ἐκείνου περὶ τὰ τοιαῦτα σπουδὴν, ταῦτα κατὰ μέρος διέξεισιν ἐπιστέλλων· « Ἐπεὶ δὲ ἀνακειμένῳ μοι τῷ λόγῳ τῆς φήμης διατρεχούσης περὶ τῆς ἐμῆς ἡμῶν προσήεσαν ὁτὲ μὲν αἱρετικοὶ, ὁτὲ δὲ καὶ ἀπὸ τῶν ἐν φιλοσοφίᾳ· ἔδοξεν ἐξετάσαι τά τε τῶν Ἑλληνικῶν μαθημάτων, καὶ μάλιστα τῶν αἱρετικῶν δόγματα, καὶ τὰ ὑπὸ τῶν φιλοσόφων περὶ ἀληθείας λέγειν ἐπαγγελλόμενα. Τοῦτο γὰρ πεποιήκαμεν, μιμησάμενοι τόν τε πρὸ ἡμῶν πολλοὺς ὠφελήσαντα Πάνταινον, οὐκ ὀλίγην ἐν ἐκείνοις ἐσχηκότα προσκευὴν, καὶ τὸν νῦν ἐν τῷ πρεσβυτερίῳ καθιδρυμένον Ἀλεξανδρέων Ἡρακλᾶν, ὄντινα εὗρον παρὰ τῷ διδασκάλῳ τῶν φιλοσόφων, ἤδη πέντε ἔτεσιν αὐτῷ προσκαρτερήσαντα, πρὶν ἐμὲ ἄρξασθαι ἐκείνου ἐκείνων τῶν λόγων· ἀφ' ὅνπερ πρότερον κεκαθαρμένος, ἀποδυσάμενος, καὶ φιλόσοφον ἀναλαβὼν σχῆμα, μέχρι τοῦ δεῦρο τηρεῖ, βικλία τε τὰ Ἑλλήνων κατὰ δύναμιν οὐ παύεται φιλολογῶν. » Ταῦτα περὶ τῆς Ἑλληνικῆς αὐτοῦ ἀσκήσεως ἱστορῶν λέγει.

ΚΕΦΑΛ. ΙΑ'.

Ὡς καὶ ἐν Ἀραβίᾳ ἦκεν Ὠριγένης· καὶ ὡς ἐν Καισαρείᾳ, μήπω πρεσβύτερος ὤν, τὰς Γραφὰς ἐπὶ κοινοῦ τῆς Ἐκκλησίας ἡρμήνευε.

Ἐντεῦθεν δ' ἐξ Ἀραβίας ἥκοντα γράμματα, ὡς κοινωνήσῃ λόγων τῷ τηνικαῦτ' ἐκείνης ἡγουμένῳ, προπεμφθείς, ἐπὶ τὴν Ἀράβων ἐστέλλετο. Οὐ πολὺν δ' ἐκεῖ παραμείνας χρόνον, εἰς Ἀλεξάνδρειαν αὖθις ἐπάνεισι. Κἀκεῖθεν πάλιν διὰ τὸν ἐπαναστάντα πόλεμον ἐξιών, καὶ τὴν Αἴγυπτον ὡς σφαλερὰν ὑποπτεύων, ἐπὶ Παλαιστίνην ἐχώρει· καὶ ἐν Καισαρείᾳ τὰς διατριβὰς ἐποιεῖτο· διαλέγεσθαί τε καὶ ἐπὶ κοινοῦ τῆς ἐκκλησίας τὰς θείας ἑρμηνεύειν Γραφὰς, καίπερ μηδέπω τῆς τοῦ πρεσβυτερίου ἠξιωμένον τιμῆς, οἱ τῇδε ἐπίσκοποι σὺν πρεσβείᾳ παραχωροῦντες ἦσαν. Καὶ τοῦτο παρίσταται ἐξ ὧν τοῦ Δημητρίου κατὰ Ὠριγένους κεκινημένου, ὡς μικρὸν ἔνωθεν διελάβομεν, καὶ τοῖς ἐν Παλαιστίνῃ γράφουσι σὺν ἄλλοις, ὅτι Τοῦτο οὐδέποτε ἠκούσθη, οὐδὲ μέχρι νῦν γεγένηται, τὸ, παρόντων ἐπισκόπων, λαϊκοὺς ὁμιλεῖν. Ἐκεῖνοι ἀπόλογον ὑπὲρ τούτου τιθέντες, ὅ τε Ἱεροσολύμων Ἀλέξανδρος, καὶ ὁ Καισαρείας Θεόκτιστος, οὐκ ἀληθῆ λέγειν ἐκεῖνον διισχυρίζονται. « Ὅπου γοῦν, φασὶν, εὑρίσκονται οἱ ἐπιτήδειοι πρὸς τὸ ὠφελεῖν τοὺς ἀδελφοὺς, καὶ παρακαλοῦνται τῷ λαῷ ὑπὸ τῶν ἁγίων ἐπισκόπων, τοῦτο οὐ πρόσκομμα· ὥσπερ ἐν Λαράνδοις Εὔελπις ὑπὸ Νέωνος, καὶ ἐν Ἰκονίῳ Παυλῖνος ὑπὸ Κέλσου, καὶ ἐν Συνάδοις Θεόδωρος ὑπὸ Ἀττικοῦ, τῶν μακαρίων ἀδελφῶν. Εἰκὸς δὲ καὶ ἐν ἄλλοις τόποις τοῦτο γίνεσθαι, ἡμᾶς δὲ μὴ εἰδέναι τοῦτο. » Τοιαύτη τις ἦν τῷ Ὠριγένει οὐ παρὰ τῶν ἐπιχωρίων μόνον ἐπισκόπων, ἀλλά γε δὴ καὶ τῶν ἐπὶ ξένης τιμή. Ἀλλὰ πάλιν Δημητρίου γράψαντος, εἰς Ἀλεξάνδρειαν ἦκει· καὶ τῶν συνήθων ἔσχετο ἔργων. Ἐς τοῦτο δὲ τοῦ χρόνου καὶ μυρίοι ἄλλοι περὶ λόγους ἦσαν ἀκμάζοντες· ὧν καὶ συγγράμματα καὶ ἐπιστολὰς ἐν τῇ κατ' Αἰλίαν βιβλιοθήκῃ εἰσέτι τότε παραφυλάττεσθαι Εὐσέβιος ὁ Παμφίλου ἱστόρησεν· ἐξ ἧς ἐκείνῳ καὶ τὰς ὕλας τῶν ἐκκλησιαστικῶν ὑποθέσεων πορισθῆναί φησι. Τὴν δὲ βιβλιοθήκην ἐπισκευάσασθαι λέγει Ἀλέξανδρον τὸν σὺν Ναρκίσσῳ τὰ τῆς ἐπισκοπῆς κατὰ θεῖον χρησμὸν διεξάγοντα.

A

CAPUT XIV.

Quod in Arabiam Origenes quoque venerit, et quod, Cæsareæ nondum presbyter sacras Litteras publice in ecclesia exponendo tractarit.

Romæ autem eis temporibus presbyter erat Novatus nomine. Is fastu et jactantia inani sublatus, omnem (ut in proverbio est) moverat lapidem, ut Romanæ Ecclesiæ gubernationem consequeretur. Ubi autem omnia expertus, nihil egit (erat enim tumore, ambitione, et gloriæ cupiditate immensa correptus), in desperationem incidit: et tandem aliud quod faceret non habens, ab Ecclesia seipsum segregans, proprios cœtus cogere, et novam quamdam hæresim per defectionem instituere cœpit: secessionis suæ obtentum illum prætexens, quod episcopi eos qui Deciana persecutione diis sacrificassent, per condignam pœnitentiam in gratiam recepissent. Brevi sane tempore permultis seductis, suum sibi constituit conventiculum: et eorum qui propter sordes Cathari sive puri (3) nominantur, ducem se fecit. Cum autem eum epi-

D

ΚΕΦΑΛ. Γ'.

Περὶ Ναυάτου τοῦ ἀκαθάρτου, καὶ τῶν κατ' αὐτὸν διήγησις· καὶ τί ἐδογμάτιζε.

Ἦν δέ τις κατ' ἐκεῖνο καιροῦ τῇ Ῥώμῃ διατρίβων πρεσβύτερος. Ναυᾶτος ὄνομα τῷ ἀνδρί· οὗτος τοίνυν τύφῳ καὶ διακένῳ φρυάγματι ἐπαρθεὶς, πάντα κάλων, τὸ τοῦ λόγου, ἐκίνει τῆς κατὰ Ῥώμην Ἐκκλησίας ἡγήσασθαι. Ἐπεὶ δὲ πάντα πράττων τοῦ σκοποῦ διημάρτανε, τύφῳ γὰρ καὶ φιλοδοξίας ἔρωτι ἀμέτρῳ κατάσχετος ὤν, εἰς κατάγνωσιν προὔκειτο· τέλος μή τι πράττειν ἔχων, τῆς Ἐκκλησίας ἑαυτὸν ἀπορρήξας, ἰδίᾳ ἐκκλησίαν συνῆγε, καὶ καινήν τινα ἐπικαινουργεῖν αἵρεσιν ἤθελε, πρόσχημα δῆθεν ἔχων τῆς διαστάσεως, ὅτιπερ τοὺς ἐπιθύσαντας ἐν τῷ κατὰ Δέκιον διωγμῷ διὰ μετανοίας ἀξιολόγου προσίεντο. Ἐν ὀλίγῳ δὲ παῤῥᾳ πολλοὺς ἀπατήσας, ὑφ' ἑαυτὸν συνίστη συνέδριον καὶ τῶν διὰ ῥυπαρίαν Καθαρῶν ὀνομασθέντων καθίστατο ἀρχηγός. Ἐπεὶ δὲ καὶ τῆς ἐκ παλλοῦ φίλης ἱερωσύνης αὐτῷ μετέχειν ἐχρῆν, δύο τῶν τινας ἑαυ-

(1) Exomologesi peracta scilicet.

(2) Placuit hoc etiam plerisque omnibus Africæ, Numidiæ, Mauritaniæque epicopis. Ipsum etiam beatum Hilarium aliquando hujus sententiæ fuisse, ut ab Arianis baptizatos non reciperet, nisi rursus ab orthodoxis baptizarentur, palam scribit Hieronymus. Ab hoc dogmate hodie dissentit Ecclesia, et iterationem baptismi prohibent imperiales constitutiones. Nec satis esset tutum eam aperire de sacris cæremoniis fenestram, ut sacerdos impius nihil agere credatur. Quam opinionem obtinuere Donatistæ, sed enim in Polonia nunc quoque episcopi, homines ab Orientalibus sacerdotibus quales sunt in Moscovia et Russia omni baptizatos denuo tingunt, illis adjectis verbis, *Si non es baptizatus*. Adfui ipse ablutioni hujusmodi susceptor.

(3) Per antiphrasin videlicet.

τοῦ ἐποστεῖλας πάμπαν τῆς ἑαυτῶν σωτηρίας ἀπ- A
εγνωκότας, τρεῖς ἐξ Ἰταλίας ἀφανεῖς μετεστέλλετο
ἐπισκόπους εἰς Ῥώμην, ἀκλεεστους πάντη καὶ ἀγροι-
κίᾳ συζῶντας· καὶ ἡ πρόφασις εὔλογος, ὡς ἂν γε,
φησὶ, τὴν μεταξὺ ἐκείνου καὶ τῶν ἐπισκόπων ἐκ
παλαιοῦ διαλύσωσιν ἔχθραν μεσῖται γενόμενοι. Καὶ
οἱ μὲν ἦκον ἀκλεέστατοι γνώμης μή τι τῶν τοῦ πλάσ-
ματος ἐν νῷ θέμενοι. Ἐγκλεισθεῖσιν οὖν βίᾳ ἐπῆ-
γόν τινες τῆς ἐκείνου συμμορίας, μέθῃ καὶ κραι-
πάλῃ κεκαρωμένοις, χειρῶν εἰκούσῃ ἐπιθέσει ἐπι-
σκοπῆς ἐκείνῳ παρέχειν ἀξίωμα. Οἱ μὲν οὖν καὶ
ἄκοντες σφόδρα ἐκδιδασκόμενοι, τὰς χεῖρας ἐκείνῳ
ἐπέθεντο· τὴν χάριν δ' οὗτος ὡς ἐδέκετ' ἀνοσίως
λαβών, ἀντεποιεῖτο ταύτης, καὶ διεκδικεῖν ἐπειρᾶτο·
ἄνθρωπος, ᾧ καὶ τὸ εἰς Χριστὸν πιστεῦσαι πρόφα-
σις ὁ Σατανᾶς ἂν ἐνσκευάσας αὐτῷ. Κατεχούμενος B
γὰρ ὑπὸ τῶν ἐπορκιστῶν νόσῳ περιέπεσε χαλεπῇ·
ὥστ' ἀποθνῃσκεῖσθαι προσδέκιμον ὄντα, τὸ ὕδωρ αἰ-
τῆσαι λαβεῖν· ὃ καὶ ἐν αὐτῇ τῇ κλίνῃ ᾗ ἔκειτο πε-
ριχυθέν, ἁθρόον ἐβάπτιζεν· εἴγε χρὴ τὸ τοιοῦτον
βάπτισμα ὀνομάσαι· ὃ γε οὐδὲ τῶν λοιπῶν τῆς
Ἐκκλησίας συμβόλων ἠξίωτο, ὧν χρεὼν τοὺς τοιού-
τους μεταλαμβάνειν κατὰ τὸν τῆς Ἐκκλησίας θεσ-
μόν. Ἀλλ' οὐδὲ ὑπὸ ἐπισκόπων, τὴν νόσον διαφυγών,
ἐσφραγίσθη ἐς ὕστερον. Τούτων δὲ τῶν μυστικῶν
μὴ τυχών, πῶς ἂν ἁγίου Πνεύματος ἔτυχεν; Ἀλλὰ
κἂν τῷ καιρῷ τοῦ διωγμοῦ δειλίᾳ σχεθείς, ἐξώμνυτο
τὴν τοῦ πρεσβυτέρου τιμήν. Ὑπὸ γὰρ τῶν διακό-
νων ἀξιούμενος, ὅσα θέμις ἱερεῖ βοηθεῖν ἀδελφοῖς,
ἐν καιρῷ τῷ τῶν διωγμῶν ἐπικουρίας μάλιστα
χρῄζουσι, τοσοῦτον ἐκέσχε πιθαρχῆσαι, ὡς καὶ C
χαλεπαίνοντα ἀκαλλάττεσθαι, καὶ μὴ τοῦ λοιποῦ
πρεσβύτερον ἴδιλιον εἶναι, ἑτέρᾳ φιλοσοφίᾳ τὰ κατ'
αὐτὸν ἐπιτρέψαντα. Καὶ ἄλλο δέ τι ἀκᾶδον παντά-
πασι διεπράττετο. Ποσῶν γὰρ προσφορὰς, ὡς ἔθος
ἱερεῦσι ποιεῖν, εἶτα πρὸς τὴν τοῦ ἄρτου μετάδοσιν
γινόμενος, ἐπιδιδοὺς ἑκάστῳ τὸ μέρος, ὀμνύειν τοὺς
ταλαιπώρους ἠνάγκαζεν, ἀντὶ τοῦ μετ' εὐχαριστίας
λαμβάνειν· κατέχων γὰρ καὶ ἄμφω τὰς χεῖρας τοῦ
λαβόντος, οὐ πρότερον ἐᾶσαι ἴως ταῦτα ὁμόσειεν·
χρήσομαι γὰρ τοῖς ἐκείνου ῥήμασιν· Ὄμοσόν μοι
κατὰ τοῦ αἵματος καὶ τοῦ σώματος τοῦ Κυρίου
ἡμῶν Ἰησοῦ Χριστοῦ, μὴ δέξεσί με καταλιπεῖν καὶ
ἐπιστρέψαι πρὸς Κορνήλιον· Ῥώμης δ' οὗτος ἐπί-
σκοπος. Οἱ δὲ ἄθλιοι ἐκεῖνοι, οὐ πρότερον ἀπε-
γεύοντο, εἰ μὴ πρότερον ἐκεῖνος ἀπεγεύσατο· καὶ
ἀντὶ τοῦ Ἀμὴν εἶπεῖν, τὸ μὴ ἐπιορκῆσαι ἔλεγον.
Τούτου τὴν κακίαν καὶ τὸ κακόηθες τῆς αἱρέσεως,
Μάξιμος πρεσβύτερος καὶ Οὐρβανός, ὅτις τὸν Χρι-
στὸν παρρησιασάμενοι, δόξαν τε οὐκ ἐλαχίστην ἐκ
τοῦ ὁμολογῆσαι καρπωσάμενοι, ἔτι δὲ Σιδώνιός τε
καὶ Καλερῖνος καὶ αὐτοὶ τὸν ἴσον ἀγῶνα διαδρα-
μόντες, πρῶτοι φωράσαντες, πρῶτοι προσιόντες,
ἐς θρίαμβον ἐπὶ μέσου τῆς ἐκκλησίας προὐτίθουν.
Τῶν δὲ χειροτονησάντων αὐτὰ εἷς οὐκ εἰς μακρὸν

scopali dignitate, quam tantopere dudum adamaverat, potiri oporteret, per duos quosdam sectæ suæ homines, qui salutem suam prorsus jam desperarant, tres ad se Romam obscuri nominis ex Italia episcopos, eosque simplicibus atque adeo rusticis moribus, ad simulandum et dissimulandum scilicet minime idoneos, pertrahit: illo splendido prætextu usus, ut ipsi, partibus suis interpositis, mediatores inter se et episcopos, veteres simultates et inimicitias componerent. Illi porro, propter animorum simplicitatem nihil tale veriti, ad eum venere. Ibi eis in conclavi conclusis quidam ex ejus sodalitate, per animorum crapulæ et ebrietatis gravedinem, vim afferunt, et imaginaria manuum impositione episcopalem dignitatem homini conferre cogunt. Quod sane illi, vel inviti, vi atque necessitate adducti, fecere. Et Novatus honorem eum, quem tam scelerate, ut videbatur, consecutus fuerat, usurpabat, eumdemque contra obtrectatores defendere parabat: homo, in quo Satanas domicilium habens, Christi nomen et fidem ad prætextum, saltem uteretur (1). Cum enim ab exorcistis de fide institueretur, morbo est correptus gravi: cumque jam in exspectatione mortis esset, aquam petiit, qua in ipso lecto, ita ut decumbebat, perfusus, baptizatus scilicet est: si quidem tinctionem hujusmodi baptismum vocare licet. **392** Sedenim ille postea reliquis Ecclesiæ symbolis atque cæremoniis (2), quibus ad eum modum tincti juxta Ecclesiæ sanctiones uti solent, minime dignus est habitus: neque cum convaluisset, signaculum ab episcopo deinde recepit (3). Porro cum mystica hujusmodi symbola non sit sortitus (4), quomodo Spiritum sanctum est assecutus? Sed et persecutionis temporibus, per timiditatem, presbyteri honorem abjuravit. Postquam enim a diaconis rogatus est, ut periclitantibus fratribus, in tormentorum discrimine maxime auxilio indigentibus, ita ut sacerdotem deceret, præsto adesset: tantum abest ut illis sit obsecutus, ut cum indignatione magna se subduxerit, et de cætero presbyter esse noluerit, aliud scilicet philosophiæ genus secutus. Aliam quoque absurdam admodum rem in se admisit. Cum enim oblationes offerret, qui mos sacerdotibus est, et jam ad distributionem panis pervenisset, data cuilibet parte sua, pro eo quod eum gratiarum eam actione percipere debebant, jurare miseros coegit: utramque enim percipientium manum comprimens (5), non prius eas remisit, quam juratum ab eis esset (utar autem verbis ejus conceptis): Adjura mihi per sanguinem et corpus Domini nostri Jesu Christi, nunquam te a me discessurum, et ad Cornelium (Romanus hic fuit episcopus) rediturum esse. Miseri autem illi non prius quod acceperant, degustarunt, quam se illi devoverunt:

(1) Tales olim Clinici dicti.
(2) Euseb. lib. vi, cap. 43.
(3) Confirmationem hoc nunc vocamus.
(4) Τούτου δὲ μὴ τυχών, πῶς ἂν τοῦ ἁγίου Πνεύματος ἔτυχεν; Eusebius.
(5) Ea tempestate laicis etiam eucharistia in manus dabatur: quod postea in Ecclesia est mutatum.

CAPUT VI.

De Dionysii epistolis de pœnitentia : et nova narratio de quodam Serapione, qui in pœnitentia sacrosancta mysteria, extremum spiritum agens, percepit.

Ad Fabium eum (1), in Novati sectam aliquantulum inclinantem, quem modo diximus, divinus vir Dionysius scribens, plurima de pœnitentia disserit : et martyrum certamina jam inde ab initio discernens, sicuti et nos exposuimus, atque alia multa afferens, admiratione quiddam dignum memorat, quod hoc quoque loco tempestive referendum duxi. « Unum tibi, inquit, exemplum quod apud nos evenit, exponam. Serapion quidam nobiscum fuit senex fidelis, et qui sine crimine ad multum vixisset tempus, persecutionis autem tempestate lapsus esset. Is sæpe quidem ut reciperetur obtestatus fuerat, sed nemo illi advertit animum. Idolis enim sacrificaverat. Morbo vero deinde oppressus, tres continuos dies sine voce et sensu jacuit : paululum vero viribus recuperatis, quarto die nepotem ex filia ad se vocavit, et, Quandiu me tandem, inquit, o filii, distinetis ? accelerate, quæso, et me quamprimum absolvite, presbyterorumque aliquem tu ad me voca. His dictis, rursum obmutuit. Puer cursu ad presbyterum contendit : erat autem nox, et ille æger decumbebat. Quapropter cum ad senem venire non posset, mandatumque a me haberet, ut e vita decessuri (2), si opus esset, et maxime si antehac suppliciter precibus id flagitassent, ut scilicet eo meliore spe fatis concederent, absolverentur : paululum puero Eucharistiæ dedit (3), infundere atque instillare id in os seni jubens. Puer redit : **396** cum non longe abesset, priusquam ad illum ingrederetur, erigens se rursum Serapion. Venisti, inquit, fili ? Presbyter quidem venire ad me non potuit : at tu celeriter, quod jussus es perfice, et me dimitte. Instillavit ei puer Eucharistiam, et simulatque ori ejus infudit, atque ille paululum id glutiendo demisit, confestim reddidit spiritum. An non aperte conservatus eo usque in vita permansit, donec absolveretur, peccatisque per multa quæ egit bona opera exstinctis, confiteri posset ? » Hæc de Serapione. Idem porro Dionysius epistolam aliam de pœnitentia ad Ægyptios scripsit, in qua judicium suum de lapsis, ordines eorum et discrimina persequens, exponit. Aliam rursum, eamdem inscriptionem de pœnitentia habentem, ad Cononem episcopum Hermopolitam. Aliam præterea cohortatoriam ad gregem suum Alexandrinum. Est item ejus alia epistola ad Originem, de martyrio : alia ad Laodicenses, quorum episcopus fuit Thelymidris : sicuti alia etiam de pœnitentia, ad Armenios, quorum ecclesiæ præfuit Merdazanes.

(1) Alii *Fabianum* nominant.

(2) Olim morituris quoque Eucharistiæ communio permissa.

(3) Audio quod dicant, mysticam benedictionem, si ex ea remanserint in sequentem diem reliquiæ, ad sanctificationem inutilem esse. Sed insaniunt hæc dicentes. Non enim alius fit Christus, neque sanctum ejus corpus immutabitur, sed benedictionis virtus et vivifica gratia perpetua manet in illo. Cyrillus ad Calosyrium episcopum.

ΚΕΦΑΛ. ς'.

Περὶ τῶν ἐπιστολῶν Διονυσίου τῶν περὶ μετανοίας· καὶ ξένον διήγημα περί τινος Σεραπίωνος, μετανοήσαντος καὶ μεταλαβόντος τῶν θείων ἁγιασμάτων ἐν τελευταίαις ἀναπνοαῖς.

Τούτῳ δὲ αὐτῷ τῷ Φαβίῳ ἡρέμα πως ὑποκατακλινομένῳ τῷ Ναυάτου σχίσματι καὶ ὁ νῦν εἰρημένος θεῖος ἀνὴρ Διονύσιος ἐπιστέλλων, πλεῖστα περὶ μετανοίας διέρχεται· τούς τε τῶν μαρτύρων ἀγῶνας ἄνωθεν διαιρῶν, ὡς καὶ ἡμεῖς διελάβομεν καὶ ἄλλ' ἄττα ἐπάγων· ἐν οἷς καί τι θαύματος ἄξιον ἱστορεῖ, ὃ καὶ τῇ παρούσῃ πραγματείᾳ συντάττειν οὐκ ἄκαιρον ἡγήμαι. Λέγει δὲ οὕτως· « Ἓν δέ σοι καὶ τοῦτο παράδειγμα παρ' ἡμῖν συμβεβηκὸς ἐκθήσομαι. Σεραπίων τις ἦν ἐν ἡμῖν πιστὸς γέρων, ἄμεμπτος μὲν τὸν πολὺν διαβιώσας χρόνον, ἐν δὲ τῷ πειρασμῷ πεσών. Οὗτος πολλάκις ἐδεῖτο· καὶ οὐδεὶς προσεῖχεν αὐτῷ· καὶ γὰρ ἐτεθύκει. Ἐν νόσῳ δὲ γενόμενος, τριῶν ἑξῆς ἡμερῶν, ἄφωνος καὶ ἀναίσθητος διετέλεσε. Βραχὺ δὲ ἀνασφήλας, τῇ τετάρτῃ προσεκαλέσατο τὸν θυγατριδοῦν· καὶ, Μέχρι με τίνος, φησὶν, ὦ τέκνον, κατέχετε ; Δέομαι, σπεύσατε, καί με θᾶττον ἀπολύσατε. Τῶν πρεσβυτέρων τινὰ κάλεσον. Καὶ ταῦτα εἰπὼν, πάλιν ἦν ἄφωνος. Ἔδραμεν ὁ παῖς ἐπὶ τὸν πρεσβύτερον. Νὺξ δὲ ἦν· κἀκεῖνος ἠσθένει· ἀφικέσθαι μὲν οὖν οὐκ ἐδυνήθη· ἐντολῆς δὲ ὑπ' ἐμοῦ δεδομένης τοὺς ἀπαλλατομένους τοῦ βίου, εἰ δέοιντο, καὶ μάλιστα εἰ καὶ πρότερον ἱκετεύσαντες τύχοιεν, ἀφίεσθαι· ἵνα εὐέλπίδες ἀπαλλάττωνται, βραχὺ τῆς Εὐχαριστίας ἔδωκε τῷ παιδαρίῳ, ἀποβρέξαι κελεύσας, καὶ τῷ πρεσβύτῃ κατὰ τοῦ στόματος ἐπιστάξαι. Ἐποίησεν ὁ παῖς φέρων· ἐγγὺς δὲ γενομένου πρὶν εἰσελθεῖν, ἀνενέγκας πάλιν ὁ Σεραπίων, Ἦκες, ἔφη, τέκνον ; καὶ ὁ μὲν πρεσβύτερος ἐλθεῖν οὐκ ἠδυνήθη· σὺ δὲ ποίησον ταχέως τὸ προσταχθέν, καὶ ἀπάλλαττέ με. Ἀπέβρεξεν ὁ παῖς· καὶ ἅμα τε ἐνέχεε τῷ στόματι· καὶ μικρὸν ἐκεῖνος καταβροχθίσας, εὐθέως ἔδωκε τὸ πνεῦμα. Ἆρ' οὐκ ἐναργῶς διετηρήθη, καὶ παρέμεινεν ἕως λυθῇ, καὶ τῆς ἁμαρτίας ἐξαλιφθείσης ἐπὶ πολλοῖς οἷς ἔπραξε καλοῖς, ὁμολογηθῆναι δυνηθῇ ; » Ταῦτα μὲν περὶ τούτου· ὁ δ' αὐτὸς Διονύσιος καὶ τοῖς κατ' Αἴγυπτον ἄλλην περὶ μετανοίας γράφει, ἐν ᾗ τά οἱ δοκοῦντα περὶ τῶν παρακεκτυκότων ἐκτίθεται, τάξεις αὐτῶν καὶ διαιρέσεις ὑποτυπῶν. Καὶ τῷ τῆς Ἑρμουπολιτῶν Κόωνι ἄλλην στέλλει, Περὶ μετανοίας καὶ αὐτὴ τὴν ἐπιγραφὴν ἔχουσα· προτρεπτικὴ δ' ἑτέρα πρὸς τὴν κατ' Ἀλεξάνδρειαν ποίμνην αὐτοῦ. Ἐπὶ δὲ τούτοις καὶ ἡ πρὸς Ὠριγένην γραφεῖσά ἐστι περὶ μαρτυρίου· καὶ τοῖς κατὰ Λαοδίκειαν, ὧν ποιμὴν Θηλύμιδρις ἐπίσκοπος ἐγνωρίζετο· ὡς δὲ καὶ τοῖς κατ' Ἀρμενίαν περὶ μετανοίας· ὧν ἦρχεν ἱερῶς Μερουαζάνης ὄνομα. Καὶ Κορνηλίῳ δὲ τῷ κατὰ Ῥώμην γράφει δεξάμενος τὴν κατὰ Ναυάτου ἐκείνου ἐπιστολὴν· ᾧ καὶ

δηλοί παράκλησιν εἰληφέναι ὑπὸ Ἑλένου, Ταρσοῦ τῆς Κιλικίας ἐπισκοποῦντος, Φιρμιλιανοῦ τε τοῦ ἐκ Καππαδοκίας, καὶ τοῦ κατὰ Παλαιστίνην Θεοκτίστου, ὡς ἂν ἐπὶ τὴν κατ' Ἀντιόχειαν σύνοδον ὑπαντήσοι· ὅπου δή τινες κρατύνειν τὸ κατὰ Ναυᾶτον ἐπεχείρουν σχίσμα. Ἐπιστέλλει πρὸς τούτῳ μηνυθῆναι αὐτῷ, Φάβιον μὲν κεκοιμῆσθαι, Δημητριανὸν δὲ διάδοχον ἐκείνου τῷ θρόνῳ τῆς Ἀντιοχείας ἐγκαταστῆναι. Περὶ δὲ τοῦ ἐν Ἱεροσολύμοις αὐτοῖς ῥήμασι ταῦτα διέξεισιν· « Ὁ μὲν γὰρ θαυμάσιος Ἀλέξανδρος ἐν φρουρᾷ γενόμενος, μακαρίως ἀνεπαύσατο. » Ἐξ ἧς καὶ ἕτεραι δύο τοῖς ἐν Ῥώμῃ διατυποῦνται, ὧν ἡ μὲν περὶ εἰρήνης, ἡ δὲ περὶ μετανοίας τὴν ἐπιγραφὴν ἔσχον. Θατέραν δὲ τοῖς ἐκεῖσε ὁμολογηταῖς, τῇ τοῦ Ναυάτου δόξῃ ἔτι συμφερομένοις· οἷς δὴ καὶ μετατεθεῖσιν ἐπὶ τὴν Ἐκκλησίαν ἄλλας ἔπεμπε δύο· καὶ ἄλλοις δὲ πλείοσιν ἐπιστέλλων, μεγίστην ὠφέλειαν καταλέλοιπε.

A Scripsit quoque ad Cornelium Romæ episcopum, cum ab eo adversus Novatum accepisset epistolam. Cui etiam significat, rogatum se esse ab Heleno Tarsi Ciliciæ, et a Firmiliano Cappadocum, nec non a Theoctisto Palæstinorum episcopis, ut Antiochenam synodum adiret, ubi nonnulli obtinere atque confirmare Novati hæresim conabantur. Indicat eidem illud quoque. Fabium quidem obdormivisse, Demetrianum vero pro eo ecclesiæ Antiochenæ præfectum esse. De Hierosolymitano autem episcopo ad eum hisce verbis scribit : « Admirandus ille Alexander in carcere feliciter est defunctus. » Deinde et alias duas ad Romanos scripsit epistolas, alteram de pace, alteram de pœnitentia. Aliam item ad eos qui ibi fidem sunt confessi, Novati opinioni adhuc adhærentes : et ad eosdem rursum, cum ad Ecclesiam essent reversi, alias duas. Ad alios quoque plures litteris datis, plurimum omnibus attulit utilitatis.

ΚΕΦΑΛ. Ζ'.

Περὶ τοῦ κινηθέντος τηνικαῦτα ζητήματος περὶ τοῦ θείου βαπτίσματος· καὶ ὡς κατ' ἐκεῖνο καιροῦ ἐφάνη Σαβέλλιος.

397 CAPUT VII.

De quæstione tum temporis de divino baptismate coorta, et ut tum Sabellius sit coortus.

Κορνηλίου δὲ τῆς Ῥώμης προέδρου τὸν βίον ἀπολιπόντος μετὰ τρίτον ἔτος, Λούκιος κατέστη διάδοχος· ὃς μησὶν οὐδ' ὅλοις ἑπτὰ ἐξυπηρετήσας, Στέφανον ἔσχε διάδοχον· ᾧ δὴ Στεφάνῳ Διονύσιος τὴν περὶ τοῦ βαπτίσματος πρώτην σχεδιάζει ἐπιστολήν. Τοῦ γὰρ τῆς Ἄφρων Κυπριανοῦ πρώτου διὰ λούτρου προσίεσθαι τοὺς ἀπὸ τῶν αἱρέσεων ἥκοντας δεῖν ἡγουμένου, Στέφανος μὴ παρὰ τὸ κρατῆσαι ἔθος νεωτερίζειν ἔλεγεν· ἀρκεῖσθαι δὲ τῇ διὰ χειρὸς εὐχῇ μόνῃ, ὡς ἔθος ἦν. Καὶ τοίνυν ὑπὲρ τούτου ἀγανακτοῦντι, Διονύσιος πλεῖστα γράφων διωμιλεῖτο· καὶ τέλος ἐδήλου, ὡς ἄρα τοῦ διωγμοῦ λελωφηκότος, αἱ πανταχόσε ἐκκλησίαι τὴν κατὰ Ναυᾶτον νεωτεροποιίαν ἀποστραφεῖσαι, εἰρήνην ἔσχον πρὸς ἑαυτάς. Γράφει δὲ ὧδε. « Ἴσθι δὲ νῦν, ἀδελφέ, ὅτι ἥνωνται πᾶσαι αἱ πρότερον διεσχισμέναι κατά τε τὴν ἀνατολὴν ἐκκλησίαι καὶ ἔτι προσωτέρω· καὶ πάντες εἰσὶν ὁμόφρονες οἱ πανταχοῦ προεστῶτες, χαίροντες καθ' ὑπερβολὴν ἐπὶ τῇ παρὰ προσδοκίαν εἰρήνῃ γενομένῃ· Δημήτριος ἐν Ἀντιοχείᾳ, Θεόκτιστος ἐν Καισαρείᾳ, Μαζαβάνης ἐν Αἰλίᾳ, Μαρῖνος ἐν Τύρῳ, κοιμηθέντος Ἀλεξάνδρου, Ἡλιόδωρος ἐν Λαοδικείᾳ, ἀναπαυσαμένου Θηλυμίδρου, Ἕλενος ἐν Ταρσῷ καὶ πᾶσαι αἱ ἐκκλησίαι τῆς Κιλικίας, Φιρμιλιανός, καὶ πᾶσα ἡ Καππαδοκία. Τοὺς γὰρ περιφανεστέρους μόνους τῶν ἐπισκόπων ὠνόμασα, ἵνα μήτε μῆκος τῇ ἐπιστολῇ, μήτε βάρος προσάψω τῷ λόγῳ. Αἱ μέντοι Συρίαι ὅλαι καὶ ἡ Ἀραβία, οἷς ἐπαρκεῖτε ἑκάστοτε καὶ οἵ, νῦν ἐπεστείλατε· ἥ τε Μεσοποταμία, Πόντος τε καὶ Βιθυνία· καὶ συνελόντι εἰπεῖν, ἀγαλλιῶνται πάντες καὶ πανταχοῦ, τῇ ὁμονοίᾳ καὶ φιλαδελφίᾳ δοξάζοντες τὸν Θεόν. » Στεφάνῳ μὲν δὴ ταῦτα ὁ Διονύσιος· τῷ δὲ μετ' αὐτὸν Ξύστῳ δευτέραν ὁ Διονύσιος περὶ τοῦ βαπτίσματος γράφει ἐπιστολήν, ἐν ταύτῃ Στεφάνου τε καὶ τῶν λοιπῶν τὴν κρίσιν ἐμφαίνων. Ἐπεσταλκει μὲν οὖν

Porro cum Cornelius Romæ post tertium annum episcopatus sui decessisset, Lucius ei est sufflectus : qui non integris septem mensibus Ecclesia administrata, Stephanum habuit successorem : ad quem Dionysius primam de baptismo scripsit epistolam. Cyprianus quippe Afer primus opinatus est, oportere eos qui ab hæresi converterentur, lavacro expiari et recipi. Stephanus contra nihil ea in re præter receptam consuetudinem novandum esse duxit : sufficere scilicet in eis veteri more orationem solam, cum manuum impositione. Itaque ad eum ægre dissensionem eam ferentem Dionysius pluribus scripsit, et postremo certiorem eum facit, persecutione sopita, ecclesias omnes, novis rebus Novati repudiatis, pacem inter se habere. Verba ejus hæc sunt : « Scito nunc, frater, Orientales atque etiam ulteriores ecclesias, quæ antea dissidebant, ad unitatem esse redactas, omnesque ubique earum antistites unanimes et consentientes supra modum de pace et concordia, quæ præter exspectationem accidit, lætari. Demetrianum in primis Antiochenum, Theoctistum Cæsariensem, Mazabanem Æliensem, Alexandri defuncti successorem, Marinum Tyrium, cum Alexander obiisset, Heliodorum Laodicensem, qui in locum Thelymidris subrogatus est, Helenum Tarsensem, et ecclesias Ciliciæ omnes, Firmilianum, et Cappadociam omnem : præcipuos enim episcoporum nominavi, ne epistola longior fiat, neve multis verbis sim molestior. Sed et universæ Syriæ et Arabiæ, quibus semper aliquid suppeditatis doctrinæ, et nunc etiam scripsistis. Mesopotamia ipsa, Pontus, Bithynia, et (ut semel dicam) exsultant ubique omnes, concordia et fraterna charitate glorificantes Deum. » Hæc Dionysius ad Stephanum. Ad Xystum autem, qui illi successit, secundam de

baptismo epistolam idem dedit, Stephani et reliquorum judicium in ea ostendens. Scripserat namque Stephanus prius de Heleno et Firmiliano. omnibusque finitimis populis, **398** se cum illis non communicaturum, eam ipsam ob causam, quod hæreticos rebaptizarent. « Et considera, inquit, magnitudinem rei. Certum enim est, de ea tn maximis episcoporum conventibus, ut audio, decreta esse facta, videlicet, ut qui ex hæreticis per pœnitentiam convertuntur, primum de recta fide per catechesim instituantur, deinde abluantur, veteris et impuri fermenti deponentes sordes. » Et paulo post : « Quin et dilectis nostris compresbyteris Dionysio et Philemoni, qui antehac suffragatores Stephani fuere, cum ad me de hisce rebus scripsissent, prius quidem paucis, nunc autem pluribus respondi. » Et de baptismo nunc hactenus. De hæresi autem Sabelli (1), quæ tum emergebat, mentionem faciens, « De dogmate, inquit, quod Ptolemaide, quæ una ex quinque civitatibus est, recens orto, impio prorsus, quippe quod multam blasphemiam in omnipotentem Deum, Patrem Domini nostri Jesu Christi, multam infidelitatem in unigenitum ejus Filium, primogenitum omnis creaturæ, inhumanatum Verbum, insensibilitatem autem Spiritus sancti continet, cum utrinque ad me pervenissent et decreta, et fratres disputaturi, quædam scripsi pro virili mea, Deo suppeditante, explanatius exponens omnia. »

A πρότερον καὶ περὶ Ἑλένου καὶ Φιρμιλιανοῦ, καὶ πάντων τῶν ὁμορούντων ἐθνῶν, ὡς οὐδὲ ἐκείνοις κοινωνήσων διὰ τὴν αὐτὴν ταύτην αἰτίαν· ἐπειδὴ τοὺς αἱρετικούς, φησὶν, ἀναβαπτίζουσι. « Καὶ σκόπει τὸ μέγεθος τοῦ πράγματος. Ὄντως γὰρ δόγματα περὶ τούτου γέγονεν ἐν ταῖς μεγίσταις τῶν ἐπισκόπων συνόδοις, ὡς πυνθάνομαι· ὥστε τοὺς προσιόντας ἀπὸ αἱρέσεων προκατηχηθέντας, εἶτ' ἀπολούεσθαι καὶ ἀνακαθαίρεσθαι τὸν τῆς παλαιᾶς καὶ ἀκαθάρτου ζύμης ῥύπον. » Καὶ μετ' ὀλίγα· « Καὶ τοῖς ἀγαπητοῖς δὲ ἡμῶν καὶ συμπρεσβυτέροις Διονυσίῳ καὶ Φιλήμονι, συμψήφοις πρότερον Στεφάνῳ γενομένοις, καὶ περὶ τῶν αὐτῶν μοι γράφουσι, πρότερον μὲν ὀλίγα, νῦν δὲ καὶ διὰ πλειόνων ἐπέστειλα. » Καὶ περὶ μὲν τοῦ βαπτίσματος ταῦτα·

B ἔμφαίνων δὲ, ὡς τηνικαῦτα καὶ ἡ κατὰ Σαβέλλιον αἵρεσις ἐπιπολάρξουσα ἦν, ταῦτά φησι· « Περὶ γὰρ τοῦ νῦν κινηθέντος ἐν τῇ Πτολεμαΐδι τῆς Πενταπόλεως δόγματος, ἀσεβοῦς ὄντος καὶ βλασφημίαν πολλὴν περιέχοντος περὶ τοῦ παντοκράτορος Θεοῦ τοῦ Πατρὸς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἀπιστίαν τε πολλὴν περὶ τοῦ μονογενοῦς Παιδὸς αὐτοῦ τοῦ πρωτοτόκου πάσης κτίσεως, τοῦ ἐνανθρωπήσαντος Λόγου, ἀναισθησίαν δὲ τοῦ ἁγίου Πνεύματος, ἐλθόντων ἑκατέρωθεν πρὸς ἐμὲ καὶ προγραμμάτων, καὶ τῶν διαλεξομένων ἀδελφῶν, ἐπέστειλά τινα ὡς ἠδυνήθην παρασχόντος τοῦ Θεοῦ διδασκαλικώτερον ὑφηγούμενος. »

CAPUT VIII.

De visione quæ Dionysio apparuit.

In tertia epistola de baptismo, quam ad Philemonem presbyterum Romanum scripsit hæc refert: « Ego vero etiam in scriptis, et traditionibus hæreticorum lectione versatus sum, opinionibus eorum impurissimis aliquantum animum meum polluens, utilitatem autem illam ab eis capiens, ut facilius eos apud me ipsum refellam atque repudiem, magisque etiam exsecrer ac detester. Atque equidem frater quidam presbyter ab eis legendis me arcebat, quod vereretur, ne in cœno malitiæ una cum illis involverer, neve anima mea novam et perniciem contraheret. Eumque cum vera dicere sentirem, **399** visio quædam divinitus exhibita et vox me confirmavit. Diserte namque et clare mandavit, dicens : Omnes versato, quos in manus acceperis, libros : disquirere enim, castigare et explorare omnia potes, quæ tibi etiam ab initio fidei complectendæ causa fuit. Visionem eam accepi apostolicæ voci congruentem, quæ firmioribus dicit : Estote spectati atque probati trapezitæ (2). » Deinde cum quædam de hæresibus omnibus dixisset, talia infert.

C

ΚΕΦΑΛ. Η'.

Περὶ τῆς ὁράσεως ἣν εἶδεν ὁ Διονύσιος.

Καὶ ἐν τῇ τρίτῃ τῶν περὶ βαπτίσματος, ἣν Φιλήμονι τῷ κατὰ Ῥώμην πρεσβυτέρῳ ἐκτίθησι, ταῦτά φησιν· « Ἐγὼ δὲ καὶ τοῖς συντάγμασι καὶ ταῖς παραδόσεσι τῶν αἱρετικῶν ἐνέτυχον, χραίνων μὲν μου πρὸς ὀλίγον τὴν ψυχὴν ταῖς πεμμιάροις αὐτῶν ἐνθυμήσεσιν, ὄνησιν δ' οὖν ἀπ' αὐτῶν ταύτην λαμβάνων, τὸ ἐξελέγχειν αὐτοὺς παρ' ἐμαυτῷ, καὶ πολὺ πλέον βδελύττεσθαι. Καὶ δή τινος ἀδελφοῦ τῶν πρεσβυτέρων με ἀπείργοντος καὶ δεδιττομένου συμφέρεσθαι τῷ τῆς πονηρίας αὐτῶν βορβόρῳ, λυμανεῖσθαι γὰρ τὴν ψυχὴν τὴν ἐμαυτοῦ, καὶ ἀληθῆ γε λέγοντος ὡς ἠσθόμην· ὅραμα θεόπεμπτον προσελθὸν ἐπέῤῥωσέ με· καὶ λόγος πρὸς με γενόμενος,

D προσέταξε διαῤῥήδην λέγων· Πᾶσιν ἐντύγχανε, οἷς χεῖρας λάβοις. Διευθύνειν γὰρ ἕκαστα καὶ δοκιμάζειν ἱκανὸς εἶ. Καὶ σοὶ γέγονε τοῦτο ἐξαρχῆς καὶ τῆς πίστεως αἴτιον. Ἀπεδεξάμην τὸ ὅραμα ὡς ἀποστολικῇ φωνῇ συντρέχον, τῇ λεγούσῃ πρὸς τοὺς δυνατωτέρους, Γίνεσθε δόκιμοι τραπεζῖται.» Εἶτα, τινὰ περὶ πασῶν εἰπὼν τῶν αἱρέσεων, ἐπιφέρει λέγων·

(1) Negavit is, Christum Filium Dei et primogenitum omnis creaturæ esse : simulque Spiritus sancti intellectum ademit.

(2) Euseb. lib. VII, cap. 7 : « Omnia legite, quæ bona sunt tenete. » Rufin. : Utile est hæreticorum nosse opiniones.

ΚΕΦΑΛ. θ'.

Περὶ τῆς παμμιάρου τῶν αἱρετικῶν πλάνης· ἔτι δὲ καὶ περὶ τοῦ ἀθέου αὐτῶν βαπτίσματος· καὶ ὅσας ἐπιστολὰς ὑπὲρ τούτου ἐγραψεν.

« Τοῦτον ἐγὼ τὸν κανόνα καὶ τὸν τύπον παρὰ τοῦ μακαρίου ἡμῶν πάπα Ἡρακλᾶ παρέλαβον· τοὺς γὰρ προσιόντας ἀπὸ τῶν αἱρέσεων, καίτοι ταῖς ἐκκλησίαις ἀκοστάντας, μᾶλλον δὲ οὐδὲ ἀποστάντας, ἀλλὰ συνάγεσθαι μὲν δοκοῦντας, καταμηνυθέντας δὲ ὡς προσφοιτῶντάς τινι τῶν ἑτεροδιδασκαλούντων ἐκπλάσας τῆς Ἐκκλησίας, δίομένους οὐ προσήκατο, ἕως δημοσίᾳ πάντα ὅσα ἀκηκόασι παρὰ τοῖς ἀντιδιατιθεμένοις ἐξέφρασαν. Καὶ τότε συνήγαγεν αὐτοὺς, οὐ δεηθεὶς ἐπ' αὐτῶν ἑτέρου βαπτίσματος. Τοῦ γὰρ ἁγίου πρότερον παρ' αὐτοῦ τετυχήκεσαν. » Καὶ ἱκανῶς γυμνάσας τὸ πρόβλημα, ἐπιφέρει λέγων· « Μεμάθηκα καὶ τοῦτο, ὅτι μὴ νῦν οἱ ἐν Ἀφρικῇ μόνον τοῦτο παρεισήγαγον, ἀλλὰ καὶ οἱ πρὸ πολλοῦ κατὰ τοὺς πρὸ ἡμῶν ἐπισκόπους ἐν ταῖς πολυανθρωποτάταις ἐκκλησίαις καὶ ταῖς συνόδοις τῶν ἀδελφῶν, ἐν Ἰκονίῳ καὶ Συνάδοις, καὶ πορὰ πολλοῖς τοῦτο ἔδοξεν· ὧν τὰς βουλὰς ἀνατρέπων, εἰς ἔριν καὶ φιλονεικίαν αὐτοὺς ἐμβάλλειν οὐχ ὑπομένω. Οὐ γὰρ μετακινήσεις, φησὶν, ὅρια τοῦ πλησίον σου ἃ ἔθεντο οἱ κατέρες σου. » Ἡ δὲν πρώτη αὐτοῦ περὶ του βαπτίσματος τῷ κατὰ Ῥώμην Διονυσίῳ ἐστάλη, ἔτι τότε τοῖς πρεσβυτέροις κατειλεγμένῳ. Ὅτι δὲ λόγιός τε καὶ θαυμάσιος κἀκεῖνος, τεκμήρασθαι ἔξιστιν ἐξ ὧν οὗτος γράφει. Ἐν δὲ τῇ πρὸς ἐκεῖνον ἐπιστολῇ καὶ Νοβάτου μέμνηται οὕτω λέγων· « Νοβατιανῷ μὲν γὰρ εὐλόγως ἀπεχθανόμεθα, διακόψαντι τὴν Ἐκκλησίαν, καί τινας τῶν ἀδελφῶν εἰς ἀσεβείας καὶ βλασφημίας ἑλκύσαντι, καὶ περὶ Θεοῦ διδασκαλίαν ἀνοσιωτάτην ἐπεισκυκλήσαντι· καὶ τὸν χρηστότατον Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ὡς ἀνελεῆ συκοφαντοῦντι· καὶ ἐπὶ πᾶσι τούτοις τὸ λοῦτρον ἀθετοῦντι τὸ ἅγιον, καὶ τὴν τε πρὸς αὐτοῦ πίστιν καὶ ὁμολογίαν ἀνατρέποντι· τό τε Πνεῦμα τὸ ἅγιον ἐξ αὐτῶν, καί τις ἦν ἐλπὶς τοῦ παραμεῖναι ἢ καὶ ἐπανελθεῖν πρὸς αὐτοὺς, παντελῶς φυγαδεύοντι. » Ἡ γε μὴν πέμπτη αὐτῷ πρὸς τὸν Ῥώμης Ξύστον ἐγράφη· ἐν ᾗ πολλὰ κατὰ τῶν αἱρετικῶν εἰπὼν, καὶ τοιοῦτόν τι γεγονὸς ἐκτίθεται κατ' αὐτὸν, λέγων· « Καὶ γὰρ ὄντως, ἀδελφὲ, καὶ συμβουλῆς δέομαι· καὶ γνώμην αἰτῶ παρὰ σοῦ, τοιούτου τινὸς προσελθόντος μοι πράγματος, δεδιὼς μὴ ἄρα σφάλλωμαι. Τῶν συναγομένων γὰρ ἀδελφῶν τις πιστὸς νομιζόμενος ἀρχαῖος, καὶ πρὸ τῆς ἐμῆς χειροτονίας, οἶμαι δὲ καὶ πρὸ τῆς τοῦ μακαρίου Ἡρακλᾶ καταστάσεως, τῆς συναγωγῆς μετασχών, τοῖς ὑπόγυον βαπτιζομένοις παρατυχών, καὶ τῶν ἐρωτήσεων καὶ τῶν ἀποκρίσεων ἐπακούσας, προσῆλθέ μοι κλαίων καὶ καταθρηνῶν ἑαυτὸν, καὶ πίπτων πρὸ τῶν ποδῶν μου, ἐξομολογούμενος μὲν καὶ ἐξο-

CAPUT IX.

De improbo hæreticorum errore et seductione : item de impio eorum baptismo, et quas epistolas ea de re Dionysius scripserit.

Hanc ego regulam et formam a beato nostro papa Heracla accepi. Ille siquidem quosdam ab hæresibus revertentes, quod ab Ecclesia defecissent, seu potius non defecissent, sed quod convenire et communicare quidem nobiscum viderentur, inducati autem fuerant quemdam aliena docentem consectari, qua de causa ab Ecclesia erant repudiati, obtestantes eos non prius admisit, quam publice quæ ab adversariis audivissent, omnia exposuissent (1). Et tum primum ad Ecclesiam eos perduxit, nihil prorsus in eis opus esse baptismo alio judicans : sanctum enim Spiritum antehac ab eo obtinuerant. Ac quæstione hac pluribus tractata, ita infert : « Didici illud quoque, non solum nunc Africanos hoc perperam induxisse, sed et ab eis qui dudum ante nos episcopi in frequentissimis ecclesiis fuere, in conventibus fratrum, Iconii et Synadis, et præterea apud multos ita decretum fuisse. Quorum consilium rejiciens, in contentionem et rixandi studium eos conjicere supersedeo. *Non* enim *movebis*, inquit, *terminos proximi tui, quos constituerunt patres tui* [54]. » Quartam autem quam ad Dionysium Romanum de baptismo dedit epistolam, cum adhuc is in presbyterorum ordine esset, scripsit : quem Dionysium Romanum eximium et admirandum quoque fuisse, satis ex nostri istius Dionysii scriptis colligitur. Porro in epistola quam ad eum dedit, sic etiam Novati meminit : « Novatum justis profecto de causis odimus, qui Ecclesiam discidit, fratresque quosdam ad impietatem et blasphemias pertraxit, et impurissimas de Deo doctrinas invexit. **400** Nam benignissimum Dominum nostrum Jesum Christum, ut immisericordem, more sycophantæ traducit. Ad hæc sacrum abolet lavacrum, fidem Christianam et confessionem evertit, et Spiritum sanctum ex hominum cordibus, si qua spes esset ut vel in eis maneret, vel ad eos reverteretur, prorsus propellit. » In quinta vero epistola ad Xystum Romanum data, dum multa contra hæreticos scribit, ejuscemodi quiddam sibi accidisse hisce verbis refert : « Sedebam, frater, consilia indigeo, et sententiam judiciumque tuum requiro, posteaquam hujusmodi quædam apud nos res accidit : vereor enim, ne halluciner. Fratribus quippe congregatis, fidelis quidam jamdudum ante meam etiam, imo quoque (ut opinor) ante beati Heraclæ ordinationem habitus, cum in cœtum nostrum venisset, et eos qui tum baptizarentur videret, interrogationesque et responsiones eorum audiret, accessit ad me flens, seipsumque complorans, atque

[54] Prov. XXII, 28.

(1) Inde est, quod hucusque resipiscentes ab hæresi propalam in ecclesia per recantationem, sive revocationem, errorem suum confitentes exponunt.

ad pedes meos provolutus, confitens quidem et abjurans baptismum, quem ab hæreticis susceperat, non talem eum esse prorsus, neque quidquam cum hoc habere communionis dixit, quin etiam blasphemiis illum refertum esse asseveravit. Animam vero suam admodum compunctam esse, seque non audere oculos suos ad Deum, propter nefariam impuritatem scilicet dictorum factorumque illorum quibus initiatus esset, tollere dicens, obtestabatur ut reciperetur, et ad purissimum baptismi nostri lavacrum gratiamque admitteretur. Quod sane ego facere non ausus, dixi sufficere ei tam diuturnam nobiscum communionem, qui gratiarum actione exaudita, simul nobiscum Amen accinuerit, quique mensæ assistens manus ad exceptionem sancti alimenti porrexerit (1), et id susceperit, corporisque et sanguinis Domini nostri Jesu satis longo tempore particeps fuerit. Proindeque minime faciendum putavi, ut hæc denuo a principio retexerem atque renovarem. Bono autem animo eun esse jussi, et confidere, firmaque fide et conscientia bona ad communionem sanctorum mysteriorum accedere. Ille autem neque luctui modum fecit, neque præ timore et tremore ad mensam accessit. Atque ægre tandem eo est cohortationibus perductus, ut orationibus assistere sustineat. » **401** Alia quoque exstat ad Xystum epistola, in qua multa de hac quæstione verba facit. Itidem et alia de Luciano, et de quæstione eadem ad Dionysium Romanum episcopum data. De Dionysii epistolis in causa baptismi, satis.

A μνύμενος τὸ βάπτισμα, ὃ παρὰ τοῖς αἱρετικοῖς βεβάπτιστο, μὴ τοιοῦτον εἶναι, μηδὲ ὅλως ἔχειν τινὰ πρὸς τοῦτο κοινωνίαν· ἀσεβείας γὰρ ἐκεῖνο καὶ βλασφημιῶν πεπληρῶσθαι· λέγων δὲ πάνυ τι τὴν ψυχὴν κατανενύχθαι, καὶ μηδὲ παῤῥησίαν ἔχειν ἐπᾶραι τοὺς ὀφθαλμούς μου πρὸς τὸν Θεὸν, ἀπὸ τῶν ἀνοσίων ἐκείνων ῥημάτων καὶ πραγμάτων ὁρμώμενος, καὶ διὰ τοῦτο δεόμενος τῆς εἰλικρινεστάτης ταύτης καθάρσεως καὶ παραδοχῆς καὶ χάριτος τυχεῖν. Ὅπερ ἐγὼ μὲν οὐκ ἐτόλμησα ποιῆσαι, φήσας αὐτάρκη τὴν πολυχρόνιον αὐτῷ κοινωνίαν εἰς τοῦτο γεγονέναι. Εὐχαριστίας γὰρ ἐπακούσαντα καὶ συνεπιφθεγξάμενον τὸ Ἀμὴν, καὶ τραπέζῃ παραστάντα, καὶ χεῖρας εἰς ὑποδοχὴν τῆς ἁγίας τροφῆς προτείναντα, καὶ ταύτης καταδεξάB μενον, καὶ τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ μετασχόντα ἱκανῷ χρόνῳ, οὐκ ἂν ἐξ ὑπαρχῆς ἀνασκευάζειν ἔτι τολμήσαιμι. Θαρσεῖν δὲ ἐκέλευον καὶ μετὰ βεβαίας πίστεως καὶ ἀγαθῆς συνειδήσεως τῇ μετοχῇ τῶν ἁγίων προσιέναι. Ὁ δὲ οὔτε πενθῶν πέπαυται, πέφρικέ τε τῇ τραπέζῃ προσιέναι· καὶ μόλις παρακαλούμενος, συνεστάναι ταῖς προσευχαῖς ἀνέχεται. » Καὶ ἄλλη δὲ Ξύστῳ ἐπιστολὴ φέρεται, ἐν ᾗ περὶ τούτου πολὺν παρατείνει λόγον. Ὁμοίως καὶ ἄλλη περὶ Λουκιανοῦ περὶ τοῦ τοιούτου ζητήματος, Διονυσίῳ τῷ Ῥώμης προσπεφωνημένη. Καὶ περὶ μὲν τῶν ἐπιστολῶν Διονυσίου τῶν περὶ τοῦ βαπτίσματος ταῦτα.

CAPUT X.

De persecutione Valeriani : et quæ tum Dionysius Alexandrinus episcopus passus sit.

Valerianus, post Gallum imperio suscepto, primum clemens et bonus visus est, atque erga homines Dei benevolus atque benignus. Neque enim alius quisquam, qui ante eum fuerant imperatorum, in illos propensior humaniorque fuit, ne illi quidem qui manifesto Christianismum erant complexit : adeo se ab initio mitem et placidum nobis præbuit. Tota namque domus ejus divini numinis cultoribus plena erat, eaque prorsus nihil aliud quam Dei ecclesia esse videbatur. Sedenim magorum Ægyptiorum synagogæ princeps et doctor, imposturas et præstigias magicas docens, ei persuadet, ut sanctos viros non tantum domo sua exigat, et quam longissime repellat, sed ferro quoque tollat, ut qui artibus incantationibusque illorum obstarent et resisterent. Restabant enim adhuc, qui perniciosorum pestiferorumque dæmonum actiones solo aspectu suo ac voce missa reprimerent. Talibus igitur consultoribus usus, Christum confitentes crudelissime persecutus est, et ad sceleratissima sacra animum adjiciens, impias obtulit victimas, pueros miseros occidens,

C

ΚΕΦΑΛ. Ι'.

Περὶ τοῦ κατὰ Οὐαλλεριανὸν διωγμοῦ· καὶ ὅσα ἐν ἐκείνῳ ὁ τῆς Ἀλεξανδρέων ἔπαθε Διονύσιος.

Οὐαλεριανὸς δὲ τῶν περὶ Γάλλον ἐκποδὼν γεγενημένων, ἐπὶ τὴν ἀρχὴν παρελθών, τὰ μὲν πρῶτα ἤπιός τις ἐδόκει καὶ ἀγαθὸς, τοῖς περὶ Θεὸν ἀνθρώποις φίλα φρονῶν. Οὐδὲ γὰρ ἄλλος τις οὕτω τῶν πρὸ αὐτοῦ βασιλέων εὐμενῶς καὶ δεξιῶς πρὸς αὐτοὺς ἔσχεν, οὐδὲ οἱ προϋπτον τὸν Χριστιανισμὸν ἀσπασάμενοι, ὡς ἐκεῖνος προσφιλῶς τὸ καταρχὰς διετέθη. Πᾶς γὰρ ὁ οἶκος αὐτοῦ θεοσεβῶν ἔμπλεως ἦν· καὶ ἄντικρυς ἐκκλησία ἐῴκει Θεοῦ. Ἀλλὰ τῶν D ἀπ' Αὐγύπτου Μάγων ὁ ἀρχισυνάγωγος, διδάσκαλός γε ὢν τῆς μαγγανείας καὶ τερατείας, πείθει τοὺς μὲν ὁσίους ἄνδρας μὴ μόνον τῆς οἰκίας ἐξελαύνειν, καὶ ὡς πορρωτάτω ποιεῖν, ἀλλὰ καὶ φόνῳ ὑπάγειν, ὡς ἐμποδὼν καθισταμένους ταῖς ἐκείνων μαγγανείαις τε καὶ ἐπαοιδίαις· καὶ γάρ που περιῆσαν ἔτι, οἳ καὶ μόνον ὁρώμενοι καὶ φθεγγόμενοι τὰς τῶν παλαμναίων δαιμόνων πράξεις ἐνέστελλον. Τούτοις γοῦν συμβούλοις προσχρώμενος, τοὺς μὲν τὸν Χριστὸν ὁμολογοῦντας ἀπηνῶς ἐξεδίκησε· θυσίαις δ' ἐξαγίστοις ἐπήκειτο, καὶ ἀνάγνους ἐπετέλει ἱερουργίας, παῖδας ἀθλίους ἀποσφάττων, καὶ τέκνα πατέρων δυστήνων ἀφειδῶς καταθύων, νεογνά τε

(1) In manus olim communicantibus Eucharistia data.

διαιρῶν σπλάγχνα, καὶ τὰ τοῦ Θεοῦ πλάσματα εἰς λεπτὸν διακόπτων, αἰδήμενος ἐντεῦθεν εὐδαιμονήσειν. Διὸ καὶ τῆς μὲν Ἐκκλησίας πολέμιος γέγονε· μακρὰν δέ που ἑαυτὸν καὶ τῆς ἐκ Θεοῦ φιλανθρωπίας ἐποίει. Τοίνυν μέγαν καὶ οὗτος ἐνεγείρει τὸν διωγμόν. Καὶ ὅσοι τηνικαῦτα δεινοῖς συνηλάθησαν, ἄλλης ἂν ἱστορίας προσδέοιτο, εἴ τις κατὰ λεπτὸν ἐκλέγεσθαι βούλοιτο. Τέως καὶ Διονύσιος ὁ ῥηθείς, τοῦ κακοῦ ἐκκαμάζοντος, τοῖς δικαστικοῖς παραστὰς θήμασιν, ἐξητάζετο, Αἰμιλιανοῦ τὴν κατ' Αἴγυπτον ἡγεμονίαν διέποντος· Συνῆν δὲ αὐτῷ καὶ ὁ πρεσβύτερος Μάξιμος· διάκονοί τε δύο, Φαῦστός τε καὶ Εὐσέβιος· καὶ σὺν Χαιρήμονι ἕτερος· καὶ ἐπειδὴ σύναμα τῷ ἱεράρχῃ θύειν διεκελεύοντο, ἀντέλεγον τὰ πρῶτα· Χριστιανοὺς δὲ σφᾶς εἶναι ὁμολογοῦντες, μὴ δυνατὸν εἶναι ἑτέρῳ Θεῷ σέβας νέμειν· μήτ' αὖ δεδιέναι ἕτερον. Τοῦτον γὰρ εἶναι οὐρανοῦ τε καὶ γῆς δημιουργόν. καὶ βασιλεύσειν ὡρισμένοις ἔτεσιν ἐπὶ γῆς παρέχοντα τὸ κρατεῖν. Ὡς οὖν καὶ ἄλλα ἐπισυνείρων πλεῖστα, ἀπεῖπε τὸ πείθειν, μηδὲν ὑπερθέμενος, καίπερ νόσῳ κατεσχέτην ὄντα τὸν Διονύσιον, ἐπί τινα τῆς Αἰβύης τόπον ἔρημον καὶ ἀπάνθρωπον ἐφυγάδευεν. Ἔνθα δὴ πολλοὶ τῶν ἐκ τῆς πόλεως, οὐκ ἐλάχιστοι δὲ καὶ τῶν ἀπ' Αἰγύπτου ἐξιόντες, τῷ τῆς κατ' αὐτὸν πίστεως λόγῳ οἰκοδομούμενοι διετέλουν. Εἶτα ἐκεῖθεν εἰς μείζονα καὶ χαλεπωτέραν δίαιταν ὑπερόριον κατὰ τὴν Κερρῷ λεγομένην ἀπήγετο. Κολύθιον ἦν ὄνομα τῷ τόπῳ. Ὁ δὲ μακάριος Διονύσιος πάντα γενναίως διεκαρτέρει φέρων. Οὐχ ἧττον δ' ἦσαν καὶ τῶν ἀδελφῶν τινες τῇ συνεχεῖ ἐπιδημίᾳ τὸ σκληρὸν τοῦ τόπου λεαίνοντες, καὶ παρακλήσεως ἐμπιπλῶντες τὸν ὅσιον. Ὧ δὲ βουλόμενῳ ἐστὶ μαθεῖν ὅσα τοῖς κατ' ἐκεῖνο καιροῦ πέπονθε διωγμοῖς, οὐκ αὐτὸς δὲ μόνος, ἀλλὰ καὶ ἄλλοι ἀριθμοῦ κρείττους ἐντυγχάνειν προτρέπομεν αἷς αὐτὸς φωναῖς κεχρημένος, πρός τινα τῶν κατ' αὐτὸν ἐπισκόπων, ᾧ ὄνομα Γερμανός, κακῶς αὐτὸν ἀγορεύειν βουλόμενον, ἀποτείνεται, φάσκων οὕτωσὶ καταρχάς· « Εἰς ἀφροσύνην κινδυνεύω πολλὴν καὶ ἀναισθησίαν ὄντως πεσεῖν, εἰς ἀνάγκην ἐμβιβαζόμενος διηγεῖσθαι τὴν θαυμαστὴν περὶ ἡμᾶς οἰκονομίαν τοῦ Θεοῦ. Ἀλλ' ἐπεὶ μυστήριον, φησὶ, βασιλέως κρύπτειν καλόν, τὰ δὲ ἔργα τοῦ Θεοῦ ἀνακηρύττειν ἔνδοξον, ὁμόσε χωρήσω τῇ διηγήσει· » καὶ τὰ ἑξῆς.

A infelicium parentum liberos inhumanissime sacrificans, recens edita viscera dividens, et creaturas Dei in minutissimas partes concidens. Atque his rebus felicem se et beatum fore est opinatus. Quapropter et Ecclesiæ hostis factus est, et indignum se benignitate Dei effecit. Ita scilicet magnam is quoque concitavit persecutionem. Et qui temporibus eis, certaminibus obeundis sunt conflictati, si ad plenum omnes referri deberent, peculiari illi indigerent historia. Tum sane et Dionysius, quem diximus, malo eo invalescente, cum Æmilianus præfectus Ægyptum provinciam teneret, pro tribunali causam dixit, **402** et cum eo Maximus presbyter : præterea duo diaconi, Faustus et Eusebius, et cum Chæremone alter quidam. Et cum B ii una cum hierarcha suo sacrificare jussi essent, renuerunt id primum, deinde Christianos se esse, fierique omnino non posse ut Deum alium vel timerent vel colerent, professi sunt. Hanc namque esse qui cœlum et terram condiderit : et qui principibus, designatis certisque temporibus, in terris potestatem et imperium concedat. Hæc atque alia cum ab eis afferrentur plurima, Æmilianus in sententia perstitit, et cum se hoc illis persuadere non posse videret, nulla interposita mora. Dionysium, quantumvis morbo correptum, in solos quosdam et a frequentia hominum longe dissitos locos in Libyam relegavit. Ad quem permulti ex urbe, non paucissimi vero etiam ex Ægypto conC venerunt, atque ibi cum eo doctrinam fidei ejus addiscentes manserunt. Deinde vero ad longe duriorem gravioremque ærumnam, in regionem cui nomen est Cephro, et locum Colythium dictum, exsul est deportatus. Porro beatus Dionysius adversa omnia magno fortique pertulit animo. Nec minus et fratres quidam continua consuetudine sua loci asperitatem lenierunt, consolationisque pietatem ei præstiterunt. Qui vero accuratius cognoscere volunt, quæ ea persecutionis tempestate non ipse tantum Dionysius, sed alii etiam innumeri fratres adversa pertulerint, ii legere poterunt, quæ ipse ad temporis sui episcopum quemdam, nomine Germanum, obtrectatorem ejus, D scripsit, ita exorsus (2) : « Stultus sane atque insanus fuerim, si necessitatem eam mihi imponam, ut admirandam de nobis Dei curam atque dispositionem scriptis persequar. Sedenim cum (sicuti Scriptura ait [85]) arcanum regis celare pulchrum sit, opera autem Dei deprædicare gloriosum, ad narrationem rerum propius accedam, » et cætera.

ΚΕΦΑΛ. ΙΑ'.

Περὶ τῶν ἐν Καισαρείᾳ τῆς Παλαιστίνης μαρτυρησάντων.

Τῷ δὲ κατὰ Οὐαλλεριανὸν διωγμῷ πολλοὶ μὲν καὶ ἄλλοι τὸν τοῦ μαρτυρίου στέφανον ἀνεδήσαντο· ἐν δὲ τῇ κατὰ Παλαιστίνην Καισαρείᾳ, τρεῖς γεν-

CAPUT XI.

De martyribus Cæsareæ Palæstinæ.

Valeriana autem persecutione plurimi quidem alii martyrii coronam tulerunt. Cæsareæ autem **403** Palæstinæ, tres fortiter cum laude magna

[85] Tob. XII, 7.

(1) *Omnis potestas a Deo est.*
(2) Reperitur hoc scriptum apud Euseb. lib. VII, cap. 2.

confessionem Christi perferentes, in divino decurrere stadio, ad bestias damnati. Nomina eorum sunt : Priscus, Malchus, et Alexander. Ii dicuntur in agro habitantes, seipsos ut segnes et ignavos in re omnium pulcherrima accusasse : quod scilicet divinis propositis præmiis, per socordiam ea arripere negligerent, martyrii coronam designantes. Itaque re sic pulchre deliberata, confestim festinabundi Cæsaream contenderunt, et apud judicem de professione Christi, quæ opus erant, dixerunt : ac mox bestiis objecti, felicem sunt consecuti finem. In eadem urbe femina etiam quædam Marcionis secuta hæresim, ut fertur, eodem est certamine defuncta.

A ναίως τῇ κατὰ Χριστὸν ὁμολογίᾳ ἐνδιαπρέψαντες τὸ θεῖον διήνυσαν στάδιον, θηρίων δαπάνῃ γενόμενοι· Πρίσκος καὶ Μάλχος καὶ Ἀλέξανδρος ἦσαν αὐτοῖς τὰ ὀνόματα. Τούτοις φασὶ κατ' ἀγρὸν οἰκοῦντας ὡς ἀνειμένως περὶ τὸ καλὸν ἔχοντας, ὑπ αἰτίας ἑαυτοὺς ἄγειν· ὡς δὴ βραβείων οὐρανίων περικειμένων, ὀλιγωροῖεν οὗτοι ῥᾳθύμως ἔχοντες διαρπάζειν, τὸν τοῦ μαρτυρίου δηλαδὴ στέφανον. Ταῦτα δὲ καλῶς διαγνόντας, εὐθὺς ἐπὶ Καισάρειαν ὁρμῆσαι λέγεται· καὶ ἐπὶ τὸν δικαστὴν γενομένους, καὶ τὸ εἰκὸς παρασχομένους ταῖς ὑπὲρ Χριστοῦ ἀποκρίσεσι, τοῦ μακαρίου τέλους τυχεῖν, θηρίων γενομένους βοράν. Καὶ μὴν καὶ γυνή τις κατὰ τὴν αὐτὴν πόλιν τὸν ἴσον ἀγῶνα διέδραμε· τὰ Μαρκίωνος δ' ἦν, ὡς λόγος, καὶ αἱρουμένη τε καὶ
B φρονοῦσα.

CAPUT XII.

De pace sub Galieno : et epistola ejus quam pro Christianis edidit, et qualis is fuerit.

Valerianus (1) autem ad eum modum transversim raptus, non diu persecutionem continuavit. A Barbaris enim captus (2), et in servitutem redactus, imperium ad filium Galienum (3) transmisit. Qui pro humanitate sua statim edictis promulgatis, Christianorum persecutionem inhibuit, liberiusque verbi antistitibus stata solitaque officia sua peragere permisit. Litteræ ejus in hæc fere verba sunt conceptæ : « Imperator Cæsar, Publius Licinius Galienus, Felix, Pius, Augustus, Dionysio, Pinnæ, et Demetrio episcopis. Officium et benignitatem liberalitatis meæ per terrarum orC bem omnem produci imperavi, ut ex locis omnibus, in quibus pie divina coluntur, decedatur. Quapropter et vos rescripti mei exemplo uti potestis, ut ne quisquam vobis sit gravis et molestus : et id quoad ejus fieri potest, a vobis adimpleatur, quod a me dudum est permissum. Itaque Aurelius Cyrenius summi ordinis præfectus (4), constitutionem a me promulgatam servabit. » Circumfertur etiam alia ejus constitutio ad episcopos alios data, per quam, ut Christiani loco cœmeteriorum suorum reciperent, permisit. Talis quidem Galienus fuit. De quo Dionysius hæc quoque refert : « Atque (5) ille eorum qui ante se fuerunt imperatorum, hunc quidem deserens (6) atque destituens, illum vero (7) cum impetu invadens, D cum omni genere suo funditus statim disperiit.

ΚΕΦΑΛ. ΙΒ'.

Περὶ τῆς κατὰ Γαλιῆνον εἰρήνης, καὶ τῆς ὑπὲρ ἡμῶν ἐπιστολῆς αὐτοῦ, καὶ οἷος ἦν.

Τοιαῦτα Οὐαλλεριανὸς μεταστραφεὶς διετέλει. Οὐκ εἰς μακρὰν δέ, δουλείαν παρὰ βαρβάροις ὑπενεγκών, μονάρχην ἀφίησι τὸν υἱὸν Γαλιῆνον· ὃς σωφρονέστερον διατεθεὶς, γράμμασι μὲν αὐθὶς ἐκέστειλε τὸν καθ' ἡμῶν διωγμόν. Ἐλευθερίους δὲ τοῦ τοῦ λόγου προεστῶσι τὰ εἰωθότα πράττειν ἀφίησι. Τὰ δὲ γράμματα οὕτω πως ἐπὶ λέξεως εἶχεν· « Αὐτοκράτωρ Καῖσαρ Πούπλιος Δικίννιος Γαλιῆνος, εὐτυχὴς, εὐσεβὴς, σεβαστὸς, Διονυσίῳ καὶ Πιννᾷ καὶ Δημητρίῳ ἐπισκόποις. Τὴν εὐεργεσίαν τῆς ἐμῆς δωρεᾶς διὰ παντὸς τοῦ κοσμου ἐκδεδασθῆναι προσέταξα, ὅπως ἀπὸ τῶν τόπων τῶν θρησκευσίμων ἀποχωρήσωσι. Καὶ διὰ τοῦτο καὶ ὑμεῖς τῆς ἀντιγραφῆς τῆς ἐμῆς τῷ τύπῳ χρῆσθαι δύνασθε, ὥστε μηδένα ὑμῖν ἐνοχλεῖν· καὶ τοῦτο ὅπερ κατὰ τὸ ἐξὸν δύναται ὑφ' ὑμῶν ἀναπληροῦσθαι· ὃ δὲ ὑπ' ἐμοῦ πρὸ πολλοῦ συγκεχώρηται. Καὶ διὰ τοῦτο Αὐρήλιος Κυρήνιος ὁ τοῦ μεγίστου τάγματος (4) προστατεύων τὸν τύπον τὸν ὑπ' ἐμοῦ δοθέντα διαφυλάξει. » Φέρεται δὲ καὶ ἄλλη αὐτοῦ διάταξις ἄλλοις ἐπισκόποις ἐκδεδομένη, ἐφιεῖσα τὰ χωρία τῶν παρ' ἐκείνοις κοιμητηρίων ἀπολαβεῖν. Τοιοῦτος μὲν οὖν ὁ Γαλιῆνος ἦν· ὑπὲρ οὗ καὶ Διονύσιός ταῦτα διέξεισιν· « Ἐκεῖνος μὲν τῶν πρὸ αὐτοῦ βασιλέων, τὸν μὲν προείμενος, τῷ δὲ ἐπιθέμενος, παγγενεὶ ταχέως καὶ πρόῤῥιζος ἐξηφανίσθη. Ἀνεδείχθη δὲ καὶ συνανομολογήθη παρὰ πάντων ὁ Γαλιῆνος παλαιὸς ἅμα βασιλεὺς καὶ νέος, πρῶτος ὢν, καὶ μετ' ἐκείνους

(1) Valerianus in Rhætia a militibus, Galienus ejus filius Romæ a senatu, Augusti creati, æqua potestate imperium obtinuerunt.

(2) Valerianus in Mesopotamia a Persarum rege superatus, mox etiam captus, apud Parthos in servitute consenuit. Et quamdiu vixit, rex ejus provinciæ, cerviri ejus insistens, equum conscendere solitus est. (Eutrop.) Idem Tamerlanes Scytha in Bajazethe Turca fecit.

(3) Galienus imperavit annos sex cum patre Valeriano, novem solus. Eo tempore multi in diversis provinciis per seditionem creati imperatores : in quibus Macrinus fuit, qui in Illyrico una cum filio est interfectus. Odenatum autem ipse Galienus consortem imperii fecit, etc.

(4) Πράγματος, Euseb. lib. VII, cap. 13.

(5) Macrinum sive Macrianum designat. Macrianus, Galieno negligentius rempub. administrante, imperium in Oriente arripuit : deinde in Illyrico cum Aureolo, qui et ipse contra Galienum imperium sumpserat, duce Domitiano manum conseruit. Sed victus cum filio Macriano est, et exercitus omnis Aureolo deditus. Uterque etiam et pater et filius cæsus, sicuti et alter filiorum ejus ab Odenato in Oriente est interemptus. (Jul. Capitol. in Galieno.)

(6) Galienum.

(7) Aureolum.

παρών. Κατὰ δὲ τὸ ῥηθὲν πρὸς τὸν προφήτην Ἡσαΐαν, Τὰ ἀπ' ἀρχῆς εἶδον ἦκασι, καὶ καινὰ ἃ νῦν ἀνατελεῖ. Ὥσπερ γὰρ νέφος τὰς ἡλιακὰς ἀκτῖνας ὑποδραμὸν, καὶ πρὸς ὀλίγον ἐπηλυγάσαν ἐσκίασεν αὐτὸν, καὶ ἀπ' αὐτοῦ προεφάνη· εἶτα παρελθόντος ἢ διατακέντος τοῦ νέφους, ἐξεφάνη πάλιν ἐπανατείλας ἢ προανατείλας ὁ ἥλιος· οὕτω προστὰς καὶ προσπιλάσας ἑαυτὸν ὁ Μακρῖνος τῆς ἐφεστώσης Γαλλήνου βασιλείας, ὁ μὲν οὐκ ἔστιν, ἐπεὶ μηδὲ ἦν· ὁ δὲ ἔστιν ὁμοίως ὥσπερ ἦν. Καὶ οἷον ἀποθεμένη τὸ γῆρας ἡ βασιλεία, καὶ τὴν προσοῦσαν ἅμα καθηραμένη κακίαν, ἀκμαιοτέραν νῦν ἐκανθει· καὶ πορρώτερον ὁρᾶται καὶ ἀκούεται καὶ διαφοιτᾷ πανταχοῦ. » Τοιαῦτα καὶ περὶ τούτου ἱστορεῖ Διονύσιος.

A **404** Declaratus autem, communibusque suffragiis ab omnibus renuntiatus est Galienus, vetus simul et novus imperator. Cum enim ante eos fuisset, post eos quoque exsistit. Juxta id quod ad prophetam Isaiam est dictum : *Quæ a principio fuere, ecce veniunt, et nova sunt quæ nunc exorientur* [56]. Quemadmodum enim nubes radios solis subiens, et ad breve tempus eum umbra objecta obscurat, et ejus loco apparet, deinde vel prætereunte vel evanescente nube, sol sive subortus seu præortus resplendet : ita Macrinus imperium Galieni, cui præfectus fuerat, per tyrannidem invasit. Atque ille quidem nunc non exstat, quandoquidem nihil erat ; hic autem itidem, ut antea fuit, constat, et imperium ejus, perinde atque senium deposuisset, et adhærens sibi vitium repurgasset, floridius etiam nunc viget, longiusque multo ubique spectatur, auditur, frequentatur. » Hæc de illo narrat Dionysius.

ΚΕΦΑΛ. ΙΓ'.

Περὶ τοῦ ἐν Καισαρείᾳ Μαρίνου τοῦ μάρτυρος.

Τηνικαῦτα δὲ εἰρήνης οὔσης ἀκαταχέου, τῇ κατὰ Καισάρειαν Παλαιστίνῃ, Μαρῖνός τις τῶν ἐν ἀξιώματι, πλούτῳ τε καὶ γένει περιφανῶν, διὰ Χριστὸν τὴν κεφαλὴν ἀπετμήθη, αἰτίαν τοιαύτην παρεσχημένος. Ἐκάλει μὲν γὰρ αὐτὸν ἡ τοῦ βαθμοῦ τάξις ἐπί τινα, κατὰ τὸ ἔθος Ῥωμαίοις, ἀξιώματος προκοπήν· κλῆμα τοῦτο ἐκάλουν, ἑκατοντάρχου τόπον ἐπέχον. Καὶ δὴτα μέλλοντος ἤδη ἔχεσθαι τῆς τιμῆς, ἕτερος ζήλῳ φερόμενος παριὼν ἐπὶ τὸ βῆμα, μηδαμῶς ἐξεῖναι αὐτῷ, Χριστιανῷ γε ὄντι, καὶ μὴ βασιλεῦσι θύοντι, τῆς ἐκ Ῥωμαίων τυγχάνειν ἀξίας, κατηγόρει· αὐτῷ δὲ μᾶλλον προσήκειν τοῦ ἀξιώματος διιστάνετο· καὶ τὸν δικαστὴν (ἦν δ' Ἀχαῖος ὄνομα), δυσχεράναντα, Μαρίνῳ εἰς λόγους ἐλθεῖν. εἰ τῇ γνώμῃ ἐμμένειν αἱροῖτο. Ἐπεὶ δὲ τὸ ἀμετάθετον τοῦ ἀνδρὸς ἐώρα τῆς πρὸς Χριστὸν διαθέσεως τρεῖς ὥρας τοιπὸν ἐδίδου τὴν αἵρεσιν διασκέψασθαι, ἔξω τοῦ δικαστηρίου γενόμενον. Ὃν ἰόντα Θεότεκνος ὁ τῆς ἐκεῖσε παροικίας ἐπίσκοπος, τῆς χειρὸς λαβόμενος, ἐπὶ τὴν ἐκκλησίαν εἷλκε, τὰ εἰκότα διομιλούμενος. Εἴσω δὲ ἀγαγὼν καὶ παρὰ τῷ ἁγιάσματι στήσας, τὸν χιτωνίσκον παρανασταλάς, τὸ προσηρτημένον αὐτῷ ξίφος ἐδείκνυ. Ὁμοῦ δὲ καὶ τὸ ἱερὸν παραγαγὼν Εὐαγγέλιον, ἐν μέσῳ προύτίθει, εἰκὼν ὁπότερον τῶν δύο ἕλεσθαι βούλοιτο. Ὡς δ' αὐθὶς τὴν δεξιὰν προτείνας, τὴν βίβλον ἐδέχετο, ἐξῆγεν εὐχαῖς καθοπλίσας τὸν μάρτυρα, ἐπὶ μᾶλλον ἔχεσθαι παρεγγυησάμενος τοῦ Θεοῦ· τυχεῖν γὰρ ῥᾷστον εἶναι γένοιτο πρὸς ἐκείνου ῥωννύμενον τῶν κατ' ἔφεσιν· καὶ μετ' εἰρήνης ἐξῆγεν. Ἐπεὶ δὲ καὶ ὁ τῆς προθεσμίας ἐκάλει καιρὸς, ὁ κῆρυξ αὖθις μετεκαλεῖτο τὸν μάρτυρα. Παραστὰς οὖν καὶ μείζονα τὴν προθυμίαν ἢ πρότερον ὑπὲρ Χριστοῦ ἐνδειξάμενος, εὐθὺς ἐκεῖθεν τὸν ἐπὶ θάνατον ἦγετο, καὶ ξίφει τὴν κεφαλὴν ἀφῃρεῖτο.

CAPUT XIII.

De Marino Cæsariensi martyre.

Eo tempore, cum pax ubique esset, Cæsareæ Palæstinæ Marinus quidam, opibus, genere et dignitate clarus, pro Christo capite plexus est, per talem causam. Vocabat eum disciplinæ militaris ordo ad honorem, Romanorum more, majorem, gradumque dignitatis altiorem (vitem vocabant (1), et eam qui consequebantur, centuriones fiebant. Et jam honorem talem recepturus erat, cum alius æmulationis studio ad tribunal procedit, minimeque convenire criminando asserit, ut is Romanam dignitatem consequatur, qui Christianus sit, et imperatoribus non sacrificet : proindeque ordinem eum sibi potius deberi contendit. **405** Ibi judex (Achæus huic nomen fuit) id inique tulit, Marinumque an in sententia perseverare pergeret, interrogavit. Atque ubi constantem ejus in Christum animum firmamque affectionem vidit, tres ei ad deliberandum extra judicium concessit horas. Atque eum sic exeuntem, Theotecnus ejus loci episcopus manu apprehensum, in ecclesiam deducit, sermonesque cum eo, quos opus erat, confert : mox etiam in sacratiorem templi locum admittit, tunicaque ejus diducta, ensem quo accinctus erat, ei demonstrat, simulque sacrum Evangelii librum productum in medio proponit, optionemque ei, ut utrum vellet acciperet, permittit. Porro, postquam ille statim dextram ad librum ipsum accipiendum extendit, precatione martyrem armatum producit, eumque ut magis Deo obtemperando quam hominibus adhæreret, cohortatur. Facile enim eum ab illo confortatum, quæ maxime desideraret, consecuturum esse. Illumque sic cum pace dimittit. Atque ubi constitutum vocaret tempus, et præco martyrem rursum citaret, assistens ille, majoremque quam antea pro Christo alacritatem ostendens, extemplo inde ad mortem est abductus, et capite truncatus.

[56] Isa. XLIII, 19.

(1) Τιμή τίς ἐστι παρὰ Ῥωμαίοις τὸ κλῆμα, οὗ τοὺς τυχόντας φασὶν ἑκατοντάρχους γίνεσθαι, τόπου σχολάζοντος. Euseb. lib. VII, cap. 19. Spartianus in Adriano vitem pro centurionatu accipit.

CAPUT XIV.

De Asterio, et admiranda fidemque omnem excedente rei per eum gestæ historia.

Verumenimvero Asterius, vir apprime Deia mans, senator Romanus, claro loco natus, copiosus, et magno ab imperatoribus in pretio habitus, proindeque propter nobilitatem et opes nemini ignotus, morti martyris affuit : et mox pretiosis allatis vestibus, martyris corpus in humeros sublatum, et (sicuti decebat) involutum, sane quam splendida et magnifica dignatus est sepultura. Hujus viri alia quoque plura sunt memoratu digna facinora. Quod vero is Cæsareæ Philippi, quam Phœnices Paneadem vocant, fecit, referre in historiam nostram non intempestivum est visum. Propinquum ei urbi montem esse ferunt, qui Panius dicitur : **406** ad radices ejus fontes sunt uberiores, unde etiam Jordanem profluere dicunt. In eos fontes, patrio quodam more accolæ celebri festoque die congregati, victimam dæmoni nescio cui projicere solebant : quæ quod mirifice derepente vi et operae fficacis illius dæmonis disparebat, pro miraculo ingenti ubique ea res est celebrata. Et cum aliquando ibi adesset Asterius, simulque id quod fiebat videret, hominesque eo consternari animadverteret, miseratus primum errorem eorum, deinde, sublatis in cœlum manibus, eum qui est super omnia Deus, invocat, ut cum seductorem populi dæmonem illum aquis innatantem dispelleret, tum fraude et errore tanto miseros illos liberaret. Et ille quidem sic orabat ; confestim vero hostia illa supernatans emersit. Ita miraculum id hominumque de eo portentosa opinio, adeo est sublata, ut deinceps nihil quidquam ejusmodi in eo loco sit factum.

CAPUT XV.

De statua Domini nostri Jesu Christi in Paneade, et ea quæ ad hanc statuam crevit herba.

Quandoquidem autem Paneadis meminimus, nec aliam quamdam historiam prætermittendam esse duximus, dignam illam quæ sit in ore omnibus. Ex hac enim urbe fama fert ortam fuisse mulierem illam (1), quam sanguinis profluvio laborantem fimbriæ Christi attractu sanationem rapuisse divinorum Evangeliorum testatur Scriptura. Ibi domus quoque ejus magnifica adhuc visa est, simulque admirandum tropæum et monumentum collati in eam beneficii Servatoris permansit. Pro foribus namque domus ejus in columna quadam æreæ duæ statuæ stabant sublimes : quarum altera, genibus flexis, manibusque protensis, feminæ habitu, supplicantis faciem præ se tulit : altera autem ex adverso collocata, directo viri statu, diploide cum decenti quadam gravitate amicti, manum inclinatæ feminæ porrigere visa est. Ad hujus pedes in sta-

(1) Mulier sanguinis profluvio laborans in Evangelio, Cæsariensis fuit. Ea monumentum et statuam Christo Cæsareæ pro ædium suarum foribus erexit.

A

ΚΕΦΑΛ. ΙΔ'.

Περὶ Ἀστερίου καὶ τῆς κατ' αὐτὸν παραδόξου ἱστορίας.

Ἀστέριος δὲ θεοφιλὴς ἀνὴρ ἐς τὰ μάλιστα, συγκλήτου τε βουλῆς ἐπὶ Ῥώμης μετέχων, διαφανής τε πλούτῳ καὶ γένει περίβλεπτος, βασιλεῦσί τε διαφερόντως τιμώμενος, εὐγενείας τε καὶ περιουσίας εἵνεκα μηδενὶ ἀγνοούμενος, παρὼν τῇ τελειώσει τοῦ μάρτυρος, ἐσθῆτας πολυτελεῖς ἀγαγών, τὸ μαρτυρικὸν ἐκεῖνο σκῆνος μετέωρον ἐπ' ὤμων ἄρας, λαμπρᾶς τινος καὶ προσηκούσης ἠξίου ταφῆς, ὡς χρεὼν περιστείλας. Τοῦ δ' Ἀστερίου τούτου πολλὰ καὶ ἄλλα μνήμης ἄξια φέρεται. Ὁ δὲ αὐτῷ πρᾶξαι συνέβη ἐπὶ τὴν Φιλίππου Καισάρειαν, ἣν Φοίνικες Πανεάδα προσαγορεύουσιν, οὐκ ἄκαιρον ἂν εἴη καὶ B τῇ τῆς ἱστορίας παραδοῦναι γραφῇ. Ἀγχίθυρον μὲν γὰρ τῇ πόλει φασὶ τὸ ὄρος εἶναι ὃ Πάνιον κέκληται, πρὸς δὲ ταῖς ὑπωρείαις τούτου τοῦ ὄρους πηγὰς μεγίστας ἀναδείκνυσθαι· καὶ Ἰορδάνῃ λόγος τὸ ῥεῦμα προχεῖσθαι. Ἐν δὴ ταῖς πηγαῖς ταύταις, κατά τι πάτριον ἔθος, ἑορτῆς ἡμέρᾳ οἱ περίοικοι ἀθροιζόμενοι, σφάγιον δαίμονί τινι καθ' ὕδατος ἀπερρίπτουν. Ὁ δὴ παρὰ δόξαν ἀφανὴς ἦν τῇ δυνάμει τοῦ ἐνεργοῦντος. Καὶ θαῦμα περιβόητον ἁπανταχοῦ τὸ γινόμενον ἀκηρύττετο. Ἐπεὶ δέ ποτε παρὼν καὶ Ἀστέριος, τό τε γινόμενον εἶδε, καὶ τοὺς ἐπὶ τούτῳ δὴ κατακληττομένους διέγνω, ὤκτειρέ τε τῆς πλάνης· εἶτα καὶ χεῖρας εἰς οὐρανοὺς ἀνασχών, τὸν ἐπὶ πάντων ἐκάλει Θεόν, τόν τε λαοπλάνον δαίμονα τῷ ὕδατι ἐπινηχόμενον ἀπελᾷν, κἀκείνους τῆς ἐκείνης C ἐλευθεροῦν. Καὶ ὁ μὲν ηὔχετο· ἀθρόως δὲ τὸ ἱερεῖον ἐκπεπόλαζε ταῖς πηγαῖς, ὥσπερ διανηχόμενον. Καὶ τὸ θαῦμα καὶ τὸ ἐπὶ τούτῳ παράδοξον διελύετο, ὡς μηδὲ τοῦ λοιποῦ τοιοῦτόν τι γεγενῆσθαι περὶ τὸν τόπον.

ΚΕΦΑΛ. ΙΕ'.

Περὶ τῆς ἐν Πανεάδι στήλης τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τῆς ἐκεῖσε φυομένης βοτάνης.

Ἐπεὶ δὲ τῆς Πανεάδος ἐμνήσθην, οὐκ ἄξιον οἶμαι παραδραμεῖν καί τινα ἑτέραν διήγησιν, πᾶσι δὲ στόμοτος φέρεσθαι οὖσαν ἀξίαν. Ἐκ γάρ τοι τῆς πόλεως ταύτης λόγος ἔχει τὴν αἱμόῤῥουν ἐκείνην ὁρμᾶσθαι· ἣν Χριστοῦ κρασπέδῳ συλήσαι τὴν ἴασιν ἡ τῶν θείων Εὐαγγελίων διδάσκει γραφή. Καὶ γ' D ἀπ' αὐτῆς εἰσέτι καὶ τὸν οἶκον ἐκείνῃ περιφανῆ δεικνυσθαι· καὶ τῆς ἐπ' αὐτῇ τοῦ Σωτῆρος εὐεργεσίας θαυμαστὰ τρόπαια παραμένειν. Πρὸς γὰρ δὴ ταῖς πύλαις τοῦ οἴκου ταύτης ἐπί τινος κίονος μετεώρους στήλας ἑστάναι δύο, πεποιημένας χαλκοῦ· ὧν ἑτέρα μὲν ἐπὶ γόνυ κεκλιμένη ἐστὶν, εἰς τοῦμπροσθεν τανυσα χεῖρας, καὶ ὡς οἷον εἰπεῖν ἱκετεύουσα. Γυναικὸς δὲ εἶναι τὸ ἔκτυπον ἡ γλυφὴ δίδωσιν. Ἡ δὲ ἄλλη καταντικρὺ ἑστῶσα εἰς ὄρθιον ἀνδρὸς σχῆμα, διπλοΐδα κοσμίως περιβεβλημένη, χεῖρα ἔοικε τῇ γυναικὶ προτείνειν κλινούσῃ. Τούτου δ' ἐν τοῖς ἐ-

σὶν ἐπὶ τοῦ ὑπερθεν τῆς στήλης βάθρου βοτάνην ἔχει λόγος ἐκφύεσθαι· ἣν δὴ ἄχρι τοῦ κρασπέδου τῆς τοῦ χαλκοῦ διπλοΐδος ἀνιοῦσαν, ἥκιστα περαιτέρω προβαίνειν. Ταύτην δ' ἅτε τοῦ ἱεροῦ ἐκείνου κρασπέδου ἡμμένην, ἀλεξιφάρμακον παντοίων νοσημάτων καθίστασθαι. Τὸν δ' ἀνδριάντα τοῦτον εἰς Χριστοῦ σχῆμα διαχυθῆναι παρὰ τῆς αἱμορροούσης, ἀληθὴς κατισοῦσα ἐς ἡμᾶς ἱστορία παρέδωκεν, ἡ δὴ καὶ μέχρι τῶν χρόνων παρέμεινεν Ἰουλιανοῦ. Καὶ καινὸν οὐδὲν τοὺς πάλαι πρὸς τοῦ Σωτῆρος ἡμῶν ἀγαθοῦ τινος μετασχόντας τοιαῦτα τῷ Σωτῆρι ἀμείψασθαι.

A tuæ ipsius basi herba excrescere (1), quæ cum ad fimbriam æreæ diploidis pertigisset, non altius progrediebatur : eamque veluti sacram fimbriam tangens illa, præsens adversus omne genus morborum auxilium habuisse dicta est. **407** Statuam porro istam a muliere illa sanguinis profluvio laborante, ad Christi formam et habitum conflatam esse, vera certaque, quæ ad nos pervenit, historia tradidit. Atque ea ad Juliani usque tempora perduravit. Neque adeo mirum videri debet, qui aliquid beneficii olim a Servatore nostro accepere, eos per ejusmodi monumenta grati erga eum animi memoriam reliquisse.

ΚΕΦΑΛ. ΙϚ'.

Περὶ τῶν μορφῶν τῶν ἁγίων ἀποστόλων, καὶ τοῦ θρόνου Ἰακώβου τοῦ ἀδελφοθέου.

Ὅπου γε καὶ τῶν ἱερῶν αὐτοῦ μαθητῶν Πέτρου καὶ Παύλου τὰς εἰκόνας, ἔτι δὲ καὶ αὐτοῦ Χριστοῦ καὶ τῆς αὐτὸν τεκούσης ὑπερφυῶς, ἐν γραφῇ χρωμάτων εἰς δεῦρο σωζομένας πλείστας ἀνέγνωμεν, Λουκᾶ μὲν τοῦ ἀποστόλου πρώτως αὐτὰς ἀκριβῶς εἰδυίαις γράφειν χερσὶν ἱστορήσαντος, καὶ τοῦ ἔργου κατάρξαντος· ἔπειτα δὲ καὶ τῶν ἄλλων ἀρχαίων ἀνδρῶν ὡς εἰκὸς οἷα σωτῆρας, ἐθνικῇ τινι τάχα συνηθείᾳ δουλευόντων, καὶ τοῦτον δὴ τὸν τρόπον τιμᾶν εἰωθότων· καὶ ἀπαραφυλάκτως (2) διενεργεῖν τοῦτ' αὐτὸ παραδεδωκότων· ὅπερ ἡ Ἐκκλησία ἐκεῖθεν λαβοῦσα, εἰς μέγα τε ηὔξησε καὶ ἐπίδωκε, Θεοῦ τὸ ἔργον οἰκονομήσαντος· οὐ μορφὰς δὲ μόνον καὶ στήλας, ἀλλὰ καὶ πέπλα καὶ ῥάβδους καὶ σκίμποδας τῶν ἁγίων ἐκείνων ἀνδρῶν εἰς μνήμην δῆτ' ἐκείνων ἄληστον διασώζουσα· καθὰ δὴ καὶ τὸν Ἰακώβου θρόνον ἐπιπολὺ τοῦ χρόνου πεφυλαγμένον ἀνέγνωμεν· ὃν ἀδελφὸν μὲν τοῦ Κυρίου εἶναι, πρῶτον δὲ τῶν Ἱεροσολύμων ἐπίσκοπον, πρὸς αὐτοῦ Χριστοῦ καὶ τῶν ἀποστόλων χρηματίσαι οἱ θεῖοι λόγοι παραδιδόασι. Περιεῖπον γὰρ οἱ μετ' ἐκείνους ἐκείνου διάδοχοι, ταῦτα σαφῶς ἐπιδεδειγμένοι, οἷον περὶ τοὺς θεοφιλεῖς ἄνδρας ἀξιόχρεων τὸ σέβας ἀπίσωζον· ὥσπερ δὴ καὶ ἐς ἡμᾶς τοῦτο μάλα πρεσβεύεται μνήμης ἕνεκα πολλῶν τῶν παρ' ἡμῖν σωζομένων. Ἀλλὰ περὶ μὲν τούτων οὕτως.

B *De figura et forma sanctorum apostolorum, et de throno Jacobi fratris Domini.*

Cum etiam sanctorum apostolorum Petri et Pauli, ipsiusque adeo Christi, et quæ eum supra naturæ captum mirifice genuit Virginis matris, coloribus adumbratas imagines, plurimas ad hunc usque diem conservatas esse norimus. Ac Lucas quidem apostolus primus ipsas accurate, opus id exorsus, manibus suis depinxit; deinde vero ex veteribus alii quoque viri, pro eo atque par erat veluti servatores suos in signis et picturis servantes, idem fecere : ethnica quidem illi fortasse consuetudine ducti, et morem eum colere soliti, absque tamen necessaria observatione obtinere id tradiderunt. Sed Ecclesia inde acceptum magis ac magis adauxit (providentia Dei curante atque C disponente), non modo effigies et statuas, verum etiam vestes, baculos, et lectos sanctorum illorum virorum conservans, ad memoriam eorum sempiternam. Sicuti et Jacobi thronum ad multa tempora servatum esse scimus, quem fratrem ipsum Domini, primum Hierosolymorum episcopum, ab ipso Christo et apostolis creatum esse, sacra monumenta tradidere. Venerati sunt enim hunc successores ejus, asservatum : satis aperte declarantes, quo cultu et studio Deo dilectos viros sint prosecuti. Quemadmodum id ad nos quoque est transmissum, apud quos multa etiam memoriæ gratia asservantur. Verum de his hæc dicta sufficiant.

ΚΕΦΑΛ. ΙΖ'.

Περὶ τοῦ ἁγίου Γρηγορίου τοῦ περιβοήτου ἐν θαύμασιν, ὡς τοῖς κατ' ἐκεῖνο καιρον χρόνοις ἤκμαζε.

Τοῖς δὲ κατὰ Γαλιηνὸν χρόνοις ἤκμαζε καὶ λόγοις καὶ παραδόξων τέρασιν ἔργων Γρηγόριος ὁ τῶν κατὰ Πόντον ἐκκλησιῶν σὺν Ἀθηνοδώρῳ τῷ ἀδελφῷ ἡγησάμενος, τῆς Νεοκαισαρίων μὲν τὴν ἐπισκοπὴν ἔχων, τὴν γε μὴν τῶν κατορθωμάτων ἐνέργειαν ἐπωνυμίαν ὡς εἰκὸς κληρωσάμενος· ὃς Ἑλλήνων μὲν φὺς πατέρων, τὸ σέβας μετέθετο, καὶ ἐπὶ μᾶλλον τὰ τῆς πίστεως αὐτῷ ηὔξησεν. Ὠριγένει γὰρ

D *De sancto Gregorio miraculis claro, ut ea ætate floruerit.*

Galieni temporibus simul et doctrina et miraculis ingentibus floruit Gregorius, cum fratre Athenodoro ecclesias in Ponto gubernans. Ipsi autem Neocæsariensis obtigerat episcopatus, et ab efficacia miraculorum edendorum cognomen Mirifici. Gentilibus autem genitus parentibus religionem mutavit, et in fide maxime profecit : et Alexandriæ Origeni operam dans, sacras atque

(1) Sub ea statua herba ἀδιξιφάρμακος excrevit. (Euseb. lib. VII, cap 14.)

(2) Ἀπαραλλάκτως, Eusebius, ut supra.

profanas litteras summe addidicit. Ubi meretricula, quæ calumniæ causa ad eum venerat, a dæmone correpta, per orationem ejus sanationem est consecuta : ecclesiæ autem præfectus (1), cum Plædimus ei Amasenus episcopus manus imposuisset, rupem ingentem collis instar, cum ad eam esset perductus, oratione sola movit, et in alium transtulit locum. Deinde sacerdotem profanum templi custodem, ejecto atque recepto dæmone (2), ad Christi fidem pertraxit. Et lacum quemdam, de quo fratres duo ingenti contentione decertabant, siccum aridumque reddidit. Præterea Lyci fluminis undas perniciosas repressit,scipione suo defixo, qui hucusque in ingentem excrevit arborem, et a viatoribus ibi cernitur. Judæum quemdam, qui mortuum se esse simulaverat, revera mortuum effecit. Et cum eum aliquando quidam persequerentur, in arborem transformatus, ita orationi intendens constitit, ut a nemine videretur. Pestilentiam infidelibus conciliavit : et feminam quamdam, quæ ad fidem accesserat, a morte liberavit. Huic Dei mater apparens, per Joannem evangelistam, professionem fidei nostræ, quantum ad theologiam (3) et divinitatis rationem pertinet scriptam exhibuit. Ad multam autem pervenit senectutem, et ad Diocletiani usque tempora duravit (4), gratiarum actionis voces edere solitus. quod urbem frequentissimam, et infidelitatis plenissimam,ad contrarium professionis fidei redegisset statum.Quantum enim ibi eorum adveniens repererat, qui ante se fidem receperant, tantum eorum qui in infidelitate perseverarent, moriens numerum reliquit. Hæc breviter et compendiose de admirando Gregorio sint dicta.

A ἐπ' Ἀλεξανδρείᾳ φοιτήσας, τα τῆς θείας Γραφῆς καὶ τὰ τῆς ἔξω εἰς ἄκρον ἠσκήθη. Ἔνθα δὴ ἑταιρικὸν γύναιον ἐπὶ διαβολῇ αὐτῷ προσελθὸν, δαίμονι ληφθὲν, διὰ προσευχῆς τὴν ἴασιν ἔσχεν. Ἐπὶ δὲ τῆς Ἐκκλησίας τεθεὶς, Φαιδίμου αὐτῷ τὰς χεῖρας ἐπιβαλόντος, ὃς Ἀμασείας ἐπίσκοπος ἦν, ἐπεὶ πρὸς αὐτὸν ἤγετο, λίθον μέγαν βουνῷ παραπλήσιον εὐχῇ μόνῃ κινήσας, εἰς ἕτερον μετήγαγε τόπον. Ἔνθα δὴ καὶ τὸν νεωκόρον τῇ τῶν δαιμόνων ἐκβολῇ τε καὶ εἰσβολῇ πρὸς τὴν κατὰ Χριστὸν πίστιν ἕλκειν · καί τινα λίμνην διαφερομένην δυσὶν ἀδελφοῖς ξηρὰν καὶ ἄνικμον ἐδείκνυ. Ἀλλὰ καὶ τοῦ ποταμοῦ Λύκου τὸ βλαπτικώτατον ῥεῖθρον, τῷ τὴν οἰκείαν καταπῆξαι βακτηρίαν, ἀνέστειλεν. Ἥτις δὴ καὶ εἰς δεῦρο, εἰς μέγα δένδρον διήκουσα, τοῖς προσπελάζουσι φαίνεται. Καὶ τὸν νεκροῦ σχῆμα πλασάμενον Ἑβραῖον ἐργῳ νεκρὸν καθιστᾷ. Καὶ τοῖς δεισώκουσι τοῦτον, εἰς δένδρον μετασχηματισθεὶς, ἱστὼς ἐν προσευχῇ ἀθέατος ἔμεινε. Καὶ λοιμὸν δὲ ἀπίστοις προὐξέγησε, καὶ τῇ πίστει προσελθούσῃ τοῦ μόρου ἀπήλλαττεν. Ἔγγραφον δὲ τῆς θεογοθίας τὴν πίστιν ἡ τοῦ Θεοῦ μήτηρ διὰ τοῦ εὐαγγελιστοῦ Ἰωάννου φανεῖσα τούτῳ παρέχει. Εἰς δὲ βαθὺ γῆρας ἦκων, ἄχρι καὶ Διοκλητιανοῦ παρατείνας, εὐχαριστίας προῆκε φωνάς · ὅτεπερ τὴν ἐπὶ τόσον πλήθουσαν ἀπιστίας πόλιν πολυναθρωποτάτην οὖσαν ἐπὶ τῆς ἐναντίας καταλέλοιπε τάξεως. Ὅσους καὶ γὰρ ἐλθὼν εὗρε τὴν πίστιν πρὸ αὐτοῦ παραδεδεγμένους τοσούτους τελευτῶν τῇ ἀπιστίᾳ παραμεμενηκότας καταλέλοιπε. B Τοσαῦτα ὡς ἐν συντόμῳ εἰπεῖν καὶ τὰ περὶ τοῦ C θαυμαστοῦ Γρηγορίου.

409 CAPUT XVIII.

De Dionysii festis epistolis.

Dionysius autem Alexandrinus, nondum pace ecclesiis a Galieno reddita, ad eas quas diximus de pœnitentia et baptismo, alias quoque de Paschate festas composuit epistolas. Quarum unam quidem ad Flavianum (5) dedit : aliam ad Didymum et Domitium, in qua etiam octo annorum canonem exponit, non alias quam æquinoctio verno Pascha celebrari oportere astruens. Aliam rursus ad presbyteros Alexandrinos, atque diversas alias ad alios scripsit. Pace porro exorta, ab exsilio Alexandriam rediit. Ibi seditione et tumultu civili excitato, quoniam episcopali munere suo fungi non potuit, fratribus scilicet in alterutram partem factionis inclinatis, ipsis Paschæ feriis ex ipsa Alexandria veluti exsul per litteras cum eis est collocutus. Dedit quoque ad Hieracem Ægyptium

ΚΕΦΑΛ. ΙΗ'.

Περὶ τῶν ἑορταστικῶν Διονυσίου ἐπιστολῶν.

Διονύσιος δὲ ὁ τῆς Ἀλεξανδρείας, μήπω τῆς κατὰ Γαλιηνὸν ἐπελαδούσης εἰρήνης, πρὸς ταῖς εἰρημέναις τῆς μετανοίας καὶ τοῦ βαπτίσματος καὶ τὰς περὶ τοῦ Πάσχα ἑορτασικὰς συνατττει ἐπιστολάς. ὧν μίαν μὲν Φλαδιανῷ προσφωνεῖ, ἄλλην δὲ Διδύμῳ καὶ Δομετίῳ. Ἐν ᾗ καὶ ὀκταετηρίδος κανόνα ἐκτίθεται, μὴ δεῖν ἄλλοτε πλὴν τῆς εἰαρινῆς ἰσημερίας τὸ Πάσχα ἐπιτελεῖν παριστάμενος. Τοῖς δ' ἐν Ἀλεξανδρείᾳ πρεσδυτέροις ἄλλην συντάττει, καὶ διαφόρους ἄλλοις. Τῆς δ' εἰρήνης διαλαμψάσης, ἐκ τῆς ὑπερορίας ἐπανῆκεν εἰς Ἀλεξάνδρειαν. Στάσεως δ' ἐκεῖσε καὶ πολέμου ἐπισυμδάντος, ἐπεὶ μὴ τὰ τῆς ἐπισκοπῆς διέπειν οἷός τε ἦν, ἅτε δὴ τῶν ἀδελφῶν εἰς ἑκάτερον τῆς στάσεως μέρος διακρινομένων, ἐν τῇ τοῦ Πάσχα ἑορτῇ ἐξ αὐτῆς Ἀλεξανδρείας, καθά τις ὑπερόριος διατελῶν, ὡμίλει αὐτοῖς. Πρὸς

D

(1) Cum ecclesia in quodam loco arctissimo inter montem et fluvium posito construi deberet, et spatium sufficiens non esset, ipso sancto in orationibus pernoctante, mane facto, inventa est rupes tanto spatio loco cessisse, quantum erat competens pro ipsa ecclesia fabricanda. Hier. *De viris illust.*

(2) Euseb. lib. VII, cap. 25, Rufino interprete.

(3) Theologia hæc reperitur apud Rufinum, *Eccles. hist.* Eusebii lib. VIII, cap. 25.

(4) Imo alia etiam ejus miracula sub Constantino Magno referuntur infra lib. VIII, cap. 33.

(5) Euseb. *Flavium* habet, libro VII, cap. 25. Item, post æquinoctium vernum, μετὰ τὴν ἐαρι[illegible] ἰσημερίαν. Ibid.

δὲ καὶ Ἱέρακι τῷ κατ' Αἴγυπτον ἐπισκόπῳ ἑορταστικὴν ἑτέραν ἐχάραττεν, ἐν ᾗ καὶ τῆς κατ' Ἀλεξάνδρειαν στάσεως μνείαν ποιούμενος, τοῦτον ὑπαγορεύει τὸν τρόπον·

A episcopum alteram festam sive Paschalem epistolam, in qua seditionis Alexandrinæ mentionem faciens, ad hunc modum scribit:

ΚΕΦΑΛ. ΙΘ'.

Περὶ τῆς ἐν Ἀλεξανδρείᾳ γενομένης στάσεως τοῦ λαοῦ.

« Ἐμοὶ δὲ τί θαυμαστὸν, εἰ πρὸς τοὺς πορρωτέρω κατοικοῦντας χαλεπὸν τὸ κἂν δι' ἐπιστολῶν ὁμιλεῖν; ὅτε καὶ τῷ πρὸς ἐμαυτὸν αὐτῷ μοι διαλέγεσθαι, καὶ τῇ ἰδίᾳ ψυχῇ συμβουλεύεσθαι, καθίστηκεν ἄπορον; Πρὸς γοῦν τὰ ἐμαυτοῦ σπλάγχνα, τοὺς ὁμοσκήνους καὶ συμψύχους ἀδελφοὺς, καὶ τῆς αὐτοῦ πολιτείας καὶ Ἐκκλησίας, ἐπιστολαίων δέομαι γραμμάτων. Καὶ ταῦθ' ὅπως ἂν διαπεμψαίμην, ἀμήχανον φαίνεται. Ῥᾷον γὰρ ἄν τις οὐχ ὅπως εἰς τὴν ὑπερόριον, ἀλλὰ καὶ ἀπ' Ἀνατολῶν ἐπι Δυσμὰς περαιωθείη, ἢ τὴν Ἀλεξάνδρειαν ἀπ' αὐτῆς τῆς Ἀλεξανδρείας ἐπέλθοι. Τῆς γὰρ ἐρήμου τῆς πολλῆς καὶ ἀτριβοῦς ἐκείνης, ἣν ἐν δυσὶ γενεαῖς διώδευσεν ὁ Ἰσραὴλ, ἄπορος μᾶλλον καὶ ἄβατός ἐστιν ἡ μεσαιτάτη τῆς πόλεως ὁδὸς καὶ θαλάσσης· ἣν ἐκεῖνοι ῥαγεῖσαν καὶ διατειχισθεῖσαν ἔσχον ἱππήλατον· καὶ ὧν ἐν τῇ λεωφόρῳ κατεποντίσθησαν Αἰγύπτιοι, οἱ γαληνοὶ καὶ ἀκύμαντοι λιμένες γεγόνασιν, εἰκὼν πολλάκις φανέντες ἀπὸ τῶν ἐν αὐτοῖς φόνων, οἷον ἐρυθρὰ θάλασσα. Ὁ δ' ἐπιῤῥέων ποταμὸς τὴν πόλιν ποτὲ μὲν ἐρήμου τῆς ἀνύδρου ξηρότερος ὤφθη, καὶ μᾶλλον αὐχμώδης ἐκείνης, ἣν διαπορευόμενος ὁ Ἰσραὴλ οὕτως ἐδίψησεν, ὡς Μωσῆ μὲν καταβοᾶν· ῥυῆναι δὲ αὐτοῖς παρὰ τοῦ θαυμάσια ποιοῦντος μόνου ἐκ πέτρας ἀκροτόμου ποτόν. Ποτὲ δὲ τοσοῦτος ἐπλήμμυρεν, ὡς πᾶσαν τὴν περίχωρον τάς τε ὁδοὺς καὶ τοὺς ἀγροὺς ἐπικλύσαντα, τῆς ἐπὶ Νῶε γενομένης τοῦ ὕδατος φορᾶς ἐπαγαγεῖν ἀπειλήν. Ἀεὶ δὲ αἵματι καὶ φόνοις καὶ καταποντισμοῖς κάτεισι μεμιασμένος· οἷος ὑπὸ Μωσῆ γέγονε τῷ Φαραὼ μεταβαλὼν εἰς αἷμα καὶ ἐπιζέσας. Καὶ ποῖον γένοιτ' ἂν τοῦ πάντα καθαίροντος ὕδατος ὕδωρ ἄλλο καθάρσιον; Πῶς δὲ ὁ πολὺς καὶ ἀπέραντος ἀνθρώποις Ὠκεανὸς ἐπιχυθεὶς, τὴν πικρὰν ταύτην ἀποσμήξειε θάλασσαν; Ἢ πῶς ἂν ὁ μέγας ποταμὸς ὁ ἐκπορευόμενος ἐξ Ἐδὲμ, ἐπὶ τὰς τέσσαρας ἀρχὰς εἰς ἃς ἀφορίζεται, μετοχετεύσας εἰς μίαν τοῦ Γαιὼν ἀποπλύναι τὸ λύθρον; Ἢ πότε ὁ τεθολωμένος ὑπὸ τῶν πονηρῶν πανταχόθεν ἀναθυμιάσεων ἀὴρ εἰλικρινὴς γένοιτο; Τοιοῦτοι γὰρ ἀπὸ τῆς γῆς ἀτμοὶ καὶ ἀπὸ θαλάσσης ἄνεμοι, ποταμῶν τε αὖραι καὶ λιμένων ἀνειλήσεις ἀποπνέουσιν, ὡς σηπομένων ἐν πᾶσι τοῖς ὑποκειμένοις στοιχείοις νεκρῶν, ἰχῶρα εἶναι τὰς δρόσους. Εἶτα θαυμάζουσι καὶ διαποροῦσι πόθεν οἱ συνεχεῖς λοιμοὶ· πόθεν αἱ χαλεπαὶ νόσοι· πόθεν αἱ παντοδαπαὶ φθοραί· πόθεν ὁ ποικίλος καὶ πολὺς τῶν ἀνθρώπων ὄλεθρος; διὰ τί μηκέτι τοσοῦτο πλῆθος οἰκητόρων ἡ μεγίστη πόλις ἐν αὐτῇ φέρει, ἀπὸ νηπίων ἀρξαμένη παίδων μέχρι τῶν εἰς ἄκρον γεγηρακότων· ὅσους ὠμογέροντας οὓς ἐκάλει πρότερον ὄντας, ἔτρεφεν; Ἄλλοι τεσσαρακοντοῦται καὶ μέχρι τῶν ὀ

CAPUT XIX.

De seditione populi Alexandrini.

« Quid ego admirer difficile esse, cum eis qui magna locorum intercapedine a nobis sunt dissiti, per epistolas agere? Cum in dubium venerim, quomodo ipse mecum colloquar, et ipse animæ meæ consulam? Ad ipsa enim viscera mea, hoc est, ad fratres qui ejusdem sunt contubernii, ejusdem animi, ejusdem vitæ instituti, et ejusdem Ecclesiæ, epistolis opus est: easque quomodo B perferri curem, durum et prope impossibile est. Facilius namque aliquis non dico in longinquum exsilii locum, sed ab Oriente ad Occidentem transierit, quam Alexandriam ex ipsa Alexandria peragret. Longe quippe solitudine illa deserta atque invia, quam duabus ætatibus seu generationibus filii Israel pertransierunt, periculosior **410** et impeditior est media civitatis via: et mari item illo, quod illi divisum et in parietum formam redactum late habuerunt pervium, et quieti tranquillique partus, eorum fluctuum in quorum trajectu Ægyptii sunt submersi, speciem præ se tulerunt, dum frequenter propter cædes in illis factitatas similes Rubri maris apparuerunt. Qui vero per urbem ipsam profluit amnis, aliquando C quidem solis illis et inaquosis locis, per quos Israel incedens usque adeo siti est pressus, ut adversus Mosem vociferaretur, et ab eo qui solus admiranda facit, ex altissima et durissima rupe unda proflueret, visus est multo aridior sicciorque. Aliquando autem in tantum exundavit, ut vicinam regionem universam, viasque et agros omnes diluvio obruerit, eamque quæ sub Noe fuit, se aquæ inundationem adducturum esse minatus sit. Semper equidem cruore, cædibus civiumque submersorum suffocationibus infectus fuit et contaminatus: qualis ille Pharaonis per Mosen in sanguinem conversus, et sanguinem olens fuit. Quæ vero fluminis ejus quod repurgat omnia, reperietur expiatrix unda? Quomodo etiam immensus et hominibus impermeabilis Oceanus, huic D superfusus, amarum hoc deteret atque abolebit pelagus? Aut quomodo ingens ille fluvius qui ex Edem egreditur, si quatuor capita, in quæ dividitur, in unum caput, nempe in alveum Geon derivet, cruentam abluet saniem? Quomodo denique aer, a cladium ubique tantarum impurissimis exhalationibus infectus atque pollutus, purgabitur? Tanti a terra vapores, a mari venti, a fluviis auræ, a portubus crassiores nebulæ feruntur, ut tabescentibus ac diffluentibus, in omnibus subjectis elementis, cadaveribus, cruore roret. Et admirantur adhuc et dubitant, unde continuæ proveniant

pestilentiæ, unde graves morbi, unde omnis generis calamitates, unde tot et tam varii hominum interitus? Quid ita tam ampla civitas, non tam frequentes jam habeat incolas, si eos ab infantibus ipsis usque ad senes decrepitos recenseas omnes : quam antea eorum tantum, quos crudæ senectutis vocabat, fovit? Aliorum porro a quadragenariis usque ad septuagenarios tanta antehac fuit multitudo, ut illorum numerum nunc non suppleant, cum eis accenseantur et attribuantur, ad publicam percipiendam annonam, qui quatuordecim annorum sunt, usque ad octogenarios. **411** Sic qui vultu sunt maxime juvenili, eorum nunc quasi æquales sunt facti, qui olim erant senes maxime. Et cum in terris semper diminui atque consumi genus hominum conspiciant, internecione omnium indies gliscente atque grassante non contremiscunt. »

A ἐτῶν · τοσοῦτον πλείονες τότε, ὥστε μὴ συμπληροῦσθαι νῦν τὸν ἀριθμὸν αὐτῶν προσεγγραφέντων καὶ συγκαταλεγέντων εἰς τὸ δημόσιον στηρέσιον τῶν ἀπὸ τεσσαρεσκαίδεκα ἐτῶν μέχρι τῶν ὀγδοήκοντα · καὶ γεγόνασιν οἷον ἡλικιῶται τῶν πάλαι γεραιτάτων οἱ ὄψει νεώτατοι. Καὶ οὕτω μειούμενον ἀεὶ καὶ δαπανώμενον ὁρῶντες τὸ ἐπὶ γῆς ἀνθρώπων γένος, οὐ τρέμουσιν αὐξομένου καὶ προκόπτοντος τοῦ παντελοῦς αὐτῶν ἀφανισμοῦ. »

CAPUT XX.

De pestilentia sævissima, quæ Alexandriæ est grassata.

Post seditionem autem pestilentia admodum in urbe sæviit. Et cum paschalis dies pro foribus esset, ad fratres scripto verba faciens, contagiosi morbi ærumnas hujusmodi ornavit verbis : « Aliis equidem hominibus, ut nunc se res habent, non videatur esse festi diei celebrandi tempus. Neque adeo illis est vel tale, vel aliud quodpiam, non luctuosum dico, sed quod et sit et videatur maxime lætum. Nunc sane lugent omnia, mœrent omnes, et resonant per urbem ejulatus, propter tantam mortuorum et quotidie morientium multitudinem. Sicuti enim de primogenitis Ægyptiorum scriptum est, sic nunc quoque ingens est clamor. Non enim est domus, in qua non reperiatur mortuus. Atque utinam non reperiretur ; nam et eis quæ hæc præcesserunt temporibus, permultas et graves perpessi sumus calamitates. Et cum soli nos ab omnibus affligeremur et necaremur, nihilominus tamen tum quoque festos egimus dies : et omnis cujuslibet cladis locus, conventus agendi nobis præbuit commoditatem : ager, solitudo, navigium, publicum diversorium, carcer. Omnium autem lætissimum Pascha egerunt perfecti, qui in cœlo convivantur, martyres. Post eas clades bellum et pestilentia irruit, quæ una cum gentibus pertulimus mala. Et soli nos quidem, quæ nobis sunt illata detrimenta sustinuimus ; una cum illis autem, quæ invicem ipsi inter se vel fecerunt, vel perpessi sunt, per tumultum scilicet, toleravimus dispendia : sed Christi rursum exhilarati sumus pace, quam solis nobis concessit. Cum vero paululum admodum et nobis et ipsis datum esset, ut respiraremus, contagiosa hæc lues urbem invasit : res metu omni illis horribilior, et ærumna quavis calamitosior : et, ut quidam eorum dixit historicus, clades una opinione et spe omnium major (!) : nobis vero haudquaquam talis (2), sed non minus

B Περὶ τοῦ ἐνσκήψαντος ἐν αὐτῇ ἀπλήστου λοιμοῦ.

Μετὰ δὲ τὴν στάσιν λιμώδης νόσος τὴν πόλιν ἐδόσκετο. Καὶ τῆς ἑορτῆς ἐπὶ θύραις οὔσης, τοῖς ἀδελφοῖς ὁμιλῶν, τὰ τῆς νόσου πάθη διὰ τούτων ὑπεσημαίνετο · « Τοῖς μὲν ἄλλοις ἀνθρώποις οὐκ ἂν δόξειε καιρὸς ἑορτῆς εἶναι τὰ παρόντα. Οὐδ' ἔστιν αὐτοῖς οὕτε οὗτος, οὔτε τις ἕτερος, οὐχ ὅπως τῶν ἐπιλοίπων, ἀλλ' οὐδ' εἴ τις περιχαρὴς ὢν, οἰηθείη μάλιστα. Νῦν μέν γε θρῆνοι πάντα · καὶ πενθοῦσι πάντες · καὶ περιηχοῦσιν οἰμωγαὶ τὴν πόλιν διὰ τὸ πλῆθος τῶν τεθνηκότων καὶ τῶν ἀποθνησκόντων ὁσημέραι. Ὡς γὰρ ἐπὶ τῶν πρωτοτόκων τῶν Αἰγυπτίων γέγραπται, οὕτω καὶ νῦν ἐγενήθη κραυγὴ μεγάλη. Οὗ γάρ ἐστιν οἰκία, ἐν ᾗ οὐκ ἔστιν ἐν αὐτῇ τεθνηκώς · καὶ ὄφελόν γε · εἰς πολλὰ μὲν γὰρ καὶ δεινὰ, καὶ τὰ πρὸ τούτων συμβεβηκότα πρῶτον ἡμᾶς ἤλασαν · καὶ μόνοι πρὸς πάντων διωκόμενοι καὶ θανατούμενοι, ἑωρτάσαμεν καὶ τότε. Καὶ πᾶς ὁ τῆς καθ' ἑκάστου θλίψεως τόπος πανηγυρικὸν ἡμῖν γέγονε χωρίον · ἀγρὸς, ἐρημία, ναῦς, πανδοχεῖον, δεσμωτήριον. Φαιδροτάτην δὲ πασῶν ἤγαγον ἑορτὴν οἱ τέλειοι μάρτυρες εὐωχηθέντες ἐν οὐρανῷ. Μετὰ δὲ ταῦτα πόλεμος καὶ λοιμὸς ἐπέλαβεν · ἃ τοῖς ἔθνεσι συνδιηνέγκαμεν, μόνοι μὲν ὑποστάντες ὅσα ἡμῖν ἐλυμήναντο, παραπολαύσαντες δὲ καὶ ὧν ἀλλήλους εἰργάσαντό τε καὶ πεπόνθασι. Καὶ τῇ Χριστοῦ πάλιν ἐνηυφράνθημεν εἰρήνῃ, ἣν μόνοις ἡμῖν ἔδωκε. Βραχυτάτης δὲ ἡμῶν τε καὶ αὐτῶν τυχόντων ἀναπνῆς, ἐπικοτέσκηψεν ἡ νόσος αὕτη, πρᾶγμα φόβου τε παντὸς φοβερώτερον ἐκείνοις, καὶ συμφορᾶς ἧς τινος οὖν σχετλιώτερον · καὶ ὡς ἴδιός τις αὐτῶν ἀπήγγειλε συγγραφεὺς, πρᾶγμα μόνον δὴ τῆς πάντων ἐλπίδος κρεῖττον γενόμενον · ἡμῖν δὲ οὐ τοιοῦτον μὲν, γυμνάσιον δὲ καὶ δοκίμιον, οὐδενὸς τῶν ἄλλων ἔλαττον · ἀπέσχετο μὲν γὰρ οὐδὲ ἡμῶν · πολλὴ δὲ ἐξῆλθεν εἰς τὰ ἔθνη. » Εἶτα ἐξῆς ἐπιφέρει καὶ ταῦτα · « Οἱ γοῦν πλεῖστοι τῶν ἀδελφῶν ἡμῶν, δι' ὑπερβάλλουσαν ἀγάπην καὶ φιλαδελφίαν,

(1) Πρᾶγμα μόνον δὴ τῆς πάντων ἐλπίδος κρεῖττον γενόμενον. (Thucyd.)

(2) « Pestis ista et lues, qui horribilis et feralis videtur, explorat justitias singulorum, et mentes humani generis examinat, an infirmis serviant sani, an propinqui cognatos pie diligant, an misereantur servorum languentium domini, an deprecantes ægros non deserant medici : an feroces

ἀφειδοῦντες ἑαυτῶν καὶ ἀλλήλων ἐχόμενοι, ἐπισκο- A ποῦντες ἀφυλάκτως τοὺς νοσοῦντας, λιπαρῶς ὑπηρετούμενοι, θεραπεύοντες ἐν Χριστῷ, συναπηλάττοντο ἐκείνοις, ἀσμενέστατα τοῦ παρ' ἑτέρων ἀναπιμπλάμενοι πάθους, καὶ τὴν νόσον ἐφ' ἑαυτοὺς ἕλκοντες ἀπό τῶν πλησίον, καὶ ἑκόντες ἀναμασσόμενοι τὰς ἀλγηδόνας· καὶ πολλοὶ νοσοκομήσαντες καὶ ῥώσαντες ἑτέρους, ἐτελεύτησαν, αὐτὸν τὸν ἐκείνων θάνατον εἰς ἑαυτοὺς μεταστησάμενοι, καὶ τὸ δημῶδες ῥῆμα μόνης ἀεὶ δοκοῦν φιλοφροσύνης ἔχεσθαι, ἔργῳ δὴ τότε πλγηροῦντες, ἀπιόντες πάντων αὐτῶς περίψημα. Οἱ γοῦν ἄριστοι τῶν παρ' ἡμῖν ἀδελφῶν τοῦτον τὸν τρόπον ἐξεχώρησαν τοῦ βίου, πρεσβύτεροί τέ τινες καὶ διάκονοι, καὶ τῶν ἀπὸ τοῦ λαοῦ λίαν ἐπαινούμενοι· ὡς καὶ τοῦ θανάτου τοῦτο τὸ εἶδος, διὰ πολλὴν εὐσέβειαν καὶ πίστιν ἰσχυρὸν γενόμενον, B μηδὲν ἀποδεῖν μαρτυρίου δοκεῖν. Καὶ τὰ σώματα δὲ τῶν ἁγίων ὑπτίαις χερσὶ καὶ κόλποις ὑπολαμβάνοντες, καθαιροῦντές τε ὀφθαλμοὺς, καὶ στόματα συγκλείοντες, ὠμοφοροῦντές τε καὶ διατιθέντες, προσκολλώμενοι, συμπλεκόμενοι, λουτροῖς τε καὶ περιστολαῖς κατακοσμοῦντες, μετὰ μικρὸν ἐτύγχανον τῶν ἴσων, ἀεὶ τῶν ὑπολειπομένων ἑφεπομένων τοῖς πρὸ αὐτῶν. Τὰ δέ γε ἔθνη πᾶν τοὐναντίον· καὶ νοσεῖν ἀρχομένους ἀπωθοῦντο· καὶ ἀπέφευγον τοὺς φιλτάτους· καὶ ἐν ταῖς ὁδοῖς ἔῤῥιπτον ἡμιθνῆτας· καὶ νεκροὺς ἀτάφους ἀπεσκυβαλίζοντο, τὴν τοῦ θανάτου διάδοσιν καὶ κοινωνίαν ἐκτρεπόμενοι· ἣν οὐκ ἦν καὶ πολλὰ μηχανωμένοις ἐκκλῖναι ῥᾴδιον. » Μετὰ δὲ ταῦτα εἰρηνευσάντων τῶν κατὰ τὴν πόλιν τοῖς κατὰ τὴν Αἴγυπτον ἀδελφοῖς, ἑορταστίτην αὖθις C ἐπιστέλλει γραφήν· καὶ μετ' ἐκείνην διαφόροις ἄλλοις ἔγραφε. Καὶ περὶ Σαββάτου δὲ αὐτοῦ γραφὴ φέρεται, καὶ περὶ γυμνασίου ἄλλη· καὶ πρὸς Ἑρμάμωνα δὲ, καὶ τοῖς κατ' Αἴγυπτον ὁμιλῶν δι' ἐπιστολῆς, καὶ ἄλλα μὲν φησιν, ἀλλὰ καὶ περὶ Δεκίου καὶ Γάλλου καὶ τῆς κακοτροπίας αὐτῶν διέξεισι. Τῆς δὲ κατὰ τὸν Γαλιηνὸν εἰρήνης μνείαν ποιεῖται.

atque alia, exercitium atque exploratio. Non illa quidem a nobis abstinuit, **412** verum multo maxime in gentes est grassata. » Deinceps hæc infert : « Plurimi itaque fratres, pro excellenti suo amore et fraterna charitate, sibi ipsis non parcentes, et alius ab alio invicem animis dependentes, sine metu omni ægrotos visitarunt : et magno studio et cura illis in Christo inservientes, una cum illis mortui sunt, perquam libenter aliorum dolore seipsos implentes, morbumque proximorum in se pertrahentes, ac non gravate dolores mitigantes. Multi curantes atque confirmantes alios, ipsi decesserunt, mortem illorum in seipsos transferentes. Ita vulgatum illud verbum, quod comitatis solius et benevolentiæ semper visum est, factis tum adimplerunt, dum ad eum modum decedentes, se peripsema (1) omnium esse declararent. Hoc pacto optimi apud nos fratres, presbyteri etiam quidam, et diaconi, et ex plebe laudatissimi quique, ex hac vita emigrarunt : ut jam id genus mortis pietate multa et fide roboratum, non multum videretur abesse a martyrio. Et sanctorum cadavera illi supinis manibus et sinu excipere, oculos comprimere, ora claudere, in humeros tollere, componere, ad se applicare, complecti, lavare, vestibus funeralibus exornare, et paulo post æquali sorte potiri, superstitesque eos qui præcesserant statim subsequi. Gentes porro contra omnia fecerunt, eos qui ægrotare cœpissent propellentes, et charissimos quosque refugientes, semimortuos in vias sternentes, mortuos insepultos projicientes, successionemque et communionem mortis aversantes, quam tamen quantumvis multa molientibus evitare facile non erat. » Deinde cum jam ea in urbe pacatiores essent res, Dionysius ad fratres in Ægypto Paschalem epistolam, et rursus aliis alias scripsit. Circumfertur etiam ejus de Sabbato scriptum, et aliud de exercitio : et ad Hermammonem fratresque Ægyptios litteras scribens, inter alia de Decio et Gallo, pravisque eorum moribus pleraque commemorat : et tranquillitatis quæ sub Galieno fuit, mentionem facit.

violentiam suam comprimant, an rapaces avaritiæ furentis insatiabilem semper ardorem vel metu mortis exstinguant, an cervicem flectant superbi, an audaciam leniant improbi, an pereuntibus charis vel sic aliquid divites largiantur et donent sine hærede morituri : Exercitia sunt nobis ista non funera, dant animo fortitudinis gloriam, contemptu mortis præparant ad coronam. » (Cypr. in *Serm. de mortalit.*)

(1) Veteres urbium expiationes anniversarias facientes, homines sacros, hoc est, qui peste aliove morbo expiando diis immolabantur, et Catharmi atque Pharmaci vocabantur, in victimarum morem redimitos, e loco præcipiti in mare dejiciebant, Neptuno immolantes, cum solemnibus hisce verbis, περίψημα ἡμῶν γενοῦ, ἤτοι σωτηρία καὶ ἀπολύτρωσις· Sis pro nobis peripsema, hoc est, piaculum, luitio, redemptio nostra, et servatrix urbis victima. (Suidas, et Nicolaus Leonicus, *De varia historia*, lib. III, cap. ult.) « Tanquam purgamenta hujus mundi facti sumus omnium peripsema; » hoc est, Nos tanquam piacula mundi facti sumus, et succidaneæ pro populo victimæ. (I *Cor.* IV, 13.)

ΚΕΦΑΛ. ΚΑ'.

Περὶ Νέπωτος καὶ τῆς κατ' αὐτὸν αἱρέσεως.

Ἐπὶ τούτοις ἅπασι καὶ δύο βιβλία Περὶ ἐπαγγελιῶν συντάττει· ὧν ἡ ὑπόθεσις Νέπως ἦν, ἐπίσκοπος μὲν Αἰγυπτίων γενόμενος. Ἰουδαϊκώτερον γὰρ διακείμενος, τὰ ἐπηγγελμένα τοῖς ἁγίοις Χριστοῦ ἐν ταῖς Γραφαῖς, παχύτερα καὶ σωματικώτερα εἶναι φρονῶν, ἐπὶ τοῦ παρόντος εἶναι ἐτίθει κατὰ D

413 CAPUT XXI.

De Nepote et hæresi ejus.

Adhæc duos libros *De promissionibus* composuit, quibus argumentum præbuit Nepos : qui Ægypti episcopus, Judaica opinione, quæ sanctis Christi promissa sunt in Scripturis, sensu corporali crassius intelligens, ea ad præsens sæculum, et designatam quamdam mille annorum vitam referebat.

Et quod is ex Apocalypsi Joannis opinionem suam se confirmaturum esse opinaretur, librum composuit, cui titulum Confutationis eorum, qui allegorias componunt, indidit. Cui Dionysius, in eis quos diximus libris respondens, in priore quidem sententiam suam de illius dogmate exponit, in posteriore autem de Apocalypsi Joannis agit pluribus. « Quandoquidem, inquit, scriptum quoddam proferunt Nepotis, quo valde nituntur, veluti certo et irrefragabiliter ostendente atque probante, regnum Christi in terris futurum : in aliis quidem multis Nepotem recipio et complector, propter fidem, tolerantiam laboris, Scripturarum lectionem, et frequentes psalmodias, quibus hucusque multi delectantur fratres, hominemque ipsum observo. » Deinde progressus infert : « Sedenim si quid recte dictum sit, laudare id convenit. Rursum vero si quid secundum sanam doctrinam non sit scriptum, id castigare oportet. Ac si quidem ipse adesset, satis esset rationum in colloquio, per interrogationem et responsionem, ad persuasionem et conciliationem eorum quæ inter se opponuntur. Cum autem scriptum ejus satis ad persuadendum compositum, in hominum sit manibus, quo scripto legi et prophetis conviciatur, Evangelia nihil esse ducit, et apostolicos libros tanquam nullius pretii elevat; ipsum autem perinde atque occultum et arcanum mysterium celebratur, 414 simpliciorum fratrum animos, nihil permittens magnum et sublime de certa, vera et gloriosa apparitione Christi, aut de nostra a mortuis resurrectione, atque ad ipsum aggregatione et assimilatione, sed humilia quædam et caduca, qualia præsentis vitæ sunt, sapere et sentire : perquam est necessarium, ut veluti cum præsente fratre nostro Nepote disserentes agamus. » Deinde commemorat, se in Arsenoite (1) fuisse, ubi hujusmodi emersit hæresis : ibique omnibus ecclesiasticis atque aliis item viris præsentibus, tribus continuis diebus de Nepotis doctrina, libro ejus proposito, disseruisse. Fratrumque stabilem ac decentem morem admiratur (2), qui rite atque ordine responsionibus assensiones approbationesque suas accommodarint; neque contentiose defendere perseverarint, quæ semel apud se constituissent : neque objectiones legitimas intermiserint, veritatem illi cognitam (quod pudore quodam aliqui, cum convincuntur, non faciunt) profitentes : bonaque conscientia, quæ auctoritate divinarum Litterarum probata essent, citra simulationem et dissimulationem cordibus ad Deum simpliciter compositis, suscipientes. Addit præterea, ut etiam ejus loci doctor Coracion dictus, vocibus eis quæ contra illius opinionem prolatæ fuerant persuasus, præsentibus omnibus receperit, veritate jam abunde satis perspecta, sibi de cætero nihil futurum cum Nepote negotii, neque mentio,

A χιλιοστὴν ζωῆς τινα ὡρισμένην. Καὶ τοίνυν οὗτος ἐκ τῆς Ἀποκαλύψεως Ἰωάννου κρατύνειν τὴν αἵρεσιν οἰηθείς, βίβλον συνταξας, ἔλεγχον τῶν ἀλληγοριστῶν ταύτην ἐπέγραψεν. Πρὸς ὃν Διονύσιος τοῖς εἰρημένοις τούτου συγγράμμασιν ἀντιλέγων, ἓν μὲν τῷ προτέρῳ τὸ δόξαν περὶ τοῦ δόγματος ἐκτίθησιν, ἐν δὲ τῷ δευτέρῳ περὶ τῆς Ἀποκαλύψεως Ἰωάννου διαλαμβάνει πλατύτερον, οὕτω διεξιών · « Ἐπειδὴ σύνταγμά τι προκομίζουσι Νέπωτος, ᾧ λίαν ἐπερείδονται, ὡς ἀναντιῤῥήτως ἐπιδεικνύντι τὴν τοῦ Χριστοῦ βασιλείαν ἐπὶ γῆς ἔσεσθαι, ἐν ἄλλοις μὲν πολλοῖς ἀποδέχομαι καὶ ἀγαπῶ Νέπωτα τῆς τε πίστεως, καὶ τῆς φιλοπονίας, καὶ τῆς ἐν ταῖς Γραφαῖς διατριβῆς, καὶ τῆς πολλῆς ψαλμῳδίας, ᾗ μέχρι νῦν πολλοὶ τῶν ἀδελφῶν ἐνθυμοῦνται · καὶ πάνυ δι' αἰ-

B δοῦς ἄγω τὸν ἄνθρωπον αὐτόν. » Εἶτα προϊὼν, ἐπιφέρει · « Ὡς εἴ τι μὲν ὀρθῶς λέγοιτο, ἐπαινεῖν χρή · διευθύνειν δ' αὖθις εἴ τι μὴ ὑγιῶς ἐστι γεγραμμένον. Καὶ εἰ μὲν παρῆν ὁ ἀνὴρ, αὐτάρκης ἦν λόγος πρὸς ἐρώτησιν καὶ ἀπόκρισιν, πείθων καὶ συμβιβάζων τὸ ἀνθιστάμενον · γραφῆς δ' ἐκείνου πιθανωτάτης προκειμένης, ᾗ γραφῇ νόμον μὲν καὶ προφήτας διαλοιδορεῖται, εὐαγγέλια δὲ τὸ μηδὲν ἡγῆται · τὰ δὲ τῶν ἀποστόλων συγγράμματα ἐκφαυλίζεται · αὐτὴ δὲ οἷά τι κεκρυμμένον μυστήριον περιᾴδεται · τὰς τῶν ἁπλουστέρων ἀδελφῶν ψυχὰς οὐδὲν ἐώντων ὑψηλὸν καὶ μέγα φρονεῖν περί τε τῆς ἀληθοῦς καὶ ἐνδόξου ἐπιφανείας Χριστοῦ, ἀλλ' οὐδὲ περὶ τῆς

C ἡμῶν ἐκ νεκρῶν ἀναστάσεως, καὶ τῆς πρὸς αὐτὸν ἐπισυναγωγῆς τε καὶ ὁμοιώσεως. Ἀλλὰ μικρὰ καὶ θνητὰ οἷα τὰ νῦν, ἀναγκαῖον καὶ ἡμᾶς, ὡς πρὸς παρόντα διαλεχθῆναι τὸν ἀδελφὸν ἡμῶν Νέπωτα. » Εἶτα διηγεῖται ὡς ἐν τῷ Ἀρσενοΐτῃ γενόμενος, ἔνθα τὸ τοιοῦτον ἐπεπόλαζε σχίσμα, πάντων σχεδὸν παρόντων τῶν ἱερατικῶν ἀνδρῶν καὶ τῶν ἄλλως ἐχόντων, τρισὶν ἑξῆς ἡμέραις τὸν περὶ Νέπωτος ἀνεκίνει λόγον, τοῦ βιβλίου προβεβλημένου. Ἔνθα δὴ καὶ τὸ εὐσταθὲς τῶν ἀδελφῶν θαυμάζει, ἐπιεικῶς τὰς συγκαταθέσεις πεποιημένων ταῖς ἀποκρίσεσι, μήτε φιλονείκως περιεχομένων τῶν ἅπαξ αἱρεθέντων αὐτοῖς, μήτε δὲ τὰς ἀντιλογίας ὑποστελλομένων, μήτε, εἰ γνοῖεν ταληθὲς, αἰδοῖ κρατηθέντες μὴ συνομολογεῖν · ἀγαθῇ δὲ συνειδήσει τὰ ταῖς θείαις Γραφαῖς παριστάμενα ὑποκρίσεως δίχα πρὸς Θεὸν

D ἁπλωμέναις καρδίαις καταδέχεσθαι. Ἐπιφέρει δὲ καὶ ὡς ὁ παρ' ἐκείνοις διδάσκαλος, Κορακίων ἓν ἐκείνῳ ὄνομα, ταῖς τῶν ἀντιλεγόντων ἠρημένος φωναῖς, πάντων παρόντων, συνέθετο μὴ τοῦ λοιποῦ προσίξειν ἐκείνῳ, μηδ' εἰς μνείαν ἐλθεῖν, μηδὲ διδάξειν, ὡς ἱκανῶς ταληθὲς διαγνούς. Καὶ τοὺς ἄλλους ἀδελφούς φησι χαίρειν τοῖς λόγοις καὶ τῇ πρὸς ἅπαντας συγκαταβάσει καὶ συνδιαθέσει.

(1) Auctore Plin. lib. v, cap. 9, inter reliquas multas Ægypti præfecturas, quas nomos vocant, Arsenoites nominatur : ab Arsinoe oppido sic dictus, quod Ptolemæus Philadelphus sub nomine sororis suæ, quæ ita nominabatur, condidit. Idem, amnem qui Arsinoen præterfluit, Ptolemæum appellavit. (Plin. lib. vi, cap. 29.)

(2) Ἔνθα καὶ τὸ ἔνσταθες καὶ φιλάληθες καὶ τὸ εὐπαρακολούθητον καὶ συνετὸν ὑπερηγάσθην τῶν ἀδελφῶν. Euseb. lib. vii, cap. 24.

nem se ejus facturum, neque doctrinam promulgaturum. Alios quoque fratres dicit lætatos delectatosque esse dissertationibus eis, atque communi omnium conciliatione et consensu.

ΚΕΦΑΛ. ΚΒ'.

Οἷα Διονύσιος ὁ Ἀλεξανδρείας περὶ τῆς Ἀποκαλύψεως Ἰωάννου ἱστορεῖ.

Ἑξῆς δὲ περὶ τῆς Ἀποκαλύψεως τοῦ Ἰωάννου ταῦτά φησιν· ἃ δὴ πάντα κατὰ ῥῆμα, εἰ καὶ διὰ μακροῦ, ὅμως ἀναγκαῖά γε ὄντα, ἐκθήσομαι. « Τινὲς μὲν οὖν, φησὶ, τῶν πρὸ ἡμῶν ἠθέτησαν καὶ ἀνεσκεύασαν πάντη τὸ βιβλίον· καὶ καθ' ἕκαστον κεφάλαιον διευθύναντες, ἄγνωστόν γε καὶ ἀσυλλόγιστον ἐκφαίνουσι, ψεύδεσθαί τε τὴν ἐπιγραφήν· Ἰωάννην γὰρ οὐκ εἶναι λέγουσιν· ἀλλ' οὐδ' Ἀποκάλυψιν εἶναι, τὴν σφόδρα καὶ παχεῖ κεκαλυμμένην τῷ τῆς ἀγνωσίας παραπετάσματι· καὶ οὐχ ὅπως τῶν ἀποστόλων τινὰ, ἀλλ' οὐδ' ὅλως τῶν ἁγίων, ἢ τῶν ἀπὸ τῆς Ἐκκλησίας, τούτου γεγονέναι ποιητὴν τοῦ συγγράμματος· Κήρινθον δὲ τὸν καὶ τὴν ἀπ' ἐκείνου B κληθεῖσαν Κηρινθιανὴν συστησάμενον αἵρεσιν, ἀξιόπιστον ἐπιφημίσαι θελήσαντα τῷ ἑαυτοῦ πράγματι ὄνομα· τοῦτο γὰρ εἶναι τῆς διδασκαλίας αὐτοῦ τὸ δόγμα, ἐπίγειον ἔσεσθαι τὴν τοῦ Χριστοῦ βασιλείαν· καὶ ὧν αὐτὸς ὠρέγετο, φιλοσώματος ὢν καὶ πάνυ σαρκικὸς, ἐν τούτοις ὀνειροπολεῖν ἔσεσθαι· γαστρὸς καὶ τῶν ὑπὸ γαστέρα πλησμονῆς, τουτέστι σιτίοις καὶ ποτοῖς καὶ γάμοις, καὶ δι' ὧν εὐφημότερον ταῦτα ᾠήθη ποιεῖσθαι, ἑορταῖς καὶ θυσίαις καὶ ἱερείων σφαγαῖς. Ἐγὼ δὲ ἀθετῆσαι μὲν οὐκ ἂν τολμήσαιμι τὸ βιβλίον, πολλῶν αὐτὸ διὰ σπουδῆς ἐχόντων ἀδελφῶν. Μείζονα δὲ τῆς ἐμαυτοῦ φρονήσεως τὴν ὑπόληψιν τὴν περὶ αὐτοῦ λαμβάνω. Καὶ γὰρ εἰ μὴ συνίημι, ἀλλ' ὑπονοῶ γε νοῦν τινα βαθύτερον ἐγκεῖσθαι τοῖς ῥήμασιν· οὐκ ἰδίῳ ταῦτα μετρῶν καὶ κρίνων λογισμῷ, πίστει δὲ τὸ πλέον νέμων, ὑψηλοτέραν ἢ ὑπ' ἐμοῦ καταληφθῆναι νενόμικα. Καὶ οὐκ ἀποδοκιμάζω ταῦτα, ἃ μὴ συνεώρακα· θαυμάζω δὲ μᾶλλον ὅτι μὴ συνεῖδον. » Ἐπὶ τούτοις τὴν ὅλην τῆς ἀποκαλύψεως βασανίσας γραφὴν, ἀδύνατον δὲ αὐτὴν κατὰ τὴν πρόχειρον ἀποδείξας διάνοιαν νοεῖσθαι, ἐπιφέρει λέγων· « Συντελίσας δὲ πᾶσαν ὡς εἰπεῖν τὴν προφητείαν, μακαρίζει ὁ προφήτης τούς τε φυλάσσοντας αὐτὴν, καὶ δὴ καὶ ἑαυτόν. Μακάριος γὰρ, φησὶν, ὁ τηρῶν τοὺς λόγους τῆς προφητείας τοῦ βιβλίου τούτου· κἀγὼ Ἰωάννης ὁ βλέπων καὶ ἀκούων ταῦτα. Καλεῖσθαί μὲν οὖν Ἰωάννην αὐτὸν, καὶ εἶναι τὴν γραφὴν Ἰωάννου ταύτην, οὐκ ἀντερῶ. Ἁγίου μὲν γὰρ εἶναί τινος καὶ θεοπνεύστου συναινῶ· οὐ μὴν ῥᾳδίως ἂν συνθείμην τοῦτον εἶναι τὸν ἀπό- D στολον, τὸν υἱὸν Ζεβεδαίου, τὸν ἀδελφὸν Ἰακώβου, οὗ τὸ Εὐαγγέλιον τὸ κατὰ Ἰωάννην ἐπιγεγραμμένον, καὶ ἡ ἐπιστολὴ ἡ Καθολική. Τεκμαίρομαι γὰρ ἔκ τε τοῦ ἤθους ἑκατέρων, καὶ τοῦ τῶν λόγων εἴδους, καὶ τῆς τοῦ βιβλίου διεξαγωγῆς λεγομένης, μὴ τὸν αὐτὸν εἶναι. Ὁ μὲν γὰρ εὐαγγελιστὴς οὐδαμοῦ τὸ ὄνομα αὐτοῦ παρεγράφει, οὐδὲ κηρύσσει ἑαυτὸν οὔτε διὰ τοῦ Εὐαγγελίου, οὔτε διὰ τῆς ἐπιστολῆς. » Καὶ μικρὸν ὑποκαταβὰς πάλιν λέγει· « Ἰωάννης δὲ οὐδαμοῦ, οὐδ' ὡς περὶ ἑτέρου, οὐδ'

A CAPUT XXII.

Quid Dionysius Alexandrinus de Apocalypsi Joannis scriptum reliquerit.

Deinde de Apocalypsi Joannis sententiam suam profert : quæ omnia quamvis sint longiora, tamen necessario verbis commemoranda putavi. « Nonnulli eorum, inquit, qui eos præcesserunt, aboleverunt, et plane irritum fecerunt librum ipsum, atque eum per capita omnia coarguentes, in eam formam redegerunt, ut cognosci non posset, et nulla ratione compositus esse videretur. Falsam quoque **415** inscriptionem habere dixerunt : neque enim Joannis esse, neque revelationem ullam habere, qui tam magno et crasso obscuritatis velo coopertus esset ; et non modo non ab apostolo quopiam, sed ne a sancto B quidem ullo aut ecclesiastico viro editum esse. Cerinthum autem, qui ejus quæ ab eo Cerinthiana dicitur hæresis auctor est, voluisse celebri nomine fide dignam auctoritatem figmento suo parare. Hoc enim esse professionis suæ dogma, regnum Christi terrenum futurum ; et quas ipse corporalis admodum et carnalis concupiverat res, in eis somniasse illud futurum, in ventris scilicet et eorum quæ sub ventre sunt libidine et ubertate : hoc est, cibo, potu, connubio, et (ut absurditatem tantam speciosis ornaret verbis) diebus festis, sacrificiis, et victimarum mactationibus. Ego vero abrogare librum eum, quem fratres multi studiose legunt, non ausim ; majorem autem quam pro tenuitate mea decet, de eo concepi opinionem. Nam etsi non intelligo, suspicor tamen C altiorem secretioremque in verbis ejus latere sensum, eumque longe sublimiorem, quam ut a me percepi queat. Id quod non arbitrio meo judicó, sed fidei magis tribuo. Non rejicio quidem quæ non perspicio, magis autem admiror quod non intelligam. « Posthæc scriptura revelationis omni diligentius et exquisitius perpensa, intelligi non posse demonstrat, si eum sensum spectes, qui in promptu positus videtur ; ac deinde refert : « Absoluta vero, ut ita dicam, prophetia universa, beatos propheta renuntiat, qui eam servaverint, seque adeo ipsum Beatus enim, inquit, qui servat verba prophetiæ. libri hujus ; et ego Joannes, qui et vidi et audivi. Vocari quidem Joannem eum, et Joannis esse scriptum id, non repugno. Et sancti alicujus ac divinitus D afflati viri esse assentior ; non facile tamen apostoli esse concesserim, filii Zebedæi, fratris Jacobi, cujus Evangelium est quod secundum Joannem inscriptum est, et epistola catholica. Conjecturam enim facio, ex utrorumque scriptorum more et indole, ex verborum forma, et ex ipsius libri ductu, illius non esse. **416** Ac Evangelista quidem nusquam nomen suum ascribit : neque seipsum vel in Evangelio, vel in epistola deprædicat. » Et paululum progressus rursum inquit : « Joannes quidem nusquam, neque tanquam de alio, neque tanquam de seipso ; qui vero Apo-

calypsim scripsit, statim a principio seipsum præponit : *Apocalypsis Jesu Christi, quam dedit illi; Deus, palam facere servis suis celeriter, et significavit mittens per angelum suum servo suo Joanni, qui testimonium perhibuit verbo Dei, et testimonium ejus quæcunque vidit.* Deinde etiam epistolam scribit. *Joannes septem ecclesiis in Asia, gratia vobis et pax* [57]. Evangelista, autem neque in catholica epistola nomen suum præmisit, verum ineffabili quodam modo ab ipso statim arcano mysterio divinæ revelationis est exorsus : *Quod fuit ab initio, quod audivimus, quod vidimus oculis nostris* [58]. Cujus revelationis nomine etiam Dominus beatum deprædicavit Petrum, inquiens : *Beatus es tu, Simon Bariona, quoniam caro et sanguis non revelavit tibi, sed Pater meus cœlestis* [59]. Quin neque in secunda, quæ fertur, neque in tertia Joannis, quantumvis brevibus epistolis, Joannes nominatim præponitur; sed, sine adjectione nominis, presbyter scribitur. Iste porro non satis habuit, ut semel nomine suo edito, consequentia exponeret : sed id repetit identidem : *Ego Joannes qui vidi et audivi ista* [60]. « Deinceps indicat, Joannis quidem esse scripturam eam, illi cognominis, sed non dilecti illius ; et per conjecturam esse arbitratur Asiatici Joannis, qui cognominatus est presbyter, de quo prius diximus, videlicet quod duo monumenta, idem Joannis nomen habentia, Ephesi monstrentur. « Multi enim, inquit, propter suam in apotolos propensionem et affectionem, nomina eorum liberis suis imponebant. »

CAPUT XXIII.

Quibus rationibus idem asserat, Apocalypsim non Joannis evangelistæ, sed alterius cujusdam Joannis esse.

Ostendit quoque ex compositione dictionis, sententiis, et verbis ipsis, alium esse, quam Joannem evangelistam, ejus libri auctorem, ita scribens : « Consona enim sibi ipsis sunt Evangelium et Epistola, **417** et simile habent initium. Illud enim dicit, *In principio erat Verbum :* hæc autem eadem pauxillum mutata : *Quod audivimus, quod vidimus oculis nostris, et manus nostræ contrectarunt de Verbo vitæ, et vita manifestata est* [61]. Hæc enim verba veluti præludens præmittit, contra eos contendens, sicuti in sequentibus ostendit, qui dicebant, Dominum in carne non venisse. Quapropter accurate et apposite connexuit, *Et quod vidimus et annuntiamus vobis* [62] ; ex seipso nimirum continue dependens, et a proposito non digrediens. Et sic, per eadem rerum capita et nomina, omnia persequitur : quorum aliqua nos compendiose commemorabimus. Qui vero attente ea leget, in utrisque inveniet multam vitam, multam lucem, detestationem tenebrarum, perpetuam veritatem, gratiam, gaudium, carnem et sanguinem Domini, judicium, remissionem peccatorum, Dei in nos

[57] Apoc. I, 2. [58] I Joan. I, 1. [59] Matth. XVI, 17. [60] Joan. XXII, 8. [61] I Joan. I, 1. [62] Ibid.

A ὡς περὶ ἑαυτοῦ, ὁ δὲ τὴν Ἀποκάλυψιν γράψας εὐθύς τε ἐν ἀρχῇ ἑαυτὸν προτάσσει· Ἀποκάλυψις Ἰησοῦ Χριστοῦ, ἣν ἔδωκεν αὐτῷ δεῖξαι τοῖς δούλοις αὐτοῦ ἐν τάχει· καὶ ἐσήμανεν ἀποστείλας διὰ τοῦ ἀγγέλου αὐτοῦ τῷ δούλῳ αὐτοῦ Ἰωάννῃ, ὃς ἐμαρτύρησε τὸν Λόγον τοῦ Θεοῦ, καὶ τὴν μαρτυρίαν αὐτοῦ ὅσα εἶδεν » Εἶτα καὶ ἐπιστολὴν γράφει· « Ἰωάννης ταῖς ἑπτὰ ἐκκλησίαις ταῖς ἐν τῇ Ἀσίᾳ. Χάρις ὑμῖν καὶ εἰρήνη. » Ὁ δέγ' εὐαγγελιστὴς οὐδ' ἐν τῇ Καθολικῇ ἐπιστολῇ προέγραψεν ἑαυτοῦ τὸ ὄνομα, ἀλλὰ ἀπορρήτως ἀπ' αὐτοῦ τοῦ μυστηρίου τῆς θείας ἀποκαλύψεως ἤρξατο· Ὃ ἦν ἀπ' ἀρχῆς, ὃ ἀκηκόαμεν, ὃ ἑωράκαμεν τοῖς ὀφθαλμοῖς ἡμῶν. Ἐπὶ ταύτῃ γὰρ τῇ ἀποκαλύψει καὶ ὁ Κύριος ἐμακάρισε τὸν Πέτρον, εἰπών·
B Μακάριος εἶ σύ, Σίμων Βὰρ Ἰωνᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ σοι, ἀλλ' ὁ Πατήρ μου ὁ οὐράνιος. Ἀλλ' οὐδὲ ἐν τῇ δευτέρᾳ φερομένῃ καὶ τρίτῃ Ἰωάννου, καίτοι βραχείαις οὔσαις ἐπιστολαῖς, Ἰωάννης ὀνομαστὶ πρόκειται· ἀλλ' ἀνωτύμως ὁ πρεσβύτερος γέγραπται. Οὗτος δέ γε οὐδὲ αὐταρκες ἐνόμισεν εἰσάπαξ ἑαυτὸν ὀνομάσας διηγεῖσθαι τὰ ἑξῆς, ἀλλὰ πάλιν ἀναλαμβάνει· Ἐγὼ Ἰωάννης ὁ βλέπων καὶ ἀκούων ταῦτα. » Εἶθ' ἑξῆς δείκνυσιν, Ἰωάννου μὲν εἶναι τὴν γραφὴν ὁμωτύμου ἐκείνῳ, οὐ μὴν τοῦ ἠγαπημένου. Αἰνίττεται δὲ εἶναι τοῦ ἐν τῇ Ἀσίᾳ Ἰωάννου, ὃς ἐπεκλήθη πρεσβύτερος, περὶ οὗ καὶ πρότερον εἴπομεν, ὅτι καὶ δύο μνήματα ὁμωνυμίαν ἔχοντα Ἰωάννου, ἐν Ἐφέσῳ δείκνυνται. « Πολλοὶ γάρ, φησί, διὰ τὴν πρὸς τοὺς ἀποστόλους
C σχέσιν τὰς κλήσεις τοῖς ἑαυτῶν ἐτίθουν παισί. »

ΚΕΦΑΛ· ΚΓ'.

Ἐξ οἵων τρόπων μὴ εἶναι τοῦ εὐαγγελιστοῦ Ἰωάννου τὴν Ἀποκάλυψιν, ἀλλ' ἑτέρου τινὸς Ἰωάννου παρίστησι.

Δείκνυσι δὲ καὶ ἀπὸ τῆς συνθήκης τοῦ λόγου, καὶ ἀπὸ τῶν νοημάτων καὶ τῶν ῥημάτων ἕτερον εἶναι τὸν συγγραφέα παρὰ τὸν Εὐαγγελιστήν· ὧδέ πως γράφων· « Συνᾴδουσι μὲν γὰρ ἀλλήλοις τὸ Εὐαγγέλιον καὶ ἡ ἐπιστολή· ὁμοίως τε γὰρ ἄρχονται. Καὶ τὸ μέν φησιν, Ἐν ἀρχῇ ἦν ὁ Λόγος· ἡ δὲ τὰ αὐτὰ μικρῷ παρηλλαγμένα· Ὃ ἀκηκόαμεν, ὃ ἑωράκαμεν τοῖς ὀφθαλμοῖς ἡμῶν, καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν περὶ τοῦ Λόγου τῆς ζωῆς· καὶ ἡ ζωὴ ἐφανερώθη. Ταῦτα γὰρ προαναμούται διατεινόμενος, ὡς ἐν τοῖς ἑξῆς ἐδήλωσε, πρὸς τοὺς οὐκ ἐν
D σαρκὶ φάσκοντας ἐληλυθέναι τὸν Κύριον· δι' ἃ καὶ συνῆψεν ἐπιμελῶς· Καὶ ὃ ἑωράκαμεν, καὶ ἀπαγγέλλομεν ὑμῖν, ἵνα καὶ ἑαυτοῦ· καὶ τῶν προθέσεων οὐκ ἀφίσταται. Διὰ τῶν αὐτῶν κεφαλαίων καὶ ὀνομάτων πάντα διεξέρχεται. Ὧν τινα ἡμεῖς μὲν συντόμως ὑπομνηματίσομεν· ὁ δὲ προσεχῶς ἐντυγχάνων εὑρήσει ἐν ἑκατέρῳ πολλὴν τὴν ζωήν, πολὺ τὸ φῶς, ἀποτροπὴν τοῦ σκότους, συνεχῆ τὴν ἀλήθειαν, τὴν χάριν, τὴν χαράν, τὴν σάρκα καὶ τὸ αἷμα τοῦ Κυρίου, τὴν κρίσιν, τὴν ἄφεσιν τῶν ἁμαρτιῶν, τὴν πρὸς ἡμᾶς ἀγάπην τοῦ Θεοῦ, τῆς ποὸς ἀλλήλους

ἡμᾶς ἀγάπης ἐντολήν· ὡς πάσας δεῖ φυλάσσειν τὰς ἐντολάς. Ὁ ἔλεγχος τοῦ κόσμου, τοῦ διαβόλου, τοῦ Ἀντιχρίστου· ἡ ἐπαγγελία τοῦ ἁγίου Πνεύματος· ἡ υἱοθεσία τοῦ Θεοῦ· ἡ δι' ὅλου πίστις ἡμῶν ἀπαιτουμένη· ὁ Πατὴρ καὶ ὁ Υἱὸς πανταχοῦ· καὶ ὅλως διὰ πάντων χαρακτηρίζοντας, ἵνα καὶ τὸν αὐτὸν συνορᾷς, τοῦ Εὐαγγελίου καὶ τῆς ἐπιστολῆς χρῶτα πρόκειται. Ἀλλοιοτάτη δὲ καὶ ξένη παρὰ ταῦτα ἡ Ἀποκάλυψις· μήτε ἐφαπτομένη, μήτε γειτνιῶσα τούτων μηδενὶ σχεδὸν ὡς εἰπεῖν, μηδὲ συλλαβὴν πρὸς αὐτὰ κοινὴν ἔχουσα· ἀλλ' οὐδὲ μνήμην τινὰ οὐδὲ ἔννοιαν, οὔτε ἡ ἐπιστολὴ τῆς Ἀποκαλύψεως ἔχει (ἐῶ γὰρ τὸ Εὐαγγέλιον), οὔτε τῆς ἐπιστολῆς ἡ Ἀποκάλυψις· Παύλου καὶ διὰ τῶν ἐπιστολῶν, ἀποφήναντός τι καὶ περὶ τῶν ἀποκαλύψεων αὐτοῦ, ἃς οὐκ ἀνέγραψε καθ' αὑτάς. Ἔτι δὲ καὶ τῆς φράσεως τὴν διαφορὰν ἔστι τεκμήρασθαι τοῦ Εὐαγγελίου καὶ τῆς ἐπιστολῆς πρὸς τὴν Ἀποκάλυψιν. Τὰ μὲν γὰρ οὐ μόνον ἀπταίστως κατὰ τὴν Ἑλλήνων φωνὴν, ἀλλὰ καὶ λογιωτάταις λέξεσι, τοῖς συλλογισμοῖς, ταῖς συντάξεσι, ταῖς ἁρμηνείαις, γέγραπται. Πολλοῦ γε δεῖ, βάρβαρόν τινα φθόγγον, ἢ σολοικισμὸν, ἢ ὅλως ἰδιωτισμὸν ἐν αὐτοῖς εὑρεθῆναι. Ἑκάτερον γὰρ εἶχεν, ὡς ἔοικε, τὸν λόγον, τὴν γνῶσιν, ἀμφότερα αὐτῷ χαρισαμένου τοῦ Κυρίου, τόν τε τῆς σοφίας, καὶ τὸν τῆς γνώσεως. Τοῦτον δὲ ἀποκαλύψεις μὲν ἑωρακέναι, καὶ γνῶσιν εἰληφέναι καὶ προφητείαν, οὐκ ἀντερῶ· διάλεκτον μέντοι καὶ γλῶσσαν οὐκ ἀκριβῶς ἑλληνίζουσαν αὐτοῦ βλέπω, ἀλλ' ἰδιώμασι βαρβαρικοῖς χρώμενον, καί που σολοικίζοντα. Ἅπερ οὐκ ἀναγκαῖον νῦν λέγειν· οὐδὲ γὰρ ἐπισκώπτων, μή τις νομίσῃ, ταῦτα εἶπον, ἀλλὰ μόνον τὴν ἀνομοιότητα διευθύνων τούτων τῶν γραφῶν. » Ταῦτα ἐν τῇ δευτέρᾳ τῶν ἐπαγγελιῶν Διονύσιος καὶ περὶ τῆς Ἰωάννου Ἀποκαλύψεως πρὸς Νέπωτα ἱστάμενος εἴρηκε.

B λόμενος, ὡς καὶ σπάνιν ἐπὶ Ῥώμης τῶν ἀναγκαίων καταστῆναι, οἵαν μηδέποτε γενέσθαι λόγος ἔχει. Ὁ δ' ἐπ' ἀνατολῆς τύραννος Μαξιμῖνος, τὰ ἴσα καὶ αὐτὸς πράττων, νικῆσαι μᾶλλον ἐφιλονείκει τοῦτον ταῖς αἰσχρουργίαις, καὶ τὸ πρῶτον ἐν κακοῖς ἀπενέγκασθαι. Οἵ τε γὰρ μάγοι καὶ ὅσοι περὶ γόητας τὰ πρῶτα παρ' αὐτῷ τῆς τιμῆς ἀπεφέροντο · δεισιδαίμων τε εἴπερ τις ὤν, καὶ περὶ τὴν τῶν εἰδώλων πλάνην σφόδρα ἐπτοημένος, οὐδέ τι τῶν ἐλαχίστων οἷός τ' ἐνεργεῖν ἦν μαντειῶν ἄνευ καὶ τερατείας. Διὸ καὶ τῷ καθ' ἡμῶν διωγμῷ σφοδρότερον ἐπερράγη, νεώς τε ἀνιστῶν, ἱερεῖς τε κατὰ πᾶσαν πολιν καὶ χώραν, καὶ ἐπὶ τούτοις ἀρχιερέα ἐφ' ἑκάστης
C ἐπαρχίας τιθεὶς, περιφανῆ τινα καὶ ἐπίσημον, στρατιωτικῇ δορυφορίᾳ ἐμπρέπειν ἐκέλευε. Γόησι δὲ καὶ ἀσεβέσι τὰς μεγίστας τῶν ἀρχῶν οἷα δὴ φίλοις θεῶν ἐδωρεῖτο. Ἐντεῦθεν χρημάτων ἀμυθήτων εἴσπραξις ἦν · βαρυτάταις δ' ἐπινοίαις τὸ ὑπήκοον ἐξετρίβετο · καὶ τὰς τῶν εὐπόρων οἰκίας ἐπὶ σμικρᾷ προφάσει ἀθρόον ἀντλῶν, τὰς οὐσίας τοῖς περὶ αὐτὸν μίμοις καὶ κόλαξιν ἐδωρεῖτο. Ἐς τοσοῦτον δὲ τῷ οἴνῳ ἡττᾶσθαι καὶ παροινίας οὐδὲν ἐλλείπειν φασὶν, ὡς μετὰ νῆψιν μεταμέλῳ χρῆσθαι τοῖς πραττομένοις πολλῷ · κραιπαλῶν δ' ἀσώτως ὡς μηδὲν ἐᾷν ἀνεξέργαστον · τέλος τοῖς περὶ αὐτὸν ἅπασι διδάσκαλον
D καθεστάναι αἰσχρότητος · ἔκλυτον δὲ ταῖς τρυφαῖς εἶναι τὸ στρατιωτικὸν πείθων, καὶ ταῖς ἀναγώγοις μελέταις. Στρατηγοὶ δὲ καὶ διοικηταὶ ὡσανεὶ συντυραννοῦντες ἦσαν αὐτῷ, διὰ πάσης ἥκοντες πλεονεξίας καὶ ἁρπαγῆς. Τὰς δ' ἐμπαθεῖς ἐργασίας καὶ τὸν ἀριθμὸν τῶν παλλακευομένων αὐτῷ πῶς ἂν τις καὶ διεξέλθοι ; Πόλιν γὰρ οὐδεμίαν ἦν παρελθεῖν, μὴ φθορᾶς καὶ ἁρπαγὰς γυναικῶν εἰργασμένον. Οὐ καθ' ἡμῶν δὲ μόνων, ἀλλὰ καὶ κατὰ πάντων τῶν ὑπηκόων ἔδρα τὰ πάνδεινα. Ἡμῖν γὰρ οὐχ οἱ ἄνδρες πρὸς πῦρ καὶ σίδηρον, καὶ βυθοὺς θαλάσσης, καὶ λιμὸν καὶ ψῦχος διηγωνίζοντο, καὶ θῆρας ἀργίους καὶ μελῶν ἐκτομὰς ὑσὲρ τῆς εἰς Θεὸν εὐσεβείας, ἀλλὰ καὶ γυναῖκες τὰ ἴσα πρὸς τοῦ θείου λογου ῥῥενωμέναι πάσχουσαι διεκαρτέρουν · καὶ ἐπὶ φθορὰν ἀγόμεναι, θᾶττον ἂν τὴν ψυχὴν ἢ τὸ σῶμα προῦδωκαν · ὡς ἐδειξεν ἡ κατ' Ἀλεξάνδρειαν ἐπίσημος ἐκείνη καὶ διαβόητος ἐπὶ σωφροσύνῃ γυνὴ, πλούτῳ καὶ παιδείᾳ καὶ δόξῃ διαφανὴς, τὴν ἐκείνα-

στον ἐκείνου ψυχὴν κατὰ κράτος νικήσασα· ἣν δὴ κτεῖναι δεομένην, ἢ τὸν σωφρονα λογισμὸν προδοῦναι, τῆς ἐπιθυμίας μᾶλλον ἢ τοῦ θυμοῦ τυραννούσης, καὶ ταῖς ἐπίσι μετεωριζούσης, οὐ κατηξίωσεν. Ἀειφυγίᾳ δὲ ζημιώσας, κύριον ἑαυτὸν τῆς περιουσίας καθίστα. Πολλαὶ μὲν οὖν καὶ ἄλλαι κατὰ τόπους μηδ' ἄκροις ὠσὶν ἀνασχόμεναι πορνευθῆναι, πάντα παθεῖν ἄχρι δὴ θανάτου ἠνέσχοντο. Καί γε θαυμάσιαι μὲν ἐκεῖναι, πολλῷ δὲ ὑπερβάλλουσα τῷ μέσῳ ἡ ἐπὶ Ῥώμης ἐκείνη εὐγενὴς τῷ ὄντι ψυχή· τὰ γὰρ ὁμοια δρᾶν ἐθελων Μαξιμίνῳ Μαξέντιος, οἷα τὰ συγγενῆ καὶ ἀδελφὰ ἐφ' ἅπασι καὶ φρονῶν καὶ πράττων ἐκείνῳ, ἐπείπερ ἐκείνη τοὺς τῆς πράξεως ὑπουργοὺς τῷ σφετέρῳ οἴκῳ ἐπιστάντας ἔγνω, καὶ ταῦτα τοῦ ἀνδρὸς αὐτῆς τὴν τοῦ ἐπάρχου ἀξίαν διαχειρίζοντος, κατασεισθέντος τῷ δέει καὶ ἀπάγειν κελεύοντος, ἐπεὶ ἐξιοῦσα οὐ πάνυ πολὺ προῆει του οἴκου, ὑποπαραιτησαμένη ὄπιθεν τοὺς ἄγοντας ὡς ἂν πρὸς εὐσχημότερον διάθοιτο ἑαυτήν· μονωθεῖσα δὲ, τὴν μάχαιραν κατὰ τῶν ἐγκάτων ἤλαυνε· τὸν μὲν αὐτῆς νεκρὸν ἐκείνοις λιποῦσα, ἔργοις δὲ αὐτοῖς παραδεικνῦσα, ὅτι μόνον χρημάτων ἁπάντων ἀνώλεθρον καὶ ἀήττητον ἡ παρὰ Χριστιανοῖς πέφυκεν ἀρετὴ, καὶ οὐδὲν ἐρρωμένου λογισμοῦ βεβαιότερον. Τοσαύτη κακίας φορὰ ὑπὸ τὸν αὐτὸν καὶ ἕνα χρόνον τήν τε ἕω καὶ ἑσπέραν διείληφεν ὑπὸ τῶν δύο τούτων τυράννων ἀδελφὰ φρονούντων ἐφ' ἅπασιν· ὥστε ἀδιστάκτως ἀποφηναμένῳ εἰπεῖν ἔξεστιν αἴτιον τῆς αὐτῶν τοσαύτης ἐγκαταλείψεως μετ' ὀλίγον μηδὲν ἄλλο γε εἶναι ἢ τὸν καθ' ἡμῶν διωγμόν· ὃς δὴ καὶ στάσιν εἰλήχει, ἡμῶν τὴν συνήθη παῤῥησίαν αὖθις ἀπολαβόντων.

A adulteria ejus, quis quæso exponere possit? Civitatem præterire potuit nullam, quin pleræque mulieres vitiarentur atque raperentur. Nec in nos solos, sed in omnes etiam subditos suos res tam graves exercuit. Apud nos quidem in Oriente juxta et Occidente, non viri tantum propter veram in Deum pietatem, adversus ignem, ferrum, gladios, maris undas, famem, æstum et algorem, et contra bestia, membrorumque concisiones depugnarunt: sed et mulierculæ divino confortatæ verbo, eadem hæc perferre sustinuerunt: quæ cum ad corruptionem, stuprum et pudicitiæ contaminationem ducerentur, vitam citius quam corpus prodiderunt. Id quod egregie ostendit Alexandrina illa mulier (1), opibus, vitæ instituto, virtute et in primis castitatis gloria celebris, quæ libidinosum ejus animum fortissime superavit. Cum namque eum illa obtestaretur, ut vitam sibi potius quam pudicitiam adimeret, quod cupiditate magis, quæ eum in magnam spem voto suo potiendi sustulerat, quam ira grassaretur, precibus ejus non acquievit, sed ejus in perpetuum actæ exsilium substantiam omnem involavit, sibique vindicavit. Multæ præterea aliæ in plerisque locis, ne summis quidem auribus de stupro se compellari patientes durissima quæque ad mortem usque pertulere mala. Quæ quidem admirandæ sunt omnes, illa tamen præclara maxime nobilissima in urbe Romana anima. Maxentius namque, qui libidine Maximinum æmulari in animum induxerat, eadem in rebus omnibus quæ ille, veluti propinquus atque frater et sentiens et faciens, in ædes ejus feminæ administros stupri miserat (2): 471 maritusque ejus præfecturam urbis gerens, timore perculsus, abduci eam jusserat. Ipsa autem domo egressa (3), cum paululum admodum processisset, dolosis blanditiis a productoribus suis impetravit, ut sibi in ædes ad habitum vestitumque cultiorem sumendum redire liceret. Atque ibi cum sola esset, cultro seipsam confodit. Sic illa cadaver eis suum reliquit: facto autem tali satis declaravit, rerum omnium maxime invictam atque inexpugnabilem Christianorum virtutem, nihilque esse animo firmo et constanti violentius. Tantus vitiorum flagitiorumque omnium uno eodemque tempore per Orientem, Occidentemque simul, simul sub duobus hisce tyrannis, germanos in sceleribus omnibus animos obtinentibus, proventus fuit. Affirmare mediustidius certe possum, quod illi brevi postea in tantum sunt conjecti discrimen, nihil aliud in causa fuisse, quam eam, quæ contra nos excitata est, persecutionem. Ea vero vigorem statumque suum firmiorem est consecuta, cum nos consuetam libertatem et constantiam nostram recepimus.

B

C

ΚΕΦΑΛ. ΚΒ'.

Περὶ τῶν ἐπισκηψάντων δεινῶν, καὶ τῆς τῶν κρατούντων παλινῳδίας.

Χρόνου γὰρ δεκάτου ἐξήκοντος τῷ διωγμῷ, οὐδέν δ τι τῶν εἰς ἐπιβουλὴν καὶ πόλεμον καὶ αὐτοῖς παραλέλειπτο· μάχης γὰρ ἐν τῷ μεταξὺ τοῖν δυοῖν τυράννοιν γεγενημένης, ἁπλωτος μὲν ἡ θάλαττα ἦν· εἰ δέ που καὶ πλοῦς ἦν, στρέβλαι καὶ ξίσεις, βάσανοί τε παντοῖαι τῶν ἑκατέρωθεν ἁλισκομένων

D

CAPUT XXII.

De cladibus quæ persecutionem hanc sunt subsecutæ, et de imperatorum palinodia, seu recantatione et pœnitentia.

Cum jam decimus persecutionis ageretur annus, nihil illi quoque quod vel ad occultas insidias, vel ad apertum inter se bellum pertineret, omiserunt. Bellum enim inter duos istos tyrannos gestum est, et mare infestum atque innavigabile fuit. Quod si id a quopiam navigaretur, eum quod

(1) Rufinus eam Dorotheam nominat.
(2) Sophroniam Rufinus vocat.
(3) De Sophroniæ hujus casu Prudentius scripsisse videtur:

Aut si nupta torum regis conscendere jussa,
Cœperat impurum domini oblectare furorem,
Morte maritalis dabat indignatio pœnas.

utrinque alios alii captos abducerent, fidiculæ, flagra, tormenta varia, cruces, et postremo ignis supplicium manebant. Apparabantur ubique thoraces, cuspides et hastæ : præterea triremes, classes et instrumenta belli omnia in promptu erant, temporeque eo toto in locis et provinciis omnibus nihil aliud vel audiebatur vel exspectabatur, quam hostiles incursiones, cædes, rapinæ. Quibus cum malis fames quoque irrupit et pestilentia, de qua suo loco dicemus. Hæ tot et tantæ clades circiter decimum persecutionis annum, Deo opitulante, prorsus conquieverunt, finemque suum habuerunt, **472** cum quidem post octavum cessare cœpissent. Quod namque divina visitatio pro clementia et benignitate sua nos viseret atque respiceret, seu potius respicere inciperet, qui tum rerum summan obtinebant, sententia sua mutata, palinodiam et recantationem cecinerunt, et perquam humanis litteris excitatum quam maxime contra nos incendium persecutionis exstinxerunt. Quæ res profecto sic non humano consilio evenit. Qui enim ab hominibus provenire potuit, qui, cum quotidie propemodum crudeli quadam ambitione ducti, nova adversus nos tormenta invenirent, sibi ipsis tamen non satisfaciebant ? Manifestum porro est, opem eam a divina bonitate nobis accidisse, quæ populum ipsa suum clementer respexit, auctoremque malorum perculit, ac vehementiorem, et, ut ita dicam, meraciorem iram suam duci persecutionis gravissimæ exhibuit. Quod si hoc etiam ut tantopere in nos sæviretur, judicio et dispositione atque adeo permissione divina factum esse concedamus, divinum tamen oraculum, *Væ*, inquit, *ei per quem scandalum et offendiculum venit*. Confestim siquidem in eum Dei irruit vindicta, a carne quidem illa incipiens, sed quæ dæmonum intemperiis agitatam animam ejus quoque pertingeret. Qualis autem ea vindicta fuerit, Eusebium commemorantem audiamus : « Circa media enim tectorum occultorumque corporis membrorum loca, abscessus et suppuratio repente exstitit, quæ mox deinde in fistulosum alte radicibus actis ulcus evasit. Id incurabili et proserpente contagione, interiora etiam viscera depascebatur. Inde incredibilis vermium vis scaturiens, lethalem fœtorem a tota corporis mole excitavit : quæ moles ex nimia edacitate illius, etiam ante ipsum morbum, ad summum usque multa arvina obducta fuerat : eaque tum marcescendo diffluens, horrendum maxime et intolerandum accedentibus præbuit spectaculum. Et medici partim cum ne sustinere quidem summam tam fœdi odoris gravitatem possent, necati sunt : partim quod tam corpulenta moles magis etiam intumesceret, spe salutis omni abjecta, cum nihil auxilii, exploratis rebus omnibus, afferre possent, crudelem in modum sunt interfecti. Ille porro cum tantis conflictans malis, aliquando tandem nefariam suam erga pios homines temeritatem

προϋβαινον · ἀνασκολοπισμός τε καὶ ἡ διὰ πυρὸς τὸ ὕστατον καταδίκη · θώρακές τε καὶ ἀσπίδες καὶ δόρατα παρεσκεύαστο. Ἐπὶ δὲ τούτοις τριήρεις καὶ ναυμαχίαι καὶ ἡ πᾶσα τοῦ πολέμου παράταξις ἐν ἑτοίμῳ. Καὶ δὴ κατὰ πάντα τόπον καὶ χρόνον καὶ καθ' ἑκάστην ἐπαρχίαν οὐκ ἦν ἄλλο ἀκούειν καὶ προσδοκᾷ ἢ πολεμίων ἐφοδον καὶ φόνους καὶ ἁρπαγάς. Ἐπὶ δὲ τούτοις λιμός τε ἐπέσκηπτε καὶ λοιμός, περὶ οὗ κατὰ καιρὸν ἱστορήσομεν. Τοιαῦτα δεινὰ ἀμφὶ τῷ δεκάτῳ ἔτει τοῦ διωγμοῦ ἐπεισφρήσαντα, σὺν ἀρωγῇ θείᾳ παντάπασι πέπαυται, καὶ εἰς τέλος διέρρευσαν. Ἐλώφα γε μὴν μετ' ὄγδοον ἀρξάμενα ἔτος. Ἴλεων γὰρ ἄνωθεν καὶ εὐμενὴς τῆς θείας ἐνορώσης ἐπισκοπῆς ἡμῖν, μᾶλλον δὲ ἤδη ἐπιβαλλούσης ὁρᾷν, τηνικαῦτα καὶ οἱ τὸ ἄρχειν λαχόντες μεταβαλλόμενοι τὴν γνώμην, παλινῳδίαν ᾖδον, ἡμέροις δή τισι γράμμασι, τὴν εἰς μέγα καθ' ἡμῶν, ἐπαρθεῖσαν φλόγα τοῦ διωγμοῦ σβεννύντες. Πάντως δ' οὐκ ἐξ ἀνθρώπων τοῦτό τις οἰηθείη. Ποῦ γὰρ οἵ γε καθ' ἑκάστην, ὡς εἰπεῖν, καινότερα καθ' ἡμῶν φιλοτιμούμενοι καὶ εὑρίσκοντες, ἧκιστ' ἀρκεῖν ἤγηντο ; Τῆς θείας δὲ προφανῶς φιλανθρωπίας ἀντίληψις ἦν, τῷ οἰκείῳ μὲν εὐμενὴς ὁρώσης λαῷ, τῷ δ' αὐθέντῃ τῶν κακῶν ἐπεξιούσης, καὶ τῷ ἀρχηγῷ τῆς κακίας τοῦ διωγμοῦ, ἄκρατον ἐπαφιείσης τὸν χόλον. Εἰ γὰρ καὶ κατὰ θείαν σρίσιν, ἡ δῆτα καὶ οἰκονομίαν κἀὶ παραχώρησιν δοίημεν, ἀλλ' Οὐαί, φησὶν ὁ θεῖος χρησμός, δι' οὗ τὸ σκάνδαλον ἔρχεται. Ἐπειστρέχει γὰρ εὐθὺς δίκη θεηλατος, ἀπὸ σαρκὸς μὲν ἀρξαμένη, ἀψαμένη δὲ καὶ αὐτῆς τῆς δαιμονιώδους ἐκείνου ψυχῆς. Οἷα δὲ ἡ δίκη, Εὐσεβίου λέγοντος διακούσωμεν · « Ἀθρόα μὲν γὰρ περὶ τὰ μέσα τῶν ἀπορρήτων τοῦ σώματος ἀποστάσις γίνεται αὐτῷ · εἶθ' ἕλκος ἐν βάθει συριγγιῶδες, καὶ τούτων ἀνίατος νομὴ κατὰ τῶν ἐνδοτάτων σπλάγχνων · ἀφ' ὧν ἄλεκτόν τι πλῆθος σκωλήκων βρύειν θανατώδη τε ὀδμὴν ἀποπνέειν τοῦ παντὸς ὄγκου τῶν σωμάτων ἐκ πολυτροφίας αὐτῷ, καὶ πρὸ τῆς νόσου εἰς ὑπερβολὴν πλῆθος πιμελῆς μεταβεβληκότος · ἦν τότε κατασαπεῖσαν, ἀφόρητον καὶ φρικτοτάτην τοῖς πλησιάζουσι παρεῖχε τὴν θέαν. Ἰατρῶν δ' οὖν οἱ μὲν οὐδ' ὅλως ὑπομεῖναι τὴν τοῦ δυσώδους ὑπερβάλλουσαν ἀποπίαν οἷοί τε κατεσφάττοντο · οἱ δὲ διῳδηκότος τοῦ παντὸς ὄγκου, καὶ εἰς ἀνέλπιστον σωτηρίαν ἀποπεπτωκότος, μηδὲν ἐπικουρεῖν δυνάμενοι, ἀνηλεῶς ἐκτείνοντο. Καὶ δὴ τοσούτοις παλαίων κακοῖς, συναίσθησιν τῶν κατὰ τῶν θεοσεβῶν τετολμημένων ἴσχει. Συνάγων γοῦν εἰς ἑαυτὸν τὴν διάνοιαν, πρῶτον μὲν ἀνθομολογεῖται τῷ τῶν ὅλων Θεῷ · εἶτα τοὺς ἀμφ' αὐτὸν ἅμα καλέσας, μηδὲν ὑπερθεμένους, τὸν κατὰ Χριστιανῶν ἀποπαῦσαι διωγμὸν παρηγγύα, νόμῳ τε καὶ δόγματι βασιλικῷ τὰς ἐκκλησίας αὐτῶν οἰκοδομεῖν · ἐπισπέρχειν τε καὶ τὰς συνήθεις διαπράττεσθαι εὐχὰς ὑπὲρ τοῦ βασιλέως ποιουμένους προστάττει · καὶ τοῦ ἔργου θᾶττον τῷ λόγῳ παρηκολουθηκότος, ἀπανταχοῦ κατὰ πόλεις, βασιλικὰ διατάγματα ἤπλωτο, ἃ παλινῳδίαν τῶν καθ' ἡμῶν διωγμῶν περιεῖχον, τοῦτον ὑφηγούμενα τὸν τρόπον · »

atque sævitiam agnoscit, ac re secum ipse deliberata, primum rerum omnium Deo flagitia sua confitetur : mox præfectos familiaresque suos ad se vocat : quibus celeriter advenientibus suadet, **473** ut Christianorum persecutione tandem supersedeatur, constitutioneque et edicto imperiali nobis permittatur, ecclesias construere. Addit præterea mandatum, ut statas solitasque pro imperatore preces ad Deum funderemus. Talibus jussis illico ad rem collatis, per urbes passim omnes imperialia mandata proposita sunt, quæ palinodiam patratæ in nos persecutionis ejuscemodi verbis continebant. »

ΚΕΦΑΛ. ΚΓ'.

Περὶ τῶν ὑπὲρ ἡμῶν ψηφισθέντων ἐγγράφως τοῖς βασιλεῦσι.

« Αὐτοκράτωρ Καῖσαρ Γαλλέριος Μαξιμῖνος Ἀνίκητος, Σεβαστὸς, Ἀρχιερεὺς Μέγιστος, Θηβαϊκὸς Μέγιστος, Σαρματικὸς Μέγιστος πέντακις, Περσῶν Μέγισσος, Γερμανικὸς Μέγιστος, Αἰγυπτιακὸς Μέγιστος δὶς, Καρπῶν Μέγιστος ἑξάκις, Ἀρμενίων Μέγιστος, Μήδων Μέγιστος, Ἀδιαβηνῶν Μέγιστος, δημαρχικῆς ἐξουσίας τὸ εἰκοστὸν, Αὐτοκράτωρ τὸ ιθ', Ὕπατος τὸ ὄγδοον, Πατὴρ πατρίδος, Ἀνθύπατος, καὶ Αὐτοκράτωρ Καῖσαρ Φλαύϊος Οὐαλλέριος Κωνσταντῖνος Εὐσεβὴς, Εὐτυχὴς · Δημαρχικῆς ἐξουσίας τὸ πέμπτον · καὶ Αὐτοκράτωρ Καῖσαρ Οὐαλλέριος Λικίνιος, Δημαρχικῆς ἐξουσίας τὸ τέταρτον Αὐτοκράτωρ, τὸ τρίτον Ὕπατος, Πατὴρ πατρίδος, Ἀνθύπατος, ἐπαρχιώταις ἰδίοις χαίρειν. Μεταξὺ τῶν λοιπῶν ἃ περὶ τοῦ χρησμοῦ καὶ πολυτελοῦς τοῖς δημοσίοις διατυπούμεθα, ἡμεῖς μὲν βεβουλεύμεθα πρότερον κατὰ τοὺς ἀρχαίους νόμους καὶ τὴν δημοσίαν ἐπιστήμην τὴν τῶν Ῥωμαίων, ἅπαντας ἐπανορθώσασθαι, καὶ τούτου πρόνοιαν ποιήσασθαι · ἵνα καὶ οἱ Χριστιανοὶ οἵτινες τῶν γονέων τῶν ἑαυτῶν καταλελοίπασι τὴν αἵρεσιν, εἰς ἀγαθὴν πρόθεσιν ἐπανέλθοιεν · ἐπείπερ τινὶ λογισμῷ τοσαύτη αὐτοὺς πλεονεξία κατεσχήκει, καὶ ἄνοια κατειλήφει, ὡς μὴ ἔπεσθαι τοῖς ὑπὸ τῶν πάλαι καταδειχθεῖσιν, ἅπερ ἴσως πρότερον καὶ οἱ γονεῖς αὐτῶν ἦσαν καταστήσαντες · ἀλλὰ κατὰ τὴν αὑτῶν πρόθεσιν καὶ ὡς ἕκαστος ἐβούλετο, οὕτως ἑαυτοῖς καὶ νόμους ποιῆσαι, καὶ τούτους παραφυλάττειν, καὶ ἐν διαφόροις διάφορα πλήθη συνάγειν. Τοιγαροῦν τοιούτου ἡμῶν προστάγματος παρακολουθήσαντος, ὥστε ἐπὶ τὰ τῶν ἀρχαίων κατασταθέντα ἑαυτοὺς μεταστήσειαν, πλεῖστοι μὲν κινδύνῳ ὑποβληθέντες, πλεῖστοι δὲ ταραχθέντες, παντοίους θανάτους ὑπέφερον. Καὶ ἐπειδὴ, τῶν πολλῶν τῇ αὐτῇ ἀπονοίᾳ διαμενόντων, ἑωρῶμεν μήτε τοῖς θεοῖς τοῖς ἐπουρανίοις τὴν ὀφειλομένην θρησκείαν προσάγειν αὐτοὺς, μήτε τῷ τῶν Χριστιανῶν προσέχειν · ἀφορῶντες εἰς τὴν ἡμετέραν φιλανθρωπίαν καὶ τὴν διηνεκῆ συνήθειαν, δι' ἣς εἰώθαμεν πᾶσιν ἀνθρώποις συγγνώμην ἀπονέμειν προθυμότατα, καὶ ἐν τούτῳ τὴν συγχώρησιν τὴν ἡμετέραν ἐπεκτεῖναι δεῖν ἐνομίσαμεν, ἵνα αὖθις ὦσι Χριστιανοὶ, καὶ τοὺς οἴκους ἐν οἷς συνήγοντο συνήθως οὕτως ὥστε. μηδὲν ὑπεναντίον τῇ ἐπιστήμῃ αὐτοὺς πράττειν. Δι' ἑτέρας δὲ ἐπιστολῆς τοῖς δικασταῖς δηλώσομεν, τί αὐτοὺς παραφυλάξασθαι

A

CAPUT XXIII.

De eorumdem edictis in scripto pro Christianis editis.

Imperator Cæsar Gallerius Maximinus, Invictus, Augustus, Pontifex Maximus, Thebaicus Maximus, Sarmaticus Maximus v, Persarum Maximus, Germanicus Maximus, Ægyptiacus Maximus II, Carporum Maximus VI, Armeniorum Maximus, Medorum Maximus, Adiabenorum Maximus, Trib. pot. XX, imperator XIX, Cos. VIII, Pater patriæ, Proconsul ; et imperator Cæsar Flavius Valerius Constantinus, Pius, Felix, Trib. pot. v, et Imperator Cæs. Valerius Licinius (1) Trib. pot. IV, imperator, III Cos. Pater patriæ, Proconsul, provincialibus suis salutem. Inter alia quæ ex usu et utilitate reipublicæ promulgavimus, consilium quoque illud antea cepimus, ut secundum veteres leges et publicam Romanorum disciplinam rite omnia corrigerentur, et providentia curaque susciperetur, ut Christiani qui a majorum suorum institutis descivissent, mentem meliorem reciperent. Tanta namque consilia nescio quo eos cupiditas invaserat, et tanta dementia ceperat, ut ea quæ dudum a majoribus promulgata et fortasse prius etiam a patribus eorum instituta sunt, rejicerent, et ex sententia sua, prout cuique visum esset, leges ipsi sibi conderent, easdem servarent, et variis in locis varios cogerent conventus. Et cum edictum ejusmodi (2) a nobis esset propositum, ut ad instituta majorum colenda se transferrent, quam plurimi eorum extremo adito periculo, ærumnisque et cruciatibus toleratis, omnis generis supplicia pertulere. **474** Nos vero, quod multos videamus in concepta dementia persistentes, neque cœlestibus diis debitum præstare honorem, neque etiam ipsa Christianorum sacra colere, humanitatem nobis perpetuamque consuetudinem nostram conservandam esse duximus, per quam ignoscere veniamque concedere omnibus hominibus libentissime solemus. Itaque gratiam eam nostram ad id genus hominum quoque extendere est visum, ut scilicet rursum Christiani sint, et in domibus suis conventus solitos ita agant, ut nihil contra disciplinam publicam committant. Per alias autem litteras judicibus, quid eos observare oporteat, indicabimus. Quapropter cum hoc illis permittamus, merito illi Deo suo supplicare debent pro nostra, reipublicæ et sua ipsorum salute, ut modis omnibus et publicæ res incolumes sint, et

(1) Aliter hæc reperiuntur apud Euseb. lib. VIII, cap. 17, ubi Licinius non additur.

(2) Edicto hoc promulgato, Galler. Maximinus misere diem clausit extremum. (Eutr., Oros., Pomp.)

psi in domibus suis citra sollicitam curam et anxietatem vivere possint. » Et palinodia quidem sic se habuit, litteræque imperatoriæ per Asiam vulgabantur, et passim in provinciis et urbibus legebantur.

δεήσει· Ὅθεν κατ' αὐτὴν τὴν συγχώρησιν τὴν ἡμετέραν ὀφείλουσι τὸν ἑαυτῶν Θεὸν ἱκετεύειν περὶ τῆς σωτηρίας τῆς ἡμετέρας, καὶ τῶν δημοσίων καὶ τῶν ἑαυτῶν· ἵνα κατὰ πάντα τρόπον καὶ τὰ δημόσια παρασχεθῇ ὑγιᾶ, καὶ ἀμέριμνοι ζῶν ἐν τῇ ἑαυτῶν ἑστίᾳ δυνηθῶσι. » Τὰ μὲν οὖν τῆς παλινῳδίας ταῦτα· καὶ τὰ γράμματα κατὰ τῆς Ἀσίας ἤπλωτο· καὶ ἐπαρχίαι καὶ πόλεις αὐτὰ ἀνεγίνωσκον.

CAPUT XXIV.

De simulata et fucata Maximini pro Christianis sine scripto promulgatione.

Maximinus vero, Orientis tyrannus, qui præ aliis superstitioni deorumque cultui deditus, bellum cum rerum omnium Deo perpetuum gerere constituerat, scriptum ejusmodi non approbavit. Itaque præfectos familiaresque suos verbis tantummodo reprimere jussit susceptum contra nos bellum. Et quod sententiæ eorum, qui potestate et opibus eum antecellerent, repugnare non posset, in ditione sua litteras eas ne lectione quidem et recitatione dignatus, edicto sine scripto promulgato, dolose persecutionem inhibuit. Sabinus (1) vero summum apud eum præfecturæ magistratum gerens, populorum præfectis principis sui voluntatem publice per litteras insinuavit : jamdudum constitutum decretumque esse, ut qui peregrinas consuetudines consectari viderentur, diis cultum suum præstarent : et pertinaciam quorumdam multum excitasse discriminis. **475** Quamobrem principibus visum esse, si quis Christianorum gentis suæ sacra colere comperiretur, ut si extra periculum esset, eamque ob causam tormentis non subjiceretur. Longo jam eos tempore ea de se documenta præbuisse, ut a destinata sua constantia non declinent. Scriptum id Sabini aliis quoque magistratibus demandabat significari, non debere amplius eos deChristianis esse sollicitos : qui sane jussa ea veritate niti arbitrati, per epistolas publice principis sententiam omnibus declararunt. Et non verbis tantum litterisque hæc ata, verum etiam ipsi statim quos in custodiis propter divinum verbum clausos habebant, in publicum productos liberos dimiserunt, et ad metalla damnatos absolverunt. Quod cum ita facerent, gratificari se imperatori suo existimarunt. Sed ea in re admodum sunt falsi. Hæc rerum facies cum sic exhibita esset, statim ex altissimis ingentem lucem exortam esse homines viderunt. Ecclesiæ frequentabantur, conventus numerosissimi cogebantur, et ex gentibus hæc quisque cernens obstupescebat, mirificamque rerum mutationem admirabatur, solum Christianorum Deum magnum esse acclamans. Nostrorum autem hominum quicunque generose et fortiter agonem pertulissent, publice cum ingenti libertate in veneratione erant. At qui per animorum imbecillitatem infirmiores in malorum colluctatione fuissent, lapsus suos per pœnitentiam sarcire et curare festinabant, dextras eorum qui fidem salvam conservassent prensantes, eosdem-

(1) Euseb. lib. IX, cap. 1.

ΚΕΦΑΛ. ΚΔ'.

Περὶ τῆς ἐπιπλάστου Μαξιμίνου ὑπὲρ ἡμῶν ἀγράφου διαταγῆς.

Ὁ δ' ἐπ' Ἀνατολῆς τύραννος Μαξιμῖνος, ἅτε δὴ τῶν ἄλλων δεισιδαιμονέστερος, καὶ τῷ τῶν ὅλων Θεῷ ἀεὶ διὰ μάχης εἶναι ἐθέλων, οὐδαμῶς τοῖς γραφεῖσιν ἠρκεῖτο, ἀλλὰ καὶ τοῖς ἀμφ' αὐτὸν λόγοις ἐκέλευε μόνοις τὸν καθ' ἡμῶν πόλεμον ἀναστέλλειν. Τῇ γὰρ τῶν κρειττόνων ψήφῳ καὶ αὐτὸν οὐκ ἦν εἰς τὸ φανερὸν ἀντιλέγειν· ἐν τῇ κατ' αὐτὸν μηδ' ἀναγνώσεως ἀξιώσας τὸ γράμμα, ἀγράφῳ προστάγματι δολίως τὸν διωγμὸν ἐπεῖχε· καὶ Σαβῖνος μὲν ὁ παρ' αὐτῷ ἐξοχώτατος τοῖς κατ' ἔθνη ἡγουμένοις, τὴν βασιλέως γνώμην ἐμφαν ἢ καθιστῶν ἔγραφεν· ὡς πάλαι ὥρισται τοὺς καὶ ἀλλοτρίᾳ συνηθείᾳ δοκοῦντας ἀκολουθεῖν τοῖς θεοῖς τὰς θρησκείας ἐπιτελεῖν. Ἔνστασις δέ τινων πολὺν ἐπήγειρε κίνδυνον. Ὅθεν δόξαν ἐκείνοις, ἵν' εἴ τις τῶν Χριστιανῶν τοῦ ἰδίου ἔθνους τὴν θρησκείαν μετὼν εὑρεθείη, ἀφίστηται μὲν τοῦ κινδύνου· καὶ μή τινα ἐκ τῆς τοιαύτης αἰτίας κολάζειν, ἐπείπερ πολλῷ χρόνῳ πεῖραν ἔδοσαν, μὴ τῶν σφετέρων ἐνστάσεων ἀνάσχωρεῖν. Γράφειν τε καὶ τοῖς ἄλλοις ἐκέλευεν ἡ γραφή, μὴ προσῆκον ἐκείνοις περαιτέρω φροντίδα περὶ Χριστιανῶν ποιεῖσθαι· οἳ δὴ καὶ ἐπαληθεύειν νομίσαντες τὴν προαίρεσιν, διὰ γραμμάτων ἅπασι τὴν γνώμην ἐμφανῆ τοῦ κρατοῦντος ἐποίουν. Καὶ οὐ λόγοις καὶ γράμμασι ταῦτα προὐχώρει ἀλλὰ καὶ αὐτοὶ πρότερον, οὓς καθειργμένους εἶχον διὰ τὸν θεῖον λόγον, δι' ἑαυτῶν ἐπὶ μέσου προάγοντες ἠλευθέρουν· καὶ τοὺς ἐν μετάλλοις ἀνίεσαν. Ἡπάτηνται δὲ ἄρα βασιλεῖ δοκοῦντες κατὰ γνώμην πρατατειν πάντως. Τούτων δ' ἐπιπολασθέντων, αὐτίκα ἦν ὁρᾷν ἐκ βαθυτάτου σκότους φῶς ἀθρόον ἐκλάμπον· ἐκκλησίαι τε συνεκροτοῦντο, καὶ σύνοδοι συμπληθεῖς ἠθροίζοντο· καὶ πᾶς τις τῶν ἐθνῶν ὁρῶν ἐκπλήκτος ἦν, τὸ τῆς μεταβολῆς ἑτοίμον ὑπερφυῶς θαυμάζων, καὶ μέγαν μόνον εἶναι Θεὸν τῶν Χριστιανῶν ἐκβοῶν. Ἡμῶν δ' ὅσοι τὸν ἀγῶνα γενναίως διήνεγκαν, μετὰ παῤῥησίας διέπρεπον· οἷς δὲ νοσῆσαι συνέβη κατὰ ψυχὴν τῇ τῶν δεινῶν προσβολῇ, τὰ σφῶν θεραπεύειν ἠπείγοντο, δεξιὰν αἰτοῦντες παρ' ὧν τὰ τῆς πίστεως ἐῤῥωτο. Ἐλιπάρουν τε Θεὸν ἱκετεύειν ἵλεων αὐτοῖς ἐνιδεῖν μετὰ κατηφοῦς καὶ συντετριμμένου τοῦ σχήματος. Οἱ δ' ἐν μετάλλοις λυθέντες φαιδροί τινες καὶ γεγανωμένον ὁρῶντες καὶ παῤῥησίας πλήρεις ἐπὶ τὰς πατρίδας ἦσαν, ἀῤῥήτου τε εὐφροσύνης, ἣν οὐδὲ λόγῳ παριστᾷ ῥᾴδιον, ἐμπλεῳ. Ὁδοὶ δὲ καὶ λεωφόροι παιάνων καὶ ᾀσμάτων ἦσαν μεσταὶ τῶν ὁδοιπόρων, Θεὸν δοξα-

ζόντων τῇ παρὰ δόξαν ἐλευθερίᾳ· καὶ τοὺς ὀλίγῳ πρότερον σφοδρῶς τῶν πατρίδων ἐληλαμένους εἰδὲς ἂν φαιδρῷ προσώπῳ τὰς ἑστίας ἀπολαμβάνοντας· ὥστε καὶ τοὺς πρὶν καθ' ἡμῶν ὠρυομένους τοῖς παρ' ἐλπίδα πραττομένοις ὁρῶντας ἡμῖν ἐπαγάλλεσθαι.

A que submisso et sordidato habitu et spiritu contrito, ut Deum precibus suis propitium sibi redderent orantes. Ad metallum damnati liberabantur: lætique atque hilares cum libertate multa, incredibili atque ineffabili gaudio pleni, in patriam suam redibant. Itinera publicæque viæ triumphalibus hymnis et carminibus, viatoribus Deum de inopinata libertate glorificantibus, resonabant. Et qui paulo ante violenter patria sua exacti erant, eos vultu jucundo ad focos penatesque suos reverti vidisses: et qui antehac contra nos rugierant, insperatam rerum mutationem cernentes, nobiscum congratulantes exsultabant.

ΚΕΦΑΛ. ΚΕ'.

Περὶ τοῦ κατ' Ἀντιόχειαν νεοπαγοῦς ξοάνου, ὃ Θεότεκνος ἐκαινούργησε.

Ταῦτα δ' ἐν νῷ βαλὼν Μαξιμῖνος ὁ τῆς Ἑῴας τύραννος, οὐδ' ἐπ' ἐνιαυτοῦ τὸ ἥμισυ καθορῶν διαγέγονε. Πῶς γὰρ φέρειν εἶχεν, οὕτω τὴν τοῦ Χριστοῦ ποίμνην πληθυνομένην ὁρῶν, μισόκαλος ὢν ὁ δυσμενὴς καὶ μισόχριστος; Ἀμέλει τοι καὶ τὴν δοκοῦσαν εἰρήνην τέως διασπᾷν ἐθέλων, πρῶτον μὲν τὰς ἐν τοῖς κοιμητηρίοις ἡμῶν συνόδους ἀπέλεγεν· εἶτα τέχνῃ δή τινι αὐτὸς ἑαυτῷ τοῖς τῆς Ἀντιόχου πολίταις διεπρεσβεύετο, μή τινα τῶν Χριστιανῶν ζητῶν τὴν Ἀντιόχου οἰκεῖν ἐπιτρέψαι· ἐν μεγίστῃ δὲ χάριτος μοίρᾳ σφᾶς τοῦτ' οἴεσθαι δράσαντας ἔχειν. Καὶ ἄλλοις δ' ὑπέβαλλε τὰ ἴσα διενεργεῖν· ὧν πρῶτος Θεότεκνος ἦν, ἀνὴρ γόης καὶ πονηρότατος, καὶ οὐδαμῶς τῆς προσωνυμίας μετέχων· λογιστεύειν δ' ἐδόκει κατ' ἐκεῖνον δῆτα τὸν χῶρον. Πάμπολλα δὲ καθ' ἡμῶν στρατηγήσας οὗτος, καὶ σφοδρῶς τῇ καθ' ἡμῶν συκοφαντίᾳ μᾶλα χρησάμενος, οἷά τινας φῶρας ἀπελαύνειν ἡμᾶς σπουδὴν ἐποιεῖτο· ὅθεν καὶ πολλοῖς θανάτου διάκονος γεγονὼς, τέλος εἴδωλόν τι Διὸς φιλίου ἐπαοιδίαις καὶ γοητείαις ἀνήγειρε, θυσίας τε καὶ μυήσεις, καὶ ἄλλ' ἄττα ἐξάγιστα καὶ ἀκαθάρτους δή τινας καθάροιες ἐπινοῶν, ἄχρι δὴ καὶ ἐς βασιλέα τὰς τῶν χρηστῶν τερατείας διέσωζε. Κατὰ σκοπὸν δὲ τοῦ κρατοῦντος ᾠρημένος πράττειν, καὶ ἀγεννῆ κολακείαν ἐπιδεδειγμένος, κατὰ Χριστιανῶν ἐκίνει τὸ ξόανον· ἔλεγε γὰρ τὸν Θεὸν ἀσχάλλοντα κελεύειν ἔξω πυλῶν ἐλαύνειν καὶ τῶν περιοίκων ἀγρῶν ὡς πορρωτέρω ποιεῖν, οἵά τινας ἀσπόνδους ἐχθροὺς τοὺς Χριστιανούς. Ἐπεὶ δὲ ταῦτα καὶ κατὰ γνώμην ἦσαν τῷ βασιλεῖ, κεχαρισμένα καὶ οἱ λοιποὶ τῶν πόλεων ἀρχηγοὶ ὁρᾷν ἐθέλοντες, τὰ ἴσα καθ' ἑψηρίζοντο, καὶ τοῖς ὑπ' αὐτοὺς ὑπηκόοις διήγγελλον. Ἐν οὐ πολλῷ δὲ καὶ αὐτοῦ συνεπιψηφισαμένου τοῦ τυράννου, αὖθις ὁ καθ' ἡμῶν ἐνερριπίζετο διωγμός. Καὶ ἱερεῖς μὲν κατὰ πόλεις, οἱ τῶν ἀνθρώπων ἦσαν διάσημοι, ἀρχιερεῖς τε πρὸς τούτοις, οἱ δόξης πρότερον ἦκον εἰς τὸ ἀκρότατον· οἷς δὴ καὶ πολλή τις ἦν ἡ σπουδὴ περὶ τὴν θρησκείαν. Καὶ τοίνυν ἡ ἐς ἄκρον τοῦ ἄρχοντος δεισιδαιμονία τοὺς ὑπ' αὐτὸν ἅπαντας, ἅτε δὴ τ' ἐκείνῳ θέλοντας χάριν ἀφοσιοῦν, καθ' ἡμῶν ἐκίνει τὰ μηδὲ λόγῳ πράττειν ῥητά, μεγίστων οἰόμενοι παρ' ἐκείνου κατατυγχάνειν χρηστῶν, εἴ γε καθ' ἡμῶν καινοτέρων κακοηθειῶν ἐφευρεταὶ καὶ πορισταὶ γένοιντο.

(1) L. *Curator*. C. De mod. mulet.

476 CAPUT XXV.

De statua nova Antiochiæ, quam Theotecnus recens erexit.

In hac porro sententia Maximinus Orientis tyrannus non bene sex menses perduravit. Quomodo enim ille qui honestatis omnis inimicus, sævus et adversarius Christi esset, tantopere augeri lætarique Christi gregem pateretur? Illicet quæ tum esse videbatur pacem dissoluturus, primum quidem conventus nostros in cœmeteriis prohibuit: deinde vero techna quadam ipse ad seipsum Antiochenorum nomine per cives eorum legationem misit, id agens, ut ne cui Christianorum eam urbem incolere permitteretur: maximamque illos a se gratiam inituros illis significavit, si hoc ipsi adversus Christianos per assimulationem facere viderentur. Sed aliis quoque item ut facerent, suggessit. Quorum præcipuus Theotecnus erat, vir impostor, et ingenio depravatissimo præditus, nomineque suo indignissimus, logistæ sive curatoris (1) et rationalis munus ea in regione gerens. Multa autem veluti dux quidam contra nos molitus, sycophantiisque plurimum usus, id studio habuit, ut nos tanquam fures et prædones abigeret. Quapropter cum multis auctor et minister cædis fuisset, postremo simulacrum quoddam Jovis qui amicitiis contrahendis præest, incantationum et imposturarum ergo erexit, et sacrificia, initiationes aliaque detestanda, et impuras impiasque expiationes et purificationes instituit. Quæ res una cum ejus idoli responsis ad principem etiam ipsum pervenit. Theotecnus porro per illiberalem fœdamque assentationem veluti speculatorem imperatoris constituere volens, simulacrum ipsum adversus Christianos concitavit. Dixit enim, eum Deum iratum, Christianos perinde atque perpetuos et irreconciliabiles hostes ex urbe et agris circumjacentibus quam longissime expelli jubere. Posteaquam hæc imperatori perplacuere, aliarum quoque urbium duces et præfecti gratificari illi studentes, eadem contra nos constituerunt, populisque et civibus suis denuntiarunt. Nec ita multum temporis intercessit, et tyrannus ipse calculum et sententiam quoque suam ad decretum hujusmodi adjecit. Itaque acris adversus nos excitata est persecutio. Et sacerdotes aliis hominibus celebriores per urbes passim, pontifices præterea, qui existimationem et gloriam summam consecuti fuerant, deorumque cultui maxime studebant, Ma-

ximinus constituit : **477** atque insuper summa ipsius superstitio subditos suos populos omn gratificari illi contendebant, ita contra nos commovit, ut sævitiam eorum quam in nos exerc verbis persequi non liceat. Maximas quippe se ab eo utilitates consecuturos arbitrabantur, si n contra nos rerum insolentiumque injuriarum inventores exstitissent et administri. Quo me ligentia in id studium, ut nobis incommodarent, incubuere.

CAPUT XXVI.

De conflictis et falsis adversus Christum commentariis.

Compositis sane quidem et confictis, qui rerum talium architecto et auctori non displicerent, blasphemiam et maledicentiam omnem exsuperantibus commentariis, interrogationes scilicet Pilati et Servatoris nostri continentibus, in ditiones eos suas miserunt : epistola quadam, ut scriptum id omnibus publicaretur, præfixa : mandatum etiam additum, ut litteratores librum talem pueris omnibus, in quo primis rudimentis se exercerent, teneramque memoriam veneno tali imbuerent, legendum proponerent. Hæc cum ita fierent, alius quidam quem Romani ducem vocare solent, circa Damascum Phœniciæ, mulierculis quibusdam circumforaneis et flagitiosis comprehensis vim afferens, plagas minitatus est, nisi testimonio scripto confiterentur, se aliquando Christianorum sacris initiatas conscias esse obscœna quædam scelera committi ab iis qui primæ sunt inter eos dignitatis, nefariaque flagitia in sacris ædibus fieri solita. Atque item alia plura hisce similia, quibus doctrinam professionemque nostram calumniarentur, excogitarunt. Voces etiam ejuscemodi in scriptum relatas ille ad principem, misit, quæ deinde de consilio ejus in civitatibus et locis omnibus publice sunt propositæ. At non multo interveniente tempore, calumniarum talium artifex dux ille, digna injuriarum Christo contumeliose illatarum, sibi ipsi manus afferendo, præmia tulit. Nobis vero sub eo paratæ persecutiones, fugæ populorumque insultationes, et alia prioribus illis consentanea, adeo ut nonnulli claro loco geniti magni viri capti, recusationem non gravate ultima mortis pertulerint supplicia.

A

B

C

ΚΕΦΑΛ. ΚϚ.

Περὶ τῶν κατὰ Χριστοῦ ἐπιπλάστων μνημάτων.

Οἷα δ' αὐτῶν καὶ τὰ ἐπιτηδεύματα · ὑπὸ γάρ τινα πλασάμενοι οὐκ ἄπο γνώμης τοῦ τὸ τεκταίνοντος πάσης βλασφημίας ἐπέκεινα, σεις δῆθεν Πιλάτου καὶ τοῦ Σωτῆρος ἡμῶν ἐπὶ τὴν ὑπὸ χεῖρα σφῶν διαπέμπονται. Κ προγραμμάτων προηγουμένων, ὥστ' ἐκδηλ καθιστᾷν ἅπασι, καὶ παισὶ πᾶσι, προκεῖσθ εἰς μελέτην τοῖς γραμματισταῖς πρόσταγμα πρὸ πάσης μνήμης ταῦτα κατέχειν. Τούτω γενομένων, ἕτερός τις ὢν δοῦκα προσαγορευ μαίοις ἔθιμον, περὶ Δαμασκὸν τῆς Φοινίκῃ τινα ἀγοραῖα καὶ ἐπίτριπτα συλλαβών, πλη λει πολλὰς ἐπιθεῖναι βίαν ἐπάγων, ἐγγράφ λογεῖν, ὡς τὰ Χριστιανῶν μὲν πάλαι ἀσπο ἀκόλαστα δέ τινα συνεγνωκέναι τοὺς ἐν τ τοις αὐτοῖς τεταγμένους, καὶ ἀθέμιτα τοῖ κοῖς ἐνεργεῖν · καὶ ἄλλ' ἄττα συγγενῆ τοῖς νοις, ὡς ἂν γε τὸ καθ' ἡμᾶς διαβάλλειν δύ δὴ τοιαύτας φωνὰς καὶ αὐτὸς γράμμασιν ἐν ἀνέπεμπε βασιλεῖ · ἃ δὴ καὶ βουλαῖς ἐκεῖνο πᾶσαν πόλιν κοὶ χώραν δημοσίᾳ προὐτίθη πολὺ τὸ ἐν μέσῳ, καὶ ὁ μὲν τῶν τοιούτων γὸς ἄξια τῶν κατὰ Χριστοῦ ὕβρεων τὰ γέ ζεται, αὐτόχειρ γενόμενος ἑαυτοῦ · καθ' ἑ διωγμοὶ, καὶ φυγαὶ, καὶ δήμων ἐπαναστάσ ὅσα τοῖς προτέροις ἐφάμιλλα · ὡς καὶ τὸν νει περιδόξων τε καὶ λαμπρῶν εἴσω χειρῶν, ἀπαρακλήτως ὑποσχεῖν ἐσχάτην τὸν θάνατον.

478 CAPUT XXVII.

De ejus temporis martyribus, et edictis in æreis columnis contra nos promulgatis.

Tum quidem (1) Emesæ, quæ Phœniciæ civitas est, tres Christum profitentes bestiis sunt objecti : quorum unus Sylvanus episcopus fuit, jam decrepitus, ut qui quadraginta annos pastorale munus obiisset. Eodem tempore et Petrus Alexandrinus antistes, divinum prorsus episcopalis functionis exemplar, virtutis causa, et quod ab ineunte ætate in divinorum oraculorum litteris exercitatus fuerat, correptus, nulla ei justa objecta causa (nam id Maximinus ita statuerat) capitis supplicium subiit : et cum eo alii præterea Ægyptii episcopi multi. Lucianus quoque presbyter, qui propter vitæ continentiam, et sacrarum Litterarum peritiam, Nicomediam ductus fuerat. Ibi ille, prout præsente impe-

D

ΚΕΦΑΛ. ΚΖ'.

Περὶ τῶν τότε μαρτυρησάντων, καὶ τῶ στήλαις χαλκαῖς καθ' ἡμῶν προστεγεί

Καὶ δή τινες ἐν Ἐμέσῃ, τῆς Φοινίκης π πόλις, τρεῖς τὸν Χριστὸν ὁμολογήσαντες, θ ἀπερρίφησαν · ὧν εἷς ἐπίσκοπος Σιλβανὸς ἦν, ἐς βαθὺ γήρους ἐληλακώς, ὡς καὶ μ' ἔτ λειτουργήματι διανύσαι. Ἐπὶ δὴ τούτῳ τῷ καὶ Πέτρος ὁ τῆς Ἀλεξανδρείας ποιμὴν ἐν ἑκ ποις θεῖον ὄντως ἀρχέτυπον ἀρετῆς τε χάρ τῆς τῶν θείων λόγων ἐκ νέου ἀσκήσεως, ἀναπ γεγονώς, μή τινος εὐλόγου προηγησαμένης α τοῦτο δὴ Μαξιμίνου προστάξαντος, ξίφει τὴν λὴν ἀποτέμνεται · σὺν αὐτῷ δὲ καὶ ἄλλοι τῶν Αἴγυπτον ἐπισκόπων πολλοί · καὶ Λουκιανὸς σβύτερος ἐν ἐγκρατεῖ βίῳ καὶ λόγων ἱερῶν ἐπισ ἐπὶ τὴν Νικομήδους ἀχθείς, καὶ βασιλέως πάρ

(1) Cf. supra cap. 16.

ήκουσαν ὑπὲρ ἧς ἠγωνίζετο πίστεως ἀπολο- A
αρασχών, ἔπειτα δεσμωτηρίῳ σχεθεὶς κτίννυ-
ιαῦτα ἐξάπινα τῷ δυσσεβεῖ Μαξιμίνῳ καθ'
ιεπράχθη· ὡς καὶ δοκεῖν τοῦ προτέρου διω-
ρείρονα τοῦτον ἡμῖν ἐπεγείρεσθαι. Τοσαύτη
ἡ μανία, ὡς ὅπερ οὐδ' ἄλλοτέ ποτε γεγονὸς
ύεται, τότε πραχθῆναι· ψηφίσματα γὰρ
καὶ βασιλικῶν ἀντίγραφα διατάξεων, χαλ-
σι στήλαις ἐγχαραττόμενα κατὰ μέσας τὰς
εἰς ἡμέτερον ἐξανίστα δέος. Τοῖς δ' ἐς διδα-
φοιτῶσιν ἅπασιν ἀνὰ πᾶσαν ἡμέραν οὐκ
ἦν διὰ στόματος ἢ Πιλᾶτος καὶ Ἰησοῦς, καὶ
ὕβριν ἡμῶν νεουργηθέντα πλάσματα· δι' ὧν
ιστὲς καὶ ὑπέροφρυ τῆς Μαξιμίνου μιαρᾶς
ἔξεστι διαγνῶναι, καὶ τὴν ἱερὰν ἐκπλαγῆναι
ἔγρυπνον οὖσαν ταῖς τῶν ἀσεβῶν πονηρίαις, B
ὶ πόδας ἐπεξιοῦσαν· ὑφ' ἧς ἐλαυνόμενος, οὐ
τόρρω καὶ αὐτὸς τἀναντία ἐγγράφῳ νόμῳ
ιῶν ἐβουλεύετο. Ἐγὼ δὲ εἰς ἔνδειξιν καί τι
ὧν ἐν στήλαις ἐκείνῳ γεγραμμένων ἐνθήσω
οίᾳ. Εἶχε δὲ οὕτως. « Ἤδη ποτὲ ἡ ἀσθενὴς
ς τῆς ἀνθρωπίνης διανοίας ἴσχυσε πᾶσαν
ἀμαυρότητα καὶ ὀμίχλην ἀποστησαμένη
πεδάσαι· ἥτις πρὸ τούτου οὐ τοσοῦτον τῶν
ὅσον τῶν ἀθλίων ἀνθρώπων τὰς αἰσθήσεις
ἀγνοίας σκότῳ ἐνειληθείσας ἐπολιόρκει ἐπι-
ὥστε τῶν ἀθανάτων θεῶν φιλαγάθῳ προ-
ικεῖται καὶ σταθεροποιεῖται ὅπερ γράμμα
ἐστιν εἰπεῖν· ὅπως κεχαρισμένον, ὅπως τε
καὶ προσφιλὲς ἡμῖν γέγονεν· ὡς μέγιστον
τῆς θεοφιλοῦς ἡμῶν προαιρέσεως δεδηλωκέ- C
ου τε καὶ πρὸ τούτου οὐδενὶ ἄγνωστον ἦν
παρατηρήσεως καὶ θεοσεβείας πρὸς τοὺς
ς ἐτυγχάνετε ὄντες· οὓς οὐ ψιλῶν καὶ ὑπο-
ιμάτων πίστις, ἀλλὰ καὶ συνεχῆ καὶ παράγ-
γων ἐπισήμων γνωρίζεται. Διόπερ ἐπαξίως
οα πολις θεῶν ἀθανάτων φόβον ἵδρυμά τε
τήριον ἐπικαλοῖτο. Πολλοῖς γοῦν παραδείγ-
ταφαίνεται τῇ τῶν οὐρανίων θεῶν αὐτὴν
ἀνθεῖν. Ἰδοὺ τοίνυν ἡ ὑμετέρα πόλις,
τῶν ἰδίᾳ διαφερόντων αὐτῆς ἀμελήσασα,
πρότερον τῶν ὑπὲρ αὐτῆς πραγμάτων δεή-
σιδοῦσα, ὅτε πάλιν ἦσθετο τῆς τοῦ ἐπαράτου
τος γεγονότας ἕρπειν καὶ ἔρχεσθαι, καὶ
ἀμελήθεῖσαν καὶ κεκοιμημένην αὖραν ἀνα-
μένων τῶν πυρσῶν, μεγίστην πυρκαϊὰν D
οῦσαν, εὐθέως πρὸς τὴν ἡμετέραν εὐσέ-
ὅσπερ πρὸς μητρόπολιν ἴασίν τινα καὶ
ιλήσεώς τινος κακίφυγεν, πασῶν θεοσεβειῶν,
ἀπαιτοῦσα· » καὶ τὰ ἑξῆς τῆς ὁμοίας δυσ-
ἐχόμενα, πολλὴν καταδρομὴν ἦσαν λέγοντα·
ἡμᾶς τὸ θεῖον δυσμενῶς ἔχον, πᾶν εἴ τι δεί-
ρι καὶ γῇ καὶ ὕδασιν ἐμποιεῖ.

ratore conveniebat, fidem pro qua decertabat, mira cum libertate defendit, in carcerem conjectus atque necatus est. Tam gravia in nos impius Maximinus facinora edidit, ut visus sit majorem etiam priore persecutione contra nos concitasse motum. Cujus etiam tanta fuit mentis vecordia, quanta nunquam antea exstitisse memoriæ prodita est. Decreta enim urbium, et imperialium constitutionum rescripta æreis insculpta columnis, terrendorum Christianorum causa in mediis urbibus publicata : et pueris in ludum litterarium ad magistros euntibus, nihil aliud toto die in ore erat quam Pilatus et Jesus, aliaque ejus generis ad contumeliam nostram tum primum conficta et excogitata : per quæ omnia summum Maximini in Deum odium, arrogantissimumque scelerosæ ejus animæ supercilium perspicere licuit, et divinam mirari vindictam, quæ excubare continua quadam vigilia super impiorum malitia, eosdemque in vestigio consequi solet. Ab hac ille perculsus, non multo post lege scripta, priori pacificationi contrarium prorsus de nobis statuit. Ut autem impietas ejus manifesto probetur, partem quamdam constitutionis ejus quam in columnam incidi curavit, historiæ huic inserere est visum. Res sic se habet, « Jam tandem imbecilla humanæ mentis audacia seductionis errorisque obscuritatem atque caliginem depulit et discussit: qui quidem antehac perniciosis ignorantiæ tenebris, ita non tam impiorum quam miserandorum hominum sensus involvit, **479** ut rem veritatemque ipsam cognoscere non potuerint. Sed singulari benignaque deorum immortalium providentia, infidum atque iniquum (ut ita dicam) libræ momentum, ad justam rectamque stateram est reductum, ut res omnes nobis gratæ, suaves et jucundæ eveniant, et ut jam maximum certissimumque nostræ de diis ipsis opinionis ac pietatis exstet indicium. Sed neque antehac cuiquam ignotum fuit, quibus cæremoniis et sacris dii immortales a vobis sint culti, quos non nudis atque inanibus fidei verbis, verum admirandis præclarisque operibus perpetuo venerari et magnificare convenit. Recte profecto civitas vestra deorum immortalium, propter cultum timoremque eorum, sacrarium et domicilium vocari queat : et multis indiciis satis constat, eam cœlestium deorum præsentia florere. Itaque urbs vestra cum rebus omnibus illi peculiariter conducibilibus posthabitis, tum etiam et petitionibus quibus pro suo ipsius statu prius uti solebat, omissis, quam primum rursus homines exsecrandæ vanitati deditos late serpere et propagari, ac veluti neglectam atque sopitam auram facibus vim ignemque suum per eam recipientibus, vastum incendium differre

ire sensit, nulla interposita mora confestim ad pietatem nostram, perinde atque ad sacrorum ue deorum omnis metropolim urbemque principem confugit, opem et auxilium implorans. » ra quæ sequuntur, consimilis impietatis plena, professionemque nostram perstringentia (1) : n divinum Numen propter nos iratum, quidquid est in aere, in terra et in aquis mali, hominibus it.

(1) Eusebius lib. IX, cap. 7, qui scriptum hoc Tyri propositum vidit.

CAPUT XXVIII.

De sæva, quæ eo tempore grassata est, fame et pestilentia.

Ejuscemodi litteris contra nos publicatis, spes rerum meliorum omnis, quantum in nobis situm est, præcludebatur : et electi quoque inter nos, ut est in sacro oraculo, non in mediocre delabebantur scandalum et offendiculum. Verum enimvero omnibus tam inexspectata **480** rerum mutatione consternatis, cum adhuc passim in iteneribus decreta ea essent, et ad multas urbes nondum perlata fuissent, qui omnia solo nutu et voluntate sua facit et mutat Dominus, gloriosam tyranni superbiam veluti strangulans, derepente auxilium cœlitus tulit. Statim enim solitæ pluviæ hiberno etiam tempore in nubibus ipsis vinctæ sunt et retentæ : fames mox consecuta, et deinde pestilentia. Accessit ad eas clades, qui propter colorem igneum carbunculus vocatur, ulcus odoris pessimi membra corporis admodum contrahens, et quod latius serpens ingens crearet periculum, occupatisque oculorum angulis viros simul et mulieres quas occupasset luminibus orbaret. Bellum insuper Maximino ab Armeniis illatum, qui antea socii Romanorum fuerant. Belli causa erat Christiana fides et religio. Quod enim homines inducere atque persuadere illis voluit, ut quem Christo præstabant, idolis offerrent cultum, ex amicis hostes eos habuit. Quæ mala omnia eodem tempore coacervata, tyranni audaciam furoremque contra divinum Numen conceptum, satis coarguerunt. Et cum per jactantiam gloriose eo quod Christianos persequeretur, atque idolorum cultum propagare studeret, sibi polliceretur, non famem, non pestem, non bellum imperii sui ditionem invasurum esse : clades eæ confertim cumulatæ, cum ineptam jactantiam et audaciam ejus represserunt, tum eversionem interitumque ejus jamjam adfuturum certo satis indicarunt. Et ipse quidem expeditione bellica cum copiis suis contra hostes suscepta, quotidie viribus amissis inferior abibat. In urbibus autem et locis imperii sui reliquis pestis fami implicata sævissime grassabatur. Tanta porro annonæ erat et rerum necessarium penuria, ut medimnus unus tritici bis mille et quingentis drachmis Atticis compararetur. Permulti sane etiam in urbibus cadebant. Rusticorum autem qui in agris mortui sunt, multitudo numerari non poterat. Et fere eos omnes sæva consumpserat pestis. Nonnulli res sibi charissimas locupletioribus parvo panis frustro divendebant. Alii possessionibus suis apud creditores depositis, ad summam inopiam redigebantur. Erant qui fœni rejectamenta ruminantes, et perniciosas herbas adjicientes emoriebantur. **481** Mulieres honesto loco natæ, inopia rerum omnium ad inverecundam redactæ necessitatem, in foro obambulantes stipem mendicabant, pudore quodam et vestitu mundiore pristinam deliciarum affluentiam et libertatem tacite quodammodo præ se ferentes. Quidam pallidi et summe

ΚΕΦΑΛ. ΚΗ'.

Περὶ τοῦ τηνικαῦτα κατασκήψαντος ἀγρίου λιμοῦ καὶ λοιμοῦ.

Τοιούτων δὲ γραμμάτων καθ' ἡμῶν πεμπομένων, πᾶσα μὲν ἐλπὶς ὅσον τὸ ἐφ' ἡμῖν ἀπεκέκλειστο ἀγαθῶν, καὶ οἱ ἐκλεκτοὶ δὲ ἡμῶν, κατὰ τὸ ἱερὸν λόγιον, ἐν οὐ μετρίῳ ἦσαν σκανδάλῳ. Καὶ δὴ πάντων τοῖς ἀπροσδοκήτοις ἀποψυχόντων, ἔτι τῶν καθ' ἡμῶν ψηφισμάτων ἐνοδίων ὄντων καὶ πολλαῖς δὲ τῶν πόλεων μήπω πεφοιτηκότων, ὁ πάντα ποιῶν καὶ μετασκευάζων μόνῳ τῷ βούλεσθαι Κύριος, τὸ τοῦ τυράννου μεγάλαυχον ὥσπερ ἄγχων, ἀθρόαν ἐπῆγεν οὐρανόθεν τὴν ἀρωγήν. Αὐτίκα γὰρ οἱ μὲν συνήθεις ὄμβροι, καίπερ χειμερίου τῆς ὥρας οὔσης, συνεδεσμοῦντο τοῖς νέφεσιν· ἐπέσκηπτε δὲ λιμὸς, καὶ λοιμὸς ἐπὶ τούτοις ἐφείπετο. Νόσημα δέ τι ἄθεσθ ἠκολούθει· ἄνθραξ τῷ πυρώδει τοῦ χρώματος ὠνομάζετο· ἕλκος δυσῶδες ἐπισυρόμενον· ὃ καὶ τῶν σωμάτων καθέρπον, σφαλεροὺς ἀθρόον ἐνεποίει κινδύνους. Ἔπειτα τοῖς κανθοῖς τῶν ὀφθαλμῶν ἐπισκῆπτον, πηροὺς καθ' ὧν ἐπῄει ἄνδρας τε καὶ γυναῖκας εἰργάζετο. Ἐπὶ δὴ τούτοις καὶ μάχη αὐτῷ πρὸς Ἀρμενίους ἠγείρετο, συμμάχους καθεστῶτας Ῥωμαίοις ἄνωθεν. Καὶ ἡ πρόφασις τὸ πρὸς Χριστὸν σέβας ἐκείνοις ἦν. Πεῖραν γὰρ ἐπάγων εἰδώλοις τὸ σέβας νέμειν ἀντὶ Χριστοῦ, πολεμίους ἐκτήσατο. Ἃ δὴ πάντα κατὰ ταυτὸ συῤῥυέντα, τὸ τοῦ τυράννου θράσος, καὶ τὴν πρὸς τὸ θεῖον μανίαν διήλεγχεν. Ἐπεί τοί γε οἷς καθ' ἡμῶν κεκίνητο, καὶ τῆς περὶ τὰ εἴδωλα θεραπείας χάριν, μὴ λιμὸν ἢ λοιμὸν ἢ μάχην συῤῥαγῆναί ποτε ἐπὶ τῆς τοιαύτης ἀρχῆς ἐβρενθύετο. Ταῦθ' ὁμοῦ πάντα συῤῥεύσαντα ἐπεστόμιζε μὲν ἐκείνῳ τὸ θράσος· οὐχ ἧττον δ' ἐμήνυε καὶ τὴν ὅσον οὔπω ἐσομένην τούτῳ καταστροφήν. Καὶ αὐτὸς μὲν ἅρας ὅλαις ἡνίαις σὺν τοῖς ὑπ' αὐτὸν στρατοπέδοις καθ' ἡμέραν ἡττᾶτο· τοὺς δ' ἐν ταῖς λοιπαῖς αὐτοῦ χώραις καὶ πόλεσι δεινῶς ὁ λοιμὸς συμπλεκόμενος τῷ λιμῷ, κατήσθιεν ἀκμηνέστερον. Καὶ τοσοῦτον ἐν σπάνει τῶν ἀναγκαίων ἦσαν, ὡς πυροῦ μέδιμνον δυσὶ χιλιάσι καὶ πεντακοσίων ἀττικῶν ἀντικαταλλάσσεσθαι· πολλοὶ μὲν οὖν καὶ κατὰ πόλεις ἦσαν οἱ πίπτοντες· οἱ δ' ἀγρόται καὶ κατὰ κώμας καὶ ἀριθμοῦ κρείττους. Ὃς πάντας σχεδὸν τοῖς ἀγρίοις διεφθάρθαι λοιμοῖς. Οἱ μὲν οὖν τοῖς ἄθεν εὐπορωτέροις τὰ ἑαυτῶν φίλτατα, βραχυτάτου τρύφους διέπρασσον· οἱ δὲ τὰς κτήσεις παρατιθέμενοι, ἀπορίας εἰς τοὔσχατον ἦλυνον. Ἦσαν δ' οἳ καὶ χόρτου σπαράγματά τινα διαμασσώμενοι, καὶ πόας ὀλεθρίους προσφέροντες, διεφθείροντο. Ὅσαι δὲ τῶν εὖ γένους ἦσαν γυναῖκες, τῷ ἀπορεῖν εἰς ἀναίσχυντον ἀνάγκην ἐλαθεῖσαι, ἀνὰ τὰς ἀγορὰς ἰοῦσαι, προήγοντο μεταιτεῖν· αἰδοῖ τινι καὶ τῷ περὶ τὴν ἀναβολὴν κοσμίῳ ἠρέμα πως τὸ πάλαι τῆς τρυφῆς ἐλευθέριον σκιαγραφοῦσαι. Καὶ οἱ μὲν ὠχροὶ καὶ εἰς ἄκρον ἀπεσκληκότες, ὥσπερ εἴδωλά τινα τῷ ἀπορεῖν ἔνθεν κἀκεῖθεν ἐνστειόμενοι καὶ διολισθαίνοντες, πρηνεῖς ἐπὶ τῶν ἀμφόδων κατέπιπτον, πάσης ἔρημοι βοηθείας· πρὸς ἓν μόνον ἀμυδρῶς εὐσθενοῦντες, ὡς βοᾶν ἐξεῖναι μόνον πεινῆν· καὶ ὀδυνηρᾷ τῇ φωνῇ τρύφος τροφῆς ὀρέγειν

καταδεῖσθαι τοὺς παριόντας. Ὅσοι γε μὴν εἶχον δῆθεν εὐπόρως πρὸς τὸ πλῆθος ἀπαγορεύοντες, τῷ πολλὰ παρασχεῖν, ὕστερον καὶ αὐτοὶ εἰς ἀπηνῆ λιμὸν ἐχώρουν, τὰ ἴσα πάσχοντες· καὶ ἀπανθρώπως διέκειντο, ὡς καὶ πλείσταις ἐφ' ἡμέραις ἁπανταχοῦ νεκρὰ καὶ γυμνὰ σώματα ἐῤῥιμμένα οἰκτροτάτην θέαν τοῖς ἔτι ζῶσι παρέχειν. Ἤδη δέ τινες καὶ κυσὶ τράπεζα προὔκειντο· οὗ χάριν καὶ τῶν κυνῶν πολύς τις ἦν φόνος, δέει τοῦ μὴ λυσσήσαντας ἀνθρωποφαγίαν ἐργάσασθαι. Ὁ δὲ λοιμὸς κατ' οἴκους χορεύων, πάντας ἐδόσκετο· μάλιστα δὲ τῶν εὐπόρων ἥπτετο· μὴ γὰρ τῷ ἑτέρῳ λιμῷ ἐκτριβόμενοι, ὀξέως ὑπὸ θατέρου μᾶλλον διώλλυντο. Οἰμωγῆς γοῦν ἦσαν πάντα μεστὰ, καὶ οἶκοι καὶ πλατεῖαι καὶ ἀγοραί. Θρῆνός τε ἁπανταχοῦ καὶ οὐαὶ μετὰ τῶν συνήθων αὐλῶν τε καὶ κτύπων ἠκούετο. Τοῖς δὲ δυσὶ τούτοις ὅπλοις τῷ λιμῷ τε ἅμα καὶ τῷ λοιμῷ στρατεύσας ὁ θάνατος, πᾶσαν ἄρδην τὴν τότε γενεὰν ἐξεθέρισεν. Ὡς ἐν ταυτῷ σώματα πλεῖστα ἐκφέρεσθαι, καὶ μυρία τούτων καθεκάστην εἶναι τὰ πολυάνδρια. Τοιαῦτα τῆς μεγαλαύχου ψυχῆς Μαξιμίνου τῶν καθ' ἡμῶν γραμμάτων εἵπετο τὰ ἐπίχειρα. Τηνικαῦτα δὲ καὶ τῆς ἡμῶν θεοσεβείας πολλοὶ παρέδειξαν τὰ τεκμήρια. Τὸν γὰρ φιλάνθρωπον τρόπον ἐπιδεικνύμενοι, τοὺς μὲν ἀτάφους ἐῤῥιμμένους, μυρίοι δὲ ἦσαν, ἐπιμελῶς ἔθαπτον· οἱ δὲ τοὺς τοῦ λιμοῦ τραυματίας ὑφ' ἓν ἀθροίζοντες, ἄρτους δή τινας καὶ τροφὴν ἑτέραν ἐπεχορήγουν, ὡς ἡ χεὶρ εὔπορος ἦν. Κἀντεῦθεν πολλὴν τινα καὶ μακρὰν τὴν φήμην διαδραμεῖν, ὡς καὶ μόνους θεοσεβεῖς ἡμᾶς τῶν ἄλλων ὁμολογεῖν, καὶ τὸν ἔφορον τῶν Χριστιανῶν δοξάζειν Χριστόν. Ὧν δὴ τ' ἐπιτελουμένων, ὁ τῶν σωτηρίων Θεὸς ὁ ὑπέρμαχος καὶ ἡμέτερος κηδεμών, οἷς εἰς αὐτὸν πεπαρῳνήκεσαν, διὰ τῆς πρὸς ἡμᾶς ἔχθρας, τὴν οἰκείαν ἀγανάκτησιν παραδείξας ταῖς τῶν δηλωθέντων δεινῶν ἀθρόαις ἐπαγωγαῖς, αὖθις φαιδρὸν εἶδεν ἡμῖν ἐπέλαμπε ταῖς οἰκείαις προνοίαις, ὡς ἐξ ἀφεγγοῦς σκότους, φῶς ἄῤῥητον εἰρηνικῆς καταστάσεως παρασχέσθαι, καὶ ἐμφανῆ γε πᾶσι καθίστασθαι Θεὸν αὐτὸν ἐσκεῖ καὶ ἐπόπτην εἶναι τῶν καθ' ἡμᾶς πραγμάτων, μάστιγι χρώμενον ἐν καιρῷ περιστάσεων σῴζ τῶν οἰκείων ἐπιστροφῆς ἕνεκα· μετά γε μὴν τὴν ἀποχρῶσαν παιδείαν ἵλεων ἐνορῶντα καὶ πατρικὸν, οἷς πρὸς αὐτὸν τὰ τῆς ἐλπίδος ἐστήρικται. Ὅπως δὲ τοῦτο σοφῶς διῳκήσατο, ἔνθεν ἐρῶ.

macilenti, perinde atque simulacra quædam, rerum omnium egeni, hinc et inde oberrantes atque lapsantes, proni in triviis ipsis concidebant, subsidii omnis expertes: et ad hoc unum ægre firmi, ut fame se premi testarentur, miserandaque voce a prætereuntibus cibi frustum sibi præberi suppliciter peterent. Locupletiores porro propter mendicantium multitudinem desperantes, cum multa eis largiti essent, tandem et ipsi in sævam famis indigentiam perveniebant, et cum eadem quæ indigentes paterentur, non satis humaniter eam sortem ferebant. Plurimis ergo diebus nuda cadavera passim jacentia, miserrimum adhuc viventibus præbnere spectaculum. Jam nonnulli etiam canibus esca eraut: cujus rei gratia frequens canum cædes flebat, quod metus esset, ne illi in rabiem acti, humanæ carnis cibo assuefierent. Pestilentia vero domos ipsas peragrans, omnes carpebat, atque in primis ditiores conficiebat. Et quos fames non enecaverat, eos contagiosa pestis lues tollebat. Itaque gemitibus omnia plena esse, domus, plateæ, fora, luctus ubique, et væ! cum solitis doloris vociferationibus et planctibus exaudiebatur. Et duabus hisce quasi armaturis, fame et peste, mors ipsa depugnans, generationem et populum ejus temporis fere omnem sustulit. Eademque die quam plurima efferebantur cadavera, et innumera quotidie flebant sepulcra. Hæc auctoramenta et præmia, edicta contra nos proposita gloriosi et arrogantis Maximini sunt consecuta. Qua tempestate multi nostrorum hominum egregia veræ pietatis suæ edidere documenta. Humanitatem enim suam declarantes, cadavera quæ passim insepulta jacebant (erant ea quam plurima) cum cura sepeliebant: quos vero fames vexasset, eis congregatis panes alimentaque alia præbebant, pro facultatum scilicet copia. Unde longe lateque fama celebris de nobis vulgata, 482 quæ ex omnibus aliis hominibus veræ pietatis cultusque divini laudem nobis tribuit, et Christianorum inspectorem curatoremque Christum magnifice laudavit. Cladibus istis peractis, salutis Deus, tutor et propugnator noster, ostensa satis et exhibita ira et indignatione sua, per eas quas cumulate immiserat calamitates, propter pertulantem temerariamque ei illatam injuriam, susceptasque adversus nos inimicitias, providentia sua lætiora nobis affulgere tempora fecit, et post densas tenebras lucem ineffabilem pacatæ tranquillitatis præbuit. Eo profecto tempore certo declaratum est, Deum ipsum spectatorem et moderatorem esse rerum nostrarum, qui quidem flagello in afflictionibus, conversionis castigationisque suorum gratia, utitur: coercitione autem et quasi disciplina, pro eo atque decet et expedit, peracta, perhumaniter et paterne eos respicit, qui spem salutis firmam in eo collocatam habent. Quemadmodum autem id sapienter prorsus disposuerit, et fecerit, dicere deinceps constitui.

ΚΕΦΑΛ. ΚΘ'.

διαμαρτύρομαι τοῦτ' ἀσφαλὲς καὶ οἴεσθαι καὶ πιστεύειν. Οἱ γὰρ ἐξ Ἀρείου κακῶς διακείμενοι, τοιαῦτα ἐκ κακοδαίμονος διανοίας ἀνέπλασαν, ἀβάπτιστον αὐτὸν ἀποφαίνοντες, ἢ ἴσως τὰ ἴσα φρονεῖν ἐκείνοις αὐτὸν μνηστευόμενοι, ὡς ἐξ ἐκείνων τὴν χάριν τοῦ βαπτίσματος εἰληφότα. Ὅπερ ἀτοπίας καὶ ψεύδους ἀνάμεστον. Εἰ γὰρ οὔπω τοῦ θείου μετέσχε λούτρου, συνάγεται μηδ' ἐν τῇ κατὰ Νίκαιαν συνόδῳ συνέρχεσθαι τοῖς Πατράσι, καὶ τῶν θείων μυστηρίων αὐτοῖς κοινωνεῖν. Πῶς δὲ εὐλογίας ἐκείνοις κατηξιοῦτο καὶ κοινῆς μετεῖχε τραπέζης, ὡς ἡ ἱστορία παρέδωκε ; Ἀλλ' Ἀρειανοὶ μὲν ταῦτα παιζέτωσαν · ἡμεῖς δὲ τῆς ἱστορίας ἐχώμεθα. Οὐκ ἀγνοῶ γε μὴν καὶ ἃ συκοφαντοῦσι τὸν Κωνσταντῖνον Ἕλληνες. Καὶ γὰρ καὶ οὗτοί φασιν, ὡς τὸν Κωνσταντῖνον, τινὰς τῷ γένει προσήκοντας ἀνελόντα, Κρίσπῳ τε τῷ υἱῷ αὐτόχειρα τὸν φόνον διαπεπραγμένον, Φαύστης τῆς μητρυιᾶς διαβεβληκυίας, ὡς εἴη αὐτὴν πρὸς ἀτόπους ὁμιλίας ὑπερεθίζων, μετάμελον εἶναι · καὶ Σωπάτρῳ φιλοσόφῳ τηνικαῦτα τῆς Πλωτίνου διατριβῆς προεστῶτι περὶ καθαρσίων κοινώσασθαι. Τὸν δ' ἀνειπεῖν, μηδένα τῶν τοσούτων μολυσμάτων καταλείπεσθαι καθαρμόν. Ἐν ἀδημονίᾳ δὲ πολλῇ γεγονότα, Χριστιανῶν ἐπισκόποις περιτυχεῖν, οἳ καὶ ὑπισχνοῦντο βαπίτσματι οὐ ταῦτα μόνον, ἀλλὰ καὶ πολλῷ χείρονα δυνατοὺς εἶναι διακαθαίρειν · καὶ τοῖς κατὰ σκοπὸν ἐντυχόντα, μέγα τε ἡσθῆναι, θαυμάσαι τε τὰ ἐκείνων, καὶ Χριστιανὸν γενέσθαι · βίαν τε τοῖς ἀρχομένοις ἐπάγοντα, τὸν Ἑλληνισμὸν ἐξομόσασθαι. Καὶ ταῦτα δὲ προφανῆ πλάσματα, οἷς τὴν Χριστιανῶν πολιτείαν διακωμῳδεῖν ἔστι σπουδή. Κρίσπος μὲν γὰρ τῷ κ' ἔτει τῆς αὐτοῦ ἡγεμονίας τὸν βίον ἀπέλιπε · δι' ὃν, ὥς φασι, τῆς καθάρσεως ἔδει ἐκείνῳ · ὃς δὴ Κρίσπος πολλοὺς ὑπὲρ Χριστιανῶν νόμους, ἔτι περιών, σὺν τῷ πατρὶ ἔθετο, ἅτε δὴ τὰ δεύτερα τῆς ἀρχῆς ἔχων, Καῖσαρ ὢν · ὡς εἰσέτι νῦν οἱ τοῖς νόμοις ὑποτεταγμένοι χρόνοι μηνύουσι. Ποῦ δὲ καὶ Σώπατρος εἰς ὁμιλίαν ἦκε τῷ Κωνσταντίνῳ, μόνης τῆς πρὸς Ὠκεανῷ καὶ τῷ Ῥήνῳ μοίρας ἡγουμένῳ ; Τῇ γὰρ πρὸς Μαξέντιον διαφορᾷ ἐπὶ τῆς Ἰταλίας διάγων, τῶν Ῥωμαϊκῶν πραγμάτων στασιαζόντων, οὐ πρόχειρον ἦν Γαλάταις συμμίγνυσθαι καὶ Βρετανοῖς, παρ' οἷς ὡμολόγηται Κωνσταντῖνον τῆς Χριστιανῶν θρησκείας μετασχεῖν ; καὶ πρὶν ἢ στρατεῦσαι, ἐπὶ Μαξέντιον καὶ ἐπὶ Ῥώμην καὶ Ἰταλίαν ἐλθεῖν · καὶ τούτου πάλιν οἱ χρόνοι καὶ οἱ νόμοι τάσφαλὲς μαρτυροῦσιν, οὓς ὑπὲρ ἡμῶν ἔθετο. Εἰ δὲ καὶ ῥᾷστον ἐντυχεῖν τῷ Σωπάτρῳ δοίημεν, ἢ δι' ἐπιστολῆς πυθέσθαι, οὕπω πάλιν πιθανὸν εἶναι φαίνεται τὸν τοσοῦτον φιλόσοφον ἀγνοεῖν, ὡς ὁ Ἡρακλῆς μετὰ τὴν τεκνοκτονίαν τοῖς μυστηριοις τῆς Δήμητρος ἐν Ἀθήναις ἐκαθάρθη · καὶ μετὰ τὸν φόνον Ἰφίτου, ὃν ἑταῖρον ὄντα καὶ ξένον ἀπέκτεινε. Ἀπόχρη μὲν οὖν καὶ ταῦτα · ὡς καὶ καθαρμοὺς Ἕλληνες τῶν ἀτόπων πλημμελημάτων καθυπισχνοῦντο ·

(1) « Crispus Constantini filius, et Licinius junior Constantini ex Constantia sorore nepos, Licinii senioris filius, plurimique nobiles et præclari viri, 20 Constantini imperii anno, Faustæ Constantini conjugis dolo interfecti sunt. » Pomp. Oros. « Constantinus imperii sui 22 anno Faustam interfecit in balneas ardentes conjectam. » Eutr.

καὶ κατήγοροι Σωπάτρου μᾶλλον καθίστανται, τοιαῦτα διαπραττόμενοι· οὐ γάρ πω προαχθείην τὸν ἐπὶ σοφίᾳ περίβλεπτον Σώπατρον ταῦτα ἠγνοηκέναι. Ταῦτα μὲν οὕτως. A Et ut concedamus, Sopatrum facile cum illo colloqui, aut per epistolam agere potuisse, non tamen credibile videatur, philosophum tantum ignorasse, quod Hercules post liberorum suorum necem, et Iphiti amici et hospitis cædem, Athenis mysteriis Cereris expiatus atque purgatus sit. Satis porro fuerit ostendisse, gentiles etiam ipsos fœdorum flagitiorum lustrales expiationes promittere solitos: eosque qui ista confinxere, Sopatri magis accusatores esse. Non enim persuarderi possum, tam clarum in sapientia virum talia ignorasse. De his satis.

ΚΕΦΑΛ. ΛϚ'.

Περὶ τῆς ἁγίας Ἑλένης ὡς εἰς Ῥώμην ἦλθε· καὶ περὶ τοῦ διαλόγου τῶν Ἑβραίων μετὰ τοῦ ἁγίου Σιλβέστρου.

Τῆς δὲ τοῦ βασιλέως μητρὸς Ἑλένης κατὰ τὴν Βιθυνῶν ἐπαρχίαν διατριβούσης, Ἑβραῖοι τὸ τῆς B μεταβολῆς ἀθρόον τοῦ βασιλέως ὑπολογισάμενοι, ἀναπείθουσι τὴν μητέρα γράφειν καὶ παραγγυᾷν τῷ υἱῷ, καλὸν μὲν πρᾶξαι τῆς εἰδωλικῆς ἀποστάντι θρησκείας· οὐ καλὸν μέντοι ποιῆσαι τῇ νεοπαγεῖ τοῦ Ναζωραίου θρησκείᾳ περιελθεῖν. Καὶ ἡ μὲν ἐποίει τὰ εἰσηγούμενα· Κωνσταντῖνος δὲ τὰ τῆς μητρὸς δεχόμενος γράμματα, τὸ εἰκὸς ὑπετίθει· καὶ τῶν Ἰουδαίων τινὰς μετεστέλλετο, ὥστε τοῖς Χριστιανῶν πρεσβυτέροις εἰς λόγους ἐλθεῖν· καὶ ᾧ τῶν μερῶν τὰ κρείττω ἐκλογισθείη, τούτῳ ἐξ ἀναγκαίου ἐφέπεσθαι. Καὶ δὴ τὸ τέταρτον ἡγουμένου Κωνσταντίνου, σύνοδος ἐν τῇ κατὰ Ῥώμην πόλει ἠθροίζετο, ἐν ᾗ Ῥωμαίων μὲν ἐπίσκοποι δ' μὲν πρὸς τοῖς εἴκοσιν ἦσαν, Ἰουδαίων δὲ ἱερεῖς πρὸς τοῖς εἴκοσιν ἑκατόν· ὧν ἔξαρχοι δώδεκα ἦσαν. Σίλβεστρος C δὲ τῆς συνόδου καὶ τοῦ διαλόγου ἡγεῖτο. Παρῆν δὲ καὶ ὁ βασιλεὺς καὶ ἡ βασιλὶς Ἑλένη, ἑκατέρων μετὰ συνέσεως ἀκροώμενοι. Ἐπεὶ δ' ὁ ἱερώτατος Σίλβεστρος δυνάμει λόγων πολλῷ τῷ μέτρῳ παρῆνεγκεν, ὡς ἀχανεῖς τοὺς ἐγκρίτους ἐκείνων δείκνυσθαι, ἀγχομένους τῇ πειθανάγκῃ τῶν ἀποκρίσεων· τέλος ἐπεὶ καὶ τὸν παρὰ τοῦ φαρμάκου πεφονευμένον ταῦρον Χριστοῦ τῇ κλήσει ἀνίστα, πάντες προσιόντες, τοῖς ποσὶν ἐκείνου κατέπιπτον· καὶ τὸ σφέτερον διαπτύοντες σέβας, τὰ ἴσα Σιλβέστρῳ καὶ αὐτοὶ φρονεῖν ἠναγκάζοντο· καὶ ἑλεῖν προηγμένοι, μᾶλλον ἐάλωσαν. Τοῦτο γενόμενον, καὶ τὴν μακαρίαν Ἑλένην ἔπειθε, κρείττονά τινα περὶ τῷ υἱῷ εἶεσθαι. Ὅθεν καὶ τὸ πάτριον καὶ αὐτὴ σέβας ἀποθεμένη, Σιλβέστρῳ προσέπιπτε· καὶ ἐτελεῖτο τὰ D μυστικά· καὶ μήτηρ εἶναι τοῦ τοσούτου τὴν ἀρετὴν ἄριστα ἔφαινεν, ἐπίσης ἐκείνῳ καὶ τὸν ζῆλον καὶ τὴν πρὸς Χριστὸν πίστιν διακειμένη.

CAPUT XXXVI.

De sancta Helena, ut ea Romam venerit, et de colloquio Judæorum cum sancto Sylvestro.

Imperatoris mater Helena in provincia tum Bithynia agebat. Ibi Judæi imperatoris mutationem secum ipsi reputantes, matri ejus suadent, ut ad filium scribat eumque admoneat: recte quidem fecisse, quod ab idolorum cultu discesserit, non recte autem, quod Nazaræi nuper exortam religionem sit complexus. Quod illa ita fecit. **495** Constantinus vero acceptis a matre litteris, ei id quod decebat rescripsit: et ex Judæis quosdam Romam evocavit, ut cum presbyteris Christianorum sermones per colloquium conferrent, et quæ pars meliora afferre reputaretur, ut ea necessario pars alteram sequeretur. Et jam quartum, curante ac præeunte Constantino, conventus in Romana urbe cogebatur, in quo Romanorum quidem episcoporum viginti quatuor erant: Judæorum vero sacerdotes centum et viginti, in quibus duodecim reliquis præibant. In conventu et colloquio eo Sylvester princeps erat. Aderat in eo et imperator ipse, et mater ejus Helena, attente et diligenter utrosque audientes. Cum autem sacratissimus Sylvester eloquentiæ vi multis modis illos ita superaret, ut eum magna cum admiratione delecti illi Judæi hianti ore stupentes audirent, efficaci responsionum ejus persuasione consternati: cumque postremo taurum ille veneno enecatum, invocato Christi nomine, restitueret, omnes ad pedes ejus sunt provoluti, cultuque suo projecto, idem de religione cum Sylvestro senserunt: ita ut qui eo animo venerant ut alios caperent, ipsimet sint capti. Hoc factum etiam beatæ Helenæ, ut de filio melius jam sentiret, persuasit. Quin et ipsa patriæ religionis cultu relicto, ad Sylvestri procidit pedes: ab eoque sacra fidei nostræ mysteria edocta, vera tandem tot tantisque virtutibus præditi filii mater esse apparuit, eodem cum illo ardore et fide in Christum concepto.

ΚΕΦΑΛ. ΛΖ'.

Περὶ τῆς μάχης Κωνσταντίνου καὶ Μαξιμίνου· διήγησις περὶ τῶν τὸ σημεῖον ἐπιφερομένων τὸ σταυρικόν.

Ταῦτ' οὐκ ἦν, ὡς εἴρηται, ἀνεκτῶς ἔχειν μανθάνοντα Μαξιμῖνον τὸν ἐπ' Ἀνατολῆς τύραννον. Ὅθεν καὶ πόλεμον ἄσπονδον ἀνεκίνει· καὶ ἐν βραχεῖ τὸ πᾶν συνεκύκα· καὶ στρατόπεδα ἤθροιζε, καὶ μυρί-

CAPUT XXXVII.

De conflictu Constantini et Maximini, et de eis qui signum crucis in exercitu tulerunt vexilliferis.

Hæc cum cognovisset Maximinus, Orientis tyrannus, non potuit non impatienter ferre. Quamobrem bellum irreconciliabili odio maximum movit (1), brevique res omnes miscuit et turbavit.

(1) Pactis violatis quæ cum Licinio inierat. Euseb.

exercitum collegit, ingentes innumeræ multitudinis copias contraxit, et ad pugnam se quam maxime potuit instruxit, spe et fiducia dæmonum, nec non armatorum plurima turba seductus. Itaque etiam imperator celeberrimus, una cum Licinio Cæsare, Roma terra marique Orientem versus est profectus, cum exercitu forti et robusto : **496** quo tamen ille non tantum, quantum ipsius crucis armatura, confidebat. Et posteaquam in Bithyniam ad locum, qui Astacus dicitur, ventum est, contra sceleratum hostem signa infesta jam inferentem, maxima cum fiducia acie instructa progreditur. Jusserat autem Constantinus Magnus crucis signum præferri, quod a Romanis antea Labarum dicebatur, signis militaribus aliis longe præstantius, quod id a militibus præferri et adorari lege cautum fuerit. Quam ob causam etiam Constantinum puto celeberrimum Romani imperii vexillum in Christi signum mutasse, ut frequenti ejus spectaculo et cultu subditi in desuetudinem pristinæ superstitionis venirent, eumque solum Deum esse arbitrarentur, quem imperator et duces ejus colentes, propugnatore adversus hostes uterentur. Hoc igitur signum præferri, et laborantibus periclitantibusque cohortibus adesse, atque a satellitibus per vices in humeris gestari, ordinesque cum eo circuire jusserat. Salutifera hæc armatura cum sic Constantini aciem præiret, Maximinus suis præcepit, ut quicunque collimare certoque jaculari possent, in signum id tela conjicerent, atque in ipsum confertim cum impetu ferrentur. Quapropter is qui id ferebat (dicitur autem Græcæ superstitionis fuisse), metu perculsus, alii portandum tradere festinavit. Atque ibi alter quidam patre martyre prognatus, alacriter admodum prosiluit, thoracem et galeam longe a se abjecit, solaque tunica tectus signum crucis arripuit. Porro ille qui sibi a telorum ictibus caverat, lethali vulnere accepto concidit. Qui vero sacratum crucis signum ferebat, quamvis densæ nivis instar tela in eum conjicerentur, a nullo tamen est vulneratus. Nam præter opinionem omnem divina quadam virtute tela ab hostibus emissa, hastæ signi illisa atque impacta, ab eo qui id ferebat in medio armorum discrimine versante avolabant. Dicitur præterea, atque a Dei amantibus viris creditur, nec alio unquam tempore qui signum id tulerit, in sinistrum aliquem decidisse casum, aut vulneratum captumve esse. **497** Sed enim prælio commisso, tyrannus, qui detestandis magorum imposturis fretus fuerat, interiore quoque tunica abjecta, militarique habitu sumpto, cum paucis admodum qui ei bene volebant evadens, quam celerrime quo eum pedes ferebant profugit, et vicum alium alio mutans, vix se ex hostium manibus subduxit : reipsa verum esse ostendens divinum illud oraculum, quod dicit : *Non salvatur rex per multas copias suas, et gigas non salvabitur in multitudine virtutis suæ* [1] : et

[1] Psal. xxxii, 16.

A ανδρα συναρότει στίφη· καὶ εἰς μάχην αὐτρέπιστο, δαιμόνων ἐλπίσι καὶ ὁπλιτῶν μυριάσιν ἠπατημένος. Διά τοι ταῦτα καὶ ὁ πανύφημος Βασιλεὺς τῆς Ῥώμης ἀπάρας, συνείπετο δέ οἱ αὐτῷ καὶ Λικίνιος Καῖσαρ σὺν οὐκ ἀγεννεῖ τῷ στρατῷ καὶ διὰ γῆς καὶ θαλάσσης, κατὰ τῆς ἑῴ ἐφέρετο, οὐ μᾶλλον τούτοις ἢ τοῦ σταυροῦ πανοπλίᾳ τὸ θαρρεῖν ἔχων. Ἐπεὶ δὲ καὶ εἰς βιθυνίαν ἦκε, περί που τὸν, ὃς Ἄστακος καλεῖται χῶρος, συμβάλλει πρὸς μάχην τῷ παλαμναίῳ ἐχθρῷ, ἐξ ἐναντίας ἥκοντι, μεθ' ὅσης ἂν τις εἴποι θρασύτητος. Ὁ δὲ μέγας Κωνσταντῖνος τὸ τοῦ σταυροῦ σημεῖον προηγεῖσθαι προσέταττεν· ὃ πορὰ Ῥωμαίοις πρότερον Λάβωρον ὠνομάζετο. Καὶ τῶν ἄλλων σημείων πολεμικώτερον ἦν· ὅτιωερ ἐκεῖνο καθηγεῖσθαι καὶ προσκυνεῖσθαι τοῖς στρατιώταις νενόμιστο. Καὶ διὰ τοῦτο, B ὡς γε οἶομαι, καὶ Κωνσταντῖνον τὸ παρὰ Ῥωμαίοις ἐπισημότατον σύμβολον τῆς ἀρχῆς εἰς Χριστοῦ σημεῖον μεταβαλεῖν· ὡς ἂν τῇ συνήθει θέᾳ καὶ θεραπείᾳ πόρρω τοῦ συνήθους τοὺς ἀρχομένους ἐλθεῖν. Τοῦτον δὲ μόνον ἡγεῖσθαι Θεὸν, ὃν δῆτα καὶ βασιλεὺς καὶ ἡγεμόνες τιμῶντες, ἀμυντηρίῳ χρῶνται κατὰ τῶν πολεμίων. Τοῦτο γοῦν προηγεῖσθαι ἐπέταττε, καὶ ταῖς καμνούσαις φάλαγξι παρεῖναι ἐκέλευε· καί γε δορυφόρους ἀμοιβαδὸν ἐπὶ τῶν ὤμων ταῦτα φέρειν ἐπέταξε, καὶ τὰς τάξεις περιεῖναι. Τοῦ τοίνυν σωτηρίου ὅπλου προηγουμένου, πάντας τοὺς εὔστοχον ἀφιέντας, κατ' ἐκείνου πέμπειν τὰ βέλη Μαξιμῖνος ἐκέλευε, καὶ κατ' αὐτοῦ ἐπιέναι ἀθρόον· εἰς δέος τοίνυν περιελθόντα τὸν C τοῦτο φέροντα, ἦν δ' ὡς λόγος τὰ Ἑλλήνων φρονῶν, ἑτέρῳ παραδοῦναι ἐσπούδαζεν. Ἄλλος δέ τις μάρτυρα σχὼν πατέρα, προθυμότατα προπηδήσας, τόν τε θώρακα καὶ τὸ κράνος ὡς ποῤῥωτέρω βαλὼν, ἑνὶ καὶ μόνῳ χιτωνίῳ σκεπομενος, τὸ σταυρικὸν σημεῖον καθήρπαζε. Καὶ ὁ μὲν τῶν βελῶν ἔξω γενόμενος, καιρίαν πληγεὶς ἔκειτο· ὁ δὲ τὸ σημεῖον ἐπιφέρων τὸ σταυρικὸν, καίπερ κατὰ νιφάδας αὐτῷ τῶν βελῶν ἐπιχεομένων, ἄτρωτος ἦν. Παρὰ δόξαν γάρ πως ὑπὸ θείας δυνάμεως τὰ τῶν πολεμίων ἐπαφιέμενα βέλη τῷ ξύλῳ τοῦ σημείου προσπήγνυσθαι· ἁψίπτασθαί γε μὴν παντάπασι τοῦ φέροντος, καὶ ταῦτα μέσῳ τῷ κινδύνῳ ἐνειλημμένου. Λέγεται μέντοι καὶ ἀκοαῖς φιλοθέων πιστεύεται, μηδὲ ἄλλοτέ ποτε τὸν τὸ σημεῖον τοῦτο ἐπιφερόμενον σκιᾷ τινι περιπεσεῖν συμφορᾷ, ἀλλ' οὐδὲ D τραυματίαν ἢ αἰχμάλωτον ἁπαχθῆναί ποτε. Τῆς γοῦν συμβολῆς γενομένης, ὁ τάῖς μυσαραῖς γοητείαις ἐπερειδόμενος τύραννος, καὶ τὴν ἐσχάτην ἐσθῆτα ἀποβαλὼν, καὶ στρατιωτικὸν περιθέμενος σχῆμα, μετ' ὀλίγων πάνυ τὸ εὖνουν φυλαττόντων αὐτῷ διαδρὰς οἳ ποδῶν εἶχεν ἔφευγε. Κώμην δ' ἐκ κώμης ἀμείβων, μόλις τὰς τῶν πολεμίων χεῖρας διέξεισιν· ἔργῳ δείξας ἐπαληθεύοντα τὸν θεῖον χρησμόν· Οὐ σώζεται βασιλεὺς διὰ πολλὴν δύναμιν, φάσκοντα· καὶ γίγας οὐ σωθήσεται ἐν πλήθει ἰσχύος αὐτοῦ· καὶ ὅσα ἑξῆς τοῦ Ψαλμοῦ. Αἰσχρῶς δ' οὕτως ἐπὶ τὸν οἰκεῖον χῶρον ἐλθὼν, τὸν

θυμὸν ὅλον ἐνσκήπτει κατὰ τῶν αὐτοῦ ἱερέων καὶ προφητῶν· ὧν ταῖς μαγγανείαις ἀναρριπισθεὶς, τὸν τοσοῦτον ἦρατο πόλεμον. Καὶ τοὺς μάλιστα διαβεβοημένους ἐν τούτοις ἀθροίσας, οἷα γόητας καὶ ἀπατεῶνας κατέσφαττε. Τῷ δὲ τῶν Χριστιανῶν ἐφόρῳ Θεῷ νόμον ὑπὲρ αὐτοῦ, οὐχ οἷον τοῖς πρότερον, ἀλλ' ἐντελῆ ἐψηφίζετο. Ὀλίγου δὲ χρόνου διαρρύητος, ἀπροθέσμως οὕτως αἰσχίστῳ μόρῳ τὸν βίον κατέστρεψεν. Ἐγὼ δὲ καὶ τὸν νόμον, ὡς εἶχεν ἐγγράψω τῇ συγγραφῇ.

quæ in Psalmo sequuntur. Postquam vero ex turpi fuga in ditionem suam pervenit, iram furoremque omnem in sacerdotes et vates suos emisit, quorum magicis incantationibus et imposturis adductus, tantum susceperat bellum : collectosque ex iis clarissimos quosque, veluti præstigiatores ac seductores jugulavit. Christianorum autem tutelari Deo, non qualem antea, sed perfectam jam integramque pro eis constitutionem proposuit : nec ita longo post tempore, præter fatum fœda morte vitam finiit. Constitutionem eam his adnectandam censui.

ΚΕΦΑΛ. ΛΗ'.

Περὶ ὧν διαδρὰς τὸν κίνδυνον Μαξιμῖνος καλῶς ἔγραφε.

Αὐτοκράτωρ Καῖσαρ Γάϊος Οὐαλλέριος Μαξιμῖνος, Γερμανικὸς, Σαρματικὸς, εὐτυχὴς, εὐσεβὴς, ἀνίκητος, σεβαστός. Κατὰ πάντα τρόπον ἡμᾶς διηνεκῶς τῶν ἐπαρχιωτῶν τῶν ἡμετέρων τοῦ χρησίμου προνοεῖσθαι· καὶ ταῦτα αὐτοῖς βούλεσθαι παρέχειν, οἷς τὰ λυσιτελῆ πάντων μάλιστα κατορθοῦται, καὶ ὅσα τῆς λυσιτελείας καὶ χρησιμότητός ἐστι τῆς κοινῆς αὐτῶν· καὶ ὁποῖα πρὸς τὴν δημοσίαν λυσιτέλειαν ἁρμόζει, καὶ ταῖς ἑκάστων διανοίαις προσφιλῆ τυγχάνει, οὐδὲν ἀγνοεῖν, ἀλλ' ἕκαστον ἀνατρέχειν ἐπ' αὐτὸ τὸ γινόμενον, γινώσκειν τε ἕκαστον τῶν ἀνθρώπων, καὶ ἔχειν ἐν ἑαυτῷ, δῆλον εἶναι πιστεύομεν. Ὁπότε τοίνυν πρὸ τούτου δῆλον γέγονε τῇ γνώσει τῇ ἡμετέρᾳ ἐκ ταύτης τῆς προφάσεως, ἐξ ἧς κεκελευσμένον ἦν, ὑπὸ τῶν θειοτάτων Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ τῶν γονέων τῶν ἡμετέρων τὰς συνόδους τῶν Χριστιανῶν ἐξῃρῆσθαι, πολλοὺς σεισμοὺς καὶ ἀποστερήσεις ὑπὸ τῶν βενεφικιαλίων γεγενῆσθαι· καὶ εἰς τοὐπιὸν ὧδε τοῦτο προχωρεῖν κατὰ τῶν ἐπαρχιωτῶν ἡμετέρων, ὧν μάλιστα πρόνοιαν τὴν προσήκουσαν σπουδάζομεν, τῶν οὐσιῶν τῶν ἰδίων αὐτῶν κατατριβομένων, δοθέντων γραμμάτων πρὸς τοὺς ἡγεμόνας ἑκάστης ἐπαρχίας τῷ παρελθόντι ἐνιαυτῷ ἐνομοθετήσαμεν· ἵν' εἴ τις βούλοιτο τῷ τοιούτῳ ἔθει, ἢ τῇ τοιαύτῃ φυλαχῇ τῆς αὐτῆς θρησκείας ἐπεσθαι, τοῦτον ἀνεμποδίστως ἔχεσθαι τῆς προθέσεως τῆς ἑαυτοῦ, καὶ ὑπὸ μηδενὸς ἐμποδίζεσθαι μηδὲ κωλύεσθαι, καὶ εἶναι αὐτοῖς εὐχέρειαν, ἄνευ τινὸς φόβου καὶ ὑποψίας τοῦθ' ὅπερ ἑκάστῳ ἀρέσκει ποιεῖν. Πλὴν οὐδὲ νῦν λανθάνειν ἡμᾶς ἠδυνήθη, ὅτι τινὲς τῶν δικαστῶν παρενεθυμοῦντο τὰς ἡμετέρας κελεύσεις· καὶ διατάζειν τοὺς ἡμετέρους ἀνθρώπους περὶ τὰ προστάγματα τὰ ἡμέτερα παρεσκευάσσαν· καὶ ὀκνηρότερον προσιέναι ταύταις ταῖς θρησκείαις, αἷς ἦν ἀρεστὸν αὐτοῖς ἐποίησαν. Ἵνα τοίνυν εἰς τὸ ἑξῆς πᾶσα ὑποψία τοῦ φόβου καὶ ἀμφιβολία περιαιρεθῇ, τοῦτο τὸ διάταγμα προτεθῆναι ἐνομοθετήσαμεν· ἵνα πᾶσι δῆλον γένηται, ἐξεῖναι τούτοις, οἵτινες ταύτην τὴν αἵρεσιν καὶ τὴν θρησκείαν μετιέναι βούλονται, ἐκ ταύτης τῆς δωρεᾶς τῆς ἡμετέρας, καθὼς ἕκαστος βούλεται, ἢ ᾗδὺ αὐτῷ ἐστιν, οὕτω προσιέναι τῇ θρησκείᾳ ταύτῃ, ἣν ἐξ ἔθους θρη-

CAPUT XXXVIII.

De edictis quæ Maximinus periculo evitato recte proposuit.

« Imperator Cæsar Cajus Valerius (1) Maximinus, Germanicus, Sarmaticus, Felix, Pius, Invictus, Augustus. Omnibus nos modis continuæ provincialium nostrorum commoditati providere, eaque eis præstare velle, quæ omnium maxime fructuosa sint, et quæ ad usum utilitatemque omnium communem faciant, reique publicæ conveniant, atque animis omnium chara grataque accidant, neminem ignorare, sed unumquemque hominum, ad rem ipsam recurrentem, nosse persuasumque habere credimus. Quandoquidem autem manifestum antea vobis est, propterea quod a divis parentibus nostris Diocletiano et Maximiano præceptum fuerat, conventus Christianorum tollendos esse, permultos ab officialibus excussos spoliatosque esse bonis suis: **498** id quod in futurum quoque sic contra subditos nostros, quorum nos, quod ita facultates eorum et possessiones diriperentur, curam maxime genere decuit, procedere debuerat : datis proximo anno ad cujusque provinciæ præfectos litteris constituimus, si quis consuetudini tali aut observationi cultus ejusce modi adhærere vellet, ut is nullo interposito impedimento propositum suum teneret, neque a quopiam, quominus facile absque timore et superstitione omni, quod cuique placuisset faceret, prohiberetur. Cæterum ne nunc quidem latere nos potuit, judices quosdam jussiones nostras non recte accepisse : quapropter factum, ut de eis homines nostri dissentire cœperint, lentiusque ad religiones eas quas ipsi probassent, accesserint. Sed enim ut deinceps omnis metus, suspicio et dubitatio præcidatur, constitutionem præsentem proponi voluimus, ut omnibus sit notum ac manifestum, quicunque sectam religionemque istam complecti volunt, licere id eis, ut ad numinis cultum hunc quem sibi moribus sequendum sumpserunt, se conferant, ex liberalitate et gratia legis hujus facere. Quin et dominica atque templa sua eis exstruere conceditur. Ut autem major sit liberalitas hæc nostra, illud quoque sanciendum esse duximus : Si quæ sunt domus et prædia, quæ antea juris Christianorum fuerint, et parentum nostrorum jussionibus in jus fisci cesserint, aut a civita-

(1) Rufinus habet, *Galerius*, Idem supra Jovius nominatus.

te aliqua tencantur, sive venditio seu donatio aliqua intercesserit, ut ea omnia in antiquum Christianorum jus revertantur, ut in eo quoque pietatem et providentiam nostram omnes animadvertant. » Hæc ille postea scripsit, fortasse etiam ut Constantinum mitiorem sibi redderet. Edictum porro istud propositum est nondum integro exacto anno, ex quo jussiones ejus adversus nos columnis incisæ fuerant. Et quibus antehac apud cum non dico regionem aliquam, sed ne solitudinem quidem incedere permissum fuerat, **499** verum ut impii Deoque prorsus carentes, ex locis omnibus ejecti, omnibusque malis expositi, atque ferro, igni, bestiis et innumeris suppliciorum mortisque generibus objecti, tormenta et cruciatus omnes sustinuerant : ii tandem religionem suam habere et ædes sacras construere jubentur, juribusque suis illis frui permittitur.

A σκεύειν εἵλετο. Καὶ τὰ κυριακὰ δὲ τὰ οἰκεῖα ὅπως κατασκευάζοιεν, συγκεχώρηται. Ἵνα μέντοι καὶ μείζων γένηται ἡ ἡμετέρα δωρεὰ, καὶ τοῦτο νομοθετῆσαι κατηξιώσαμεν· ἵν' εἴ τινες οἰκίαι καὶ χωρία τοῦ δικαίου τῶν Χριστιανῶν πρὸ τούτου ἐτύγχανον ὄντα· ἐκ δὲ τῆς κελεύσεως τῶν γονέων τῶν ἡμετέρων εἰς τὸ δίκαιον μετέπεσε τοῦ φίσκου, ἢ ὑπό τινος κατελήφθη πόλεως· εἴτε διάπρασις τούτων γεγένηται, εἴτε εἰς χάρισμα δέδοταί τινι, ταῦτα πάντα εἰς τὸ ἀρχαῖον δίκαιον τῶν Χριστιανῶν ἀνακληθῆναι ἐκελεύσαμεν· ἵνα καὶ ἐν τούτῳ τῆς ἡμετέρας εὐσεβείας καὶ τῆς προνοίας αἴσθησιν πάντες λάβωσιν. » Τοιαῦτα ἔγραφεν ὕστερον, ἴσως καὶ τὸν Κωνσταντῖνον ἐκμειλισσόμενος. Ὕστερον δὲ ἦσαν τῶν ἐν στήλαις καθ' ἡμῶν γραφέντων ταῦτα, οὐ B πάνυ τελείου ἐνιαυτοῦ ἐξήκοντος. Καὶ οἱ πρόσθεν παρ' αὐτῷ μήτοι γε χώραν, ἀλλ' οὐδ' ἔρημον ἐώμενοι κατοικεῖν, ἀλλ' ὡς δυσσεβεῖς καὶ ἄθεοι πανταχόθεν ἐξελαυνόμενοι, πᾶσί τε προκείμενοι τοῖς δεινοῖς, καὶ σιδήρῳ καὶ πυρὶ καὶ θηρσὶ καὶ μυρίοις θανάτοις προβεβλημένοι, καὶ πᾶν εἶδος κολάσεως ὑφιστάμενοι· οὗτοι δὲ καὶ θρησκείαν ἔχειν, καὶ οἴκους εὐκ ηρίους ἐγείρειν κελεύονται, καὶ τῶν προσόντων σφίσι δικαίων ἐπαπολαύειν ὑφίεντο.

CAPUT XXXIX.

De interitu Maximini, qui vindicta divina accidit: et de extrema internecione veritatis inimicorum.

Atque hæc post fugam (1), quasi insigni quopiam beneficio in ea affectus, et aliquid nostra causa, quamvis non ita ut commeruerat, passus, perinde atque id propalam confiteretur, scripsit. Cum autem secundo nobiscum conflictu congrederetur, vitam amisit : sed non ita ut decuerat decertans, neque cum laude et gloria fortiter cadens. Namque acies C quidem ejus in loco plano structa constitit. Ipse autem domi se continens, et tela effugiens, veluti qui manus adversus Deum sustolleret, divino in toto corpore suo affligitur flagello. Confestim siquidem dolore ex anxietate summa correptus, in lecto volvebatur, et inedia tabescebat. Incensio autem intra viscera exorta, habitum et formam omnem corrumpebat : extrinsecus etiam specimen ejus deformabat, ita ut brevi nihil in eo esset reliqui, quam os aridum, simulacro persimile, quod horrorem timoremque spectantibus incuteret, et ut corpus ejus tanquam animæ sepulcrum, aut culeus quidam altius eam in se defossam continens, esse videretur. Et cum medullæ omnes exustæ essent, oculorum orbes loco suo moti exciderunt D eumque excæcarunt. Ipse porro doloribus maximis excruciatus, Deoque confessus, mortem sibi accelerari oravit : postremoque omnium condignas se pœnas pro flagitiis ac contumeliis, quibus proterve et petulanter Christum esset persecutus, dare testatus, exsecrandam tandem illam egit animam (2). Verum enimvero hoc quoque ad hunc modum, qui tyrannorum omnium acerbissimus fuerat, e medio sublato, ecclesiæ statim ex ipsis fundamentis excitantur, fidei verbum liberius

(1) Euseb. lib. IX, cap. 10.

(2) Hic Cæsar quadriennio, Augustus triennio

ΚΕΦΑΛ. ΛΘ'.

Περὶ τῆς ἐνδίκου φθορᾶς Μαξιμιανοῦ, καὶ τῆς ἰσχάτης ἀπωλείας τῶν τῆς ἀληθείας ἐχθρῶν.

Ταῦτα δ' ὡς διαδρὰς, καί τινος δῆθεν εὐεργεσίας τυχὼν, καὶ παθὼν μὲν οὐχ ἅπερ ἐχρῆν δι' ἡμᾶς, ὥσπερ ἀνθομολογησάμενος ἔγραφε· δευτέρᾳ δὲ παρατάξει προσβαλὼν ἡμῖν, τὸ βιοῦν κατεστρέψατο· πλὴν οὐχ ὡς χρεὼν διαγωνιζόμενος, καὶ μετὰ δόξης ἀνδρικῶς πίπτων· ἀλλ' ἡ μὲν παράταξις κατὰ τοῦ πεδίου συνίστατο· αὐτὸς δὲ οἴκοι μένων καὶ τὰ βέλη διαδιδράσκων, οἷά τις Θεῷ χεῖρας ἀνταίρων, θεηλάτῳ καθ' ὅλου τοῦ σώματος πλήττεται μάστιγι. Ἀλγηδόνι μὲν γὰρ εὐθὺς περιωδυνίᾳ σχεθεὶς, ἐκυλίετο, λιμῷ συντηκόμενος· πῦρ δὲ κατὰ τῶν ἐγκάτων ἔνδοθεν ἀναπτόμενον, διέλυε τὴν πλάσιν πᾶσαν, καὶ τὸ πρόσω εἶδος τῆς μορφῆς ἐξηφάνιζεν· ὡς μετὰ βραχὺ ὀστέον τι ξηρὸν εἰδώλῳ παρεοικὸς ἐναπολειφθῆναι· καὶ δέος ἐμποιεῖν τοῖς ὁρῶσι, καὶ τάφον ὥσπερ τῆς ψυχῆς ἢ θύλακον εἶναι οἱ τὸ σῶμα, ὡς ἐν βάθει δή τινι τὴν ψυχὴν κατορωρυγμένην ἔχον. Σφόδρα δὲ τὸν μυελὸν καταφλεγόμενον, τοὺς μὲν τῶν ὀμμάτων βολβοὺς τῆς οἰκείας ἕδρας ἐξίστασθαι, καὶ ἀποπλανᾶσθαι τῆς λήξεως, πηρὸν καταλείποντας, τὸν δ' ἐπὶ τούτοις τῷ σφοδρῷ τῶν πόνων ἐκβιαζόμενον, ἀνθομολογεῖσθαι Θεῷ καὶ τὸν θάνατον ἐπισπέρχειν· τὸ δὲ πάντων ἔσχατον, ἀξίαν τὴν δίκην διδόναι οἷς κατὰ Χριστοῦ παροινήσειεν, ἐπειπὼν, οὕτω δῆτα τὴν μυσαρὰν ἐκείνην ἀφῆκε ψυχήν. Τοῦτον δὲ τὸν τρόπον καὶ τούτου ἐκποδὼν καταστάντος, ὃς τῶν ἄλλων τυράννων πικρότερος ἦν, τὰ μὲν τῶν ἐκκλησιῶν εὐθὺς ἐξ αὐτῶν χρηπίδων ἠγείροντο, καὶ ὁ τῆς πίστεως λόγος μεῖζον ἢ πρότερον ἐπαῤῥησιάζετο· τὰ δὲ τῆς εἰδωλομανίας εἰς τοὐπίσω ἐχώρει καὶ ἀτιμίας ἐπίπλατο· καὶ δῆτα πρῶτος αὐτὸς Μαξιμῖνος ὡς ἦν per Orientem fuit. Diac. Tyranno hoc sublato, Christianismus in Oriente reflorescit.

μισὴς καὶ τύραννος, γράμμασιν ἀπανταχοῦ ἀνεγόρευτο, δημοσίᾳ στηλιτευόμενος. Στῆλαι δὲ αὐτοῦ καὶ γραφαὶ ὅσαι κατὰ πόλεις εἰς τιμὴν ἐκείνῳ ἀνεῖντο, αἱ μὲν ἀφ' ὑψους ῥιπτόμεναι, εἰς λεπτὰ συνετρίβοντο· αἱ δὲ ἀσβόλῃ τὰ πρόσωπα καὶ σκοτεινῷ χρώματι ἐμελαίνοντο, παίγνιόν τε καὶ παιδιὰ τοῖς παίζειν ἐθέλουσι προὔκειντο. Τιμαὶ δὲ ἄλλαι τῶν τῆς ἀληθείας ἀντιπάλων ἠχρειοῦντο. Ὅσοι γε μὴν ἦσαν τὰ ἐκείνου φρονοῦντες, καὶ σεβαρώτερον ἐμπαροινοῦντες τοῖς ἡμετέροις, τὴν ἀξίαν παρεῖχον δίκην. Ὁποῖος ἐκεῖνος Πευκέντιος, αἰδοῖος μὲν ἐκείνῳ καὶ τῶν φίλων πάντων ὁ γνησιώτατος, δισύπατος καὶ τρισύπατος, καὶ ἄλλων ἀρχῶν ἐπιβὰς μειζόνων· Λουκιανός τε ἐπίσης ἁπάσῃ τιμῇ καὶ ἐξουσίᾳ διαφερόντως τιμώμενος, καὶ τοῖς αἵμασι τῶν κατ' Αἴγυπτον Χριστιανῶν ὠνούμενος τὰς ἀρχάς· πλεῖστοι δὲ καὶ ἄλλοι, δι' ὧν τὸ κράτος ἐπορίζετο Μαξιμῖνος, καὶ φοβερὸς ἐδόκει τοῖς ἅπασιν. Ἔφθανε δὲ καὶ Θεοτεκνον ἡ δίκη μηδὲν μελλήσασα ἐφ' οἷς κατὰ Χριστιανῶν ἐσκαιώρει. Ἐπὶ γὰρ τῷ νεοπαγεῖ ξοάνῳ καὶ τοῖς περὶ αὐτὸ καθ' ἡμῶν πλάσμασι τιμὰς πορίζομενος, ἐπέβη καὶ ἀξιώματος. Ἐπεὶ δὲ Λικίνιος τὴν Ἀντιόχου εἰσῆλε καὶ τὸ γοήτων πλῆθος εἰς διαφθορὰν ἤπειγε, παρῆσαν δὲ καὶ οἱ τοῦ νεοπαγοῦς ἱερεῖς ξοάνου, ἠκίζοντο τὴν αἰτίαν τῆς ἀπάτης λέγειν ἐκβιαζόμενοι, οἱ δὲ τὴν τοῦ Θεοτέκνου τέχνην προὐβάλλοντο· πρῶτον μὲν Θεότεκνον ἔκτεινε, τοῖς δὲ γοησιν ἐκείνοις τὴν ἀξίαν ἰσχεδίαζε δίκην. Ἐπὶ τούτοις οἱ παῖδες Μαξιμίνου καὶ οἱ κατὰ γένος καὶ φιλίαν ἐκείνῳ προσήκοντες προσετίθεντο, καὶ τῆς ἴσης ἀτιμίας καὶ τιμωρίας μετέχοντες διεφθείροντο· Ὅτι γε μὴ εὐδέξαντο παιδείαν, μηδὲ συνῆκαν μὴ πεποιθέναι ἐπ' ἄρχοντας, ἐπὶ υἱοὺς ἀνθρώπων, οἷς οὐκ ἔστι σωτηρία. Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἀπολοῦνται πάντες οἱ διαλογισμοὶ αὐτῶν.

A quam antea prædicatur, **500** idolorum furor potius quam cultus ignominiose intercedit. Et ipse Maximinus primum ut Deo invisus et tyrannus, litteris ubique propositis, publicisque invectivis declaratur. Statuæ ejus et imagines, quæcunque in urbibus in illius honorem erectæ fuerant, illæ quidem ex locis editioribus dejectæ comminuuntur : hæ autem in facie fuligine coloreque atro oblinuntur, ludusque et ludicrum illudere ei volentibus proponuntur. Et honores alii veritatis inimicorum abolentur, Deinde etiam qui eadem cum illo senserant, partesque ejus secuti fuerant, et superbius sacris nostris illuserant, amici et familiares ejus, justas ferunt pœnas. Qualis Peucetius ille fuit, in magna apud illum veneratione habitus, et amicorum omnium intimus, iterum ac tertium consul B creatus aliisque etiam honoribus gestis clarus. Lucianus (1) quoque, omni itidem dignitate ac potestate præcipue ab eo exornatus, qui sanguine Ægyptiorum Christianorum honores sibi et magistratus paraverat. Plurimi præterea alii, per quos potestatem Maximinus summam, ut omnibus terribilis videretur, consecutus fuerat. Comprehendit quoque Theotecnum vindicta non diu morata, propter scelera ea quæ adversus Christianos commentus fuerat. Quod enim propter novum illud simulacrum et figmenta contra nos excitata honore auctus fuerat, ad dignitates quoque primarias est evectus. Et postquam Licinius Antiochiam pervenit, et magorum atque impostorum turbam ad C interitum adegit adfuere ibi recentis illius simulacri sacerdotes, tormentisque affecti causam impostura suæ edere sunt coacti. Atque illi ubi Theotecni fraudem prodidere, primum Licinius Theotecnum occidit, deinde impostoribus illis dignam inflixit pœnam. Ad hoc Maximini liberi, et qui vel genere vel amicitia ei conjuncti erant, adjecti, parique contumelia et pœna affecti, cæsi sunt : *Quoniam non susceperunt disciplinam, neque intellexerunt ut non confiderent in principibus, in filiis hominum in quibus non est salus. In die ergo illa perierunt omnes cogitationes illorum.*

ΚΕΦΑΛ. Μ'.

Περὶ τῆς πρυτανευθείσης ἡμῖν ἐκ Θεοῦ εἰρήνης καὶ τῶν κατὰ τόπον ἐγκαινίων.

Τῶν δὲ θεομισῶν τυράννων οὕτως ἐκ τοῦ μέσου γεγενημένων, τὰ τῆς βασιλείας στερρά τε καὶ ἀδιάσειστα μόνοις κατελείπετο Κωνσταντίνῳ καὶ Λικινίῳ· οἱ τῶν κακίστων ἐκ τοῦ βίου διαῤῥυέντων, αὐτοὶ ἅτε τῆς θείκης ἀρωγῆς εἰς ἀκριβῆ πεῖραν ἥκοντες, τὸ τῆς αὐτῶν πίστεως εὐγενὲς καὶ πρὸς ἅπασαν ἀρετὴν δεξιόν, διὰ τοῦ ὑπὲρ Χριστιανῶν πάντα κινεῖν καὶ ἐργάζεσθαι, καὶ νόμους ὑπὲρ αὐτῶν ἀσφαλεῖς ἐξάγειν, ἀκούοντως ὑπέδειξαν. Καὶ δὴ φαιδρὰ μὲν ἡμέρα καὶ διαυγὴς οὐδενὸς ἐπιπροσθοῦντος νέφους ἐπέλαμπε πανταχοῦ· καὶ θεία τις αἴγλη ὑπερφυὴς ταῖς ἀνὰ τὴν οἰκουμένην ἐκκλησίαις κατέστραπτεν. Ἐν ἄφθονῳ δὲ προὔκειντο τὰ ἡμέτερα· καὶ πᾶς τις ἐκ περιουσίας μετεῖχε τῆς ἐκ Θεοῦ πρυτανευθείσης

501 CAPUT XL.

De pace, beneficio Dei Christianis parta et conciliata, et celebratis passim encæniis.

Tyrannis Deo invisis ita sublatis, res imperii totius firmæ atque inconcussæ ad solos Constantinum et Licinium pervenere : qui pessimis illis D oppressis, satis certo vim divini auxilii experti, fidei suæ generositatem, et ad virtutem omnem propensionem, pro Christianis omnia movendo atque agendo, et leges pro eorum salute et securitate promulgando, abunde ostenderunt. Itaque læta admodum et serena prorsus, nulla interveniente nube, ubique illuxit dies, et divinus quidam mirificusque ecclesias per orbem omnes splendor illuminavit, et res nostræ tutæ atque extra invidiam omnem positæ fuerunt. Abunde quilibet ejus quæ a Deo immissa factaque fuerat, pacis particeps

[1] Psal. CXLV, 4.

(1) Eusebius *Culchianum*, Rufinus *Quintianum* habet.

factus est ; et dominatione injusta depulsa, libera- A lem unusquisque conspexit solem, solum verum Deum piorum propugnatorem laudibus vehens. Omnibusque ingens incessit lætitia, res omnes quasi reviviscentes cernentibus, quæ dudum pestifera clade et calamitate interierant. Itaque magnifica templa amplitudine et sublimitate ingenti, et longe quam antea venustate et splendore majore constructa ; et quod omnium nobis est optatissimum, festi dies encæniorum novarumque dedicationum splendide acti, sacræ ædes recens fundatæ, episcoporum undique convenientium conventus celebrati ; et Christi membra amanter aliud aliunde confluentia, rursus ad unam harmoniam corporisque constitutionem decenter compacta ; atque, ut cum propheta dicam, *os ad os, et junctura ad jun-* B *cturam contracta ;* et quæ præterea per oraculum divinum prædixit verbum, impleta ea sunt. Una divini Spiritus vis per omnes peragrare cognita est, omnium una anima, et idem studium : omnibus in ore fuit, et ab omnibus exauditus est hymnus unus, divinitatem verbi Dei concentu pulcherrimo celebrans, cultusque Numinis purus, et sincerum sacrificium, sanctiones et constitutiones ecclesiarum, psalmorum cantus, frequentati. Ad hæc, divini verbi prædicatio, atque arcana mysticaque ministeria pie sancteque peracta, et salutiferæ passionis inenarrabilia symbola et signa sumpta. **502** Ætas quoque omnis, et omnis generis homines, orationi et graciarum actioni incumbentes, conciliatorem et auctorem tam subitorum C bonorum laudarunt. Conciones orationesque ad populum, pro eo atque tempus derepente argumentum suppeditabat, in conventibus habitæ. Atque aliquis in tam frequenti ecclesiæ concione humanus atque modestus piusque vir, in plurimorum hominum et aliquorum episcoporum præsentia, decenter et placide aures præbentium, orationem domi compositam in medium produxit (1). Qualis illa fuit, quam Paulino Tyri episcopo quidam optime dedicavit. Paulinus porro iste apud Phœnices clarus, multa magnifice Tyri templa construxit. Atque hæc quidem sic tum agebantur. Mihi vero minus molestum erit, constitutiones eas quas Deo charus imperator pro nobis publicavit, in opus hoc referre. Primo autem loco eam ponam, quam is communiter cum Licinio, qui nondum in rabiem actus fuerat, pro rebus Christianorum conscripsit ; quæ sic habet :

εἰρήνης · καὶ τῆς δυναστείας διαῤῥαγείσης, ἐλεύθερον πᾶς τις ἑώρα τὸν ἥλιον, μόνον ἀληθινὸν Θεὸν τὸν τῶν εὐσεβῶν ὑπέρμαχον ἀνυμνῶν. Καὶ πολλή τις ἐπεσκίρτα πᾶσι χαρά · ὥσπερ ἀναβιώσκοντα βλέπουσι πράγματα, τὰ πάλαι τῇ φθοροποιῷ λύμῃ διεφθαρμένα. Καὶ δὴ μεγαλοπτεπεῖς νεὼς ἀνηγείροντο, εἰς ὕψος μέγα καὶ πλάτος αἰρόμενοι, πολλῷ δὲ κρείττονα καὶ τὴν ἀγλαΐαν παρὰ τὴν προτέραν ἀπολαμβάνοντες. Καὶ τὸ πάντων ἡμῖν εὐκταιότατον, ἑορταὶ κατὰ πόλεις ἐγκαινίων λαμπρότερον ἐτιμῶντο · νεοπαγῶν τε νεῶν καθιδρύσεις, ἐπισκόπων τε πάντοθεν ἁλιζομένων συνεκροτοῦντο συνέδρια · καὶ τὰ Χριστοῦ μέλη φιλοφρόνως ἄλλοθεν ἄλλα ἤκοντα, εἰς μίαν αὖθις ἁρμονίαν ἁρμόζοντο · καὶ προφητικῶς εἰπεῖν, ὀστέον πρὸς ὀστέον, καὶ ἁρμονία πρὸς ἁρμονίαν συνήγετο · καὶ ὅσα θεσπίζων ὁ θεῖος προεφοίβαζε λόγος · μία τε θείου Πνεύματος δύναμις διὰ πάντων χωροῦσα διεγινώσκετο · ἁπήντων τε μία ψυχὴ καὶ σπουδὴ ἡ αὐτή · ὕμνος τε πᾶσιν εἷς ἐξηκούετο ἡ παναρμόνιος θεολογία, ἁγνή τε θρησκεία καὶ ἱερουργία ἀκραιφνὴς, θεσμοί τε ἐκκλησιῶν καὶ διατάξεις. Ψαλμῳδίαι δ' ἐπὶ τούτων καὶ θείων λόγων ἀκρόασις, μυστικαί τε διακονίαι ἱερῶς τελούμεναι, καὶ τὰ τοῦ σωτηρίου παθους ἀπόῤῥητα σύμβολα. Ἡλικία δὲ πᾶσα καὶ γένος ἅπαν, εὐχῇ καὶ εὐχαριστίᾳ σχολάζον, τὸν τῶν ἀγαθῶν ἐξάπινα πρύτανιν γεραίροντες ἦσαν · λόγοι τε προὔχειντο πανηγυρικοί, ὡς ὁ καιρὸς σχεδιάζων ἐδίδου. Καὶ τις ἐν τοσούτῳ ἐκκλησίας συστήματι ἐπιεικής τις ἄγαν καὶ μέτριος, πλείστων δὴ παρόντων, ἐν κόσμῳ τε καὶ ἡσύχως τὴν ἀκρόασιν πεποιημένων, λόγους συνθέμενος, ἐπὶ μέσης προῆγεν · ὥσπερ ὁν Παυλίνῳ τῆς Τυρίων ἐπισκόπῳ προσφωνῶν τις, ἄριστα διεξῆλθεν · ὃς ἀμφὶ τὸ Φοινίκων ἔθνος διαπρέπων, πολλοὺς ἐν Τύρῳ νεὼς φιλοτίμως ἐπεσκευάσατο. Ταῦτα μὲν οὖν ἐφέρετο τῇδε. Ἐμοὶ δ' οὐκ ὀκνηρὸν ἐσεῖται μὴ καὶ αὐτὰς ἐκείνας ἃς ὑπὲρ ἡμῶν ἔγραφε διατάξεις ὁ θεοφιλὴς βασιλεὺς παρενεῖραι τῷ παρόντι συγγράμματι · καὶ πρώτη γέ μοι ἔσται, ἣν κοινῶς ἅμα Λικινίῳ οὔπω λελυττηκότι ὑπὲρ τῶν Χριστιανῶν ἀνηκόντων ἐγράφη, ὧδέ πως διαγορεύουσα ·

CAPUT XLI.

Constitutio scripta Constantini Magni imperatoris, ut Christianis loca et res suæ restituantur.

« Cum jampridem re probe deliberata, libertatem religionis non denegandam, sed uniuscujusque arbitrio et voluntati, ut pro suo quisque judicio sacra coleret, permittendam esse existimaremus : eum alios singulos, tum Christianos quoque professionis suæ sectam, cultumque divinum servare jussimus. Quandoquidem autem multæ ac diversæ opiniones, in eo ipso rescripto, in quo eis talis est

ΚΕΦΑΛ. ΜΑ΄.

Διάταξις ἔγγραφος ὑπὲρ τῶν Χριστιανοῖς προσηκόντων Κωνσταντίνου τοῦ μεγάλου βασιλέως.

« Ἤδη μὲν πάλαι σκοποῦντες τὴν ἐλευθερίαν τῆς θρησκείας οὐκ ἀρνητέαν εἶναι, ἀλλ' ἑνὸς ἑκάστου τῇ διανοίᾳ καὶ τῇ βουλήσει ἐξουσιαστέαν τοῦ τὰ θεῖα πράγματα τημελεῖν κατὰ τὴν αὐτοῦ προαίρεσιν ἕκαστον κεκελεύκαμεν, τούς τε Χριστιανοὺς τῆς αἱρέσεως καὶ τῆς θρησκείας τῆς ἑαυτῶν τὴν πίστιν φυλάττειν · ἀλλ' ἐπειδὴ πολλαὶ καὶ διάφοροι αἰρέσεις ἐν ἐκείνῃ τῇ ἀντιγραφῇ, ἐν ᾗ τοῖς αὐτοῖς συνεχω-

(1) Exstat hæc oratio apud Eusebium lib. x, cap. 4.

ρήθη ἡ τοιαύτη ἐξουσία, ἐδόκουν προστεθεῖσθαι σαφῶς, τυχὸν ἴσως τινὲς αὐτῶν μετ' ὀλίγον ἀπὸ τῆς τοιαύτης παραφυλάξεως ἀνεκρούοντο· ὁπότε ἐγὼ εὐτυχῶς Κωνσταντῖνος Αὔγουστος, κἀγὼ Λικίνιος Αὔγουστος ἐν τῷ Μεδιολάνῳ ἐληλύθειμεν· καὶ πάντα ὅσα πρὸς τὸ λυσιτελὲς καὶ πρὸς τὸ χρήσιμον τῷ κοινῷ διέφερεν ἐν ζητήσει ἔσχομεν· ταῦτα μεταξὺ τῶν λοιπῶν, ἅτινα ἐδόκει ἐν πολλοῖς ἅπασιν ἐπωφελῆ εἶναι· μᾶλλον δὲ ἐν πρώτοις διατάξαι ἐδογματίσαμεν, οἷς ἡ πρὸς τὸ Θεῖον αἰδὼς τε καὶ τὸ σέβας ἐνείχετο· τουτέστιν ὅπως δῶμεν καὶ τοῖς Χριστιανοῖς καὶ πᾶσαν ἐλευθέραν αἵρεσιν τοῦ ἀκολουθεῖν τῇ θρησκείᾳ ᾗ δ' ἂν βουληθῶσιν· ὅπως ὅ τί ποτέ ἐστι θειοτάτου καὶ οὐρανίου πράγματος, ἡμῖν καὶ πᾶσι τοῖς ὑπὸ τὴν ἡμετέραν ἐξουσίαν διάγουσιν εὐμενὲς εἶναι δυνηθῇ. Τοίνυν ταύτην τὴν ἡμετέραν βούλησιν ὑγιεινῷ καὶ ὀρθοτάτῳ λογισμῷ ἐδογματίσαμεν, ὅπως μηδενὶ παντελῶς ἐξουσία ἀνεῖται, ἡ τοῦ ἀκολουθεῖν καὶ αἱρεῖσθαι τὴν τῶν Χριστιανῶν παραφυλάξει θρησκείαν ἑκάστοτε ἐξουσία δοθείη· τοῦ δεδόναι αὐτῷ τὴν διάνοιαν ἐν ἐκείνῃ τῇ θρησκείᾳ ἣν αὐτὸς ἑαυτῷ ἁρμόζειν νομίζει· ὅπως ἡμῖν δυνηθῇ τὸ θεῖον ἐν πάσι τὴν εἴθισμον σπουδὴν καὶ καλοκαγαθίαν παρέχειν· ἅτινα οὕτως ἀρέσκειν ἡμῖν ἀντιγράψαι ἀκόλουθον ἦν· ἵνα φανερωθεισῶν παντελῶς τῶν αἱρέσεων, αἵτινες τοῖς προτέροις ἡμῶν γράμμασι τοῖς πρὸς τὴν σὴν καθοσίωσιν ἀποσταλεῖσι περὶ τῶν Χριστιανῶν περιείχοντο, καὶ ἅτινα πάντη σκαιὰ καὶ τῆς ἡμετέρας πραότητος ἀλλότρια εἶναι ἐδόκει, ταῦτα ὑφαιρεθῇ· καὶ νῦν ἐλευθέρως καὶ ἁπλῶς ἕκαστος αὐτῶν τῶν τὴν αὐτὴν προαίρεσιν ἐσχηκότων τοῦ φυλάττειν τὴν τῶν Χριστιανῶν θρησκείαν ἄνευ τινὸς ὀχλήσεως, τοῦτο αὐτὸ παραφυλάττοι. Ἅτινα τῇ σῇ ἐπιμελείᾳ πληρίστατα δηλῶσαι ἐδογματίσαμεν· ὅπως εἰδείης ἡμᾶς, ἐλευθέραν καὶ ἀπολελυμένην ἐξουσίαν τοῦ τημελεῖν τὴν ἑαυτῶν θρησκείαν τοῖς αὐτοῖς Χριστιανοῖς δεδηλωκέναι. Ὅπερ ἐπειδὴ ἀπολελυμένως αὐτοῖς ὑφ' ἡμῶν δεδωρῆσθαι θεωρεῖ ἡ σὴ καθοσίωσις, καὶ ἑτέροις ἐξουσίαν τοῖς βουλομένοις τοῦ μετέρχεσθαι τὴν παρατήρησιν καὶ θρησκείαν ἑαυτῶν· ὅπερ ἀκολούθως τῇ ἡσυχίᾳ τῶν ἡμετέρων καιρῶν γίνεσθαι φανερόν ἐστιν, ὅπως ἐξουσίαν ἕκαστος ἔχῃ τοῦ αἱρεῖσθαι καὶ τημελεῖν ὁποίως δ' ἂν βούληται τὸ Θεῖον. Τοῦτο δὲ ὑφ' ἡμῶν γέγονεν, ὅπως μηδεμιᾷ τιμῇ μηδὲ θρησκείᾳ τινὶ μεμειῶσθαί τι ὑφ' ἡμῶν δοκοίη. Καὶ τοῦτο δὲ πρὸς τοῖς λοιποῖς εἰς τὸ πρόσωπον τῶν Χριστιανῶν δογματίζομεν· ἵνα τοὺς τόπους αὐτῶν, εἰς οὓς τοπρότερον συνέρχεσθαι ἔθος ἦν αὐτοῖς· περὶ ὧν καὶ τοῖς πρότερον δοθεῖσι πρὸς τὴν σὴν καθοσίωσιν γράμμασι τύπος ἕτερος ἦν ὡρισμένος τῷ ἑτέρῳ χρόνῳ· ἵνα εἴ τινες ἢ παρὰ τοῦ ταμείου τοῦ ἡμετέρου, ἢ παρά τινος ἑτέρου φαίνοιντο ἠγορακότες, τούτους τοῖς αὐτοῖς Χριστιανοῖς ἄνευ ἀργυρίου, καὶ ἄνευ τινὸς ἀπατήσεως τῆς τιμῆς ὑπερτεθείσης, δίχα πάσης ἀμελείας καὶ ἀμφιβολίας ἀποκαταστήσωσι· καὶ εἴ τινες κατὰ δῶρον τυγχάνουσιν εἰληφότες τοὺς αὐτοὺς τόπους· ἢ οἱ κατὰ δωρεὰν εἰληφότες οὕτωσὶ παρὰ τῆς ἡμετέρας καλοκαγαθίας,

A permissa potestas, verbis disertis additæ esse videbantur, factum fortasse est, ut quidam paulo post ab hujuscemodi observatione religionis complectenda resilirent. Cum igitur ego Constantinus Augustus, et ego Licinius Augustus, feliciter Mediolanum venissemus, atque ibi in consilio quæ ad usum et utilitatem reipublicæ præcipue pertinerent, inquireremus : inter alia plura, quæ commoda esse omnibus, seu prima potius visa sunt, constituenda atque ordinanda esse duximus, ea videlicet, quibus honor et cultus divini Numinis continetur ; hoc est, ut etiam Christianis liberum **503** prorsus concedamus arbitrium, religione quam velint consectandi. Ut quidquid tandem est divini et cœlestis Numinis, id nobis et qui sub potestate et ditione nostra de-
B gunt, omnibus propitium benignumque esse posset. Itaque sententiam hanc nostram sana atque recta deliberatione in edictum retulimus, ut nemini prorsus potestas præcideretur, quovis tempore Christianorum observationem et religionem complectendi ; et quem animo suo commodum congruentemque esse crederet cultum, sequendi, ut divinum Numen in rebus omnibus propensum atque benignum nobis esset. Æquum sane fuit, ut hoc sic nobis placere rescripto isto nostro nunc significaremus : ut hæresibus omnino sublatis, quæ in prioribus ad devotionem tuam datis litteris nostris de Christianis continebantur, si quæ essent insuper sinistra prorsus et a clementia nostra aliena, ea inducerentur. Proinde quilibet libere et
C aperte, qui Christianas cæremonias observandas sibi esse duxerit, eas sine perturbatione et periculo omni tuto observet. Quod ita solentiæ tuæ plenissime indicatum voluimus, ut scias nos liberam absolutamque potestatem Christianis religionis suæ colendæ decrevisse. Et cum devotio tua animadvertat, tam absolutam ipsis esse datam facultatem, aliis quoque ad sacra ea et cæremonias transire volentibus id facere sciat esse permissum. Id quod tranquillitati temporum nostrorum convenire manifestum est, ut potestas unicuique sit, pro eo atque velit, divinum colendi Numen. Factum id a nobis, ne cui divino honori aut cultui quidquam per nos diminutum esse videatur. Itaque et hoc in personam Christianorum decernentes
D statuimus, ut loca eorum in quibus antea convenire soliti fuerant (de quibus prioribus etiam litteris nostris alio tempore ad devotionem tuam datis, formam et modum alium constitueramus), si ea aliqui vel a fisco nostro, vel a quopiam alio, emptione interveniente comparaverint, ipsis Christianis absque pecunia et absque repetitione ulla pretii dati, citra omnem **504** cunctationem et deliberationem restituant. Quod si qui talia loca dono a quopiam acceperint, aut etiam ex liberalitate et munificentia nostra consecuti fuerint, ii ad præfectum cujusque loci judicis locum obtinentem adeant, ut ipsorum per benignitatem nostram ratio habeatur. Atque ea loca omnia, nulla inter-

posita mora, corpori Christianorum omnino reddi curabis. Et quoniam Christianos ipsos non solum ea in quibus conventus agere soliti sunt, sed et alia loca habuisse constat, non privatim ad quemquam illorum, sed ad jus corporis eorum, hoc est, Christianorum pertinentia, ea quoque omnia qua diximus lege citra ambiguitatem omnem Christianis ipsis, hoc est, corpori ipsorum, et cuilibet eorum conventui restituenda jubebis : eo quem diximus servato modo, ut videlicet qui ea absque restitutione pretii, sicuti dictum est, reddiderent, indemnitati eorum a benignitate nostra provideatur. Quibus in rebus omnibus Christianorum, quod diximus, corpori operam studiumque tuum, quoad poteris, præstare debebis, ut jussa nostra primo quoque tempore impleantur ; et ut per bonitatem liberalitatemque nostram communi et publicæ quieti consulatur. Ita enim futurum est, quemadmodum prædiximus, ut divina erga nos gratia et benignitas, quam multis jam in rebus sumus experti, perpetua nobis firmaque maneat. Cæterum ut ejuscemodi liberalitatis et constitutionis nostræ sententia ad notitiam omnium perferri queat, consequens est, ut litteris tuis præfixis, decretum hoc nostrum passim in locis omnibus proponas, et in notitiam omnium deducas, ne quempiam munificentiæ nostræ lex latere possit. »

προσέλθωσι τῷ ἐπὶ τόπων ἐπάρχῳ δικάζοντι, ὅπως καὶ αὐτῶν διὰ τῆς ἡμετέρας χρηστότητος πρόνοια γένηται. Ἅτινα πάντα τῷ σώματι τῶν Χριστιανῶν παραυτὰ διὰ τῆς σῆς σπουδῆς ἄνευ τινὸς παρολκῆς παραδεδόσθαι δεήσει. Καὶ ἐπειδὴ οἱ αὐτοὶ Χριστιανοὶ οὐ μόνον ἐκείνους εἰς οὓς συνέρχεσθαι ἔθος εἶχον, ἀλλὰ καὶ ἑτέρους τόπους ἐσχηκέναι γινώσκονται διαφέροντας, οὐ πρὸς ἕκαστον αὐτῶν, ἀλλὰ πρὸς τὸ δίκαιον τοῦ αὐτῶν σώματος, τοὐτέστι τῶν Χριστιανῶν · ταῦτα πάντα ἐπὶ τῷ νόμῳ ὃν προειρήκαμεν, δίχα παντελοῦς τινος ἀμφισβητήσεως τοῖς αὐτοῖς Χριστιανοῖς, τουτέστι τῷ σώματι αὐτῶν καὶ τῇ συνόδῳ ἑκάστου αὐτῶν ἀποκαταστῆναι κελεύσεις, τοῦ προειρημένου λογισμοῦ δηλαδὴ φυλαχθέντος · ὅπως αὐτοὶ οἵτινες τοὺς αὐτοὺς ἄνευ τιμῆς, καθὼς προειρήκαμεν, ἀποκαταστῶσι, τὸ ἀζήμιον τὸ ἑαυτῶν παρὰ τῆς ἡμετέρας καλοκαγαθίας ἐλπίζοιεν. Ἐν οἷς πᾶσι τῷ προειρημένῳ σώματι τῶν Χριστιανῶν τὴν σπουδὴν δυνατώτατα παρασχεῖν ὀφείλεις, ὅπως τὸ ἡμέτερον κέλευσμα τὴν ταχίστην πληρωθῇ · ὅπως ἐν τούτῳ διὰ τῆς ἡμετέρας χρηστότητος πρόνοια γένηται τῆς κοινῆς καὶ δημοσίας ἡσυχίας. Τούτῳ γὰρ τῷ λογισμῷ, καθὼς καὶ προείρηται, ἡ θεία σπουδὴ περὶ ἡμᾶς, οἷς ἐν πολλοῖς ἤδη πράγμασιν ἐπειράθημεν, διὰ παντὸς τοῦ χρόνου βεβαίως διαμενεῖ. Ἵνα δὲ ταύτης τῆς ἡμετέρας νομοθεσίας καὶ τῆς καλοκαγαθίας ὅρος πρὸς τὴν γνῶσιν πάντων ἐνεχθῆναι δυνηθῇ, προταχθέντα τοῦ σοῦ προγράμματος ταῦτα τὰ ὑφ' ἡμῶν γραφέντα, παντα χοῦ προθεῖναι, καὶ εἰς γνῶσιν πάντων ἀγαγεῖν, ἀκόλουθόν ἐστιν · ὅπως ταύτης τῆς ἡμετέρας καλοκαγαθίας ἡ νομοθεσία μηδένα λαθεῖν δυνηθῇ.

CAPUT XLII.

Aliæ duæ constitutiones, pecunias, dona et immunitatem ecclesiis concedentes.

Secundam vero hanc quæ sequitur constitutionem promulgarunt, in solam catholicam Ecclesiam liberalitatem talem collatam esse significantes (1) : « Salve, Anuline, plurimum nobis honorande. Liberalitatis benignitatisque nostræ modus hic est, ut qui alieni juris sunt, non solum non violenter involari, **505** verum etiam restitui velimus, Anuline reverendissime. Quapropter præcipimus, quam primum litteræ hænostræ ad te perlatæ fuerint, ut quæcunque bona ad Ecclesiam catholicam Christianorum, vel in urbibus, vel in locis aliis pertinentia, sive a civibus, seu a quopiam alio occupata detineantur, confestim ecclesiis ipsis restituantur. Prorsus enim constitutum nobis est, ut quas antea ecclesiæ habuerunt possessiones, in jus earum redeant. Cum itaque devotio tua mandati hujus nostri jussionem clariorem perspiciat, operam dare debes, sive horti, sive ædes, seu quidlibet aliud ad jus ecclesiarum pertinuit, ut hæc omnia eis quam primum reddantur, ut videlicet te jussionibus hisce nostris cum cura et fide paruisse intelligamus. Vale, Anuline, nobis admodum honorande. » Aliam quoque constitutionem ad eumdem scripserunt (2), in

(1) Hæretici non gaudent catholicorum privilegiis Constantini. L. *Privilegia* C. De hæret. et Man.

ΚΕΦΑΛ. ΜΒ'.

Ἕτεραι δύο διατάξεις καὶ ἄνεσιν δωρούμεναι ταῖς τοῦ Θεοῦ ἐκκλησίαις καὶ χρήματα.

Δευτέραν δὲ ταύτην διάταξιν ἔστελλον τῇ καθολικῇ Ἐκκλησίᾳ μόνῃ τὴν δωρεὰν δεδόσθαι παραγγυώμενοι · « Χαῖρε, Ἀνυλῖνε, τιμιώτατε ἡμῖν. Ἔστιν ὁ τρόπος οὗτος τῆς καλοκαγαθίας τῆς ἡμετέρας, ὥστε ἐκεῖνα ἅπερ δικαίῳ ἀλλοτρίῳ προσήκει, μὴ μόνον μὴ ἐνοχλεῖσθαι, ἀλλὰ καὶ ἀποκοθιστᾶν βούλεσθαι ἡμᾶς, Ἀνυλῖνε τιμιώτατε. Ὅθεν βουλόμεθα, ἵνα ὁπόταν ταῦτα τὰ γράμματα κομισθῇ, εἴ τινα ἐκ τούτων τῶν τῇ Ἐκκλησίᾳ καθολικῇ τῶν Χριστιανῶν ἐν ἑκάσταις πόλεσιν ἢ καὶ ἄλλοις τόποις διέφερεν, καὶ κατέχοιντο νῦν ἢ ὑπὸ πολιτῶν, ἢ ὑπό τινων ἄλλων, ταῦτα ἀποκατασταθῆναι παραχρῆμα ταῖς αὐταῖς ἐκκλησίαις ποιήσειας · ἐπειδήπερ προηρήμεθα ἅπερ αἱ ἐκκλησίαι ἐσχήκεσαν πρότερον, τῷ δικαίῳ αὐτῶν ἀποκατασταθῆναι. Ὁπότε τοίνυν συνορᾷ ἡ καθοσίωσις ἡ σὴ ταύτης ἡμῶν κελεύσεως σαφέστερον εἶναι τὸ πρόσταγμα, σπούδασον, εἴτε οἰκίαι, εἴτε κῆποι, εἴτε ὁτιουνδήποτε τῷ δικαίῳ τῶν αὐτῶν ἐκκλησιῶν διέφερον, σύμπαντα αὐταῖς ἀποκατασταθῆναι ὡς τάχιστα · ὅπως τούτῳ ἡμῶν τῷ προστάγματι ἐπιμελεστάτην σε πειθάρχησιν παρεσχηκέναι καταμάθοιμεν. Ἐρρῶσο, Ἀνυλῖνε τιμιώτατε ἡμῖν. » Καὶ ἄλλην δὲ διάταξιν νόμων αὐτῷ προσφωνοῦσι, δι' ἧς

(2) Constitutio de immunitate clericorum. L. *Juxta sanctionem*. C. De episcop. et cler.

τοὺς τῶν ἐκκλησιῶν ὑπηρέτρς καὶ ἡγεμόνας τῆς A qua ecclesiarum ministros et præsides a civilibus
τῶν πορικῶν λειτουργίας ἐλευθέρους εἶναι διακε-
λεύονται, γράφοντες οὕτως· « Χαῖρε, Ἀνυλῖνε τι-
μιώτατε ἡμῖν. Ἐπειδὴ ἐκ πλειόνων πραγμάτων
φαίνεται παρεξουθενηθεῖσαν τὴν θρησκείαν ἐν ᾗ ἡ
κορυφαία τῆς ἁγιωτάτης ἐπουρανίου αἰδὼς φυλάτ-
τεται, μεγάλους κινδύνους ἐνηνοχέναι τοῖς δημοσίοις
πράγμασιν· αὐτήν τε ταύτην ἐνθέσμως ἀναληφθεῖ-
σαν καὶ φυλαττομένην μεγίστην εὐτυχίαν τῷ Ῥω-
μαϊκῷ ὀνόματι, καὶ σύμπασι τοῖς τῶν ἀνθρώπων
πράγμασιν ἐξαίρετον εὐεργεσίαν παρισχηκέναι, τῶν
θείων εὐεργεσιῶν τοῦτο παρεχουσῶν· ἔδοξεν ἐκεί-
νους τοὺς ἄνδρας τοὺς τῇ ὀφειλομένῃ ἁγιότητι, καὶ
τῇ τοῦ νόμου τούτου προεδρείᾳ τὰς ὑπηρεσίας ὑπ'
αὐτῶν τῇ τῆς θείας θρησκείας θεραπείᾳ παρέχον-
τας, τῶν καμάτων τῶν ἰδίων τὰ ἐπαθλα κομίσασθαι. B sam qui intra provinciam tibi creditam in Ecclesia
Διόπερ ἐκείνους τοὺς εἴσω τῆς ἐπαρχίας τῆς σοι catholica sunt, cui Cecilianus præest, functionem-
πεπιστευμένης ἐν τῇ καθολικῇ Ἐκκλησίᾳ ᾗ Κεκι- que et operam suam sanctissimæ religioni præstant,
λιανὸς ἐφέστηκε, τὴν ἐξ αὐτῶν ὑπηρεσίαν τῇ ἁγιω- quos clericos nominare solent, eos ab omnibus
τάτῃ θρησκείᾳ παρέχοντας, οὕσπερ κληρικοὺς ἐπο- prorsus muneribus immunes conservari volumus,
νομάζειν εἰώθασιν, ἀπὸ πασῶν ἁπαξαπλῶς τῶν ut ne errore aliquo aut lapsu sacrilego, a cultu
λειτουργιῶν βούλομαι, ἀλειτουργήτους διαφυλαχθῆ- qui summo Numini debetur, abstrahantur : **506**
ναι, ὅπως μὴ ὑπό τινος πλάνης ἢ ἐξολισθήσεως sed potius citra omnem perturbationem religioni
ἱεροσύλου ἀπὸ τῆς θεραπείας τῆς τῇ θειοτάτῃ ὀφεί- sacrisque suis inserviant. Qui sane si cultum suum,
λομένης ἀφέλκωνται. Ἀλλὰ μᾶλλον ἄνευ τινὸς qui longe maximus est, Deo rite exhibeant, plurimum rebus publicis videntur afferre commodi et
ἐνοχλήσεως τῷ ἰδίῳ νόμῳ ἐξυπηρετῶνται· ὥνπερ emolumenti. Vale, Anuline, plurimum nobis et
μεγίστην λατρείαν περὶ τὸ θεῖον ποιουμένων, πλεῖ- honorate et desiderate. » Edidit præterea Constan-
στον ὅσον τοῖς κοινοῖς πράγμασι συνοίσειν δοκεῖ. tinus quartam quoque constitutionem, in qua ec-
Ἐρῶσο, Ἀνυλῖνε τιμιώτατε καὶ ποθεινότατε ἡμῖν. » clesiis pecunias donat, ad Cecilianum episcopum
Ἔτι καὶ τετάρτην διάταξιν γράφει, δι' ἧς χρήματα C Carthaginensem ita scribens : « Constantinus Au-
ταῖς ἐκκλησίαις δωρεῖται, Κεκιλιανῷ ἐπισκόπῳ gustus Ceciliano episcopo Carthaginis : Quando-
Καρθαγένης οὑτωσὶ ἐπιστέλλων· « Κωνσταντῖνος quidem visum nobis est, per provincias omnes
Αὔγουστος· Ἐπειδήπερ ἤρεσε κατὰ πάσας ἐπαρχίας, Africæ, Numidiæ et Mauritaniæ certis quibusdam
τάς τε Ἀφρικὰς καὶ τὰς Νουμιδίας καὶ τὰς Μαυ- ministris legitimæ et sacrosanctæ catholicæ reli-
ριτανίας, ῥητοῖς τισι τῶν ὑπηρενῶν τῆς ἐνθέσμου gionis aliquid ad sumptus tolerandos largiri, lit-
καὶ ἁγιωτάτης καθολικῆς θρησκείας εἰς ἀναλώματα teras ad Ursum catholicum Africæ dedi, eique sig-
ἐπιχορηγηθῆναί τι, ἔδωκα γράμματα πρὸς Οὔρσον nificavi, ut ter mille folles (3) dinumerandos tibi
καθολικὸν τῆς Ἀρικῆς· καὶ ἐδήλωσα αὐτῷ ὅπως curaret. Quapropter ubi quam diximus pecuniæ
